A γὰρ καὶ ἐλάττων τῆς οὕτως ἀσελγῶν τε καὶ ἐπιρρήτων; ὁ δὲ, ταυρηδὸν ὑποβλέψας αὐτὸν, μαίνῃ ἔφη ὦ κάθαρμα. τοῦ δ' οὐ μόνον πρὸς ὀργὴν ταῦτα ἀκούσαντος, ἀλλὰ καὶ ἀπειλήσαντος, ὡς ἀποκόψοι αὐτοῦ τὴν κεφαλὴν, καταγελάσας ὁ Ἀπολλώνιος, ὦ ἡ δεῖνα * ἡμέρα, ἀνεβόησε. (ἴσ. ἡδεῖα ἡ.) τρίτη δὲ ἦν ἄρα ἀπ' ἐκείνης, ἐν ᾗ δήμιοι κατὰ τὴν ὁδὸν ἀπέκτειναν B τὸν ὑβριστὴν ἐκεῖνον, ὡς ξὺν Ἀρχελάῳ τῷ Καππαδοκίας βασιλεῖ νεώτερα ἐπὶ Ῥωμαίους πράττοντα. ταῦτα καὶ πολλὰ τοιαῦτα, Μαξίμῳ τῷ Αἰγιεῖ συγγέγραπται. ἠξιώθη δὲ καὶ βασιλείων ἐπιστολῶν οὗτος, εὐδοκιμῶν τὴν φωνήν.

De morte parentum Apollonij, & ampliſſima eius hæreditate. Item quo modo fratrem vitioſiſſimum correxerit: deinde de mira eius caſtitate. CAP. X.

SED poſtea, qui de patris morte nuntium accepit, Tyana veniens propriis manibus in ſuæ matris ſepulchro ipſum ſepeliit. fuerat enim non multò antea ipſius etiam mater defuncta, & hæreditatem amplam ſanè cum fratre partitus eſt, homine intemperáte, & potationibus maximè dedito, qui tertium ſupra vigeſimum annũ natus, ætatem exceſſerat, quæ tutores ad res proprias miniſtrandas à legibus accipere ſolet. ipſe verò Apollonius annum agens ætatis vigeſimum ſub tutoribus erat futurus: Ægas inde reuerſus philoſophiæ gymnaſia ſtatuit Lycium, & Academiam. Erat enim omnis philoſophiæ peritiſſimus. Inde poſt aliquod tempus vir factus Tyana redit, iam ſui compos, ita vt tutoribus non indigeret. cúmq; illum amici hortarétur, vt fratrem ad bonam frugem,

ΕΠΕΙ δὲ τεθνεῶτα τὸν πατέρα ἤκουσεν, ἔδραμεν ἐς τὰ Τύανα· κἀκεῖνον μὲν ταῖς ἑαυτοῦ χερσὶν ἔθαψε πρὸς τῷ τῆς μητρὸς σήματι· ἐτεθνήκει δὲ κἀκείνη οὐ πάλαι· τὴν δὲ οὐσίαν λαμπρὰν οὖσαν, διέλαχε πρὸς τὸν ἀδελφὸν, ἀκόλαστόν τε, καὶ φιλοπότην ὄντα. D καὶ τῷ μὲν, τρίτον τε καὶ εἰκοστὸν ἦν ἔθος, καὶ ἡλικία, οἵα μὴ ἐπιτροπεύεσθαι· ὁ δὲ αὖ, εἴκοσιν ἐγεγόνει· καὶ οἱ νόμοι αὐτὸν ὑπεῖχον τοῖς ἐπιτρόποις. διατρίψας οὖν ἐν Αἰγαῖς πάλιν, καὶ τὸ ἱερὸν Λύκειόν τε ἀποφήνας, καὶ Ἀκαδημίαν· φιλοσοφίας γὰρ ἠχὼ πάσης ἐν αὐτῷ ἦν, ἐπανῆλθεν ἐς τὰ Τύανα ἀνὴρ ἤδη, καὶ κύριος τῶν αὐτοῦ. εἰπόντος δέ τινος πρὸς αὐτὸν, ὡς σωφρονίσαι τὸν ἀδελφὸν προσήκει αὐτὸν

καὶ μεταβαλεῖν τοῦ τρόπου· τουτὶ μὲν θρασὺ ἔφη δόξει· πρεσβύτερον γὰρ νέος πῶς ἂν σωφρονίζοιμι; ὡς δέ μοι δυνατόν, ἰάσομαι αὐτὸν τουτωνὶ τῶν παθῶν. δίδωσι δὲ αὐτῷ τὴν ἡμίσειαν τῆς ἑαυτοῦ μοίρας, τὸν μὲν πλειόνων δεῖσθαι φήσας, ἑαυτὸν δὲ ὀλίγων. ἐφιστὰς δὲ αὐτόν, καὶ σοφῶς ὑπαγόμενος εἰς τὸ σωφρονίζοντι πείθεσθαι. ὁ μὲν πατὴρ ἔφη μεθέστηκεν, ὃς ἐπαίδευέ τε ἡμᾶς, καὶ ἐνουθέτει. λοιπὸν δὲ σὺ ἐμοί, καὶ σοὶ δήπου ἐγώ. εἴτ' οὖν ἐγώ τι ἁμαρτάνοιμι, σύμβουλος γίνου, καὶ ἰῶ τὰ ἁμαρτήματα. εἴτ' αὐτός τι ἁμαρτάνοις, ἀνέχου διδάσκοντα. κἀκεῖνον μὲν ὥσπερ οἱ καταψῶντες τοὺς δυσηνίους τε, καὶ μὴ εὐαγώγους τῶν ἵππων, ἐς πειθὼ ἤγαγε, καὶ μετερρύθμισε τῶν ἁμαρτημάτων, πολλῶν ὄντων. καὶ γὰρ κύβων ἥττητο, καὶ οἴνου, καὶ ἐφ' ἑταίραις ἐκώμαζεν, ἐπαιρούσης αὐτὸν κόμης, ἣν καὶ βαφαῖς ἤσκει, σοβῶν τε, καὶ ἄνω βαίνων. ἐπεὶ δὲ καὶ τὰ πρὸς τὸν ἀδελφὸν αὐτῷ εὖ εἶχεν, ἐπὶ τοὺς ἄλλους ἤδη συγγενεῖς ἐτρέπετο, καὶ τοὺς δεομένους σφῶν ἀνεκτήσατο τῇ λοιπῇ οὐσίᾳ, μικρὰ ἑαυτῷ ὑπολιπόμενος. ὅτε δὴ τὸν μὲν Κλαζομένιον Ἀναξαγόραν ἀγέλαις τε, καὶ καμήλοις τὰ ἑαυτοῦ ἀνέντα, προβάτοις ἔφη μᾶλλον, ἢ ἀνθρώποις φιλοσοφῆσαι. τὸν δὲ Θηβαῖον Κράτητα καταποντώσαντα τὴν οὐσίαν, οὔτε ἀνθρώποις γενέσθαι ἐπιτήδειον, οὔτε προβάτοις. εὐδοκιμήσαντος δὲ τοῦ Πυθαγόρου ἐπὶ τῷ λόγῳ, ὃν ἔλεγε περὶ τοῦ μὴ δεῖν τῆς

A téperantiámq. redigeret: hoc profectò audacis, inquit, eſſe videretur. quomodo enim iunior grádioré corrigeré? verú quoad per me fieri poterit, eius morbi remedia conabor afferre. Primú itaq. fortunarum, quas ex paterna hereditate acceperat, dimidiá parté fratri conceſſit; plurimis illú indigere dictitás, ſibi verò pauca ſatis eſſe: deinde illi aſſiſtés & monitionib. crebris illius aures circunſo-
B nans ad vitá meliorem reducere tentabat, talibus verbis ipſum alloqués: Dum pater nobis ſuperſtes fuit, erat qui nos errantes moneret, & bonis morib. imbuere poſſet: illo auté núc defuncto, tu mihi relictus es, & ego tibi. decet igitur ſi quid deliquero te mihi conſulere, & mea delicta corrigere: quòd ſi quid fortè cõtrà peccaueris, non grauatè monitus meos perferre debes. his rationibus non ſe-
C cus ac pullorum infrenum domitores facere ſolent: paulatim illi perſuaſit, vt ſolutá vitá mutaret in melius, vitiis aliquot (nam illi plurima erant) omiſſis: talorum enim & vini cupiditate vincebatur, & in meretricú libidinem erat propenſior, coma ipſum inflante, quam & tingebat ſuperbe incedens. [atque ad huiuſmodi alia frugalitatis documéta paulatim
D deduxit.] Vbi verò, quæ de fratre cupiebat, rectè ſuccedere viſa ſunt, ad alios cognatos, affinéſq; inſtituendos animú conuertit, & egétib. opem ex his, quæ ſupererát, facultatem afferétib. ſibi obtemperantes illos reddere ſtudebat, adeò vt iá ſibi per pauca ſupereſſent. Aiebat autéClazomenium Anaxagorá gregib. & camelorú armẽtis nutriendis intentú, pecorú gratia, magis quàm hominú philoſophatum eſſe. Cratem verò Thebanú, qui facultates ſuas in mari demerſerat, nec hominib. nec pecoribus vtilem fuiſſe. Cùm plerique Pythagoræ ſententiam laudarent, qua dixit non licere

alienæ congredi mulieri, hoc, inquit Apollonius, ad alios prolatum arbitror, mihi verò neque nubere: etenim ab omni re Venerea prorſus abſtinere eſt animus, in quo ſanè Sophoclem ſuperare viſum eſt, qui ſenio confectus iactare ſolebat beneficio ſenectutis ſe à Venereis cupiditatibus, tanquam à domino agreſti, & furioſo liberatum. Apollonius autem propriè virtutis, & temperantiæ auxilio ne in adoleſcentia quidem potuit à cupiditatibus ſuperari, ſed cùm eſſet iuuenis, ac robuſtus furioſum, vt ille dicebat, agreſtémq. dominum ſuperauit. Verùm ne ſic quidem calumniatorum obtrectationes potuit euitare, qui ipſum amoribus captum criminantur, eiúſque rei gratia apud Scythas integrum annum moram traxiſſe, cùm ne Scythiam vnquam attigerit, nec amori vnquam deditus fuerit. Idque Euphratis cuiuſdam teſtimonio patere ſatis poteſt, qui multa crimina falſo de illo ſcribens, amoris tamen nunquam inſimulauit, vt à nobis apertius oſtendetur in his, quæ de Euphrate ſumus ſcripturi. Fuit autem is Euphrates Apollonio contrarius, quoniam pecuniæ cauſa illum omnia facere quandoque dixit Apollonius, & à pecuniarum cupiditate, & ne quæſtus cauſa ſapientia abuteretur, tentauit. Verùm hæc ſuis in locis enarranda differamus.

A ἄλλην ἰέναι γυναῖκα, ἢ τὴν ἑαυτοῦ, τοῖς μὲν ἑτέροις, ἔφη, ὑπὸ Πυθαγόρου προειρῆσθαι, αὐτὸς δὲ, μήτ' ἂν γήμαι, μήτ' ἂν εἰς ὁμιλίαν ἀφικέσθαι ποτὲ ἀφροδισίων, ὑπερβαλλόμενος καὶ τὸ τοῦ Σοφοκλέους. ὁ μὲν γὰρ λυττῶντα ἔφη, καὶ ἄγριον δεσπότην ἀποφυγεῖν, ἐλθὼν εἰς γῆρας· ὁ δ' ὑπ' ἀρετῆς τε, καὶ σωφροσύνης, οὐδ' ἐν μειρακίῳ ἡττήθη τούτου. B ἀλλὰ καὶ νέος ὢν, καὶ τὸ σῶμα ἐρρωμένος, ἐκράτει τε, καὶ λυττῶντος ἐδέσποζεν· ἀλλ' ὅμως συκοφαντοῦσί τινες ἐπὶ ἀφροδισίοις αὐτὸν, ὡς διαμαρτίᾳ ἐρωτικῇ χρησάμενον, καὶ διὰ τοῦτο ἀπενιαυτίσαντα ἐς τὸ Σκυθῶν ἔθνος. ὃς οὔτε ἐφοίτησέ ποτ' ἐς Σκύθας, οὔτε ἐς ἐρωτικὰ πάθη ἀπηνέχθη. οὔκουν οὐδὲ Εὐφράτης C ποτὲ ἐσυκοφάντησεν ἐπὶ ἀφροδισίοις τὸν ἄνδρα· καί τοι ψευδῆ γράμματα κατ' αὐτοῦ ξυνθείς, ὡς ἐν τοῖς πρὸς Εὐφράτην λόγοις δείξομεν. διεφέρετο δὲ πρὸς Ἀπολλώνιον, ἐπειδὴ πάνθ' ὑπὲρ χρημάτων αὐτὸν πράττοντα ἐπέσκωπτεν οὗτος, καὶ ἀπῆγε τοῦ χρηματίζεσθαί τε, καὶ τὴν σοφίαν καπηλεύειν. ἀλλὰ ταῦτα μὲν, ἐς τοὺς αὐτῶν χρόνους ἀναβεβλήσθω μοι.

Interrogatus Apollonius cur non mandaret aliquid literis, quid reſponderit, quodque integrum quinquennium ita tacuerit; vt ne verbum quidem vnquam emitteret. Quot item bonorum nutu & ſignis, dum ſileret, cauſa fuerit; tùm de aſylo Tiberij.

Cap. XI.

INterroganti quandoque Apollonium Euxeno, cur non ſcriptis aliquid mădaret, cùm & de philoſophia rectè ſentire & ſcribendi characte-

Ἐρομένου δέ ποτε τὸν Ἀπολλώνιον τοῦ Εὐξένου, τί δῆτα οὐ ξυγγράφοι, καί τοι γενναίως δοξάζων, καὶ ἀπαγγέ-

λίᾳ χρώμενος δοκίμῳ, καὶ ἐγηγερμένῃ, ὅτι, ἔφη, οὔπω ἐσιώπησα. καὶ ἐνθένδε δὴ ἀρξάμενος, σιωπᾶν ᾠήθη δεῖν· καὶ τὴν μὲν φωνὴν κατεῖχεν, οἱ δὲ ὀφθαλμοὶ, καὶ ὁ νοῦς, πλεῖστα μὲν ἀνεγίνωσκον, πλεῖστα δὲ ἐς μνήμην ἀνελέγοντο. τό τοι μνημονικὸν ἑκατοντούτης γενόμενος, καὶ ὑπὲρ τὸν Σιμωνίδην ἔρρωτο, καὶ ὕμνος αὐτῷ τις εἰς τὴν μνημοσύνην ᾔδετο. ἐν ᾧ πάντα μὲν ὑπὸ τοῦ χρόνου μαραίνεσθαί φησιν, αὐτόν γε μὴν τὸν χρόνον, ἀγήρω τε, καὶ ἀθάνατον παρὰ τῆς μνημοσύνης εἶναι· οὐ μὴν ἄχαρις τά γε ἐς ξυνουσίας ἦν παρ᾽ ὃν ἐσιώπα χρόνον· ἀλλὰ πρὸς τὰ λεγόμενα, καὶ οἱ ὀφθαλμοί τι ἐπεσήμαινον, καὶ ἡ χείρ, καὶ τὸ τῆς κεφαλῆς νεῦμα. οὐδὲ ἀμειδὴς, ἢ σκυθρωπὸς ἐφαίνετο· τὸ γὰρ φιλαίτερόν τε εἶχε, καὶ τὸ εὐμενές· τοῦτον ἐπιπονώτατον αὐτῷ φησι γενέσθαι τὸν βίον, ὅλων πέντε ἐτῶν ἀσκηθέντα, πολλὰ μὲν εἰπεῖν ἔχοντα, μὴ εἰπεῖν, πολλὰ δὲ πρὸς ὀργὴν ἀκούσαντα μὴ ἀκοῦσαι· πολλοῖς δὲ ἐπιπλῆξαι προαχθέντα, τέτλαθι δὴ κραδίη τε, καὶ γλῶττα πρὸς ἑαυτὸν φάναι. λόγων τε προσκρουσάντων αὐτῷ, παρεῖναι τὰς ἐλέγξεις τότε. διέτειλε δέ τε τοὺς τῆς σιωπῆς χρόνους, τοὺς μὲν, ἐν Παμφύλοις, τοὺς δὲ, ἐν Κιλικίᾳ βαδίζων καὶ δι᾽ οὕτω τρυφώντων ἐθνῶν, οὐδαμοῦ ἐφθέγξατο, οὐδ᾽ ὑπήχθη γρύξαι. ὁπότε μὴν στασιαζούσῃ πόλει ἐντύχοι, πολλαὶ δὲ ἐστασίαζον ὑπὲρ θεαμάτων οὐ σπουδαίων, παρελθὼν ἂν, καὶ δείξας ἑαυ-

A rem grandē quendam, & ad faciendam fidem accommodatum nactus eſſet, reſpondit Apollonius; Ego verò adhuc tacere non didici. atque ex eo tempore propoſitum ſilentium ſeruare cœpit. vocem itaque compeſcens, mente verò & oculis multa inueſtigans, audita viſáq. omnia memoriæ mādabat: ex quo memoriam adeò exercuit, vt iam centeſimū annum ingreſſus, Simonidem quoque ſuperaſſe creditus ſit. hymnū etiam

B ab illo in memoriæ laudē compoſitū frequenter decātabat, in quo omnia conſumi tempore marceſſeréq; ſcribit Simonides: ipſum verò tēpus nec ſeneſcēs, nec corruptibile circa memoriā permanere. Neq. tamē quo tēpore ſilentiū tenuit ingrata aut iniucunda ſecū conuerſatio fuit, nam oculorū, & manuum motu, tum etiam capitis nutu, ad ea quæ ſibi dicebantur reſpondens non iniucundum, aut triſtem ſe præbebat: cùm alio-

C quin ſociorum amator, & placidus ſocius eſſet: propterea difficillimum ſibi fuiſſe dixit hanc viuendi rationem, quam per quinquennium integrum ſeruauit. Multa etiam dicendi occurriſſe, quæ non dixit, multa quæ iracundiam mouerint audientē quaſi non audiſſe: *multa inſuper reprehenſione digna, quaſi non animaduertentē ſuſtinuiſſe. opprobriáque in eum aliquando iacta quamuis animo dolens tacitus pertulit. Moratus

D eſt autē hoc ſilentij tempore partim in Pāphylia, partim in Cilicia; cumq. inter gentes tam molles laſciuáſq. degeret, nunquā tamē locutus eſt: ac ne minimū quidem verbum vnquam emiſit. Cū aliquando in ciuitates ſeditionib. laborātes veniſſet, multæ autē erant, quæ ſpectaculorū, & rerū minime honeſtarū cauſa diſſidebāt, accedens populū, ſéq. ipſum palā oſtentans, & quam animo conceperat ad-

* & in multis increpatione dignis, apud ſe dixiſſe, Suſtine cor & lingua.

uerſus eos dicendã obiurgationem, manu, vultúque ſignificans illorum ſedabat diſcordias. Silentium tamen non ſecus, atq; in myſteriis ſolet, inuiolatum conſeruans. Spectaculorũ enim aut equorum cauſſa diſſidentes componere, non magni laboris eſt: nam qui ob huiuſmodi leues cauſas in ſeditionem veniunt, ſi fortè virum quempiam grauem intueãtur pudore correpti, ad ſanam mentem facilè redeunt. Iterum fame oppreſſam ciuitatem non facile eſt verbis perſuadere, & eſurientum iracundiam oratione compeſcere. Attamen Apollonio etiam erga eos, qui tali incommodo premebãtur ſilentium effecit. Aſpendum enim veniens, quæ tertio loco inter Pamphyliæ ciuitates connumerata Eurymedonti fluuio adiacet, nihil niſi eruum atq; huiuſmodi legumina venalia offendit, híſq. tantum populum ſuſtentari intellexit: Quicquid enim vbiq. erat frumenti, pauci diuites, & in ciuitate potentes collectum ſeruabant, vt quo vellent precio illud populo vendere poſſent. Multitudo autem cuiuſque ſexus & ætatis aduerſus ciuitatis principem conuenerat, & iam accenſo igne viuentem ſeſe crematuros minabãtur, quamuis ipſe ad aſylum cõfugiſſet. Erat autem aſylum Tiberij, ſtatuæq. ſanctiores illis in locis venerabilioréſque quàm Iouis Olympij ſimulacrum habebantur: ita vt impietatis damnatus quidam fuerit, quòd ſeruũ ſuum verberaſſet, qui drachmam argenteam Tiberij imagine ſignatam geſtabat. Accedens autem ad ciuitatis principem obſeſſum Apollonius, quidnam hoc rei eſſet manu geſtúq; ſciſcitabatur: cumq. is iniuſtè factum à ſe nihil reſponderet, iniuſtè autem à populo cõprimi, conuerſus ad multitudinem Apollonius, ne quid temerè facerent, vtque principis excu-

A τὸν, καί τι καὶ μελλούσης ἐπιπλήξεως τῇ χειρὶ, καὶ τῷ προσώπῳ ἐνδειξάμενος, ἐξῄρητ' ἂν ἀταξία πᾶσα, καὶ ὥσπερ ἐν μυστηρίοις, ἐσιώπων. καὶ τὸ μὲν τοὺς ὀρχηστῶν τε, καὶ ἵππων ἕνεκα στασιάζειν ὡρμηκότας ἀνασχεῖν, οὔπω μέγα. οἱ γὰρ ὑπὲρ τοιούτων ἀτακτοῦντες, ἂν πρὸς ἄνδρα ἴδωσιν, ἐρυθριῶσί τε, καὶ αὑτῶν ἐπιλαμβάνονται, καὶ ῥᾷστα δὴ ἐς νοῦν
B ἥκουσι. λιμῷ δὲ πεπιεσμένην πόλιν, οὐ ῥάδιον εὐηνίῳ, καὶ πιθανῷ λόγῳ μεταδιδάξαι, καὶ ὀργῆς παῦσαι. ἀλλ' Ἀπολλωνίῳ καὶ ἡ σιωπὴ πρὸς τοὺς οὕτω διακειμένους ἤρκει. ἀφίκετο μὲν γὰρ ἐς Ἄσπενδον τὴν Παμφύλων πρὸς Εὐρυμέδοντι δὲ οἰκεῖται ποταμῷ ἡ πόλις αὕτη, τρίτη τῶν ἐκεῖ. ὄροβοι δ' ὤνιοι καὶ τὰ ἐς βρῶσιν ἀναγκαῖα, διέβο-
C σκεν αὐτούς· τὸν γὰρ σῖτον οἱ δυνατοὶ ξυγκλείσαντες εἶχον, ἵν' ἐκκαπηλευθείη τῆς χώρας. ἀνηρέθιστο δὴ ἐπὶ τὸν ἄρχοντα ἡλικία πᾶσα, καὶ πυρὸς ἐπ' αὐτὸν ἥπτοντο, καίτοι προσκείμενον τοῖς βασιλείοις ἀνδριάσιν, οἳ καὶ τοῦ Διὸς τοῦ ἐν Ὀλυμπίᾳ φοβερώτεροι τότε, καὶ ἀσυλότεροι ἦσαν, Τιβερίου γε ὄντες. ἐφ' οὗ λέγεταί τις ἀσεβῆσαι δόξαι, τυπτήσας τὸν ἑαυτοῦ δοῦλον φέ-
D ροντα δραχμὴν ἀργυρᾶν νενομισμένην ἐς Τιβέριον. προσελθὼν οὖν τῷ ἄρχοντι, ἤρετο αὐτὸν τῇ χειρὶ, ὅ,τι εἴη τοῦτο. τοῦ δὲ, ἀδικεῖν μὲν οὐδὲν φήσαντος, ἀδικεῖσθαι δὲ μετὰ τοῦ δήμου, λόγου δ' εἰ μὴ τύχοι ξυναπολεῖσθαι τῷ δήμῳ. μετεστράφη τε εἰς τοὺς περιεστηκότας ὁ Ἀπολλώ-

νιος, καὶ ἔνευσεν ὡς χρὴ ἀκοῦσαι. οἱ δὲ, οὐ μόνον ἐσιώπησαν ὑπὸ ἐκπλήξεως τῆς πρὸς αὐτὸν, ἀλλὰ καὶ τὸ πῦρ ἔθεντο ἐπὶ τὸν βωμὸν τὸν αὐτόθι. ἀναθαῤῥήσας οὖν ὁ ἄρχων, ὁ δεῖνα, ἔφη, καὶ ὁ δεῖνα, πλείους εἰπὼν τοῦ λιμοῦ τοῦ καθεστηκότος αἴτιοι. τὸν γὰρ σῖτον ἀπολαβόντες φυλάττουσι, καὶ ἄλλος ἄλλο τῆς χώρας. διακελευομένων δὲ τῶν Ἀσπενδίων ἀλλήλοις ἐπὶ τοὺς ἀγροὺς φοιτᾶν, ἀνένευσεν ὁ Ἀπολλώνιος μὴ πράττειν τοῦτο, μετακαλεῖν δὲ μᾶλλον τοὺς ἐν τῇ αἰτίᾳ, καὶ παρ᾽ ἑκόντων εὑρέσθαι τὸν σῖτον. ἀφικομένων δὲ, μικρὸν μὲν ἐδέησε καὶ φωνὴν ἐπ᾽ αὐτοῖς ῥῆξαι, παθόντι πρὸς τὰ τῶν πολλῶν δάκρυα. καὶ γὰρ παιδία ξυνεῤῥυήκει, καὶ γύναια· καὶ ὀλοφύροντο οἱ γεγηρακότες, ὡς αὐτίκα δὴ ἀποθανούμενοι λιμῷ. τιμῶν δὲ τὸ τῆς σιωπῆς δόγμα, γράφει ἐς γραμματεῖον ἐπίπληξιν, καὶ δίδωσιν ἀναγνῶναι τῷ ἄρχοντι. ἡ δὲ ἐπίπληξις, ὧδε εἶχεν.

A ſationes audirét nutibus admonuit. Illi autem viri tanto timore perciti, ac ſtupore, non modo ſilentium tenuere, verumetiã ignem quem ferebant in proximã aram depoſuerunt Confiſus igitur princeps, Is, inquit, & ille, plures ciues nomine appellans, pręſentis famis cauſa fuere, qui collectum ex finitimis regionibus frumẽtum, clauſum detinent. His auditis Aſpendij, cùm eorum villas prædatum B iri oportere clamitarent, vix cõtineri ab Apollonio potuerunt, qui oſtẽdebat melius eſſe, ſi eorum ſpõte frumentum ab eiſdem poſſent accipere. Itaq. illis ad ſe vocatis parum abfuit, quin inſtitutum ſilentij conſilium omitteret, vt illis quod volebat, oratione ſuaderet. Mouebatur enim vehementiùs puerorum mulierúmque lachrymis, necnon etiam ſeniorum, qui ſuam deplorantes calamitatem, C paulò pòſt fame ſibi pereundum eſſe querebantur. Verùm Apollonius taciturnitatis propoſitum retinens, in tabulis obiurgationem aduerſus fruméti collectores huiuſmodi ſcripſit, quam & legendam principi dedit.

Epiſtola Apollonij ad frumentarios mercatores. Deinde finito ſilentij tempore vt Antiochiam ſe contulerit. Déque templo Daphnai Apollinis, & Daphne, & magno ad eum concurſu Aſſyriorum. Inde præcepta ad diſcipulos, & quid illis faciendum tota die. Cap. XII.

ΑΠΟΛΛΩΝΙΟΣ ΣΙΤΟκαπήλοις Ἀσπενδίων.

Ἡ Γῆ πάντων μήτηρ. δικαία γάρ. ὑμεῖς δὲ ἄδικοι ὄντες, πεποίησθε αὐτὴν αὐτῶν μόνων μητέρα. καὶ εἰ μὴ παύσεσθε, οὐκ ἐάσω ὑμᾶς ἐπ᾽ αὐτῆς ἑστάναι. Ταῦτα δείσαντες, ἐνέπλησαν τὴν ἀγορὰν σίτου, καὶ ἀνεβίω

APOLLONIVS FRVMENTI cauponibus Aſpendiis S.

TERRA communis omniũ mater eſt, propterea quòd iuſta eſt: vos autẽ iniuſti eſtis, qui veſtri duntaxat matrem eam eſſe voluiſtis. quod niſi ab huiuſmodi incœpto deſtiteritis, diutius in ea vos permanere nõ ſinam. His minis ac rationibus moti frumenti mercatores, totum forum fruméto compleuerunt, ex quo

populus vniuerſus quaſi reuixit. His peractis Apollonius ſilentij tempore iam finito Antiochiam venit, quæ magna cognominatur: & Apollinis Daphnæi templum intrauit, cui Arcadicam fabulam Aſſyrij tribuunt. Daphnen Ladonis fluminis filiam illic natam aſſerentes: & fluit quidem apud ipſos fluuius quē Ladonem appellant: & maximè omnium arborū laurum colūt ob memoriā (vt aiunt) virginis Daphnes. Cupreſſos etiā immenſæ proceritatis, circa templum & fontes aquis vberes ac tacitos regio profert: in iis Apollinem lauari conſuetum perhibent: & cupreſſos ob memoriam Cypariſſi adoleſcētis Aſſyrij in eam arborem conuerſi ibidem ſeruari ferunt indigenæ. & profectò arborum pulchritudo tranſmutationi fidem facere videtur. Sed nimis fortaſſe iuueniles ſermones attingere videor, qui fabuloſa hæc operi inſeram: quòd ego propterea feci, vt ad ea quæ ſum dicturus aditum præparem. Apollonius enim templū & natura, & tanto opere gratioſum conſpicatur ab hominibus coli ſemibarbaris, nullis bonis artibus deditis, & ab omni politione & elegantia abhorrentibus: Apollo, inquit, rectè mutos homines conuertit in arbores, vt ſaltem ſicut cupreſſi iſtæ ventorum flatib. reſonarent. Poſtea fontes animaduertens quietos, nec vllum omnino ſtrepitum reddentes; muteſcendi, inquit, conſuetudo plurima, quæ hîc ſeruatur, ne fontes quidem obſtrepere ſinit. Ladonem verò aſpiciens, non ſolùm, inquit, filia tua in aliam formam cōuerſa eſt, verum etiam, & tu ipſe, qui ex Græco & Arcade in Aſſyrium mutatus es. Poſtquā verò indigenæ ad eum loquendi gratia conuenerunt, ineptos ipſorum

A ἡ πόλις. ἐπεφοίτησε καὶ Ἀντιοχείᾳ τῇ μεγάλῃ, πεπαυμένος τοῦ σιωπᾶν· καὶ παρῆλθεν ἐς τὸ ἱερὸν τοῦ Δαφναίου Ἀπόλλωνος, ᾧ περιάπτουσιν Ἀσσύριοι τὸν μῦθον τὸν Ἀρκάδα. τὴν γὰρ τοῦ Λάδωνος Δάφνην, ἐκεῖ * μεταφῦναι λέγουσι. καὶ ποταμὸς αὐτοῖς ῥεῖ Λάδων, καὶ φυτὸν τιμᾶται παρ' αὐτοῖς δάφνης· τοῦτο δὴ τὸ ἀντὶ τῆς παρθένου, κυπαρίττων

B τε ὕψη ἀμήχανα περιέστηκε κύκλῳ τὸ ἱερόν, καὶ πηγὰς ἐκδίδωσιν ὁ χῶρος ἀφθόνους τε, καὶ ἠρεμούσας, αἷς τὸν Ἀπόλλω φασὶ ῥαίνεσθαι. ἐνταῦθα κυπαρίττου τε ἔρνος ἡ γῆ ἀναδέδωκεν, ἐπὶ Κυπαρίττῳ φασὶν ἐφήβῳ Ἀσσυρίῳ· καὶ πιστοῦται τὴν μεταβολὴν ἡ ὥρα τοῦ φυτοῦ. καὶ ἴσως νεανικώτερον ἅπτεσθαι δοκῶ

C τοῦ λόγου, διαμυθολογῶν τὰ τοιαῦτα. ἀλλ' οὐχ ὑπὲρ μυθολογίας ταῦτα. τί δέ μοι ὁ λόγος βούλεται; ὁ Ἀπολλώνιος ἰδὼν τὸ ἱερὸν χάριεν μὲν, σπουδὴν δὲ ἐν αὐτῷ οὐδεμίαν, ἀλλ' ἀνθρώποις ἡμιβαρβάροις, καὶ ἀμούσοις, Ἄπολλον ἔφη, μετάβαλε τοὺς ἀφώνους εἰς δένδρα, ἵνα κἂν ὡς κυπάριττοι ἠχῶσι· τὰς δὲ πηγὰς

D ἐπισκεψάμενος ὡς γαλήνην ἄγουσι, καὶ κελαρύζει σφῶν οὐδεμία, ἡ ἀφωνία εἶπεν ἡ ἐνταῦθα, οὐδὲ ταῖς πηγαῖς ξυγχωρεῖ φθέγγεσθαι. πρὸς δὲ τὸν Λάδωνα ἰδὼν, οὐχ ἡ θυγάτηρ, ἔφη, σοὶ μόνη μετέβαλεν, ἀλλὰ καὶ σὺ, τῷ δόξαι βάρβαρος ἐξ Ἕλληνός τε, καὶ Ἀρκάδος. ἐπεὶ δὲ ἔγνω διαλέγεσθαι, τὰ μὲν ἀμιλλούμενα

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

in. ἠθῶν, τῶν *χωρείων, καὶ ἀτακτοῦντα, παρῃτεῖτο, φήσας οὐκ ἀνθρώπων ἑαυτῷ δεῖν, ἀλλὰ ἀνδρῶν· τὰ δὲ σεμνότερα ἐσεφοίτα, καὶ ᾤκει τῶν ἱερῶν τὰ μὴ κληϊστά. ἡλίου μὲν δὴ ἀνίσχοντος, ἐφ' ἑαυτοῦ τινα ἔπραττεν, ἃ μόνοις ἐποίει δῆλα, τοῖς ἐτῶν τεττάρων σιωπὴν γεγυμνασμένοις. τὸν δὲ μετὰ ταῦτα καιρόν, εἰ μὲν Ἑλλὰς ἡ πόλις εἴη, καὶ τὰ ἱερὰ γνώριμα, συγκαλῶν ἂν τοὺς ἱερέας, ἐφιλοσόφει περὶ τῶν θεῶν καὶ διωρθοῦτο αὐτούς, εἴ πη τῶν νομιζομένων ἐξαλλάττοιεν. εἰ δὲ βάρβαρά τε, καὶ ἰδιότροπα εἴη, διεμάνθανε τοὺς ἱδρυσαμένους αὐτά, καὶ ἐφ' ὅτῳ ἱδρύθη. πυθόμενός τε ὅπῃ θεραπεύεται ταῦτα, καὶ ὑποθέμενος εἴ τι σοφώτερον τοῦ δρωμένου ἐνθυμηθείη, μετῄει ἐπὶ τοὺς ὁμιλητάς, καὶ ἐκέλευεν ἐρωτᾶν, ἃ βούλονται. ἔφασκε γὰρ χρῆναι τοὺς οὕτω φιλοσοφοῦντας ἠοῦς μὲν ἀρχομένης, ξυνεῖναι θεοῖς· προϊούσης δὲ περὶ θεῶν· *τὸν δὲ μετὰ ταῦτα καιρόν, ἀνθρωπείων πέρι τὰς ξυνουσίας ποιεῖσθαι. εἰπὼν δ' ἂν πρὸς τοὺς ἑταίρους ὁπόσα ἠρώτων, καὶ ἱκανῶς τῆς τοιαύτης ξυνουσίας ἔχων, ἐπὶ τὴν διάλεξιν ἀνίστατο λοιπὸν τὴν ἐς πάντας, οὐ πρὸ μεσημβρίας, ἀλλ' ὁπότε ἡμέρα μάλιστα ἑστήκοι. καὶ διαλεχθεὶς ἂν ὡς ἀποχρῆν ᾤετο, ἠλείφετό τε, καὶ τριψάμενος, ἵει ἑαυτὸν ἐς ὕδωρ ψυχρόν, γῆρας ἀνθρώπων καλῶν τὰ βαλανεῖα. τῆς γοῦν Ἀντιοχείας ἀποκλεισθείσης ἐς αὐτὰ ἐπὶ μεγάλοις ἁμαρτήμασιν, ἔδωκεν ὑμῖν, ἔφη, ὁ βασιλεὺς κακοῖς οὖσι, βιῶναι πλείονα ἔτη. Ἐφε-

A mores*, & incompoſitos intuens pleroſque à ſe amouit, inquiens, non hominibus, ſed viris opus ſibi eſſe. quos verò ſedatiores, magíſque compoſitis moribus intuebatur, admittebat ad colloquium, & cum ſacerdotibus habitabat: & oriente ſole ſacra quædam in occultum faciebat, quæ ſolùm illis quatuor communicabat qui ſecum in ſilentio ſe exercuerant. reliquum verò temporis ſi fortè in Græca ciuitate verB ſari contigiſſet, vbi conſueta ſacra, ſibíque nota celebrarentur, cùm templorum ſacerdotibus de diis, ac de ſacris diſputans philoſophabatur, eorum errores ſi qui eſſent emendans. Sin verò in barbaram, & à rectis moribus alienam ciuitatem veniſſet, quinam morum & & ſacrorum fuiſſent auctores, & quandiu in ea diſciplina manſiſſent ſciſcitatus, ſi quid erat in melius mutatu facile, perſuadere illis coC nabatur. Diſcipulos deinde ſuos, ſi quid vellent, iubebat interrogare, aiebátque oportere qui rectè philoſophatur, adueniente aurora cum diis verſari, procedente autem die de diis loqui, reliquum verò tempus humanis rebus & ſermonibus impendere. Cúmque ad omnia reſpondiſſet quæ à domeſticis fuiſſet interrogatus, reliquis omnibus ſe adeundi facultatem præbebat: nunquam tamen ante meridiem, ſed D poſtquam iam declinare cœpiſſet, inde quòd ſatis viſum eſſet cum illis locutus ſecedebat ad balneum aquæ frigidæ, ſenectam hominum balnea calida appellans: quibus incluſi Antiochenſes, cùm vitiis maximis indulgerent, vobis, inquit Apollonius, cùm praui ſitis longos annos viuere rex conceſſit. Ephe-

ſiis verò balneorum principem lapi- A dibus cedere volentibus, propterea quòd balnea non calefeciſſet, vos, inquit Apollonius balneorum principem accuſatis, quia male lauamini, ego autem vos quia lauamini.

A σίων δὲ βουλομένων καταλιθῶσαι τὸν ἄρχοντα ἐπὶ τῷ μὴ ἐκπυροῦν τὰ βαλανεῖα, ὑμεῖς μὲν, ἔφη, τὸν ἄρχοντα αἰτιᾶσθε, ἐπειδὴ πονηρῶς λοῦσθε. ἐγὼ δὲ ὑμᾶς, ὅτι λοῦσθε.

Quo dicendi genere vſus Apollonius fuerit, quódque interroganti dialectico reſponderit. Déq; diſceſſu eius ex Antiochia ad Indos, & quòd ad Ninum vrbem peruenerit, inibíq. Damidem inuenerit, qui Apollonium admiratus ſecutus eſt perpetuus comes, omnia illius dicta factáque literis accuratè commendaturus. Cap. XIII.

VTEBATVR dicendi genere B non dithyrambico, aut poëticis nominibus intumeſcente, nec rurſus nimis demiſſo, & conſuetudinem Atticam excedente. iniucundam enim putabat orationem, quæ ab Attica mediocritate decederet. Ironia autem vtentem nemo audiuit, nec etiam inter diſcipulos ambulantem: ſed tanquam ex oraculo procedebant ſermones eius: aiebátque: hoc ſcio; aut, ita cenſeo; quorſum hæc? aut, ſcire oportet: aut a- C lios dicendi modos ſeruabat. Sententiæ illius breues & adamantinæ. Nominib. autem vtebatur propriis, atque ad res ipſas natis, & quæ ab eo proferebantur dignitatem quandam velut à rege aut principe dicta præ ſe ferebant. Interroganti quandoque dialectico quodam, cur ipſe nunquã aliquid quæreret? quoniam, inquit, cùm eſſem adoleſcens D ſatis multa quæſiui, nunc autem non quærere, ſed inuenta docere opus eſt. Alij rurſus interroganti quo nam pacto deceret ſapientem loqui? non aliter quàm legumlatores, inquit Apollonius: oportet enim legumlatorem quæ ſibi ipſi antea perſuaſit, eadem aliis facienda imperare. Hactenus quæ ab ipſo Antiochiæ geſta ſunt dixiſſe ſufficiat, quibus homines ab omni doctrina

B Λόγων δὲ ἰδέαν ἐπήσκησεν, οὐ διθυραμβώδη, καὶ φλεγμαίνουσαν ποιητικοῖς ὀνόμασιν, οὐδ' αὖ κατεγλωττισμένην, καὶ ὑπεραττικίζουσαν· ἀηδὲς γὰρ τὸ ὑπὲρ τὴν μετρίαν Ἀτθίδα ἡγεῖτο, οὐδὲ λεπτολογίᾳ ἐδίδου, οὐδὲ διῆγε τοὺς λόγους, οὐδὲ εἰρωνευομένου τις ἤκουσεν, ἢ περιπατοῦντος ἐς τοὺς ἀκροωμένους· ἀλλ' ὥσπερ ἐκ τρίποδος ὅτε διαλέγοιτο, οἶδα ἔ- C λεγε, καὶ δοκεῖ μοι, καὶ ποῖ φέρεσθε, καὶ χρὴ εἰδέναι, καὶ αἱ δόξαι βραχεῖαι, καὶ ἀδαμάντινοι, κύριά τε ὀνόματα, καὶ προσπεφυκότα τοῖς πράγμασι. καὶ τὰ λεγόμενα, ἠχὼ εἶχεν, ὥσπερ ἀπὸ σκήπτρου θεμιστευόμενα. ἐρομένου δὲ αὐτὸν τῶν στενολεσχούντων τινὸς, ὅτου ἕνεκα οὐ ζητοίη, ὅτι, ἔφη, μει- D ράκιον ὢν, ἐζήτησα· νῦν δὲ οὐ χρὴ ζητεῖν, ἀλλὰ διδάσκειν, ἃ εὕρηκα. πῶς οὖν Ἀπολλώνιε διαλέξεται ὁ σοφὸς, πάλιν ἐπερομένου αὐτὸν, ὡς νομοθέτης ἔφη. δεῖ γὰρ τὸν νομοθέτην, ἃ πέπεικεν ἑαυτὸν, ταῦτα ἐπιτάγματα ἐς τοὺς πολλοὺς ποιεῖσθαι. ὧδε αὐτῷ τὰ ἐν Ἀντιοχείᾳ ἐσπουδάζετο, καὶ ἐπέστρεφεν εἰς αὐτὸν ἀνθρώπους

A ἀμουσοτάτους. μετὰ δὲ ταῦτα λογισμὸν
ἑαυτῷ διδοὺς ἀποδημίας μείζονος,
ἐνεθυμεῖτο.* τὸ Ἰνδικὸν ἔθνος, καὶ
τοὺς ἐν αὐτῷ σοφούς, οἳ λέγονται
Βραχμᾶνές τε, καὶ Ὑρκάνιοι εἶναι,
προσήκειν φήσας νέῳ ἀνδρὶ ἀποδη-
μεῖν τε καὶ ὑπερορίῳ αἴρεσθαι. εὕ-
ρημα δὲ καὶ τοὺς μάγους ἐποιεῖτο,
οἳ Βαβυλῶνα καὶ Σοῦσα οἰκοῦσι.
B καὶ γὰρ ἂν τἀκείνων διαμαθεῖν * ὁδῷ
χρώμενος· καὶ πρὸς τοὺς ὁμιλη-
τὰς ἑπτὰ ὄντας, ἀνέφηνε τὴν γνώ-
μην. πειρωμένων δὲ αὐτὸν ξυμ-
βουλεύειν ἕτερα, εἴπη ἀφελχθείη τῆς
ὁρμῆς ταύτης, ἐγὼ μὲν θεοῖς, ἔφη,
συμβούλοις πεποίημαι, καὶ τὰ δε-
δογμένα εἴρηκα· ὑμῶν δὲ βάσανον
ἐποιούμην, εἰ πρὸς ἅπερ ἐγώ, ἔρ-
ρωσθε. ἐπεὶ τοίνυν μαλακῶς ἔχετε,
C ὑμεῖς μὲν ὑγιαίνετε, ἔφη, καὶ φι-
λοσοφεῖτε· ἐμοὶ δὲ βαδιστέα, οἷ σο-
φία τε, καὶ δαίμων με ἄγει. ταῦτα
εἰπὼν, ἐξελαύνει τῆς Ἀντιοχείας μετὰ
δυοῖν θεραπόντοιν, οἵπερ αὐτῷ πα-
τρικὼ ἤστην, ὁ μὲν, ἐς τάχος γρά-
φων, ὁ δὲ, ἐς κάλλος. καὶ ἀφι-
κνεῖται εἰς τὴν ἀρχαίαν Νῖνον, ἐν
ᾗ ἄγαλμα ἵδρυται τρόπον βάρβαρον.
D ἔστι δὲ ἄρα Ἰὼ ἡ Ἰνάχου· καὶ κέρατα τῶν
κροτάφων ἐκκρούει μικρὰ, καὶ οἷον μέλ-
λοντα. ἐνταῦθα διατρίβοντι, καὶ πλείω
ξυνιέντι περὶ τοῦ ἀγάλματος, ἢ οἱ ἱερεῖς
καὶ προφῆται, προσφοιτήσας Δάμις
ὁ Νῖνος, ὃν κατ' ἀρχὰς ἔφην ξυν-
αποδημῆσαί οἱ, καὶ ξυνέμπορον γενέσθαι
τῆς φιλοσοφίας πάσης, καὶ πολλὰ τοῦ ἀν-
δρὸς διασώσασθαι. ὃς ἀγασθεὶς αὐτόν,

A abhorrentes, in ſui admirationem
conuertit. Poſt hæc longioris pere-
grinationis ſuſcipiendæ, & ad In-
dos proficiſcendi cogitatio ſubiit:
vt qui ibi ſunt ſapientes intueretur,
quos Brachmanas & Hyrcanios ap-
pellant. Aiebátque adoleſcenti ma-
ximè conuenire, vt quàm longiſſi-
mè *à patriæ finibus peregrinaretur*. Co-
gitabat etiam Magos conuenire, qui
Babyloniam ac Suſas incolunt, mul-
ta enim ab iis diſcere *obiter* ſpera-
B bat: itaque diſcipulis, qui ſeptem
erant, conſilium aperuit, qui cùm
ſibi alia agenda ſuaderent, quæ
mentem à propoſito diſtraherent;
Ego, inquit, deos adhibui conſul-
tores, & ab his doctus quæ mihi
viſa ſunt vobis patefeci, veſtram
experiri cupiens voluntatem, num
eadem, quæ ego tolerare poſſetis:
vbi igitur vos molliores comperi, va-
lebitis, & ſanitati & philoſophiæ
C dabitis operam, ego autem eò pro-
ficiſcar, quò me ſapientia, & dæmon
ducent. Hæc dicens Antiochia diſ-
ceſſit, duobus tantùm famulis com-
patriotis ſuis comitatus, quorum al-
ter velocitate, alter pulchritudine
ſcribendi, excellebat. cum his pro-
fectus antiquam Ninum peruenit:
vbi ſtatuam barbaro more poſitam
conſpexit. Eſt autem Io Inachi filia,
cui ab vtroque tempore parua, &
quaſi mox excretura prominent cor-
D nua: admiranti igitur ſtatuam, & plu-
ra quàm illorum prophetæ aut ſa-
cerdotes ſuper tali imagine cogitan-
ti, Damis ex ea ciuitate ortus ſuper-
uenit. Hic eſt, quem in operis princi-
pio diximus peregrinationis & phi-
loſophiæ comitem Apollonio fuiſ-
ſe, & eius multa non ſolùm facta,
verumetiam dicta literis mandaſſe.
Is poſtquam viri cõditionem & mo-
res, & quò illuc veniſſet conſilio in-
tellexit, viri & peregrinationis amore
captus,

captus, comitem illi ſe futurum pollicitus eſt. Ibimus, inquiens, Apolloni, & tu quidem deo, ego autem te duce vtar, neque me vt arbitror parui exiſtimabis: quanquam enim rebus aliis ſum fortaſſe rudior, in hoc certè plurimùm valeo, quod iter Babyloniã ducens optimè noui, quinetiam ciuitates vicóſque omnes *in quibus commoda multa ſunt*, perfectè ſcio, non multò antea illinc reuerſus. Linguas præterea barbarorum, quæ multiplices variæque ſunt, vt pote Armeniorum, Medorum, Perſarum, Caduſiorum omnes intelligere & egregiè proferre poſſum. Ego quoque, ô amice, inquit Apollonius, has omnes noui, cùm nullam tamen didicerim. Illo autem vehementiùs admirante, noli, inquit, mirari, ſi omnes hominum linguas intelligere ſum profeſſus: nam & quæ taciti intra ſe homines cogitant etiam percipio. Hæc audiens Aſſyrius, quaſi dæmonem illum intuitus venerabatur: & tunc ſeſe in diſciplinam tradidit, omnia eius dicta memoriæ mandans. Erat Aſſyrio eloquium quidem mediocris, ſcribenti verò elegantia nulla, vt pote qui inter Barbaros eſſet inſtitutus: quæ autem quotidie agerentur, & familiariũ dicta, factáque quæcunque vidiſſet, aut audiſſet figurare, & in commentarios redigere ſatis commodè poterat, in eóque maximè ſe exercuerat: quod libellus * ab eo compoſitus ſatis declarat, vbi nihil eorum quæ ab Apollonio dicta, factáve fuerunt, ſe ignoraſſe demonſtrat: adeò vt etiam minima collegiſſe ſatis conſtet. in quo non alienum videtur referre, quod cuidam tale eius ſtudiũ accuſanti reſpondit. Erat vir quidam ocioſus & inuidus, qui cætera quidem ab eo ſcripta bene rectéque

* Religioſarũ menſa. Ath. l. vii.

A καὶ ζηλώσας τῆς ὁδοῦ, ἴωμεν, ἔφη, Ἀπολλώνιε, σὺ μὲν θεῷ ἑπόμενος· ἐγὼ δὲ σοί. καὶ γάρ με καὶ πολλοῦ ἄξιον εὕροις ἄν. εἰ μὲν ἄλλο τι οὐκ οἶδα, τὸ δ' οὖν εἰς Βαβυλῶνα ἄγον, πόλεις τε ὁπόσαι εἰσὶν, οἶδα ἀνελθὼν οὐ πάλαι, καὶ κώμας, ἐν αἷς πολλὰ ἀγαθά. καὶ μὴν καὶ τὰς φωνὰς τῶν βαρβάρων, ὁπόσαι εἰσίν· εἰσὶ δὲ, ἄλλη

B μὲν Ἀρμενίων, ἄλλη δὲ Μήδων τε, καὶ Περσῶν, ἄλλη δὲ Καδουσίων· μεταλαμβάνω πάσας. ἐγὼ δὲ εἶπεν, ὦ ἑταῖρε, πασῶν ξυνίημι, μαθὼν οὐδεμίαν. θαυμάσαντος δὲ τοῦ Νίνου, μὴ θαυμάσῃς εἶπεν, εἰ πάσας οἶδα φωνὰς ἀνθρώπων· οἶδα γὰρ δὴ καὶ ὅσα σιωπῶσιν ἄνθρωποι. ὁ μὲν δὴ Ἀσσύριος,

C προσηύξατο αὐτὸν, ὡς ταῦτα ἤκουσε, καὶ ὥσπερ δαίμονα ἔβλεπε. συνῆν τε αὐτῷ ἐπιδιδοὺς τὴν σοφίαν, καὶ ὅ,τι μάθοι μνημονεύων· φωνὴ δὲ ἦν τῷ Ἀσσυρίῳ, ξυμμέτρως πράττουσα· τὸ γὰρ λογοειδὲς οὐκ εἶχεν, ἅτε παιδευθεὶς ἐν βαρβάροις. διατριβὴν δὲ ἀναγράψαι, καὶ συνουσίαν, καὶ ὅ,τι ἤκουσεν, ἢ εἶδεν, ἀνα-

D τυπῶσαι, καὶ ὑπόμνημα τῶν τοιούτων ξυνθεῖναι, σφόδρα ἱκανὸς ἦν, καὶ ἐπετήδευε τοῦτο ἄριστα ἀνθρώπων. ἡ γοῦν δέλτος ἡ τῶν * ἐκφατνισμάτων, τοιοῦτον τῷ Δάμιδι νοῦν εἶχεν. ὁ Δάμις ἐβούλετο μηδὲν τῶν Ἀπολλωνίου ἀγνοεῖσθαι· ἀλλ' εἴ τι καὶ παρεφθέγξατο, ἢ εἶπεν, ἀναγεγράφθαι καὶ τοῦτο. καὶ ἄξιόν γε εἰπεῖν, ἃ καὶ πρὸς τὸν μεμψάμενον τὴν διατριβὴν ταύτην ἀπεφθέγξατο. διασύροντος γὰρ αὐτὸν ἀνθρώπου ῥαθύμου τε καὶ βασκάνου, καὶ τὰ μὲν ἄλλα ὀρθῶς ἀναγρά-

fluuij tenēt; earúmq. magna pars ſedib. incertis vagatur: *Ita ſe inſulares eſſe cenſent. adeò vt in mare deſcendere dicitent, quando vadunt ad flumina; ac terræ limitem faciant fluuiorum ambitum.* Flumina enim vbi eam, quam diximus, continentis partem ambierunt, in idem mare decurrunt. Sunt qui dicunt in paludem quandam partem maximam Euphratis abſorberi, ita vt ad mare non perueniat, ſed in terra curſus ſui finem nanciſcatur. Quidam & audaciùs de eo loquentes aſſerunt ipſum, cùm diutiùs ſub terra fluxerit, rurſus in Ægypto apparere, & Nilo commiſceri. Hæc autem propterea retuli, ne quid eorum omitterem quæ à Damide ſcripta eſſent, & vt ſimul oſtenderem, qualia *fuerint eius acta* apud Barbaros. cúmq. ad maiora mirabilioráque feſtinet oratio, duo tamen hoc loco non prætermittenda iudicaui: primum eſt, vt oſtendam quanta fuerit Apollonius fortitudine, qua fretus Barbaras gentes, & latrociniis infeſtas regiones peragrauit, quæ nondum Romanorum ditioni parebant: Alterum eſt quanta fuerit eius ſapientia, per quam Arabum more voces brutorum animalium cognoſcere aſſueuit. hoc autem didicit, cùm Arabiam peragraret. Arabes enim ab auibus, non ſecus atque ab *oraculis*, quæ ventura ſunt auguria captant: id autem aſſequuntur (vt aiunt) draconum corde aut hepate in cibis aſſumpto.

σαντες οἱ ποταμοὶ ἔχουσιν· ὧν* καὶ νομάδες οἱ πλεῖστοι στείχουσιν· οὕτω τι* νησιώτας ἑαυτοὺς νομίζοντες· ὡς ἐπὶ [ἴσ. τι ν.] θάλατταν μὲν* καταβαίνειν φάσκειν, ὅτ᾽ [ἴσ. τι κ.] ἐπὶ τοὺς ποταμοὺς βαδίζοιεν, ὅρον δὲ ποιεῖσθαι τῆς γῆς, τὸν τῶν ποταμῶν κύκλον. ἀποτορνεύσαντες γὰρ τὴν προειρημένην ἤπειρον, ἐπὶ τὴν αὐτὴν ἵενται θάλατταν. εἰσὶ δ᾽ οἵ φασιν ἐς ἕλος ἀφανίζεσθαι τὸ πολὺ τοῦ Εὐφράτου, καὶ τελευτᾶν τὸν ποταμὸν τοῦτον ἐν τῇ γῇ. λόγου δ᾽ ἔνιοι θρασυτέρου ἐφάπτονται, φάσκοντες αὐτὸν ὑπὸ τῇ γῇ ῥέοντα, εἰς Αἴγυπτόν τε ἀναφαίνεσθαι, καὶ Νείλῳ συγκεράννυσθαι. ἀκριβολογίας μὲν δὴ ἕνεκα, καὶ τοῦ μηδὲν παραλελεῖφθαί μοι τῶν ἐσγεγραμμένων ὑπὸ τοῦ Δάμιδος, ἐβουλόμην ἂν καὶ τὰ διὰ τῶν βαρβάρων τούτων σπουδασθέντα εἰπεῖν. ξυνελαύνει δὲ ἡμᾶς ὁ λόγος ἐς τὰ μείζω τε, καὶ θαυμασιώτερα· οὐ μὴν ὡς δυοῖν γε ἀμελεῖται τούτοιν τῆς τε ἀνδρείας, ᾗ χρώμενος ὁ Ἀπολλώνιος, διεπορεύθη βάρβαρα ἔθνη, καὶ ληστρικά, οὐδ᾽ ὑπὸ Ῥωμαίοις πω ὄντα, τῆς τε σοφίας, ᾗ τὸν Ἀράβιον τρόπον ἐς ξύνεσιν τῆς τῶν ζώων φωνῆς ἦλθεν. ἔμαθε δὲ τοῦτο, διὰ τουτωνὶ τῶν Ἀραβίων πορευόμενος, ἄριστα γινωσκόντων τε αὐτὸ, καὶ πραττόντων. ἔστι γὰρ τῶν Ἀραβίων ἤδη κοινὸν, καὶ τὸ ὀρνίθων ἀκούειν μαντευομένων ὁπόσα οἱ χρησμοί. ξυμβάλλονται δὲ τῶν ἀλόγων, σιτούμενοι τῶν δρακόντων, οἱ μὲν, καρδίαν φασίν· οἱ δὲ, ἧπαρ.

Apollonium Cteſiphonte relicta in Babylonis fines perueniſſe: quidque Satrapæ inibi cuſtodi, quiſnam eſſet, & vnde veniret interroganti, reſponderit: Inde Satrapæ amicum factum, theſaurum ab eo oblatum, & reliqua munera, præter panem & olera, renuiſſe. Cap. XV.

Κτησιφῶντα δὲ ὑπερβαλὼν, καὶ παρελθὼν ἐς τὰ Βαβυλῶνος ὅρια, φρουρὰ μὲν αὐτόθι ἦν ἐκ βασιλέως, ἣν οὐκ ἂν παρῆλθέ τις μὴ ἐρωτηθεὶς ἑαυτόν τε, καὶ πόλιν, καὶ ἐφ᾽ ὅ,τι ἥκοι. σατράπης δὲ τῇ φρουρᾷ ταύτῃ ἐτέτακτο, βασιλέως τις, οἶμαι, ὀφθαλμός· ὁ γὰρ Μῆδος, ἄρτι ἐς τὸ ἄρχειν ἥκων, οὐ ξυνεχώρει ἑαυτῷ ἀδεῶς ζῆν. ἀλλὰ ὄντα τε, καὶ οὐκ ὄντα δεδιὼς, ἐς φόβους κατεπεπτώκει, καὶ πτοίας. ἄγονται τοίνυν παρὰ τὸν σατράπην, Ἀπολλώνιός τε, καὶ οἱ ἀμφ᾽ αὐτόν. ὁ δὲ ἔτυχε μὲν σκηνὴν ἐφ᾽ ἁρμαμάξης πεποιημένος, καὶ ἐξελαύνων ποι. ἰδὼν δὲ ἄνδρα αὐχμοῦ πλέων, ἀνέκραγέ τε ὥσπερ τὰ δειλὰ τῶν γυναίων, καὶ ξυνεκαλύψατο. μόγις τε ἀναβλέψας εἰς αὐτὸν, πόθεν ἡμῖν ἐπιπεμφθεὶς ἥκεις, οἷον δαίμονα ἤρετο. ὁ δὲ, ὑπ᾽ ἐμαυτοῦ, ἔφη, εἴ πη καὶ ἄκοντες, ἄνδρες γένοισθε. πάλιν ἤρετο, ὅς τις ὢν ἐσφοιτᾷ τὴν βασιλέως χώραν. ὁ δὲ, ἐμὴ, ἔφη, πᾶσα γῆ, καὶ ἀνεῖταί μοι δι᾽ αὐτῆς πορεύεσθαι. τοῦ δὲ, βασανιῶ σε εἰπόντος εἰ μὴ λέγοις· εἰ* γὰρ ταῖς αὐτοῦ χερσὶν, εἶπεν, ὡς αὐτὸς βασανισθείης, θιγὼν ἀνδρός. ἐκπλαγεὶς δὲ αὐτὸν ὁ εὐνοῦχος, ἐπεὶ μηδὲ ἑρμηνέως ἑώρα δεόμενον, ἀλλ᾽ ὑπολαμβάνοντα τὴν φωνὴν,

A Post hæc Apollonius Cteſiphōtem ingreſſus, in Babylonis fines peruenit: erant autem ibidem à rege cuſtodes poſiti, qui neminem regionem intrare ſinerent, niſi prius quiſnam, & vnde eſſet, & quam ob cauſam in ea loca perueniſſet, interrogarent. Satrapa autem huic cuſtodiæ præfectus erat, ex iis vnus qui regis oculi ſolēt appellari. Medus enim principatū nuper adeptus eum
B ſine timore degere non ſinebat: ſed vera ſimul & falſa formidans, *in pauores & tremores inciderat*. Apollonius itaque & eius comites ad Satrapam deducuntur. is fortè iter aliquo facturus, tentorium ſupra currum panibus onuſtum imponendum curabat. Videns autem virum ſqualidum, & macilentum, exclamauit, ceu mulierculæ *formidoloſæ* facere ſolent; & faciem operit. vix
C deinde illum reſpiciens, vnde miſſus ad nos veniſti interrogauit. Apollonius verò, à me ipſo, reſpondit. tum Satrapa ſponte ne an inuiti veniſſent, interrogauit, & ſimul apertè dicere imperauit, quinam eſſent qui regis fines intraſſent. cui Apollonius, mea eſt, inquit, vniuerſa terra, propterea quocunque libuerit, pergēdi facultas datur. Cúmque Satrapa tormenta adhibiturum
D minaretur, niſi apertè ad ea, quæ interrogauerat reſpondiſſet: per Iouem, inquit Apollonius, propriis manibus tuis pœnas lues, ſi fortè me attigeris. His verbis ſtupefactus eunuchus, quando illum interprete non egere, ſed propria voce loquentem & reſpondentem animaduertit,

humaniùs placidiúſq. intuens, voce etiam paulò ſubmiſſiore locutus. Per deum, inquit, dicas rogo, quiſnam ſis. Cui reſpondens Apollonius, inquit, quoniam humanè, honeſtéque interrogas, quiſnam ſim audies: Ego enim Apollonius ſum Tyaneus, iter autem ad Indorum vſque regem facere decreui, vt eorum locorum mores, inſtitutáque cognoſcam: libenter autem & regem tuum, ſi facultas daretur, conuenirem. ferunt enim qui cum eo commercij quicquam habuere, ipſum eſſe virum minimè prauum; ſiquidem eſt, vt opinor, Vardanes qui ablatum ſibi regnum nuper recepit. Is ipſe eſt, inquit Satrapa, diue Apolloni. iamdudum enim de te hæc audiuimus. ſapienti autem viro etiam ipſum thronum conceſſeris, & commeatum in Indiam vſque, & camelum ſingulis veſtrum daturum regem non dubito. ego autem priuatim hoſpitem mihi te facio, & theſauros magnos oſtentans, horum, inquit, quotquot volueris ſumendi non ſemel tantùm, ſed ſi libeat etiam decies præbeo facultatē. Cúmque pecunias renueret Apollonius, hoc tamen Babylonium vinum accipies, inquit Satrapa: præbet enim nobis Satrapis rex quotidie vini amphoras decem: porcorum præterea & caprarum toſtas carnes, & farinam ac panes arbitratu tuo ſumere potes. nam quod tibi poſthac peragendum eſt iter magna ex parte vicis colitur, vbi non facilè quæ ad victum pertinent reperire poſſis. His dictis ſeipſum carpens eunuchus; quid ô dei, inquit, feci? Audiens enim hunc virum, nec animalib. veſci, nec vinum bibere; craſsè, inquit, & ruſticè ipſum paſcam. atqui licet, inquit Apollonius, tenui victu me

A ἀλύπως τε, καὶ εὐκόλως, πρὸς θεῶν εἶπε, τίς εἶ λιπαρῶς ἤδη, καὶ μεταβαλὼν τοῦ τόνου. ὑπολαβὼν ὁ Ἀπολλώνιος, ἐπεὶ μετρίως, ἔφη, ταῦτα, καὶ οὐκ ἀπανθρώπως ἤρου, ἄκουε ὅς εἰμι. εἰμὶ μὲν ὁ Τυανεὺς Ἀπολλώνιος. ἡ δὲ ὁδὸς, παρὰ τὸν Ἰνδῶν βασιλέα, καθ' ἱστορίαν τῶν ἐκεῖ· βουλοίμην δ' ἂν καὶ τῷ σῷ βασιλεῖ
B ἐντυχεῖν. φασὶ γὰρ αὐτὸν οἱ ξυγγεγονότες, οὐ τῶν φαύλων εἶναι· εἰ δὴ Οὐαρδάνης οὗτος, ὁ τὴν ἀρχὴν ἀπολωλυῖαν τότ' αὐτῷ, νῦν ἀνακεκτημένος. ἐκεῖνος, ἔφη, θεῖε Ἀπολλώνιε· πάλαι γάρ σε * ἠκούομεν. σοφῷ δὲ ἀνδρὶ, κἂν αὐτοῦ παραχωρήσειε τοῦ θρόνου, καὶ πέμποι δ' ἂν ὑμᾶς ἐς Ἰνδοὺς, ἐπὶ καμήλου ἕκαστον. ἐγὼ δὲ, καὶ ξένον ἐμαυτοῦ ποιοῦ-
C μαί σε, καὶ δίδωμί σοι τούτων τῶν χρημάτων, ἅμα θησαυρὸν χρυσοῦ δείξας, ὁπόσα βούλει δράττεσθαι· καὶ μὴ ἐς ἅπαξ, ἀλλὰ δεκάκις· παραιτησαμένου δὲ αὐτοῦ τὰ χρήματα· σὺ δ' ἀλλὰ οἴνου, ἔφη, Βαβυλωνίου, προπίνει δὲ αὐτοῦ βασιλεὺς, δέκα ἡμῖν σατράπαις ἀμφορέα ἔχε συῶν τε, καὶ δορκάδων τεμάχη ὀπτὰ
D ἄλευρά τε καὶ ἄρτους, καὶ ὅ, τι θέλοις. ἡ γὰρ μετὰ ταῦτα ὁδὸς ἐπὶ πολλὰ στάδια, κῶμαί εἰσιν οὐ πάνυ εὔσιτοι. καὶ λαβόμενος ἑαυτοῦ ὁ εὐνοῦχος, οἷα, ἔφη, ὦ θεοὶ, ἔπαθον: ἀκούων γὰρ τὸν ἄνδρα μήτ' ἀπὸ ζώων σιτεῖσθαι, μήτε οἴνου πίνειν, παχέως αὐτὸν, καὶ ἀμαθῶς ἑστιῶ: ἀλλ' ἔστι σοι, ἔφη, καὶ λεπτῶς με

ἑστιᾶν, ἢν ἄρτους τε δῷς, καὶ τραγήματα. δώσω, ἔφη, ζυμίτας τε ἄρτους, καὶ φοίνικος βαλάνους, ἠλεκτρώδεις τε, καὶ μεγάλους. δώσω λάχανα, ὁπόσα ὁ Τίγρις κηπεύει. ἀλλ' ἡδίω μοι εἶπεν ὁ Ἀπολλώνιος τὰ ἄγρια, καὶ αὐτόματα λάχανα τῶν ἠναγκασμένων, καὶ * τεχνιτῶν. ἡδίω μὲν, ἔφη, ὁ σατράπης· ἡ χώρα δὲ ἡμῖν ἡ ἐπὶ Βαβυλῶνος, ἀψινθίου πλήρης οὖσα, ἀηδῆ αὐτὰ φύει, καὶ πικρά. πλὴν ἀλλὰ τοῦ σατράπου γε ἀπεδέξατο. καὶ ἀπιὼν ἤδη, ὦ λῷστε, ἔφη, μὴ λῆγε μόνον καλῶς, ἀλλὰ καὶ ἄρχου· νουθετῶν που αὐτὸν ἐπὶ τῷ βασανίσω σε, καὶ οἷς ἐν ἀρχῇ βαρβαρίζοντος ἤκουσε.

A ſatiare, modò panes atq. olera præbeas: dabo, inquit ille, fermentatos panes, & palmæ fructus ſuccineóſque & prægrandes: olera præterea, quæ Tigris hortos irrigans pulcherrima profert. Verùm iucundiora mihi ſunt (inquit Apollonius) agreſtia, & ſponte ſua naſcentia olera, quàm quæ *arte* quadá & coacta naſcuntur. Sunt ea, inquit, profectò Satrapa ſuauiora: ſed abſinthium in B Babylonis regione abundans amaritudine ſua cæteras herbas inficit, & guſtatu iniucundas reddit. propterea quæ à Satrapa dabantur ſuſcepit, atque inde iam diſcedens, Vir optime, inquit, opus eſt non in fine ſolùm, verumetiam in principio placidum eſſe: tacitè illum obiurgans de his quæ minatus fuerat tormentis, quæque ſuperbè barbaréq. dicta in principio audierat.

De leana eximiæ magnitudinis occiſa à venatoribus, & catulis octo in vtero inuentis. item quid de leanæ partu proditum ſit. tum quid leanam & catulos ſignificare Apollonius vaticinatus fuerit. hinc de octo paſſerculis & matre à dracone in Aulide deuoratis, CAP. XVI.

Προελθόντες δὲ εἴκοσι στάδια, λεαίνῃ ἐντυγχάνουσιν, ἀπεσφαγμένῃ ἐν θήρᾳ. καὶ ἦν τὸ θηρίον μέγα, καὶ ὅσον οὔπω εἶδον. ἐβόων τε οἱ ἐκ τῆς κώμης συνερρυηκότες, καὶ νὴ Δί' οἱ τεθηρακότες, ὥς τι μέγα θαῦμα ἐν αὐτῷ ὁρῶντες. καὶ ἦν ἀτεχνῶς θαῦμα. σκύμνους γὰρ ἀνατμηθεῖσα, ὀκτὼ εἶχεν. ὁ δὲ τῆς λεαίνης τόκος, αἱ λέαιναι μηνῶν κυΐσκουσιν ἕξ, τρεῖς δὲ ἀποτίκτουσιν, ἀριθμὸς δὲ τῶν σκύμνων, παρὰ μὲν τὴν προτέραν, τρεῖς· ἐπὶ δὲ τῆς δευτέρας, δύο· τρίτου δὲ ἁπτομένου τόκου, μονήρη σκύ-

STADIA poſtmodum viginti iam progreſſis, leæna in itinere occurrit à venatoribus interfecta: erat autem fera ingenti magnitudine, quanta antea viſa non fuerat. circa ipſam clamor erat magnus venatorum, & eorum qui ex proximis vicis ad viſendam feram concurrerant, qui maD gnitudinem inſuetá, & præterea maius aliud in illa admirabantur: cæſo enim vétre catulos octo in vtere habentem inuenere. Traduntur auté de leænę partu huiuſmodi, geſtare leęná in vtero fœtú menſib. ſex, térq; omnino in tota vita parere. parit auté (vt aiunt) prima quidem vice tres, ſecunda auté duos: quod ſi tertio fortè parere illam contingat, vnum dun-

taxat parere conſueuit, *magnum, opinor, & maiorem natura in ſe feritatem habentem.* Neque enim fides adhibenda eſt dicentibus, quòd adulti in vtero catuli maternis viſceribus laniatis naſcuntur. conſtat enim generatis ad generantia naturalem quendam amorem ineſſe, vt per eum ſpecies in rerum natura conſeruentur. Contemplatus igitur feram Apollonius, cùm aliquandiu tacitus perſtitiſſet, ô Damis, inquit, noſtra ad Indorum regem peregrinatio annua futura eſt, & præterea menſium octo. nec ille nos antea dimittet, neque nobis facile eſt ante prædictum tempus illinc diſcedere. Hoc autem ex catulorum numero coniicere licet, quorum ſinguli ſingulos denotant menſes, ipſa autem leæna integrum annum nobis deſignat: perfecta enim perfectis conferenda ſunt. Sed quid, inquit Damis, de paſſeribus dicemus qui ſunt apud Homerum, quos in Aulide draco abſûpſit, cùm octo eſſent, nonam & his matrem adiungens? Id enim portentum Calchas interpretatus nouẽ annos apud Troiam pugnaturos Græcos prædixit. vide igitur ne iuxta Calchantis & Homeri ſentẽtiam in annos nouem noſtra protrahatur peregrinatio. Ad hoc Apollonius rectè inquit, ô Damis, paſſerum pullos iam natos, & in lucem editos Homerus annis cõparat: ego autem imperfectas & nondũ ortas feras, quinetiam fortè non naſcituras, quonam pacto annis æquiparem? Quæ enim præter naturam ſunt, effectum rarò ſortiuntur, ſortita quoque cito corrumpuntur. ſed meis verbis crede; & abeamus, deos, qui hæc oſtendunt, precati, [vt hæc nobis bene euenire concedant.]

A μόνον ἀποτίκτει, μέγαν οἶμαι*, καὶ ἀγριώτερον τῆς φύσεως. οὐ γὰρ προσεκτέα τοῖς λέγουσιν, ὡς ξήναντες οἱ σκύμνοι τὰς τῶν λεαινῶν μήτρας, ἐκδέδονται τοῦ σπλάγχνου. δοκεῖ γὰρ τῇ φύσει τὸ τικτόμενον, καὶ τὸ τίκτον, ἐπιτήδεια εἶναι ἀλλήλοις ὑπὲρ σωτηρίας τοῦ γένους. ἐνιδὼν οὖν ὁ Ἀπολλώνιος τῷ θηρίῳ, καὶ πολὺν χρόνον

B ἐπισχὼν, ὦ Δάμι, ἔφη, ὁ χρόνος τῆς παρὰ βασιλέα ἀποδημίας, ἐνιαυτοῦ ἔσται, καὶ μηνῶν ὀκτώ. οὔτε γὰρ ἐκεῖνος ἀνήσει θᾶττον· οὔτε ἡμῖν λῷον ἀπελθεῖν πρὸ τούτου· τεκμαίρεσθαι δὲ χρὴ, τῶν μὲν σκύμνων ἐς μῆνας, τῆς λεαίνης δὲ, εἰς ἐνιαυτόν· τέλεια γὰρ τελείοις παραβλητέα. οἱ δὲ δὴ

C στρουθοὶ, ἔφη, ὁ Δάμις, οἱ παρὰ τῷ Ομήρῳ, τί φήσουσιν, οὓς ὁ δράκων μὲν ἐν τῇ Αὐλίδι ἐδαίσατο ὀκτὼ ὄντας, ἐνάτην ἐπ᾽ αὐτοῖς τὴν μητέρα ἑλών. Κάλχας δὲ ἐξηγούμενος ταῦτα, ἐννέα ἐνιαυτοὺς ἀνεῖπε πολεμήσεσθαι τὴν Τροίαν. καὶ ὅρα μὴ καθ᾽ Ομηρόν τε, καὶ Κάλχαντα, ἐς ἐννέα ἡμῖν ἔτη ἡ ἀποδημία τείνῃ. καὶ εἰ-

D κότως, ἔφη, ὦ Δάμι, καὶ τοὺς νεοττοὺς Ομηρος ἐνιαυτοῖς εἰκάζει. γεγόνασι γὰρ ἤδη, καὶ εἰσίν. ἐγὼ δὲ ἀτελῆ θηρία, καὶ μήπω γεγονότα, ἴσως δὲ μηδ᾽ ἂν γενόμενα, πῶς ἂν ἐνιαυτοῖς εἰκάζοιμι; τὰ γὰρ παρὰ φύσιν, οὔτ᾽ ἂν γένοιτο, ταχεῖάν τε ἴσχει φθορὰν, κἂν γένηται. ἀλλ᾽ ἕπου δὴ τῷ λόγῳ, καὶ ἴωμεν, εὐξόμενοι τοῖς θεοῖς, οἳ ταῦτα φαίνουσι.

Quòd ſomnium viſum Apollonio profectò in Ciſsiam, & ſomnij explanatio. tum de Eretriis populis hiſtoria: déque Apollonij ad Clazomenium Sophiſtam epiſtola. hinc hiſtoria Eretrienſium, vt ex Eubœa in Mediam peruenerint: quidque Apollonius dum illorum ſepulchra inſtauraret, dixerit. Item quid pro Eretriis ab rege Apollonius petierit. Cap. XVII.

Προσελθόντι δὲ αὐτῷ εἰς τὴν Κισσίαν χώραν, καὶ πρὸς Βαβυλῶνα ἤδη ὄντι, δόξα ἐνυπνίου ἐφοίτησεν, ὧδε τῷ φήναντι θεῷ ξυντεθεῖσα· ἰχθῦς ἐκπεπτωκότες τῆς θαλάσσης, ἐν τῇ γῇ ἤσπαιρον, θρῆνον ἀνθρώπων ἱέντες, καὶ ὀλοφυρόμενοι τὸ *ἐκβεβηκέναι τοῦ ἤθους· δελφῖνά τε τῇ γῇ παρανέοντα ἱκέτευον ἀμῦναι σφίσιν, ἐλεεινοὶ ὄντες, ὥσπερ τῶν ἀνθρώπων οἱ ἐν τῇ ξένῃ κλαίοντες. ἐκπλαγεὶς δὲ οὐδὲν ὑπὸ τοῦ ἐνυπνίου, ξυμβάλλεται μὲν αὐτοῦ πῶς, καὶ ὅπῃ εἶχε· διαταράττειν δὲ βουλόμενος τὸν Δάμιν, καὶ γὰρ τῶν εὐλαβεστέρων αὐτὸν ἐγίνωσκεν, ἀπαγγέλλει πρὸς αὐτὸν τὴν ὄψιν, δέος πλασάμενος ὡς ἐπὶ πονηροῖς, οἷς εἶδεν. ὁ δὲ, ἀνεβόησέ τε ὡς αὐτὸς ἰδὼν ταῦτα, καὶ ἀπῆγε τὸν Ἀπολλώνιον τοῦ πρόσω· μή πη, ἔφη, καὶ ἡμεῖς ὥσπερ ἰχθύες ἐκπεσόντες τῶν ἠθῶν ἀπολώμεθα, καὶ πολλὰ ἐλεεινὰ ἐν τῇ ἀλλοδαπῇ εἴπωμεν*, καί που καὶ εἰς ἀμηχανίαν ἐμπεσόντες, ἱκετεύσωμεν δυνάστην τινὰ, ἢ βασιλέα, ὁ δὲ, ἡμᾶς ἀτιμάσῃ, καθάπερ τοὺς ἰχθῦς οἱ δελφῖνες. γελάσας δὲ ὁ Ἀπολλώνιος, σὺ μὲν οὔπω φιλοσοφεῖς, εἶπεν, ἢ δέδιας ταῦτα. ἐγὼ δὲ οἷ τὸ ἐνύπνιον τείνει, δηλώσω. Ἐρετριεῖς γὰρ τὴν Κισσίαν ταύτην χώραν οἰκοῦσιν, οἱ ἐξ Εὐβοίας ποτὲ Δαρείῳ ἀναχθέντες ἔτη ταῦτα πεντακόσια, καὶ λέγονται

Postea cùm in regionem Ciſſiam Babyloniæ finitimam deueniſſent, tale quoddam illi ſomniũ à deo monſtratum eſt. Piſces è mari
B expulſi, in terra palpitabant, & non ſecus atque homines queri videbantur, quòd [præter naturam prætérq. conſuetudinem] extra locum proprium manere cogérentur. Præterea delphinũ *terræ* adnatanté ſuppliciter precari videbantur, vt ſibi opem ferret, ídq; petere ſicut *flentes* homines patria extorres[reditum in ipſam petere ſolent.]Nihil autem viſu territus Apollonius, ſecum quidnam hoc
C viſum portéderet tacitus cogitabat; veruntamen timidiorem ſe ſimulás, vt Damidi (quem pauidiorem cognouerat) incuteret terroerm cuncta ipſi viſa enarrauit: *ficto metu, quaſi mala eſſent quæ viderat.* Damis tanquam oculis eadem cernens, clamorem ſuſtulit, & Apollonium ſeorſum auocans, Caue, inquit, ne nos tanquam piſces patria exules pereamus, & multa grauia in aliena
D terra perpeſſi, tandem malorũ grauitate compulſi, regi cuiquam aut principi ſupplices manus tendere cogamur, ſicut piſces delphinum ſupplices orabant. Subridens autem Apollonius, Nondum, inquit, rectè philoſopharis talia metuens: ego autem quid ſomnium portendat explicabo. Eritréi hanc regionem Ciſſiam appellatá incolunt, ex Eubœa quondam à Dario in hæc loca deducti, annis propemodũ quingẽtis elapſis:

hi ſicut piſces in ſomnio queri videbãtur, ita ſuã captiuitatẽ moleſtè perferre dicũtur.* iubent igitur dei, quãdo ad hæc loca peruenerim, illis quo ad poſſim opitulari: & fortaſſe Græcorum animæ qui in his locis periere fato quodã, propter eorũ qui ſuperſunt vtilitatẽ ad hec loca me impulerãt. Parumper igitur ex itinere diuertamus: & de puteo ſolùm, iuxta quẽ habitãt interrogemus. Is enim bitumine, oleo, & aqua plenus eſſe perhibetur: & ex eo ſi quis hauſtam materiam effundat, ſeorſum quemque dictorum humorum cedere perhibetur, & ab inuicem ſecerni. Veniſſe autem in Ciſſiam Apollonium, eius epiſtola teſtatur, quam ad Sophiſtam Clazomenium virum bonum, ac perhumanum, ſcripſit, in qua ſingula illic à ſe viſa, quæque incolentium cauſa fecerit, diligenter enumerat; hortatúrque, vt Eritreorum miſereatur, neque illorum cauſa lachrymas fundere recuſet, quotiens loqui de illis contigerit. His etiam conſonant quæ de Eretriis à Damide ſcripta repetiuntur. Habitant enim in regione Medorum non longiùs à Babylone, quàm quantum diurno itinere expeditus curſor pertranſiret. vrbibus autem regio caret: Ciſſia enim pagis dũtaxat villíſq. incolitur. Sunt autem plerique paſtores, qui paruis equis greges paſcendo circunuehuntur. Eretrij autem in media regione collocati, aquis in foſſas ex flumine deriuatis circundantur, quas ſibi pro muris feruntur circundediſſe, ad Barbarorum impetus propulſandos. Regio autẽ aquis bituminoſis irrigua eſt; propterea non facilè in ipſa plantæ coaleſcunt, & hominum breuis eſt vita: nam aquæ bitumine infectæ, & in

Adde ex Græc. *ſiquidem quaſi irretiti omnes captique ſunt.

A ὥσπερ ἡ ὄψις ἰχθύων πάθη περὶ τὴν ἅλωσιν χρήσασθαι· σαγήνῃ γὰρ ἁλῶναι δή, καὶ ἁλῶναι πάντας. ἐοίκασιν οὖν οἱ θεοὶ κελεύειν με ἐς αὐτοὺς παρελθόντα, ἐπιμεληθῆναι σφῶν, εἴ τι δυναίμην. ἴσως δὲ καὶ αἱ ψυχαὶ τῶν Ἑλλήνων, τῶν ἐνταῦθα μοῖραν* ἐπάγονταί με ἐπ' ὠφελείᾳ τῆς γῆς. ἴωμεν οὖν ἐξαλλάξαντες τῆς ὁδοῦ, περὶ μόνου ἐρωτῶντες τοῦ φρέατος, B πρὸς ᾧ οἰκοῦσι. λέγεται δὲ τοῦτο κεκρᾶσθαι μὲν ἀσφάλτου, καὶ ἐλαίου, καὶ ὕδατος. ἐκχέαντος δὲ τοῦ ἀνιμήσαντος, ἀποχωρεῖν ταῦτα, καὶ ἀπ' ἀλλήλων κρίνεσθαι. παρελθεῖν μὲν δὴ ἐς τὴν Κισσίαν καὶ αὐτὸς ὡμολόγηκεν, ἐν οἷς πρὸς τὸν Κλαζομένιον σοφιστὴν γράφει. χρηστὸς γὰρ οὕτω τι, καὶ φιλότιμος ἦν, ὡς ἐπειδὴ C εἶδε, σοφιστοῦ ἀναμνησθῆναι, καὶ γράψαι πρὸς αὐτὸν, ἅτε εἶδεν, ἅτε ὑπὲρ αὐτῶν ἔγραψε· καὶ παρακελεύεταί οἱ παρὰ τὴν ἐπιστολὴν πᾶσαν, ἐλεεῖν τοὺς Ἐρετριέας. καὶ ὁπότε μελετῴη τοὺς περὶ αὐτῶν λόγους, μηδὲ τὸ κλάειν ἐπ' αὐτοῖς παραιτεῖσθαι. ξυνῳδὰ δὲ τούτοις καὶ ὁ Δάμις περὶ τῶν Ἐρετριέων ἀναγέγραφεν. οἰκοῦσι γὰρ ἐν τῇ Μηδικῇ, Βαβυλῶνος οὐ πολὺ ἀπέ- D χοντες ἡμέρας δρομικῷ ἀνδρί. ἡ χώρα δὲ, ἄπολις· ἡ γὰρ Κισσία, κῶμαι πᾶσαι. καίτοι καὶ νομάδων ἐν αὐτῇ γένος, μικρὰ τῶν ἵππων ἀποβαίνοντες. ἡ δὲ τῶν Ἐρετριέων, οἰκεῖται μὲν τῆς ἄλλης* μέση. περιβέβληται δὲ ποταμοῦ τάφρον, ἣν αὐτοὶ βαλέσθαι περὶ τῇ κώμῃ λέγονται, τεῖχος αὐτὴν ποιούμενοι, πρὸς τοὺς ἐν τῇ Κισσίᾳ βαρβάρους. ὕπομβρος δὲ ἀσφάλτῳ ἡ χώρα, καὶ πικρὰ ἐμφυτεῦσαι· καὶ βραχυβιώτατοι οἱ ἐκείνῃ ἄνθρωποι. τὸ γὰρ ἀσφαλτῶδες ποτὸν, ἐς

πολλὰ τῶν σπλάγχνων ἰζάνει· τρέφει δ' αὐτοὺς λόφος ἐν ὁρίοις τῆς κώμης· ὃν ὑπεραίροντα τοῦ περιεφθορότος χωρίου, σπείρουσί τε, καὶ ἡγοῦνται * γῆν. φασὶ δὲ ἀκοῦσαι τῶν ἐγχωρίων, ὡς ἑπτακόσιοι μὲν τῶν Ερετριέων πρὸς τοῖς ὀγδοήκοντα ἥλωσαν, οὔ τι που μάχιμοι πάντες. ἦν γάρ τι καὶ θῆλυ ἐν αὐτοῖς γένος, καὶ γεγηρακός· ἦν δ' οἶμαί τινα καὶ παιδία. τὸ γὰρ πολὺ τῆς Ερετρίας, τὸν Καφηρέα ἀνέφυγε, καὶ ὅ,τι ἀκρότατον τῆς Εὐβοίας. ἀνήχθησαν δὲ, ἄνδρες μὲν, ἀμφὶ τοὺς τετρακοσίους· γύναια δὲ ἴσως δέκα. οἱ δὲ λοιποὶ, ἀπ' Ιωνίας τε, καὶ Λυδίας ἀρξάμενοι, διεφθάρησαν, ἐλαυνόμενοι ἄνω. λιθοτομίαν δὲ αὐτοῖς παρεχομένου τοῦ λόφου, καί τινες καὶ λιθουργοὺς εἰδότες τέχνας, ἱερά τε ἐδείμαντο Ελληνικὰ, καὶ ἀγορὰν ὁπόσην εἰκὸς ἦν. βωμούς τε ἱδρύσαντο, Δαρείῳ μὲν, δύο, Ξέρξῃ δὲ, ἕνα, Δαριδαίῳ δὲ, πλείους· διετέλεσαν δὲ ἐς Δαριδαῖον ἔτη μετὰ τὴν ἅλωσιν, ὀκτὼ καὶ ὀγδοήκοντα. γράφοντες τὸν Ελλήνων τρόπον· καὶ οἱ τάφοι δὲ οἱ ἀρχαῖοι σφῶν, ὁ δεῖνα τοῦ δεῖνος, γεγράφαται· καὶ τὰ γράμματα Ελλήνων
ἴσ. ταῦ- τα ἰ. μὲν, ἀλλ' οὔπω ταῦτα ἰδεῖν φασι. καὶ ναῦς ἐγκεχαραγμένας τοῖς τάφοις, ὡς ἕκαστος ἐν Εὐβοίᾳ ἔζη, πορθμεύων, ἢ πορφυρεύων, ἢ θαλάττιον, ἢ καὶ ἁλουργὸν πράττων. καί τι καὶ ἐλεγεῖον ἀναγνῶναι, γεγραμμένον ἐπὶ ναυτῶν τε, καὶ ναυκλήρων σήματι,

Οἵ δέ ποτ' Αἰγαίοιο βαθύρροον οἶδμα πλέοντες,
Ἐκβατάνων, πεδίῳ κείμεθ' ἐνὶ μεσάτῳ.

A intestinis plerunq; residentes morbos gignunt. Nutrit autem ipsos tumulus villæ propinquus, paulum supra ceteros campos sese extollens, in quo ipsi fruges serunt, [quòd sit collis planicie incorruptior.] Ferunt autem indigenæ ex Eretriis quondam audiſſe septingentos supra octoginta captiuos fuiſſe, non quidem omnes ad arma ferenda idoneos: fuiſſe namque in eo numero fœminas, & senes, &, vt arbitror, B etiam pueros aliquot. Magna enim Eretriorum pars in Caphareum, & montana Eubœæ confugerant: sed circiter quadringenti numero viri, & decem ferè mulierculæ fugerunt nauibus, reliqui verò ab Ionia & Lydia incipiendo periere, ad superiora compulsi. In ea autem loca deducti, cùm plerique cedendorum lapidum artem scirent, & is quem diximus tumulus materiam suppeditaret, templa Græcorum more con- C struxerunt: Forum præterea quale conditio loci sinebat. Aras quoque erexerunt, Dario quidem duas, vnam Xerxi, Daridæo autem complures. Vixerunt autem post captiuitatem vsque ad Daridæum annos octo supra octoginta. Literas Græco more scribunt: & ipsorum antiqua sepulchra Græcis quidem literis, sed quales nōdum vidiſſe aiunt, *Hic illius filius*, inscripta extabant. D Naues quoque in sepulchris inscriptas fuiſſe dicebant, vt quisque in Eubœa vel portitor, vel purpurarum piscator, vel quid aliud in mari exercens victum quæritaſſet. Quin & Elegiacum carmen in nautarum nauclerorúmq. sepulchro inscriptum legiſſe memorant:

Qui quondam Ægei ruimus salo ore profundum,
Ecbatanôn medio contumulamur agro.

Patria clara olim vale Eretria, vos & Athenæ
Vicinæ Eubææ, & mare dulce vale.

Sepulchra autem aliqua, quæ vetuſtate ceciderant, aut aliqua ex parte corrupta erant, propriis manibus inſtauraſſe Apollonium, clauſiſſéque ſcribit Damis. Præterea ſacrificia illorum vmbris feciſſe, non tamen vt aliquid occideret, aut *expiatione luſtrarit*. Lachrymas etiam illorum miſeratione fudiſſe, & talia in medio dolore verba profudiſſe: Eretrij fortunæ ſorte huc delati, vos quidem, etſi procul à *patria*, ſepulti tamen eſtis: qui autem vos huc proiecere, circa inſulam veſtram pereuntes inſepulti iacent. Quod enim in caua Eubœa geſtum eſt, dij demonſtrant. Apollonius autem in fine epiſtolæ, quam ad ſophiſtam ſcribit; Curaui, inquit, Scopeliane Eretrios tuos cùm adhuc iuuenis eſſem, illiſque quoad potui vtilem operam præbui, tum mortuis, tum etiam viuentibus. *at* quomodo tandem viuentes illos adiuuit. Cùm Eretrij tumulum quem dixi ſeminaſſent, vicini barbari circa meſſis tempus diſcurrentes, adultas iam fruges prædabantur: ex quo fame opprimi Eretrios contingebat, cùm pro aliis laboraſſent. cùm igitur Apollonius regem allocutus eſt, petiuit vt ſolis Eretriis colendum collem, & tuto quæ in eo ſeuiſſent colligendi poteſtatem præſtaret.

A Χαῖρε κλυτή ποτε πατρὶς Ἐρέτρια, χαῖρετ' Ἀθῆναι,
Γείτονες Εὐβοίης, χαῖρε θάλασσα φίλη.

Τοὺς μὲν δὴ τάφους διεφθορότας ἀναλαβεῖν τε αὐτὸν ὁ Δάμις φησί, καὶ ξυγκλεῖσαι χέασθαί τε, καὶ ἐπενεγκεῖν σφίσιν ὁπόσα νόμιμα, πλὴν τοῦ τεμεῖν τι, ἢ καθαγίσαι· δακρύ-
B σαντά τε, καὶ ὑποπλησθέντα ὁρμῆς, τάδε ἐν μέσοις ἀναφθέγξασθαι, Ἐρετριεῖς, οἱ κλήρῳ τύχης δεῦρ' ἀπενεχθέντες, ὑμεῖς μὲν, εἰ καὶ πόῤῥω τῆς αὐτῶν, τέταφθε γοῦν· οἱ
C δ' ὑμᾶς ἐνταῦθα ῥίψαντες, ἀπώλοντο περὶ τὴν ὑμετέραν νῆσον, ἄταφοι δεκάτῳ μεθ' ὑμᾶς ἔτει· τὸ γὰρ ἐν κοίλῃ Εὐβοίᾳ πάθος, θεοὶ φαίνουσιν. Ἀπολλώνιος δὲ πρὸς τὸν σοφιστὴν ἐπὶ τέλει τῆς ἐπιστολῆς· καὶ ἐπεμελήθην, φησὶν, ὦ Σκοπελιανὲ, τῶν σῶν Ἐρετριέων, νέος ὢν ἔτι, καὶ ὠφέλησα ὅ, τι ἐδυνάμην, καὶ τοὺς τεθνεῶτας αὐτῶν, καὶ τοὺς ζῶντας.
D τί δῆτα ἐπεμελήθη τῶν ζώντων; οἱ πρόσοικοι τῷ λόφῳ βάρβαροι, σπειρόντων τῶν Ἐρετριέων αὐτὸν, ἐλῄζοντο τὰ φυόμενα, περὶ τὸ θέρος ἥκοντες. καὶ πεινῆν ἔδει γεωργοῦντας ἑτέροις. ὁπότ' οὖν παρὰ βασιλέως ἀφίκετο, εὕρετο αὐτοῖς τὸ χρῆσθαι μόνοις τῷ λόφῳ.

Quanti fuerint Babylonia muri: déque flumine Euphrate, & ponte pulcherrimo in eo. Item de regia admirabili, & thalamis & aliis in ea, necnon de Saphiri colore, & de Magis pauca quædam. CAP. XVIII.

A

ΤΑ δὲ ἐν Βαβυλῶνι τοῦ ἀνδρὸς τούτου, καὶ ὁπόσα Βαβυλῶνος πέρι προσήκει γινώσκειν, τοιάδε εὗρον. Βαβυλὼν τετείχισται μὲν, ὀγδοήκοντα, καὶ τετρακόσια στάδια τοσαύτη κύκλῳ. τεῖχος δὲ αὐτῆς τρία μὲν τὸ ὕψος ἡμίπλεθρα, πλέθρου δὲ μεῖον τὸ εὖρος. ποταμῷ δὲ Εὐφράτῃ τέμνεται, ξὺν ὁμοιότητι τοῦ εἴδους. ὃν ἀπόρρητος ὑποστείχει γέφυρα, τὰ βασίλεια τὰ ἐπὶ ταῖς ὄχθαις, ἀφανῶς ξυνάπτουσα. γυνὴ γὰρ λέγεται Μήδεια, τῶν ἐκεῖ ποτὲ ἄρχουσα, τὸν ποταμὸν ὑποζεῦξαι τρόπον ὃν μή πω τίς ποταμὸς ἐζεύχθη. λίθους γὰρ δὴ, καὶ χαλκὸν, καὶ ἄσφαλτον, καὶ ὁπόσα ἐς ἔφυδρον ξύνδεσιν ἀνθρώποις εὕρηται, παρὰ τὰς ὄχθας τοῦ ποταμοῦ νήσασα, τὸ ῥεῦμα εἰς λίμνας ἔτρεψε· ξηρόν τε ἤδη τὸν ποταμὸν ὤρυττεν, ὀργυιὰς ἐς δύο, σήραγγα ἐργαζομένη κοίλην, ἵν' ἐς τὰ βασίλεια τὰ παρὰ ταῖς ὄχθαις, ὥσπερ ἐκ γῆς ἀναφαίνοιτο· καὶ ἤρεψεν αὐτὴν ἴσως τῷ τοῦ ῥεύματος δαπέδῳ. οἱ μὲν δὴ θεμέλιοι ἐβεβήκεσαν, καὶ οἱ τοῖχοι τῆς σήραγγος· ἅτε δὲ τῆς ἀσφάλτου δεομένης τοῦ ὕδατος ἐς τὸ λιθοῦσθαί τε, καὶ πήγνυσθαι, ὁ Εὐφράτης ἐπαφείθη ὑγρῷ τῷ ὀρόφῳ, καὶ ὧδε ἔστη τὸ ζεῦγμα. τὰ δὲ βασίλεια, χαλκῷ μὲν ἤρεπται, καὶ ἀπ' αὐτῶν

QVÆ autem Babyloniæ geſſerit Apollonius: quæque in ea memoratu digna fuerint, hæc fermè comperio. Primo quidem Babyloniæ muros tantos fuiſſe ferunt, vt ſtadiorum quadringentorum & octoginta ambitum complecterentur: in altitudinem verò tria ſemiiugera tollerētur: cùm eſſent paulominus vnius iugeris craſſitudine. Secat autē mediā Babyloniā Euphrates *pari forma*: cui pons mirabili arte cōpactus, domos regias in vtraq. fluminis ripa mirabili opere fabricatas iungit, inuiſibili quadam & incredibili pene iunctura. Fertur enim mulierem ex Medorum gente natam, & quandoque id regnum ſortitam, pontem artificio prius ignoto ſupra flumen ædificaſſe. Lapides enim & æs, præterea bitumen & quæcunque conglutinationi quæ in aqua fieri conſueuit ab hominibus inuenta ſunt, ad fluminis ripas congregauit, deinde fluminis aquas in paludes proximas deriuauit: tum iā exſiccato fluminis alueo, * duorum paſſuum foſſam effodit, quam ſuper iniecta teſtudine cooperuit, vt ad regias, quæ vtrinque fluminis ripis adiacent, per eam quam diximus foueam, non ſecus ac per aridam terram, aditus intercederet: ita vt fornicis altitudo fluuialio alueo adæquaretur, quinetiam foſſæ quidem fundamenta parietéſque, ac ſuperior fornix, in vnum quaſi lapidem conglutinati obduruerint; *quando bitumine aqua ad conſolidationem egente, Euphrates in humidam teſtudinem immiſſus eſt: itáq; pons conſtitit.* Regię etiā ære adopertæ fulgent: thalami

B

C

D

** ſex cubitorum ſ.*

A thalami verò, & *conclauia virorum*, porticus atque atria cum argenteis, tum etiam aureis *texturis, atque ipſo auro tanquam picturis* nitent. Peplorum autem *ſeu ſtragulorum variegationes* ex Græcorum fabulis *originem trahunt:* Itaque Andromedæ, Amymônæ & Orphéus pleriſque locis cernebantur: plurimum namque incolæ Orphéo gaudent, tiaram forſitan & feminalia admirati: nam muſicæ diſciplinam, quæ in eo fuit, aut *illecebroſa eius* carmina *in* B *pretio non habent*. Viſebatur quoque, & Datis intextus Naxum inſulam ex mari diuellens, & Artaphernes Eretriam obſidens, & omnes Xerxis regis victoriæ. Neque procul aberant Athenæ, & Thermopylæ, & quæcunque à Medis parata ſunt, & flumina *à* terra ſublata, & maris Helleſpontiaci iugum, contráque perfoſſus Athos. Ferunt autem & in porticum veniſſe, cuius ſuprema pars in formam clypei fabricata cœli faciem C imitabatur, Saphiro lapide extrinſecus adoperta, qui lapis maximè cœruleus cœli colorem refert, vbi eorum quos ipſi deos habent imagines ex auro, tamquam ætheris colorem imitantes ſculptæ erant. Is autem locus eſt vbi rex ius dicere conſueuit. Ex teſtudine verò illices auiculæ quatuor aureæ pendebant, quas illices torquillas nominant, vltionis deam ſignificantes, admonentéſque regem, ne ſe ſupra hominem efferret, eas verò dicunt Magos, cùm in regiam veniſſent iuſſiſſe fieri. vocant autem ipſas, deorum linguas. De Magis autem qui illic erãt Apollonius loquutus eſt breuiter, dicens, ſe cum illis conuerſatũ quædã ab eis didiciſſe, quædã etiam do-

Pindari & Theocriti Scho. Syneſ. in epiſt.

ἀστράπτει. θάλαμοι δὲ, καὶ ἀνδρῶνες, καὶ στοαὶ, τὰ μὲν, ἀργύρῳ, τὰ δὲ, χρυσοῖς ὑφάσμασι, τὰ δὲ, χρυσῷ αὐτῷ καθάπερ γραφαῖς ἠγλάϊσται. τὰ δὲ, ποικίλματα τῶν πέπλων, ἐκ τῶν Ἑλληνικῶν σφίσιν ἥκει λόγων, Ἀνδρομέδαι, καὶ Ἀμυμῶναι, καὶ Ὀρφέως πολλαχοῦ. χαίρουσι γὰρ δὴ τῷ Ὀρφεῖ, τιάραν ἴσως, καὶ ἀναξυρίδα τιμῶντες· οὐ γὰρ Μουσικήν γε, οὐδὲ ᾠδὰς, αἷς ἔθελγεν. ἐνύφανται που καὶ ὁ Δάτις τὴν Νάξον ἐκ τῆς θαλάττης ἀνασπῶν, καὶ Ἀρταφέρνης περιεστηκὼς τὴν Ἐρέτριαν, καὶ τῶν ἀμφὶ Ξέρξην, ἃ νικᾶν ἔφασκεν. Ἀθῆναι γὰρ δὴ ἐχόμεναί εἰσι, καὶ Θερμοπύλαι, καὶ τὰ μηδικώτερα ἔτι. ποταμοὶ ἐξαιρούμενοι τῆς γῆς, καὶ θαλάττης ζεῦγμα, καὶ ὁ Ἄθως ὡς ἐτμήθη. φασὶ δὲ καὶ ἀνδρῶνι ἐντυχεῖν, οὗ τὸν ὄροφον ἐς θόλου ἀνῆχθαι σχῆμα, οὐρανῷ τινι εἰκασμένον, σαπφειρίνῃ δὲ αὐτὸν κατηρέφθαι λίθῳ. κυανωτάτη δὲ ἡ λίθος, καὶ οὐρανία ἰδεῖν. θεῶν τε ἀγάλματα, οὓς νομίζουσιν, ἵδρυται ἄνω, καὶ χρυσᾶ φαίνεται, καθάπερ ἐξ αἰθέρος. δικάζει μὲν δὴ ὁ βασιλεὺς ἐνταῦθα. χρυσαῖ δὲ ἴυγγες ἀποκρέμανται τοῦ ὀρόφου τέτταρες, τὴν Ἀδράστειαν αὐτῷ παρεγγυῶσαι, καὶ τὸ μὴ ὑπὲρ τοὺς ἀνθρώπους αἴρεσθαι. ταύτας οἱ μάγοι αὐτοί φασιν ἁρμόττεσθαι, φοιτῶντες ἐς τὰ βασίλεια. καλοῦσι δὲ αὐτὰς θεῶν γλώττας. περὶ δὲ τῶν μάγων, Ἀπολλώνιος μὲν, τὸ ἀποχρῶν εἴρηκε· συγγενέσθαι γὰρ αὐτοῖς, καὶ τὰ μὲν, μαθεῖν, τὰ δὲ, ἀπελθεῖν δι-

δόξας. Δάμις δὲ, τοὺς μὲν λόγους, οἱ ἐγένοντο τῷ ἀνδρὶ πρὸς τοὺς μάγους, οὐκ οἶδεν· ἀπαγορεῦσαι γὰρ αὐτῷ μὴ συμφοιτᾶν, παρ' αὐτοὺς ἰόντι. λέγει δ' οὖν φοιτᾶν αὐτὸν τοῖς μάγοις μεσημβρίας τε, καὶ ἀμφὶ μέσας νύκτας, καὶ ἔρεσθαί ποτε τί οἱ μάγοι· τὸν δὲ, ἀποκρίνεσθαι, σοφοὶ μὲν, ἀλλ' οὐ πάντα. ταυτὶ μὲν ὕστερον.

A cuiſſe ipſos. Damis verò ſermones cum Magis habitos ſibi ignotos fuiſſe dicit. ſe enim prohibitum ab Apollonio fuiſſe ne ſecum proficiſceretur. conſueuiſſe autem Apollonium diebus ſingulis bis cum Magis loqui, in meridie ſcilicet, ac media nocte: ac ſe aliquando interrogaſſe Apollonium, qualeſnam ſibi Magi eſſe viderentur, illúmq. reſpõdiſſe, ſapientes quidẽ, non tamẽ perfectè. Sed de his poſteriùs dicetur.

Ingreſſum Babyloniam Apollonium ſtatuam regis auream noluiſſe adorare. Deinde eius verba ad Satrapas regis, & quonam modo ad regem accerſitus acceſſerit. Déque regis ſomnio. CAP. XIX.

Ἀφικομένῳ δὲ αὐτῷ ἐς Βαβυλῶνα, ὁ σατράπης ὁ ἐπὶ τῶν μεγάλων πυλῶν, μαθὼν ὅτι ὑπὲρ ἱστορίας ἥκοι, ὀρέγει χρυσῆν εἰκόνα τοῦ βασιλέως, ἣν εἰ μὴ προσκυνήσειέ τις, οὐ θεμιτὸν ἦν ἐσφοιτᾶν εἴσω. πρεσβεύοντι μὲν οὖν παρὰ τοῦ Ῥωμαίων ἄρχοντος, οὐδεμία C ἀνάγκη τούτου. παρὰ βαρβάρων δὲ ἥκοντι, ἢ ἀφιστοροῦντι τὴν χώραν, εἰ μὴ τὴν εἰκόνα προθεραπεύσειεν, ἄτιμον διειλῆφθαι· καὶ σατραπεύεται παρὰ τοῖς βαρβάροις τὰ οὕτως εὐήθη. ἐπεὶ τοίνυν τὴν εἰκόνα εἶδε, τίς, ἔφη, οὗτος; ἀκούσας δὲ ὅτι ὁ βασιλεὺς, οὗτος εἶπεν, ὃν ὑμεῖς προσκυνεῖτε, εἰ ἐπαινεθείη ὑπ' ἐμοῦ καλὸς κἀγαθὸς δόξας, μεγάλων τεύξεται. καὶ εἰπὼν ταῦτα, διὰ πυλῶν ᾔει. θαυμάσας δὲ ὁ σατράπης αὐτὸν, ἐπηκολούθησέ τε· καὶ κατασχὼν τὴν χεῖρα τοῦ Ἀπολλωνίου, δι' ἑρμηνέως ἤρετο ὄνομά τε αὐτοῦ, καὶ οἶκον, καὶ ὅ,τι ἐπιτηδεύων, καὶ ἐφ' ὅ,τι φοιτῴη. καὶ ἀπογραψάμενος ταῦτα ἐς γραμματεῖον,

l. βαρβάρων

CVM intraſſet igitur Babyloniã Apollonius, Satrapa qui magnæ portæ cuſtodiendæ præerat, vbi viſendæ ciuitatis gratia ipſum venire audiuit, regis ſtatuam auream illi obtulit, quam niſi quis procidens adoraſſet, ciuitatem intrare non permittebatur: verùm iis qui ab *Imperatore* Romanorum legati miſſi veniſſent, talis non incumbebat neceſſitas. *ſed ei qui à Barbaris accederet, aut regionem perluſtraret, niſi prius ſimulacrũ coluiſſet, ignominioſum fuiſſet. adeò fatuus mos apud Barbaros obtinuerat.* Apollonius itaq. ſtatuã aſpiciens, cuiuſnam illa eſſet interrogauit: cúmq; regis eã eſſe reſpõſum fuiſſet: Is, inquit, quem vos tam ſuppliciter veneramini, ſi à me tanquam vir bonus laudari meruerit, D maiorem quàm ex hac veneratione gloriam aſſequetur. atque hæc dicens ciuitatis portam intrauit, eius verò audaciam admiratus Satrapa vadentem ſecutus eſt: & apprehenſa manu per interpretem interrogauit, quodnam ſibi nomen eſſet? quæ patria? quod ſtudium? & cuius rei gratia ad ea loca veniſſet? acceptúmque ab Apollonio reſponſum in tabella ſcripſit:

habitum quoque & hominis faciem adiiciens. Inde eos ſiſtere iuſſit: ipſe ad homines, qui regis aures appellantur, procurrens, verbis Apollonium figurauit, dixítq. regis ſtatuam adorare illum noluiſſe, neq. aliis hominib. aliqua ex parte eſſe ſimilem. Illi verò ad ſe honorificè duci, atque ab omni malo intactum ſeruari iuſſerunt. venientem itaque Apollonium, qui eorum natu maior erat interrogauit, quanam fretus diſciplina regem contemneret? Ille verò, nequaquam adhuc ſe contempſiſſe reſpondit. cúmque rurſus ille interrogaret, num te illum contempturum arbitraris? Sane per Iouem, inquit, ſi ipſum allocutus non bonum atque honeſtum eſſe comperero: Num igitur dona aliqua illi affers? affero, inquit, & quidem præclara, fortitudinem, iuſtitiam reliquáſque huiuſmodi virtutes. An igitur tanquam non habenti eas affers? Minimè per Iouem, inquit Apollonius, ſed tanquam ei qui diſcere poſſit ipſis vti, ſi eas habeat. At enim, inquit ſenior, talibus vſus virtutibus rex, amiſſum quod conſpicis regnum recepit, & tam præclaram domum extruxit, non ſine magno labore, & honore. Quotus autem à recepto regno hic eſt annus? interrogauit Apollonius. tum ille, menſis iam ſecundus anni tertij, inquit. Suſpiciēs igitur, vt ſolebat Apollonius: O regij corporis cuſtos, inquit, ſiue quo alio nomine mauis appellari, Darius Cyri filius & Artaxerxis pater, annos (vt opinor) ſexaginta hoc regnum tenuit, cúmque finem iam adeſſe vitæ ſuſpicaretur, tradunt Iuſtitiæ ſacrificantem talia fuiſſe pre-

A στολὴν αὐτοῦ, καὶ εἶδος· ἐκεῖνον μὲν παραμεῖναι κελεύει· δραμὼν δὲ αὐτὸς παρὰ τοὺς ἄνδρας, οἳ δὴ νομίζονται βασιλέως ὦτα, ἀνατυποῖ τὸν Ἀπολλώνιον, προειπὼν ὅτι μήτε προσκυνεῖν βούλεται, μήτε τινὶ ἀνθρώπῳ ἔοικεν· οἱ δ᾽ ἄγειν κελεύουσι, τιμῶντά τε, καὶ μηδὲν ὕβρει πράττοντα. ἐπεὶ δὲ εἰσῆλθεν, ἤρετο
B αὐτὸν ὁ πρεσβύτατος ὅ, τι παθὼν καταφρονήσειε τοῦ βασιλέως. ὁ δὲ, οὔπω, ἔφη, κατεφρόνησα. καταφρονήσαις δ᾽ ἂν πάλιν ἐρομένου· νὴ Δί᾽ εἶπεν, ἤν γε ξυγγενόμενος, μὴ καλόν τε, καὶ ἀγαθὸν εὕρω αὐτόν. ἀπάγεις δὲ δὴ τίνα αὐτῷ δῶρα; τοῦ δὲ αὐτήν τε ἀνδρείαν, καὶ δικαιοσύνην, καὶ τὰ τοιαῦτα φήσαντος· πότερον, ἔφη, ὡς οὐκ ἔχοντι;
C μὰ Δί᾽ εἶπεν, ἀλλ᾽ ὡς μαθησομένῳ χρῆσθαι, ἂν ἔχῃ αὐτάς. καὶ μὴν χρώμενος τούτοις, ἔφη, τήν τε βασιλείαν, ἣν ὁρᾷς ἀπολωλυῖαν, αὐτὸς ἀνέλαβε, τόν τε οἶκον ἐπανήγαγε τοῦτον οὐκ ἀπόνως, οὐδὲ ῥαθύμως· ποσὸν δὲ δὴ τοῦτο ἔτος τῇ ἀνακτηθείσῃ ἀρχῇ; τρίτου, ἔφη, ἁπτόμεθα, δύο ἤδη που
D μῆνες. ἀναστήσας οὖν ὥσπερ εἰώθει τὴν γνώμην, ὦ σωματοφύλαξ, εἶπεν, ἢ ὅ, τι σε προσήκει καλεῖν, Δαρεῖος ὁ Κύρου, καὶ Ἀρταξέρξου πατὴρ, τὰ βασίλεια ταῦτα κατασχὼν, ἑξήκοντα οἶμαι ἔτη λέγεται τελευτὴν ὑποπτεύσας τοῦ βίου, τῇ δικαιοσύνῃ θῦσαι;

καὶ ὦ δέσποινα εἰπεῖν, ἥτις ποτὲ εἶ, ὥσπερ ἐπιθυμήσας μὲν πάλαι τῆς δικαιοσύνης, οὔπω δὲ αὐτὴν γινώσκων, οὐδὲ δοκῶν ἐκτῆσθαι. τὼ παῖδέ τε οὕτως ἀμαθῶς ἐπαίδευσεν, ὡς ὅπλα ἐπ᾽ ἀλλήλοις ἆραι· καὶ ὁ μὲν, τρωθῆναι· ὁ δὲ, ἀποθανεῖν ὑπὸ τοῦ ἑτέρου. σὺ δ᾽ ἤδη τοῦτον ἴσως, οὐδ᾽ ἐν τῷ βασιλείῳ θρόνῳ καθῆσθαι εἰδότα, ξυνειληφέναι ὁμοῦ τὰς ἀρετὰς βούλει, καὶ ἐπαίρεις αὐτόν. σοὶ φέρω*, οὐκ ἐμοὶ κέρδος, εἰ βελτίων γένοιτο. βλέψας οὖν ὁ βάρβαρος ἐς τὸν πλησίον, ἕρμαιον, ἔφη, θεῶν τις ἄγει τουτονὶ τὸν ἄνδρα ἐνταῦθα. ἀγαθὸς γὰρ ξυγγενόμενος ἀγαθῷ, πολλῷ βελτίω τὸν βασιλέα ἀποφανεῖ, καὶ σωφρονέστερόν τε, καὶ ἡδίω. ταυτὶ * γὰρ διαφαίνεται τοῦ ἀνδρός. εἰσέθεον οὖν εὐαγγελιζόμενοι πᾶσιν, ὅτι ἀνὴρ ἐπὶ ταῖς βασιλέως θύραις ἑστήκοι, σοφός τε, καὶ Ἕλλην, καὶ ξύμβουλος ἀγαθός. ἐπεὶ δὲ τῷ βασιλεῖ ἀπήγγειλε ταῦτα, ἔτυχε μὲν θύων παρόντων τῶν μάγων αὐτῷ· τὰ γὰρ ἱερὰ, ὑπ᾽ ἐκείνοις δρᾶται· καλέσας δὲ αὐτῶν ἕνα, ἥκει, ἔφη, τὸ ἐνύπνιον, ὃ διηγούμην σοι τήμερον, ἐπισκοπουμένῳ μου ἐν τῇ εὐνῇ. ὄναρ δὲ ἄρα τῷ βασιλεῖ τοιοῦτον ἀφῖκτο· ἐδόκει Ἀρταξέρξης εἶναι ὁ τοῦ Ξέρξου, καὶ μεθεστηκέναι εἰς ἐκεῖνον τὸ εἶδος*. περιδεῶς τε εἶχε μὴ ἐς μεταβολὴν τὰ πράγματα αὐτῷ ἥκῃ, ἐς τοῦτο ἐξηγουμένῳ τὴν μεταβολὴν τοῦ εἴδους· ἐπεὶ δὲ ἤκουσεν Ἕλληνά τε, καὶ σοφὸν εἶναι τὸν ἥκοντα, εἰσῆλθεν αὐτῷ

A catum: O domina, ſi qua es vſquam, quibus verbis ſatis oſtendit ſe iamdudum iuſtitiam exoptaſſe, neque adhuc illam aut cognoſcere, aut acquirere potuiſſe: quòd ex eo ſatis conſtat, quia adeò filios ſtultè educauit, vt ſibi inuicem arma inferrent, vt eorum alter vulneraretur, alter verò interficeretur à fratre. Tu autem hunc regem vix dum ſatis fermè in ſolio conſtitutum,
B omnes iam apprehendiſſe virtutes putans, tam immoderatè ipſum extollis: quamuis tibi, non mihi lucro futurum ſit, ſi ad meliorem frugem deductus fuerit. Reſpiciens igitur Barbarus in eum, qui proximus aſtabat, *quaſtum affert* quiſquis deorum virum hunc ad nos duxit? bonus enim cum bono conuerſatus, meliorem modeſtiorémque, & propterea nobis iucundiorem re-
C gem efficiet. videtur enim non parum ab aliis hominibus differre. Currentes igitur nunciauerunt regi ſtare ante fores virum Græcum ſapientem, & conſultorem bonum, [vt apparet.] Fortè hoc accedente nuntio rex coram Magis ſacrificabat,* *(nam ſacra auſpicibus illis fiunt.)* aduocans itaque eorum vnum, perficitur, inquit, ſomnium quod ho-
D die tibi narraui cùm me ſalutatum ad lectum veniſſes: viderat autem rex ſomnium huiuſmodi. Iacenti ſibi viſus fuerat adſtare Artaxerxes filius Xerxis in eam formam atque habitum mutatus, *qua nunc eum qui aduenit eſſe referunt. Timuerat igitur Rex ne quam regno permutationem, hoc viſum portenderet, ex formæ commutatione id coniectans. Poſtquam verò audiuit Græcum ac ſapientem eſſe qui aduenerat, venit in mentem

Athenienſis Themiſtoclis : qui ex Græcia quandoque in hæc ipſa loca profectus, cum Artaxerxe familiaritatem iniit: cúmque eum quantiuis pretij effeciſſet, magnam ſibi quoque parauit dignitatem. His dictis dexteram extendens, Vocate intus hominem, inquit: à bono omine aduentus eius ſumpſit exordium, quando diis ſacra & vota mecum facturus aduenit.

A Θεμιστοκλῆς ὁ Ἀθηναῖος· ὃς ἀπὸ Ἑλλήνων ποτὲ ἥκων, συνεγένετο τῷ Ἀρταξέρξῃ· καὶ πολλοῦ ἄξιον ἐκεῖνόν τε ἐποίησεν, ἑαυτόν τε παρέσχετο. καὶ προτείνας τὴν δεξιὰν, καλεῖ ἔφη· καὶ γὰρ δὴ τὸ ἀπὸ τοῦ καλλίστου ἄρξαιτο, ξυνθύσας τε, καὶ ξυνευξάμενος.

Apollonium dum duceretur ad regem, de vxore Pamphyli cuiuſdam Sapphus amica locutum, ne regias opes admirari videretur. hinc ad regem ductum multa cum eo locutum, & admiratum regem. CAP. XX.

INTRAVIT itaque Apollonius à multis vocatus: in eo namque regi gratificari putabant, quòd animaduertiſſent ipſum eius aduentu lætari. Ingreſſus autem regiam nihil reſpexit eorum, quæ ceteros ad admirationem vertere conſueuerant: ſed tanquam viator illa pertranſibat: & Damidem acceſſens, Nunquid, inquit, tu nuper ex me quæſieras quo nomine vxor Pamphyli vocata fuerit, quæ cum Sapphone familiaritatē habuiſſe, & cōpoſuiſſe perhibetur hymnos, qui etiam his temporib. in honorem Pergææ Dianæ cantantur; eos verò, Æoliæ Pamphyliæque modum, ſecuta dicitur edidiſſe? quæſiui ſane (inquit Damis) tu verò nomen haudquaquam protuliſti. non protuli, inquit, ô bone vir, verùm modos hymnorum *tibi exponebam*: & *in quo* potiſſimū Æolica *modulamina* à Pāphyliis *differrēt: alio poſtea nos cōuertimus; nec amplius ſciſcitatus es de nomine.* attamē ſapientis mulieris nomē fuit Damophyla, quæ æquales ſibi virgines congregaſſe fertur: & poëmata compoſuiſſe, partim amatoria,

Εἰσῄει μὲν δὴ παραπεμπόμενος ὑπὸ πλειόνων. τουτὶ γὰρ ᾤοντο καὶ τῷ βασιλεῖ χαρίζεσθαι, μαθόντες ὡς χαίροι ἀφιγμένῳ. διιὼν δὲ ἐς τὰ βασίλεια, οὐδὲ διέβλεψεν ἐς οὐδὲν τῶν θαυμαζομένων, ἀλλ' ὥσπερ ὁδοιπορῶν διῄει αὐτά. C καὶ καλέσας τὸν Δάμιν, ἤρου με, ἔφη, πρώην ὅ,τι ὄνομα ἦν τῇ Παμφύλου γυναικί, ἣ* δὴ Σαπφοῖ τε ὁμιλῆσαι λέγεται, καὶ τοὺς ὕμνους, οὓς εἰς τὴν Ἄρτεμιν τὴν Περγαίαν ᾄδουσι, ξυνθεῖναι τὸν Αἰολέων τε, καὶ Παμφύλων τρόπον; ἠρόμην, ἔφη. τὸ δὲ ὄνομα οὐκ εἶπας. οὐκ ὦ χρηστὲ, εἶπεν, ἀλλ' ἐξηγούμην σοι D τοὺς νόμους τῶν ὕμνων, καὶ τὰ ὀνόματα, καὶ ὅπη τὰ Αἰολέων ἐς τὸ ἀκρότατόν τε*, καὶ τὸ ἴδιον Παμφύλων παρήλλαξε. πρὸς ἄλλῳ μεταταῦτα ἐγενόμεθα, καὶ οὐκ ἔτ' ἤρου με περὶ τοῦ ὀνόματος. καλεῖται τοίνυν ἡ σοφία* αὕτη, Δαμοφύλη· καὶ λέγεται τὸν Σαπφοῦς τρόπον, παρθένους τε γὰρ ὁμιλητρίας κτήσασθαι, ποιήματά τε ξυνθεῖναι, τὰ μὲν, ἐρωτικά, ἴσ. σοφή.

τὰ δὲ, ὕμνους, τὰ, τοὶ ἐς τὴν Ἄρτεμιν καὶ περιᾴδηται αὐτῇ, καὶ ἀπὸ τῶν Σαπφοῦς ᾖσται. τόσον μὲν δὴ ἀπεῖχε τοῦ ἐκπεπλῆχθαι βασιλέα, καὶ ὄγκον, ἐδήλου τῷ μηδὲ ὀφθαλμῶν ἄξια ἡγεῖσθαι τὰ τοιαῦτα, ἀλλὰ ἕτερον περὶ διαλέγεσθαι, κἀκεῖνα δήπου ἡγεῖσθαι ὁρᾶν. προϊδὼν δὲ ὁ βασιλεὺς προσιόντα, καὶ γάρ τι καὶ μῆκος ἡ τοῦ ἱεροῦ αὐλὴ εἶχε, διελάλησέ τε πρὸς τοὺς ἐγγὺς, οἷον ἀναγινώσκων τὸν ἄνδρα· πλησίον τε ἤδη γινομένου· μέγα ἀναβοήσας, οὗτος, ἔφη, Ἀπολλώνιος, ὃν Μεγαβάτης ὁ ἐμὸς ἀδελφὸς ἰδεῖν ἐν Ἀντιοχείᾳ φησὶ θαυμαζόμενόν τε, καὶ προσκυνούμενον ὑπὸ τῶν σπουδαίων. καὶ ἀπεζωγράφησέ μοι τότε τοιοῦτον αὐτὸν, ὁποῖος ἥκει. προσελθόντα δὲ, καὶ ἀσπασάμενον, προσεῖπέ τε ὁ βασιλεὺς φωνῇ Ἑλλάδι, καὶ ἐκέλευσε θύειν μετ' αὐτοῦ. λευκὸν δὲ ἄρα ἵππον τῶν σφόδρα Νισαίων καταθύειν ἔμελλε τῷ ἡλίῳ, φαλάροις κοσμήσας, ὥσπερ ἐς πομπήν. ὁ δ' ὑπολαβὼν, σὺ μὲν ὦ βασιλεῦ θύε, ἔφη, τὸν σαυτοῦ τρόπον, ἐμοὶ δὲ, τὸν ἐμαυτοῦ συγχώρησον θῦσαι· καὶ δραξάμενος τοῦ λιβανωτοῦ· ἥλιε, ἔφη, πέμπε με ἐφ' ὅσον τῆς γῆς ἐμοί τε, καὶ σοὶ δοκεῖ· καὶ γινώσκοιμι ἄνδρας ἀγαθούς· φαύλους δὲ, μήτε ἐγὼ μάθοιμι, μήτε ἐμὲ φαῦλοι. καὶ εἰπὼν ταῦτα, τὸν λιβανωτὸν ἐς τὸ πῦρ ἧκεν. ἐπισκεψάμενος δὲ αὐτὸ ὅπη διανίσταται, καὶ ὅπη θολοῦται, καὶ ὁπόσαις κορυφαῖς ἄττει, καὶ ὅπου καὶ ἐφαπτόμενος τοῦ πυρὸς ὅπη εὔσημόν τε, καὶ καθαρὸν φαίνοιτο, θύε, ἔφη, λοιπὸν ὦ βασιλεῦ κατὰ τὰ σαυτοῦ πάτρια· τὰ γὰρ πάτρια τἀμὰ τοιαῦτα.

A partim Dianæ laudes continentia, multáque ex Sapphus poëmatibus didiciſſe opinatur. Tantùm itaque abfuit, vt regias opes, aut eius faſtum admiraretur, vt ne oculos quidem ad ea aſpicienda vertere dignatus, de rebus aliis ſermones inſtituerit. Rex autem venientem conſpicatus, quòd ſatis magna erat templi magnitudo, quædam ad circunſtantes locutus, agnoſcere ſe hoB minem dixit. inde cùm propiùs acceſſiſſet, magna voce exclamans: Is eſt, inquit Apollonius, quem Megabates frater meus Antiochiæ quandoque ſe vidiſſe retulit, ſummo honore admirationéque à ſtudioſis omnibus habitum: & ipſe tunc talem, qualem nunc video deſignauit. Adeuntem igitur & ſalutantem rex Græco ſermone compellans, ſecum vna ſacrificare diis C iuſſit. Erat autem candidum equum Soli mactaturus ex Niſęis de meliore nota, & egregiis phaleris ornatũ, tanquam in pompam profecturum. Reſpondens autem Apollonius, tu quidem rex tuo more ſacrificabis, inquit, & mihi meo ritu ſacrificare concedes. His dictis thura manibus capiens: O ſumme ſól, inquit, eò me terrarum mitte, quò me profeD cturum eſſe cognoſcis: & concede, precor, vt viros bonos agnoſcam, improbos verò neque agnoſcam, neque agnoſcar ab illis. Hæc dicens igni thura impoſuit diligenter: poſtmodum intuens quo pacto fumus aſcenderet, quáſque vertigines faceret, quantúmq. ſeſe attolleret: inde ignem attingens vbi litaſſe ſibi viſus eſt, Tu, inquit, ô rex tuo more ſacrifica, & tuæ patriæ ritus ſerua, ego autem meo ritu ſacra peregi.

Hæc dicens à ſacrificio diſceſſit, ne cædis aut ſanguinis particeps fieret. Peractis autem ſacris ad regem veniens, An Græcam, inquit, linguam penitus cognitam habes, an bene conſulendi cauſa, & ne iniucundus ſis, ſi Græcus quidam ad te acceſſerit, pauca quædã didiciſti? cùm ille vniuerſam perinde ac propriam ſe noſſe reſpondiſſet, & audacter quæcunq. vellet loqui hortaretur: Audi igitur, inquit Apollonius: peregrinationis noſtræ propoſitum eſt ad Indos proficiſci: attamen ſine veſtro congreſſu tranſire nolui, cùm audiſſem te virum eſſe perfectum, qualem ad vnguem factũ iam video: & ſapientiã quam apud vos vulgò Magi profitentur, noſcere cupiebam, vt viderem an circa diuinas res (vt fertur) ſapientes eſſent: ego verò Pythagoræ Samij diſciplinam profiteor, qui me deos hoc modo colere docuit, & ab ipſis viſibilia inuiſibiliáque cuncta cognoſcere, méque cum illis aliquando loqui: ab eodem præterea didici hoc terreſtri vellere amiciri, quod non ab ouibus detonſum, ſed purum ex puro natum eſt, aquæ atque terræ donum, *linea veſtis*. ipſam quoque comæ prolixitatem à Pythagora accepi: & ab animalibus veſcendis abſtinentia, ex eiuſdem doctrina mihi contigit. comes autem & particeps deſidiæ aut deliciarum nec tibi, nec alij cuiquam eſſe vellem. à curis autem & ſollicitudinibus liberare quemuis facilè poſſum; quòd ea quæ agenda ſunt non ſolùm agnoſco, verumetiam præcognoſco. & hæc cum rege locutum Apollonium non tantũ Damis, ſed ipſe etiam Apollonius in quadam ſcribit epiſtola: ſicut & alia multa ab ſe dicta in epiſtolas retulit.

A καὶ ἀνεχώρησε τῆς θυσίας, ὡς μὴ κοινωνοίη τοῦ αἵματος. μετὰ δὲ τὴν θυσίαν προσελθὼν, καὶ, ὦ βασιλεῦ, ἔφη, τὴν φωνὴν τὴν Ἑλλάδα πᾶσαν γιγνώσκεις, ἢ σμικρὰ αὐτῆς ὑπὲρ τοῦ ξυμβούλου ἴσως, καὶ τοῦ μὴ ἀηδὴς δοκεῖν, εἴ τις ἀφίκοιτο Ἕλλην; πᾶσαν, εἶπεν, ἴσα τῇ ἐγχωρίῳ ταύτῃ· καὶ λέγε ὅ, τι βούλει. διὰ τοῦτο γάρ που ἐρωτᾷς;
B διὰ τοῦτο ἔφη, καὶ ἄκουε. ἡ μὲν ὁρμή μοι τῆς ἀποδημίας, Ἰνδοί εἰσι. παρελθεῖν δὲ οὐδ᾽ ὑμᾶς ἐβουλήθην, σέ τε ἀκούων ἄνδρα, οἷον ἐξ ὄνυχος ἤδη ὁρῶ· σοφίαν τε, ἥπερ ὑμῖν ἐστὶν ἐπιχώριος μελετωμένη μάγοις ἀνδράσι, κατιδεῖν δεόμενος, εἰ τὰ θεῖα ὡς λέγονται σοφοί εἰσι· σοφία δὲ ἐμοὶ Πυθαγόρου Σαμίου ἀνδρὸς, ὃς θεούς θεραπεύειν ὧδέ με ἐδιδάξατο, καὶ ξυνιέναι σφῶν ὁρωμένων
C τε, καὶ οὐχ ὁρωμένων· φοιτᾶν τε ἐς διάλεξιν θεῶν, καὶ γηΐνῳ ἐρίῳ τούτῳ ἐστάλθαι· οὐ γὰρ προβάτου ἐπέχθη, ἀλλ᾽ ἀκήρατος ἀκηράτων φύεται, ὕδατός τε, καὶ γῆς δῶρα, ὀθόνη. καὶ αὐτὸ δὲ τὸ ἀνειμένον τῆς κόμης, ἐκ Πυθαγόρου ἐπήσκησα. καὶ τὸ καθαρεύειν ζῴου βορᾶς, ἐκ τῆς ἐκείνου μοι σοφίας ἥκει. ξυμπότης μὲν δὴ, καὶ κοινωνὸς ῥᾳστώ-
D νης, ἢ τρυφῆς, οὔτ᾽ ἂν σοὶ γενοίμην, οὔτ᾽ ἂν ἑτέρῳ οὐδενί. φροντίδων δὲ ἀπόρων τε, καὶ δυσευρέτων, δοίην ἂν λύσεις· οὐ γὰρ γιγνώσκω τὰ πρακτέα μόνον, ἀλλὰ καὶ προγιγνώσκω. ταῦτα ὁ Δάμις μὲν διαλεχθῆναί φησι τὸν ἄνδρα. Ἀπολλώνιος ἐπιστολὴν δὲ * αὐτὰ πεποίηται. πολλὰ δὲ καὶ ἄλλα τῶν ἑαυτῷ εἰς διάλεξιν εἰρημένων, ἐς ἐπιστολὰς ἀνετυπώσατο.

Apollonio à rege conceſſum vt ab hoſpite priuato acciperetur. hinc miſſum Eunuchum ad Apollonium, vt decem quæcunque vellet munera ab rege peteret, & tempus petendi conſtitutum. tum quid Damus ſuaſerit de accipiendis muneribus.

Cap. XXI.

Ἐπεὶ δὲ χαίρειν ὁ βασιλεὺς ἔφη, καὶ ἀγάλλεσθαι ἥκοντι μᾶλλον, ἢ εἰ τὰ Περσῶν, καὶ Ἰνδῶν πρὸς τοῖς οὖσιν αὐτῷ ἐκτήσατο, ξένον τε πεποιῆσθαι, καὶ κοινωνὸν τῆς βασιλείου στέγης· εἰ ἐγώ σε, ὦ βασιλεῦ, εἶπεν, ἐς πατρίδα τὴν ἐμὴν Τύανα ἥκοντα, ἠξίουν οἰκεῖν οὗ ἐγὼ, ᾤκησας ἄν; μὰ Δί' εἶπεν, εἰ μὴ τοσαύτην γε οἰκίαν οἰκήσειν ἔμελλον, ὁπόσην δορυφόρους τε καὶ σωματοφύλακας ἐμοὺς, αὐτόν τε ἐμὲ λαμπρῶς δέξασθαι. ὁ αὐτὸς οὖν, ἔφη, καὶ παρ' ἐμοῦ λόγος. εἰ γὰρ ὑπὲρ ἐμαυτὸν οἰκήσω, πονηρῶς διαιτήσομαι. τὸ γὰρ ὑπερβάλλον λυπεῖ τοὺς σοφοὺς μᾶλλον, ἢ ὑμᾶς τὸ ἐλλεῖπον. ξενιζέτω μὲν* οὖν ἰδιώτης, ἔχων ὁπόσα ἐγώ. σοὶ δὲ ἐγὼ ξυνέσομαι, ὁπόσα βούλει. ξυνεχώρει ὁ βασιλεὺς, ὡς μὴ ἀηδές τι αὐτῷ λάθοι πράξας· καὶ ᾤκησε παρ' ἀνδρὶ Βαβυλωνίῳ, χρηστῷ τε, καὶ ἄλλως γενναίῳ. δειπνοῦντι δὲ ἤδη, εὐνοῦχος ἐφίσταται, τῶν τὰς ἀγγελίας διαφερόντων. καὶ προσειπὼν τὸν ἄνδρα, βασιλεὺς, ἔφη, δωρεῖταί σε δέκα δωρεαῖς, καὶ ποιεῖταί κύριον τοῦ ἐπαγγεῖλαι αὐτάς· δεῖται δέ σου μὴ μικρὰ αἰτῆσαι. μεγαλοφροσύνην γὰρ ἐνδείξασθαι σοί τε, καὶ ἡμῖν * βούλεται. ἐπαινέσας δὲ τὴν ἐπαγγελίαν, πότε οὖν χρὴ αἰτεῖν, ἤρετο. ὁ δὲ, αὔριον ἔφη. καὶ ἅμα ἐφοίτα

ἴσ. μὲν γοῦν

A Postquam verò rex cum amicis loquens magis gaudere ſe dixit, lætarique ob ea, quæ ab Apollonio audierat, quàm ſi Perſarum, aut Indorum opes diuitiis ſuis adieciſſet, ſibi illum hoſpitem fecit, & aulæ regiæ participem eſſe iuſſit. Tunc Apollonius, Si te, inquit, ô rex, in patriá meam Tyana venientem, rogarē vt in ea domo maneres, quá ego habitarem, num facturus id eſſes? certò, per Iouem, rex inquit, etiam ſi B domū minus* amplā habitaturus eſſem, quàm quæ ſatellites, & mei corporis cuſtodes, & me ipſum pro dignitate accipere poſſet.* Eadem igitur mea ratio nunc eſt, inquit Apollonius: ſi enim domum conditioni meæ imparem habitauero, prauè *vitam degerem*: omnis enim exceſſus maiorem affert moleſtiam ſapientibus, C quàm vobis magnis defectus. Me igitur priuatus quiſpiam malim ſuſcipiat hoſpitio, æqualia mihi poſſidens: ego autem quantumcunque volueris, tecum ſum futurus. Permiſit igitur hoc illi rex, ne quid fortè afferret ei moleſtiæ; inſtituitque vt apud virū Babylonium bonum quidē & perhumanū hoſpitaretur. Cœnantibus autem Eunuchus à rege miſſus ſuperuenit, mādata huiuſmodi à rege D ferens. Rex tibi decē munera donat, poteſtatémq. permittit, quænam illa velis eſſe, deligēdi: rogat autē ne parua petas, quòd beneuolētiæ ſuæ magnitudinem tibi reliquiſq. notā eſſe cupiat. Laudās itaq. nuntiū Apollonius, Quādo, inquit, petēdi tēpus datur? cui eunuchus, cras, inq. & ſimul

amicis omnibus & affinibus regiis nuntiauit, vt poſtridie ad regem venirent, vt petenti Apollonio, & regi petita exequenti adeſſent. Scribit autem Damis ſe putaſſe nihil fore petiturum, quòd & mores eius noſſet, & ipſum quandoque ſic deos precantem audiſſet: O dij concedite mihi pauca habere: & nullius indigere. Rurſus verò cùm ipſum cogitabundum aſpexiſſet, omnino petiturum eſſe, & quidnam petiturus eſſet cogitare illum arbitrabatur. Vergente autem in occaſum die, ô Damis, inquit, ego nunc mecum cogitabam qua de cauſa Barbari eunuchos modeſtos arbitrantur, & ad mulieres cuſtodiendas ipſis vtuntur. Ego hoc, inquit, Damis etiam puero manifeſtum eſſe puto: poſtquam enim membrorum deſectio Veneris vſum illis abſtulit, permittitur illis mulierum cuſtodia, & cum mulieribus dormire ſinunt. Amare etiam, & cum mulieribus concumbere, inquit, Apollonius ablatum illis cenſes? vtrumque ablatum, inquit, arbitror Damis: ſi enim extinguatur, aut auferatur pars ea à qua corpus ad Venerem incitatur, *ne amandi quidem vlli libido fuerit.* Tum tacitè moratus parumper Apollonius, cras diſces, inquit, ô Damis, eunuchos amare, & cupiditatem quæ per oculos inducitur in illis non extingui, ſed calidam & vigentem in ipſis permanere: aliquid enim eueniet quo facilè ratio tua confutabitur: quòd ſi humana quæpiam ars eſt domina poténſque cupiditates eiuſmodi ex animo depellere, non rectè mihi videtur eunuchos temperantium numero adſcribere, quia coacti &

A παρὰ πάντας τοὺς βασιλέως φίλους τε, καὶ ξυγγενεῖς, παρεῖναι κελεύων αἰτοῦντι, καὶ τιμωμένῳ τῷ ἀνδρί. φησὶ δὲ ὁ Δάμις ξυνιέναι μὲν ὅτι μηδὲν αἰτήσοι, τόν τε τρόπον αὐτοῦ καθεωρακὼς, καὶ εἰδὼς αὐτὸν εὐχόμενον τοῖς θεοῖς εὐχὴν τοιαύτην, ὦ θεοὶ, δοίητέ μοι μικρὰ ἔχειν, καὶ δεῖσθαι μηδενός. ἐφεστηκότα μὲν τοι ὁρῶν, καὶ ἐνθυμουμένῳ ὅμοιον οἴεσθαι, ὡς αἰτήσοι B μὲν, βασανίζει δὲ, ὅτι μέλλοι αἰτήσειν, ὁ δὲ, ἑσπέρας ἤδη ὦ Δάμι, ἔφη, θεωρῶ πρὸς ἐμαυτὸν ἐξ ὅτου ποτὲ οἱ βάρβαροι τοὺς εὐνούχους σώφρονάς τε ἡγοῦνται, καὶ ἐς τὰς γυναικωνίτιδας ἐσάγονται. ἀλλὰ τοῦτο, ἔφη, ὦ Ἀπολλώνιε, καὶ παιδὶ δῆλον· ἐπεὶ γὰρ ἡ τομὴ τὸ ἀφροδισιάζειν ἀφαιρεῖται σφᾶς, ἀνεῖνται σφίσιν αἱ γυναικωνίτιδες, C κἂν ξυγκαθεύδειν ταῖς γυναιξὶ βούλονται. τὸ δὲ ἐρᾶν, εἶπεν, ἢ τὸ ξυγγίνεσθαι γυναιξὶν, ἐκτετμῆσθαι αὐτοὺς οἴει; ἄμφω, ἔφη. εἰ γὰρ σβεσθείη τὸ μόριον ὑφ' οὗ διοιστρεῖται τὸ σῶμα, οὐδ' ἂν τὸ ἐρᾶν ἐπέλθοι οὐδενί. ὁ δὲ, βραχὺ ἐπισχὼν, αὔριον, ἔφη, ὦ Δάμι, μάθοις ἂν ὅτι καὶ εὐνοῦχοι ἐρῶσι, καὶ τὸ ἐπιθυμητικὸν, ὅπερ εἰσάγονται D διὰ τῶν ὀφθαλμῶν, οὐκ ἀπομαραίνεται σφῶν, ἀλλὰ μένει θερμόν τε, καὶ ζώπυρον. δεῖ γάρ τι περιπεσεῖν, ὃ τὸν σὸν ἐλέγξει λόγον. εἰ δὲ καὶ τέχνη τις ἦν ἀνθρωπεία, τύραννός τε, καὶ δυνατὴ τὰ τοιαῦτα ἐξωθεῖν τῆς γνώμης, οὐκ ἄν μοι δοκῶ τοὺς εὐνούχους ποτὲ εἰς τὰ τῶν σωφρονούντων ἤθη προσγράψαι, κα-

ἠναγκασμένοις τὴν σωφροσύνην, καὶ βιαίῳ τέχνῃ ἐς τὸ μὴ ἐρᾶν ἠγμένοις· Σωφροσύνη γὰρ τὸ, ὀρεγόμενόν τε, καὶ ὁρμώμενον, μὴ ἡττᾶσθαι Ἀφροδισίων, ἀλλ' ἀπέχεσθαι, καὶ κρείττω φαίνεσθαι τῆς * λύττης ταύτης. ὑπολαβὼν οὖν ὁ Δάμις, ταῦτα μὲν καὶ αὖθις ἐπεσκεψόμεθα, ἔφη, Ἀπολλώνιε· ἃ δὲ χρὴ ἀποκρίνασθαι αὔριον πρὸς τὴν τοῦ βασιλέως ἐπαγγελίαν λαμπρὰν οὖσαν, διεσκέφθαι προσήκει. αἰτήσεις μὲν γὰρ ἴσως οὐδέν· τὸ δ' ὅπως ἂν μὴ ἄλλως φασὶ τύφῳ παραιτεῖσθαι δοκοίης, ἅπερ ἂν ὁ βασιλεὺς διδῷ. τοῦτο ὅρα, καὶ φυλάττου αὐτὸ, ὁρῶν οἷ τῆς γῆς εἶ, καὶ ὅτι ἐπ' αὐτῷ κείμεθα. δεῖ δὲ καὶ φυλάττεσθαι διαβολὰς, ὡς ὑπεροψίᾳ χρώμενον· γινώσκειν τε, ὡς νῦν μὲν ἐφόδιά ἐστιν ἡμῖν, ὁπόσα ἐς Ἰνδοὺς πέμψαι· ἐπανιοῦσι δὲ ἐκεῖθεν, οὔτ' ἂν ἀποχρῆσαι ταῦτα, γένοιτο δὲ οὐκ ἂν ἕτερα.

γρ. λύπης

A violentia quadam compulſi, amore penitus carere putantur. Temperantiæ enim munus eſt, cupientem quidem & appetentem à Venereis non ſuperari, ſed ab illis abſtinere, nec ab illa *rabie* vinci, quam cupitæ rei deſiderium inducit. Tum Damis, hæc, inquit, aliàs conſiderabimus Apolloni. Nunc autem quid regiis pollicitationib. præclaris quidem ac magnis reſpondendum ſit
B conſiderare oportet. Petes enim fortaſſe nihil; in quo cauendum eſt, ne propter ſuperbiam oblata à rege dona repudiare videaris: hoc igitur tibi cauendum eſſe cenſeo; & ſimul vbi terrarum ſimus, & eius ditioni ſubiacere nos conſiderandum puto: maximè verò ſuperbiæ calumniam (vt dixi) fugiendam cenſeo. Animaduertendum præterea puto nobis, quòd nunc viaticum
C ſuppetit quidem vſq. ad Indos; illinc autem redeuntibus ſufficere minimè poſſe, quod nunc habemus, neque vnde capiamus facultatem datum iri.

Simulaſſe primò Apollonium tanquam perſuaſum à Damide accepturum ſe ab rege munera, quòd Æſchines, Plato, Ariſtippus, Elicon, Python, Eudoxus, Speuſippus amatores pecuniarum fuerint: deinde grauiter diſputaſſe de contemnenda pecunia, & præſertim à viro ſapiente. CAP. XXII.

ΚΑΙ τοιάδε ὑπέθαλπεν αὐτὸν τέχνῃ, μὴ ἀπαξιῶσαι λαβεῖν ὅ, τι δῴη. ὁ δὲ Ἀπολλώνιος ὥσπερ ξυλλαμβάνων αὐτῷ τοῦ λόγου, παραδειγμάτων δὲ εἶπεν, ὦ Δάμι, ἀμελήσας, ἐν οἷς ἐστιν ὡς Αἰσχίνης μὲν ὁ τοῦ Λυσανίου παρὰ Διονύσιον ἐς Σικελίαν ὑπὲρ χρημάτων ᾤχετο. Πλάτων δὲ, τρεὶς ἀναμετρῆσαι λέγεται τὴν

D His verbis artificioſè Damis perſuadere tentabat, ne, quæ regem daturum putabat, repudiaret. Apollonius autem quaſi rationibus illis perſuaſus: & alias quoque in eandem ſententiam adiiciens, Exempla, inquit, ad rem facientia prætermiſiſti, ô Damis: Nam Æſchines Lyſaniæ filius in Siciliam ad Dionyſium pecuniæ accipiendæ cauſa nauigauit, & Plato in Siciliam itidem nauigans, ter Charybdim præ-

ternauigaſſe dicitur, Sicularum diuitiarum cauſa. Ariſtippus inſuper Cyrenaicus, Cyzicēus Helicon & Phyton, qui ex Rhegio aufugit, eodem profecti ſunt, omnéſque Dionyſij theſauris ita ſe immerſere, vt vix inde diuelli poſſent. Præterea Gnidium Eudoxum pecuniæ cauſa in Ægyptum profectum, ídq. etiam fateri auſum & hác cum rege aduentus ſui cauſam communicaſſe perhibent. At ne plures calumnier, Speuſippum Athenienſem vſque adeò pecunias amaſſe tradunt, vt in Caſandri nuptiis Macedoniam vſq. ſit profectus; Poëmata ſanè frigidè admodum compoſita ferens; ea publicè pecuniarum gratia recitauerit. Ego autem, ô Damis, ſapientem virum periculis ſubiacere maioribus arbitror, quàm qui in mari nauigant, aut qui in pugna præliantur. Inuidia namque ipſum comitatur & loquentem, & tacentem, & *contentione vtentem*, & remittentem, ſiue aliquid agat ſiue agere omittat, ſiue ſalutet, aut non ſalutet. opus igitur eſt illum vndiq. munitum eſſe & cogitare, quòd ſi à deſidia vincatur ſapiēs, ſiue ab *ira, ſiue ab* amore, aut ebrietate, ſiue aliquid minus opportunè fecerit, veniá fortaſſe merebitur: ſin verò pecuniis ſeſe ſubiecerit, nullam omnino merebitur veniá, omnibúſque erit odio, & vitiis cunctis obnoxius exiſtimabitur, neque enim pecuniarum cupidine ipſum ſuperari putabunt hominès, niſi ventris & vini cupidine ſuperetur, aut nimio veſtitus luxu, quæ plerunque meretricius amor comitatur. Tu autem fortaſſe minus vitium eſſe putas in Babylonia, quàm Athenis, aut in Pythiis, aut in Olympiis peccare: neque exiſtimas ſapienti viro vbique eſſe Græciam, nec vllam ei de-

A χάρυβδιν ὑπὲρ πλούτου Σικελικοῦ. Ἀρίστιππός τε ὁ Κυρηναῖος, καὶ Ἑλίκων ὁ ἐκ Κυζίκου, καὶ Φύτων ὅτ᾽ ἔφευγε Ῥήγιον· οὕτω τι* ἐς τοὺς Διονυσίου κατέδυσαν θησαύρους, ὡς μόγις ἀναχθῆν ἐκεῖθεν. καὶ μὴν καὶ τὸν Κνίδιον φασὶν Εὔδοξον, εἰς Αἴγυπτόν ποτε ἀφικόμενον, ὑπὲρ χρημάτων τε ὁμολογεῖν ἥκειν, καὶ διαλέ-
B γεσθαι τῷ βασιλεῖ ὑπὲρ τούτου. καὶ ἵνα μὴ πλείους διαβάλλω, Σπεύσιππον τὸν Ἀθηναῖον, οὕτω τι* ἐρασιχρήματον γενέσθαι φασὶν, ὡς ἐπὶ τὸν Κασάνδρου γάμον ἐς Μακεδονίαν κωμάσαι, ποιήματα ψυχρὰ ξυνθέντα, καὶ δημοσίᾳ ταῦθ᾽ ὑπὲρ χρημάτων ᾆσαι. ἐγὼ δὲ ὦ Δάμι, τὸν ἄνδρα ἡγοῦμαι τὸν σοφὸν
C πλείω κινδυνεύειν, ἢ τοὺς πλέοντάς τε, καὶ ξὺν ὅπλοις μαχομένους. φθόνος γὰρ ἐπ᾽ αὐτὸν στείχει, καὶ σιωπῶντα, καὶ φθεγγόμενον, καὶ ξυντείνοντα, καὶ ἀνιέντα, κἂν παρέλθῃ τι, κἂν προσέλθῃ τῳ, κἂν προσείπῃ, κἂν μὴ προσείπῃ. δεῖ δὲ πεφράχθαι τὸν ἄνδρα, γινώσκειν τε ὡς ἀργίας μὲν ἡττηθεὶς ὁ σοφὸς, ἢ χολῆς, ἢ
D ἔρωτος, ἢ φιλοποσίας, ἢ ἑτοιμότερόν τι τοῦ καιροῦ πράξας, ἴσως ἂν καὶ ξυγγνώμην φέροιτο. χρήμασι δὲ ὑποθεὶς ἑαυτὸν, οὔτ᾽ ἂν ξυγγινώσκοιτο, καὶ μισοῖτ᾽ ἂν, ὃς ὁμοῦ πάσας κακίας συνειληφώς. μὴ γὰρ ἂν ἡττηθῆναι χρημάτων αὐτὸν, εἰ μὴ γαστρὸς ἥττητο, καὶ ἀμπεχόνης, καὶ οἴνου, καὶ τοῦ ἐς ἑταίρας φέρεσθαι. σὺ δὲ ἴσως ἡγῇ τὸ ἐν Βαβυλῶνι ἁμαρτεῖν, ἧττον εἶναι τὸ Ἀθήνησιν, ἢ Ὀλυμπιάσιν, ἢ Πυθοῖ· καὶ οὐκ ἐνθυμῇ ὅτι σοφῷ ἀνδρὶ Ἑλλὰς πάντα, καὶ οὐδὲν ἐρη-

ἴσ. τοι — ἴσ. τοι — ἴσ. κωμίσασθαι — ἴσ. ἢ τὸ vel τῷ A.

μον, ἢ βάρβαρον χωρίον, οὔτε ἡγήσεται ὁ σοφὸς οὔτε νομιεῖ. ζῶντι γε ὑπὸ τοῖς τῆς ἀρετῆς ὀφθαλμοῖς· καὶ βλέπει μὲν ὀλίγους τῶν ἀνθρώπων, μυρίοις δ' ὄμμασιν αὐτὸν ὁρᾷ. εἰ δὲ καὶ ἀθλητῇ ξυνῆσθα, ὦ Δάμι, τούτων τινὶ, οἳ παλαίειν τε, καὶ παγκρατιάζειν ἀσκοῦσιν, ἆρα ἂν ἠξίους αὐτὸν, εἰ μὴ * Ὀλύμπια ἀγωνίζοιτο, καὶ ἐς Ἀρκαδίαν ἴοι, γενναῖόν τε, καὶ ἀγαθὸν εἶναι· καὶ νὴ Δί' εἰ πύθια ἄγοιτο, ἢ νέμεα ἐπιμελεῖσθαι τοῦ σώματος, ἐπειδὴ φανεροὶ οἱ ἀγῶνες, καὶ τὰ στάδια ἐν σπουδαίῳ τῆς Ἑλλάδος· εἰ δὲ θύοι Φίλιππος Ὀλύμπια πόλεις ᾑρηκὼς, ἢ ὁ τούτου παῖς Ἀλέξανδρος ἐπὶ ταῖς ἑαυτοῦ νίκαις ἀγῶνα ἄγοι, χεῖρον ἤδη παρασκευάζειν τὸ σῶμα, καὶ μὴ φιλονείκως ἔχειν, ἐπειδὴ ἐν Ὀλύνθῳ ἀγωνιεῖται, ἢ Μακεδονίᾳ, ἢ Αἰγύπτῳ ὁ ἀθλητὴς, ἀλλὰ μὴ ἐν Ἕλλησι, καὶ σταδίοις τοῖς ἐκεῖ; ὑπὸ μὲν δὴ τῶν λόγων τούτων ὁ Δάμις οὕτω διατεθῆναί φησιν, ὡς ξυγκαλύψασθαί τε ἐφ' οἷς αὐτὸς εἰρηκὼς ἔτυχε, παραιτεῖσθαί τε τὸν Ἀπολλώνιον ξυγγνώμην αὐτῷ ἔχειν, εἰ μήπω κατανενοηκὼς αὐτὸν, ἐς ξυμβουλίαν τε καὶ πειθὼ τοιαύτην ὥρμησεν. ὁ δὲ, ἀναλαμβάνων αὐτὸν, θάῤῥει ἔφη. οὐ γὰρ ἐπίπληξιν ποιούμενος, ἀλλὰ τοὐμὸν ὑπογράφων σοι, ταῦτα εἶπον.

* γρ. κ. μὴ

A ſertam aut Barbaram regionem, inani exiſtimatione, atque opinione ducendam eſſe: cùm ſemper in oculis virtutis viuat, & homines perpaucos adſpiciat, cùm infinitos pene oculis videat. Quòd ſi quempiam athletam, ô Damis, offenderes luctam aut pugillatoriã artem exercentem, num ipſum cõmendatione aliquo dignum putares niſi cùm Olympia viciſſet, B in Arcadiam proficiſceretur? aut generoſum ipſum fortémque diceres; niſi etiam in Pythiis ac Nemeis corpus exerceret? quia ludi celeberrimi ſunt, & magno Græcorum ſtudio coluntur. Quòd ſi fortè propter captas vrbes Philippus, aut eius filius Alexander *ob captas vrbes & victorias ſacra Olympia faceret.* num athletam illum minorẽ corporis curam habiturum, aut remiſſius certaturum arbitraris? pro- C pterea quòd in Olyntho aut in Macedonia ſiue Ægypto certandum eſſet, & non in Græcia, atque ibidem exiſtentibus ſtadiis. Hac ratione adeò ſe confuſum ſcribit Damis, vt faciem ob pudorem occultaret, ſéque excuſando veniã peteret, quod nondum ſatis illius mente perſpecta talia conſuluiſſet. Verùm Apollonius bono illum animo eſſe iubens: D Confide, inquit, neque enim tui obiurgandi cauſa hæc dixi, ſed vt planè aperirem animum meum.

Apollonium

Apollonium duntaxat à rege petiuiſſe vt Eretriorum miſereretur, dixiſſéque nulla re alia ſe indigere præter panem & bellaria. Deinde Eunuchum quendam cum vna ex regiis pellicibus deprehenſum, nec damnatum morte ſententia Apollonij. hinc quid regi faciundum eſſet, vt ſecurus dominaretur, dixerit Apollonius, déque legatis ad regem. CAP. XXIII.

INTEREA accedente Eunucho, qui illum ad regem vocabat, Veniam, inquit, poſtquam quæ ad deos attinent bene mihi diſpoſita ſunt. Inde votis ſacrificiiſque peractis ad regem perrexit ſpecie conſpicuus, & habitus ornatu admirabilis. Intranti autem primò rex, inquit, Ego decem dona tuo arbitratu eligendą tibi concedo, quia te virum exiſtimo talem, qualis ex Grçcia nondum quiſquam huc venit. Cui Apollonius, Non omnia, inquit, repudiabo, ſed vnum præ multis decadibus expetens, quàm maximè poſſum concedi mihi poſtulo. & ſimul Eretriorum cauſam ſuſcepit, & à Datide incipiens omnes illorum expoſuit calamitates. Rogo, inquit, ne miſeros datis finibus atque colle pelli ſinas: verùm paſcere atque arare intra limites eos illis concedas, quos eis Darius tradit. pergraue enim eſt ſuis amiſſis, his etiam quæ ab alio tradita ſunt, vti non poſſe. Rex itaque placido vultu illum aſpiciens: Eretrij, inquit, vſque ad heſternum (vt ita dixerim) diem hoſtes mei, ac maiorum meorum extitere: poſtquam autem armis ſubacti in ditionem noſtram ceſſerunt: eorúmque genus ad internecionem pene deletum eſt, inter amicos numerabuntur, dabóque illis Satrapam virum bonum, qui iuſtè rectéque res eorum diſponat. Tu verò nouem reliqua dona cur non accipis? quoniam (inquit Apollonius) amicos

A ΑΦικομένου δὲ τοῦ εὐνούχου, καὶ καλοῦντος αὐτὸν παρὰ τὸν βασιλέα, ἀφίξομαι εἶπεν, ἐπειδὰν τὰ πρὸς τοὺς θεοὺς εὖ μοι ἔχῃ. θύσας οὖν, καὶ εὐξάμενος, ἀπῄει περιβλεπόμενός τε, καὶ θαυμαζόμενος τοῦ σχήματος. ὡς δὲ εἴσω παρῆλθε, δίδωμί σοι, ἔφη, ὁ βασιλεὺς, δέκα δωρεὰς, ἄνδρα σε ἡγούμενος, οἷος οὔπω τις ἀπὸ Ἑλλήνων
B ἦλθεν. ὁ δὲ ὑπολαβὼν, οὐ πάσας εἶπεν, ὦ βασιλεῦ, παραιτήσομαι. μίαν δὲ, ἀντὶ πολλῶν δεκάδων αἱροῦμαι, προθύμως αἰτήσω· καὶ ἅμα τὸν περὶ τῶν Ἐρετριέων διῆλθε λόγον, ἀναλαβὼν ἀπὸ τοῦ Δάτιδος. αἰτῶ οὖν, ἔφη, μὴ περικόπτεσθαι τοὺς ἀθλίους τούτους τῶν ὁρίων τε, καὶ τοῦ λόφου,
C ἀλλὰ νέμεσθαι σφᾶς μέτρον τῆς γῆς, ὃ Δαρεῖος ἐνόμισε. δεινὸν γὰρ, εἰ τῆς αὐτῶν ἐκπεσόντες, μηδὲ ἣν ἀντ' ἐκείνης ἔχουσιν, ἕξουσι. ξυνθέμενος οὖν, ὦ βασιλεῦ, Ἐρετριεῖς εἶπεν, εἰς μὲν τὴν χθὲς ἡμέραν, ἐμοί τε πολέμιοι, καὶ πατέρων ἐμῶν ἦσαν, ἐπεὶ ὅπλων ποτὲ ἐφ' ἡμᾶς ἦρξαν,
D καὶ περιεωρῶντο, ὡς τὸ γένος αὐτῶν ἀφανισθείη· λοιπὸν δὲ φίλοι τε ἀναγεγράψονται, καὶ σατράπης αὐτῶν ἀνὴρ ἀγαθὸς, ὃς δικαιώσει τὴν χώραν. τὰς δὲ ἐννέα δωρεὰς, ἔφη, διατί οὐ λήψῃ; ὅτι ὦ βασιλεῦ, εἶπεν, οὔπω φίλοις
E

ἐνταῦθα κτησάμην. αὐτὸς δὲ οὐδενὸς δεῖ; φήσαντος, τῶν γε τραγημάτων ἔφη, καὶ τῶν ἄρτων, ἅ με ἡδέως τε καὶ λαμπρῶς ἑστιᾷ. τοιαῦτα διαλαλούντων πρὸς ἀλλήλους, κραυγὴ τῶν βασιλείων ἐξεφοίτησεν εὐνούχων, καὶ γυναικῶν ἅμα. εἴληπτο δὲ ἄρα εὐνοῦχός τις ἐπὶ μιᾷ τῶν βασιλέως παλλακῶν ξυγκατακείμενός τε, καὶ ὁπόσα οἱ μοιχοὶ πράττων. καὶ ἦγον αὐτὸν ἀμφὶ τὴν γυναικωνῖτιν, ἐπισπῶντες τῆς κόμης, ὃν δὴ ἄγονται τρόπον οἱ βασιλέως δοῦλοι. ἐπεὶ δὲ ὁ πρεσβύτατος τῶν εὐνούχων, ἐρῶντα μὲν αὐτὸν τῆς γυναικὸς πάλαι ᾐσθῆσθαι ἔφη, καὶ προειρηκέναι οἱ μὴ διαλέγεσθαι αὐτῇ, μηδὲ ἅπτεσθαι δέρης, ἢ χειρός, μηδὲ κοσμεῖν ταύτην μόνην τῶν ἔνδον, νῦν δὲ καὶ ξυγκατακείμενον εὑρηκέναι, καὶ ἀνδριζόμενον ἐπὶ τὴν γυναῖκα, ὁ μὲν Ἀπολλώνιος, ἐς τὸν Δάμιν εἶδεν, ὡς δὴ τοῦ λόγου ἀποδεδειγμένου, ὃς ἐφιλοσοφεῖτο αὐτοῖς περὶ τοῦ καὶ εὐνούχων τὸ ἐρᾶν εἶναι. ὁ δὲ βασιλεὺς πρὸς τοὺς παρόντας, ἀλλὰ αἰσχρόν, εἶπεν, ὦ ἄνδρες, παρόντος ἡμῖν Ἀπολλωνίου, περὶ σωφροσύνης ἡμᾶς, ἀλλὰ μὴ τοῦτον ἀποφαίνεσθαι. τί οὖν κελεύεις Ἀπολλώνιε παθεῖν αὐτόν; τί δὲ ἄλλο, ἢ ζῆν, εἶπε, παρὰ τὴν πάντων ἀποκρινάμενος δόξαν. ἀνερυθριάσας οὖν ὁ βασιλεύς, εἶτα οὐ πολλῶν, ἔφη, θανάτων ἄξιος, ὑφέρπων οὕτω τὴν εὐνὴν τὴν ἐμήν; ἀλλ᾽ οὐχ ὑπὲρ ξυγγνώμης, ἔφη, βασιλεῦ, ταῦτα εἶπον, ἀλλ᾽ ὑπὲρ τιμωρίας, ἢ ἀποκναίσει αὐτόν. εἰ γὰρ ζήσεται νοσῶν, καὶ ἀδυνά-

A hîc nondum acquiſiui. Tu autem (inquit rex) nullis ne rebus indiges? pane (inquit Apollonius) & oleribus, quæ me iucundè ſplendidéque paſcunt. Dum ipſi inter ſe talia confabulantur, ingens clamor in regia auditur, ab eunuchis regis mulieribúſque exortus. fuerat autem deprehenſus eunuchus cum vna ex regiis pellicibus cubans, & ſicut mœchi facere ſolent Vene- B rea exercens: hunc cæteri eunuchi ex coma trahentes circa mulierum clauſtrum deducebant. Illo enim pacto regij ſerui trahi ſolent. Inde cum eunuchorum ſenior diceret, ſe iamdudum animaduertiſſe hunc eunuchum eius mulieris amore teneri, ac propterea monuiſſe ne eam alloqueretur, néve collum aut manum omnino tangeret, vtque ab ea ſola exornanda ſe abſtineret. C Nunc tamen cum ea iacentem, & viri opus agẽtem eſſe deprehenſum. Reſpiciens Damidem Apollonius, tacitè ſermonis eius illum admonuit, quem de eunuchis philoſophando locuti fuerant. Rex autem ad circunſtantes conuerſus, Turpe, inquit, eſt, ô viri, præſente Apollonio de modeſtia loqui nos, ac non ipſum potius ferre ſententiam. Quid igitur illum pati dignum cenſes Apol- D loni? Quid aliud (inquit ille) niſi vt viuat? præter omnium opinionem, ita reſpondens. Erubeſcens autem rex, Non illum pluries mori dignum cenſes, qui meum lectum auſus eſt violare? At ego, inquit Apollonius, non veniæ cauſa hoc dixi, ſed ſupplicij, quod ipſum ſi vixerit comitabitur. Si enim in vita æger permanſerit, difficilia & tole-

ratu aſpera multa perferret, nec ci-
bo nec potu vtens, nec ſpectacu-
lis, quæ te tuóſque delectant per-
fruens: ſaliet inſuper in eo cor fre-
quenter, & è ſomno excitabitur,
quòd maximè dicunt amantibus e-
uenire. Quædam igitur ſic viuen-
tem *tabes conficiet*? quædam peſtis viſ-
cera dilaniabit? quòd ſi non ni-
mium vitæ amator ſit, ipſe te ſæ-
pius rogabit, ô rex, vt ſe interficias,
aut ſibi ipſe mortem conſciſcet:
præſentem diem deplorans; quòd
non ſtatim mori ſibi contigerit.
Tale itaque fuit Apollonij reſpon-
ſum, adeò iucundum ac ſapiens,
vt eò perſuaſus rex vitam eunucho
permitteret. Profecturus autem rex
venatum in hortos, vbi leones, fe-
ros, vrſos, pantheráſque cluſas ſer-
uabat, rogauit Apollonium vt ſe-
cum vna ad venandum accederet,
cui Apollonius: An, inquit, obli-
tus es, ô rex, noluiſſe me tibi adeſ-
ſe ſacrificanti? multò igitur minus
iucundè videre poſſem feras vul-
neribus affectas, & præter ipſarum
naturam *ſeruientes. Interroganti
regi quonam pacto ſtabiliter, tu-
téque regnare poſſet, reſpondit A-
pollonius, Si multos honoraueris,
paucis verò credideris. Cùm Syriæ
quidã princeps legatos ad *eum* mi-
ſiſſet, de duob. opinor, vicis qui in fi-
nibus eius poſiti erant; dicerétque
illos quondam Antiocho, Seleu-
cóque paruiſſe, nunc ſuæ ditionis
eſſe, quamuis iure ad Romanos
ſpectent. Arabes autem, & Arme-
nios vicis illis non auſos eſſe mo-
leſtiam inferre, regẽ autem illos in-
uaſiſſe, vt *tam remotæ* terræ fructus
ipſe potius caperet, cùm ad ſe po-
tius quàm ad Romanos crederet

A τῶν ἀπτόμενος, καὶ μήτε σῖτα, μήτε
ποτὰ ἥσει* αὐτοῦ, μήτε θεάματα, ἃ σέ
τε, καὶ τοὺς ξὺν σοὶ συνόντας εὐφραί-
νει· πηδήσεταί τε ἡ καρδία θαμὰ ἐκ-
θρώσκοντος τοῦ ὕπνου, ὃ δὴ μάλιστα
περὶ τοὺς ἐρῶντας φασὶ γίνεσθαι· καί τις
μὲν οὕτω φθόα τήξει αὐτόν· τις δὲ οὕ-
τω λοιμὸς ἐπιτρίψει τὰ σπλάγχνα. εἰ
δὲ μὴ τῶν φιλοψύχων εἴη τις, αὐτὸς,
ὦ βασιλεῦ, δεήσεταί σου ποτὲ καὶ ἀπο-
B κτεῖναι αὐτὸν, ἢ ἑαυτόν γε ἀποκτενεῖ·
πολλὰ ὀλοφυρόμενος τὴν προδοσίαν,
ἐν ᾗ μὴ εὐθὺς ἀπέθανε. τοῦτο μὲν δὴ
τοιοῦτον τοῦ Ἀπολλωνίου, καὶ οὕτω σοφόν
τε, καὶ ἥμερον, ἐφ' ᾧ ὁ βασιλεὺς ἀνῆκε
τὸν θάνατον τῷ εὐνούχῳ. μέλλον δέ πο-
τε πρὸς θήραν γίνεσθαι τῶν ἐν τοῖς πα-
ραδείσοις χωρίων, ἐς οὓς λέοντες ἀπό-
κεινται τοῖς βαρβάροις, καὶ ἄρκτοι, καὶ
C παρδάλεις, ἠξίου τὸν Ἀπολλώνιον πα-
ρατυχεῖν αὐτῷ θηρῶντι. ὁ δὲ, ἐκλέλησαι
ὦ βασιλεῦ, ἔφη, ὅτι μηδὲ θύοντί σοι
παρατυγχάνω· καὶ ἄλλως, οὐχ ἡδὺ θη-
ρίοις βεβασανισμένοις, καὶ παρὰ τὴν
φύσιν τὴν ἑαυτῶν δεδουλωμένοις ἐπι-
τίθεσθαι. ἐρομένου δὲ αὐτοῦ τοῦ βασιλέως,
πῶς ἂν βεβαίως καὶ ἀσφαλῶς ἄρ-
χοι· πολλοὺς, ἔφη, τιμῶν, πιστεύων δὲ ὀ-
D λίγοις. πρεσβευομένου δέ ποτε τοῦ τῆς
Συρίας ἄρχοντος περὶ κωμῶν οἶμαι
δύο προσοίκων τῷ Ζεύγματι, καὶ φάσ-
κοντος ὑπακηκοέναι μὲν αὐτὰς Ἀν-
τιόχῳ, καὶ Σελεύκῳ πάλαι, νῦν δὲ ὑπ'
αὐτῷ εἶναι, Ῥωμαίοις προσηκούσας· καὶ
τοὺς μὲν Ἀρραβίους τε, καὶ Ἀρμενίους,
μὴ ἐνοχλεῖν τὰς κώμας, αὐτὸν δὲ ὑπερ-
βαίνοντα τοσαύτην γῆν καρποῦσθαι σφᾶς, ὡς αὐτοῦ μᾶλλον, ἢ Ῥωμαίων

ύσας, μεταστησάμενος ὁ βασιλεὺς τοὺς πρέσβεις, τὰς μὲν κώμας ταύτας, Ἀπολλώνιε, ἔφη, ξυνεχώρησαν τοῖς ἐμοῖς προγόνοις οἱ βασιλεῖς, οὓς εἶπον, τροφῆς ἕνεκα τῶν θηρίων, ἃ παρ' ἡμῖν ἁλισκόμενα, φοιτῶσιν ἐς τὴν ἐκείνων διὰ τοῦ Εὐφράτου. οἱ δ' ὥσπερ ἐκλαθόμενοι τούτου, καινῶν τε καὶ ἀδίκων ἅπτονται. τίς οὖν φαίνεταί σοι τῆς πρεσβείας ὁ νοῦς; μέτριος, ὦ βασιλεῦ, ἔφη, καὶ ἐπιεικής, εἰ ἃ δύνανται καὶ ἄκοντος ἔχειν ἐν τῇ αὐτῶν ὄντα, βούλονται παρ' ἑκόντος εὑρίσκεσθαι μᾶλλον. προσετίθει δὲ καὶ τὸ μὴ δεῖν ὑπὲρ κωμῶν, ὧν μείζους κέκτηνται τάχα καὶ ἰδιῶται, διαφέρεσθαι πρὸς Ῥωμαίους, καὶ πόλεμον οὐδ' ὑπὲρ μεγάλων αἱρεῖσθαι.

A pertinere: Rex autem parumper à ſe dimiſſis legatis, hos pagos, inquit, Apolloni, prædicti reges maioribus meis conceſſere pro his feris educandis, quæ à nobis captæ per Euphratem ad eos perueniunt. Iſti verò tanquam horum obliti rebus nouis & iniuſtis ſtudent. Tibi igitur qualis legationis hæc ſententia videtur? Modeſta, inquit Apollonius, & iuſta, ſi quæ poſſunt etiam te inuito poſſidere, cùm ſint in eorum
A teis coronis indigenæ ornabant: aſſerentes vnum ex his eſſe qui pro rege Poro aduerſus Alexandrum pugnauerat; quem, propterea quòd in pugna promptiſſimè verſatus eſſet, Alexander Soli dedicauit. Eſſe autem illi torques aureos circa dentes, ſeu potius cornua libeat appellare, & in torquib. literas Græcas inſculptas hæc verba referre: ALEXANDER IOVIS FILIVS AIACEM B SOLI. Hoc enim Aiacis nomen ipſe elephanto impoſuit, magnũ magno nomine exornans. Coniiciunt autem indigenæ annos quinquaginta ſupra trecentos ab ea, quam diximus, pugna ad ea tempora interceſſiſſe: cùm tamen ſcire non poſſint, quot fuerit natus annos, quando pugnæ interfuit. Iuba verò quondam rex Libyæ in ſcriptis C retulit equites Libycos quandoque elephantis inſidentes inter ſe pugnaſſe, fuiſſéque alteri elephantorum parti turrim dentibus inſculptam, alteri verò nihil: cúmque nox pugnantes occupaſſet, partem, quæ turrim in dentibus geſtabat, ſuperatam, in Atlantem montem confugiſſe: ſe verò poſt id tempus annos quadringentos ex iis vnum cœpiſſe, qui aufugerant: D & inſigne illius dentibus inſculptum inueniſſe, [quaſi nuper fabricatum,] *& nondum tempore contuſum*. Is Iuba dentes elephantorum, cornua eſſe arbitratur, eò quòd à temporibus naſcantur.. Acuere autem ipſa elephantes dicuntur, quod nulli alij ineſt animalium: permanere eadem etiam quæ primitus naſcuntur, nec decidere, ſicut dentes, ac rurſus naſci. Ego autem his rationibus nequaquam aſſentior. Cornua enim, & ſi non omnium animalium, elephantorum ſaltem decidunt, ac renaſcuntur:

dẽtes verò homini quidẽ excidũt & renaſcũtur: aliorum autẽ animalium nulli cõtingit, vt dentes ceteris eminẽtiores, quas ſannas vulgò dicimus, aut gemini etiam ſponte cadãt: quòd ſi fortè violentia quadã coacti ceciderint, non renaſcuntur. Armorũ enim inſtar natura maxillis eos inſeruit. Inſuper cornua lineam quãdam veluti torno impreſſam ſingulis annis circa radices obducunt: quod oues etiam, capræ, bouéſq. teſtantur. Dens autem leuis, politúſque oritur, & niſi violenter frangatur, talis permanet. materiam enim ſubſtantiámque lapidis participare videtur. Cornua inſuper ea tantùm habent animalia, quibus duplex, bifidáque eſt vngula. Elephas verò quinque habet vngues, & plantam multipliciter ſciſſam, ne altius pedes imprimat, ſi quãdo in humido ſolo fortè conſtiterit. Præterea natura cornutis omnibus animalibus perforata, & in medio vacua oſſa ſupponens, tale etiam extrinſecùs cornu producit. Elephantorum autem plena, & per omnes partes ſimilia oſſa ſunt: quòd ſi illa extrinſecus quis adaperta inſpiciat, in medio tenue foramen inueniet, ſicut in dentibus eſſe videmus. Sunt autem paluſtrium elephãtorum dentes liuidi, rari, tractúque difficiles: & in pleriſq. partibus foramina ſunt, in aliis verò partibus quaſi grãdinis grana tumores quidã inſurgunt, & arti minimè obtemperant. Montanorũ verò minores ſunt dentes: verùm & ſufficienter albi ſunt, & nihil in eis difficile inuenitur. Optimi autem omnium ſunt campeſtrium elephantorum dentes. Maximi enim albiſſimíque ſunt, & ſectu faciles, vt nullo labore in quamcunque manus voluerit partem, deducantur.

A τῶν ἀνθρώπων ἐκπεσοῦνται, καὶ ἀναφύσονται πάντες· ζώων δ' ἂν οὐδενὶ ἑτέρῳ χαυλιόδους αὖ, ἢ σιωόδους αὐτομάτως ἐκπέσοι, οὐδ' ἂν ἐπανέλθοι ἐκπεσών· ὅπλου γὰρ ἕνεκα, ἡ φύσις ἐμβιβάζει αὐτοὺς ἐς τὰς γένυς. καὶ ἄλλως, τὰ κέρατα γραμμὴν ἀποτορνεύει κύκλῳ πρὸς τῇ ῥίζῃ κατ' ἐνιαυτὸν ἕκαστον, ὡς αἶγές τε δηλοῦ-

B σι, καὶ ποίμναι, καὶ βόες· ὀδοὺς δὲ λεῖος ἐκφύεται καὶ ἣν μὴ πηρωθῇ τι αὐτόν, τοιόσδε ἀεὶ μένει· μετέχει γὰρ τῆς λιθώδους ὕλης τε, καὶ οὐσίας. καὶ μὴν καὶ τὸ κερασφορεῖν περὶ τὰ δίχηλα τῶν ζώων μόνα ἕστηκε· τὸ δὲ ζῷον τοῦτο, πεντώνυχον, καὶ πολυσχιδὲς τὴν βάσιν· ἢ διὰ τὸ ἐσφίχθαι χηλαῖς, ὥσπερ ἐν ὑγρῷ ἕστηκε. καὶ τοῖς μὲν κερασφόροις ἅ-

C πασιν ὑποβάλλουσα ἡ φύσις ὀστᾶ συριγγώδη, περιφύει τὸ κέρας ἔξωθεν. τὸ δὲ τῶν ἐλεφάντων, πλῆρες ἀποφαίνει, καὶ ὅμοιον· ἀναπτύξαντι δὲ, σύριγξ αὐτὸ λεπτὴ διέρπει μέσον, ὥσπερ τοὺς ὀδόντας. εἰσὶ δὲ οἱ μὲν τῶν ἑλείων ὀδόντες, πελιδνοί, καὶ μανοί, μεταχειρίζεσθαι δὲ ἄτοποι· πολλαχοῦ μὲν γὰρ αὐτῶν ὑποδεδύκασι

D σήραγγες, πολλαχοῦ δὲ ἀνεστᾶσι χάλαζαι, μὴ ξυγχωροῦσαι τῇ τέχνῃ. οἱ δὲ τῶν ὀρείων, μείους μὲν, ἢ οὗτοι, λευκοὶ δὲ ἱκανῶς, καὶ δύσεργον περὶ αὐτοὺς οὐδέν· ἄριστοι δὲ οἱ τῶν πεδινῶν ὀδόντες· μέγιστοί τε γὰρ, καὶ λευκότατοι, καὶ ἀναπτύξαι ἡδεῖς· καὶ γίγνονται πᾶν ὅ, τι ἐθέλῃ ἡ χείρ.

De moribus elephantorum, amoréque in fœtus animalium omnium. & quòd leæna pardorum amore capiatur: leones verò ſi maculoſos viderint catulos, eos vt nothos diſcerpant. Phocam præterea, quòd mortuum peperiſſet catulum, triduò à cibo præ dolore abſtinuiſſe. Aquilam etiam aëtite lapide (ἀπὸ τοῦ ἀετοῦ, *id eſt, aquila dicto) Ciconiam verò lychnite* (λύχνος *lucerna eſt) nidos ſuos, vt ſerpentes arceant, conglutinare.* CAP. VII.

ΕΙ δὲ καὶ ἤθη ἐλεφάντων χρὴ ἀναγράφειν, τοὺς μὲν ἐν τῷ ἕλει ἁλισκομένους, ἀνοήτους ἡγοῦνται, καὶ κούφους Ἰνδοί· τοὺς δὲ ἐκ τῶν ὀρῶν, κακοήθεις τε, καὶ ἐπιβουλευτάς. καὶ ἣν μὴ δέωνταί τινος, οὐ βεβαίους τοῖς ἀνθρώποις· τοὺς πεδινοὶ δὲ, χρηστοί τε εἶναι λέγονται, καὶ εὐάγωγοι, καὶ μιμήσεως ἐρασταί· γράφουσι γοῦν, καὶ ὀρχοῦνται, καὶ παρενσαλεύουσι πρὸς αὐλὸν, καὶ πηδῶσιν ἀπὸ τῆς γῆς ἐκεῖνοι. ἰδὼν δὲ τοὺς ἐλέφαντας ὁ Ἀπολλώνιος τὸν Ἰνδὸν περαιουμένους· ἦσαν δὲ οἶμαι τριάκοντα, καὶ χρωμένους ἡγεμόνι τῷ μικροτάτῳ σφῶν· καὶ τοὺς μείζους αὐτῶν ἀνειληφότας τοὺς αὐτῶν πώλους ἐπὶ τὰς τῶν ὀδόντων προβολὰς, τάς τε προνομαίας ἐπεζευχότας δεσμοῦ ἕνεκα· ταῦτα μὲν, ἔφη, ὦ Δάμι, οὐδὲ ἐπιτάττοντος οὐδενὸς αὐτοῖς, ἀφ' * αὑτῶν οὗτοι διὰ ξύνεσίν τε, καὶ σοφίαν πράττουσι· καὶ ὁρᾷς ὡς παραπλησίως τοῖς σκευαγωγοῦσιν ἀνειλήφασι τοὺς πώλους, καὶ καταδησάμενοι αὐτοὺς ἄγουσιν; ὁρῶ, ἔφη, Ἀπολλώνιε, ὡς σοφῶς τε αὐτὸ, καὶ ξυνετῶς πράττουσι· τί οὖν βούλεται τὸ εὔηθες ἐκεῖνο φρόντισμα τοῖς ἐρεσχελοῦσι, φυσικὴν, ἢ μὴ, τὴν πρὸς τὰ τέκνα εὔνοιαν εἶναι; τουτὶ γὰρ καὶ ἐλέφαντες ἤδη βοῶσιν, ὡς παρὰ τῆς φύσεως αὐτοῖς ἥκει.

* χ. ἐφ' ἑαυ.

A QVÒD ſi elephantorum etiam mores deſcribere volumus, quod Indi aſſerunt, referemus. Illi enim in paludibus captos, dementes, leuéſque eſſe dicunt: montanos vero peruerſos, & inſidioſos: &, niſi alicuius rei indigeant, minimè erga homines fidi. Campeſtres autem benigni perhibentur, & manſueti, & imitationis amatores. B Scribunt igitur atque tripudiant, & ad fiſtulæ ſonitum ſaliunt, ſéque à terra ſaltando ſubleuant. Cùm videret Apollonius elephantos Indum flumen tranſeuntes (erant autem circiter triginta: & duce vtebantur eo, qui inter ipſos minimus erat: maiores vero ipſorum ſuper dentium eminentias pullos geſtabant, promuſcide tanquam vinculo ipſos com- C plectentes) hæc, inquit, ô Damis, nullo iubente ex ſe ipſis naturali quadam prudentia, ac ſapientia faciunt. Vides enim quo pacto ſarcinarum vectores imitati, ſuos deferant pullos vinculis (ne fortè cadant) eos complexi. Video, inquit Damis, prudenter ſapientérq. ipſos id operari. Quid igitur ſibi vult inſana quorundã ſolicitudo inaniter quærentium, naturalíſne ſit, an non, erga filios beneuolentia? Hoc enim elephanti etiam clamant à natura ipſis talem beneuolentiam datam.

Neque

Neque enim id ſicut alia quædam ab hominibus didicere. Hi namque cum hominibus non vixerunt, ſed natura ducuntur, vt ament, quod pepererunt: propterea illis prouident, eóſque nutriunt. Verùm non elephantis duntaxat hoc eſt dicendum, quos ego ſecundos ab homine pono*: ſed hoc magis in vrſis admiror, qui cùm feritate ceteras belluas ſuperent, pro catulis tamen omnia faciunt. Itidem quoque faciunt lupi, rapinis ſemper intenti. Fœmina autem partus cuſtodit: maſculus autem pro catulorum ſalute cibos ad ipſam defert. Idem etiam pantheræ faciunt, quæ propter caliditatem matres fieri gaudent: & tunc maribus dominari volunt, ac domui præſidere. mares verò patienter omnia ſuſtinent propter catulorum amorem. De leænis autem huiuſmodi ſermo narratur: ipſas amorem in ſui * pardos trahere, eóſque in leonum cubilibus * ſuſcipere: vbi verò ſe eorum concubitu grauidas ſentiunt, ad montes confugiunt, & pardorum cōſueta loca ſequuntur. Pariunt autem maculoſos catulos: propterea in *auiis &* denſis ſyluis occultatos nutriunt, ſimulantes venationis cauſa à maribus abeſſe. Leones enim ſi forte catulos viderint, eos lacerant *ac diſcerpunt* tanquam adulteram *ſobolem. Animaduertiſti etiam vtique in Homericorum leonum aliquo, vt pro ſuis catulis torue intueatur, & vires ad præliū colligat.* Tigrim quoque inſigni crudelitate animal ferunt, in hac ipſa regione, & ad naues vſque penes rubrum mare habitantium procedere, catulorum repetundorum gratia,

* *tum ſagacitate, tum conſilio.*

A οὐ γὰρ δὴ παρὰ ἀνθρώπων γε μεμαθήκασιν αὐτό, ὥσπερ τὰ ἄλλα, οἵ γε μηδὲ ξυμβεβιώκασί πω ἀνθρώποις, ἀλλὰ φύσει κεκτημένοι τὸ φιλεῖν ἃ ἔτεκον, προκήδονταί τε αὐτῶν, καὶ παιδοτροφοῦσι. καὶ μὴ τοὺς ἐλέφαντας εἴπῃς, ὦ Δάμι· τοῦτο γὰρ τὸ ζῷον, δεύτερον ἀνθρώπου τάττω κατὰ ξύνεσίν τε, καὶ βου-
B λάς*· ἀλλὰ τὰς τῶν ἄρκτους ἐνθυμοῦμαι μᾶλλον, ὡς ἀγριώταται θηρίων οὖσαι, πάνθ' ὑπὲρ τῶν σκύμνων πράττουσι, τοὺς δὲ λύκους, ὡς ἀεὶ προσκείμενοι τῷ ἁρπάζειν, ἡ μὲν θήλεια φυλάττει ἃ ἔτεκεν· ὁ δὲ ἄρρην, ὑπὲρ σωτηρίας τῶν σκυλάκων, ἀπάγει αὐτῇ σῖτον. τάς τε παρδάλεις ὡσαύτως, αἳ διὰ θερμότητα χαίρουσι, τῷ γίνεσθαι μητέρες· δεσπόζειν
C γὰρ δὴ τότε βούλονται τῶν ἀρρένων, καὶ τοῦ οἴκου ἄρχειν· οἱ δὲ ἀνέχονται τὸ ἐξ αὐτῶν πᾶν, ἡττώμενοι τοῦ τόκου. λέγεται δέ τις καὶ περὶ τῶν λεαινῶν λόγος, ὡς ἐρασταὶ μὲν ποιοῦνται τοὺς παρδάλεις, καὶ δέχονται αὐτοὺς ἐπὶ τὰς εὐνὰς τῶν λεόντων, ἐς τὰ πεδία*· τῆς δὲ γαστρὸς ὥραν ἀγούσης, ἀναφεύγουσιν ἐς τὰ ὄρη, καὶ τὰ
D τῶν παρδάλεων ἤθη· στικτὰ γὰρ τίκτουσιν. ὅθεν κρύπτουσιν αὐτά, καὶ θηλάζουσιν ἐν σκολιαῖς λόχμαις, πλασάμεναι ἀφημερεύειν πρὸς θήραν. εἰ γὰρ φωράσειαν πού τι οἱ λέοντες, διασπῶνται τοὺς σκύμνους, καὶ ξαίνουσι τὴν φορὰν ὡς νόθον. ἐνέτυχες δήπου καὶ τῶν Ὁμηρείων λεόντων ἑνί, ὡς ὑπὲρ τῶν ἑαυτοῦ σκύμνων δεινὸν βλέπει, καὶ ῥώννυσιν ἑαυτὸν μάχης ἅπτεσθαι. καὶ τὴν τίγριν δέ, χαλεπωτάτην οὖσαν φασὶν ἐν τῇδε τῇ χώρᾳ, καὶ περὶ τὴν θάλατταν τὴν ἐρυθρὰν ἐπὶ τὰς ναῦς ἵεσθαι, τοὺς σκύμνους ἀπαιτοῦσαν,

* χ. βουλεί.

* χ. παιδία.

καὶ ἀπολαβοῦσαν μὲν, ἀπιέναι χαίρουσαν· εἰ δὲ ἀποπλεύσαιεν, ὠρύεσθαι αὐτὴν πρὸς τῇ θαλάττῃ, καὶ ἀποθνήσκειν ἐνίοτε. τὰ δὲ τῶν ὀρνίθων, τίς οὐκ οἶδεν, ὡς ἀετοὶ μὲν, καὶ πελαργοὶ, καλιὰς οὐκ ἂν πήξαιντο, μὴ πρότερον αὐταῖς ἐναρμόσαντες, ὁ μὲν, τὸν ἀετίτην λίθον, ὁ δὲ, τὸν λυχνίτην, ὑπὲρ τῆς ὠογονίας, καὶ τοῦ μὴ πελάζειν σφίσι τοὺς ὄφεις. κἂν τὰ ἐν τῇ θαλάττῃ σκοπῶμεν· τοὺς δὲ δελφῖνας οὐκ ἂν θαυμάσαιμεν, εἰ χρηστοὶ ὄντες, φιλοτεκνοῦσι· φαλλαίνας δὲ, καὶ φώκας, καὶ τὰ ζωοτόκα ἔθνη, πῶς οὐ θαυμασόμεθα; εἰ φώκη μὲν, ἣν εἶδον ἐγὼ ἐν Αἰγαῖς καθειργμένην ἐς κυνήγια, οὕτως ἐπένθησεν ἀποθανόντα τὸν σκύμνον, ὃν ἐν τῷ οἰκίσκῳ ἀπεκύησεν, ὡς μὴ προσδέξασθαι τριῶν ἡμερῶν σῖτον, καίτοι βορωτάτη θηρίων οὖσα· φάλλαινα δὲ, ἐς τοὺς χηραμοὺς τῆς φάρυγγος ἀναλαμβάνει τοὺς σκύμνους, ὁπότε φεύγῃ τι ἑαυτῆς μεῖζον. καὶ ἔχιδνα ὤφθη ποτὲ τοὺς ὄφεις, οὓς ἀπέτεκε, λιχμωμένη, καὶ θεραπεύουσα ἐκείνη τῇ γλώττῃ.

A illíſque receptis cum gaudio abire: quòd ſi ablatis catulis abeuntes naues aſpiciat, mœſtam in littore vlulare, quandoque etiam ob doloris magnitudinem mori. Aues quoque quis non videat pullorum cauſa multa facientes, velut aquilas ac ciconias? quæ nunquam nidos extruunt, quin lapides illis imponant: hæc quidem à ſe aquilinum vocatum, illa verò lychnitem appellatum:
B vt oua fœtum producant, & ſerpentes nidis non appropinquent. Quòd ſi maritimas etiam belluas cõſideremus,* nec admiremur delphinas, quòd cùm benigni exiſtant, ſuos ament fœtus: ſed balænas & phocas; & cætera quæ fœtus viuentes edunt, quomodo non admirabimur? Cùm ergo in Ægis inſula viderim phocam à piſcatoribus comprehenſam, mortuum filium, quem
C in carcere, vt ſic dicam, pepererat, ita deplorare, vt triduo à cibis abſtinuerit, quamuis omnium belluarum voraciſſima ſit. Balæna autem faucibus filios abſcondit, ſi quando maiorem belluam fugere contigerit. Vipera etiam viſa eſt ſerpentes, quos peperit, lingua lambere, & quaſi expolire.

An verum ſit, quod de vipera pariente à quibuſdam dicitur. Hinc Euripidis Iambicum, ἅπασι δ' ἀνθρώποισιν ἡ ψυχὴ τέκνα. *id eſt,* Cunctis hominibus filij ſunt corculum. *à Philoſtrato ſic repoſitum,* ἅπασι δὲ ζώοισιν ἡ ψυχὴ τέκνα. *id eſt,* Natos parentes, vt cor omnes diligunt. *Item cur minimi elephantes in itinere præcedant. Quidq. Iuba de ipſis ſcripſerit. Deinde de traiectu fluminis: quantáq. ſit illius latitudo.*

Cap. VIII.

ΜΗ γὰρ δεχώμεθα, ὦ Δάμι, τὸν εὐήθη λόγον, ὡς ἀμήτορες οἱ τῶν ἐχιδνῶν τίκτονται. τουτὶ γὰρ οὐδὲ ἡ φύσις ξυγκεχώρηκεν, οὔτε ἡ πεῖρα. ὑπολαβὼν οὖν ὁ Δάμις, ξυγ-

NON enim aſſentior, ô Damis, imprudenti eorum ſermoni, qui dicunt viperarum filios abſque matre naſci. Neque enim hoc natura patitur, neque cõprobat experientia. Tum Damis, Concedes igi-

tur, inquit, Apolloni, Euripidis Iambicum laudare, in quo Andromacham talia dicentem inducit:

*Cunctis hominibus liberi * anima & vita ſunt.*

Concedo, inquit Apollonius. ſcitè enim, ſapientérque dictum videtur: ſed veriùs multò, ſapientiúſque dixiſſet, ſi de omnibus animalibus eandem protuliſſet ſententiam. Vis igitur, inquit Damis, carmen illud ita decantari?

Animantibus cunctis anima ſunt filij.

in quo ego tibi aſſentior, atque illud ex te quæro: nam in orationis principio diximus, ſapientiam, mentémque elephantis ineſſe. Et verè diximus, inquit Apollonius: niſi enim mens quædam hoc animal gubernaret, neque ipſum produceretur, neque gentes extarent *, apud quas bellua naſcitur. Cur igitur, inquit Damis, tam imprudentem, ſibíque inutilem tranationem faciunt? Præcedit enim (vt vides) omnium minimus, ipſum verò ſequitur paulo maior, & poſt ipſum alius, ita vt eorum maximi poſtremi ſint. Oportebat autem contrarium ordinem in tranſeundo ſeruare, maioréſque tanquam muros, & propugnacula ceteris facere. Tunc Apollonius, Minimè verò, inquit: primùm enim videntur inſequentes homines effugere; qui etiam nobis occurrent, illorum veſtigia ſectantes. Oportebat igitur contra inſequentes hoſtes à tergo muniri, ſicut in pugna fieri videmus. *proinde hanc belluam ordinis aciei ſeruantiſſimam eſſe puta.* Inſuper ſi eorum maximi prius flumen tranſiſſent, ignotum erat an fluminis altitudinem ceteri minores poſſent ſuperare.

A χωρεῖς οὖν, ἔφη, τὸν Εὐριπίδην ἐπαι-
νεῖν ἐπὶ τῷ ἰαμβείῳ τούτῳ, ᾧ * πε- κ. ὁ πε.
ποίηται αὐτῷ ἡ Ἀνδρομάχη λέγουσα,
Ἅπασι δ᾽ ἀνθρώποις ἄρ᾽ ἦν ψυχὴ
τέκνα; ξυγχωρῶ, ἔφη. σοφῶς γὰρ,
καὶ δαιμονίως εἴρηται· πολλῷ δ᾽ ἂν
σοφώτερόν τε, καὶ ἀληθέστερον εἶχεν, εἰ
περὶ πάντων ζῴων ὕμνοιτο. ἔοικας, ἔ-
φη, Ἀπολλώνιε μεταγράφειν τὸ ἰαμ-
B βεῖον, ἵν᾽ οὕτως ᾄδοιμεν, Ἅπασι δὲ
ζῴοις ἄρ᾽ ἦν ψυχὴ τέκνα. καὶ ἕπο-
μαί σοι· βέλτιον γάρ· ἀλλ᾽ ἐκεῖνο μέν
εἰπὲ, οὐκ ἐν ἀρχῇ τῶν λόγων ἔφαμεν
σοφίαν εἶναι περὶ τοὺς ἐλέφαντας, καὶ
νοῦν, περὶ ἃ πράττουσι; καὶ εἰκότως εἴ-
πεν, ὦ Δάμι, ἔφαμεν. εἰ γὰρ μὴ νοῦς
ἐκυβέρνα τόδε τὸ θηρίον, οὔτ᾽ ἂν αὐ-
τὸ διεγίγνετο, οὔτ᾽ ἂν τὰ ἔθνη, ἐν οἷς γί-
γνεται. τί οὖν, ἔφη, οὕτως ἀμαθῶς, καὶ
C οὐ πρὸς τὸ χρήσιμον ἑαυτοῖς τὴν διά-
βασιν ποιοῦνται; ἡγεῖται μὲν γὰρ ὡς
ὁρᾷς ὁ μικρότατος, ἕπεται δὲ αὐτῶν
τις ὀλίγον μείζων. εἶτα ὑπὸ τούτων;
ἕτερος· καὶ οἱ μέγιστοι κατόπιν πάντες.
ἔδει δέ που τὸ ἐναντίον στόλον αὐτοὺς
πορεύεσθαι, καὶ τοὺς μεγίστους, τείχη, καὶ
προβλήματα ἑαυτῶν ποιεῖσθαι. ἀλλ᾽
ὦ Δάμι, ἔφη, πρῶτον μὲν ὑποφυ-
γὴν ἐοίκασι δίωξιν ἀνθρώπων, οἷς που
D καὶ ἐντευξόμεθα, ἑπομένοις τῷ ἴχνει·
πρὸς δὲ τοὺς ἐπικειμένους, ἔδει τὰ
κατὰ νώτου πεφράχθαι μᾶλλον, ὥσ-
περ ἐν τοῖς πολέμοις. καὶ τοῦτο τακτικώ-
τατον ἡγοῦ τῶν θηρίων. ἔπειτα ἡ διά-
βασις, εἰ μὲν προδιέβαινον οἱ μέ-
γιστοι σφῶν, οὔπω τεκμαίρεσθαι * παρεῖ- ἴσ. παρεῖχον
χον ἂν τοῦ ὕδατος, εἰ διαβήσονται πάντες:

τοῖς μὲν γὰρ εὔπορός τε, καὶ ῥᾳδία ἡ περαίωσις, ὑψηλοτάτοις οὖσι· τοῖς δὲ, χαλεπή τε, καὶ ἄπορος, μὴ ὑπεραίροισι τοῦ ῥεύματος· διελθὼν δὲ ὁ σμικρότατος, τὸ ἄλυπον ἤδη καὶ τοῖς λοιποῖς ἑρμηνεύει. καὶ ἄλλως, οἱ μὲν μείζους γ. προσεμβ. προεμβαίνοντες*, κοιλότερον ἂν τὸν ποταμὸν ἀποφαίνοιεν τοῖς σμικροῖς· ἀνάγκη γὰρ συνιζάνειν τὴν ἰλὺν ἐς βόθρους, διά τε βαρύτητα τοῦ θηρίου, διά τε παχύτητα τῶν ποδῶν· οἱ δ' ἐλάττους, οὐδὲν ἂν βλάπτοιεν τὴν τῶν μειζόνων διαπορείαν, ἧττον ἐμβοβαίνοντες. ἐγὼ δὲ εὗρον ἐν τοῖς Ἰόβα λόγοις, ὡς καὶ ξυλλαμβάνουσιν ἀλλήλοις ἐν τῇ θήρᾳ, καὶ προΐστανται τοῦ ἀπειπόντος· κἂν ἐξέλωνται αὐτὸν, τὸ δάκρυον τῆς ἀλόης ἐπαλείφουσι τοῖς τραύμασι περιεστῶτες, ὥσπερ ἰατροί. πολλὰ τοιαῦτα ἐφιλοσοφεῖτο αὐτοῖς, ἀφορμὰς ποιουμένοις τὰ λόγου ἄξια. τὰ δὲ Νεάρχῳ τε, καὶ Πυθαγόρᾳ περὶ τοῦ Ἀρκεσίνου ποταμοῦ γ. ἐκβα. εἰρημένα, ὡς *εἰσβάλλει μὲν ἐς τὸν Ἰνδὸν οὗτος, τρέφει δὲ ὄφεις ἑβδομήκοντα πηχῶν μῆκος· τοιαῦτα εἶναί φασιν, ὁποῖα εἴρηται. καὶ ἀνακείσθω μοι ὁ λόγος ἐς τοὺς δράκοντας, ὧν ὁ Δάμις ἀφηγεῖται τὴν θήραν. ἀφικόμενοι δὲ ἐπὶ τὸν Ἰνδὸν, καὶ πρὸς διαβάσει τοῦ ποταμοῦ ὄντες, ἤροντο τὸν Βαβυλώνιον εἴ τι τοῦ ποταμοῦ εἶδε, διαβάσεως πέρι ἐρωτῶντες. ὁ δὲ, οὔπω, ἔφη, πεπλευκέναι αὐτὸν, οὐδὲ γινώσκειν ὁπόθεν πλεῖται. τί οὖν ἔφασαν οὐκ ἐμισθώσω ἡγεμόνα; ὅτι ἔστιν, ἔφη, ὁ ἡγησόμενος. καὶ ἅμα ἐδείκνυ τινὰ ἐπιστολὴν

A Illis enim facilis eſſet fortaſſe tranſitus, cùm ſint proceriores: his verò impoſſibilis forſitan eſſet, quòd altitudinem aquæ ſuperare non poſſent: ſed cùm eorum minimus tranſierit, facilem eſſe ceteris tranſitum demonſtrant. Inſuper maiores priùs euntes profundiorẽ alueũ ſequentib. facerẽt; ſubſidente limo, & in foſſam neceſſariò ſecedente propter beluæ pondus, & magnitudinem pedum: minores verò nequaquam tranatio-
B ni maiorum officerent, minorem in alueo fluminis concauitatem facientes. Ego autem in iis, quæ Iuba ſcripſit, inueni ipſos in venationibus ſibi mutuò ferre auxilium, ita vt ſi quis eorum labore deficiat, alter pro illo ſeſe opponat; ac ſi quis eorum vulneratus fuerit, ceteri aloës lachrymas vulnerib. illinentes, tanquam medici ægrotantibus aſſiſtunt. Multa item huiuſmodi ex media philoſophia confabulati ſunt, loquendi materiam ex occurrentib. ſumentes. Quæ
C verò à Nearcho, & Pythagora de Arceſino flumine dicuntur, & quo pacto in flumen Indum decurrens, ſerpentes ferat longitudine cubitorum ſeptuaginta, ita affirmant eſſe ſicuti memoratum eſt. Nos autem hac de re ſermonem in eundem locum differemus, vbi de draconibus locuturi ſumus: de quorum venatione à Damide etiã narratur. Cùm iam ripis Indi fluminis appropin-
D quarent, & de tranſeundo flumine cogitarent, ex Babylonio, qui eos ducebat, quæſierunt, an de tranſitu quicquam nouiſſet. Ille verò nec ſe vnquam in eo nauigaſſe, nec ſcire qua parte ſit nauigabilis, reſpondit. Tunc illi, Cur igitur non ductorem aliquem conduxiſti, qui nos fluminis tranſitum doceat? Verùm adeſt iam, inquit ille, qui nos deducet. Et hæc dicens epiſtolam oſtendit,

quam ob hoc ſecum Babylone portauerat: *vnde Bardanem ob benignitatē & ſolicitum ſtudium erga Apollonium, ſumma admirationi fuiſſe ferunt.* Nam ad Satrapam qui regioni Indo fluuio adiacenti præerat; *tametſi ipſius imperio ſubditus non eſſet*, epiſtolam ſcripſerat, qua multa in eum collata beneficia redigebat in memoriam, neque ſe gratiam pro illis vllam repetere dicebat. non enim id ſui moris eſſe, vt beneficiorum gratiā à quoquam peteret: ſed cùm ipſe Apollonium in amicitiā receptum, & peregrè proficiſcētem à ſe dimiſerit, pergratum ſibi fore, ſi petenti gratiam retuliſſet. Aurum etiam permultum duci dederat, vt ſi quibus fortè indigeret Apollonius, ne opus ei eſſet pecuniam ab aliis petere. Miſſam igitur epiſtolā læto animo Indus excipiens, non minoris ſe facere virum inquit, nec minorem illi honorem præbiturum, quàm ſi eſſet ab Indorum rege commendatus. Itaque nauim propriam, qua, cùm opus eſſet, vehebatur, ad eos miſit: & minora inſuper nauigia, quibus cameli veherentur. Itineris etiam ducem dedit, qui eos quo *Hydraotes deſignaret*, duceret. Ad regem quoque ſuum epiſtolam ſcripſit, rogans ne Vardane inferior haberi vellet, in ſuſcipiendo Græcum virum ſapientem, & penè diuinum. Hoc itaque pacto Indum tranſiere, cuius latitudo, quæ quidē nauigabilis ſit, ſtadiis ferme quadraginta protenditur. De hoc autem flumine talia referunt: Indum fluuium ex Caucaſo monte oriri, maioremq. ſtatim principio fluere, quàm eorum vllus ſit, qui in Aſia naſcantur: procedentem verò multos nauigabiles fluuios *ſibi vindicare*: ipſum quoque multa perinde, ac Nilus facientē per Indiā diffundi, terræ terrā iugiter ſuperaddētē & Ægyptiorū more campos ad excipiēda ſemina paratos Indis præbentē.

A ὡς τὸ πράξουσιν· ὅτε δὴ καὶ τὸν Οὐαρδάνην τῆς τε φιλανθρωπίας, καὶ τῆς ἐπιμελείας, ὑπερθαυμάσαι φασί· πρὸς γὰρ τὸν ἐπὶ τοῦ Ἰνδοῦ σατράπην ἔπεμψε τὴν ἐπιστολὴν ταύτην, καί τοι μὴ ὑποκείμενον τῇ ἑαυτοῦ ἀρχῇ, εὐεργεσίας ἀναμιμνήσκων αὐτόν. καὶ χάριν μὲν οὐκ ἂν ἐπ' ἐκείνῃ ἀπαιτῆσαι φάσκων· οὐ γὰρ εἶναι πρὸς τοῦ ἑαυτοῦ τρόπου

B τὸ ἀνταπαιτεῖν· Ἀπολλώνιον δὲ ὑποδεξάμενον, καὶ πέμψαντι οἷ βούλεται, χάριν ἂν γνῶναι. χρυσίον δὲ τῷ ἡγεμόνι ἔδωκεν ἵν' εἰ δεηθέντα τὸν Ἀπολλώνιον αἴσθοιτο, δοίη τοῦτο, καὶ μὴ ἐς ἄλλου χεῖρα βλέψειεν. ἐπεὶ δὲ τὴν ἐπιστολὴν ὁ Ἰνδὸς ἔλαβε, μεγάλων τε ἀξιοῦσθαι, ἔφη, καὶ φιλοτιμήσεσθαι περὶ τὸν ἄνδρα μεῖον οὐδὲν, ἢ εἰ ὁ βασιλεὺς τῶν Ἰνδῶν ὑπὲρ αὐτοῦ ἔγραφε· καὶ τήν

C τε ναῦν τὴν στρατηγίδα ἔδωκεν αὐτοῖς ἐμβῆναι, πλοῖά τε ἕτερα, ἐφ' ὧν αἱ κάμηλοι ἐκομίζοντο· ἡγεμόνα τε τῆς γῆς πάσης, ἣν ὁ Ὑδραώτης ὁρίζοι· πρός τε τὸν βασιλέα τὸν ἑαυτοῦ ἔγραφε, μὴ χείρω αὐτὸν Οὐαρδάνου γενέσθαι περὶ ἄνδρα Ἕλληνά τε, καὶ θεῖον. τὸν μὲν δὴ Ἰνδὸν ὧδε ἐπεραιώθησαν, σταδίους μάλιστα τετταράκοντα· τὸ γὰρ πλώϊμον αὐ-

D τοῦ, τοσοῦτον. περὶ δὲ τοῦ ποταμοῦ τούτου, τάδε γράφουσι· τὸν Ἰνδὸν ἄρχεσθαι μὲν, ἐκ τοῦ Καυκάσου, μείζω αὐτόθεν, ἢ οἱ κατὰ τὴν Ἀσίαν ποταμοὶ πάντες. προχωρεῖν δὲ πολλοὺς τῶν ναυσιπόρων ἑαυτοῦ ποιούμενον· ἀδελφὰ δὲ τῷ Νείλῳ πράττοντα, τῇ τε Ἰνδικῇ ἐπιχεῖσθαι, γῆν τε ἐπάγειν τῇ γῇ, καὶ παρέχειν Ἰνδοῖς τὸν Αἰγυπτίων τρόπον σπείρειν.

De niuibus, quæ ex Æthiopia, & Catadupis montibus dicuntur fluere: déque equis fluuialibus, & Crocodilis, ac maximis Indiæ caloribus: quáque re feruores remittantur. Vſque ad Taxilla regiam vrbem peruenerint: tum de veſtitu Indorum: & vnde byſſus naſcatur. Templum quoque ante vrbem fuiſſe maximum, vbi multa præclara videbantur: vt Tabella de geſtis Alexandri & Pori, adeò artificioſa, vt à Zeuxide, aut Polygnoto, aut Euphranore ſculpta indicarentur. CAP. IX.

Χιόσι δ' Αἰθιόπων τε, καὶ Καταδούπων ὀρῶν ἀντιλέγειν μὲν οὐκ ἀξιῶ διὰ τοὺς εἰπόντας· οὐ μὴν ξυντίθεμαί γε, λογιζόμενος τὸν Ἰνδὸν, ὡς ταυτὸν τῷ Νείλῳ ἐργάζεται, μὴ νιφομένης τῆς ὑπὲρ αὐτὸν χώρας· καὶ ἄλλως, τὸν θεὸν οἶδα κέρατα τῆς γῆς ξυμπάσης, Αἰθίοπάς τε, καὶ Ἰνδοὺς ἀποφαίνοντα, μελαίνοντά τε τοὺς μὲν, ἀρχομένου ἡλίου, τοὺς δὲ, λήγοντος. ὅπως ἂν ξυνέβαινε περὶ τοὺς ἀνθρώποις, εἰ μὴ καὶ τὸν χειμῶνα ἐθέρου. τὴν δ' ἀνὰ πᾶν ἔτος θάλπει γῆν ἥλιος, πῶς ἄν τις ἡγοῖτο νίφεσθαι; πῶς δ' ἂν τὴν χιόνα χορηγὸν τοῖς ἐκείνῃ ποταμοῖς γίνεσθαι, τοῦ ὑπεραίρειν τὰ σφῶν αὐτῶν μέτρα; εἰ δὲ καὶ φοιτᾶν χιόνα ἐς τὰ οὕτω πρόσειλα, πῶς ἂν αὐτὴν ἐς τοσόνδε ἀναχυθῆναι πέλαγος; πῶς δ' ἂν ἀποχρῆσαι ποταμῷ βυθίζοντι Αἴγυπτον; κομιζόμενοι δὲ διὰ τοῦ Ἰνδοῦ, πολλοῖς μὲν ποταμίοις ἵπποις ἐντυχεῖν φασὶ, πολλοῖς δὲ κροκοδείλοις, ὥσπερ οἱ τὸν Νεῖλον πλέοντες. λέγουσι δὲ καὶ ἄνθη τῷ Ἰνδῷ εἶναι, οἷα τοῦ Νείλου ἀναφύεται. καὶ τὰς ὥρας, αἳ περὶ τὴν Ἰνδικὴν εἰσι, χειμῶνος μὲν ἀλεεινὰς εἶναι, θέρους δὲ πνιγηρὰς· πρὸς δὲ τοῦτο, ἄριστα μεμηχανῆσθαι τῷ δαίμονι. τὴν γὰρ χώραν αὐτοῖς, θαμὰ ὕεσθαι. φασὶ δὲ καὶ ἀκοῦσαι τῶν Ἰνδῶν,

A DE niuibus autem, quas ex Æthiopia, & Catadupis montibus defluere quidam dicunt: quibus contradicere propter eorum qui dixerunt autoritatem * æquum non puto: nec tamen illorum dictis aſſentior, mecum ipſe conſiderans, quo pacto fieri poſſit, vt Nilo ſimilia operetur Indus; cùm circumpoſita regio niuibus haudquaquam B cooperiatur. Præterea ſcio Deum, totius terræ quaſi duo cornua, poſuiſſe Indos, atque Æthiopas, cùm vtraque in parte nigros fecerit homines: hos quidem ex ea parte, qua ſol incipit: illos verò, qua idem deſinit. Quod quidem quomodo fieri poſſit, niſi hyeme etiam *calerent*, non intelligo. Quòd ſi per totum annum ſol ibi terram calefacit; quo pacto opinari quiſquam poteſt niues in illis regionibus gi- C gni? aut quomodo credere niues tanta incrementa propinquis fluminibus præbere, vt ſuos alueos creſcendo excedant? Cùm flumen Indum nauigio veherentur, equos fluuiales complures ferunt ſibi occurriſſe: multos etiam crocodilos illis ſimillimos, qui in Nilo reperiuntur. Tradunt etiam flores tales in Indo eſſe, quales in Nilo ſunt. anni etiam tempora in India ferunt hyeme calida eſſe, æſtate autem tam feruida, vt penè ſuffocentur illic viuentia. Verùm huic incommoditati rectè prouidiſſe ferunt naturam, crebras pluuias immittendo. Audiſſe etiam ſe ab Indis tradunt

regem ad flumen accedere, cùm augeri dies incipiunt: & illic equos nigróſque tauros flumini tanquam Deo ſacrificare. Indi namque nigrum albo præferunt, propter *ſuum* colorem, vt arbitror. Peracto autem ſacrificio dicunt ipſum in flumine demergere aureum modium illi ſimilem, quo ipſi frumenta metiuntur. Cur verò id rex faciat nihil certè ſciunt. Opinantur autem menſuram illam demergi, aut propter fructuum abundantiam, quorum pleroſque agricolæ modiis metiuntur: aut propter aquarum moderationem, ne terras inundent. Secùs fluuium autem pergentes ipſos dux à Satrapa datus rectà ad Taxila duxit, vbi regia erat Indorum regis. Scribit autem Damis homines, qui ſecus Indum flumen habitant lineis veſtibus amiciri. Linum autem in agris plurimum naſci: calciamenta verò ex arborum corticibus facta geſtare: galero etiam pluuiis temporibus vti: nobiliores autem byſſo indui. Byſſum autem ex arbore naſci ferunt, quæ altitudine quidem Populum æquat: foliis autem ſalici æquiparatur. Cùm vidiſſet Apollonius byſſum, gauiſus eſt, quòd fuſco amictui, quem geſtabat, non diſſimilis admodum eſſet. Byſſum autem dicunt in Ægyptum ex India deferri, quòd illa in pleriſque ſacris vtantur Ægyptij. Taxila verò altitudine ab antiqua Nino non multùm differt, & Græco more ædificata eſt. Erat autem regia Mandri, regnum id obtinentis, quod olim Porus. Ante mœnia verò templum inuenerunt centum, aut paulò ampliùs, pedum magnitudine, ex cõchyliato lapide fabricatũ. In ipſo autem erat ſacellum non

A ὡς ἀφικνοῖτο μὲν ὁ βασιλεὺς ἐπὶ τὸν ποταμὸν τοῦτον, ὅτε ἀναβιβάζοιεν αὐτὸν αἱ ὧραι· θύει δὲ αὐτῷ ταύρους τε, καὶ ἵππους μέλανας· τὸ γὰρ λευκὸν, ἀτιμότερον Ἰνδοὶ τίθενται τοῦ μέλανος, *τιμιώτερον (κ. δι, ἐμαι τ.) δὲ οἶμαι τὸ ἑαυτῶν χρῶμα. θύσαντα δὲ, καταποντοῦν φασι τῷ ποταμῷ χρυσοῦν μέτρον εἰκασμένον τῷ ἀπο-
B μετροῦντι τὸν σῖτον. καὶ ἐφ' ὅτῳ μὲν τοῦτο πράττει ὁ βασιλεὺς, οὐ ξυμβάλλεσθαι τοὺς Ἰνδούς· αὐτοὶ δὲ τεκμαίρεσθαι τὸ μέτρον καταποντοῦσθαι τοῦτο, ἢ ὑπὲρ ἀφθονίας καρπῶν, οὓς γεωργοὶ ἀπομετροῦσιν, ἢ ὑπὲρ ξυμμετρίας τοῦ ῥεύματος, ὡς μὴ καταχλύσειε τὴν γῆν πολὺς ἀφικόμενος. πορευθέντας δὲ αὐτοὺς ὑπὲρ τὸν ποταμὸν ἦγεν ὁ παρὰ
C τοῦ σατράπου ἡγεμὼν εὐθὺ Ταξίλων, οὗ τὰ βασίλεια ἦν τῷ * Ἰνδῷ. (γρ. τῷ Ἰνδῶν.) στολὴν δὲ εἶναι τοῖς μετὰ τὸν Ἰνδὸν, λίνου φασὶν ἐγχωρίου, καὶ ὑποδήματα βύβλου, καὶ κυνῆν ὁπότε ὕοι. τῇ βύσσῳ δὲ τοὺς φανερωτέρους αὐτῶν φασιν ἐστάλθαι. τὴν δὲ βύσσον φύεσθαι δένδρου φασὶν ὁμοίου μὲν τῇ λεύκῃ τὴν βάσιν· παραπλησίου δὲ τῇ ἰτέᾳ τὰ πέ-
D ταλα. καὶ ἡσθῆναι τῇ βύσσῳ φησὶν ὁ Ἀπολλώνιος, ἐπειδὴ ἔοικε φαιῷ τρίβωνι. καὶ ἐς Αἴγυπτον δὲ ἐξ Ἰνδῶν ἐς πολλὰ τῶν ἱερῶν φοιτᾷ ἡ βύσσος. τὰ δὲ Τάξιλα, μέγεθος μὲν εἶναι κατὰ τὴν Νῖνον, τετειχίσθαι δὲ ξυμμέτρως, ὥσπερ αἱ Ἑλλάδες· βασίλεια δὲ εἶναι * Μανδρὸς (κ. εἰρίν), τὴν Πώρου ποτὲ ἀρχὴν ἄρχοντος· νεὼν δὲ πρὸ τοῦ τείχους ἰδεῖν φασιν, οὐ πάρα πολὺ τῶν ἑκατὸν ποδῶν λίθου κογχυλιάτου· καὶ κατεσκευάσθαι τι ἱερὸν ἐν αὐτῷ, ἧττον μὲν, ἢ κατὰ τὸν νεών:

τοσοῦτόν τε ὄντα, καὶ πλείονα, θαυμάσαι δὲ ἄξιον· χαλκοῖ δὲ πίνακες ἐγκεκρότηνται, τοίχῳ ἑκάστῳ γεγραμμένοι. τὰ δὲ Πώρου τε, καὶ Ἀλεξάνδρου ἔργα, γεγράφαται ὀρειχάλκῳ, καὶ ἀργύρῳ, καὶ χρυσῷ, καὶ χαλκῷ μέλανι, ἐλέφαντες, ἵπποι, στρατιῶται, κράνη, ἀσπίδες· λόγχαι δὲ, καὶ βέλη, καὶ ξίφη, σιδήρου πάντα. καὶ ὥσπερ λόγος εὐδοκίμου γραφῆς, οἷον εἰ Ζεύξιδος εἴη τι, ἢ Πολυγνώτου, ἢ Εὐφράνορος, οἳ τὸ εὔσκιον ἠσπάσαντο, καὶ τὸ ἔμπνουν, καὶ τὸ εἰσέχον τε, καὶ ἐξέχον· οὕτω φασὶ κἀκεῖ διαφαίνεται. καὶ ξυντετήκασιν αἱ ὗλαι καθάπερ χρώματα. ἡδὺ δὲ καὶ αὐτὸ τὸ ἦθος τῆς γραφῆς. ἀναθεὶς γὰρ ταῦτα μετὰ τὴν τοῦ Μακεδόνος τελευτὴν ὁ Πῶρος, νικᾷ ἐν αὐτοῖς ὁ Μακεδὼν, καὶ τὸν Πῶρον ἀνακτᾶται τετρωμένον, καὶ δωρεῖται τὴν Ἰνδικὴν, ἑαυτοῦ λοιπὸν οὖσαν· λέγεται δὲ καὶ πενθῆσαι τὸν Ἀλέξανδρον ἀποθανόντα ὁ Πῶρος, ὀλοφύρασθαί τε ὡς γενναῖον, καὶ χρηστὸν βασιλέα. ζῶντός τε Ἀλεξάνδρου μετὰ τὴν ἐκ τῆς Ἰνδικῆς ἀναχώρησιν, μήτε εἰπεῖν τι ὡς βασιλεὺς, καίτοι ξυγχωροῦντος, μήτε προστάξαι τοῖς Ἰνδοῖς, ἀλλ' ὥσπερ σατράπης σωφροσύνης μεστὸς εἶναι, καὶ πράττειν ἐς χάριν τὴν ἐκείνου πάντα.

A magnű ſanè, ſed *columnarum* arte & opere mirabili ornatű. tabulæ enim æneæ parietes vndiq. tegebant, Pori, Alexandríque geſtis inſculptæ. Erant autem ex orichalco, argentóque & auro, atque ære nigro, elephanti, equi [cum ſeſſoribus] milites; clypei quoque itidem, & galeæ: gladij verò, atque *lanceæ*, ceteráque huiuſmodi tela ex ferro tota elaborata: atque vt probati
B ſcriptoris ſermo teſtatur, opus tale erat, vt à Zeuxide vel Polygnoto, aut Euphranore factum iudicari poſſit, qui vmbras etiam atque ſpiritus, tum emiſſa, tum eminentia arte ſua expreſſerunt. Tale quiddam & illic artificium conſpici ferunt: materias autem quas diximus perinde atque colores inſertas fuiſſe. Non iniucundum erat illic probitatem morum agnoſcere,
C quæ ex tali ſculptura denotabatur. Tabulas enim, quas dixi, Porus poſt mortem Alexandri in templo poſuit: quanquam in his victorem deſcribat Macedonem, qui vulneratum Porum regem conſtituit, & ei quicquid in India reliquum erat, donat. Traditur autem, Porum, audita Alexandri morte, collachrymaſſe, grauitérq. conqueſtum eſſe,
D quòd generoſus benignúſq. rex mortuus eſſet. Quinetiam poſtquam ex India diſceſſit Macedo, nunquam ſe regem Porus appellauit, quanquam id ei permiſiſſet Alexander: neque ſicut rex, ſed tanquam Satrapa dominabatur: modeſtè cuncta in honorem Alexandri, & loquens, ac faciens.

De pugna Alexandri & Pori: at victum fuiſſe Porum: ſed eodem die & amiſiſſe regnum, & dono accepiſſe. Hinc diſputatio de pictura & coloribus: déque Aiace Timmachi. CAP. X.

NEQVE verò permittit ratio, quæ de Poro feruntur prætermittere hoc loco. Priuſquam enim Indiam intraret Alexander, amicorum quidam Poro conſulebant, vt cum gentibus, quæ trans Gangem & Hypaſim fluuium habitant, ſocietatem iniret. Nunquam enim in India intraturum Alexandrum aſſerebant, vbi totam in vnum ſenſerit conſpiraſſe. Quibus ille reſpondit: Si mihi tantæ vires non ſunt, vt ſine ſociis ſaluus eſſe non poſſim, melius profectò eſt non regnare. Renuncianti cuidam Darium regem appellatum fuiſſe, reſpondit Porus: At vir appellatus non eſt. Elephantum, quo in pugna vti debebat, coram adductum gubernator oſtendens: Iſte, inquit, ô rex, te feret. Imò verò, inquit Porus, ego ipſum feram, ſi vir mihi ſimilis ero. Suadentibus amicis, vt flumini ſacrificaret, ne Macedonum rates ſuſciperet, neque tranſitum Alexandro facilem præſtaret: Non eſt, inquit, arma tentantium ſupplicare. Poſt pugnam verò, in qua ab Alexandro vir diuinus, multóque naturam humanam excedens iudicatus eſt, amicorum cuidam dicenti: Si tu venienti Alexandro ſupplex cedere voluiſſes, nec prælio victus eſſes, nec vulneratus, nec tot ex Indis periiſſent: Ego, inquit, cùm audiſſem Alexandrum præter ceteros homines ambitioſum, cogitabam, ſi ſupplex humiliſque ceſſiſſem, fore vt ipſe me ignauum ſeruum: ſin armatus reſtitiſſem, generoſum regem iudicaret;* & admiratione potiùs, quàm miſericordia dignum.

al. leg. & admirationem potius quā miſericordiam excitare volebam.

A Οὐ ξυγχωρεῖ μοι ὁ λόγος παρελθεῖν, ἃ περὶ τοῦ Πώρου τούτου ἀναγράφουσι. πρὸς διάβασιν γὰρ τοῦ Μακεδόνος ὄντος, καὶ ξυμβουλευόντων αὐτῷ ἐνίων, τοὺς ὑπὲρ τὸν Ὕφασίν τε, καὶ τὸν Γάγγην ποταμὸν ποιεῖσθαι ξυμμάχους· οὐ γὰρ ἂν πρὸς τὴν Ἰνδικὴν πᾶσαν ξυμφρονοῦσαν στρατεύεσθαί ποτε αὐτόν· εἰ τοιοῦτόν ἐστι μοι, ἔφη, τὸ ὑπήκοον, ὡς B μὴ σώζεσθαι ἄνευ ξυμμάχων, ἐμοὶ βέλτιον τὸ μὴ ἄρχειν. ἀπαγγείλαντος δὲ αὐτῷ τινος ὅτι Δαρεῖον* εἴρηκε, βασιλέα, ἔφη, ἄνδρα δὲ οὔ. τὸν δὲ ἐλέφαντα ἐφ' οὗ μάχεσθαι ἔμελλε, κοσμήσαντός ποτε τοῦ ὀρεωκόμου, καὶ εἰπόντος, οὗτός σε, ὦ βασιλεῦ, οἴσει, ἐγὼ μὲν οὖν, ἔφη, τοῦτον, ἤν γε ἀνὴρ ἐμαυτῷ ὅμοιος C γίγνωμαι. γνώμην δὲ ποιουμένων θῦσαι αὐτὸν τῷ ποταμῷ ὡς μὴ δέξαιτο τὰς Μακεδόνων σχεδίας, μηδὲ εὔπορος τῷ Ἀλεξάνδρῳ γένοιτο· οὐκ ἔστιν, ἔφη, τῶν ὅπλα ἐχόντων τὸ καταρᾶσθαι. μετὰ δὲ τὴν μάχην, ὅτε καὶ τῷ Ἀλεξάνδρῳ θεῖός τε, καὶ ὑπὲρ τὴν φύσιν τὴν ἀνθρωπείαν ἔδοξεν, εἰπόντος τῶν ξυγγενῶν τινος, εἰ D δὲ προσεκύνησας διαβάντα, ὦ Πῶρε, οὔτ' ἂν ἡττήθης μαχόμενος, οὔτ' ἂν τοσοῦτοι Ἰνδῶν ἀπώλοντο, οὔτ' ἂν αὐτὸς ἐτέτρωσο· ἐγὼ τὸν Ἀλέξανδρον, εἶπε, φιλοτιμότατον ἀκούων ξυνῆκα, ὅτι προσκυνήσαντα μὲν, δοῦλόν με ἡγήσεται, πολεμήσαντα δὲ, βασιλέα· καὶ θαυμάζεσθαι μᾶλλον* ἄξιον, ἢ ἐλεεῖσθαι.

Io. βασιλέα εἴρ.

γρ. ἀξιῶν,

καὶ οὐκ ἐψεύσθην. τραχὺν γὰρ ἐμαυτὸν οἷον Ἀλέξανδρος εἶδε, πάντα ἐν ἡμέρᾳ μιᾷ καὶ ἀπώλεσα καὶ ἐκτησάμην. τοιοῦτον μὲν τὸν Ἰνδὸν τοῦτον ἐξιστοροῦσι. γενέσθαι δέ φασιν αὐτὸν κάλλιστον Ἰνδῶν, καὶ μῆκος, ὅσον οὔπω τινὰ ἀνθρώπων τῶν μετὰ τοὺς τρωϊκοὺς ἄνδρας. εἶναι δὲ κομιδῇ νέον, ὅτε τῷ Ἀλεξάνδρῳ ἐπολέμει. ὃν δὲ διέτριβον ἐν τῷ ἱερῷ χρόνον, πολὺς δὲ οὗτος ἐγένετο, ἔστ᾽ ἂν ἀγγελθῇ τῷ βασιλεῖ ξένους ἥκειν, ὦ Δάμι, ἔφη, ὁ Ἀπολλώνιος, ἔστι τι γραφική; εἴ γε, εἶπε, καὶ ἀλήθεια. πράττει δὲ τί ἡ τέχνη αὕτη; τὰ χρώματα, ἔφη, ξυγκεραννύουσιν, ὁπόσα εἰσί· τὰ κυανᾶ, τοῖς βατραχείοις, καὶ τὰ λευκὰ, τοῖς μέλασι, καὶ τὰ πυρσὰ, τοῖς ὠχροῖς. ταυτὶ δὲ ἤδη ὡς ὑπὲρ τίνος μιγνύασιν; οὐ γὰρ ὑπὲρ μόνου τοῦ ἄνθους, ὥσπερ αἱ κόριναι*. ὑπὲρ μιμήσεως, ἔφη, καὶ τοῦ κύνα τε ἐξεικάσαι, καὶ ἵππον, καὶ ἄνθρωπον, καὶ ναῦν, καὶ ὁπόσα ὁρᾷ ὁ ἥλιος· ἤδη δὲ καὶ τὸν ἥλιον αὐτὸν ἐξεικάζει, ποτὲ μὲν ἐπὶ τεττάρων ἵππων, οἷος ἐνταῦθα λέγεται φαίνεσθαι· ποτὲ δ᾽ αὖ, καὶ διαπυρσαίνοντα τὸν οὐρανόν. ἐπειδὰν αἰθέρα ὑπογράφῃ καὶ θεῶν οἶκον. μίμησις οὖν ἡ γραφική, ὦ Δάμι; τί δὲ ἄλλο, εἶπεν· εἰ γὰρ μὴ τοῦτο πράττοι, γελοία δόξει χρώματα ποιοῦσα εὐήθως. τὰ δὲ ἐν τῷ οὐρανῷ, ἔφη, βλεπόμενα, ἐπειδὰν αἱ νεφέλαι διασπασθῶσιν ἀπ᾽ ἀλλήλων, τοὺς κενταύρους, καὶ τραγελάφους, καὶ νὴ Δί᾽ οἱ λύκοι τε, καὶ ἵπποι,

A Neque certè me feſellit opinio: talem namque me ipſum exhibens, qualem ipſe ſenſit Alexander, vno, eodémque die omnia amiſi, recepíque. Talem igitur hunc Indum hiſtorici referunt, aiúntque illum pulcherrimum omnium Indorum fuiſſe: proceritate autem corporis tanta, quanta poſt Troiana tempora nemo extitit: fuiſſe quoque admodùm adoleſcentem, quando cum Alexan- B dro pugnauit. Sed nos ad inſtituta redeamus. Dum Apollonius, ſociíque in templo moram traherent, quoad rex de ipſorum aduentu certior fieret: conuerſus ad Damidem Apollonius, ô Damis, inquit, cenſéſne aliquid eſſe picturam? Certè, inquit ille: ſi quid eſt & veritas. Quid auté efficit ars huiuſmodi? Colores, inquit, miſcet inter ſe omnes: vt cœruleum viridi, & album nigro, & ru- C bicundum pallido. Tunc Apollonius: Hos verò* cuius cauſa, quæſo, permiſcet? Neque enim aſpectus duntaxat gratia miſcere puto, ſicut puellæ quandoque flores miſcent. Imò verò, inquit Damis, imitationis cauſa id faciunt: vt per eos canis, aut aut equi, aut nauis, aut hominis imaginem exprimant, aut aliud quoduis eorum, quæ ſub ſole ſunt. Quinetiam D ſolis ipſius aliquando ſimilitudinem referunt, & illum quandoque oſtendunt quadrigis vehi, ſicut hoc ipſo in loco apparet: nonnunquam cœlum ipſum calefacere, quando & ætherem ipſum, & Deorum domos luſtrando deſcribit. Imitatio igitur quædam, ô Damis, pictura eſt: inquit Apollonius. Imò verò nihil aliud: niſi enim hoc efficiat, ridicula quædam res profectò videbitur, colores temerè fortuitóque diſponens. Tunc Apollonius: Quid autem illa, quæ in cœlo quandoq; diſtractis ab inuicem nubibus apparent: vt centauri, hircones, cerui, lupi etiam, aut equi, *Ariſtoph. in Nebul.*

& huiuſmodi alia? an etiam cuiuſdam artis aliquid imitari volentis hoc opus eſſe dices? Mihi quidem ſic eſſe videtur, inquit Damis. Pictor igitur Deus eſt, inquit Apollonius. Itaque volatili curru quandoque relicto, quo delatus humana, diuináque gubernat, huiuſmodi ludibria depingens ſedet, ſicut pueri in arena pingere ſolent. Hæc audiens Damis erubuit. Pudebat enim ſibi talia verba excidiſſe, atque incautè diſſerendo eò perductum eſſe, vt tam abſurda concedere cogeretur. At Apollonius ipſum non deridens (neque enim in redarguendo acerbus erat) non hoc, inquit, puto voluiſſe te dicere, ô Damis: ſed eiuſmodi nubes nullius rei ſigna, aut imagines eſſe, ſed caſu, quantum ad Deum attinet, ipſas per cœlum deferri: Nos verò, qui à natura principium imitationis habemus, talia fingimus, & opinamur. Hoc ipſum, inquit Damis, putandum eſt: veriſimilius namque eſt ſic ſe rem habere. Duplex igitur eſt, ô Damis, imitatiua ars: & vnam quidem manu dicemus, & mente, quod voluerit, imitari: atque hanc pingendi artem eſſe, atque picturam: alteram verò mente duntaxat atque animo ſimilitudines fingere, & imitari. Minimè verò, inquit Damis, duplicem imitatiuam artem dicendam puto: ſed perfectiorem eſſe picturam dicendum eſt, quæ poteſt, & mente, & manu ſimilitudines rerum exprimere: Alteram verò particulam huius eſſe, cùm per ipſam videamus aliquem mente duntaxat quippiam imitari: quamuis pictor non ſit, neque ad illa exprimenda ſciat manibus vti. *Numquid, ô Damis, (inquit) etiam manum ictu aliquo aut morbo mutilatus? Ita per Iouem, reſpondit. verùm is quoque qui neque ſtylum vllum*

A τί φῄς, ἆρ' οὐ μιμητικῆς εἶναι ἔργα; ἔοικεν, ἔφη. ζωγράφος οὖν ὁ θεός, ὦ Δάμι, καταλιπὼν τὸ πτηνὸν ἅρμα, ἐφ' οὗ πορεύεται, διακοσμῶν τὰ θεῖά τε, καὶ τὰ ἀνθρώπεια, κάθηται τότε ὡς ἀθύρων τε, καὶ γράφων ταῦτα, ὥσπερ οἱ παῖδες ἐν τῇ ψάμμῳ; ἠρυθρίασεν ὁ Δάμις, ἐς οὕτως ἄτοπον ἐκπεσεῖν
B δόξαντος τοῦ λόγου. οὐχ ὑπεριδὼν οὖν αὐτὸν ὁ Ἀπολλώνιος· οὐδὲ γὰρ πικρὸς πρὸς τὰς ἐλέγξεις ἦν· ἀλλὰ μὴ τοῦτο, ἔφη, βούλει λέγειν, ὦ Δάμι· τοσαῦτα μὲν ἄσημά τε, καὶ ὡς ἔτυχε διὰ τοῦ οὐρανοῦ φέρεσθαι, τό γε ἐπὶ τῷ θεῷ· ἡμᾶς δὲ φύσει τὸ μιμητικὸν ἔχοντας, ἀναρρυθμίζειν τε αὐτά, καὶ ποιεῖν. μᾶλλον, ἔφη, τοῦτο ἡγώμεθα, ὦ Ἀπολλώνιε· πι-
C θανώτερον γάρ, καὶ πολλῷ βέλτιον. διττὴ ἄρα ἡ μιμητική, ὦ Δάμι. καὶ τὴν μὲν, ἡγώμεθα οἵαν τῇ χειρὶ ἀπομιμεῖσθαι καὶ τῷ νῷ· γραφικὴν δὲ εἶναι ταύτην· τὴν δ' αὖ, μόνῳ τῷ νῷ εἰκάζειν. οὐ διττήν, ἔφη, ὁ Δάμις· ἀλλὰ τὴν μὲν, τελεωτέραν ἡγεῖσθαι προσήκει, γραφικήν* γε οὖσαν, ἣ δύναιτο καὶ τῷ *χ. τε οὖσαι ἣ δύναται
D νῷ, καὶ τῇ χειρὶ ἐξεικάσαι. τὴν δ' ἑτέραν ἐκείνης μόριον, ἐπειδὴ ξυνίησι μὲν, καὶ μιμεῖται τῷ νῷ· καὶ μὴ γραφικός τις ὤν, τῇ χειρὶ δὲ οὐκ ἂν εἰς τὸ γράφειν αὐτὰ χρήσαιτο. ἆρα, ἔφη, ὦ Δάμι, πεπηρωμένος τὴν χεῖρα ὑπὸ πληγῆς τινος ἢ νόσου; μὰ Δί' εἶπεν· ἀλλ' ὑπὸ τοῦ μήτε γραφίδος

τινὸς ἧφθαι, μηδὲ ὀργάνου τινὸς ἢ χρώματος· ἀλλ' ἀμαθῶς ἔχειν τοῦ γράφειν. οὐκοῦν, ἔφη, ὦ Δάμι, ἄμφω ὁμολογοῦμεν μιμητικὴν μὲν, ἐκ φύσεως τοῖς ἀνθρώποις ἥκειν, τὴν γραφικὴν δὲ, ἐκ τέχνης· τουτὶ δ' ἂν καὶ περὶ τὴν πλαστικὴν φαίνοιτο. τὴν δὲ δὴ ζωγραφίαν αὐτὴν, οὔ μοι δοκεῖς μόνον τὴν διὰ τῶν χρωμάτων ἡγεῖσθαι. καὶ γὰρ ἓν χρῶμα εἰς αὐτὴν ἤρκεσε τοῖς γε ἀρχαιοτέροις τῶν γραφέων· καὶ προϊοῦσα, τεττάρων, εἶτα πλειόνων ἥψατο. ἀλλὰ καὶ γραμμὴν, καὶ τὸ ἄνευ χρώματος, ὃ δὴ σκιᾶς τε ξύγκειται, καὶ φωτὸς ζωγραφίαν προσήκει καλεῖν. καὶ γὰρ ἐν αὐτοῖς ὁμοιότης τε ὁρᾶται, εἶδός τε, καὶ νοῦς, καὶ αἰδὼς, καὶ θρασύτης· καίτοι χηρεύει χρωμάτων ταῦτα. καὶ οὔτε αἷμα ἐνσημαίνει, οὔτε κόμης τινὸς, ἢ ὑπήνης ἄνθος· ἀλλὰ μονοτρόπως ξυντιθέμενα, τῷ τε ξανθῷ ἀνθρώπῳ ἔοικε, καὶ τῷ λευκῷ. κἂν τούτων τινὰ τῶν Ἰνδῶν λευκῇ τῇ γραμμῇ γράψωμεν, μέλας δήπου δόξει. τὸ γὰρ ὑπόσιμον τῆς ῥινὸς, καὶ οἱ ὀρθοὶ βόστρυχοι, καὶ ἡ περιττὴ γένυς, καὶ ἡ περὶ τοῖς ὀφθαλμοῖς, οἷον ἔκπληξις, μελαίνει τὰ ὁρώμενα, καὶ Ἰνδὸν ὑπογράφει τοῖς γε μὴ ἀνοήτως ὁρῶσιν. ὅθεν εἴποιμ' ἂν καὶ τοὺς ὁρῶντας τὰ τῆς γραφικῆς ἔργα, μιμητικῆς δεῖσθαι. οὐ γὰρ ἂν ἐπαινέσαι τις τὸν γεγραμμένον ἵππον, ἢ ταῦρον, μὴ τὸ ζῶον ἐνθυμηθεὶς, ᾧ εἴκασται. οὐδ' ἂν τὸν Αἴαντά τις τὸν Τιμομάχου ἀγασθείη, ὃς δὴ ἀναγέγραπται αὐ-

A *contigeris, neque inſtrumentum vllum colorémve. ſed pingendi imperitus planè fueris.* In hoc igitur, inquit Apollonius, ambo conſentimus imitandi facultatem à natura hominibus aduenire, pingendi verò peritiam ab arte proficiſci: quod etiam de fingendi arte dicendum cenſeo. Picturam verò ipſam arbitrari mihi videris non ex coloribus duntaxat conſtare, quandoquidem vnus tantùm color veteribus illis pictoribus ſatis erat:
B poſteriores verò quatuor adhibuere: inde paulatim pluribus, ac pluribus vſi ſunt. Quinetiam lineamentis quibuſdam abſque vllo colore nonnumquam pingunt: quam picturam ex vmbra duntaxat, luminibúſq; conſtare dicendũ eſt. In ipſa enim rei ſimilitudo cernitur, etiam forma, & mens, & pudor, & audacia, quamuis coloribus tales affectus careant. Neque verò ſanguinem, neque comarum, aut pubeſcentis barbæ florem non exprimit:
C ſed quamuis ſimpliciter, vnóque modo compoſita, flaui hominis, aut albi ſimilitudinẽ repreſentant. Quinimo ſi Indum ex his quendam albis lineamentis deſignauerimus, tamen quaſi nigrum ſe aſpicientibus offert. Naſi enim ſimitas, & erecti capillorum cincinni, tum genarum eminentia, & ſtuporis imago quædam oculis circunfuſa denigrat ea, quæ ab oculis alba conſpiciuntur, atque
D illum qui pictus eſt, Indum eſſe rectè conſiderantib. demonſtrat. Quapropter non abſurdè dixerim eos, qui picturam aliquam aſpiciunt, imitatiuæ illius, quam diximus, facultatem indigere. Nemo enim rectè laudabit pictum equum, aut taurum, niſi qui animal illud mente intueatur, cuius ſimilitudinem pictura demonſtrat. Neque verò Timomachi Aiacem, qui furens ab illo pingitur, rectè

recté contemplari quiſquam poteſt, niſi illum mente conſpiciat, & imaginetur: interfectis apud Troiam armentis mœſtum ſedere, ac de propria morte cogitare. Hæc autem, ô Damis, quæ nunc intuemur Pori iuſſu fabricata opera, non ſculpturæ ſolùm eſſe dicemus, quoniam picturis ſimulantur; neque rurſus picturæ duntaxat opus, quoniam ex ære fabricata conſpicimus: ſed hominem vnum ſculpturæ ſimul, picturæque peritum illa perfeciſſe putandum eſt: qualis ab Homero in Achillis clypeo fabricando Vulcanus inducitur. Plena enim illic ſunt omnia interficientium, atque interfectorum, & terram madere ſanguine diceres, quamuis ænea eſſet.

A τοῦ μεμηνότος, εἰ μὴ ἀναλάβοι τι ἐς τὸν νοῦν Αἴαντος εἴδωλον, καὶ ὡς εἰκὸς αὐτὸν ἀπεκτονότα τὰ ἐν τῇ Τροίᾳ βουκόλια, καθῆσθαι ἀπειρηκότα, βουλὴν ποιούμενον καὶ ἑαυτὸν κτεῖναι· ταυτὶ δὲ, ὦ Δάμι, τὰ τοῦ Πώρου δαίδαλα, μήτε χαλκευτικῆς μόνον ἀποφαινώμεθα· γεγραμμένοις γὰρ εἰκάσαι· B μήτε γραφικῆς, ἐπειδὴ ἐχαλκεύθη· ἀλλ' ἡγώμεθα σοφίσασθαι αὐτὰ, γραφικόν τε καὶ χαλκευτικὸν ἕνα ἄνδρα, οἷος δή τι παρ' Ὁμήρῳ ὁ τοῦ Ἡφαίστου περὶ τὴν τοῦ Ἀχιλλέως ἀσπίδα ἀναφαίνεται. μεστὰ γὰρ καὶ ταῦτα ὀλλύντων τε, καὶ ὀλλυμένων· καὶ τὴν γῆν ᾑματῶσθαι φήσεις, χαλκῆν οὖσαν.

Apollonium ductum fuiſſe ad Indorum Regem: tum de domibus Vrbis, & templo margaritis conſtrato. Deinde qui ſermo habitus fuerit inter Apollonium & Phraotem regem: déque eius modeſtia & temperantia: & quòd Græca lingua rex peritus fuerit. CAP. XI.

DVM iſti talia inter ſe colloquuntur miſſi à rege nuntij, vnà cum interprete ſuperuenere, nunciantes regem tridui hoſpitem aſciuiſſe Apollonium. Neque enim licere diutius peregrinis in vrbe morari: ipſúmque præterea ducebant in regiam. Ciuitas autem quibus muris circundata ſit, antea diximus. Ferunt autem ipſam ordinatè, atque Attico more angiportis conciſam. Domos autem ſi quis extrinſecus aſpiciat, vno tantùm tabulato habitari cenſebit. Introeuntibus autem diuerſa ſub terram habitacula variis profunditatis gradibus diſtincta ſeſe offerunt. Templum autem Solis vidiſſe ferunt, in quo ſuſpenſus erat

C ΤΟιαῦτα σπουδάζοντι τῷ ἀνδρὶ, ἐφίστανται παρὰ τοῦ βασιλέως ἄγγελοι, καὶ ἑρμηνεὺς, ὡς ποιοῖτο αὐτὸν ὁ βασιλεὺς ξένον ἐς τρεῖς ἡμέρας· μὴ γὰρ πλειόνων νενομίσθαι τοῖς ξένοις ἐνομιλεῖν τῇ πόλει· καὶ ἡγοῦντο αὐτῷ ἐς τὰ βασίλεια. ἡ πόλις δ' ὡς μὲν ἔχοι τοῦ τείχους, εἴρηκα. φασὶ δ' D ὡς ἀτάκτως τε, καὶ Ἀττικῶς τοῖς στενωποῖς τέτμηται. κατεσκευάσθαι τε οἰκίαις, εἰ μὲν ἔξωθεν ὁρῴη τις αὐτὰς, ἕνα ἐχούσαις ὄροφον· εἰ δ' εἴσω παρέλθοι τις, ὑπογείως ἤδη, καὶ περιεχομέναις ἴσα τοῖς ἄνω τὰ ὑπὸ τῇ γῇ. ἱερὸν δὲ ἰδεῖν Ἡλίου φασὶν, ᾧ

ἀνεῖτο Αἴας ἐλέφας, καὶ ἀγάλματα Ἀλεξάνδρου χρυσᾶ, καὶ Πώρου ἕτερα· χαλκοῦ δὲ ἦν ταῦτα μέλανος. οἱ δὲ τοῦ ἱεροῦ τοῖχοι, πυρσαῖς λίθοις, ὑπαστράπτει χρυσὸς, αὐγὴν ἐκδιδοὺς ἐοικυῖαν ἀκτῖνι. τὸ δὲ ἔδος αὐτὸ, μαργαρίτιδος ξύγκειται, ξυμβολικὸν ἔδαφος· ᾧ βάρβαροι πάντες ἐς τὰ ἱερὰ χρῶνται. περὶ δὲ τὰ βασίλεια, οὔτε ὄγκον ἰδεῖν φασιν οἰκοδομημάτων, οὔτε δορυφόρους, ἢ φύλακας, ἀλλ' οἷα περὶ τὰς τῶν λαμπροτέρων οἰκίας, ὀλίγους οἰκέτας· καὶ διαλεχθῆναι τῷ βασιλεῖ δεομένους, τρεῖς οἶμαι, ἢ τέτταρας, καὶ τὸν κόσμον τοῦτον ἀγασθῆναι, ἢ τὰ ἐν Βαβυλῶνι φλεγμαίνοντα. καὶ πολλῷ πλέον εἴσω παρελθόντες· καὶ γὰρ τοὺς ἀνδρῶνας, καὶ τὰς στοὰς, καὶ τὴν αὐλὴν πᾶσαν, κεκολάσθαι φασίν. ἔδοξεν οὖν τῷ Ἀπολλωνίῳ φιλοσοφεῖν ὁ Ἰνδός· καὶ παραστησάμενος τὸν ἑρμηνέα, χαίρω, εἶπεν, ὦ βασιλεῦ, φιλοσοφοῦντά σε ὁρῶν. ἐγὼ δὲ ὑπερχαίρω, ἔφη, ἐπειδὴ οὕτω περὶ ἐμοῦ οἴει. τουτὶ δὲ νενόμισται παρ' ὑμῖν, εἶπεν, ἢ σὺ πρὸς τὸ ἐπιεικὲς τοῦτο τὴν ἀρχὴν κατέστησω; σωφρόνως, ἔφη, νενομισμένῳ, σωφρονέστερον χρῶμαι. καὶ πλεῖστα μὲν ἔχω ἀνθρώπων· δέομαι δὲ ὀλίγων· τὰ γὰρ πολλὰ τῶν φίλων τῶν ἐμαυτοῦ ἡγοῦμαι. μακάριε τοῦ θησαυροῦ, εἶπεν, εἰ χρυσοῦ, καὶ ἀργύρου ἀντερύῃ* τοὺς φίλους. ἐξ ὧν ἀναφύεταί σοι πολλά τε, καὶ ἀγαθά. καὶ μὴν καὶ φυτοῖς ἐχθροῖς, ἔφη, κοινωνῶ τοῦ πλούτου. τοὺς γὰρ ἀεί ποτε διαφόρους τῇ χώρᾳ

A Aiax eburneus, & Alexandri aureæ ſtatuæ. Ex aduerſo autem regis Pori ſtatuæ ex ære nigro poſitæ erant. Parietes verò templi rubris marmoribus, ignis fulgorem imitantibus veſtiuntur: quibus congruè interpoſitum aurum radiantis fulminis fulgorem referebat. Pauimentum miſtis cemento margaritis ſtratum erat: quod barbarorum in templis plerique ſeruant. In regia verò nullam ædificij pompam inueniſſe perhi-
B bent, non cuſtodes, non ſatellites; ſed velut in clarorum ciuium domibus paucos familiares, & qui regis colloquium expectabant, tres, aut ad ſummum quatuor homines: quo apparatu longè magis lætatus eſt Apollonius, quàm tumidis, ampulloſiſque Babyloniæ pompis. Ingrediens verò multò magis gauiſus eſt, quòd * andronas, & porticus, & omnino totam aulam modeſtiæ, frugalitatíſque plenam offendit: quod *Virorum conclauia.*
C Apollonio ſatis fuit argumenti Indum regem philoſophiæ deditum eſſe. Quapropter iuxta interpretem conſiſtens, Gaudeo, inquit, ô rex, cùm te videam philoſophiæ dare operam. Ego verò, inquit rex, multò magis gaudeo, quòd talia de me opinaris. Tunc Apollonius, Num vobis, inquit, hæc legibus præfinita ſunt, an tu ipſe regnum ad hanc viuendi normam, rectitudinémque conſtituiſti? Ego, inquit rex, modeſtè in-
D ſtitutis legibus, modeſtiùs etiam vtor, & opes poſſideo plures, quàm ceteri homines: paucis autem indigeo: mearúmque rerum plurimas amicorum eſſe cenſeo. Beatus igitur es, ait Apollonius, tali theſauro: ſiquidem aurum, atque argentum amicis poſtponis*, à quib. multa tibi bona proueniunt: quandoq. etiã inimicis, inquit ille, diuitias meas impertio. Barbaros enim quõdã regioni

Ex Theognide, φίλος χρυσοῦ τε καὶ ἀργύρου ἀντερύσασθαι ἄξιος.

huic infeſtos, & crebris incurſionib. fines meos vexantes pecuniis ſubigo, & ipſis tanquã cuſtodib. regnum defẽdo, ita vt neq. ipſi fines meos inuadãt, & ſibi finitimos Barbaros nobis alioquin permoleſtos coërceant. Interroganti autẽ Apollonio num etiã Porus tributa illis impendere cõſueuerit: Porus, inquit, rex bellum amabat: ego autem pacem. His verbis ita captus eſt Apollonius, adeóq; illi amore deuinctus, vt aliquãdo Euphratem quendã à philoſophia aberrantẽ increpans dixerit: ego Phraotẽ Indum (hoc enim regi nomen fuit) honoris cauſa nominare vereor. Cùm Satrapa propter magna beneficia à rege ſuſcepta, mitram auream variis gemmis ornatã capiti imponere vellet: Ego, inquit rex, ſi huiuſmodi delicias amarem, nunc tamen præſente Apollonio eas repudiarem, atque à capite remouerem: verùm cùm nunquã antea tali ſim vſus ornatu, quonã pacto nũc talia geſtarẽ, hoſpitiſq. & mei pariter oblitus? Interroganti autẽ Apollonio regẽ quali victu vteretur, reſpondit: Ego vinũ tantiſper bibo, quoad Soli ſacra facio: his autem quæ in venationib. capio, ſocij, amiciq. veſcuntur: mihi enim exercitatio ipſa ſatis. Epulę autẽ meæ ſunt olera, & * palmæ medulla & palmulæ, & quæcunque hortus flumine irrigatus ſubminiſtrat. Multa quoque mihi præbent arbores, quas ego his manibus colo. Hæc audiens, valde gaudebat Apollonius, in Damidem crebrò reſpiciens. Inde vbi de itinere ad Brachmanas faciendo ſatis collocuti fuere: eum qui ex Babylonia venerat itineris ducem hoſpitem ſuum fieri rex iuſſit, eo more, quo ceteros inde venientes excipere

Theophr. 2. hiſt. pl. Dioſcor.

A ταύτῃ βαρβάρους προσοικοῦντας, καταδρομαῖς χρωμένους ἐς τὰ ἐμὰ ὅρια, ὑποποιοῦμαι τουτοισὶ τοῖς χρήμασι, καὶ δορυφορεῖταί μοι ὑπ' αὐτῶν ἡ χώρα· καὶ οὔτε αὐτοὶ ἐπὶ τὰ ἐμὰ φοιτῶσι, τούς τε ὁμόρους αὐτοῖς βαρβάρους ἀνείργουσι, χαλεποὺς ὄντας. ἐρομένου δὲ αὐτὸν τοῦ Ἀπολλωνίου, εἰ καὶ Πῶρος αὐτοῖς ἐτέλει B χρήματα, Πῶρος, εἶπε, πολέμου ἤρα· ἐγὼ δὲ, εἰρήνης. πάνυ τοῖς λόγοις τούτοις ἐχειροῦτο τὸν Ἀπολλώνιον καὶ οὕτως ἡττήθη, ὡς Εὐφράτῃ ποτὲ ἐπιπλήττων μὴ φιλοσοφοῦντι· ἡμεῖς δὲ ἀλλὰ τὸν Ἰνδὸν Φραώτην αἰδώμεθα φάναι· ὄνομα γὰρ τῷ Ἰνδῷ τοῦτο ἦν. σατράπου δὲ, ἐπεὶ μεγάλων παρ' αὐτοῦ ἠξίωτο, βουληθέντος αὐτὸν ἀναδῆσαι μίτρᾳ χρυσῇ κεκοσμημέ- C νῃ λίθοις ποικίλοις, ἐγὼ, ἔφη, εἰ καὶ τῶν ζηλούντων τὰ τοιαῦτα ἦν, παρῃτησάμην ἂν αὐτὰ νῦν, καὶ ἀπέρριψα τῆς κεφαλῆς, Ἀπολλωνίῳ ἐντυχών· οἷς δὲ μήπω πρότερον ἀναδεῖσθαι ἠξίωσα, πῶς ἂν νῦν κοσμοίμην, τὸν μὲν ξένον ἀγνοήσας, ἐμαυτοῦ δὲ ἐκλαθόμενος; ἤρετο αὐτὸν καὶ περὶ διαίτης ὁ Ἀπολλώνιος. ὁ δὲ, οἶνον, ἔφη, πίνω τοσοῦτον ὅσον τῷ ἡλίῳ σπέν- D δω· ἃ δ' ἂν ἐν θήρᾳ λάβω, ταῦτα σιτοῦνται ἕτεροι· ἐμοὶ δ' ἀπόχρη τὸ γεγυμνάσθαι. τὰ δὲ ἐμὰ σιτία, λάχανα, καὶ φοινίκων ἐγκέφαλοι, καὶ ὁ καρπὸς τῶν φοινίκων, καὶ ὁπόσα μοι ὁ ποταμὸς κηπεύει. πολλὰ δέ μοι καὶ ἀπὸ δένδρων φύεται, ὧν γεωργοὶ αἵδε αἱ χεῖρες. ταῦτα ἀκούων ὁ Ἀπολλώνιος, ὑπερήδετό τε, καὶ ἐς τὸν Δάμιν θαμὰ ἑώρα. ἐπεὶ δὲ ἱκανῶς διελέχθησαν περὶ τῆς ὁδοῦ τῆς παρὰ τοὺς Βραχμᾶνας, τὸν μὲν παρὰ τοῦ Βαβυλωνίου ἡγεμόνα, ἐκέλευσε ξενίζειν, ὥσπερ εἰώθει, τοὺς ἐκ Βαβυλῶνος

ἥκοντας. τὸν δὲ παρὰ τοῦ σατράπου, ἀπιέναι λαβόντα ἐφόδια. αὐτὸς δὲ λαβόμενος τῆς τοῦ Ἀπολλωνίου χειρὸς, καὶ κελεύσας ἀπελθεῖν τὸν ἑρμηνέα, ἆρ' ἄν, ἔφη, ποιήσαιό με συμπότην; ἤρετο αὐτὸν φωνῇ Ἑλλάδι. ἐκπλαγέντος δὲ τοῦ Ἀπολλωνίου, καὶ τοῦ χάριν οὐκ ἐξ ἀρχῆς οὕτω διελέγου φήσαντος· ἔδεισα, ἔφη, θρασὺς δόξαι, μὴ γινώσκων ἐμαυτὸν, μηδ' ὅτι βάρβαρον εἶναί με δοκεῖ τῇ τύχῃ. σοῦ δὲ ἡττηθεὶς, ἐπειδὴ καὶ σὲ ὁρῶ ἐμοὶ χαίροντα, οὐκ ἠδυνήθην ἐμαυτὸν κρύπτειν· ὡς δὲ μεστός εἰμι τῆς Ἑλλήνων φωνῆς, ἐν πολλοῖς δηλώσω. τί οὖν εἶπεν, οὐκ αὐτὸς ἐπήγγειλας ἐμοὶ τὸ συμπόσιον· ἀλλ' ἐμέ σοι κελεύεις ἐπαγγέλλειν; ὅτι σε, ἔφη, βελτίω ἐμαυτοῦ ἡγοῦμαι· τὸ γὰρ βασιλικώτερον σοφία ἔχει. καὶ ἅμα ἦγεν αὐτὸν, καὶ τοὺς ἀμφ' αὐτὸν, οὗπερ εἰώθει λοῦσθαι. τὸ δὲ βαλανεῖον, παράδεισος ἦν σταδίου μῆκος· ἐν μέσῃ κολυμβήθρα ἐνορώρυκτο, πηγὰς ἐκδεχομένη ποτίμου τε, καὶ ψυχροῦ ὕδατος. τὰ δὲ ἐφ' ἑκάτερα, δρόμοι ἦσαν, ἐν οἷς ἀκοντίῳ, καὶ δίσκῳ τὸν Ἑλληνικὸν τρόπον ἑαυτὸν ἐξήσκει. καὶ γὰρ τὸ σῶμα ἔρρωτο ὑπό τε ἡλικίας· ἑπτὰ γὰρ, καὶ εἴκοσι γεγονὼς ἔτη ἦν· ὑπό τε τοῦ ὧδε γυμνάζεσθαι. ἐπεὶ δὲ ἱκανῶς ἔχοι, ἐπήδα ἐς τὸ ὕδωρ, καὶ ἐγύμναζεν ἑαυτὸν τῷ νεῖν.

A conſueuit, eúmque in Satrapæ cuiuſdam domum duci præcepit, omnifariam commeatibus abundè traditis. Ipſe verò rex manu capiens Apolloniū, remoto interprete Græcis verbis interrogauit, an ſe vellet conuiuio excipere. obſtupenti autem Apollonio, & cur non ſtatim à principio ſecum ita locutus eſſet, interroganti, inquit rex, Ne
B fortè nimis audax viderer, quaſi qui non ſatis me ipſum agnoſcerem, quem barbarum facere Fortunæ placuiſſet: nunc autem tui amore victus, vbi te meis bonis gaudere cognoſco, diutius te celare non potui, quòd ſim Græcæ locutionis peritus: idque tibi plurimis argumentis oſtendam. Cur autem, inquit Apollonius, me ad conuiuium non inuitaſti, ſed inuitari à
C me maluiſti? quia te, inquit rex, præſtantiorem eſſe arbitror. Regalius enim eſt ceteris omnibus ſapientia. Hæc dicens, Apollonium, ceteróſque eius ſocios ad balnea deduxit, vbi ipſe lauari conſueuit. Is autem locus erat hortus longitudine ſtadij vnius: cuius in medio lacunar defoſſum erat, fontes aquæ dulcis, frigidæque in ſe recipiens.
D Vtrinque verò ſpatia erant ad currendum idonea, in quibus iaculo & diſco rex more Græcorum ſe exercebat, in flore tunc conſtitutus ætatis (annum enim agebat ætatis ſeptimum ſupra vigeſimum) atq; ad eiuſmodi exercitationes aſſuetus fuerat. Vbi verò ſe ſatis exercuiſſe videbatur, inſilire in aquam ſolebat, ibique aliquantum natando morari.

Apollonium cum rege ad conuiuium profectum : & quale conuiuium fuerit : Déque ſagittandi Indorum peritia. Hinc quales in Græcia, quales apud Indos eſſent philoſophi : quotóque ætatis anno inibi philoſophiæ dare operam adoleſcentes incipiant : quódque omni eos vitio carere oporteat : eſſe præterea, qui illos examinent, an philoſophia digni ſunt : ídque ex oculis, & ſuperciliis, ac genis præcipuè cognoſci poſſe in conuiuio ab Rege narratum. CAP. XII.

A POSTQVAM igitur omnes lauêre, ad conuiuium coronati proceſsêre. Ea namque apud Indos eſt conſuetudo, quotiens apud regem conuiuantur. Res autem memoratu digna videtur conuiuandi formam, modúmque referre, qui plenè, diſtinctéque à Damide ſcribitur. Rex* in lecto è ſtramentis facto accubat : iuxtáque ipſum ex agnatis eius ad ſummum quinque: ceteri ſedentes epulantur. Menſa B verò vſque ad hominis genu ſublimis in medio ſtruitur: quam in ſemicirculum compoſitam triginta homines, quaſi chorus ad manducandum circunſiſtunt. In ipſa verò laurus ſternitur, alijque rami ſimiles myrto, quibus vnguentum ſtillat, quo vtuntur Indi. Menſæ autem piſces auéſque imponuntur: integri præterea leones, & capræ, & C apri, necnon & tigrium clunes: ceteris enim animalis huius partibus veſci Indi prohibentur. Ferunt enim hoc animal cùm primùm naſcitur, priores pedes verſus orientem ſolem attollere. Comedendi autem conſuetudo talis ſeruatur. Exurgens enim ex propria ſede conuiua ad menſam accedit, & particula ab aliis, quæ diximus, animalibus abſciſſa, aut auulſa, in D propriam ſedem reuertitur, panem quoque iugiter comedens. Vbi verò propemodum ſaturati ſunt, aurei, argenteíque crateres afferuntur: quorum ſinguli potoribus decem ſuffi-

Vir. gramineo in thoro.

A ΩΣ δὲ ἐλούσαντο, ἐβάδιζον ἐς τὸ συσσίτιον ἐστεφανωμένοι· τουτὶ γὰρ νενόμισται Ἰνδοῖς, ἐπειδὰν ἐς τοῦ βασιλέως πίνωσιν. ἄξιον δὲ μηδὲ τὸ σχῆμα παραλιπεῖν τοῦ πότου, σαφῶς γε ἀναγεγραμμένον ὑπὸ τοῦ Δάμιδος· εὐωχεῖται μὲν γὰρ ἐπὶ στιβάδος ὁ βασιλεὺς, καὶ τῶν ξυγγενῶν μέχρι πέντε οἱ ἐγγύς· οἱ δὲ λοιποὶ πάντες, ἐν θάκοις B συσσιτοῦσι. τράπεζα δὲ, ὥσπερ βωμὸς, ὕψος ἐς γόνυ ἀνδρὸς ἐξῳκοδόμηται, μέση κύκλον ἐπέχουσα χοροῦ ξυμβεβλημένου ἀνδρῶν τριάκοντα. ἐφ' οἷς δάφναι τε διαστρώννυνται, καὶ κλῶνες ἕτεροι παραπλήσιοι μὲν τῇ μυρρίνῃ, φέροντες δὲ Ἰνδοῖς μύρον. ἐνταῦθα διάκεινται ἰχθῦς μὲν, καὶ ὄρνιθες. διάκεινται C δὲ λέοντές τε ὅλοι, καὶ δορκάδες, καὶ σύες, καὶ τίγρεων ὀσφύες. τὰ γὰρ λοιπὰ τοῦ θηρίου, παραιτοῦνται ἐσθίειν· ἐπειδὴ τὸ ζῷον τοῦτό φασιν ὅταν πρῶτον γένηται, τοῖς ἐμπροσθίοις τοῖν ποδοῖν ἀνίσχοντι αἴρειν τῷ ἡλίῳ. καὶ ἀνιστάμενος ὁ δαιτυμὼν, φοιτᾷ πρὸς τὴν τράπεζαν. καὶ τὰ μὲν, ἀνελόμενος τούτων, τὰ δὲ, ἀποτεμὼν, D ἀπελθὼν ἐς τὸν ἑαυτοῦ θᾶκον, ἐμπίπλαται, θαμινὰ ἐπεσθίων τοῦ ἄρτου. ἐπειδὰν δὲ ἱκανῶς ἔχωσιν, ἐσφέρονται κρατῆρες ἀργυροῖ τε, καὶ χρυσοῖ δέκα συμπόταις ἀποχρῶντες*,

Sc quod ſequitur redundat.

εἷς· ἀφ' ὧν πίνουσι κύψαντες, ὥσπερ ποτιζόμενοι. μεταξὺ δὲ πίνοντες, ἐπεισάγονται ἀγερωχίας ἐπικινδύνοις, καὶ οὐκ ἔξω τοῦ σπουδάζειν. παῖς γάρ τις ὥσπερ τῶν ὀρχηστρίδων, ἀνερριπτεῖτο κούφως, συναφιεμένου βέλους ἐς τὸ ἄνω· καὶ ἐπειδὴ πολὺ ἀπὸ τῆς γῆς γένοιτο, ἐκυβίστα ὁ παῖς, *ὑπεραίρων ἑαυτὸν τοῦ βέλους· καὶ ἁμαρτόντι τοῦ κυβιστᾶν, ἕτοιμα ἦν βεβλῆσθαι. ὁ γὰρ τοξότης πρὶν ἀφιέναι, περιῄει τοὺς ξυμπότας, ἐπιδεικνὺς τὴν ἀκίδα, καὶ διδοὺς ἔλεγχον τοῦ βέλους· καὶ τὸ σφενδόνης δὲ τοξεῦσαι, καὶ τὸ ἐς τρίχα ἱέναι· καὶ τὸν υἱὸν τὸν ἑαυτοῦ σκιαγραφῆσαι βέλεσιν ἀνεστῶτα πρὸς σανίδα· σπουδάζουσιν ἐν τοῖς πότοις, καὶ κατορθοῦσιν αὐτὰ μεθύοντες. οἱ μὲν περὶ τὸν Δάμιν, ἐξεπλήττοντο αὐτά, ὡς εὔσκοπα, καὶ τὴν ξυμμετρίαν τῆς τοξείας ἐθαύμαζον. ὁ δὲ Ἀπολλώνιος (ξυνεσιτεῖτο γὰρ τῷ βασιλεῖ ὁμοδιαίτῳ ὄντι) τούτοις μὲν ἧττον προσεῖχε· πρὸς δὲ τὸν βασιλέα, εἰπέ μοι, ὦ βασιλεῦ, ἔφη, πόθεν οὕτως ἔχεις φωνῆς Ἑλλάδος; φιλοσοφία τε ἡ περὶ σέ, πόθεν ἐνταῦθα; οὐ γὰρ ἐς διδασκάλους γε οἶμαι ἀναφέρειν, ἐπεὶ μηδὲ εἶναί τινας ἐν Ἰνδοῖς εἰκὸς διδασκάλους τούτου. γελάσας οὖν ὁ βασιλεύς, οἱ μὲν παλαιοί, ἔφη, τὰς ἐρωτήσεις τῶν καταπλεόντων ἐποιοῦντο, εἰ λῃσταί εἰσιν· οὕτως αὐτό, καίτοι χαλεπὸν ὄν, κοινὸν ἡγοῦντο. ὑμεῖς

γρ. ὑπαίρων

A cere poſſe videantur; atque ab his tanquam ex flumine potantes incuruati bibunt. Poſt potationem verò ſtrenuitates exercent ſanè periculoſas; non tamen à ſtudio, diligentiáque alienas. Puer enim, quaſi vnus eorum qui in orcheſtra ſaltant, expeditus in medium *proſilibat*, dum ſagitta in ſublime emitteretur; & cum multū à terra diſtaret, B puer in caput prouolutus tranſiliens ſubducebat ſe à iaculo, nō ignarus ſi paulum in ſaltu aberraſſet, ſagitta ſe transfixum iri. Sagittarius enim priuſquam ſagittam emittat, conuiuantes circuit ſagittæ cuſpidem oſtentans, & illius, ſi qui fortè experientiam capere voluerint, facultatem præbens. Funda etiam adeò ſubtiliter iaculantur, vt [emiſſo lapide, aut glande] pueri extremos duntaxat capillos attingant: Sunt C autem & qui tabulæ innixi filij ſui ſagittis *extrema, quaſi vmbram, leuiter perſtringant*. Talia ſedulò in conuiuiis exercent Indi, & quanquam etiã quandoque ebrij ſint, rectè tamen peragunt. Ea videntes Damis ſociíque ſtupebant, & ſagittando *collimandi* exactiſſimam peritiam admirabantur. Verùm Apollonius iuxta regem accubans, qui eodem quo D & ipſe victu vtebatur, non multùm tabulis, ludíſque mentem adhibebat: ſed ad regem conuerſus interrogabat, vnde Græcas literas, & quã ſciebat philoſophiam, didiciſſet: cùm nulli occurrerent apud Indos talium diſciplinarum præceptores. Subridens autem rex, Maiores, inquit, noſtri cunctos ad hæc loca nauibus appellentes interrogabant, an piratæ eſſent: Adeò vitium hoc, quamuis ſit magnum, commune omnibus eſſe arbitrabantur. Vos

Thucyd. lib. 1.

A autem Græci non interrogatis eos qui ad vos accedunt, an ſint philoſophi: adeò id, quod omnium, quæ ſunt apud homines diuiniſſimum eſt, quibuſvis ſine diſcrimine contingere poſſe arbitramini: & hoc apud vos, quaſi prædationis genus eſt quoddam. Tibi namque ſimilem inueniri in philoſophia perhibent neminem: plurimos autem apud vos eſſe audio, qui tanquam alienam rem philoſophiam deprædantes, eáque tanquam veſte ineptè tamen ſe B induentes, elati incedunt veſtem trahentes alienam. Et certè ſicut prædones, qui innumeris pœnis ſe obnoxios eſſe cognoſcunt, in deliciis degunt: eodem modo apud vos philoſophiæ prædones feruntur Veneri, ac ventri indulgere, & veſtibus molliſſimis vti. Huius autem mali cauſam eſſe arbitror leges veſtras. Si quis enim numiſma adulterinum cuderit, capite plectitur: C ſi quis etiam pupillum circumuenerit, aut aliud quippiam fecerit eiuſcemodi. Philoſophiæ verò * ſimulatores, aut corruptores, nulla, vt audio, apud vos lex coërcet: nec vllus huic rei magiſtratus præficitur. Verùm apud nos pauci admodum philoſophiam attingunt, & hi tali ratione probantur. Opus eſt enim adoleſcentem decem & octo annos natum (hoc enim tempore, etiá, vt arbitror, apud vos pubertas dicitur) D penes fluuium Hypaſim ad eos venire, ad quos tu etiam perrexiſti: atque antea publicè profiteri ipſum oportet ſe operam philoſophiæ daturum, vt liceat volentib. à tali incœpto prohibere, *ſi quidem minimè purus à* ſcelere ad philoſophandum accedat. Scelus autem dico primùm à patre, matréve proueniens. cauendum enim ne quid ab illis turpitudinis ſortiatur: néve ab eorum pa-

δέ μοι δοκεῖτε τοὺς ἐπιφοιτῶντας ὑμῖν ἐρωτᾶν, μὴ φιλόσοφοί εἰσιν; οὕτως αὐτὸ, καίτοι θειότατον τῶν κατ' ἀνθρώποις ὂν, καὶ τοῖς ἐπιτυχοῦσιν ὑπάρχειν οἴεσθε. καὶ ὅτι μὲν παρ' ὑμῖν ταυτὸν τῷ λῃστεύειν ἐστὶν, οἶδα. ὁμοίῳ μὲν γάρ σοι ἀνδρὶ οὔ φασιν ἐντυχεῖν· τοὺς δὲ πολλοὺς, ὥσπερ σκυλεύσαντας αὐτὸ ἑτέρων, περιβεβλῆσθαί τε αὐτὸ ἀναρμόστως, καὶ σοβεῖν, ἀλλοτρίαν ἐσθῆτα ἐπισύροντας. καὶ νὴ Δί' ὥσπερ οἱ λῃσταὶ τρυφῶσιν, εἰδότες ὅτι ὑπὸ τῇ δίκῃ κεῖνται· οὕτω κἀκείνους φασὶ γαστρί τε διδόναι, καὶ ἀφροδισίοις, καὶ ἀμπεχόνῃ λεπτῇ. τὸ δὲ αἴτιον, νόμοι ὑμῖν οἶμαί εἰσιν. εἰ μὲν τὸ νόμισμα παραφθείροι τις, ἀποθνήσκειν αὐτὸν· καὶ παιδίον, εἴ τις παραγράφοιτο*· ἢ οὐκ οἶδ' ὅ, τι ἐπὶ τούτῳ. τοὺς δὲ τὴν φιλοσοφίαν ὑποβαλλομένους, ἢ παραφθείροντας, οὐδεὶς οἶμαι νόμος παρ' ὑμῖν ἴσχει, οὐδὲ ἀρχή τις ἐπ' αὐτοὺς τέτακται. παρ' ἡμῖν δὲ, ὀλίγοι μὲν τοῦ φιλοσοφεῖν ἅπτονται· δοκιμάζονται δὲ ὧδε· χρὴ τὸν νέον, ἐπειδὰν ὀκτωκαίδεκα ἔτη γεγονὼς τύχῃ· τουτὶ δὲ οἶμαι καὶ παρ' ὑμῖν ἐφήβου μέτρον· ὑπὲρ τὸν Ὕφασιν ποταμὸν ἐλθεῖν παρὰ τοὺς ἄνδρας, οἷς* σὺ ὥρμηκας, εἰπόντα δημοσίᾳ πρότερον ὅτι *φιλοσοφήσοι, ἵν' ᾖ τοῖς βουλομένοις ἐξείργειν αὐτὸν, εἰ μὴ καθαρὸς φοιτῴη. καθαρὸν δὲ λέγω, πρῶτον μὲν τὸ ἐς πατέρα καὶ μητέρα ἧκον, μὴ περὶ αὐτοὺς ὄνειδός τις ἀναφαίνοιτο· εἶθ' οἱ τούτων

γ. παρεγγράφοιτο.
γ. οὓς.
γ. φιλοσοφήσει,

γονεῖς, καὶ τρίτον γένος εἰς ἄνω, μὴ ὑβριστής τις, ἢ ἀκρατὴς, ἢ χρηματιστὴς ἄδικος. ὅταν δὲ μηδεμία κηλὶς περὶ τούτοις ἀναφαίνηται, μηδὲ στίγμα ὅλως μηδὲν, αὐτὸν ἤδη διορᾶν τὸν νέον, καὶ βασανίζειν, πρῶτον μὲν, εἰ μνημονικός· εἶτα, εἰ κατὰ φύσιν αἰδήμων, ἀλλὰ μὴ πλαττόμενος τοῦτο· μὴ μεθυστικὸς, μὴ λίχνος, μὴ ἀλαζὼν, μὴ φιλόγελως, μὴ θρασὺς, μὴ φιλολοίδορος· εἰ πατρὸς ὑπήκοος ἢ μητρὸς ἢ διδασκάλων, εἰ παιδαγωγῶν ἐπὶ πᾶσιν· εἰ μὴ κακὸς περὶ τὴν ἑαυτοῦ ὥραν. τὰ μὲν δὴ τῶν γειναμένων αὐτὸν, καὶ οἱ ἐκείνους γείναντο, ἐκ μαρτύρων ἀναλέγονται, καὶ γραμμάτων, ἃ δημοσίᾳ κεῖνται. ἐπειδὰν γὰρ τελευτήσῃ ὁ Ἰνδὸς, φοιτᾷ ἐπὶ θύραις αὐτοῦ μία ἀρχὴ τεταγμένη ὑπὸ τῶν νόμων ἀναγράφειν αὐτὸν, ὡς ἐβίω. καὶ ψευσαμένῳ τι, ἢ ψευσθέντι τῷ ἄρχοντι, ἐπιτιμῶσιν οἱ νόμοι, μὴ ἄρξαι αὐτὸν ἔτι ἀρχὴν μηδεμίαν, ὡς παραποιήσαντα βίον ἀνθρώπου. τὰ δὲ τῶν ἐφήβων, ἐς αὐτοὺς ὁρῶντες, ἀναμανθάνουσι. πολλὰ μὲν γὰρ ὀφθαλμοὶ τῶν ἀνθρωπίνων ἠθῶν ἑρμηνεύουσι, πολλὰ δ' ἐν ὀφρύσι, καὶ παρειαῖς κεῖται, γνωματεύειν τε, καὶ θεωρεῖν, ἀφ' ὧν σοφοί τε, καὶ φυσικοὶ ἄνδρες, ὥσπερ ἐν κατόπτρῳ εἴδωλα, τοὺς νοῦς τῶν ἀνθρώπων διαθεῶνται. μεγάλων γὰρ δὴ ἀξιουμένης φιλοσοφίας ἐνταῦθα, καὶ τιμὴν παρ' Ἰνδοῖς τούτου ἔχοντος, ἀνάγκη πᾶσα ἐκβασανίζεσθαί τε τοὺς ἐπ' αὐτὴν ἰόντας, ἐλέγχοις τε ὑποβεβλῆσθαι μυρίοις. ὡς μὲν δὴ ἐπὶ διδασκάλοις αὐτὸ ποιοῦμεν, καὶ ἐς δοκιμασίαν ἡμῖν τὸ φιλοσοφεῖν ἥκει, σαφῶς εἴρηκα.

A rentibus vſque ad genus tertium rurſus pergentibus: quo in genere quæritur, ne quis eorum contumelioſus, aut incontinens, aut auarus, aut iniuſtus fuerit. Vbi autem in ipſis nulla vitiorum macula reperitur, tum aduleſcentis mores diligenter inſpiciunt, multipliciter illum tentantes, ac probãtes: & primò quidem an ingenio, ac memoria valeat, experiuntur, an ſit natura verecundus, & non aſtu ad tempus id ſimulans. Deinde an ſit e- B brioſus, aut gulæ deditus, an iactator, an ridiculus, an audax, an cõuitiator, an parẽtib. aut doctorib. inſtitutoribúſve vſquequaq; obtẽperãs, an formoſitate ſua abutens. & quibus quidem parentibus ortus quiſque ſit: & illi rurſus ex quibus geniti; teſtibus comprobatur, & in tabulis relatum publicè cuſtoditur. Cùm enim Indorum quiſpiam obierit, tunc magiſtratus, cui hoc muneris lege mandatum eſt, ad mortui fores accedens, C ſingillatim eius acta, moréſq. ſcribit. Quòd ſi in mendacio deprehenſus, aut deceptus ipſe vnquam fuerit, hac multatur pœna, vt nullo amplius magiſtratu aut dignitate fungi poſſit, quia communem hominum ſocietatẽ mentiendo fraudauerit. Qui autem ad examinandos iuuenes eliguntur, multa ex eorum aſpectu coniiciunt. Oculi namque mores hominum pleroſque indicant. Multa e- D tiam in ſuperciliis, geníſque poſita ſunt, ex quibus ſapientes, & naturæ periti homines imagines velut in ſpeculo aſpicientes, quæ mens illis, quódque ſit ingenium contemplantur. Cùm enim magno in honore apud Indos habeatur philoſophia, neceſſe eſt omnibus modis probatos eſſe, qui ad eam percipiendam accedunt. Quo pacto igitur probatos adoleſcentes præceptoribus tradimus philoſophiæ, ſatis oſtẽdimus.

Narratio Phraotæ regis de parentibus ſuis, & ſeipſo: vt ſcilicet pater adhuc adoleſcens regno eiectus, philoſophiæ apud ſapientes operam dederit, ipſeque Græcas literas edoctus à patre ad eos ipſos ſapientes philoſophiæ gratia miſſus fuerit; ac defunctis parentibus ab amicis paternis in regnum reuocatus. CAP. XIII.

QVOD autem ad me attinet, ita contingit. Ego ab auo rege, qui itidem, atque ego Phraotes dicebatur, originem duco. Pater autem meus *vir* * priuatus fuit. Nam cùm defuncto parente puer admodum relictus eſſet, tutores duo ex cognatis ſecundum leges Indorum gubernationem eius ſuſceperunt, & quæ in regno agenda erant, nec benignè, nec modeſtè gerebant. quapropter odioſi, moleſtíque iis eſſe cœperunt, qui imperio ſuberant: multáque in eos maledicta, conuitiáque vulgò iactabantur. Potentiores igitur quidam contra illos coniurantes, ſolemni celebritate, dum ſcilicet Indo flumini ſacrificarent, eos aggreſſi interfecêre. Ipſi verò occupato regno ſeſe dominos conſtituerunt. Patris igitur agnati de ipſius ſalute ſoliciti, cùm eſſet annos natus circiter ſexdecim, ad regem (qui penes Hypaſim fluuium regnabat) eum miſerunt. Eſt autem id regnum hoc ipſo, quod ego poſſideo, longè maius: regio autem plurima ex parte amœniſſima & bene fortunata. Volenti autem regi in filium ſibi adoptare, non aſſenſus eſt pater meus, nolle ſe, inquiens contra fortunam pugnare, quæ iam ſemel ipſum regno priuauerat, atque ab eo petiit, vt ſibi liceret apud eos, qui ſapientes illic habebantur, philoſophari. Sic enim toleratu faciliora ſibi fore putabat domeſtica mala. *Volenti autem regi, eum ad paternum imperium reducere vltrò*, reſpondit: Si me verè philoſophantẽ agnoueris, reduces in regnũ:

A ΤΟΥμὸν δὲ ὧδ' ἔχει. ἐγὼ μὲν πάππου βασιλέως ἐγενόμην, ὃς ἦν μοι ὁμώνυμος· πατρὸς δὲ ἰδιώτου. καταληφθεὶς γὰρ κομιδῇ νέος, ἐπίτροποι μὲν αὐτῷ ἐγένοντο δύο τῶν ξυγγενῶν, κατὰ τοὺς τῶν Ἰνδῶν νόμους· ἔπραττον δὲ ὑπὲρ αὐτοῦ τὰ βασιλικὰ οὐ χρηστῶς, μὰ τὸν ἥλιον, οὐδὲ ξυμμέτρως· ὅθεν
B βαρεῖς τοῖς ὑπηκόοις ἐφαίνοντο, καὶ ἡ ἀρχὴ κακῶς ἤκουε. ξυστάντες οὖν ἐπ' αὐτοὺς τῶν δυνατῶν τινες, ἐπιτίθενται σφίσιν ἐν ἑορτῇ, καὶ κτείνουσι τῷ Ἰνδῷ θύοντας. αὐτοί τε ἐπιπηδήσαντες τῇ ἀρχῇ, ξυνεῖχον τὰ κοινά. δείσαντες οὖν οἱ ξυγγενεῖς περὶ τῷ πατρὶ μήπω ἑκκαίδεκα ἔτη γεγονότι, πέμπουσιν αὐτὸν ὑπὲρ τὸν Ὕφασιν, παρὰ τὸν ἐ-
C κεῖ βασιλέα· πλειόνων δὲ ἢ ἐγὼ ἄρχει· καὶ εὐδαίμων ἡ χώρα παρὰ πολὺ τῆς ἐνταῦθα. βουλομένου δὲ αὐτὸν τοῦ βασιλέως παῖδα ποιεῖσθαι, τουτὶ μὲν παρῃτήσατο, φήσας μὴ φιλονεικεῖν τῇ τύχῃ ἀφῃρημένῃ αὐτὸν τὸ ἄρχειν. ἐδεήθη δὲ αὐ-
D τοῦ ξυγχωρῆσαι οἱ φιλοσοφῆσαι βαδίσαντι παρὰ τοὺς σοφούς. καὶ γὰρ ἂν καὶ ῥᾷον καρτερῆσαι τὰ οἴκοι κακά. βουλομένου δὲ τοῦ βασιλέως καὶ κατάγειν αὐτὸν ἐπὶ τὴν πατρῴαν ἀρχήν, εἰ γνησίως ἔφη, φιλοσοφοῦντα αἴσθοιο, κάταγε.

εἰ δὲ μὴ, ἔα με οὕτως ἔχειν. αὐτὸς οὖν ὁ βασιλεὺς παρὰ τοὺς σοφοὺς ἥκων, μεγάλων ἂν, ἔφη, παρ' αὐτῶν τυχεῖν, εἰ τοῦ παιδὸς ἐπιμεληθεῖεν, γενναίου τὴν φύσιν ἤδη ὄντος. οἱ δὲ, κατιδόντες τι ἐν αὐτῷ, πλέον ἠσπάσαντο προσδοῦναί οἱ τῆς αὐτῶν σοφίας· καὶ προθύμως ἐπαίδευον προσκείμενον πάνυ τῷ μανθάνειν. ἑβδόμῳ δὲ ἔτει νοσῶν ὁ βασιλεὺς, ὅτε δὴ καὶ ἐτελεύτα, μεταπέμπεται αὐτὸν, καὶ κοινωνὸν τῆς ἀρχῆς ἀποφαίνει τῷ υἱῷ· τὴν δὲ θυγατέρα ὁμολογεῖ πρὸς ὥραν οὖσαν. ὁ δὲ, ἐπειδὴ τὸν τοῦ βασιλέως υἱὸν εἶδε, κολάκων, καὶ οἴνου, καὶ τῶν τοιούτων κακῶν ἥττω, μεστόν τε ὑποψιῶν πρὸς αὐτὸν, σὺ μὲν ἔφη, ταῦτ' ἔχε, καὶ τῆς ἀρχῆς ἁπάσης ἐμφοροῦ· καὶ γὰρ ἀνόητος μὴ δὲ τὴν προσήκουσαν ἑαυτῷ βασιλείαν κτήσασθαι δυνηθέντα, θρασέως δοκεῖν ἐπὶ τὴν μὴ προσήκουσαν ἥκειν. ἐμοὶ δὲ τὴν ἀδελφὴν δίδου· ἱκανὴ γὰρ μόνον ἀπόχρη μοι τῶν σῶν. καὶ λαβὼν τὸν γάμον, ἔζη πλησίον τῶν σοφῶν, ἐν κώμαις ἑπτὰ εὐδαίμοσιν, ἃς ἐπέδωκε τῇ ἀδελφῇ ὁ βασιλεὺς εἰς ζώνην. γίνομαι τοίνυν ἐγὼ τοῦ γάμου τούτου. καί με ὁ πατὴρ τὰ Ἑλλήνων παιδεύσας, ἄγει παρὰ τοὺς σοφοὺς, πρὸ ἡλικίας ἴσως. δώδεκα γάρ μοι τότε ἦν ἔτη. οἱ δὲ, ἔτρεφον ἴσα καὶ ἑαυτῶν παῖδα· οὓς γὰρ ἂν ὑποδέξωνται τὴν Ἑλλήνων φωνὴν εἰδότας, ἀγαπῶσι μᾶλλον ὡς ἐς τὸ ὁμοήθες αὐτοῖς ἤδη προσήκοντας. ἀποθανόντων δέ μοι τῶν γονέων, οὐ μετὰ πολὺ ἀλλήλων,

A ſin minus, ſinito me priuatim eo modo vitam degere. His auditis rex ipſe ad ſapientes vnà profectus, maximas gratias ſe illi relaturum eſſe pollicitus eſt, ſi in erudiendo generoſum puerum, & clariſſimis parentibus ortum, curam, diligentiámque adhibuiſſent. Illi verò præclarum quid in illo conſpicati, libenter operam ſuam obtulêre: inde ſtudium omne, diligentiámque in illo erudiendo poſuerunt. Ipſe quoque
B mentem animúmque totum ad percipiendas diſciplinas conuertit. Poſt annos verò ſeptem rex aduerſa valetudine correptus, quæ & vitæ finem illi attulit, à ſapientibus reuocatum patrem meum heredem regni, æquo iure cum filio reliquit, & nubilem filiam illi deſpondit vxorem. Mortuo deinde rege, cùm animaduerteret pater meus regis filium aſſentatorib. gaudere, & vino, & huiuſmodi voluptatibus deditum, erga
C ſe quoque ſuſpitioſum nimis eſſe: tu, inquit, hæc omnia tibi habe, regnũque totum, vt placet, guberna. Stultũ eſt enim qui regnũ ad ſe iure pertinẽs habere non poſſit, nimis audacter in alieno regnare velle. Mihi verò ſororẽ tuam cõcede. hoc enim ſolùm de reb. tuis habere mihi ſatis eſt. Accepta itaq. vxore in loca ſapiẽtib. finitima ſeceſſit habitatum, vbi vicos ſeptem amœniſſimos ſub ditione habebat, quos ei dotis *nomine rex tra- *pro cingulo.
D diderat. Me igitur ex tali natũ cõiugio pater cùm Græcas literas docuiſſet, ad ſapientes deduxit, citiùs fortaſſe, quã æquũ fuerat (erã enim annos dũtaxat duodecim natus.) Illi verò acceptũ me non ſecus, ac filiũ educauêre. Quos enim Græcis literis inſtructos accipiunt, multò magis diligũt, tanquam doctrinæ ſimilitudine quadã, iam ſibi deuinctos. Parentib. autẽ nõ longe matre poſt patrẽ defunctis

apud nos degebam, in paternos vicos ad res meas curandas, me ire iuſſerunt, cùm iam ad annos ætatis decem, & nouem perueniſſem. Sed iam vicos abſtulerat bonus auunculus: ita, vt ne agellos quidem, quos pater ipſe poſſederat, mihi relinqueret: cuncta ad ſuum regnum dictitans pertinere: mihi verò ſummum beneficium eſſe, quòd vitam concederet. Ego autem paucis pecuniis à libertis maternis collectis, cum quatuor duntaxat familiaribus in paupertate degebam. Euenit autem, vt tragœdiam, quam Heraclidarum vocant, lectitanti nuntius quidam ſuperueniret, epiſtolã afferens ab homine parenti meo quondam familiariſſimo. Is me iubebat Hydraote amne trãſmiſſo ad ſe venire auiti regni recipiendi cauſa. Sperare enim dicebat me faciliter id conſequi poſſe, niſi mihi deeſſem. Ego igitur tragœdiam ab aliquo deorum mihi oblatam putans, omẽ & famam ſequebar. Tranſmiſſo autem flumine, eorum, qui regnum inuaſerant, alterum interiiſſe audiui; alterum in hac ipſa, vbi nunc ſumus, regia obſideri. Veniebam igitur ſupplex & ſummo clamore quacunque iter facerem, incolarum auxilia implorans, & quiſnam eſſem, & quo patre genitus, vociferans. Aduentus quoque mei cauſam eſſe narrabam, vt auitum regnum per vim & fraudem ab iniuſtis poſſeſſoribus diutiùs occupatum, reciperem. Illi verò ſummo gaudio me excipiebant, & accedentes propius ſalutabant, méque auo perſimilem exiſtimantes, ſumma cum beneuolentia complectebantur: & eorum plerique pugiones & arcus ſecum ferentes me comitabantur: & augebatur continuò numerus, [& maior oſtendebatur beneuolentia] Cum hac itaq. multitudine ad ciuitatis portam

A αὐτοί με βαδίσαντες ἐπὶ τὰς κώμας, ἐκέλευσαν ἐπιμεληθῆναι τῶν ἐμαυτοῦ, γεγονότα ἐννεακαίδεκα ἔτη. τὰς μὲν οὖν κώμας ἀφῄρητό με ἤδη ὁ χρηστὸς θεῖος, καὶ οὐδὲ τὰ γήδιά μοι ὑπελείπετο τὰ κεκτημένα τῷ πατρί. πάντα γὰρ δὴ* τῇ ἑαυτοῦ ἀρχῇ προσήκειν αὐτά· ἐμὲ δ᾽ ἂν μεγάλων παρ᾽ αὐτοῦ τυχεῖν, εἴ με ἐῴη ζῆν.
B ἔρανον οὖν ξυλλεξάμενος παρὰ τῶν τῆς μητρὸς ἀπελευθέρων, ἀκολούθους ἔχων τέτταρας. καί μοι ἀναγιγνώσκοντι τοὺς Ἡρακλείδας, τὸ δρᾶμα, ἐπέστη τις ἐντεῦθεν, ἐπιστολὴν φέρων παρὰ ἀνδρὸς ἐπιτηδείου τῷ πατρί. ὅς με ἐκέλευσε διαβαίνοντα τὸν Ὑδραώτην ποταμὸν, ξυγγενέσθαι οἱ περὶ τῆς ἀρχῆς τῆς ἐνταῦθα· πολλὰς γὰρ ἐλπίδας εἶναι
C μοι ἀνακτήσασθαι αὐτὴν μὴ ἐλινύοντι. τὸ μὲν δὴ δρᾶμα, θεῶν τις οἶμαι ἐπὶ νοῦν ἤγαγε· καὶ εἱπόμην τῇ φήμῃ. διαβὰς δὲ τὸν ποταμὸν, τὸν μὲν ἕτερον, τῶν βεβιασμένων ἐς τὴν ἀρχὴν, τεθνάναι ἤκουσα· τὸν δὲ ἕτερον, ἐν τοῖς βασιλείοις πολιορκεῖσθαι. τούτοις ἐχώρουν δὴ ξυντείνας, καὶ
D βοῶν πρὸς τοὺς ἐν ταῖς κώμαις, δι᾽ ὧν ἔστειχον, ὡς ὁ τοῦ δεῖνος εἴην υἱός· καὶ ἐπὶ τὴν ἀρχὴν τὴν ἐμαυτοῦ ἴοιμι. οἱ δὲ, χαίροντές τε, καὶ ἀσπαζόμενοί με προὔπεμπον, παραπλήσιον ἡγούμενοι τῷ πάππῳ. ἐγχειρίδιά τε ἦν αὐτοῖς, καὶ τόξα· καὶ πλείους ἀεὶ ἐγινόμεθα, καὶ προσελθόντα ταῖς πύλαις,

οὕτω τι ἄσμενοι ἐδέξαντό με ἐνταῦθα, ὡς ἀπὸ τοῦ βωμοῦ τοῦ ἡλίου δᾷδας ἀψάμενοι, περὶ πυλῶν τε ἥκειν, καὶ ἡγεῖσθαι δεῦρο ἐφυμνοῦντες πολλὰ τῷ πατρὶ, καὶ τῷ πάππῳ· τὸν δὲ εἴσω κηφῆνα, περὶ τὸ τεῖχος εἶρξαι· καί τοι ἐμοῦ παραιτουμένου μὴ τοιῷ δε τρόπῳ ἀποθανεῖν αὐτόν.

A venientem ciues omnes tam alacri, promptóque animo ſuſceperunt, vt ex ara Solis accenſis facibus obuiam procedentes ad regiam vſque deducerent, multa in aui patríſque mei laudem decantantes. cum verò, qui tanquam fucus regiam obtinebat, è muris præcipitare voluerũt, niſi ego pro illo precatus eſſem, ne tali morte ipſum interimerent.

De Oxydracis, & eorum vrbe inexpugnabili: vt pote qui non armis, ſed tonitruis, & fulminibus à Ioue miſsis hoſtes propulſent: Idque in Herculem & Bacchum viſum olim fuerit. Quódque Ægyptius Hercules ad Gades venerit, non Thebanus. hinc longa diſputatio vtri magis ſomno capiantur, vinine, an aquæ potores. Déque medicamentis ad ſomnum, & Amphiarao vate. C*AP.* XIIII.

Υπολαβὼν οὖν ὁ Ἀπολλώνιος, Ἡρακλειδῶν, ἔφη, κάθοδον ἀτεχνῶς διελήλυθας· καὶ ἐπαινετέοι οἱ θεοὶ τῆς διανοίας, ὅτι γενναίῳ ἀνδρὶ ἐπὶ τὰ ἑαυτοῦ στείχοντι, ξυνήραντο τῆς καθόδου. ἀλλ' ἐκεῖνό μοι περὶ τῶν σοφῶν εἰπὲ, οὐ καὶ ὑπὸ Ἀλεξάνδρῳ ποτὲ ἐγένοντο οὗτοι, καὶ ἀναχθέντες αὐτῷ, περὶ τοῦ οὐρανοῦ ἐφιλοσόφησαν; Ὀξυδράκαι, ἔφη, ἐκεῖνοι ἦσαν. τὸ δὲ ἔθνος τοῦτο, ἐλευθεριάζει τε ἀεὶ, καὶ πολεμικῶς ἐξήρτυται· σοφίαν τε μεταχειρίσασθαί φασιν, οὐδὲν χρηστὸν εἰδότες· οἱ δὲ ἀτεχνῶς σοφοὶ, κεῖνται μέντοι τοῦ Ὑφάσιδος, καὶ τοῦ Γάγγου μέσοι. τὴν δὲ χώραν ταύτην οὐδὲ ἐπῆλθεν ὁ Ἀλέξανδρος, οὔ τί που τὰ ἐν αὐτῇ δείσας, ἀλλ' οἶμαι τὰ ἱερὰ ἀπεσήμηνεν αὐτῷ. εἰ δὲ καὶ διέβη τὸν Ὕφασιν, καὶ τὴν περὶ αὐτοὺς γῆν ἠδυνήθη ἑλεῖν, ἀλλὰ τήν γε τύρσιν, ἣν ἐκεῖνοι κατοικοῦσιν, οὐδ' ἂν μυρίους μὲν Ἀχιλλέας, τρισμυρίους δὲ Αἴαντας ἄγων ποτὲ ἐχειρώ-

HÆC audiens Apollonius Heraclidarum, inquit, reditum apertè narras, & laudes maximè diis debentur, qui generoſo viro in ſuum C regnum redeunti auxilium præſtitêre. Verùm hoc de iis, quos dixiſti, ſapientibus reſpondeas velim: an ij ſint, qui quondam ad Alexandrum venientes ſecreta multa de cœlo, & ſtellis cum illo philoſophati ſunt? Oxydracæ, inquit rex, iſti ſunt. Quæ gens in libertate viuit, reíque bellicæ etiam ſtudet, & ſapientiæ participẽ ſe eſſe profitetur, cùm tamen nihil præ-D clarum ſciant. ſed qui verè ſapientes ſunt inter Hyphaſidem & Gangen medij habitant: quam in partem nunquã venit Alexander, nihil ſanè timens, quòd in illa regione eſſet, ſed, vt puto, reuerentia ſacrorum prohibitus eſt. Sciebat enim Hyphaſidem fluuium tranſiri, & campos vrbi adiacentes facilè capi poſſe: turrẽ verò & vrbem, quam illi habitant, nec ſi quis mille Achilles, & ter mille Aiaces ſecum duxerit, capere vnquã poſſet.

poſſet. Nec tamen ipſi in aciem prodeuntes dimicant, ſed tonitruis, fulminibúſque ab Ioue miſſis hoſtes propulſant: cùm ſacroſanꝗi & amici deorum habeantur. Attamen Ægyptium Herculem & Bacchum, qui cum exercitibus Indiam luſtrarunt, aduerſus ipſos communi conſilio militaſſe perhibent, omnis generis machinas ſecum ferentes, occupatíſque agris ad vrbem acceſſiſſe. Ciues autem nihil contra molientes, illis viſis quieti manebát: ſed cùm hoſtes iam vrbi propinquarent, repente tonitrua, fulguráque de cœlo frequẽter miſſa, armatos iam fugere compulerunt. Vbi & aureum clypeum abiecíſſe Herculem ferunt, quem ſapientes illi monimenti cauſa in templo ſuſpenderunt: tum propter conceptam de Hercule opinionem, tum ipſam clypei ſculpturam. In ipſo enim Hercules inſculptus erat, terminos terræ penes Gades collocans, & montibus quaſi columnis conſtitutis Oceanum excludens. Vnde manifeſtè ſatis colligi poteſt, non Thebanum Herculem, ſed Ægyptium ad Gades veniſſe, ibíque terrarum terminos conſtituiſſe. Dum iſti talia inter ſe loquerentur, homines ad tibiam cantantes ſuperuenere. Interroganti autem Apollonio, quidnam hæc ſibi vellet exultatio: Indi, inquit ille, huiuſmodi cantibus regem admonent, quotiens dormitum pergit, vt bonis vtatur ſomniis: atque benignus erga ſubditos, & illis bene conſulens ſurgat. Quonam igitur pacto, inquit Apollonius, ô rex, erga talia te habes, cùm iſti te cantibus appellent? Non derideo, inquit ille. Opus eſt enim talia admittere legum gratia, cùm nulla tamen egeam admonitione.

A στατοῦ. οὐ γὰρ μάχονται τοῖς προσελθοῦσιν, ἀλλὰ διοσημείαις τε, καὶ σκηπτοῖς βάλλοντες, ἀποκρούονται σφᾶς, ἱεροὶ, καὶ θεοφιλεῖς ὄντες. τὸν γοῦν Ἡρακλέα τὸν Αἰγύπτιον, καὶ τὸν Διόνυσον, ξὺν ὅπλοις διαδραμόντας τὸ Ἰνδῶν ἔθνος φασὶ μέν ποτε ἐλάσαι ἐπ᾽ αὐτοὺς ἅμα, μηχανάς τε παλαμήσασθαι, καὶ τοῦ χωρίου ἀποπειρᾶσθαι.

B τοὺς δὲ, ἀντιπράττειν οὐδὲν, ἀλλ᾽ ἀτρεμεῖν, ὡς ἐκείνοις ἐφαίνοντο. ἐπεὶ δ᾽ αὐτοὶ προσέβησαν, πρηστῆρες αὐτοὺς ἀπεώσαντο, καὶ βρονταὶ κάτω στρεφόμεναι, καὶ ἐμπίπτουσαι τοῖς ὅπλοις· τὴν γὰρ ἀσπίδα χρυσῆν οὖσαν, ἀποβαλεῖν ἐκεῖ λέγεται ὁ Ἡρακλῆς· καὶ πεποίηνται αὐτὴν ἀνάθημα οἱ

C σοφοὶ, διά τε τὴν τοῦ Ἡρακλέους δόξαν, διά τε τὸ ἐντύπωμα τῆς ἀσπίδος. αὐτὸς γὰρ πεποίηται ὁ Ἡρακλῆς ὁρίζων τὰ Γάδειρα, καὶ τὰ ὄρη στήλας ποιούμενος, τόν τε Ὠκεανὸν ἐς τὸ ἔξω ἐπισπώμενος. ὅθεν δηλοῦται μὴ τὸν Θηβαῖον Ἡρακλέα, τὸν δὲ Αἰγύπτιον ἐπὶ τὰ Γάδειρα ἐλθεῖν, καὶ ὁριστὴν

D γενέσθαι τῆς γῆς. τοιαῦτα διαλεγομένων αὐτῶν, ἐπεισῆλθεν ὁ ὕμνος αὐλῷ ἅμα. ἐρομένου δὲ αὐτοῦ τοῦ Ἀπολλωνίου τὸν βασιλέα, ὅ,τι ἐθέλοι ὁ κῶμος, Ἰνδοὶ, ἔφη, παραινέσεις τῷ βασιλεῖ ᾄδουσιν, ἐπειδὰν πρὸς τῷ καθεύδειν γίνηται, ὀνείρασί γε ἀγαθοῖς χρῆσθαι, χρηστόν τε ἀνίστασθαι, καὶ ξύμβουλον τοῖς ὑπηκόοις. πῶς οὖν, ἔφη, ὦ βασιλεῦ; διάκεισαι πρὸς ταῦτα; σὲ γάρ που αὐλοῦσιν. οὐ καταγελῶ, ἔφη. δεῖ γὰρ προσίεσθαι αὐτὰ τοῦ νόμου ἕνεκεν παραινέσεως μέν τοι μηδεμιᾶς δεῖσθαι:

ὅσα γὰρ ὁ βασιλεὺς μετρίως τε, καὶ χρηστῶς πράττοι, ταῦτα ἑαυτῷ χαριεῖται δήπου μᾶλλον, ἢ τοῖς ὑπηκόοις. τοιαῦτα διαλεχθέντες, ἀνεπαύσαντο. ἐπεὶ δὲ ἡμέρα ὑπεφαίνετο, αὐτὸς ὁ βασιλεὺς ἀφίκετο ἐς τὸ δωμάτιον, οὗ ἐκάθευδον οἱ περὶ τὸν Ἀπολλώνιον. καὶ τὸν σκίμποδα ἐπιψηλαφήσας, προσεῖπέ τε τὸν ἄνδρα, καὶ ἤρετο αὐτὸν ὅ, τι ἐνεθυμεῖτο· οὐ γάρ που καθεύδεις εἶπεν, ὕδωρ πίνων, καὶ καταγελῶν τοῦ οἴνου; οὐ γὰρ καθεύδειν ἡγῇ, ἔφη, τοὺς τὸ ὕδωρ πίνοντας; καθεύδειν μὲν, ἔφη, λεπτὸν δὲ ὕπνον, ὃν περὶ ἄκροις αὐτὸν τοῖς ὀφθαλμοῖς ἐφιζάνειν φαμὲν, οὐ τῷ νῷ. ἀμφοτέροις, εἶπε, καὶ ἴσως τῷ νῷ μᾶλλον. Εἰ γὰρ μὴ ἀτρεμήσειεν ὁ νοῦς, οὐδὲ ὑποδέξονται οἱ ὀφθαλμοὶ τὸν ὕπνον. οἱ γοῦν μεμηνότες, οὐδὲ καθεύδειν δύνανται, διὰ τὴν τοῦ νοῦ πήδησιν· ἀλλ' εἰς ἄλλα, καὶ ἄλλα ἀπιούσης τῆς ἐννοίας, γοργότερον ἀναβλέπουσι, καὶ ἀναιδέστερον, ὥσπερ οἱ ἄυπνοι τῶν δρακόντων. ἐπεὶ τοίνυν, ὦ βασιλεῦ, εἶπε, σαφῶς ἡρμήνευται τὸ τοῦ ὕπνου ἔργον, καὶ ἅττα δηλοῦται τοῖς ἀνθρώποις, σκεψώμεθα τί μειονεκτήσει τῷ ὕπνῳ τοῦ μεθύοντος, ὁ τὸ ὕδωρ πίνων· μὴ σοφίζου, ἔφη, ὁ βασιλεύς· εἰ γὰρ μεθύοντα ὑποθήσῃ, οὐ καθευδήσει τοῦτο. βακχεύουσα γὰρ ἡ γνώμη, στροβήσει τε αὐτὸν, καὶ ταραχῆς ἐμπλήσει. δοκοῦσί τοι πάντες οἱ ἐν μέθης καταδαρθεῖν πειρώμενοι, ἀναπέμπεσθαί τε ἐς τὸν ὄροφον, καὶ αὖ ὑπόγειοι εἶναι, δίνῃ ἐμπεπτωκέναι σφίσιν, οἷα δὴ περὶ τὸν Ἰξίονα λέγεται ξυμβαίνειν. οὔκουν ἀξιῶ τὸν μεθύοντα,

A Quæcunque enim rex modeſtè, benignéque facit, ea illi maiorem gratiam & beneficium afferunt, quàm iis, qui eius imperio ditioníque ſubiacent. His dictis eorum vterq; dormitum abiit. Poſtquam verò dies illuxit, rex ad cubiculum venit, vbi Apollonius, ſociíque eius dormiebant: ſcabellóque manibus propriis aptato ſuperſedens, cùm ſalutaſſet Apollonium, quidnam meditaretur, interrogauit: Neq; enim dormire te
B nimium arbitror, cùm aquam bibas, & vinum contemnas. Tunc Apollonius, an non dormire cenſes eos, qui aquam bibunt? Dormire inquam opinor, rex inquit, ſed perleuem ſomnum; & qualẽ dicimus ſummis oculis inſidere, non autem menti. Imò verò, inquit Apollonius, vtroq. dormiunt: fortè etiam mente magis. Niſi enim quieta mens fuerit, nequaquã oculi ſomnum ſuſcipient. Propterea furioſi homines dormire nequeunt, pro-
C pter aſſiduam mentis agitationem; quæ cùm in alia ex aliis iugiter cogitando tranſiliat, toruè, impudentérque aſpiciunt, ſicut inſomnes dracones. Quoniam igitur, ô rex, manifeſtè interpretari poſſumus, quid ſomnus operetur, quæq. hominibus detrimẽta afferat, perquiramus quidnam ſit, quod minores faciat ſomnos aquam bibẽtium, quàm ebriorum. Noli, inquit rex, ſophiſticis in diſputãdo ſermonib. vti. Concedam enim, ſi ebriũ
D ipſum ſuppoſueris, etiã non dormire. Debacchãs enim & quaſi furens animus multipliciter illum deuoluet, & plurimis implebit perturbationibus. Videntur enim ſibi omnes, qui conçepta ebrietate dormitare nituntur, nunc vſq; ad domorũ culmen attolli, nunc rurſus ſub terram detrudi, & tali agitari vertigine, quali circumuolui Ixionem fabulæ perhibent. Non itaque de tali ebrio ſum locutus,

ſed de eo, qui vinum bibens ſobrius tamẽ permanet, quíque contemplari, [& alia mentis opera exercere] poteſt: hunc ego magis meliúſque dormiturum dico, quàm qui tantummodo aquam bibit. His auditis Apollonius Damidem compellans, Cum vehemẽti, inquit, viro mihi inſtitutus eſt ſermo, & in diſputationibus exercitato. Video, inquit Damis: atque hoc fortaſſe fuerit in* clunatrum incidere: & me quidem ratio, quam attulit valde mouet. *tempus* igitur eſt, cùm modò ſis experrectus, vt hanc de ſomno diſputationẽ abſoluas. Paululum ergo ſublato capite Apollonius, Quanto, inquit, nos, qui aquam bibimus, dulcibus ſomnis magis abundemus, quàm qui vinum bibunt, iam oſtendam, tuam rationem ſecutus. Quòd enim multis agitetur perturbationibus, & quaſi furiis quibuſdam vexetur ebriorum mens, rectè abs te dictum eſſe fateor. Videmus enim ebrietate correptos geminam lunam, geminum ſolem ſeſe videre arbitrari: alios non minus lapſos, & pene ſobrios nihil quidem tale cogitare, ſed lætitia geſtire & voluptate quadam perfundi: idque non ob aliquã præclaram actionem ab eis geſtam plerunque contingit. Alij verò forenſes orationes meditantur, cùm in foro nunquam ſint locuti: & ſe diuites putant, cùm nec drachmam poſſideant. Hi autem ſunt, ô rex, inſaniæ morbi. Ipſa enim lætitia mentes agitat. Plures enim vidi, qui bona quadam fortuna ſe potitos arbitrantes, ſomnum capere non poterant: ſed excitati in medium proſiliebant. Quod ſatis argumenti eſt, ipſa etiam bona, curas, ſolicitudinéſque præbere. Sunt autem & quædam medicamenta ad faciendum ſomnum excogitata, quæ ſi qui biberint, aut ſeſe iiſdem per-

A ἀλλὰ τὸν πεπωκότα μὲν τοῦ οἴνου, νήφοντα δὲ, θεωρεῖν ὡς καθευδήσει, καὶ ὡς πολλῷ βέλτιον τοῦ ἀοίνου. καλέσας οὖν ὁ Ἀπολλώνιος τὸν Δάμιν, πρὸς δεινὸν ἄνδρα, ἔφη, ὁ λόγος, καὶ σφόδρα γεγυμνασμένον τῷ διαλέγεσθαι. ὁρῶ, ἔφη· καὶ τοῦτ᾽ ἴσως ἦν τὸ Μελαμπύγου τυχεῖν· κἀμὲ

B δὲ πάνυ αἱρεῖ ὁ λόγος, ὃν εἴρηκεν. ὥρα οὖν σοι ἀφυπνίσαντι, ἀποτελεῖν αὐτόν. ἀνακουφίσας οὖν τὴν κεφαλὴν ὁ Ἀπολλώνιος, καὶ μὴν ὅσον, ἔφη, πλεονεκτοῦμεν οἱ τὸ ὕδωρ πίνοντες πρὸς τὸ καθεύδειν ἥδιον, ἐγὼ δηλώσω, τοῦ γε σοῦ λόγου ἐχόμενος. ὡς μὲν γὰρ τετάρακται ἡ γνώμη τοῖς μεθύουσι, καὶ μανικώτερον διάκεινται,

C σαφῶς εἴρηκας· ὁρῶμεν γὰρ τοὺς μέθῃ κατεσχημένους, διπλᾶς σελήνας δοκοῦντας βλέπειν, διπλοῦς δὲ ἡλίους· τοὺς δὲ ἧττον πεπωκότας, κἂν πάνυ νήφωσιν, οὐδὲν μὲν τούτων ἡγουμένους, μεστοὺς δὲ εὐφροσύνης, καὶ ἡδονῆς, ἣ δὴ προσαπίπτει σφίσιν, οὐδὲ ἐξ εὐπραγίας πολλάκις. καὶ μελετῶσι δὲ οἱ τοιοῦτοι δίκας, οὐδὲ φθεγξάμενοί πω

D ἐν δικαστηρίῳ, καὶ πλουτεῖν φασιν οὐδὲ δραχμῆς αὐτοῖς ἔνδον οὔσης. ταῦτα δὲ, ὦ βασιλεῦ, μανικὰ πάθη. καὶ γὰρ αὐτὸ τὸ ἥδεσθαι, διακινεῖ τὴν γνώμην. καὶ πολλοὺς οἶδα τῶν σφόδρα ἡγουμένων εὖ πράττειν, οὐδὲ καθεύδειν δυναμένους, ἀλλ᾽ ἐκπηδῶντας τοῦ ὕπνου. καὶ τοῦτ᾽ εἴη τὸ παρέχειν φροντίδας, καὶ τἀγαθά. ἔστι δὲ καὶ φάρμακα *ὕπνου, μεμηχανημένα τοῖς ἀνθρώποις· ὧν πιόντες τε, καὶ ἀλει-

ψάμμοι, καθεύδουσιν, ἐκτείναντες αὑτοὺς, ὥσπερ ἀποθανόντες. ὅθεν μετά τινος λήθης ἀνίστανται, καὶ ἄλλοσέ ποι μᾶλλόν εἰσιν, ἢ οὗπέρ εἰσι δοκοῦσιν. ὅτι μὲν δὴ τὰ πινόμενα, μᾶλλον δὲ τὰ ἐπαντλούμενα τῇ ψυχῇ, καὶ τῷ σώματι οὐ γνήσιον, οὐδὲ οἰκεῖον εἰσάγεται τὸν ὕπνον, ἀλλ' ἢ βαθὺν, καὶ ἡμιθνῆτα, ἢ βραχὺν, καὶ διασπώμενον ὑπὸ τῶν ἐνεχθέντων· κἂν χρηστὰ ᾖ, ξυνθήσῃ τάχα, εἰ μὴ τὸ δύσερι μᾶλλον, ἢ τὸ ἐριστικὸν σπουδάζεις. οἱ δὲ ἐμοὶ ξυμπόται, τὰ μὲν ὄντα, ὁρῶσιν ὡς ὄντα· τὰ δὲ οὐκ ὄντα, οὔτ' ἀναγράφουσιν αὐτοῖς, οὔθ' ὑποτυποῦνται· κοῦφοί τε οὔπω ἔδοξαν, οὐδὲ μεστοὶ βλακείας, οὐδὲ εὐηθείας, ἢ ἱλαρώτεροι τοῦ προσήκοντος· ἀλλ' ἐφεστηκότες εἰσὶ, καὶ λογισμοῦ πλέω, παραπλήσιοι δείλης τε, καὶ ὁπότε ἀγορὰ πλήθει. οὐ γὰρ νυστάζουσιν οὗτοι, κἂν πόρρω τῶν νυκτῶν σπουδάζουσιν. οὐ γὰρ ἐξωθεῖ αὐτοὺς ὁ ὕπνος, ὥσπερ δεσπότης βρίσας ἐς τὸν αὐχένα δεδουλωμένον ἀπὸ τοῦ οἴνου, ἀλλ' ἐλεύθεροί τε, καὶ ὀρθοὶ φαίνονται. καταδαρθέντες δὲ, καθαρᾷ τῇ ψυχῇ δέχονται τὸν ὕπνον, οὔτε ὑπὸ τῶν εὐπραγιῶν ἀνακουφιζόμενοι αὐτοὶ, οὔτε ὑπὸ κακοπραγίας τινὸς ἐκθρώσκοντες. ξύμμετρος γὰρ πρὸς ἄμφω ταῦτα ψυχὴ νήφουσα, καὶ οὐδετέρου τῶν παθῶν ἥττων. ὅθεν καθεύδει ἥδιστα καὶ ἀλυπότατα, μὴ ἐξισταμένη τοῦ ὕπνου. καὶ μὴν καὶ τὸ μαντικὸν τὸ ἐκ τῶν ὀνειράτων, ὃ θειότατον τῶν ἀνθρωπίνων δοκεῖ, ῥᾷον διορᾷ μὴ ξυντεθολωμένη ὑπὸ τοῦ οἴνου, ἀλλ' ἀκήρατος δεχομένη αὐτὸ, καὶ περιαθροῦσα.

A vnxerint, ita extenſi dormiunt, vt mortui videantur. Inde tam obliuioſi ſurgunt, vt vbiuis potius quàm vbi ſunt ſeſe arbitrentur. Quòd igitur potiones corpori, aut animæ neque proprium, neque legitimum ſomnum inducunt, ſed aut ita profundum vt ſemimortui videantur, aut leue admodum, & à quibuſvis accidentibus rumpi facilè (*etſi bonæ ſint*) citò conſenties B puto, niſi pertinax potiùs quàm diſputator & eſſe, & haberi volueris. Aquæ autem potores, ſingula perinde, vt ſunt, vident: neque ſibi ipſis ea, quæ non vident, nec ſunt, deſcribunt, aut figurant: neque leues ſunt, nec vnquam aut torpore, aut ſtultitia referti, nec, ſupra quàm deceat, hilares; ſed ſemper ſibi ipſis attendunt, ratiocinatoribus ſimiles, non *meridie*, minus quàm C mane. Nunquam enim tales homines dormitabunt, etiam ſi in multam noctem fuerint operati: nec ſomnus eos tanquam dominus vrget, ceruicē vino ſeruam inuadens: ſed liberos ſemper, & toto corpore ſeſe erectos præbent. Cùm autem dormitum acceſſerint, anima pura, & quieta ſomnum capiunt, neque proſperis ſucceſſibus elati, D nec aduerſitatib. vllis depreſſi. Mens enim ſobria, moderatè ſeſe ad vtraque habet, nec ab alterutra perturbatione ſuperatur. Præterea curis vacua dulciſſimo, & iucundiſſimo ſomno perfruens, nullis caſibus excitatur. Per ſomnia inſuper vaticinationem, quæ apud homines diuiniſſima exiſtimatur, multò facilius conſpicit anima vino non ſuffocata: ſed pura mundáq. omnia, quæ viderit, facilè colligit & diſcernit.

A Quapropter ſomniorum interpretes, quos *Oniropolos* appellant poëtæ, de nulla vnquam viſione antea conſultoribus reſpondebant, quàm viſionis horam ſciſcitati eſſent. Nam ſi matutino tempore ſomnium apparuiſſet, tunc de illo aliquid coniectari ſe poſſe arbitrabantur, quia tunc rectè vaticinari poſſet anima, cùm eſſet vino ciboque liberata. Sin verò primo ſomno, aut media etiam nocte, cùm adhuc vino ſuffocata, demerſáque eſt anima, ſomnium dicerent apparuiſſe, ſapienter quicquam reſpondere abnuebant. Quinetiam deos ipſos itidem iudicare, & ſobriis animis potius oracula tribuere, breuibus oſtendam. Fuit quondam apud Græcos, ô rex, vates nomine Amphiaraus. Sciò, inquit rex: nam te Oeclei filium dicere puto, quem Thebis redeuntem terra viuum abſorbuit. Ipſe, inquit Apollonius, etiam nunc in Attica terra vaticinans, ſomnia petentibus inducit. eos autem qui reſponſa accipere volunt ſacerdotes, integrum diem à cibo, à vino autem triduò iubent abſtinere, vt pura expurgatáque anima, oſtenſorum rationes colligere melius poſſint. Quòd ſi vinum idoneum ſomni medicamentum eſſet, profectò ſapiens Amphiaraus, contemplatores ſomniorũ contrario modo ſeſe præparare *iuſsiſſet: ac* vino refertos tanquã amphoras in adytum deſcendere. Multa inſuper, & alia oracula referre poſſem, cùm apud Græcos, tum etiam apud Barbaros celeberrima: in quibus ſacerdos, non vino, ſed aqua potatus, ex tripode reſponſa petentibus dedit. Me igitur, ô rex, & ceteros aquæ potores, quaſi bacchantes, diuinóque numine correptos arbitrare. Sobrietatis enim amore, vt ſic dicam, inſanimus.

A τῶν γοῦν ἐξηγητὰς τῶν ὄψεων, οὓς ὀνειροπόλους οἱ ποιηταὶ καλοῦσιν, οὐδ' ἂν ὑποκρίνασθαι ὄψιν οὐδεμίαν, μὴ πρότερον ἐρομένους τὸν καιρὸν, ἐν ᾧ εἶδεν. ἂν μὲν γὰρ *ἑωθινὸς ἦ, καὶ τοῦ περὶ κ. ἴσως? τὸν ὄρθριον ὕπνου, ξυμβάλλονται αὐτὴν, ὡς ὑγιῶς μαντευομένης τῆς ψυχῆς, ἅτε ἀπορρίψηται τὸν οἶνον. εἰ δὲ ἀμφὶ πρῶτον ὕπνον, ἢ μέσας νύκτας, B ὅτε βεβύθισταί τε καὶ ξυμπεπόλωται ἔτι ὑπὸ τοῦ οἴνου, παραιτοῦνται τὴν ὑπόκρισιν, σοφοὶ ὄντες. ὡς δὲ καὶ τοῖς θεοῖς δοκεῖ ταῦτα, καὶ τὸ χρησμῶδες ἐν ταῖς νηφούσαις ψυχαῖς τίθενται, σαφῶς δηλώσω. ἐγένετο, ὦ βασιλεῦ, παρ' Ἕλλησιν Ἀμφιάρεως, ἀνὴρ μάντις. οἶδα, εἶπε. λέγεις γάρ που τὸν τοῦ Οἰκλέους, ὃν ἐκ Θηβῶν ἐπανιόντα, ἐπεσπάσατο ἡ γῆ ζῶντα. C οὗτος, ὦ βασιλεῦ, ἔφη, μαντευόμενος ἐν τῇ Ἀττικῇ, νῦν ὀνείρατα ἐπάγει τοῖς χρωμένοις. καὶ λαβόντες οἱ ἱερεῖς τὸν χρησόμενον, σίτου τε εἴργουσι μίαν ἡμέραν, καὶ οἴνου τρεῖς, ἵνα διαλαμπούσῃ τῇ ψυχῇ τῶν λογίων ἀνάσχῃ. εἰ δὲ ὁ οἶνος ἀγαθὸν ἦν τοῦ ὕπνου φάρμακον, ἐκέλευσεν ἂν ὁ σοφὸς Ἀμφιάρεως τοὺς θεωροὺς τὸν ἐναντίον ἐσκευασμένους τρόπον, καὶ οἴνου D μεστοὺς, ὥσπερ ἀμφορέας, ἐς τὸ ἄδυτον αὑτὸ φέρεσθαι. πολλὰ δὲ καὶ μαντεῖα λέγοιμ' ἂν εὐδόκιμα παρ' Ἕλλησί τε, καὶ βαρβάροις· ἐν οἷς ὁ ἱερεὺς ὕδατος, ἀλλ' οὐχὶ οἴνου ἀρύσας, ἀποφθέγγεται τὰ ἐκ τοῦ τρίποδος. θεοφορήτους δὴ κἀμὲ ἡγοῦ, καὶ πάντας, ὦ βασιλεῦ, τοὺς τὸ ὕδωρ πίνοντας· νυμφόληπτοι γὰρ ἡμεῖς, καὶ βάκχοι τοῦ νήφειν.

ποιήσῃ οὖν, ἔφη, ὦ Ἀπολλώνιε, κἀμὲ θιασώτην; εἴπερ μὴ φορτικὸς, εἶπε, τοῖς ὑπηκόοις δόξεις. φιλοσοφία γὰρ περὶ βασιλεῖ ἀνδρὶ, ξύμμετρος μὲν, καὶ ὑποδυομένη, θαυμαστὴν ἐργάζεται κρᾶσιν, ὥσπερ ἐν σοὶ διαφαίνεται· ἡ δ᾽ ἀκριβὴς, καὶ ὑπὲρ ἐπιτείνουσα, φορτικὴ τε, ὦ βασιλεῦ, καὶ ταπεινοτέρα τῆς ὑμετέρας σκηνῆς φαίνεται· καὶ τύφου δὲ αὐτὸ τι ἂν ἡγοῦνται* βάσκανοι. ταῦτα διαλεχθέντες, καὶ γὰρ ἡμέρα ἤδη ἐτύγχανεν, ἐς τὸ ἔξω προῆλθε.

* γ. ἡγῶντο β.

A Tum rex, addes, inquit, Apolloni, & me ſodalitij huiuſce comitem. Faciam, inquit ille, niſi fortè iis, qui tuo imperio ſubſunt, moleſtus nimis euaſeris. Philoſophia namque moleſta, ac, vt ſic dicam, ſolutior in rege conſpecta, & qualis in te eſſe mihi videtur, admirabilē quandam temperiem gignit. Eadem verò exactior & ad ſummam deducta ſubtilitatem, modeſtior ſanè, atque humilior apparet quàm conditioni B veſtræ conueniat: eámque ad faſtum quendam, & elationem mundi referunt. Hæc inter ſe collocuti, cùm iam aliquantum diei proceſſiſſet, foras egreſſi ſunt.

Apollonium ſacrificaſſe Soli expectante Phraote, vt de agro vendito, de quo controuerſia ob inuentum theſaurum, dicendæ ſententiæ conſiliarius intereſſet: agrúmque Apollonij ſententia, ceßiſſe emptori: quòd vir bonus eſſet, iuſtúſque & pius erga deos: contra, malus venditor, impiúſque & deorum contemptor. Tum de camelis albis, ac regis epiſtola pro Apollonio ad Iarcham præceptorem vnum è ſapientibus. Hinc de portis in quibus Alexandri & Pori ſtatuæ, & de ara inſcriptis epigrammate, atque de columna vbi ſcalptum, Ἀλέξανδρος ἐνταῦθα ἔστη. *id eſt,* Alexander hîc ſtetit.

CAP. XV.

C ΚΑΙ ξυνεὶς ὁ Ἀπολλώνιος ὡς χρηματίζειν δέοι τὸν βασιλέα, πρεσβείαις τε, καὶ τοῖς τοιούτοις, σὺ μὲν, ἔφη, ὦ βασιλεῦ, τὰ προσήκοντα τῇ ἀρχῇ πράττε. ἐμὲ δὲ τὸν καιρὸν τοῦτον ἄνες τῷ ἡλίῳ· δεῖ γάρ με τὴν εἰθισμένην εὐχὴν εὔξασθαι. καὶ ἀκούοι γε εὐχομένου ἔφη· χαριεῖται γὰρ πᾶσιν, ὁπόσοι D τῇ σοφίᾳ τῇ σῇ χαίρουσιν. ἐγὼ δὲ περιμενῶ σε ἐπανιόντα· καὶ γάρ με καὶ δικάσαι τινὰς χρὴ δίκας, αἷς παρατυχὼν, τὰ μέγιστά με ὀνήσεις. ἐπανελθὼν οὖν προκεχωρηκύας ἤδη τῆς ἡμέρας, ἤρετο

CVM QVE animaduertiſſet Apollonius regem legatis, aliiſque priuatis etiam viris illum expectantibus reſponſa dare oportere: Tu, inquit, ô rex, facito, quæ ad regni gubernationem attinent: me verò hoc tempore nouum Solem ſalutare permitte. Oportet enim conſuetas preces ad illum afferre. Atqui ſcio, rex inquit, ipſum tuas preces exauditurum. Gaudet enim omnibus, qui ſapientiam amant. Ego verò te interea morabor. Oportet enim me de controuerſiis quibuſdam ſententiam ferre: quibus ſi interfueris, magno te mihi adiumento futurum ſpero. Cúmque dies aliquantum proceſſiſſet, reuerſus Apollonius interrogauit, quænam illa

eſſent, de quibus illa die ſententiam tuliſſet. Hodie, inquit rex, nihil omnino iudicaui. Sacra enim id me facere prohibuerunt. Reſpondens autem Apollonius, An vos, inquit, ſacris antea peractis iudicia, ſicut itinerum principia, aut exercituum eductionem facitis? Certè per Iouem, inquit rex: maximè enim & in hoc periclitatur, qui iudicat, ne à iudicandi rectitudine aberret. Rectè itaque regem dicere cùm Apollonio viſum eſſet; rurſus quænam eſſet illa controuerſia, interrogauit, de qua eo die eſſet iudicaturus. Video enim te animo ſuſpenſum, & vtram in partem ſententiã proferas ambigentem. Fateor, inquit rex, me plurimùm dubitare. Quapropter libẽtiſſimè te mihi conſiliarium aſciſco. Eſt autem controuerſia huiuſmodi. Quidam alteri agrum vendidit, in quo theſaurus erat nemini cognitus, nec ita multò poſt dehiſcens terra capſam, qua cõtinebatur aurum, patefecit: hanc ſibi terræ venditor deberi aiebat: neque enim terram fuiſſe vẽditurum, ſi ſciuiſſet in ipſa id contineri, quo ſuæ vitæ ſatisfacere potuiſſet. At emptor è contrario dicebat ſua eſſe omnia, quæ empta à ſe terra continerentur: & iuſti aliquid vtriuſque ſermo videtur habere. Nec ſanè prudentis viri arbitror, ſi partiri inter ſe aurum ambos iuſſerim. Id enim & anicula quæuis dicere potuiſſet. Ad ea reſpondens Apollonius, Viros, inquit, iſtos philoſophos non eſſe iam ſatis ex hoc coniicere poſſum, quòd pecuniæ cauſa inter ſe certant. Tu autem optimè iudicaturus videris, ſi tecum ita fueris meditatus, Deos quidem in primis illorum hominum curam habere, qui cum virtute philoſophantur: Secundo autẽ loco eorũ, qui peccatis quã minimis ſint obnoxij, quíque nulli vnquã iniuriam attulerint.

A περὶ ὧν ἐδίκασεν. ὁ δέ, τήμερον, ἔφη, οὐκ ἐδίκασα· τὰ γὰρ ἱερὰ οὐ ξυνεχώρει μοι. ὑπολαβὼν οὖν ὁ Ἀπολλώνιος, ἐφ' ἱεροῖς, ἔφη, ποιεῖσθε καὶ ταύτας, ὥσπερ τὰς ἐξόδους τε, καὶ τὰς στρατείας; νὴ Δί', εἶπε. καὶ γὰρ ἐνταῦθα κίνδυνος, εἰ ὁ δικάζων ἀπενεχθείη τοῦ εὐθέος. εὖ λέγειν τῷ Ἀπολλωνίῳ ἔδοξε. καὶ ἤρετο αὐτὸν πάλιν τίς εἴη, ἣν δικάσοι* B δίκην. ὁρῶ γάρ, εἶπεν, ἐφεστηκότα σε, καὶ ἀποροῦντα ὅπῃ ψηφίσαιο. ὁμολογῶ, ἔφη, ἀπορεῖν· ὅθεν ξύμβουλον ποιοῦμαί σε. ἀπέδοτο μὲν γάρ τις ἑτέρῳ γῆν, ἐν ᾗ θησαυρός ἀπέκειτό τις, οὔπω δῆλος· χρόνῳ δὲ ὕστερον ἡ γῆ ῥαγεῖσα, χρυσοῦ τινα ἀνέδειξε θήκην, ἣν φησὶ μὲν ἑαυτῷ προσήκειν μᾶλλον ὁ τὴν γῆν C ἀποδόμενος. καὶ γὰρ οὐδ' ἂν ἀποδόσθαι τὴν γῆν, εἰ προῄδει ὅτι βίον ἐν αὐτῇ ἔχοι. ὁ πριάμενος δ' ἀξιοῖ αὐτὸς πεπᾶσθαι, ἃ ἐν τῇ λοιπὸν ἑαυτοῦ γῇ εὗρε. καὶ δίκαιος μὲν ὁ ἀμφοῖν λόγος. εὐήθης δ' ἂν ἐγὼ φαινοίμην, εἰ κελεύσαιμι ἄμφω νείμασθαι τὸ χρυσίον. τουτὶ γὰρ ἂν καὶ γραῦς διαιτώη. D ὑπολαβὼν οὖν ὁ Ἀπολλώνιος, ὡς μὲν οὐ φιλοσόφω, ἔφη, τὼ ἄνδρε, δηλοῖ τὸ περὶ χρυσίου διαφέρεσθαι σφᾶς. ἄριστα δ' ἄν μοι δικάσαι δόξεις ὧδε ἐνθυμηθείς, ὡς οἱ θεοὶ πρῶτον μὲν ἐπιμέλειαν ποιοῦνται τῶν ξὺν ἀρετῇ φιλοσοφούντων, δεύτερον δὲ ἀναμαρτήτων τε, καὶ μηδὲν πώποτε ἀδικεῖν* δοξάντων.

* γρ. δικάσει

* γρ. ἁμαρτεῖν δ.

διδόασι δὲ τοῖς μὲν φιλοσοφοῦσι, διαγινώσκειν εὖ τά θεῖά τε, καὶ τὰ ἀνθρώπεια. τοῖς δ' ἄλλοις χρηστοῖς, βίον ἀποχρῶντα, ὡς μὴ χρείᾳ ποτὲ τῶν ἀναγκαίων, ἄδικοι γένωνται. δοκεῖ δέ μοι, βασιλεῦ, καθάπερ ἐπὶ τρυτάνης ἀντικρῖναι τούτους, καὶ τὸν ἀμφοῖν ἀναθεωρῆσαι βίον. οὐ γὰρ ἄν μοι δοκοῦσιν οἱ θεοὶ, τὸν μὲν ἀφελέσθαι καὶ τὴν γῆν, εἰ μὴ φαῦλος ἦν· τῷ δ' αὖ, καὶ τὰ ὑπὸ τῇ γῇ δοῦναι, εἰ μὴ βελτίων ἦν τοῦ ἀποδομένου. ἀφίκοντο ἐς τὴν ὑστεραίαν δικασόμενοι ἄμφω· καὶ ὁ μὲν ἀποδόμενος, ὑβριστής τε ἠλέγχετο, καὶ θυσίας ἐκλελοιπώς, ἃς ἔδει τοῖς ἐν τῇ γῇ θεοῖς θύειν· ὁ δὲ, ἐπιεικής τε ἐφαίνετο, καὶ ὁσιώτατα δὴ θεραπεύων τοὺς θεούς. ἐκράτησεν οὖν ἡ τοῦ Ἀπολλωνίου γνώμη· καὶ ἀπῆλθεν ὁ χρηστὸς, ὡς παρὰ τῶν θεῶν ταῦτα ἔχων. ἐπεὶ δὲ τὰ τῆς δίκης ὧδε εἶχε, προσελθὼν δὲ ὁ Ἀπολλώνιος τῷ Ἰνδῷ, τήμερον, εἶπεν, ἡ τρίτη τῶν ἡμερῶν, ἐν αἷς ἐποίου με, ὦ βασιλεῦ, ξένον· τῆς δ' ἐπιούσης χρὴ ἐξελαύνειν ἑπόμενον τῷ νόμῳ. ἀλλ' οὐδὲ ὁ νόμος, εἶπεν, ἤδη διαλέγεταί σοι. καὶ γὰρ τὴν αὔριον μένειν ἔξεστιν, ἐπειδὴ μετὰ μεσημβρίαν ἀφίκου. χαίρω, ἔφη, τῷ ξενίῳ· καὶ γάρ μοι δοκεῖς καὶ σοφίζεσθαι τὸν νόμον δι' ἐμέ. εἰ γὰρ καὶ λῦσαι αὐτὸν ἠδυνάμην, εἶπε, τό γε ὑπὲρ σοῦ. ἀλλ' ἐκεῖνό μοι εἰπὲ Ἀπολλώνιε, οἱ κάμηλοι, ἐφ' ὧν ὀχεῖσθαί σε φασὶν, οὐκ ἐκ Βαβυλῶνος ἄγουσιν ὑμᾶς; ἐκεῖθεν ἔφη, δόντος γε

A Tribuunt igitur philoſophantibus quidem; vt diuina, humanáque rectè nouerint: his verò, quos ſecundo gradu bonos enumeraui, ſufficientem victum præbent: ne quando neceſſariorum inopia compulſi, iniuſti quidpiam perpetrare cogantur. Cenſeo igitur, ô rex, litigantium vitam quaſi in libra ſuſpenſam diligenter inquiri oportere, & qui mores fuerint in vtroq. accuratè examinare. Neque enim arbi- B tror Deos alteri quidem terram ablaturos fuiſſe, niſi eſſet vitiis inquinatus: alteri verò quæ ſub terra erant dediſſe, niſi venditore melior eſſet. Poſtridie igitur litigatores ambo ad tribunal venêre; & venditor quidem, vt multorum teſtimonia probabant, vir erat ſuperbus, contumelioſus, & ſacrorum contemptor, quæ terreſtribus Diis ſacrificare neceſſe eſt. Alter, vt fama ferebat, mitis erat, & iuſtus, & ſanctiſſimus Deorum cultor. Victor C igitur Apollonij ſententia ex iudicio diſceſſit, qui bonus erat, tanquam à Diis immortalibus eiuſmodi bonis donatus. Poſtquam igitur hoc pacto iudicium redditum eſt, veniens ad regem Apollonius: Hodie, inquit, tertia dies eſt, ex quo me tibi hoſpitem rex feciſti: Oportet igitur veſtras leges ſequentem cras abs te diſcedere. At enim lex te nondum vrget, inquit D rex: *nam craſtino manere licet.* quoniam poſt meridiem aduenisti. Gaudeo, inquit Apollonius, hoſpitali munere, quòd videris mei cauſa legem ſubtilius interpretari. Certè, inquit rex, tametſi legem ſoluere liceret, libenter tui cauſa facerem. Verùm, hoc mihi dicas velim, inquit, Apolloni, num camelos, quibus vecti eſtis, Babylone adduxeritis? Illinc, inquit Apollonius: nam

à Vardane illos accepimus. An igitur, inquit rex, putas illos vlterius vos poſſe portare, cùm tantùm itineris iam fecerint? Subticuit Apollonius. Sed ipſum interpellans Damis, Nondum, inquit, animaduertit hic vir, quantum peregrinationis ſuperſit, nec ad quas gentes poſthac aduenturi ſimus. Sed vbique te & Vardanem inuenturum ſperans, quaſi ludum arbitratur ad Indos penetrare: propterea non palam, vt ſe habeant cameli, fatetur. Sunt enim tam malè diſpoſiti, vt ipſos propemodum magis nos ferre cogamur, quàm illi nos portare poſſint. Itaque nobis mutare eos neceſſe eſt. Nam ſi in deſertis Indiæ defecerint, nos etiam illic conſidere neceſſe eſt, vultures lupóſque à camelis abigentes: à nobis verò cùm defecerimus, nemo abiget. Ego igitur, inquit rex, huic malo remedium afferam, & camelos quatuor vobis dabo: tot enim, vt arbitror, vobis eſt opus. Satrapam verò, qui apud Indum imperat, alios quatuor quos adduxiſtis, retrò mittere Babylonem iubebo. Eſt autem in India camelorum armentum, qui toto corpore albi ſunt. Ducem verò, inquit Damis, nónne dabis, ô rex? imò verò ducem cum camelo, & quicquid viatici opus eſt, libentiſſimè dabo. Scribam inſuper ad Iarcham ſapientum principem, vt Apollonium nihilò ſe inferiorem iucundè ſuſcipiat: & vos itidem, tanquam viros philoſophos, & diuini hominis comites ac miniſtros. His dictis aurum illis dari iuſſit, & linteas veſtes ſubtiliſſimas: præterea gemmas, & alia eius generis complura. Verùm, inquit Apollonius, aurum habemus abundè, quod Vardanes nobis inſciis duci noſtro deferendum tradidit. Veſtes autem per-

A αὐταῖς Οὐαρδάνου. ἔτ' οὖν ὑμᾶς ἀ-
πάγειν δυνήσονται, τοσαῦτα ἤδη στά-
δια ἐκ Βαβυλῶνος ἥκουσαι; ἐσιώ-
πησε μὲν ὁ Ἀπολλώνιος. ὁ δὲ Δά-
μις, οὔπω συνίησιν, ἔφη, ὦ βασιλεῦ,
τῆς ἀποδημίας ὁ ἀνὴρ ταύτης, οὐδὲ τῶν
ἐθνῶν, ἐν οἷς λοιπόν ἐσμεν· ἀλλ' ὡς
πανταχοῦ σέ τε, καὶ Οὐαρδάνην ἕξων,
B παιδιὰν ἡγεῖται τὸ ἐς Ἰνδοὺς παρελ-
θεῖν. τό τοι τῶν καμήλων οὐ διαμο-
λογεῖται πρὸς σὲ ὃν ἔχει τρόπον. διά-
κεινται γὰρ οὕτω κακῶς, ὡς αὐταὶ
μᾶλλον ὑφ' ἡμῶν φέρεσθαι· καὶ δεῖ
ἑτέρων. ἂν γὰρ ὀκλάσωσιν ἐν ἐρήμῳ
που τῆς Ἰνδικῆς, ἡμεῖς μέν, ἔφη, κα-
θεδούμεθα, τοὺς γῦπας, καὶ τοὺς λύκους
ἀποσοβοῦντες τῶν καμήλων· ἡμῶν δὲ
οὐδεὶς ἀποσοβήσει· προσαπολούμεθα
C γάρ. ὑπολαβὼν οὖν ὁ βασιλεύς, ἐ-
γώ, ἔφη, τοῦτο ἰάσομαι. ὑμῖν τε γὰρ
ἑτέρας δώσω· τεττάρων οἶμαι δεῖσθε.
καὶ ὁ σατράπης δὲ ὁ ἐπὶ τοῦ Ἰνδοῦ,
πέμψει ἐς Βαβυλῶνα ἑτέρας τέττα-
ρας. ἔστι δέ μοι καμήλων ἐπὶ τῷ Ἰν-
δῷ λευκαὶ πᾶσαι. ἡγεμόνα δέ, εἶ-
πεν ὁ Δάμις, οὐκ ἄν, ὦ βασιλεῦ, δοίης;
καὶ κάμηλόν γε, ἔφη, τῷ ἡγεμόνι δώ-
D σω, καὶ ἐφόδια. ἐπιστελλῶ δὲ καὶ Ἰάρ-
χᾳ τῷ πρεσβυτάτῳ τῶν σοφῶν, ἵν' Ἀ-
πολλώνιον μέν, ὡς μηδένα κακίω ἑ-
αυτοῦ δέξηται, ὑμᾶς δέ, ὡς φιλοσόφους
τε, καὶ ὀπαδοὺς ἀνδρὸς θείου. καὶ χρυσίον
δὲ ἐδίδου ὁ Ἰνδός, καὶ ψήφους, καὶ ὀ-
θόνας, καὶ μυρία τοιαῦτα. ὁ δὲ Ἀπολ-
λώνιος, χρυσίον μέν, ἔφη, ἱκανὸν ἑαυ-
τῷ εἶναι, δόντος γε Οὐαρδάνου τῷ ἡ-
γεμόνι ἀφανῶς αὐτό. τὰς δὲ ὀθόνας

λαμβάνειν, ἐπειδὴ ἐοίκασι τρίβωνι τῶν ἀρχαίων τε, καὶ πάνυ Ἀττικῶν. μίαν δέ τινα τῶν ψήφων ἀνελόμενος, ὦ βελτίστη εἶπεν, ὡς ἐς καιρόν σε, καὶ οὐκ ἀθεεὶ εὕρηκα, ἰσχὺν οἶμαί τινα ἐν αὐτῇ καθεωρακὼς ἀπόρρητόν τε, καὶ θείαν. οἱ δὲ ἀμφὶ τὸν Δάμιν, χρυσίον μὲν οὐδὲ αὐτοὶ προσίεντο, τῶν ψήφων δὲ ἱκανῶς ἐδράττοντο, ὡς θεοῖς ἀναθήσοντες, ὅτε ἐπανέλθοιεν ἐς τὰ ἑαυτῶν ἤθη· καταμείνασι δὲ αὐτοῖς καὶ τὴν ἐπιοῦσαν· οὐ γὰρ μεθίετο σφῶν ὁ Ἰνδὸς, δίδωσι τὴν πρὸς τὸν Ἰάρχαν ἐπιστολὴν, γεγραμμένην ὧδε.

A libenter accipiam, quòd veterum Atticorum veſtibus ſimiles eſſe videntur. Gemmam verò vnam manu capiens, ô optima, inquit, quàm opportunè & non abſq; diuino numine te inueni: quòd eſſet, vt arbitror, contemplatus vim quandam ſecretam, atque diuinam illi gemmæ ineſſe. Damidis verò & comites cùm nec auri quicquam accepiſſent, gemmas tamen aliquot acceperunt, quas Diis ſacrarent, ſi quando B in patriam redire contigiſſet. Manſerunt autem illic ea die: nam rex eos abire non permiſit. Scripſit quoque ad Iarcham epiſtolam huiuſmodi.

ΒΑΣΙΛΕΥΣ ΦΡΑΩΤΗΣ,
Ἰάρχᾳ διδασκάλῳ, καὶ τοῖς περὶ αὐτὸν σοφοῖς, χαίρειν.

REX PHRAOTES IARCHÆ præceptori, & qui apud illum ſunt, ſapientibus, gaudere.

Ἀπολλώνιος ἀνὴρ σοφώτατος, σοφωτέρους ὑμᾶς ἑαυτοῦ ἡγεῖται, καὶ μαθησόμενος ἥκει τὰ ὑμέτερα. πέμπετε οὖν αὐτὸν εἰδότα ὁπόσα ἴστε· ὡς ἀπολεῖται οὐδὲν τῶν μαθημάτων ὑμῖν. καὶ γὰρ λέγει ἄριστα ἀνθρώπων, καὶ μέμνηται. ἰδέτω δὲ καὶ τὸν θρόνον, ἐφ᾽ οὗ καθίσαντί μοι, τὴν βασιλείαν ἔδωκας Ἰάρχα πάτερ. καὶ οἱ ἑπόμενοι δὲ αὐτῷ, ἄξιοι ἐπαίνου, ὅτι τοιοῦδε ἀνδρὸς ἥττηνται. *εὐτυχεῖτε. ἐξελάσαντες δὲ τῶν Ταξίλων, καὶ δύ᾽ ἡμερῶν ὁδὸν προελθόντες, ἀφίκοντο ἐς τὸ πεδίον, ἐν ᾧ λέγεται πρὸς Ἀλέξανδρον ἀγωνίσασθαι Πῶρος. καὶ πύλας ἐν αὐτῷ ἰδεῖν φασι, ξυγκλειούσας οὐδέν, ἀλλὰ τροπαίων ἕνεκα ᾠκοδομημένας. ἀνακεῖσθαι γὰρ ἐπ᾽ αὐτῶν τὸν Ἀλέξανδρον, ἐφεστηκότα τετραρ-

γ. εὐτύχει καὶ σύ.

Apollonius vir ſapientiſſimus, C ſapientiores vos eſſe putans, vt veſtra diſcat, ad vos venit. Dimittite igitur ipſum ſcientem quæcunque vos ſcitis; vt ne quid de veſtra diſciplina depereatur. Loquitur autem optimè hominum omnium, & memoria maximè viget. Date etiam operam, vt thronum videat, in quo ſedenti mihi regnum dediſti, Iarcha pater. Inſuper qui Apollonium ſequuntur, multùm laudis merentur: quoniam à viro tali ſuperati, fuêre. D Eſtote felices.

Hac accepta epiſtola, Taxilis abierunt: iámque bidui iter progreſſi ad locum venerunt, vbi Porum cum Alexandro pugnaſſe ferunt: ibíque ſe portas etiam vidiſſe dicunt, non loci cuiuſquam claudendi cauſa, ſed trophæi tantùm gratia extructas. Ipſis quoque Alexandrum conſpici quadriiugo currui ſuper-

ſtantem, ſicut cùm Darij Satrapis apud Iſſos pugnauit. Duas autem alias portas eſſe ferunt, non longo inter ſe ſpatio diſtantes; ſupra quarum vnam Alexandri, ſupra aliam verò Pori ſtatua poſita eſt: quæ poſt eorum, vt arbitror, conciliationem exſtructæ fuerunt. Hic enim lætabundo, ille ſalutanti, venerabundóque ſimilis apparet. Poſt hæc Hydraote flumine ſuperato, cùm gentes plurimas peragraſſent, ad Hyphaſim fluuium peruenere: à quo ſtadiorum triginta ſpatio cùm abeſſent, aras inuenerunt tali inſcriptas epigrammate, PATRI Ammoni, & Herculi fratri, & Mineruæ *Prouidæ*, & Ioui Olympio, & Samothracibus Cabiris, & Indico Soli, atque Apollini Fratri. Æneam quoque columnam eodem loco erectam tradunt his verbis inſcriptam. *Alexander hìc ſtetit*. Et aras quoque, Alexandri etiam opus eſſe arbitramur, imperij fines hoc monimento ſignantis. Columnam verò Indos qui vltra Hyphaſidem, erexiſſe puto gloriantes, non fuiſſe Alexandrum progreſſum vlterius.

A ρύμοις ἁρμάτων, οἷος ἐπὶ τοῖς σατρά-
παις ἐν Ἰσσοῖς ἕστηκε. διαλείπουσαι δ᾽
οὐ πολὺ ἀλλήλων δύο ἐξῳκοδομῆ-
σθαι λέγονται πύλαι· καὶ φέρειν ἡ
μὲν, Πῶρον, ἡ δὲ, Ἀλέξανδρον, ξυμ-
βεβηκότας οἶμαι μετὰ τὴν μάχην. ὁ
μὲν γὰρ ἀσπαζομένῳ ἔοικεν· ὁ δὲ,
προσκυνοῦντι. ποταμὸν δὲ Ὑδραώ-
B την ὑπερβάντες, καὶ πλείω ἔθνη ἀ-
μείψαντες, ἐγένοντο πρὸς τῷ Ὑφά-
σιδι. στάδια δὲ ἀπέχοντες τούτου τριά-
κοντα, βωμοῖς τε ἐνέτυχον, οἷς ἐπε-
γέγραπτο, Πατρὶ Ἄμμωνι, καὶ Ἡρα-
κλεῖ ἀδελφῷ, καὶ Ἀθηνᾷ προνοίᾳ,
καὶ Διὶ Ὀλυμπίῳ, καὶ Σαμόθραξι
Καβείροις, καὶ Ἰνδῷ Ἡλίῳ, καὶ Ἀδελ-
φῷ Ἀπόλλωνι. φασὶ δὲ καὶ στήλην
C ἀνακεῖσθαι χαλκῆν, ᾗ ἐπιγεγρά-
φθαι, Ἀλέξανδρος ἐνταῦθα ἔστη.
τοὺς μὲν δὴ βωμοὺς, Ἀλεξάνδρου
ἡγούμεθα, τὸ τῆς ἑαυτοῦ ἀρχῆς τέρμα
τιμῶντος· τὴν δὲ στήλην, τοὺς μετὰ τὸν
Ὕφασιν Ἰνδοὺς ἀναθεῖναι δοκεῖ μοι,
λαμπρυνομένους ἐπὶ τῷ Ἀλεξάν-
δρῳ, μὴ προελθεῖν πρόσω.

ΦΙΛΟΣΤΡΑΤΟΥ ΕΙΣ ΤΟΝ ΑΠΟΛΛΩΝΙΟΥ ΤΟΥ ΤΥΑΝΕΩΣ ΒΙΟΝ, ΒΙΒΛΙΟΝ Γ.

PHILOSTRATI DE VITA APOLLONII TYANEI, LIBER TERTIVS.

De Hyphaſide flumine, & piſcibus in eo, pauonibus nomine: de oleo naturæ mirabilis: de aſinis ſylueſtribus vnicornibus, déque poculo ex iis cornibus admirandæ virtutis: hinc de muliere nigra facie, ceteris partibus candida. De cinamomo in Caucaſi radicibus: de arbore ferente piper, & ſimiis: cúrque earum carne leones veſcantur: necnon vt in colligendo pipere ſimiæ decipiantur.

Capvt primvm.

ΠΕΡΙ δὲ τοῦ Ὑφάσιδος, καὶ ὁπόσος τὴν Ἰνδικὴν διαστείχει, καὶ ὅ,τι περὶ αὐτὸν θαῦμα, τάδε χρὴ γινώσκειν. αἱ πηγαὶ τοῦ ποταμοῦ τούτου, βλύζουσι μὲν ἐκ πεδίου, ναυσίποροι αὐτόθεν, προϊοῦσαι δὲ, καὶ ναυσὶν ἤδη ἄποροί εἰσιν. ἀκρωνυχίαι γὰρ πετρῶν παραλλὰξ ὑπανίσχουσι τοῦ ὕδατος, περὶ ἃς ἀνάγκη τὸ B ῥεῦμα ἑλίττεσθαι, καὶ ποιεῖν τὸν ποταμὸν ἄπλουν. εὖρος δὲ αὐτοῦ, κατὰ τὸν Ἴστρον. ποταμῶν δὲ οὗτος δοκεῖ μέγιστος, ὁπόσοι δι' Εὐρώπης ῥέουσι. δένδρα δέ οἱ προσόμοια φύει περὶ τὰς ὄχθας, καί τι καὶ μύρον ἐνδίδοται τῶν δένδρων, ὃ ποιοῦνται οἱ Ἰνδοὶ γαμικὸν χρῖσμα· καὶ εἰ μὴ τῷ μύρῳ τούτῳ ῥανῶσι τοὺς νυμφίους οἱ ξυνιόντες ἐς τὸν γάμον, ἀτελὴς δοκεῖ, καὶ οὐκ ἐς χάριν A

DE Hyphaſide verò quantus Indicam terram percurrat, quídque circa ipſum admirabile ſit, hæc iá dicenda ſunt. Huius fluminis fontes, in agro ſcatent: éſtque fluuius ipſe à principio ſtatim nauigabilis, paululùm verò procedens nauib. imperuius eſt. Petræ namque ſuperiori ex parte acutæ, atque interruptæ ſub aqua latentes ab alueo prominent, quibus aqua illiſa, & in ſe conuerſa innauigabilē planè fluuium reddit. Latitudine verò Iſtrum adæquat, qui Europæ fluminum maximus habetur. In eius ripis arbores naſcuntur ſimiles iis, quæ penes Iſtrum creſcunt, à quibus vnguentum diſtillat, quo in nuptiis Indi perungi conſueuere: tantíque ab illis exiſtimatur, vt niſi tali vnguento peruncti nubentes fuerint, imperfectæ nuptiæ, & Veneri nequaquam

quaquam gratæ putentur. Veneri quoque dicatum eſſe ferunt nemus fluuij ripis adiacens. Piſces etiam, quos pauones appellant, in hoc duntaxat flumine oriri perhibent. Vocantur autem eodem, quo & aues nomine, quia ipſis etiam cœruleæ ſunt criſtæ, ſquammæ autem verſicolores, cauda verò aurea, in quamcunque voluerit partem verſatilis. Eſt præterea in eodem flumine bellua albo vermi ſimilis, ex qua liquefacta oleum fit, *ex quo ignis excitatur*, & quod vitro tantùm contineri poſſit. Capitur autem regi tantummodo eiuſcemodi bellua, qua ille diruendorũ mœnium cauſa vtitur. Nam vbi muros eiuſmodi pinguedo tetigerit, ignis accenditur qui extingui *non poteſt ab iis omnibus*, quæ pro excitandis incendiis ab hominibus inuenta ſunt. Aſinos præterea ſylueſtres in vicinis paludibus multos capi dicunt. Eſſe autem huiuſmodi feris in fronte cornu, quo taurorum more generoſiſſimè pugnant. Conficere autem Indos ex illis cornibus pocula: aſſerúntque nullis morbis illo die affici, qui eiuſmodi poculo potauerint; neque ſi vulnerati fuerint, dolere; & ex igne etiam incolumes egredi, neque vllis venenis lædi, quæcunque nocendi gratia in potu dantur. Idcirco regum eſſe eadem pocula, & regi tantùm eiuſmodi feræ venationem permitti. Apollonium itaque feram aſpexiſſe, eiúſque naturam cum admiratione conſideraſſe ferunt. Interroganti autem Damidi an ſermoni, qui de poculo iam dicto ferebatur, fidem adhiberet: Adhibeo, inquit, ſi huius regionis immortalem regem eſſe intellexero. Qui enim mihi aut al-

A τῇ Ἀφροδίτῃ ξυναρμοσθείς. ἀνεῖσθαι δὲ τῇ θεῷ ταύτῃ λέγουσιν αὐτὸ περὶ τοῦ ποταμοῦ νέμος. καὶ τοὺς ἰχθῦς τοὺς ταὼς, οὓς μόνος οὗτος ὁ ποταμὸς τρέφει. πεποίηνται δὲ αὐτοὺς ὁμωνύμους τοῦ ὄρνιθος ἐπεὶ κυάνεοι μὲν αὐτοῖς οἱ λόφοι, στικταὶ δὲ αἱ φολίδες, χρυσᾶ δὲ τὰ οὐραῖα· καὶ ὁπότε βούλοιντο, ἀνακλώμενα. B ἔστι δέ τι θηρίον ἐν τῷ ποταμῷ τούτῳ, σκώληκι εἰκασμένον λευκῷ· τοῦτο* δ' οἱ τήκοντες, ἔλαιον ποιοῦνται. (χ. τοῦτο δ.) πῦρ δὲ ἄρα ἐκ τοῦ ἐλαίου τούτου ἐκδίδοται· καὶ στέγει αὐτὸ, πλὴν ὑέλου οὐδέν. ἁλίσκεται δὲ*, τῷ βασιλεῖ (χ. δὲ τ.) μόνῳ τὸ θηρίον τοῦτο πρὸς τειχῶν ἁλώσιν. ἐπειδὰν γὰρ θίγῃ τῶν ἐπάλξεων ἡ πιμελὴ, πῦρ ἐκκαλεῖται κρεῖττον σβε- C στηρίων, ὁπόσα ἀνθρώποις πρὸς τὰ πυρφόρα εὕρηται· καὶ τοὺς ὄνους δὲ τοὺς ἀγρίους ἐν τοῖς ἕλεσι τούτοις ἁλίσκεσθαί φασιν. εἶναι δὲ τοῖς θηρίοις τούτοις ἐπὶ μετώπου κέρας, ᾧ ταυρηδόν τε, καὶ οὐκ ἀγεννῶς μάχονται. καὶ ἀποφαίνειν τοὺς Ἰνδοὺς ἔκπωμα τὸ κέρας τοῦτο· οὐ γὰρ οὔτε νοσῆσαι τὴν ἡμέραν ἐκείνην ὁ ἀπ' αὐτοῦ πιὼν, D οὔτε ἂν τρωθεὶς, ἀλγῆσαι, πυρός τε διεξελθεῖν ἂν, καὶ μηδ' ἂν φαρμάκοις ἁλῶναι, ὅσα ἐπὶ κακῷ πίνεται. βασιλέων δὲ τὸ ἔκπωμα εἶναι, καὶ βασιλεῖ μόνῳ ἀνεῖσθαι τὴν θήραν. Ἀπολλώνιος δὲ, τὸ μὲν θηρίον ἑωρακέναι φησὶ, καὶ ἀγάλλεσθαι αὐτὸ τῆς φύσεως. ἐρομένου δὲ αὐτὸν τοῦ Δάμιδος εἰ τὸν λόγον τὸν περὶ τοῦ ἐκπώματος προσδέχοιτο· προσδέχομαι, εἶπεν, ἢν ἀθάνατον μάθω τὸν βασιλέα τὸν δεῦρο Ἰνδῶν ὄντα· τὸν γάρ ἐμοί τε;

καὶ τῷ δεῖνι ὀρέγοντα πόμα ἄνοσόν τε, καὶ οὕτως ὑγιὲς, πῶς οὐχὶ μᾶλλον εἰκὸς αὐτὸν ἐπεγχεῖν ἑαυτῷ τούτου ὁσημέραι, καὶ πίνειν ἀπὸ τοῦ κέρατος τούτου μέχρι κραιπάλης; οὐ γὰρ διαβαλεῖ τις οἶμαι τούτῳ μεθύειν. ἐνταῦθα καὶ γυναίῳ φασὶν ἐντετυχηκέναι, τὰ μὲν ἐκ κεφαλῆς ἐς μαζοὺς, μέλανι· τὰ δὲ ἐκ μαζῶν ἐς πόδας, λευκὰ πάντα. καὶ αὐτοὶ μὲν ὡς δεῖμα φυγεῖν. τὸν δὲ Ἀπολλώνιον ξυνάψαι τε τῷ γυναίῳ τὴν χεῖρα, καὶ ξυνεῖναι ὅ,τι εἴη. ἱερεῦται δὲ ἄρα τῇ Ἀφροδίτῃ * Ἰνδῇ τοιαύτη. καὶ τίκτεται τῇ θεῷ γυνὴ ποικίλη, καθάπερ ὁ Ἆπις Αἰγυπτίοις. ἐντεῦθεν φασὶν ὑπερβαλεῖν τοῦ Καυκάσου τὸ κατατεῖνον ἐς τὴν ἐρυθρὰν θάλασσαν, εἶναι δὲ αὐτὸ ξυνηρεφὲς ἰδέαις ἀρωμάτων. τοὺς μὲν γὰρ δὴ πρῶνας τοῦ ὄρους, τὸ κιννάμωμον φέρειν, προσεοικέναι δὲ αὐτὸ νέοις κλήμασι. βάσανον δὲ τοῦ ἀρώματος, τὴν αἶγα εἶναι· κινναμώμου γὰρ εἴ τις αἰγὶ ὀρέξειε, κνυζήσεται πρὸς τὴν χεῖρα, καθάπερ κύων, ἀπιόντι τε ὁμαρτήσει, τὴν ῥῖνα ἐς αὐτὸ ἐρείσασα· κἂν ὁ αἰπόλος ἀπάγῃ, θρηνήσει καθάπερ λωτοῦ ἀποσπωμένη. ἐν δὲ τοῖς κρημνοῖς τοῦ ὄρους, λίβανοί τε ὑψηλαὶ πεφύκασι, καὶ πολλὰ εἴδη ἕτερα· καὶ τὰ δένδρα αἱ πεπερίδες, ὧν γεωργοὶ πίθηκοι· καὶ οὐδὲ ᾧ εἴκασται τοῦτο, παρεῖται σφίσιν· ὃν δὲ εἴρηται τρόπον, ἐγὼ δηλώσω· τὸ δένδρον ἡ πεπερὶς, εἴκασται μὲν τῷ παρ' Ἕλλησιν ἄγνῳ, τά τε ἄλλα, καὶ τὸν κόρυμβον τοῦ καρποῦ· φύεται δὲ ἐν τοῖς ἀποτόμοις,

* κ. Ἰνδῷ

A teri cuiquã poculum ita morbum arcẽs & ſalubre dare poteſt, nónne veriſimilius eſt ipſum quotidie illo vti, & ex eo cornu frequenter ad extremam vſque crapulam bibere? nemo enim, vt puto, calumniabitur eum, qui tali poculo etiam inebrietur. Iiſdem in locis & mulierculam inueniſſe perhibent à capite vſque ad mammas nigram, infra verò vſque ad pedes albam; quam viſam ceteri B velut portentum extimuere: at Apollonius ea manu apprehenſa, quænam eſſet, agnoſcere voluit. Comperit autem Indicæ Veneri mulieres eiuſmodi ſacratas eſſe: & ſimiliter quicquid ex tam varia muliere naſcitur: ſicut de Api, quæ eſt apud Ægyptios, audiuimus. Inde Caucaſi partem illam tranſcenderunt, quæ in rubrum mare porrigitur: ea verò diuerſis aromatum generibus conſita eſt. Montis namque *extima* cinnamomum ferunt, quod no- C uis ſarmentis aſſimilatur: bonitatis autem eius experimentum dat capra. Si quis enim cinnamomũ capræ porrexerit, tanquam catulus admurmurat *ad manum*, & abeuntem ſequitur, nares quoad poteſt ipſi propinquans. Quòd ſi paſtor eam amouerit, non ſecus quiritatur, ac ſi à pabulo diſtracta eſſet. In montis autem præruptis lateribus arbores, è quibus thus diſtillat, procerrimæ naD ſcuntur, & aromatum aliæ ſpecies multæ. Inter quas & piperis arbores ſunt, quas tanquam agricolæ genus quoddã ſimiarum colit: nec verò cui aſſimiletur arbori ab illis omittitur. quod autẽ ab aliis accepi referam. Piperis arbor illi ſimilis eſſe traditur, quam Græci agnon, id eſt, caſtam appellant, cùm partibus aliis, tum maximè fructuum racemis. Naſcitur autem in extremis, præruptiſq. locis

A hominum generi inacceſſibilibus, vbi ſimiarum, quas diximus, populus montis cauernas, & omnia foramina incolit. Eas autem maximi faciunt Indi, quoniam piperis, vt ſic dicam, vindemiatrices ſunt. Quapropter & armis, & canibus, leones, & cæteras feras ab ipſis arcent. Inſidiatur autem ſimiæ leo, ægrotus quidem medicinæ gratia: aiunt namque huiuſmodi ſimiarum carnes leonum morbis mederi, *ſeneſcens verò*, paſtus, cibíque cauſa. Nam vbi propter ſenium ceruos, aut capreas venari leones nequeunt, ſimias capiunt, in ipſas, quod ſupereſt virium exercentes. Sed, vt diximus, Indi ſimias non negligunt, & ſe beneficia ab ipſis capere arbitrantes, leones arcent. Quod autem ad piperis collectionem attinet, ſic ſe habet. Accedentes Indi ad arbores, quæ in parte montis infima naſcuntur, fructúſque ab illis decerpentes, paruas quaſdam ſub arboribus areas faciunt, vbi piper congerunt, quaſi caſu illic ipſum proiicientes, ceu rem neglectam, & minimi ab hominibus exiſtimatam. Circunſtantes verò, atque in auiis abditæ ſimiæ, talia deſuper aſpicientes, vbi nox aduenit Indorum opus imitatæ, auulſos arborum ramuſculos in areas, quas diximus, conferunt. Indi autem, vbi dies illuxit, piperis aceruos aſportant, quos nihil laborantes, ſed dormientes acquiſierunt.

A καὶ ἐφικτὸς τοῖς ἀνθρώποις· οὗ λέγεται πιθήκων οἰκεῖν δῆμος ἐν μυχοῖς τοῦ ὄρους, καὶ εἴ τι αὐτοῦ κοῖλον· οὓς πολλοῦ ἀξίους οἱ Ἰνδοὶ νομίζοντες, ἐπειδὴ τὸ πέπερι ἀποτρυγῶσι, τοὺς λέοντας ἀπ' αὐτῶν ἐρύκουσι κυσί τε, καὶ ὅπλοις. ἐπιτίθεται δὲ πιθήκῳ λέων, νοσῶν
B μὲν ὑπὲρ φαρμάκου, τὴν γὰρ νόσον αὐτοῦ τὰ κρέα ἵστησι ταῦτα· γεγηρακὼς δὲ ὑπὲρ σίτου. τῆς γὰρ τῶν ἐλάφων, καὶ συῶν θήρας ἔξωροι γεγονότες, τοὺς πιθήκους λαφύσσουσιν, ἐς τοῦτο χρώμενοι τῇ λοιπῇ ῥώμῃ. οὐ μὴν οἱ ἄνθρωποι περιορῶσιν, ἀλλ' εὐεργέτας ἡγούμενοι τὰ θηρία ταῦτα, πρὸς τοὺς
C λέοντας, ὑπὲρ αὐτῶν αἰχμὴν αἴρονται· τὰ δὲ τῶν πραττόμενα περὶ τὰς πεπερίδας, ὧδε ἔχει. προσελθόντες οἱ Ἰνδοὶ τοῖς κάτω δένδρεσι, τὸν καρπὸν ἀποθερίσαντες, ἅλως ποιοῦνται μικρὰς περὶ τὰ δένδρα, καὶ τὸ πέπερι περὶ αὐτὰς ξυμφοροῦσιν, οἷα ῥιπτοῦντες,
D ὡς ἄτιμόν τι, καὶ μὴ ἐν σπουδῇ τοῖς ἀνθρώποις· οἱ δὲ ἄνωθεν, καὶ ἐκ τῶν ἀβάτων * ἐφεωρακότες ταῦτα, νυκτὸς γενομένης, ὑποκρίνονται τὸ τῶν Ἰνδῶν ἔργον· καὶ τοὺς βοστρύχους τῶν δένδρων περισπῶντες, ῥιπτοῦσι φέροντες ἐς τὰς ἅλως. οἱ Ἰνδοὶ δὲ ἅμα ἡμέρᾳ σωροὺς ἀναιροῦνται τοῦ ἀρώματος, οὐδὲ πονήσαντες οὐδὲν, ἀλλὰ ῥαθυμοί τε, καὶ καθεύδοντες.

* γρ. ἀνίων.

De planicie itineris quindecim dierum, ac frumentorum, & fabarum magnitudine: déque ceteris fructibus. Tum de draconibus, & venatione eorum: quódque inde ſit venatoribus lucrum. Capi verò eos carminibus: eſſéque in draconum capite lapillos miræ virtutis. CAP. II.

Ὑπεράραντες δὲ τοῦ ὄρους, πεδίον ἰδεῖν φασι λεῖον καὶ κατατετμημένον ἐς τάφρους πλήρεις ὕδατος. εἶναι δὲ αὐτῶν τὰς μὲν, ἐγκαρσίους, τὰς δὲ, ὀρθὰς διηγμένας ἐκ τοῦ ποταμοῦ τοῦ
χ. οὔπς Γάγγου, τῆς τε χώρας ὅρια* οὔσας, τοῖς τε πεδίοις ἐπαγομένας, ὁπότε ἡ γῆ διψῴη. τὴν δὲ γῆν ταύτην, ἀρίστην φασὶ τῆς Ἰνδικῆς εἶναι, καὶ μεγίστην τῶν ἐκεῖ λήξεων πεντεκαίδεκα ἡμερῶν ὁδοῦ μῆκος ἐπὶ τὸν Γάγγην, ὀκτωκαίδεκα δὲ ἀπὸ θαλάσσης ἐπὶ τὸ τῶν πιθήκων ὄρος, ᾧ ξυμπαρατείνει πεδιάς. πᾶσα ἡ χώρα, μέλαινά τε, καὶ πάντων εὔφορος· ἰδεῖν μὲν γὰρ ἐν αὐτῇ στάχυας ἀνεστῶτας, ὅσον οἱ δόνακες. ἰδεῖν δὲ κυάμους τριπλασίους τῶν Αἰγυπτίων τὸ μέγεθος· σήσαμόν τε, καὶ κέγχρον, ὑπερφυᾶ πάντα· ἐνταῦθα καὶ τὰ κάρυα φύεσθαί φασιν, ὧν πολλὰ πρὸς ἱεροῖς ἀνάκειται τοῖς δεῦρο, θαύματος ἕνεκα. τὰς δὲ ἀμπέλους, φύεσθαι μὲν μικρὰς, καθάπερ αἱ Λυδῶν τε, καὶ Μαιόνων, ποτίμους δὲ εἶναι, καὶ ἀνθοσμίας ὁμοῦ τῷ ἀποτρυγᾶν. ἐνταῦθα δὲ καὶ δένδρῳ φασὶν ἐντετυχηκέναι, προσεοικότι τῇ δάφνῃ· φύεσθαι δὲ αὐτῷ κάλυκα εἰκασμένην τῇ μεγίστῃ ῥόᾳ· καὶ μῆλον ἐγκεῖσθαι τῇ κάλυκι, κυάνεον μὲν, ὥσπερ τῶν ὑακίνθων αἱ κάλυκες· πάντων δὲ ἥδιστον, ὁπόσα

A SED iam ad Apollonium, eiúſque comites redeamus: qui ſuperato monte ſubiectam planiciem conſpicati, plurimis foſſis aqua redundantib. interſectam animaduerterunt. Erant autem foſſarum aliæ obliquæ, aliæ rectæ, aquam ex Gange deriuantes. Has autem foſſas partim terminis deſignandis, partim irrigandis agris, cùm ſitiſſent, ſeruire B dicebant. Sunt autem agri omnium, qui apud Indos coluntur, feraciſſimi, & planicies totius Indiæ maxima. Protenditur enim in longitudinem dierum quindecim, ſecus Gangem ambulantibus; decem autem & octo è mari ad montem vſque ſimiarum patet, cui tota planicies ſubiacet. Terra autem colore nigra eſt, & frugum omnium ferax, vbi ſegetum paleas & ſpicas arundinum inſtar conſpici dicunt. Fabas autem triplo C maiores iis, quæ in Ægypto naſcuntur. Seſamum quoque proferre, & milium eximiæ magnitudinis. Præterea nuces tam craſſas iiſdem in locis naſci perhibent, vt earum pleraſque in templis, apud nos, videamus miraculi cauſa ſuſpenſas. Vites autem paruæ admodum, quantæ apud Mæones, Lydóſque ibi naſcuntur: vinum tamen ex illis expreſſum guſtatu, & odore iucundiſſimum eſſe aiunt. Aliam præterea arborem il- D lic inuenere lauro ſimilem: quæ ſiliquā calicis inſtar formatā, mali punici magnitudine profert: ſiliquæ autē pomum ineſt colore cœruleū, ac veluti pulcherrimus hyacinthus: guſtatu verò ſuauiſſimū omnium, quæ in

illo monte naſcantur. Cùm autem è monte deſcenderent, locum inuenerunt, vbi draconibus venandis Indi ſe exercent: de qua re neceſſarium eſſe putaui pauca narrare. abſurdum quippe fuerit, de leporum venatione, capturâque; plura ab his dicta eſſe, quibus ea narrare cura fuit: me autem tam generoſæ, támque vtilis venationis modus prætermittere, haudquaquam omiſſum à viro, cuius gratia hæc ſcribere ſum aggreſſus. Omnis Indiæ regio draconibus abundat, & multitudine, & magnitudine mirandis. Itaque paludes plenæ ſunt & montes, neque tumulus vllus iis vacuus reperitur. Verùm paluſtres pigri, tardíque ſunt, longitudine cubitorum triginta, & vix caput attollentes. Sunt verò dracænis ſimiles, & terga habentes ſubnigra, & ceteris minus ſquamoſa. Quapropter ſapientius de tali draconum genere loquitur Homerus, quàm plerique alij poëtæ. nam Draconem deſcribens, quem in Aulide iuxta fontem dixit habitare, ſic ait, *draconem terga rubentem.* Alij verò poëtæ huic draconum generi *perſimilem*, nimirũ in Nemeæ luco *verſari ſolitum*, criſtatum eſſe perhibent: quod nos in nullis ineſſe paluſtribus vnquam inuenimus. tradunt etiam alios in radicibus, aut cacuminibus montium habitare; qui quandoque in planiciem venationis cauſa deſcendunt, ea, quæ ad paluſtres pertinent rapientes. Nam & in maiorem porrecti ſunt magnitudinem, longitudinémque, & velocius fluminibus, quamuis rapidiſſimis feruntur, ita vt ab illis euadere nihil poſſit. His autem criſta naſcitur iuuenibus, mediocriter prominens, prouectis verò ætate, grandior, & ob id ipſum in alteram

A ἐξ ὡρῶν ἥκει. καταβαίνοντες δὲ τὸ
ὄρος, δρακόντων θήρᾳ περιτυχεῖν
φασι· περὶ ὧν ἀνάγκη λέξαι. καὶ γὰρ
σφόδρα εὐήθεις, ὑπὲρ μὲν τοῦ λαγὼ,
καὶ ὅπως ἁλίσκεται, καὶ ἁλώσεται, πολ-
λὰ εἰρῆσθαι τοῖς ἐς φροντίδα βαλλο-
μένοις ταῦτα· ὑμᾶς δὲ παρελθεῖν
λόγον γενναίας τε, καὶ δαιμονίου
θήρας, μηδὲ τῷ ἀνδρὶ παραλη-
B φθέντα, ἐς ὃν ταῦτα ἔγραψα. δρα-
κόντων μὲν γὰρ δὴ ἀπείροις μήκεσι
κατέζωσται πᾶσα ἡ Ινδικὴ χώρα. καὶ
μεστὰ μὲν αὐτῶν ἕλη, μεστὰ δὲ ὄρη·
κενὸς οὐδεὶς λόφος. οἱ μὲν δὴ ἕλειοι,
νωθροί τέ εἰσι, καὶ τριακοντάπηχυ μῆ-
κος ἔχουσι· καὶ κράνος αὐτοῖς οὐκ
ἀνέστηκεν, ἀλλ᾽ εἰσὶ ταῖς δρακαίναις
ὅμοιοι· μέλανες δὲ ἱκανῶς τὸν νῶτον,
καὶ ἧττον φολιδωτοὶ τῶν ἄλλων. καὶ
C σοφώτερον ἧπται τοῦ λόγου περὶ αὐ-
τῶν Ομηρος, ἢ οἱ πολλοὶ ποιηταί.
τὸν γὰρ δράκοντα τὸν ἐν Αὐλίδι τὸν
πρὸς τῇ πηγῇ οἰκοῦντα, περὶ νῶτα
δαφοινὸν, εἴρηκεν. οἱ δὲ ἄλλοι ποιη-
ταὶ, τὸν ὁμοήθη τούτῳ, τὸν ἐν τῷ
τῆς Νεμέας ἄλσει, φασὶ καὶ λο-
φιὰν ἔχειν· ὅπερ οὐκ ἂν περὶ τοὺς ἐ-
λείους εὕροιμεν· καὶ τοὺς ὑπὸ ταῖς
D ὑπωρείας, καὶ τοὺς λόφους· ἴενται
δὲ ἐς τὰ πεδία ἐπὶ θήρᾳ, πλεονε-
κτοῦσι δὲ τῶν ἐλείων πάντα· καὶ γὰρ
ἐς πλέον τοῦ μήκους ἐλαύνουσι, καὶ
ταχύτεροι τῶν ὀξυτάτων* ποταμῶν φέ- γρ. ὀξυπόρων π.
ρονται, καὶ διαφεύγει αὐτοὺς οὐδὲ
ἕν. τούτοις καὶ λοφιὰ φύεται, νέοις
μὲν ὑπανίσχουσα τὸ μέτριον, τελειουμέ-
νοις δὲ συναυξανομένη τε, καὶ συνανιοῦσα

ἐς πολύ. οἱ δὲ δὴ πυροῦνται, καὶ πριόνωτοι γίνονται, οὗτοι καὶ γενειάσκουσι, καὶ τὸν αὐχένα ὑψοῦ αἴρουσι, καὶ τὴν φολίδα στίλβουσι δίκην ἀργύρου. αἱ δὲ τῶν ὀφθαλμῶν κόραι, λίθος ἐστὶ διάπυρος. ἰσχὺν δὲ αὐτὴν ἀμήχανον εἶναί φασιν ἐς πολλὰ τῶν ἀποθέτων. γίνεται δὲ τοῖς θηρῶσιν ὁ πεδινὸς εὕρημα, ἐπειδὰν ἐλέφαντός τινα ἐπισπάσωνται· τουτὶ γὰρ ἀπόλλυσιν ἄμφω τὰ θηρία· καὶ κέρδος τοῖς ἑλοῦσι δράκοντας, ὀφθαλμοί τε γίνονται, καὶ δορὰ, καὶ ὀδόντες. εἰσὶ δὲ τὰ μὲν ἄλλα, ὅμοιοι τοῖς τῶν μεγίστων συῶν, λεπτότεροι δὲ, καὶ διάστροφοι, καὶ τὴν αἰχμὴν ἄτρεπτοι, καθάπερ οἱ τῶν μεγάλων ἰχθύων. οἱ δὲ ὄρειοι δράκοντες, τὴν μὲν φολίδα, χρυσοῖ φαίνονται· τὸ δὲ μῆκος, ὑπὲρ τοὺς πεδινούς. γένεια δὲ αὐτοῖς βοστρυχώδη, χρυσᾶ κἀκεῖνα. καὶ κατωφρύωνται μᾶλλον, ἢ οἱ πεδινοί. ὄμμα τε ὑποκάθηται τῇ ὀφρύϊ δεινὸν, καὶ ἀναιδῶς δεδορκός. ὑπόχαλκόν τε ἠχὼ φέρουσιν, ἐπειδὰν τῇ γῇ ὑποκυμαίνωσιν. ἀπὸ δὲ τῶν λόφων πυρσῶν ὄντων, πῦρ αὐτοῖς ἄττει, λαμπάδος πλέον. οὗτοι καὶ τοὺς ἐλέφαντας αἱροῦσιν. αὐτοὶ δὲ, ὑπὸ τῶν Ἰνδῶν οὕτως ἁλίσκονται. κοκκοβαφεῖ πέπλῳ χρυσᾶ ἐνείραντες γράμματα, τιθένται πρὸ τῆς χειᾶς, ὕπνον ἐγγοητεύσαντες τοῖς γράμμασιν, ὑφ' οὗ νικᾶται τοὺς ὀφθαλμοὺς δράκων, ἀτρέπτοις ὄντας. καὶ πολλὰ τῆς ἀπορρήτου σοφίας ἐπ' αὐτὸν ᾄδουσιν, οἷς ἄγεταί τε, καὶ τὸν αὐχένα ὑποβαλὼν τῆς χειᾶς, ἐπικαθεύδει τοῖς γράμμασι. προσαΐξαντες οὖν οἱ Ἰνδοὶ κειμένῳ, πελέκει

A partem deflexa. Qui verò coloris ignei ſunt, & in dorſo ſquamas eminentes tanquam ſerram habent, iis etiam barba adnaſcitur, & altius ceruicem attollunt, & eorum ſquamæ inſtar argenti fulgent. Oculorum autem pupillæ lapides ſunt, tanquam ignis fulgentes, quorum vim maximam eſſe ad morbos cõplures tollendos aiunt. quapropter & lucrum venationibus afferunt campeſtres dracones, quotiens ele-
B phantum inuadunt; ab occurrentibus venatoribus plerunque cum elephanto ſimul interficiuntur. Draconem capientibus præmia ſunt oculi, pellis, & dentes. Sunt autem ingentibus porcis ſimiles membris, ſed corpore graciliores, & in quamcunque partem verſatiles; roſtro autem validiſſimo tanquam ingentes piſces. Montani verò dracones ſquamas habent coloris fului. Longitudine autem excedunt campe-
C ſtres, barbáque illis ſetoſa, & ipſa coloris aurei: ſupercilia verò profundiora habent, quàm campeſtres. Oculi autem ſuperciliis ſubſunt, toruè, grauitérque aſpicientes: quibus perinde ac ſi eſſent æneì reſonant, quando in terra ſerpunt. E criſtis verò, quæ rubræ ſunt, ignis ſcintillare videtur, & iſti quoque elephantos capiunt: ipſi verò ab Indis hoc modo capiuntur. Pallium coccineum literis aureis ſu-
D perintextum ante cubilia extendunt: ſcripta autem incantatoria verba ſomnium dicuntur inducere: his draconum oculi, quanquam duriſſimi ſuperantur: ipſi quoque plurima verba ex arcana ſapientia ſuperincantantes, eo draconem perducunt, vt literis pallio intextis ſuperdomiant. Dormienti autem inſtantes Indi ceruicem ſecuri feriunt,

ſciſſóque capite lapillos intus extantes auferunt. Traditur enim montanorum draconum capitibus ineſſe lapillos ſpecie & aſpectu iucundos, & ſplendorem quendam coloribus inducentes: viribus autem potentiáque mirabiles; qualis annulus fuit, quem habuiſſe Gygen vulgatum eſt. Euenit autem interdum, vt draco Indum cum ſecuri, & arte intra cubile trahens deuoret, ipſum etiam, vt pene dixerim, montem concutiens. Tales autem dracones montem qui ad rubrum mare pertinet, dicuntur incolere, eorúmque horrenda ſibila audiri: quandoque etiam mare ingreſſi longius natando prouehuntur. De longitudine autem vitæ huiuſmodi belluarum & cognoſcere difficillimum eſt, &, ſi dicatur, incredibile. Hæc ſunt, quæ de draconibus noſſe potui.

ἐναράττουσι· καὶ τὴν κεφαλὴν ἀποτεμόντες, λῄζονται τὰς ἐν αὐτῇ λίθους· ἀποκεῖσθαι δέ φασιν ἐν ταῖς τῶν ὀρείων δρακόντων κεφαλαῖς λίθους, τὸ μὲν εἶδος, ἀνθηρὰς, καὶ πάντα ἀπαυγαζούσας χρώματα· τὴν δὲ ἰσχὺν, ἀρρήτους, κατὰ τὸν δακτύλιον, ὃν γενέσθαι φασὶ τῷ Γύγῃ. πολλάκις δὲ καὶ τὸν Ἰνδὸν αὐτῷ πελέκει, καὶ αὐτῇ τῇ τέχνῃ συλλαβὼν, ἐς τὴν αὑτοῦ χειὰν φέρων ᾤχετο, μονονοὺ σείων τὸ ὄρος. οὗτοι καὶ τὰ ὄρη τὰ περὶ τὴν ἐρυθρὰν οἰκεῖν λέγονται. σύριγμα δὲ δεινόν φασιν ἀκούεσθαι τούτων· καὶ κατιόντας αὐτοὺς ἐπὶ τὴν θάλατταν, πλεῖν ἐπὶ πολὺ τοῦ πελάγους. περὶ δὲ ἐτῶν μήκους τοῦ θηρίου τούτου, γνῶναί τε ἄπορον, καὶ εἰπεῖν ἄπιστον. τοσαῦτα περὶ δρακόντων οἶδα.

De Paraca vrbe, cuius ciues belluarum linguas intelligunt. Item de ceruis albis, quantáque veneratione ſint ſapientes apud Indos. hinc Græcè omnes loqui, qui vicos apud ſapientes incolunt. De colle præterea ſapientum ex natiuo ſaxo, in quo Bacchus & Hercules ſculpti viſuntur, conantes cum Diis Panibus collem occupare, & fugati fulminibus. Item de puteo culpæ, & cratere veniæ pleno ignis, déque duobus doliis, quorum alterum pluuias, ſerenitatem alterum facit.

Cap. III.

VRBEM verò magnam ſanè, & monti ſubiectá inuenere, quam Paracam inquiunt appellari, in eius medio plurima viderunt ſuſpenſa draconum capita, quòd eius ciuitatis habitatores ab ineunte ætate tali venationis genere ſe exerceant. Ferunt etiam huius vrbis homines animalium conceptus, admurmurationéſque intelligere, ſi draconis hepar, aut cor comederint. Apollonius autem, & comites vrbem prætergreſſi, cùm non multùm adhuc proceſſiſſent, fiſtulæ ſonitum audire viſi ſunt, quaſi paſtoris gregem

ΤΗΝ δὲ πόλιν τὴν ὑπὸ τῷ ὄρει μεγίστην οὖσαν, φασὶ μὲν καλεῖσθαι Πάρακα, δρακόντων δὲ ἀνακεῖσθαι κεφαλὰς ἐν μέσῃ πλείστας, γυμναζομένων τῶν ἐν ἐκείνῃ Ἰνδῶν τὴν θήραν ταύτην ἐκ νέων. λέγονται δὲ καὶ ζώων ξυνιέναι φθεγγομένων, καὶ βουλομένων, σιτούμενοι δράκοντος οἱ μὲν, καρδίαν, οἱ δὲ, ἧπαρ. προϊόντες δὲ, αὐλοῦ μὲν ἀκοῦσαι δόξαι, νομέως δέ τινος ἀγέλην

τάπλοντος, ἐλάφους δὲ βουκολεῖσθαι λευκάς. ἀμέλγουσι δὲ Ἰνδοὶ ταύτας, ἄριστα φέρειν ἡγούμενοι τὸ ἀπ' αὐτῶν γάλα. ἐντεῦθεν ἡμερῶν τεττάρων ὁδὸν πορευόμενοι δι' εὐδαίμονος, καὶ ἐνεργοῦ τῆς χώρας, προσελθεῖν φασι τῇ τῶν

κ. συνοκλάσαι σοφῶν τύρσει. τὸν δὲ ἡγεμόνα* κελεύοντα συνοκλάσαι τὴν κάμηλον, ἀποπηδῆσαι αὐτοῖς, περιδεᾶ καὶ ἱδρῶτος πλέων. τὸν δὲ Ἀπολλώνιον, ξυνεῖναι μὲν οὗ ἥκοι, γελάσαντα δὲ ἐπὶ τῷ Ἰνδοῦ δέει· δοκεῖ μοι φάναι οὗτος, εἰ καὶ κατέπλευσεν ἐς λιμένα, μακρόν τι ἀναμετρήσας πέλαγος, ἀχθεσθῆναι ἂν τῇ γῇ, καὶ δεῖσαι τὸ ἐν ὅρμῳ εἶναι. καὶ ἅμα εἰπὼν ταῦτα, προσέταξε τῇ καμήλῳ συνιζῆσαι. καὶ γὰρ δὴ καὶ ἐθὰς λοιπὸν ἦν τῶν τοιούτων. περίφοβον δὲ ἄρα ἐποίει τὸν ἡγεμόνα, τὸ πλησίον τῶν σοφῶν οἰκεῖν· Ἰνδοὶ γὰρ δεδίασι τούτους μᾶλλον, ἢ τὸν σφῶν αὐτῶν βασιλέα· ὅτι καὶ βασιλεὺς αὐτὸς, ὑφ' ᾧ ἐστιν ἡ χώρα, περὶ πάντων, ἃ λεκτέα τε αὐτῷ, καὶ πρακτέα, ἐρωτᾷ τούς δὲ τοὺς ἄνδρας, ὥσπερ οἱ ἐς θεοῦ πέμποντες. οἱ δέ, σημαίνουσι μὲν ὅ, τι λῷον αὐτῷ πράττειν· ὅ, τι δὲ μὴ λῷον, ἀπαγορεύουσί τε, καὶ ἀποσημαίνουσι. καταλύσειν δὲ μέλλοντες ἐν τῇ κώμῃ τῇ πλησίον· ἀπέχει δὲ τοῦ

κ. ἑπτὰ σταδίων. ὄχθου τῶν σοφῶν οὔπω* στάδιον· ἰδεῖν φασι νεανίαν δρόμῳ ἥκοντα, μελάντατον Ἰνδῶν πάντων· ὑποστίλβειν δὲ αὐτῷ μηνοειδῶς τὸ μεσόφρυον. τουτὶ δὲ ἀκούω χρόνοις ὕστερον καὶ περὶ Μέμνονα τὸν Ἡρώδου τοῦ σοφιστοῦ τρόφιμον, ἀπ' Αἰθιόπων δὲ ἦν*, ἐν μειρακίῳ δόξαι· προϊόντος δὲ ἐς ἄνδρας, ἐκλι-

A colligentis : ac ſubinde paſtorem viderunt , qui albarum ceruarum gregem paſcebat : mulgent autem ipſas Indi , quòd earum lac maximum eſſe nutrimentum putant, optimúmque. Inde quatuor dierum iter progreſſi per felicem , ac bene cultam regionem ambulantes , ad oppidum in quo ſapientes habitant peruenere. Ibi dux itineris expaueſcens, multóque ſudore manans, camelum ſeſe ad terram dimittere iuſ-

B ſit , volens & ipſe in terram deſilire. ſed Apollonius tantæ mutationis cauſa cognita, pauorem Indi deridens , Is , inquit, mihi facere perinde videtur, ac ſi quis longum pelagus emenſus, vbi ad portum peruenerit, terram odio habeat , & ſe in portu eſſe timeat. Hæc dicens camelum exurgere iuſſit. Erat enim iam cum ipſis aſſuetus. Incuſſerat autem duci pauorem , quòd prope ſapientes iam peruenerant, quos

C omnes Indi multò magis, quàm reges proprios timent, ac venerantur. Singularũ namque prouinciarum reges de ſuis omnibus rebus, aut agendis , aut fugiendis , eos conſulunt, *vt qui ad oraculum mittunt.* Ipſi verò quid factu ſit melius ſuadent, quid verò agendum non putent , diſſuadent. Apollonius & comites in vico manſuri , qui à colle , quem ſapientes incolunt , ſtadij ferme

D ſpatio diſtat , adoleſcentem conſpicati ſunt citato curſu ad ſe venientem Indorum omnium nigerrimum. Frontis autem pars ſuperciliis interiecta inſtar lunæ micabat ; quod poſteris quoque temporibus *viſum eſſe* in Menone Æthiope Herodis Sophiſtæ alumno, cùm adoleſcens eſſet, *audio : ſed cùm is ad virilem ætatem perueniſſet*, pau-

latim hic lunulæ fulgor deficiebat, quoad omninò repentè euanuit. Gerebat autẽ manu auream anchorã, quam Indi pro Caduceo habent, propterea quod omnia coërcet. Is Græcè Apollonium ſalutauit, quod nemini mirabile viſum eſt, cùm omnes ferè vici eius habitatores Græcè loquerentur. Quòd autem nominatim ſalutaſſet, Salue, dicens, Apolloni, ceteros quidẽ ſtupefecit, ipſi autem Apollonio fiduciam præſtitit poſſe ea, quorum cauſa venerat, conſequi. Damidem itaque aſpiciens, Ad homines, inquit, proculdubiò ſapientes venimus, qui res prænoſcere mihi videntur. His dictis Indum interrogauit, quidnam ſibi agendum eſſet: cupiebat enim, quamprimùm poſſet, ſapientes alloqui. Tunc Indus: Hos, inquit, comites hoc loco dimittere opus eſt: tu verò ita vt es ſolus, me ſequere. Sic enim *ipſi* facere te iubent. Hoc autẽ quod dixit, *Ipſi*, Pythagoricum eſſe agnouit Apollonius, gaudénſque illum ſequebatur. Tumulus autem, quem ſapientes incolunt, ea eſt altitudine, qua eſt Athenienſium arx, ex media ſurgens planicie. Hunc munit natiuũ quoddam ſaxum, quod tanquam manu & artificio factum circumquaque collem ambit, cuius in pleriſq. partib. quaſi biſulca* veſtigia cernũtur, & barbarum, ac vultuum formæ alibi, & hominum terga conſpici dicuntur labentibus ſimilia. Cùm enim Bacchus Herculi coniunctus, regionẽ illam inuaſere, Panas Deos, quos in exercitu habebant, vt expugnare tumulũ aggrederentur, hortati ſunt, quòd arbitrarentur eos aduerſus terræmotus aliáſq; offenſiones poſſe ſufficere. Sed à ſapientibus diuerſimodè fulminati ipſi in petris erratorũ ſuorum reliquerunt

A πεῖν τὴν αὐγὴν ταύτην, καὶ συναφανισθῆναι τῇ ὥρᾳ. τὸν δὲ Ἰνδὸν, χρυσῆν μὲν φέρειν φασὶν ἄγκυραν, ἣν νομίζουσιν Ἰνδοὶ κηρύκειον, ἐπὶ τῷ πάντα ἴσχειν. προσδραμόντα δὲ τῷ Ἀπολλωνίῳ, φωνῇ τε Ἑλλάδι προσειπεῖν αὐτόν. καὶ τοῦτο μὲν οὔπω θαυμαστὸν δόξαι, διὰ τὸ καὶ τοὺς ἐν τῇ κώμῃ πάντας ἀπὸ Ἑλλήνων φθέγ-

B γεσθαι· τὸ δὲ, ὁ δεῖνα χαῖρε, τοῖς μὲν ἄλλοις παρασχεῖν ἔκπληξιν· τῷ δὲ ἀνδρὶ, θάρσος, ὑπὲρ ὧν ἀφῖκτο. βλέψας γὰρ ἐς τὸν Δάμιν, παρὰ ἄνδρας, ἔφη, σοφοὺς ἀτεχνῶς ἥκομεν· ἐοίκασι γὰρ προγιγνώσκειν. καὶ ἅμα ἤρετο τὸν Ἰνδὸν ὅ, τι χρὴ πράττειν, ποθῶν ἤδη τὴν ξυνουσίαν· ὁ δὲ Ἰνδὸς, τούτους

C μὲν, ἔφη, καταλύειν χρὴ ἐνταῦθα· σὲ δὲ, ἥκειν ὡς ἔχεις· κελεύουσι γὰρ αὐτοί. τὸ μὲν δὴ, αὐτοί, Πυθαγόρειον ἤδη τῷ Ἀπολλωνίῳ ἐφάνη, καὶ ἠκολούθει χαίρων. τὸν δὲ ὄχθον, ἐφ' οὗ οἱ σοφοὶ ἐνῳκισμένοι εἰσὶν, ὕψος μὲν εἶναι κατὰ τὴν Ἀθηναίων φασὶν ἀκρόπολιν, ἀνίστασθαι δὲ ἐκ πεδίου ἄνω· διφυᾶ δὲ

D ὁμοίως πέτραν ὀχυροῦν αὐτὸν κύκλῳ περιήκουσαν, ἧς πολλαχοῦ διχηλὰ ὁρᾶσθαι ἴχνη, καὶ γλυφάδων τύπους, καὶ προσώπων καί που καὶ νῶτα ἰδεῖν ἀπωλισθηκόσιν ὅμοια· τὸν γὰρ Διόνυσον ὅτε ξὺν Ἡρακλεῖ ἀπεπειρᾶτο τοῦ χωρίου, προσβαλεῖν μὲν αὐτῷ φασι κελεῦσαι τοὺς Πᾶνας, ὡς πρὸς τὸν σεισμὸν ἱκανούς. ἐμβροντηθέντας δὲ αὐτοὺς ὑπὸ τῶν σοφῶν, πεσεῖν ἄλλον ἄλλως· καὶ τὰς πέτρας οἷον ἐντυπωθῆναι τὰ τῆς διαμαρτίας

χήματα. περὶ δὲ τῷ ὄχθῳ, νεφέλην ἰδεῖν φασιν, ἐν ᾗ τοὺς Ἰνδοὺς οἰκεῖν φανερούς τε, καὶ ἀφανεῖς, καὶ ὅ, τι βούλονται. πύλας δὲ, εἰ μὲν καὶ ἄλλας εἶναι τῷ ὄχθῳ οὐκ εἰδέναι, τὸ γὰρ περὶ αὐτὸν νέφος, οὔτε ἀκλείστῳ ξυγχωρεῖν, οὔτ' αὖ ξυγκεκλεισμένῳ φαίνεσθαι· αὐτὸς δὲ ἀναβῆναι μὲν κατὰ τὸ νότιον μάλιστα τοῦ ὄχθου, τῷ Ἰνδῷ χ. δ' ὀσ-τῶ ἑπόμενος, ἰδεῖν δὲ* πρῶτα μὲν φρέαρ B ἴσ. γλῶ ὀργυιῶν τεττάρων οὗ τὴν *αὐγὴν ἐπὶ τὸ στόμιον ἀναπέμπεσθαι, κυανωτάτην οὖσαν· καὶ ὁπότε ἡ μεσημβρία τοῦ ἡλίου σταίη περὶ αὐτὸ, ἀνιμᾶσθαι τὴν αὐγὴν ὑπὸ τῆς ἀκτῖνος, καὶ χωρεῖν ἄνω, περιεχομένην εἶδος θερμῆς ἴριδος· μαθεῖν δὲ ὕστερον περὶ τοῦ φρέατος, ὡς σανδαρακίνη μὲν εἴη ἡ ὑπ' αὐτῷ γῆ. ἀπόρρητον δὲ τὸ ὕδωρ ἡγοῖντο· καὶ οὔτε πίνει τις αὐτὸ, οὔτε ἀνασπᾷ, C ὅρκιος δὲ νομίζοιτο τῇ περὶ Ἰνδικῇ πάσῃ. πλησίον δὲ τούτου, κρατῆρα εἶναι πυρὸς, οὗ φλόγα ἀναπέμπεσθαι μολυβδώδη. καπνὸν δὲ οὐδένα ἀπ' αὐτῆς ἄττειν, οὐδὲ ὀσμὴν οὐδεμίαν· οὐδὲ ὑπερχυθῆναί ποτε ὁ κρατὴρ οὗτος, ἀλλ' ἀναδίδοσθαι τοσοῦτος ὡς μὴ ὑπερβλύσαι τοῦ βόθρου. ἐνταῦθα Ἰνδοὶ καθαίρονται τῶν ἀκουσίων. ὅθεν D οἱ σοφοὶ τὸ μὲν φρέαρ, ἐλέγχου καλοῦσι· τὸ δὲ πῦρ, ξυγγνώμης. καὶ διττὼ ἑωρακέναι φασὶ πίθω λίθου μέλανος, ὄμβρων τε, καὶ ἀνέμων χ. ὄντ. ὄντες*. ὁ μὲν δὴ τῶν ὄμβρων, εἰ αὐχμῷ ἡ Ἰνδικὴ πιέζοιτο, ἀνοιχθεὶς, νεφέλας ἀναπέμπει, καὶ ὑγραίνει τὴν γῆν πᾶσαν· εἰ δὲ ὄμβροι πλεονεκτοῖεν,

A inſignia. Circa tumulum verò nebula circunſpicitur, in qua Indi habitant, ibíque ſe nunc viſibiles, nunc inuiſibiles, vt libet faciunt. Vtrum verò portæ tumulum claudant, nequaquam ſe nouiſſe dicunt, quòd proſpectum nebula eripiat tam extra extantibus, quàm intus clauſis. Retulit autem Apollonius ſe ducem ſequendo ex parte tumuli, quæ ad auſtrum maximè vergit, aſcendiſſe, vidiſſéque B in primis puteum [latitudine paſſuum quatuor:] cuius *fulgens vnda cærulea maximè* ab imo fundo vſque ad os putei ſurſum attollitur. Inde cùm ſol ad meridiem peruenit, ſplendore quodam à ſolis radiis hauſto deorſum reſidet calida, Iridis ſpeciem videntibus præbens. dicebátque Apollonius poſtmodum didiciſſe omnem, quæ ſub puteo eſt, terram ſandaracinam eſſe. aquam etiam eiuſdem putei arca- C nam vim quandam habere arbitrabantur: nec ex ea bibit aut haurit omnino quiſquam. Putatur autem per omnem Indiam maximum eſſe iuſiurandum, ſi quis per eam aquam iurauerit. Iuxta puteum crater eſt igne plenus, ex quo flamma plumbei coloris emittitur: nullus verò fumus, aut odor ex ipſo prodit, neque crateris labra vnquam excedit, licet catenus aliquando creſcat. Illic Indi à patratis faci- D noribus expiantur. Quapropter ſapientes quidem culpæ puteum appellant, craterem autem veniæ. Gemina quoque illic dolia ſe vidiſſe refert Apollonius, vnum imbrium, alterum ventorum: & is quidem, qui dicitur eſſe imbrium, vbi nimia ſiccitate India premitur, ſi fuerit apertus nebulas emittit, quæ vniuerſam terram humectant: Sin verò nimia fuerit pluuia,

idem occluſus imbres cohibet: Alterum autem, qui ventorum eſſe dicitur, idem facit quod vtres Æoli facere perhibentur. Adaperto enim dolio ventus regionem perflat, vnde & ſalubritas in terra gignitur. Deorum quoque ſimulachra complura illic ſe vidiſſe tradit, nihílque miratum eſſe, quòd Indorum aut Ægyptiorum Deorum illic imagines viderit: ſtupuiſſe autem quòd eorum, qui apud Græcos antiquiſſimi habentur, aſpexerit ſimulachra, ceu Mineruæ Poliadis, & Apollinis Delij, præterea & Dionyſij, & Amyclæi, & aliorum huiuſmodi. Horum enim ſingulis Indi ſtatuam poſuere, Græcóque ritu iiſdem ſacrificant. Dicunt autem Indiæ medium ſeſe colere; eúmque tumulum quaſi vmbilicum eſſe, & ab eodem ſacrum ignem capiunt, quem ſeſe à ſolis radiis accepiſſe gloriantur: atque ob eius rei memoriam hymnum iugiter ad meridiem vſque decantant.

A ἴσχει αὐτὸν ξυγκλειόμενος· ὁ δὲ τῶν ἀνέμων πίθος, ταυτὸν οἶμαι τῷ τοῦ Αἰόλου ἀσκῷ πράττει. παρανοιγνύντες γὰρ τῶν πίθων ἕνα, τῶν ἀνέμων ἀνιᾶσιν ἐμπνεῖν ὥρᾳ· κἀντεῦθεν ἡ γῆ ἔρρωται. θεῶν δὲ ἀγάλμασιν ἐντυχεῖν φασίν. εἰ μὲν Ἰνδοῖς, ἢ Αἰγυπτίοις, θαῦμα οὐδέν· τὰ δέ γε ἀρ-
B χαιότατα τῶν παρ' Ἕλλησι, τό, τε τῆς Ἀθηνᾶς τῆς πολιάδος, καὶ τὸ τοῦ Ἀπόλλωνος τοῦ Δηλίου, καὶ τὸ τοῦ Διονύσου, καὶ τὸ τοῦ Ἀμυκλαίου, καὶ ὁπόσα ὧδε* ἀρχαῖα. ταῦτα ἱδρύεσθαί τε τοῖς *ἀ. Ἰνδοῖς τούτοις, καὶ νομίζειν Ἑλληνικοῖς ἤθεσι. φασὶ δ' οἰκεῖν τὰ μέσα τῆς Ἰνδικῆς· καὶ τὸν ὄχθον, ὀμφαλὸν
C ποιοῦνται τοῦ λόφου τούτου· πῦρ τε ἀπ' αὐτοῦ ὀργιάζουσιν, ὅ φασιν ἐκ τῶν τοῦ ἡλίου ἀκτίνων αὐτοὶ ἕλκειν· τούτῳ δὲ τὸν ὕμνον ἡμέραν ἅπασαν ἐς μεσημβρίαν ᾄδουσιν.

Quid de Indis in oratione Apollonius ſcribat: hinc epiſtolæ interpretatio, cur ſcilicet in terra Brachmanæ & ſint, & non ſint, nihilque eu cùm ſit, nihil deficiat tamen.
Cap. IIII.

QVIDNAM igitur, & quales viri, & quo pacto inſtituti tumulum habitent, ipſemet narrauit Apollonius. Nam in oratione quadam earum, quas apud Ægyptios
» habuit, ſic ait. Vidi Indos Brachma-
» nos in terra habitantes, & non in
» terra, & abſque mœnibus muni-
» tos, & nihil poſſidentes, vel omnia
» potius. Et hæc quidem ipſe tanquam ſapiens ſcripſit occultius. Damis autem inquit, Brachmanas ipſos humi dormire, herbis tantùm ſuper humum ſtratis, quas cùm altius interdum cumulent, euenit, vt duos

Ὁποῖοι μὲν δὴ καὶ οἱ ἄνδρες, καὶ ὅπως οἰκοῦντες τὸν ὄχθον, αὐ-
D τὸς ὁ ἀνὴρ δίεισιν· ἐν μιᾷ γὰρ τῶν πρὸς Αἰγυπτίους ὁμιλιῶν, εἶδον φησιν Ἰνδοὺς Βραχμᾶνας οἰκοῦντας ἐπὶ τῆς γῆς, καὶ οὐκ ἐπ' αὐτῆς, καὶ ἀτειχίστως τετειχισμένους, καὶ οὐδὲν κεκτημένους, ἢ τὰ πάντων. ταυτὶ δὲ ἐκεῖνος μὲν σοφώτερον ἔγραψεν. ὁ δέ γε Δάμις φησι, χαμευνίᾳ μὲν αὐτοὺς χρῆσθαι, τῇ δὲ γῇ ὑποστρωννύναι πόας, ἃς ἂν αὐτοὶ αἱρῶνται. καὶ

μετεωροποροῦντας δὲ ἰδεῖν ἀπὸ τῆς γῆς ἐς πήχεις δύο, οὐ θαυματοποιίας ἕνεκα· τὸ γὰρ φιλότιμον τοῦτο παραιτεῖσθαι τοὺς ἄνδρας· ἀλλ' ὁπόσα τῷ ἡλίῳ ξυναποβαίνοντες τῆς γῆς δρῶσιν, ὡς πρόσφορα τῷ θεῷ πράττοντες. τό τοι πῦρ, ὃ ἀπὸ τῆς ἀκτῖνος ἐπισπῶνται, καί τοι σωματοειδὲς ὄν, οὔτε ἐπὶ βωμοῦ καίειν αὐτούς, οὔτε ἐν ἰπνοῖς φυλάττειν· ἀλλ' ὥσπερ τὰς αὐγάς, αἳ ἐξ ἡλίου τε ἀνακλῶνται, καὶ ὕδατος οὕτω μετέωρόν τε ὁρᾶσθαι αὐτό, καὶ σαλεῦον ἐν τῷ αἰθέρι. μεθ' ἡμέραν μὲν οὖν ἥλιον ὑπὲρ τῶν ὡρῶν, ἃς ἐπιτροπεύει αὐτός, ἵν' ἐς καιρὸν τῇ γῇ ὦσι, καὶ ἡ Ἰνδικὴ εὖ πράττῃ. νύκτωρ δὲ λιπαροῦσι τὴν ἀκτῖνα μὴ ἄχθεσθαι τῇ νυκτί, μένειν δὲ ὡς ὑπ' αὐτῶν ἤχθη. τοιοῦτον μὲν δὴ τοῦ Ἀπολλωνίου τὸ ἐν τῇ γῇ τε εἶναι τοὺς Βραχμᾶνας, καὶ οὐκ ἐν τῇ γῇ. τὸ δὲ ἀτειχίστως τετειχισμένους, δηλοῖ τὸν ἀέρα, ὑφ' ᾧ ζῶσιν. ὑπαίθριοι γὰρ δοκοῦντες αὐλίζεσθαι σκιάν τε ὑπεραίρουσιν αὐτῶν, καὶ ὕοντος οὐ ψεκάζονται, καὶ ὑπὸ τῷ ἡλίῳ εἰσίν, ἐπειδὰν αὐτοὶ βούλωνται. τὸ δὲ μηδὲν κεκτημένους, τὰ πάντων ἔχειν, ὧδε ὁ Δάμις ἐξηγεῖται. πηγαί, ὁπόσαι τοῖς βάκχοις παρὰ τῆς γῆς ἐκθρώσκουσιν, ἐπειδὰν ὁ Διόνυσος αὐτούς τε, καὶ τὴν γῆν σείσῃ, φοιτῶσι καὶ τοῖς Ἰνδοῖς τούτοις ἑστιωμένοις τε, καὶ ἑστιῶσιν. εἰκότως οὖν ὁ Ἀπολλώνιος τοὺς μηδὲν μὲν ἐκ παρασκευῆς, αὐτοσχεδίως δὲ ἃ βούλονται ποριζομένους, ἔχειν φησίν, ἃ μὴ ἔχουσιν. κομᾶν δὲ ἐπιτηδεύουσιν, ὥσπερ Λακεδαιμόνιοι πάλαι, καὶ Θούριοι, Ταραντῖνοί τε, καὶ

γ. ἀνα- βλύουσιν,

A ferme cubitos à terra eleuati ambulent, non miraculi, aut ambitionis cauſa (hoc enim crimine viri illi carent) ſed quia quæcunque à terra ſublati ſacrificauerint, ipſi Soli gratiora, magíſque tali Deo conuenientia ſeſe facturos arbitrantur. Ignem verò, quem à Solis radio diuellunt, quanquam corporeus ſit, non tamen in aris aliquid comburendo, neque laternis incluſum ſeruant, ſed tanquam radij, qui à Sole in aqua refranguntur: ſic ille in
B ſublimi æthere ſaliens conſpicitur. Ipſi igitur Solem illum interdiu precantur, vt horas quas circumuolutione ſua metitur, opportunas, commodáſque, & propitias Indorum terræ mittat. Noctu autem eundem adorantes ſupplicant, ne propter noctem indignetur, ſed ſic manere velit, ſicut ab illis habetur. Tale quid igitur ſignificare videtur Apollonij ſententia, qua dixit Bra-
C chmanas in terra eſſe, & non eſſe in terra. Quòd autem ſine mœnibus munitos eſſe dixit, aërem ſignat, ſub quo manent. Cùm enim ſub dio permanere videantur, in vmbra tamen degunt, & decidente pluuia madeſcunt, & ſub Sole ſunt, quandocunque velint. Quòd verò tertio loco de iiſdem pertulit, nihil poſſidêtes, etiam quæ omnium ſunt ipſos habere, hoc modo interpretatur Damis. Fontes, qui bacchan-
D tibus è terra ſcaturiunt, poſtquam Dionyſius ipſos cum terra ſimul concuſſit, defluunt etiam ad hos Indos edentes, aut iam depaſtos. Rectè igitur Apollonius eos, qui nihil apparantes fruuntur his, quæ ſua ſponte proueniunt, & habent quæcunque velint, & quæ non habent habere dixit. Comas autem nutriunt, ſicut quondam Lacedæmonij, & Thurij, Tarentiníque, ac Mileſij,

Mileſij, & cæteri quibus Laconica A inſtituta placebant. Mitram quoque albam geſtabant, & nudis pedibus ambulabant. Veſtis autem eorum in exomidum* formam compoſita eſt: ipſius verò materia linum eſt, quod ſponte ſua in illis locis naſcitur, album quidẽ, veluti quod in Pamphylia naſcitur; mollius autem propter pinguedinem, quæ ab ipſo, quaſi oleum ſtillat: ex eo ſacram veſtem conficiunt; ac ſi quis B alius Indorum eiuſmodi linum in aliam partem ſerendum tranſtulerit, non coaleſcit. Annulum atque baculum, quorum vtrumq. ipſi geſtant, multum quidem poſſe dicunt ob duas præcipuè cauſas, & eas arcanas in pretio haberi.

** Exomides, laneæ ſeruorum lacernæ anguſtæ, & breues circa humerū, deſinebant.*

Μήλιοι, καὶ ὁπόσοις τὰ λακωνικὰ ἦν ἐν λόγῳ· μίτραν τε ἀναδοῦνται λευκὴν, καὶ γυμνὸν αὐτοῖς βάδισμα. καὶ τὴν ἐσθῆτα ἐσχημάτιζον παραπλησίως ταῖς ἐξωμίσιν. ἡ δὲ ὕλη τῆς ἐσθῆτος, ἔριον αὐτοφυὲς ἡ γῆ φύει, λευκὸν μὲν, ὥσπερ τῶν Παμφύλων, μαλακώτερον δὲ τίκτει, ἡ πιμελὴ, οἷα ἔλαιον ἐπ᾽ αὐτοῦ λείβεσθαι· τοῦτο ἱερὰν ἐσθῆτα ποιοῦνται. καὶ εἴ τις ἕτερος παρὰ τοὺς Ἰνδοὺς τούτους ἀνασπῴη αὐτὸ, οὐ μεθίεται ἡ γῆ τοῦ ἐρίου. τὴν δὲ ἰσχὺν τοῦ δακτυλίου, καὶ τῆς ῥάβδου, ἃ φορεῖν αὐτοὺς ἄμφω, δύνασθαι μὲν πάντα, δύω δὲ ἀρρήτω, τετιμῆσθαι.

Acceptum à ſapientibus Apollonium, inueniſſéque eorum principem Iarcham in throno ſedentem: tum diuinaſſe nomen, & Apollonij, & parentum eius, & pleraque omnia, quæ illi euenerant, ac ſi ſemper affuiſſet. Memoriam præterea ab illis poſt Deos coli. Hinc de mirabili vnguento, quo vncti ſtatim ſudabant, déque terrà ſaltante percuſſo baculo, vtque ipſi miraculoſè eleuarentur è terra.

Cap. V.

Accedentem ad ſe Apollonium cæteri quidem apprehenſa manu ſalutauere. Iarchas autem in excelſo ſedebat throno, quem ex ære nigro fabricatum aureæ ſtatuæ complures exornabant. Aliorum verò ſedes, & ipſæ æneæ erant, ſed D omnino ſignis ornatæ, & aliquantum, quàm Iarchæ humiliores. Infra Iarcham enim ſedebant omnes. Is viſum Apollonium nominatim ſalutauit, literáſque ab eo regis Indorum popoſcit. Miranti autem Apollonio, quòd de literis, quas gerebat aliquid præſciſſet, Atque quò magis, inquit, mireris, ſcias D. vnum in ea epiſtola deeſſe, ídque ita

Προσιόντα δὲ τὸν Ἀπολλώνιον, οἱ μὲν ἄλλοι σοφοὶ προσήγοντο, ἀσπαζόμενοι ταῖς χερσίν. ὁ δὲ Ἰάρχας, ἐκάθητο μὲν ἐπὶ δίφρου ὑψηλοῦ χαλκοῦ δὲ μέλανος ἦν, καὶ πεποίκιλτο χρυσοῖς ἀγάλμασιν. οἱ δὲ τῶν ἄλλων δίφροι, χαλκοῖ μὲν, ἄσημοι δὲ ἦσαν, ὑψηλοὶ δὲ ἧττον ὑπεκάθηντο γὰρ τῷ Ἰάρχᾳ. ὁ δὲ τὸν Ἀπολλώνιον ἰδὼν, φωνῇ τε ἠσπάσατο Ἑλλάδι, καὶ τὰ τοῦ Ἰνδοῦ γράμματα ἀπῄτει. θαυμάσαντος δὲ τοῦ Ἀπολλωνίου τὴν πρόγνωσιν, καὶ γράμμα γε ἓν ἔφη, λείπειν τῇ ἐπιστολῇ, δέλτα εἰπὸν· παρῆλθε γὰρ αὐτὸν γράφοντα· καὶ

ἐφαίνη τοῦτο ὧδε ἔχον· ἀναγνοὺς δὲ τὴν ἐπιστολὴν, πῶς, ἔφη, ὦ Ἀπολλώνιε, περὶ ἡμῶν φρονεῖτε; πῶς εἶπεν, ἢ ὡς δηλοῖ τὸ ὑμῶν ἕνεκα ἥκειν με ὁδὸν, ἣν μήπω τις τῶν ὅθεν περ ἐγὼ ἀνθρώπων; τί δὲ ἡμᾶς πλέον οἴει σαυτοῦ γιγνώσκειν; ἐγὼ μὲν εἶπε σοφώτερά τε ἡγοῦμαι τὰ ὑμέτερα, καὶ πολλῷ θειότερα. εἰ δὲ μηδὲν πλέον, ὧν οἶδα, παρ' ὑμῖν εὕροιμι, μεμαθηκὼς ἂν εἴην καὶ τὸ μὴ κατέχειν ὅ, τι μάθοιμι· ὑπολαβὼν οὖν ὁ Ἰνδὸς, οἱ μὲν ἄλλοι, ἔφη, τοὺς ἀφικουμένους ἐρωτῶσι. ποταποί τε ἥκουσι, καὶ ἐφ' ὅ, τι· ἡμῖν δὲ, σοφίας ἐπίδειξιν πρώτην ἔχει τὸ μὴ ἀγνοῆσαι τοὺς ἥκοντας. ἐλέγχου δὲ δὴ πρῶτον τούτου. καὶ εἰπὼν ταῦτα, πατρόθεν τε διῄει τὸν Ἀπολλώνιον, καὶ μητρόθεν. καὶ τὰ ἐν Αἰγαῖς πάντα, καὶ ὡς προσῆλθεν αὐτῷ ὁ Δάμις, καὶ εἰ δή τι ἐσπούδασαν ὁδοιποροῦντες, ἢ σπουδάζοντος ἑτέρους εἶδον, πάντα ταῦθ', ὥσπερ κοινωνήσας αὐτοῖς τῆς ἀποδημίας ὁ Ἰνδὸς, ἀπνευστί τε, καὶ σαφῶς εἴρηκεν. ἐκπλαγέντος δὲ τοῦ Ἀπολλωνίου, καὶ ὁπόθεν ᾔδει ἐπερομένου, καὶ σὺ μέτοχος, ἔφη, τῆς σοφίας ταύτης ἥκεις, ἀλλ' οὔπω πάσης. διδάξῃ οὖν με, ἔφη, τὴν σοφίαν πᾶσαν; καὶ ἀφθόνως γε, εἶπε. τουτὶ γὰρ σοφώτερον τοῦ βασκαίνειν τε, καὶ κρύπτειν τὰ σπουδῆς ἄξια. καὶ ἄλλως, Ἀπολλώνιε, μεστόν σε ὁρῶ τῆς μνημοσύνης, ἣν ἡμεῖς μάλιστα θεῶν ἀγαπῶμεν· ἦ γὰρ καθεώρακας, εἶπεν, ὅπως πέφυκα; ἡμεῖς, ἔφη, ὦ Ἀπολλώνιε, πάντα ὁρῶμεν τὰ τῆς ψυχῆς εἴδη, ξυμβόλοις αὐτὰ μυρίοις ἐξιχνεύοντες.

A eſſe palam oſtendit. Inde perlecta epiſtola ad Apollonium conuerſus, Quid, inquit, de nobis ſentitis? Cui Apollonius, Quid de vobis, inquit, ſentiamus, ſatis oſtendit labor itineris, veſtri cauſa à me ſuſcepti, quod adhuc nemo ex illis, vnde venio, locis eſt auſus peragrare. Tum, inquit ille, quid ſupra te, nos ſcire arbitraris? Ego, inquit Apollonius, ſapientiores vos eſſe cenſeo, & multò diuiniora ſcire. Niſi enim præter B ea, quæ ſcio, noui aliquid apud vos inuenerim, omnia iam me didiciſſe arbitrarer, nec mihi ſupereſſe amplius diſcẽdum quicquam. Tunc Iarchas, Ceteri, inquit, conſueuerunt ad ſe venientes interrogare, quales nam ipſi ſint, & cuius rei gratia cõuenerint: Vobis autẽ ſapientiæ noſtræ argumentũ hoc primùm eſt, quòd venientes ad nos agnoſcimus: quod iudicare ſtatim poteris. His dictis quo patre, quáque matre natus C eſſet Apollonius, & omnia quæ Ægis fecerat, quóque pacto ad eum Damis veniſſet, quídque per totum iter ſerio egiſſent, aut alios agẽtes vidiſſent, non ſecus ac ſi comes fuiſſet, continenter, planéque narrauit. Obſtupẽti autem Apollonio, atq. vnde hæc ſciſſet interroganti, & tu, inquit, huius ſapiẽtiæ particeps aduenis, ſed nondum etiam bene noſti. Rogo igitur, ait Apollonius, vt me totam hãc ſapientiam doceas. Libenter, inquit, D ille, abundéq. docebo: eo namq. ſapiẽtiæ iam perueniſti, vt nec inuidere tibi quiſpiam, nec celare te aliquid debeat eorum, quæ ſcitu digna ſunt. Inſuper memoria te abundare video, Apolloni, quam nos maximè poſt Deos colimus. Planè, inquit Apollonius, quid mihi natura inſit percepiſti. Nos verò, inquit Iarchas, vires omnes animæ videmus innumeris coniecturis illas inueſtigantes.

A Sed quoniam meridies iam propinquat, & nos quæ ad Deorum cultum præparare oportet, nunc quidē colloquendi finem faciemus: ſacris autem peractis, quandiu volueris, colloquemur. Potes autē, ſi libeat, *omnib. actu* intereſſe. Ego verò per Iouem, inquit Apollonius, iniuriam Caucaſo, Indóq. viderer afferre, quos, vt ad vos accederem, penetraui, niſi cunctis, quæ à vobis fiunt, intereſſem. Saturare, igitur, inquit Iarchas, & nos ſequere. B His dictis ad fontem venerunt, quem Damis à ſe poſtea viſum ſimilem tradit ei, qui in Bœotia Dirce nuncupatur. Venientes itaque ad fontem corporibus primò nudatis tota capita ſuccineo quodam medicamine perunxerunt, quod eorum corpora adeò calefecit, vt vehementer fumarent, ſudorémque abundè ſtillarent, non ſecus, ac ſi igne lauarentur: poſt hæc in aquam ſeſe proiicientes lauere, lotique ad templum acceſſerunt C coronati, & hymnum cantantes, inſtar choreæ in gyrum compoſiti: Chori verò principem faciebant Iarcham; & erectis baculis terram percutiebant, quæ in tumulum ſeſe attollens, marini fluctus inſtar, duos ferme paſſus in aërem ipſos extulit. Ipſi verò interea cantabant cantū, Sophoclis pæani ſimilem, quem Athenis in honorem Æſculapij cantari mos eſt. vbi verò terra reſedit, aduocans Iarchas D adoleſcentulum, qui anchoram portabat, Cura, inquit, Apollonij comites; ipſe verò multò citius, quàm volet *celer* auis, profectus, reuerſúſque, egregiè curaui, inquit. Illi autem, quod reliquum erat ſacrorum peracto, in ſedibus quieuêre. Tunc ad adoleſcentem conuerſus Iarchas, affer, inquit, ſapiēti Apollonio Phraotæ ſedem, vt in ea ſedens nobiſcum diſputet.

A ἀλλ' ἐπεὶ μεσημβρία πλησίον, καὶ τὰ πρόσφορα τοῖς θεοῖς χρὴ παρασκευάσαι· νῦν μὲν ταῦτ' ἐκπονῶμεν, μετὰ ταῦτα δὲ ὁπόσα βούλει, διαλεγώμεθα· παρατύγχανε δὲ πᾶσι τοῖς δρωμένοις. νὴ Δί', εἶπεν, ἀδικοίην ἂν τὸν Καύκασον, καὶ τὸν Ἰνδὸν, οὓς ὑπερβὰς δι' ὑμᾶς ἥκω, εἰ μὴ πάντων ἐμφοροίμην, ὧν δρᾶτε· ἐμφοροῦ, ἔφη, καὶ ἴωμεν. ἐλ-
B θόντες οὖν ἐπὶ πηγήν τινα ὕδατος, ἥν φησιν ὁ Δάμις ἰδὼν ὕστερον, ἐοικέναι τῇ ἐν Βοιωτοῖς Δίρκῃ. πρῶτα μὲν ἐγυμνώθησαν, εἶτα ἐχρίσαντο τὰς κεφαλὰς ἠλεκτρώδει φαρμάκῳ· τὸ δὲ, οὕτω τι τοὺς Ἰνδοὺς ἔθαλπεν, ὡς ἀτμίζειν τὸ σῶμα, καὶ τὸν ἱδρῶτα χωρεῖν ἀστακτὶ, καὶ καθάπερ τῶν πυρὶ λουομένων. εἶτα ἔρριψαν ἑαυτοὺς ἐς τὸ ὕδωρ. καὶ λουσάμενοι ὧδε, πρὸς τὸ ἱε-
C ρὸν ἐβάδιζον ἐστεφανωμένοι, καὶ μεστοὶ τοῦ ὕμνου. περιστάντες δὲ ἐν χοροῦ σχήματι, καὶ κορυφαῖον ποιησάμενοι τὸν Ἰάρχαν, ὀρθαῖς ταῖς ῥάβδοις τὴν γῆν ἔπληξαν· ἡ δὲ, κυρτωθεῖσα δίκην κύματος, ἀνέπεμψεν αὐτοὺς ἐς δίπηχυ τοῦ ἀέρος. οἱ δὲ, ᾖδον ᾠδὴν, ὁποῖος ὁ παιὰν ὁ τοῦ Σοφοκλέους, ὃν Ἀθήνησι τῷ Ἀσκληπιῷ ᾄδουσιν. ἐπεὶ δὲ ἐς τὴν γῆν κατῆραν, καλέσας
D ὁ Ἰάρχας τὸ μειράκιον τὸ τὴν ἄγκυραν φέρον, ἐπιμελήθητι, ἔφη, τῶν Ἀπολλωνίου ἑταίρων. ὁ δὲ, πολλῷ θᾶττον, ἢ οἱ ταχεῖς τῶν ὀρνίθων πορευθείς τε, καὶ ἐπανήκων, ἐπιμεμέλημαι, ἔφη. θεραπεύσαντες οὖν τὰ πολλὰ τῶν ἱερῶν, ἀνεπαύοντο ἐν τοῖς θάκοις. ὁ δὲ Ἰάρχας πρὸς τὸ μειράκιον, ἐκφέρε, εἶπε, τῷ σοφῷ Ἀπολλωνίῳ τὸν Φραώτου θρόνον, ἵν' ἐπ' αὐτοῦ διαλέγοιτο.

Indorum ſapientes ſcire omnia. Deóſque eſſe, quicunque boni ſint. Hinc de Achille, & Gange Rege longo decem cubitis, & formoſiſsimo: qui poſtea tranſierit in Iarcham. Item quomodo Pythagoras Euphorbum ſe fuiſſe cenſuerit. Déque puero, qui olim Palamedes. CAP. VI.

Ὡς δὲ ἐκάθισεν, ἐρώτα, ἔφη, ὅ, τι βούλει· παρ' ἄνδρας γὰρ ἥκεις πάντα εἰδότας. ἤρετο οὖν ὁ Ἀπολλώνιος, εἰ καὶ αὐτοὺς ἴσασιν, οἰόμενος αὐτὸν, ὥσπερ Ἕλληνες, χαλεπὸν ἡγεῖσθαι τὸ ἑαυτὸν γνῶναι. ὁ δὲ ἐπιστρέψας παρὰ τὴν τοῦ Ἀπολλωνίου δόξαν, ἡμεῖς, ἔφη, πάντα γιγνώσκομεν, ἐπειδὴ πρώτους αὐτοὺς γιγνώσκομεν. οὐ γὰρ προσέλθοι τις ἡμῶν τῇ φιλοσοφίᾳ ταύτῃ, μὴ πρότερον εἰδὼς ἑαυτόν. ὁ δὲ Ἀπολλώνιος ἀναμνησθεὶς ὧν τοῦ Φραώτου ἤκουσε, καὶ ὅπως ὁ φιλοσοφήσειν μέλλων, ἑαυτὸν βασανίσας ἐπιχειρεῖ, τούτῳ ξυνεχώρησε τῷ λόγῳ· τουτὶ γὰρ καὶ περὶ ἑαυτοῦ ἐπέπειστο. πάλιν οὖν ἤρετο τίνας αὐτοὺς ἡγοῖντο. ὁ δὲ, θεούς, εἶπεν. ἐπερομένου δὲ αὐτοῦ διὰ τί, ὅτι, ἔφη, ἀγαθοί ἐσμεν ἄνθρωποι. τοῦτο τῷ Ἀπολλωνίῳ τοσαύτης ἔδοξεν εὐπαιδευσίας εἶναι μεστὸν, ὡς εἰπεῖν αὐτὸ καὶ πρὸς Δομετιανὸν ὕστερον ἐν τοῖς ὑπὲρ ἑαυτοῦ λόγοις. ἀναλαβὼν οὖν τὴν ἐρώτησιν, περὶ ψυχῆς δὲ, εἶπε, πῶς φρονεῖτε; ὥς γε, εἶπε, Πυθαγόρας μὲν ὑμῖν, ὑμεῖς δὲ Αἰγυπτίοις παρεδώκαμεν. εἴποις ἂν οὖν, ἔφη, καθάπερ ὁ Πυθαγόρας Εὔφορβον ἑαυτὸν ἀπέφηνεν, ὅτι καὶ σὺ πρὶν ἐς τουτὶ ἥκειν τὸ σῶμα, Τρώων τις, ἢ Ἀχαιῶν ἦσθα, ἢ ὁ δεῖνα; ὁ δὲ Ἰνδὸς, Τροία μὲν ἀπώλετο, εἶπεν, ὑπὸ τῶν

A QVI poſtquam conſedit, interroga, inquit Iarchas, quodcunque vis: ad viros enim acceſſiſti qui omnia ſciunt. Primùm igitur interrogauit Apollonius, an ſeipſos noſcent, putans eum, vt apud Græcos habetur, difficile exiſtimare ſe ipſum noſcere. Ille verò Apollonij verba in aliam ſententiam detorquens, nos, inquit, omnia nouimus, *quia primos nouimus nos*; nec quiſ-

B quam noſtrorũ ad hanc accedit philoſophiam, niſi antea ſe cognouerit. Recordatus autem Apollonius eorum, quæ à Phraote audierat, & quo pacto quilibet philoſophari volens ſeipſum antea probaret, ea de re ſermonem vlterius facere omiſit, quòd eſſet Phraotis rationibus iam antea perſuaſus. Rurſus igitur Iarcham interrogauit qualem de ſeipſis exiſtimationem haberent. Ille verò opi-

C nari ſe deos eſſe reſpondit. Interroganti verò, quam ob cauſam ita putarent: Quoniam boni viri, inquit, ſumus. Id autem reſponſum tanta eruditione plenum viſum eſt Apollonio, vt Domitiano poſtmodùm illud narraret in ſermonibus,

I quos cum eo habuit. Poſt interrogationem proſecutus, de anima, inquit, quidnam ſentitis? Ad quem Iarchas,

D Id ipſum inquit, quod nobis Pythagoras, nos verò Ægyptiis tradidimus. An igitur, inquit Apollonius, ſicuti Pythagoras, Euphorbum ſe fuiſſe aſſerit, ſic tu antequam in hoc corpus veniſſes Troianorum aliquem, aut Græcorum, aut alium quempiam omnino te fuiſſe cenſes? Tunc Indus, Troia, inquit, ab iis, qui

eo nauigauerunt Achæis deleta eſt: vos autem, qui de ipſa vulgati ſunt ſermones perdidere. Solos enim viros fuiſſe arbitrantes, qui ad Troiam militauerunt, multò plures, ac diuiniores homines negligitis, quos aut veſtra terra, aut Ægyptus, aut hæc ipſa India protulit. Sed quoniam de priore corpore me interrogaſti, dic, quæſo, quemnam virum cæteris præſtantiorem arbitraris eorum, qui aduerſus Troiam, an pro Troia tulerunt arma? Ego, inquit Apollonius, Achillem Pelei & Thetidis filium cenſeo. Is enim tanquam pulcherrimus laudatur ab Homero, & ſuper omnes Achiuos magnus: ipſiúſque facinora plurima decantat. Plurimi etiam fuiſſe dignos prædicant Aiaces duos, & Nireum, qui ſecundi ab Achille pulchri, generoſiq́ue narranrur. Iſtis igitur, Apolloni, ſimilem genitorem meum exiſtima: vel potius genitoris mei corpus. Sic enim & Pythagoras Euphorbum ſe putauit. Fuit itaque quondam tempus, quando hæc loca Æthiopes incoluere, genus Indicum ſane: verùm Æthiopia nondum erat, ſed ad Meroëm & Catadupas finiebatur Ægyptus; cùm etiam ipſa Nili fontes præberet, & ad eiuſdem fluminis oſtia terminaretur. Quandiu igitur hæc loca incoluerunt Æthiopes Gangis Regis ditioni ſubiecti, tunc & abundè terra ipſos alebat, diíque illorum curam habebant. Poſtea verò quàm memoratum regem interfecerunt, nec ab aliis Indis puri, impollutíque ſunt habiti, neque terra vlterius in his locis conſiſtere illos permiſit. Semina enim quæ in ipſam iaciebantur, priuſquam ad frugem peruenirent, corrumpebat. Mulierum quoque

A πλευσάντων Ἀχαιῶν τότε· ὑμᾶς δὲ ἀπολωλέκασιν οἱ ἐπ' αὐτῇ λόγοι. μόνους γὰρ ἄνδρας ἡγούμενοι τοὺς ἐς Τροίαν στρατεύσαντας, ἀμελεῖτε πλειόνων τε, καὶ θειοτέρων ἀνδρῶν, οὓς ἥ τε ὑμετέρα γῆ, καὶ ἡ Αἰγυπτίων, καὶ ἡ Ἰνδῶν ἤνεγκεν. ἐπεὶ τοίνυν ἤρου με περὶ τοῦ προτέρου σώματος, εἰπέ μοι τίνα θαυμασιώτερον ἡγῇ τῶν ἐπὶ Τροίαν τε, καὶ ὑπὲρ Τροίας ἐλθόντων· ἐγὼ, ἔφη, Ἀχιλλέα τὸν Πη-
B λέως τε, καὶ Θέτιδος. οὗτος γὰρ δὴ κάλλιστός τε εἶναι τῷ Ὁμήρῳ ὕμνηται, καὶ παρὰ πάντας τοὺς Ἀχαιοὺς μέγας· ἔργα τε αὐτοῦ μεγάλα οἶδε, καὶ μεγάλων ἀξιοῖ τοὺς Αἴαντάς τε, καὶ Νιρέας, οἳ μετ' ἐκεῖνον καλοί τε αὐτῷ, καὶ γενναῖοι ᾄδονται. πρὸς τοῦτον, ἔφη, Ἀπολλώνιε, καὶ τὸν πρόγονον θεώρει τὸν ἐμὸν, μᾶλλον δὲ τὸ * πρόγονον ἰ. πρότερον
C σῶμα· τουτὶ γὰρ καὶ Πυθαγόρας Εὔφορβον ἡγεῖτο. ἦν τοίνυν, ἔφη, χρόνος, ὅτε Αἰθίοπες μὲν ᾤκουν ἐνταῦθα, γένος Ἰνδικὸν· Αἰθιοπία δὲ οὔπω ἦν, ἀλλ' ὑπὲρ Μερόην τε, καὶ Καταδούποις ὥριστο Αἴγυπτος· αὐτή τε τὰς πηγὰς τοῦ Νείλου παρεχομένη, καὶ ταῖς ἐκβολαῖς ξυναπολήγουσα. ὃν μὲν δὴ χρόνον ᾤκουν ἐνταῦθα
D οἱ Αἰθίοπες ὑποκείμενοι βασιλεῖ Γάγγῃ, ἥ τε γῆ αὐτοὺς ἱκανῶς ἔφερβε, καὶ οἱ θεοὶ σφῶν ἐπεμελοῦντο. ἐπεὶ δὲ ἀπέκτειναν τὸν βασιλέα τοῦτον, οὔτε τοῖς ἄλλοις Ἰνδοῖς καθαροὶ ἔδοξαν· οὔτε ἡ γῆ ξυνεχώρει αὐτοῖς ἵστασθαι. τήν τε γὰρ σπορὰν, ἣν ἐς αὐτὴν ἐποιοῦντο, πρὶν ἐς κάλυκα ἥκειν, ἔφθειρε· τούς τε τῶν γυναικῶν

A τόκοις, ἀτελεῖς ἐποίει, καὶ τὰς ἀγέλας πονηρῶς ἔβοσκε. πόλιν δὲ ὅπου βάλλοιντο, ὑπεδίδου ἡ γῆ, καὶ ὑπεχώρει κάτω. καὶ γάρ τι φάσμα τοῦ Γάγγου περιϊόντας αὐτοὺς ἤλαυνεν, ἐνταραττόμενον τῷ ὁμίλῳ· ὃ οὐ πρότερον ἀνῆκε, πρίν γε δὴ τοὺς αὐθέντας, καὶ τοὺς τὸ αἷμα χωρὶς πράξαντας, τῇ γῇ καθιερώσαμεν. ἦν δὲ ἄρα ὁ Γάγγης οὗτος, δεκάπηχυς μὲν τὸ μῆκος· τὴν δὲ ὥραν, οἷος οὔπω τις ἀνθρώπων, ποταμοῦ δὲ Γάγγου παῖς. τοῦτον δὲ πατέρα τὸν ἑαυτοῦ τὴν Ἰνδικὴν ἐπικλύζοντα, αὐτὸς ἐς τὴν ἐρυθρὰν ἔστρεψε, καὶ διήλλαξεν αὐτὸν τῇ γῇ. ὅθεν ἡ γῆ, ζῶντι μὲν, ἄφθονα ἔφερεν. ἀποθανόντι δὲ, ἐτιμώρει. ἐπεὶ δὲ τὸν Ἀχιλλέα Ὅμηρος ἄγει μὲν ὑπὲρ Ἑλένης ἐς Τροίαν, φησὶ δὲ αὐτὸν δώδεκα μὲν πόλεις ἐκ θαλάττης ᾑρηκέναι, πεζῇ δὲ ἕνδεκα, γυναῖκά τε ὑπὸ τοῦ βασιλέως ἀφαιρεθέντα, ἐς μῆνιν ἀπενεχθῆναι· ὅτε δὴ ἀτεράμονα, καὶ ὠμὸν δόξαι, σκεψώμεθα τὸν Ἰνδὸν πρὸς ταῦτα. πόλεων μὲν τοίνυν ἑξήκοντα οἰκιστὴς ἐγένετο, αἵπερ εἰσὶ δοκιμώταται τῶν τῇδε. τὸ δὲ πορθεῖν πόλεις ὅστις εὐκλεέστερον ἡγεῖται τοῦ ἀνοικίζειν πόλιν, οὐκ ἔστι. Σκύθας δὲ τοὺς ὑπὲρ Καύκασόν ποτε στρατεύσαντας ἐπὶ τὴν δε τὴν γῆν, ἀπώσατο· τὸ δὲ ἐλευθεροῦντα τὴν ἑαυτοῦ γῆν ἄνδρα ἀγαθὸν φαίνεσθαι πολλῷ βέλτιον, τοῦ δουλείαν ἐπάγειν πόλει, καὶ ταῦθ᾽ ὑπὲρ γυναικὸς, ἣν εἰκὸς μηδὲ ἄκουσαν ἀνηρπάσθαι. ξυμμαχίας δὲ αὐτῷ γενομένης πρὸς τὸν

χ. π

A fœtus reddebat imperfectos: quinetiam greges, armentáque inſufficienter alebat. & vbicunque ciuitatem conſtituere tentaſſent, ſubſidebat, cedebátque ædificiis terra. Gangis præterea ſimulachrum quocunque euntes proſequens, turbam omnem exagitabat: neque antea tali moleſtia liberati ſunt, quàm cædis auctores, quíque ſanguinem eius effuderant, terra obrueremus. Erat B verò is Ganges cubitorum decem longitudine: formoſitate autem tali, quali antea nullus homo extitit, erátq. fluminis Gangis filius. Quapropter eius patrem in Indiam quãdoque inundantem, ipſe in rubrum mare conuertens, Indicæ telluri propitium reddidit. Terra igitur viuenti illi abundè quæ opus erant ſuppeditabat, mortuum verò vlta eſt. Quoniam autem Homerus Achil- C lem Helenæ gratia ad Troiam deducit, narrátque illum vrbes maritimas duodecim expugnaſſe, terreſtres autem vndecim, ablatáque ſibi poſtmodum à rege muliere in iram exarſiſſe, vt agreſtis, inhumanúſque videretur, conferamus è contrario, quod de Indo ſentiendum arbitremur. Is primùm ciuitates condidit ſexaginta, quæ inter D omnes regionis huius primæ cenſentur. Eſſe verò neminem arbitror, qui glorioſius eſſe putet ciuitates depopulari, quàm condere. Præterea Scythas, qui Caucaſo ſuperato in hæc loca exercitum adduxerant, ſubmouit: itaque patriæ ſuæ liberatorem & virum bonum ab omnibus iudicari, multò præſtantius eſſe, quàm patriæ ſeruitutem afferre, nullus dubitat, præſertim ſi mulieris gratia id fiat; quam inuitam fuiſſe raptam minimè eſt conſentaneum. At noſter Indus compoſito fœdere cum eo, qui tunc

in his locis regnabat, vbi nunc Phraotes dominatur, cùm ille murem contra ius omne fáſq. ei abſtuliſſet fœdera tamen violare noluit, quòd tam ſanctè, piéque ſe iuraſſe diceret, vt ne iniuriam quidem paſſus, detrimenti quippiam illi vellet afferre. Multa inſuper huius viri geſta referre poſſem, niſi me ipſum laudare velle viderer. Ego enim ille ipſe ſum: hoc autem apertè monſtraui, cùm eſſem adhuc annorum quatuor. Cùm enim Ganges ille adamantinos gladios ſeptem humi obruiſſet, vt regionem nullus vnquam timor inuaderet, poſteríſque temporibus Dij ſacra eo loco fieri iuberent, vbi Ganges gladios obruiſſet, locum tamen vbinam eſſent, non monſtrarent; ego quamuis admodum puer oraculi Antiſtitem ad locum duxi, locúmque effodere iubens depoſitos ibi gladios fuiſſe monſtraui. Nec verò mireris, ſi ex Indo in Indum tranſlatus fuerim. Hic enim (adoleſcentem digito notans annos tantùm viginti) ſupra omnes homines ad philoſophiam idoneus à natura genitus eſt. Corpus namque, vt vides, robuſtiſſimum habet, & facies quandam præ ſe fert ingenuitatem. ſuſtinet quoque viriliter ignem, omnémque corporis ſectionem: attamen talis extans philoſophiam odit. Quiſnam igitur, inquit Apollonius, ô Iarcha, eſt adoleſcentis affectus? Mirabile namque aliquid narras, ſi taliter à natura inſtitutus philoſophiam non colit, atque eius non amat diſciplinam vobiſcum præſertim verſatus. Minimè verò nobiſcum verſatur, inquit, ſed tanquam leo inuitus deprehenſus eſt, inuitúſque detinetur: reſpicit autem nos ipſum demulcentes, atque attrectantes. Is igitur adoleſcens Palamedes fuit, qui

A ἄρχοντα τῆς χώρας, ἧς νῦν Φραώτης ἄρχει, κἀκείνου παρανομώτατά τε, καὶ ἀσελγέστατα, γυναῖκα ἀφῃρημένου αὐτόν, οὐ παρέλυσε τοὺς ὅρκους, οὕτω βεβαίως ὀμωμοκέναι φήσας, ὡς μηδὲ ὁπότε ἠδικεῖτο λυπεῖν αὐτόν. καὶ πλείω διῄειν ἂν τοῦ ἀνδρός, εἰ μὴ ἐς ἔπαινον ὤκνουν ἑαυτοῦ καθίστασθαι. εἰ μὴ γάρ σοι, ἐκεῖνος·
B τουτὶ δὲ ἐδήλωσα, γεγονὼς ἔτη τέτταρα. ἑπτὰ γάρ ποτε ἀδαμάντινα τοῦ Γάγγου τούτου ξίφη ἐς γῆν πήξαντος, ὑπὲρ τοῦ μηδὲν δεῖμα ἐμπελάζειν τῇ χώρᾳ, καὶ τῶν θεῶν θύειν μὲν κελευόντων, ἥκοντας οὗ πέπηγε ταῦτα· τὸ δὲ χωρίον οὐκ ἐξηγουμένων, ἐν ᾧ ἐπέπηγε, παῖς ἐγὼ κομιδῇ τυγχάνων, ἤγαγον τοὺς ἐξηγητὰς ἐπὶ τάφρον, καὶ
C ὀρύττειν προσέταξε, ἐκεῖ φήσας κατατεθεῖσθαι αὐτά. καὶ μήπω θαυμάσῃς τοὐμόν, εἰ ἐξ Ἰνδοῦ ἐς Ἰνδὸν διεδόθην. οὑτοσὶ γάρ, δείξας τι μειράκιον, εἴκοσί που γεγονὼς ἔτη, πέφυκε μὲν πρὸς φιλοσοφίαν ὑπὲρ πάντας ἀνθρώπους· ἔρρωται δὲ ὡς ὁρᾷς, καὶ κατεσκεύασται γενναίως τὸ σῶμα· καρτερεῖ δὲ πῦρ, καὶ τομὴν πᾶσαν· καὶ τοιόσδε ὤν, ἀπεχθά-
D νεται τῇ φιλοσοφίᾳ. τί οὖν, εἶπεν, ὦ Ἰάρχα τὸ μειρακίου πάθος; δεινὸν γὰρ λέγεις, εἰ ξυντεταγμένος οὕτως ὑπὸ τῆς φύσεως, μὴ ἀσπάζεται τὴν φιλοσοφίαν, μὴ δὲ ἐρᾷ τοῦ μανθάνειν· καὶ ταῦτα, ὑμῖν ξυνών. οὐ ξύνεστιν, εἶπεν, ἀλλ' ὥσπερ οἱ λέοντες, ἄκων εἴληπται· καὶ καθεῖρκται μέν, *ἀποβλέπει δέ, ὑμῶν τιθασευόντων αὐτόν, καὶ καταψώντων· γέγονε μὲν οὖν τὸ μειράκιον τοῦτο Παλαμήδης

*γ. ὑποβλ.

ὁ ἐν Τροίᾳ· κέχρηται δὲ ἐναντιωτάτοις, Ὀδυσσεῖ, καὶ Ὁμήρῳ, τῷ μὲν ξυνθέντι ἐπ' αὐτὸν τέχνας, ὑφ' ὧν κατελιθώθη, τῷ δὲ, οὐδὲ ἔπους αὐτὸν ἀξιώσαντι· καὶ ἐπειδὴ μηδὲ ἡ σοφία αὐτόν τι, ἣν εἶχεν, ὤνησε, μήτε Ὁμήρου ἐπαινέτου ἔτυχεν, ὑφ' οὗ πολλοὶ καὶ τῶν μὴ πάνυ σπουδαίων, ἐς ὄνομα ἤχθησαν, Ὀδυσσέως τε ἡττήθη, ἀδικῶν οὐδέν. διαβέβληται πρὸς (B) φιλοσοφίαν, καὶ ὀλοφύρεται τὸ ἑαυτοῦ πάθος. ἔστι δὲ οὗτος Παλαμήδης, ὃς καὶ γράφει μὴ μαθὼν γράμματα.

A ad Troiam quondam profectus eſt. Habet auté inimiciſſimos Vlyſſem, & Homerum, quòd is quidem dolos contra ſe machinatus eſt; ille verò de ſuis laudibus nullum facere verbum dignatus eſt. Et quoniam ſapientia, quam tunc habuit, nihil ei attulit adiumenti, neque Homerum laudatorem ſortitus eſt, à quo multi longè deteriores nomen, & gloriam ingentem ſunt conſecuti, & ab Vlyſſe, cui nihil attulerat B iniuriæ, ſuperatus eſt; calumniatur philoſophiam, & ſuam hanc perturbationem mœſtus conqueritur. Eſt autem is Palamedes, qui literas ſcribit, cùm tamen nunquam literas didicerit.

Apollonium in alio corpore nauis fuiſſe gubernatorem: & quid tunc præclarè geſſerit. Hinc Proteum in Pharo habuiſſe domum. Minoem præterea fingi à poëtis iuſtitiæ adminiſtratorem eſſe apud inferos, licet crudeliſſimus omnium fuerit: contrà, Tantalum, qui humanus vir fuit & pius, ſiti & fame excruciari, lapide etiam ruituro ſupra caput eius appenſo: tum de ſtatua eiuſdem ſimili phialam propinanti, cur ita. CAP. *VII.*

Τοιαῦτα διαλεγομένων, προσελθὼν τῷ Ἰάρχᾳ ἄγγελος, ὁ βασιλεὺς ἔφη, περὶ δείλην πρώτην ἀφίξεται, ξυνεσόμενος ὑμῖν περὶ τῶν ἑαυτοῦ πραγμάτων. ὁ δὲ, ἡκέτω, εἶπε. καὶ γὰρ ἂν καὶ βελτίων ἀπέλθοι, γνοὺς ἄνδρα Ἕλληνα. καὶ εἰπὼν ταῦτα, πάλιν τοῦ προτέρου λόγου εἴχετο. ἤρετο οὖν τὸν Ἀπολλώνιον, σὺ δ' ἂν εἴποις, ἔφη, τὸ (D) πρότερον σῶμα, καὶ ὅστις πρὶν ἢ νῦν ἦσθα; ὁ δ', εἶπεν, ἐπειδὴ ἄδοξον ἦν μοι ἐκεῖνο, ὀλίγα αὐτοῦ μέμνημαι. ὑπολαβὼν οὖν ὁ Ἰάρχας, εἶτα ἄδοξον, ἔφη, ἡγῇ τὸ γενέσθαι κυβερνήτης Αἰγυπτίας νεώς; τουτὶ γάρ σε ὁρῶ γεγονότα. ἀληθῆ μὲν λέγεις, ὦ Ἰάρχα, εἶπε.

C DVM illi talia inter ſe loquerentur, nuntius ad Iarcham venit, inquiens, rex poſtridie luce prima huc veniet, quòd pro maximis ſuis rebus vos alloqui neceſſariò cogatur. Cui Iarchas, Accedat ſanè, melior enim abibit, ſi agnouerit virum Græcum. his dictis inſtitutum antea ſermonem proſequens, his verbis interrogauit Apol- D lonium: Tu, inquiens, de priore corpore, quidnam dicis? num & tu, quis antea fueris, meminiſti? Ille verò, quoniam ignobile illud fuit, pauca de ipſo recordor, inquit. Ad quem Iarchas: an adeò ignobile cenſes Ægyptiæ nauis gubernatorem fuiſſe? talem enim te quondam extitiſſe compertum habeo. Vera, inquit Apollonius, Iarcha narras.

Iſte enim ipſe reuera fui. Puto autem id non ſolum ignobile eſſe, verùm etiam contemnendum, atque deſpiciẽdum. Nam cùm vtique tantæ ſit dignitatis, quantæ ſit aut ciuitatis princeps aut exercitus ductor: attamen ab hominib. maritimis conuitiis, maledictíſque laceratur. Propterea facinus generoſiſſimum omnium, quæ in eo munere geſſi, nullus vnquã laudare dignatus eſt. Quid eſt ergo, inquit Iarchas, quòd te generosè feciſſe dicis? an quòd Maleam Suniúmve ſis præteruectus nimis celeriter delatam nauim cohibens? vel quòd optimè ventos prænoſceres à puppi, ſiue à prora ſurgentes: ſeu quòd nauim *è ſcopuloſis locis* ſubducere ſcires optimè in Caua Eubœa, vbi multa promontoria extant, traxeris? Tunc Apollonius. Quoniam me in ſermonem, inquit, de gubernatoria arte compellis, audi quid mihi tunc rectè feciſſe videor. Piratæ Phœnicum vniuerſum quandoque mare occupauerant, & ciuitates clanculum obibant, inueſtigantes quid quiſque, quóve tempore in naues deferret. Cùm igitur animaduertiſſent nauim meam pluribus, ac pretioſiſſimis mercibus onuſtam eſſe, piratarum hoſpites ſeorſum vocatum interrogarunt, quantum nauli pro mercibus, quas in naui habebã, accepturus eſſem. Quibus ego, mille numos reſpondi me accepturum, quòd quatuor eſſemus gubernatores eius lucri participes. Tunc, eſt ne tibi domus vſpiam interrogarunt? Ego verò tuguriũ, inquam, potius quàm domum in Pharo inſula poſſideo, quam inſulam Proteus quondam incoluit. Illi itaque rurſus interrogarunt, an vellem pro mari terram, & pro tugurio domum poſſidere, naulúmque decuplo maius eo, quòd accepturus eſsẽ, recipere, & innumeris

A τουτὶ γὰρ ἀτεχνῶς ἐγενόμην. ἡγοῦμαι δὲ αὐτὸ οὐκ ἄδοξον μόνον, ἀλλὰ καὶ καταβεβλημένον καὶ τοσοῦτον μὲν ἄξιον τοῖς ἀνθρώποις, ὅσονπερ τὸ ἄρχειν, καὶ τὸ στρατοῦ ἡγεῖσθαι· κακῶς δὲ ἀκοῦον ὑπὸ τῶν καθαπλομένων τῆς θαλάττης· τὸ γοῦν γενναιότατον τῶν ἐμοὶ πραχθέντων, οὐδὲ ἐπαίνου τις ἠξίωσε πώποτε. B τί δὲ δὴ γενναῖον εἰργάσθαι φήσεις, ἢ τὸ παραβεβληκέναι Μαλέαν τε, καὶ Σούνιον, χαλινώσας ἐκφερομένην τὴν ναῦν, καὶ τὸ κατὰ πρύμναν τε, καὶ πρῷραν τῶν ἀνέμων, ὁπόθεν ἐκδοθήσονται, σαφῶς διεγνωκέναι; ἑρμάτων τε ὑπερᾶραι τὸ σκάφος ἐν Εὐβοίᾳ κοίλῃ, οὗπερ πολλὰ τῶν ἀκρωτηρίων ἀναπέπηγεν; ὁ δὲ Ἀπολλώνιος, C ἐπεί με, εἶπεν, ἐς κυβερνητικὸν ἐμβιβάζεις λόγον, ἄκουε ὃ δοκεῖ μοι τότε ὑγιῶς πρᾶξαι. τὴν θάλατταν ποτὲ τῶν Φοινίκων, λῃσταὶ ὑπεκάθηντο, καὶ ἐφοίτων περὶ τὰς πόλεις, ἀναμανθάνοντες τίς τι ἄγοι. κατιδόντες οὖν ἐμπορείαν λαμπρὰν τῆς νεὼς οἱ τῶν λῃστῶν πρόξενοι, διελέγοντό μοι, ἀπολαβόντες με, πόσον τι μεθέξοιμι τοῦ ναύλου. D ἐγὼ δὲ χιλίων, ἔφην, ἐπειδὴ τέτταρες ἐκυβέρνων τὴν ναῦν. οἰκία δὲ ἔφασαν ἔστι σοι; καλύβη πονηρὰ, ἔφη, περὶ τὴν νῆσον τὴν Φάρον, οὗ ποτε ὁ Πρωτεὺς ᾤκει. βούλοιο ἂν οὖν ἤρετό με γενέσθαι σοι γῆν μὲν ἀντὶ θαλάττης, οἰκίαν δὲ ἀντὶ τῆς καλύβης, τὸ δὲ ναῦλον δεκάκις τοῦτο, κακῶν τε ἐξελθεῖν μυρίων, ἃ ἀπὸ τῆς

θαλάττης ἀνοιδούσης ἐγκείμενα τοῖς κυβερνῶσι; βούλεσθαι μὲν, εἶπον, οὐ μὴν ἅρπαγόν γε ἐμαυτὸν ἀξιοῦν, ὁπότε σοφώτερος ἐμαυτοῦ γέγονα, καὶ στεφάνων ἠξίωμαι παρὰ τῆς τέχνης· προσιόντων δὲ αὐτῶν, καὶ βαλάντιά μοι δραχμῶν μυρίων δώσειν φασκόντων, εἰ γενοίμην αὐτοῖς ὃ ἐβούλοντο· λέγειν ἤδη παρεκελευσάμην ὡς μηδὲν ἐλλείψων τοῦ πᾶς ἀνὴρ γενέσθαι σφίσι. λέγουσι δὴ μελεδωνοὶ μὲν εἶναι λῃστῶν, δεῖσθαι δέ μου μὴ ἀφελέσθαι αὐτοὺς τὸ τὴν ναῦν ἑλεῖν, μηδὲ ἐς ἄστυ ἐκπλεῦσαι, ὁπόταν ἐκεῖθεν ἄρωμαι, ἀλλ' ὑφορμίσασθαι τῷ ἀκρωτηρίῳ. τὰς ναῦς γὰρ τὰς λῃστρικὰς ἐν * περιβολῇ ἑστάναι, καὶ ὀμνύναι μοι ἐβούλοντο, μήτ' αὐτόν με ἀποκτενεῖν, καὶ ἄνεσιν δὲ τοῦ θανάτου οἷς ἂν ἐγὼ παραιτῶμαι. ἐγὼ δὲ νουθετεῖν μὲν αὐτοὺς οὐκ ἀσφαλὲς ἐμαυτῷ ἡγούμην, δείσας μὴ ἀπογνόντες ἐμβάλωσι μετεώρῳ τῇ νηῒ, καὶ ἀπολώμεθά που τοῦ πελάγους. ὡς δὲ ὑπουργήσω ἃ ἐβούλοντο, μήτ' αὐτοῦ ἀποκτεῖναι ὀμνύναι, ἔφην, αὐτοὺς δεῖν, ἢ μὴν ἀληθεύσειν ταῦτα. ὀμοσάντων τοίνυν, καὶ γὰρ ἐν ἱερῷ διελέγοντο, χωρεῖτε, ἔφην, ἐπὶ τὰ τῶν λῃστῶν πλοῖα· ἡμεῖς γὰρ νύκτωρ ἀφήσομεν· καὶ πιθανώτερος ἐδόκουν ἔτι, περὶ τοῦ νομίσματος διαλεγόμενος, ὡς δόκιμον ἀπαριθμηθείη μοι, καὶ μὴ πρότερον, ἢ τὴν ναῦν ἕλωσιν. οἱ μὲν δὴ ἐχώρουν· ἐγὼ δὲ ἧκα ἐς τὸ πέλαγος, ὑπεράρας τοῦ ἀκρωτηρίου. ταῦτ' οὖν, εἶπεν ὁ Ἰάρχας,

κ. ὑπερ-βολῇ

A malis, quæ *mare æſtuante*, gubernatorib. imminẽt, liberari? cúmq. ego velle me reſpondiſſem, nec tamen prædonem fieri velle. quòd multùm iam arte gubernatoria profeciſſem, magnámque in ea laudem eſſem conſecutus. Illi ſermonem vlterius protrahentes, decem millium drachmarum ſacculos mihi ſe daturos polliciti ſunt, ſi eis in eo quod popoſciſſent, fuiſſem obſecutus. Tunc ego B omnia me præſtiturum reſpondi, quæ alius quiſpiam præſtaret, nec quicquam eſſe prætermiſſurũ. Tunc illi piratarum curatores ſe profeſſi ſunt, petere autem à me, ne capiendæ nauis facultatem illis adimerem, néve in vrbem regrederer, vbi ex eo loco nauigare cœpiſſem: ſed iuxta promontorium nauem agerem. Piraticas enim naues poſt promontorium in ſinu quodam expectaturas eſſe, iuramentóq. ſe obſtringere volebant C non eſſe me interfecturos, & quoſcunque etiam voluiſſem ſeruaturos incolumes. Ego verò illis aduerſari nequaquam tutum arbitratus ſum, timens, ne me abreptum ad naues in mare demergerent. Vbi igitur quæcunque voluerant, ſum pollicitus, oportere eos dixi iuramento firmare, nec me interfecturos eſſe, & quæ polliciti eſſent effecturos. Quod poſtquam illi ſine D mora iurarunt, in templo colloquebantur. Abite, inquam, ad veſtras naues, nos enim noctu ſoluemus, atque vt maiorem fidem verba noſtra facerent, de pecuniis mentionem intuli, rogans vt mihi probos, & non adulterinos numos darent: non tamen antea, quàm nauem cepiſſent: & illi quidem abierunt. Ego autem in altum pelagus nauem deducens promontorium ſuperaui. Hæccine igitur, inquit Iarchas,

iuſtitiæ opera eſſe cenſes Apolloni? Cenſeo, inquit Apollonius, & non ſolùm iuſtitię, verumetiã humanitatis. non perdere enim hominum vitam, & mercatorum facultates non diſpergere, pecuniarúmq; cupiditatem vincere, præſertim cùm eſſem nauta, multas mihi virtutes complecti videtur. Ad hæc ſubridens Indus: Videris, inquit, exiſtimare iuſtitiæ quandam ſpeciem eſſe iniuriam non referre: quod & omnes Græcos exiſtimare video. Vt enim ex Ægyptio quodam, qui huc acceſſit, audiui, veniunt ad vos Romani magiſtratus, nudam erectámque ſecurim ſuper vos ferentes, etſi nondum nouerint, [boníſne], an malis vobis imperent. vos autem niſi hi cauſarũ iudicia vendiderint, iuſtos illos eſſe prædicatis: perinde ac ſeruorum caupones ibidem facere accepi: qui ex Caria ſeruos captiuos adducentes, cùm eorum mores vobis enarrant, inter primas laudes enumerare ſolent, non eſſe eos fugaces. Magiſtratus igitur, quibus ſubeſtis, tali genere laudis exornatos eſſe, quo etiam ſerui laudantur, admirandos iudicio veſtro dimittitis. Verùm qui apud vos ſapientiſſimi habentur poëtæ, ne ſi velletis quidem, iuſtos, bonóſque vos eſſe permittunt. Minoi namque, qui cunctos homines crudelitate ſuperauit, quíque nauibus vrbes plurimas, partim in inſulis, partim ſecus mare poſitas in ſeruitutem redegit, iuſtitiæ palmam tribuentes, apud inferos iura animabus eum reddere perhibent. Tantalum verò, qui benignus fuit, ac perhumanus, quíque conceſſa ſibi à Diis immortalitate amicos impertiuit, cibo, potúque prohibent.

A Ἀπολλώνιε, δικαιοσύνης ἡγῇ ἔργα; καὶ πρός γε, ἔφην, φιλανθρωπίας. τὸ γὰρ μὴ ἀποδόσθαι ψυχὰς ἀνθρώπων, μηδ' ἀπεμπολῆσαι τὰ τῶν ἐμπόρων, χρημάτων τε κρείττω γενέσθαι, ναύτην ὄντα, πολλὰς ἀρετὰς οἶμαι ξυνειληφέναι. γελάσας οὖν ὁ Ἰνδὸς, ἔοικας, ἔφη, τὸ μὴ ἀδικεῖν, δικαιοσύνην ἡγεῖσθαι. τουτὶ δὲ οἶμαι καὶ πάντας Ἕλλη-B νας. ὡς γὰρ ἐγώ ποτε Αἰγυπτίων δεῦρο ἀφικομένων ἤκουσα, φοιτῶσι μὲν ὑμῖν ἀπὸ τῆς Ῥώμης ἡγεμόνες, γυμνὸν ἠρμένοι τὸν πέλεκυν ἐφ' ὑμᾶς, οὔπω γιγνώσκοντες εἰ φαύλων ἄρξοιεν. ὑμεῖς δὲ, εἰ μὴ πωλοῖεν τὰς δίκας οὗτοι, φατὲ αὐτοὺς δικαίους εἶναι. τουτὶ δὲ καὶ τοὺς τῶν ἀνδραπόδων καπήλους C ἀκούω ἐκεῖ πράττειν· εἰ γὰρ ἀφίκοιντο κατάγοντες ὑμῖν ἀνδράποδα Καρικὰ, καὶ τὸ ἦθος αὐτῶν ἑρμηνεύοιεν ὑμῖν, ἔπαινον ποιοῦνται τῶν ἀνδραπόδων τὸ μὴ κλέπτειν αὐτά. τοὺς μὲν δὴ ἄρχοντας, οἷς ὑποκεῖσθαί φατε, τούτων ἀξιοῦτε, καὶ λαμπρύνοντας αὐτοὺς ἐπαίνοις, οἷσπερ τὰ ἀνδράποδα, ζηλωτοὺς πέμπετε, ὡς οἴεσθε. οἱ δέ γε D σοφώτατοι ποιηταὶ ὑμῶν, οὐδ' εἰ βούλεσθε δίκαιοί τε, καὶ χρηστοὶ εἶναι, ξυγχωροῦσιν ὑμῖν γενέσθαι. τὸν γὰρ Μίνω τὸν ὠμότητι ὑπερβαλόμενον πάντας, καὶ δουλωσάμενον ταῖς ναυσὶ τοὺς ἐπὶ θαλάττῃ τε καὶ ἐν θαλάττῃ, δικαιοσύνης σκήπτρῳ τιμῶντες, ἐν ᾅδου καθίζουσι διαιτᾶν ταῖς ψυχαῖς. τὸν δ' αὖ Τάνταλον, ἐπειδὴ χρηστός τε ἦν, καὶ τοῖς φίλοις τοῖς ὑπάρχουσιν αὐτῷ, παρὰ τῶν θεῶν ἀθανασίας μετεδίδου, ποτοῦ τε εἴργουσι, καὶ σίτου·

εἰσὶ δ', οἳ λίθους αὐτῷ ἐπικρεμάσαντες, δεινὰ ἐφυβρίζουσι, θείῳ τε, καὶ ἀγαθῷ ἀνδρί, οἷς ἐβουλόμην ἂν μᾶλλον λίμνην αὐτῷ περιβλύσαι νέκταρος· ἐπειδὴ φιλανθρώπως αὐτοῦ, καὶ ἀφθόνως προὔπινε· καὶ ἅμα λέγων ταῦτα, ἐπεδείκνυ ἄγαλμα ἐν ἀριστερᾷ, ᾧ ἐπεγέγραπτο Τάνταλος. τὸ μὲν δὴ ἄγαλμα, τετράπηχυ ἦν. ἀνδρὶ δὲ ἐῴκει πεντηκοντούτῃ, καὶ τρόπον Ἀργολικὸν ἐστάλτο. περιῆπτο δὲ τὴν χλαμύδα, ὥσπερ οἱ Θετταλοί· φιάλην τε προὔπινεν, ἀποχρῶσαν ἑνὶ διψῶντι. ἐν ᾗ στάλαγμα ἐκάχλαζεν ἀκηράτου πώματος, οὐχ ὑπερβλύζον τῆς φιάλης. ὅ,τι μὲν οὖν ἡγοῦνται αὐτό, καὶ ἐφ' ὅτῳ ἀπ' αὐτοῦ πίνουσι, δηλώσω αὐτίκα. πλὴν ἀλλὰ ἡγεῖσθαι χρὴ τὸν Τάνταλον μὴ τῇ γλώττῃ ὑφέντα, κοινωνήσαντα δὲ ἀνθρώποις τοῦ νέκταρος, ὑπὸ τῶν ποιητῶν ἐλαύνεσθαι, θεοῖς δὲ μὴ διαβεβλῆσθαι αὐτόν. οὐ γὰρ ἄν, εἰ θεοῖς ἀπήχθετο, κριθῆναί ποτε ὑπὸ τῶν Ἰνδῶν ἀγαθόν, θεοφιλεστάτων ὄντων, καὶ μηδὲν ἔξω τοῦ θείου πραττόντων.

Sunt & qui caſurum lapidem ſupra caput eius appendentes inſigni iniuria bonum ac diuinum virum afficiant, quem mallem nectaris lacu dicerent circumfuſum: quandoquidem perhumanè, ac omni inuidia ſemota hominibus illud propinauit. His dictis, ſtatuam ad ſiniſtram oſtendit, Tantali ſubſcriptione notatam. Erat verò ſtatua cubitorum quatuor, ætatem denotans annorum quinquaginta, & Argolico more ornata; chlamyde verò demiſſa ſicut Theſſali. Eſt autem ſtatua ſimilis propinanti phialam, quæ plena ſitienti cuipiam abundè potum ſufficeret: in quam humor diſtillat incorruptibilis potionis, quæ phialam menſura nunquam excedit. Quid autem hoc ſignificet, & quinam ſint, qui ex poculo bibant, paulò pòſt adaperiam. Exiſtimare enim opus Tantalum dicendi facultate non caruiſſe, cúmque ipſam hominibus communicaret, increpitum à Poëtis fuiſſe, quòd nectar hominibus bibendum dediſſet. Verùm ob hoc à Diis increpitus non eſt, neque calumniam ab eiſdem paſſus. ſi enim Diis inimicus habitus eſſet, nunquam ab Indis qui Deorum amiciſſimi ſunt, quíque nihil abſque diuino numine faciunt, vir bonus habitus eſſet.

Medorum regem ad ſapientes profectum conſilij gratia: Hinc inuitato eo ad cœnam, tripodas, ac fercula per ſe ſuo tempore acceßiſſe ad diſcumbentes, & alia id genus viſa. CAP. *VIII.*

Διατρίβοντας δὲ αὐτοὺς περὶ τὸν λόγον τοῦτον, θόρυβος ἐκ τῆς κώμης προσέβαλεν. ἀφῖκτο δ' ἄρα ὁ βασιλεὺς μηδικώτερος κατεσκευασμένος, καὶ ὄγκου μεστός. ἀχθεσθεὶς οὖν

HÆC inter ſe loquentes, tumultus ex vico ſublatus illos turbauit. Aduenerat autem rex Medorum more ornatus, & elatione, tumoreq. plenus. Perturbatus igitur

Iarchas,

Iarchas, Si Phraotes, inquit, huc A venisset, tacita omnia, ſicut in myſteriis, cerneres. Quibus verbis intellexit Apollonius, hunc regem non parua quadam particula, ſed tota philoſophia à Phraote ſuperari, & cùm ſapientes omnes ſegnes animaduerteret, ac nihil eorum præparantes, quæ regi vtique opus putaret. Illo circa meridiem adueniente, interrogauit vbi nam rex manſurus eſſet, illi autem hoc ipſo in loco, reſponderunt. De iis e- B nim quorum cauſa ad nos venit, noctu diſputabamus. Id enim tempus ad capienda conſilia eſt accommodatius. Tunc rurſus Apollonius, Qualis, inquit, aduenienti menſa parabitur? Pinguis, per Iouem, inquit Iarchas, & omnia continens, quæ apud nos ſunt. Pinguiter igitur viuitis, ait Apollonius? imò verò tenuiter, inquit Iarchas, & quanquam multis nobis veſci liceat, paucis tamen contenti ſumus: regi autem C pluribus eſt opus. Sic enim expetit. nullis autem veſcitur animalibus: neque enim talia hoc loco fas eſt comedere. Olera verò, & herbarum radices, & fruges, quaſcunque India fert, fructus inſuper quicunque conditi ſeruantur, ei dabuntur. Sed eccum (veniebat autem vnà cum fratre ac filio, gemmis, auróque fulgens) venientíque aſſurgere volentem Apollonium Iarchas in ſede continuit, ex D more patrio non licere id fieri dicens. His autem ſe non interfuiſſe ſcribit Damis, quòd ea die in propinquo vico permanſerit: verùm audita ex Apollonio literis ſe mandaſſe refert. Sedentibus igitur illis rex accedens ſupplicabundus ad ſapientes tendebat manus: illi verò capite annuentes, ea quæ peteret ſe facturos promiſerunt: *rex autem adeo gauiſus eſt reſponſo, ac ſi ad Dei oraculum adueniſſet.* Regis

ὁ Ἰάρχας, εἰ δὲ Φραώτης, ἔφη, καταλύων ἐτύγχανεν, εἶδες ἂν ὥσπερ ἐν μυστηρίῳ, σιωπῆς μεστὰ πάντα. ἐκ τούτου μὲν δὴ ξυνῆκεν ὁ Ἀπολλώνιος, ὡς βασιλεὺς ἐκεῖνος οὐκ ὀλίγῳ μέρει, φιλοσοφίᾳ δὲ πάσῃ τοῦ Φραώτου λείποιτο· ῥαθύμους δὲ ἰδὼν τοὺς σοφοὺς, καὶ μηδὲν παρασκευάζοντας, ὧν δεῖ τῷ βασιλεῖ, μετὰ μεσημβρίαν ἥκοντι, ποῖ, ἔφη, ὁ βασιλεὺς διαιτήσεται; ἐνταῦθα ἔφασαν. ὧν γὰρ ἕνεκεν ἥκει, νύκτωρ διελεγόμεθα· ἐπειδὴ καὶ βουλῶν ὁ καιρὸς πρὸς βουλάς. καὶ τράπεζα, ἔφη, παρακείσεται ἥκοντι; νὴ Δί', εἶπε, παχεῖά τε, καὶ πάντα ἔχουσα, ὁπόσα ἐνταῦθα. παχέως οὖν, ἔφη, διαιτᾶσθε; ἡμεῖς μὲν ἔφασαν, λεπτῶς. πλείονα γὰρ ἡμῖν ἐξὸν σιτίζεσθαι, μικροῖς χαίρομεν. τῷ δὲ βασιλεῖ πολλῶν δεῖ. βούλεται γάρ. σιτήσεται δὲ ἔμψυχον μὲν οὐδέν· οὐ γὰρ θέμις ἐνταῦθα. τραγήματα δὲ, καὶ ῥίζας, καὶ ὡραῖα, ὁπόσα νῦν ἡ Ἰνδικὴ ἔχει, ὁπόσα τε αἱ ἐς νέωτα ὧραι δώσουσιν. ἀλλ' ἰδοὺ, ἔφη, αὐτός. προῄει δὲ ἄρα ὁ βασιλεὺς ἀδελφῷ τε, καὶ υἱῷ ἅμα, χρυσῷ τε ἀστράπτων, καὶ ψήφοις. ὑπανισταμένου δὲ τοῦ Ἀπολλωνίου, κατεῖχεν αὐτὸν ὁ Ἰάρχας ἐν τῷ θρόνῳ· μὴ δὲ γὰρ αὐτοῖς πάτριον εἶναι τοῦτο. τούτοις ὁ Δάμις αὐτὸς μὲν οὐ φησι παρατυχεῖν, διὰ τὸ τὴν ἡμέραν ἐκείνην ἐν τῇ κώμῃ διαιτᾶσθαι. Ἀπολλωνίου δὲ ἀκηκοὼς, ἔγραψεν αὐτὰ ἐς τὸν αὑτοῦ λόγον. φησὶ τοίνυν καθημένοις μὲν αὐτοῖς, τὸν βασιλέα προτείνοντα τὴν χεῖρα, οἷον εὔχεσθαι τοῖς ἀνδράσι. τοὺς δὲ, ἐπινεύειν, ὥσπερ ξυντιθεμένοις, οἷς ᾔτει. τὸν δὲ, ὑπερήδεσθαι τῇ ἐπινεύσει, καθάπερ ἐς θεοῦ ἥκοντα. τοῦ δὲ

A ἀδελφὸν τοῦ βασιλέως, καὶ τὸν υἱὸν, κάλλιστον μειράκιον ὄντα, μηδὲν ὁρᾶσθαι βέλτιον, ἢ εἰ ἀνδράποδα τουτωνὶ τῶν ἀκολουθούντων ἦσαν. μετὰ ταῦτα ἐξαναστῆναι τὸν Ἰνδὸν, καὶ φωνὴν ἰσχῦσα, κελεῦσαι αὐτὸν σίτου ἅπτεσθαι. προσδεξαμένου δ' αὐτοῦ καὶ τοῦτο μάλιστα ἀσμένως, τρίποδες μὲν ἐξεπορεύθησαν πυθικοὶ τέτταρες αὐτόματοι, καθάπερ οἱ Ομήρειοι προϊόντες. B οἰνοχόοι δ' ὑπ' αὐτοῖς χαλκοῦ μέλανος, οἷοι παρ' Ἕλλησιν οἱ Γανυμήδεις τε, καὶ οἱ Πέλοπες. ἡ γῆ δὲ ὑπεστόρνυ πόας μαλακωτέρας, ἢ αἱ εὐναί. τραγήματα δὲ, καὶ ἄρτοι, καὶ λάχανα, καὶ τρωκτὰ ὡραῖα, πάντα ἐν κόσμῳ ἐφοίτα, διακείμενα ἥδιον, ἢ εἰ ὀψοποιοὶ αὐτὰ παρεσκεύαζον. τῶν δὲ τριπόδων, οἱ μὲν δύο, οἴνου ἐπέρρεον· C τοῖν δυοῖν δ' ὁ μὲν, ὕδατος θερμοῦ κρήνην παρεῖχεν· ὁ δὲ, αὖ ψυχροῦ. αἱ δ' ἐξ Ἰνδῶν φοιτῶσαι λίθοι, παρ' Ἕλλησι μὲν ἐς ὅρμους τε, καὶ δακτυλίους ἐμβιβάζονται διὰ σμικρότητα. παρὰ δὲ Ἰνδοῖς, οἰνοχόαι τε, ψυκτῆρές τε γίγνονται διὰ μέγεθος, καὶ κρατῆρες, ἡλίκοι ἐμπλῆσαι τέτταρας, ὥρᾳ ἔτους διψῶντας. τοὺς δὲ οἰνοχόους τοὺς χαλκοῦς, κεράσασθαι μὲν φησὶ ξυμμέτρως τοῦ τε οἴνου, καὶ τοῦ ὕδατος, D περιελαύνειν δὲ τὰς κύλικας, ὥσπερ ἐν τοῖς πότοις. κατακεῖσθαι δὲ αὐτοὺς ὡς ἐν ξυσσιτίῳ μὲν, οὐ μὴν πρόκριτόν γε τὸν βασιλέα. τοῦτο δὴ τὸ παρ' Ἕλλησί τε, καὶ Ῥωμαίοις πολλοῦ ἄξιον· ἀλλ' ὡς ἔτυχέ γε, οὗ ἕκαστος ὥρμησεν. ἐπεὶ δὲ περιῄει ὁ πότος, προπίνω σοι ὁ Ἰάρχας, εἶπεν, ὦ βασιλεῦ, ἄνδρα Ἕλληνα, τὸν Ἀπολλώνιον ὑποκεκλιμένον αὐτῷ δείξας, καὶ τῇ χειρὶ προσημαίνων

verò fratrem, & adoleſcẽtem filium, forma præſtantem, non aliter quàm ſeruorum quempiam, qui eos ſequebantur aſpexere. Poſt hæc exurgens Indus, regem, vt ſecum comederet, inuitauit: cui poſtquam aſſenſus eſt rex, ídque libenter ſe facturum eſſe pollicitus eſt, Tripodes Pythici quatuor ſponte ſua in medium proceſſere, ſicut etiam ab Homero narratur. Pincernæ verò ſub ipſis ex ære nigro fabricati ſtabant, quales apud Græcos Ganymedes, & Pelopes habentur. Terra autem herbis ſubſtrata erat, longè etiam mollioribus, quàm noſtri ſint lecti: fructus autẽ, & panes, & olera *& eſculenta tempeſtiua* accedebant, ſuauius multò præparata, quàm ſi eadem coqui condiuiſſent. Tripodum autem duo quidem vinum fundebant: reliquorum vero alter aquæ calidæ fontem, alter vero frigidæ miniſtrabat. Qui ab Indis deferuntur lapides, apud Græcos quidem ob paruitatem monilibus, aut annulis inſeruntur, apud Indos autem pocula, & refrigeratoria vaſa ex illis fiunt. Crateres etiam capacitatis tantæ, vt viris quatuor æſtate ſitientibus potum abundè ſuppeditent. Ænei autem pincernæ menſuratè vinum, & aquam miſcent, & cyathos proferunt, ſicut in potationibus fieri conſueuit. Diſcubuerunt autem velut in cœnaculo, nullum tamen regi præcipuum locum aſſignantes, quod apud Græcos Romanóſque maximi exiſtimatur: ſed vt cuique in mentem venit, accubuere. Diutius autem iam peracto conuiuio, conuerſus ad regẽ Iarchas. Ego tibi, inquit, in conuiuio iſto propino virum Græcum (manu denotans Apollonium, qui penes regẽ accubabat) fidémq. facio

hunc eſſe virum generoſum, ac diuinum. Ad ea rex, Audiui, inquit, hunc, atque eius comites, qui in proximo vico morantur, ad Phraotem veniſſe. Rectè, inquit Iarchas, verèque audiſti: ipſe enim hic etiam illum hoſpitatur. Tunc rex, cur illi tantopere affectus eſt Phraotes? Tunc Iarchas, Quid aliud cenſes, inquit, quàm eius rei cauſa, qua ipſe præcipuè gaudet? Nihil ergò, inquit rex, aliud ſuis ſtudiis hic hoſpes effecit, quàm vt illũ generoſum, ſtrenuúmq; eſſe nõ ſineret. Ad hæc Iarchas, Modeſtius, inquit, ô rex, de philoſophia, déq; Phraote ſentiendum eſt: quoad enim adoleſcentior fuiſti, talia dicere, ſentiréque adoleſcentia permittebat: ſed cùm ad virilem iam perueneris ætatẽ, tam inſanis, ignominioſiſq́; verbis parcendum eſt. Apollonius autem Iarcha interprete talia intelligẽs, Quid, inquit, tibi attulit nũquam eſſe philoſophatum? Mihi quidem, inquit rex, virtutes omnes, maximè verò, vt cum Sole *vnus & idem* ſim. Apollonius verò ob tam inſanam ſuperbiam os manu comprimens, Si philoſophiæ, inquit, operam dediſſes, nunquam talia diceres, aut ſentires. tum rex: Tu verò, optimè vir, quoniam philoſopharis, quid de te ipſo exiſtimas? inquit. cui Apollonius, Vir bonus eſſe non mihi viderer, niſi philoſophiæ rectè operam darem. Rex igitur manus ad ſidera tendens, Per Solem, inquit, Phraotæ plenus huc aduenisti. Apollonius autem ab interprete quidnam dixiſſet rex, percontatus, Non fruſtra, inquit, ſum peregrinatus, ſiquidem Phraotæ plenus euaſi: ſed ſi illũ tu nunc offenderes, mei illum plenũ diceres. Quin & de me ſcribere ad te aliquid voluit: ſed quoniã te virum bonũ eſſe dicebat, onus epiſtolæ reſpui, quoniã neq; ad ipſum de me ſcripſerat quiſquã.

A ὅτι γενναῖός τε εἴη, καὶ θεῖος. ὁ δὲ βασιλεύς, ἤκουσα, ἔφη, προσήκειν Φραώτῃ τοῦτόν τε, καὶ τοὺς ἐν τῇ κώμῃ καταλύοντας. ὀρθῶς, ἔφη, καὶ ἀληθῶς ἤκουσας. ἐκεῖνος γὰρ κἀνταῦθα ξενίζει αὐτόν. τί, ἔφη, ἐπιτηδεύοντα; τί δ᾽ ἄλλο γε, εἶπεν, ἢ ἅπερ ἐκεῖνος; οὐδέν, ἔφη, ξένον εἴρηκας, ἀσπαζόμενον ἐπιτήδευσιν, ἣ μηδὲ ἐκείνῳ ξυνεχώρησε γενναίῳ γενέσθαι. ὁ μὲν δὴ Ἰάρχας, σω- B φρονέστερον, ἔφη, ὦ βασιλεῦ, περὶ φιλοσοφίας τε, καὶ Φραώτου γίγνωσκε. τὸν μὲν γὰρ χρόνον, ὃν μειράκιον ἦσθα, ξυνεχώρει σοι ἡ νεότης τὰ τοιαῦτα. ἐπεὶ δὲ ἐς ἄνδρας ἐξαλλάττεις ἤδη, φειδώμεθα τῶν ἀνοήτων τε, καὶ εὐκόλων. ὁ δὲ Ἀπολλώνιος, ἑρμηνεύοντος τοῦ Ἰάρχα, σοὶ δὲ τί, ἔφη, ὦ βασιλεῦ, τὸ μὴ C φιλοσοφῆσαι, δέδωκεν; ἐμοὶ δέ, ἀρετὴν πᾶσαν, καὶ τὸ εἶναί με τὸν αὐτὸν τῷ ἡλίῳ. ὁ δέ, ἐπιστομίζων αὐτοῦ τὸν τῦφον, *εἰ ἐφιλοσόφεις, εἶπεν, οὐκ ἂν ταῦτα ᾤου. σὺ δὲ ἐπειδὴ φιλοσοφεῖς, βέλτιστε, τί περὶ σαυτοῦ οἴει; τό γε ἀνήρ, ἔφη, ἀγαθὸς δοκεῖν, εἰ φιλοσοφοίην. ἀνατείνας οὖν τὴν χεῖρα ἐς τὸν οὐρανόν, νὴ τὸν ἥλιον, ἔφη, Φραώτου D μεστὸν ἥκεις. ὁ δέ, ἕρμαιόν γε ἐποιήσατο τὸν λόγον. καὶ ὑπολαβών, οὐ μάτην ἀποδεδήμηταί μοι, εἶπεν, εἰ Φραώτου μεστὸς γέγονα. εἰ δὲ κἀκείνῳ νῦν ἐντύχοις, πάνυ φήσεις αὐτὸν ἐμοῦ μεστὸν εἶναι. καὶ γράφειν δὲ ὑπὲρ ἐμοῦ πρός σε ἐβούλετο. ἀλλ᾽ ἐπειδὴ ἔφασκεν ἄνδρα ἀγαθὸν εἶναί σε, παρῃτησάμην *τὸν ὄχλον τῆς ἐπιστολῆς, ἐπεὶ μὴ δὲ ἐκείνῳ τις ὑπὲρ ἐμοῦ ἐπέστειλεν.

γ. ἐς φιλοσοφίαν,

γ. παρῃτησάμην τ.

Sapientes, cùm ad eos ſe contulit Apollonius, duodeuiginti fuiſſe. Deinde qualia ſint, quæ non virtute, ſed ſorte eligantur. Item Medorum regi illius ætatis, viginti millia ſeruorum domi nata extitiſſe. Tum de Xerxe, & fuga eius ex Græcia.

Cap. IX.

A Ἡ μὲν δὴ περὶ τὸ ποτὸν παροινία τοῦ βασιλέως, ἐνταῦθα ἔληξεν· ἀκούσας γὰρ ἐπαινεθέντα αὐτὸν ὑπὸ τοῦ Φραώτου, τῆς τε ὑποψίας ἐπελάθετο· καὶ ὑφεὶς τοῦ τόνου, χαῖρε, ἔφη, ἀγαθὲ ξένε. ὁ δὲ Ἀπολλώνιος, καὶ σὺ βασιλεῦ, εἶπεν. ἔοικας γὰρ νῦν ἥκοντι. τίς σε, ἔφη, πρὸς ἡμᾶς ἦγεν; οὗτοι, εἶπεν, οἱ θεοί τε, καὶ σοφοὶ ἄνδρες. περὶ ἐμοῦ δὲ, ἔφη, ὦ ξένε, B τίς λόγος ἐν τοῖς Ἕλλησιν; ὅσος γε, εἶπε, καὶ περὶ Ἑλλήνων λόγος ἐνταῦθα. οὐδὲν, ἔφη, τῶν παρ' Ἕλλησιν ἔγωγε λόγου ἀξιῶ. ἀπαγγελῶ ταῦτα, εἶπε, καὶ στεφανώσουσί σε ἐν Ὀλυμπίᾳ. καὶ προσκλιθεὶς τῷ Ἰάρχᾳ, τοῦτον μὲν, ἔφη, μεθύειν ἔα, σὺ δέ μοι εἰπὲ τοῦ χάριν τοὺς περὶ αὐτὸν τούτους, ἀδελφὸν, ὥς φατε, καὶ υἱὸν ὄντας, οὐκ ἀξιοῦτε κοινῆς τραπέ- C ζης, οὐδὲ ἄλλης τιμῆς οὐδεμιᾶς. ὅτι, ἔφη, βασιλεύσειν ποτὲ ἡγοῦνται. δεῖ δὲ αὐτοὺς ὑπερορωμένους, παιδεύεσθαι τὸ μὴ ὑπερορᾶν. ὀκτωκαίδεκα δὲ ὁρῶν τοὺς σοφοὺς, πάλιν τὸν Ἰάρχαν ἤρετο, τί βούλοιτο αὐτοῖς τὸ εἶναι τοσούτοις. οὔτε γὰρ τῶν τετραγώνων ὁ ἀριθμὸς οὔτε τῶν D εὐδοκιμούντων τε, καὶ τιμωμένων, καθάπερ ὁ τῶν δέκα, καὶ ὁ τῶν δώδεκα, καὶ ὁ ἑκκαίδεκα, καὶ ὁπόσοι τοιοίδε. ὑπολαβὼν οὖν ὁ Ἰνδὸς, οὔτε ἡμεῖς, ἔφη, ἀριθμῷ δουλεύομεν, οὔτε ἀριθμὸς ἡμῖν, ἀλλ' ἀπὸ σοφίας τε, καὶ ἀρετῆς προτιμώμεθα· καὶ ὁτὲ μὲν, πλείους τῶν νῦν ὄντων ἐσμὲν,

ET prima quidem regis debacchatio hactenus proceſſit. Cùm enim audiſſet ſe à Phraote laudari ſuſpicionis oblitus, & vocis tono demiſſo, Salue, inquit, hoſpes optime. cui Apollonius, Et tu, inquit, rex ſalue: nunc enim videris aduenire. Tum rex, Quis te, inquit, huc deduxit? Dij, inquit Apollonius, & ſapientes iſti viri. De me verò, inquit rex, quiſnã apud Græcos eſt ſermo? Idem, inquit Apollonius, qui apud vos de Græcis habetur. *Atqui nihil,* inquit rex, eorum quæ apud Græcos *ſunt, mentione dignum duco.* At ego, inquit Apollonius, de te nuntium feram, vt in Olympiis te coronent. Inde ad Iarcham conuerſus, Hunc, inquit, ebrium furere ſinamus. Tu verò dicas velim, cur eius comites fratrem, ac filium (vt dicitis) nec eadem accepiſtis menſa, nec aliquo penitus affeciſtis honore? Quoniam, inquit Iarchas, regnaturos eos quandoque putamus. Oportet enim ita negligendo monere, ne nimis ſuperbiant. Videns rurſus Apollonius ſapientes decẽ & octo tantùm numero eſſe, iterum interrogauit, quid is ſibi vellet numerus: neque enim numerum hunc quadratum eſſe, nec ex iis, qui magno honore habentur, ſicut decem, duodecim, ſexdecim, & alij huiuſmodi. Ad hæc reſpondens Indus, Neque nos, inquit, numeris ſeruimus: nec nobis numeri: ſed ſapientia, ac virtute æſtimamur: & aliquando plures quàm nunc,

quandoque etiam pauciores ſumus. Accepi namque auum meum, ſeptem ſupra octoginta ſapientes hoc loco congregaſſe, cùm eſſet ipſe omnibus iunior. Vnde cùm annos centum & triginta vixiſſet, ſolus hoc ipſo in loco remanſit, quòd de comitibus nullus ſupereſſet, nec in tota India eſſet quiſpiam, qui philoſophiam, & viuendi generoſum morem natura appeteret. Cúmque Ægyptiorum quidam feliciſſimum eſſe ſcriberent, quòd ſolus huic throno præfuiſſet annos quatuor, *hortatus eſt vt deſinerent Indis ſapientum* paucitatem improperare. Nos verò, Apolloni, qui Ægyptiorum in ſacerdotibus eligendis conſuetudinem audiuimus, & Græcorum etiam iudices quos decem ludis Olympicis præficitis, nequaquam laudamus, nec legem, quæ in eligendis illis viris ſeruatur. Sorti namque electionem committunt, quæ prudentiæ nihil habet, ita vt poſſit etiam peſſimus quiſpiam ſorte eligi. Quòd ſi ex optimatibus, aut per ſuffragia talium virorum fiat electio, nequaquam ſimilis incidere error poteſt: denarius enim numerus, quem prætergredi, aut non implere non licet: ſi plures fuerint viri boni, talis honoris participes fieri non ſinit: rurſus quoque ſi iuſti decem non fuerint, nullus tamen ſortietur honorem. Rectius igitur in hoc faciunt Solis ſacerdotes, numero quidem aliquando diuerſi, & nunc plures, nunc pauciores extantes, iuſtitia verò ſemper iidem. Dum iſti talia inter ſe colloquerentur, Rex eos interpellare, vel ſermonem potius omnino dirimere cupiens, aliquod ſemper inſipiens, *indoctúmque* dictum interſerebat. Tunc itaque quidnam ſeriò inter ſe loquerentur, interrogauit. Cui Apollonius, De ma-

A ὁτὲ δὲ, ἐλάττους. τόν τοι πάππον τὸν ἐμαυτοῦ ἀκούω καταλεχθῆναι μὲν ἐς ἑπτὰ καὶ ὀγδοήκοντα σοφοὺς ἄνδρας, νεώτατον αὐτῶν ὄντα. προελθόντα δὲ ἐς τριάκοντα, καὶ ἑκατὸν ἔτη, καταλειφθῆναι μόνον τινὰ, ἐνταῦθα, τῶν μήτ᾽ ἐκείνων τινὰ λείπεσθαι ἔτι, μήτε ἄλλον ποι ποτὲ τῆς Ἰνδικῆς ἢ φιλόσοφον, ἢ γενναίαν φύσιν· Αἰγυπτίων τοίνυν
B ἐν τοῖς εὐδαιμονεστάτοις γραψάντων αὐτὸν, ἐπειδὴ μόνος ἔτη τέτταρα ἐξηγήσατο τούτου τοῦ θρόνου, παρῄνει παύσασθαι ὀνειδίζοντας Ἰνδοῖς σοφῶν ὀλιγανδρίαν· ἡμεῖς δὲ, ὦ Ἀπολλώνιε, καὶ τὰ Ἠλείων πάτρια Αἰγυπτίων ἀκούοντες, καὶ τοὺς Ἑλλανοδίκας, οἳ προΐστανται τῶν Ὀλυμπίων δέκα ὄντας, οὐκ ἐπαινοῦμεν τὸν νόμον τὸν ἐπὶ τοῖς ἀνδράσι κείμενον·
C κλήρῳ τε γὰρ ξυγχωροῦσι τὴν αἵρεσιν, ὃς προνοεῖ οὐδέν· καὶ γὰρ ἂν καὶ τῶν φαυλοτέρων τις αἱρεθείη ὑπὸ τοῦ κλήρου. εἰ δέ γε ἀριστίνδην, ἢ καὶ κατὰ ψῆφον ᾑροῦντο τοὺς ἄνδρας, οὐκ ἂν ἡμάρτανον παραπλησίως· ὁ γὰρ τῶν δέκα ἀριθμὸς ἀπαραίτητος ὢν, πλειόνων ὄντων ἀνδρῶν δικαίων, ἀφῃρεῖτο ἂν ἐνίους τὸ ἐπὶ τούτῳ τιμᾶσθαι· ἢ οὐκ ὄντων δικαίων
D δέκα, οὐδεὶς δόξει. ὅθεν πολλῷ σοφώτερον ἐφρόνουν ἂν Ἠλεῖοι, ἀριθμῷ μὲν ἄλλοτε ἄλλοι ὄντες, δικαιότητι δὲ οἱ αὐτοί. ταῦτα σπουδάζοντας αὐτοὺς, ὁ βασιλεὺς ἐκκρούειν ἐπειρᾶτο, διείργων αὐτοὺς παντὸς λόγου, καὶ ἀεί τι ἔμπληκτον, καὶ ἀμαθὲς λέγων. πάλιν οὖν ἤρετο ὑπὲρ τοῦ σπουδάζοιεν. ὁ δὲ Ἀπολλώνιος, διαλεγόμεθα μὲν ὑπὲρ με-

γάλων, καὶ τῶν παρ' Ἕλλησιν εὐδοκιμωτάτων· σὺ δ' ἂν μικρὰ ταῦτα ἡγοῖο. φὴς γὰρ διαβεβλῆσθαι πρὸς τὰ Ἑλλήνων· διαβέβλημαι μὲν ἀληθῶς, εἶπεν, ἀκοῦσαι δ' ὅμως βούλομαι. δοκεῖτε γάρ μοι λέγειν ὑπὲρ Ἀθηναίων τῶν Ξέρξου δούλων. ὁ δέ, ὑπὲρ ἄλλων μέν, ἔφη, διαλεγόμεθα· ἐπεὶ δ' ἀτόπως τε, καὶ ψευδῶς Ἀθηναίων ἐπεμνήσθης ἐκεῖνό μοι εἰπέ, εἰσί σοι βασιλεῦ δοῦλοι; δισμύριοι, ἔφη, καὶ οὐδὲ ἐώνημαί γε αὐτῶν οὐδένα, ἀλλ' εἰσὶν οἰκογενεῖς πάντες. πάλιν οὖν ἤρετο, ἑρμηνεύοντος τοῦ Ἰάρχα, πότερ' αὐτὸς ἀποδιδράσκοι τοὺς αὑτοῦ δούλους, ἢ οἱ δοῦλοι ἐκεῖνον. ὁ δέ, ὑβρίζων αὐτόν, τὸ μὲν ἐρώτημα, ἔφη, ἀνδραποδῶδες· ὅμως δ' οὖν ἀποκρινοῦμαι· τὸν μὲν ἀποδιδράσκοντα, δοῦλόν τ' εἶναι, καὶ ἄλλως κακόν. δεσπότην δέ, οὐκ ἂν ἀποδράναι τοῦτον, ὃν ἔξεστιν αὐτῷ στρεβλοῦν τε, καὶ ξαίνειν. οὐκοῦν, ἔφη, ὦ βασιλεῦ, δοῦλος μὲν Ἀθηναίων Ξέρξης ὑπὸ σοῦ ἀποπέφανται, καὶ ὡς κακὸς δοῦλος, ἀποδράναι αὐτούς. ἡττηθεὶς γὰρ ὑπ' αὐτῶν τῇ ναυμαχίᾳ τῇ περὶ τὰ στενά, καὶ δείσας, περὶ ταῖς ἐν Ἑλλησπόντῳ σχεδίαις ἐν μιᾷ νηῒ ἔφυγε. καὶ μὴν καὶ ἐνέπρησεν, ἔφη, τὰς Ἀθήνας ταῖς ἑαυτοῦ χερσίν. ὁ δὲ Ἀπολλώνιος, τούτου μέν, εἶπεν, ὦ βασιλεῦ, οὗ τολμήματος ἔδωκε δίκας, ὡς οὔπω τις ἕτερος. οὓς γὰρ ἀπολωλεκέναι ᾤετο, τούτους ἀποδρὰς ᾤχετο. ἐγὼ δὲ καὶ Ξέρξου θεωρῶν, ἐπὶ μὲν τῇ διανοίᾳ, καθ' ἣν ἐστρατοπέδευσεν*, ἡγοῦμαι αὐτὸν ἂν ἀξίως δοξασθέντα ἐνίοις ὅτι Ζεὺς εἴη· ἐπὶ δὲ τῇ

γ. ἐστράτευσεν.
γ. αὖ ἀντ' ἀξίως

A ximis, inquit, rebus diſputamus, quæque apud Græcos præcipuæ exiſtimantur. Tu autem parua forſan hæc putares. Aiunt enim te Græcorum facta calumniari. Et verè, inquit ille, calumnior, audire tamen volo. Puto enim vos de ſeruis Xerxis Athenienſibus loqui. Tunc Apollonius, Nos verò, de aliis, inquit, diſſerimus. ſed quoniam importunè, falsóque Athenienſium meminiſti, dic quæſo an vlli ſerui B tibi ſint domi? Viginti, inquit, millia ſeruorum habeo, quorum nullum emi, ſed domi geniti, vernæque ſunt omnes. Rurſus igitur, Iarcha interprete quæſiuit Apollonius, vtrum ille ſeruos ſuos fugiat, an ipſum ſerui. Tunc rex Apollonium conuiciatus, Hæc, inquit, ſeruilis admodum eſt interrogatio: tamen ad eam quoque reſpondebo, dicámque fugam ad ſeruos, & præſertim prauos magis pertinere, C ad dominum verò minimè, cùm poſſit & vincire ſeruos, & verberibus, cruciatibúſque torquere. Satis igitur, ô rex, Athenienſium ſeruum fuiſſe Xerxem oſtendis: imò etiam prauum ſeruum, qui ab illis aufugit. Nauali namque prælio circa maris anguſtias ab eiſdem ſuperatus, timens nauibus, quæ in Helleſponto erant, cùm vna tantùm naui aufugit. Veruntamen ſuis manibus, inquit rex, Athenas incen- D dit. Vera narras, inquit Apollonius, ſed iſtius audaciæ pœnas dedit, quantas alius nemo. Quos enim ad internecionem deleuiſſe opinabatur, eoſdem fugiens è Græcia diſceſſit. Ego verò Xerxem animaduertens, & mentem, qua motus exercitum in Græciam duxit,* dignum fuiſſe cenſere, qui à nonnullis Iupiter eſſe putaretur: eius autem

fugam conſiderans, omnium hominum infortunatiſſimum illum iudico. Nam ſi Græcorum manibus occubuiſſet, quis vnquam laudationẽ præclariorem eſſet ſortitus, aut cui ſepulchrum nobilius vnquam erexerunt Græci, quàm illi ſtatuiſſent? quæve ſuper illo armorum, quæ muſicæ certamina non inſtituiſſent? Si enim Melicertæ, Palæmones, & Pelops aduena Lydius, illi quidem in infantia defuncti, iſte verò Arcadia, & Argolide, & omni, quæ intra Iſthmum eſt, regione ſubacta, deorum honorib. à Græcis ornati ſunt: quid erga Xerxem facere omiſiſſent viri natura virtutum amatores? quíque illius laudes ad ſe ipſos, qui eum vicerant, redundare putarent? Hæc dicente Apollonio rex ipſe in lachrymas prorupit, Et, ô amiciſſime, inquit, quales viros eſſe Græcos mihi demonſtras. Vnde igitur, inquit Apollonius, tantopere illis infenſus eras? Calumniantur, inquit, regum Græcorũ genus ex Ægypto venientes ad nos nonnulli, qui ſeipſos optimos ſacerdotes, & ſapientes eſſe dictitant, præterea legum latores, ac ſacrorum myſteriorũ omnium, quibus Græci vtũtur inuentores Græcos verò nihil recti ſentire, & *contumelioſos ac turbones* eſſe, infidos, atque rebelles, tùm verò fabularum, monſtruoſarúmq. rerum aſſertores, præterea paupertatis oſtentatores, neq. id ob modeſtiã vllam, ac frugalitatem, ſed vt furantes veniam facinoris mereantur. Nunc autẽ ex te audiens, & quo pacto benigni ſunt, & honoris amatores, iam illis conciliatus paciſcor, & cõcedo vt à me laudentur: & quicquid efficere pro Græcis poſſim, audenter petant: nec Ægyptiis amplius fidem adhibiturum polliceor.

A φυγῇ, κακοδαιμονέστατον ἀνθρώπων ὑπείληφα· εἰ γὰρ ἐν χερσὶ τῶν Ἑλλήνων ἀπέθανε, τίς μὲν ἂν λόγων λαμπροτέρων ἠξιώθη· τῷ δὲ ἂν μείζω τάφον ἐπεσημήναντο Ἕλληνες. ἀγωνία δὲ ἐνόπλιος, καὶ ἀγωνία μουσική, τίς οὐκ ἂν ἐπ᾽ αὐτῷ ἐτέθη. εἰ γὰρ Μελικέρται, καὶ Παλαίμονες, καὶ Πέλοψ ὁ ἐπηλύτης Λυδὸς, οἱ μὲν, ἔτι πρὸς B μαζῷ* ἀποθανόντες, ὁ δὲ τὴν Ἀρκαδίαν τε, καὶ τὴν Ἀργολίδα, καὶ τὴν ἐντὸς Ἰσθμοῦ δουλωσάμενος, ἐς θείαν μνήμην ὑπὸ τῶν Ἑλλήνων ἤρθησαν, τί οὐκ ἂν ἐπὶ Ξέρξῃ ἐγένετο ὑπ᾽ ἀνδρῶν ἀσπαζομένων τε ἀρετὰς φύσει, καὶ ἔπαινον αὐτοῖς* ἡγουμένων τὸ ἐπαινεῖν, οἷς νικῶσι; ταῦτα τοῦ Ἀπολλωνίου λέ C γοντος, ἐς δάκρυα ἀπήχθη ὁ βασιλεύς. καὶ ὦ φίλτατε, εἶπεν, οἵους ἄνδρας ἑρμηνεύεις μοι τοὺς Ἕλληνας εἶναι. πόθεν οὖν ὦ βασιλεῦ, χαλεπῶς πρὸς αὐτοὺς εἶχες. διαβάλλουσιν, εἶπεν, ὦ ξένε, τὸ Ἑλληνικὸν* γένος οἱ ἐξ Αἰγύπτου φοιτῶντες ἐνταῦθα, σφᾶς μὲν αὐτοὺς ἱερούς τε, καὶ σοφοὺς ἀποφαίνοντες, καὶ D νομοθέτας θυσιῶν τε, καὶ τελετῶν, ὁπόσας νομίζουσιν οἱ Ἕλληνες· ἐκείνους δὲ, οὐδὲν ὑγιὲς εἶναι φάσκοντες, ἀλλ᾽ ὑβριστάς τε, καὶ ξυγκλύδας*, καὶ ἀναρχίαν πᾶσαν, καὶ μυθολόγους, καὶ τερατολόγους. καὶ πένητας μὲν, ἐνδεικνυμένους δὲ τοῦτο, οὐχ ὡς σεμνὸν, ἀλλ᾽ ὑπὲρ ξυγγνώμης τοῦ κλέπτειν. σοῦ δὲ ἀκούων ταῦτα, καὶ ὅπως φιλότιμοί τε, καὶ χρηστοί εἰσι, σπένδομαί τε λοιπὸν τοῖς Ἕλλησι, καὶ δίδωμι αὐτοῖς ἐπαινεῖσθαί τε ὑπ᾽ ἐμοῦ, καὶ εὔχεσθαί με ὑπὲρ Ἑλλήνων ὅ,τι δύναμαι, καὶ τῶν Αἰγυπτίοις ὑπ᾽ ἐμοῦ ἀπιστεῖσθαι.

κ. μαζῶν

κ. αὐτῷ

κ. Ἑλλήνων

σχολ. πεσχόλης, παιδιᾶς.

De Tantali potione, ac poculo: qualiſque Tantalus viuens erga homines fuerit. CAP. X.

Ὁ δὲ Ἰάρχας, καὶ ἐγώ, ἔφη, ὦ βασιλεῦ, ἐγίγνωσκον ὅ,τι σου τὰ ὦτα διέφθορεν ὑπὸ τῶν Αἰγυπτίων τούτων· δηλῶν δὲ ὑπὲρ Ἑλλήνων οὐδέν, ἐς τ' ἂν ξυμβούλου τοιούτου τύχῃς· ἀλλ' ἐπεὶ βελτίων γέγονας ὑπ' ἀνδρὸς σοφοῦ, νῦν μὲν ἡμῖν ἡ Ταντάλου φιλοτησία πινέσθω, καὶ καθεύδωμεν, δι' ἃ χρὴ νύκτωρ σπουδάσαι. λόγων δὲ Ἑλληνικῶν, πλεῖστοι δ' οὗτοι τῶν κατ' ἀνθρώπους, ἐμπλήσω σε λοιπὸν ἐγὼ χαίροντα, ὁπότ' ἀφίκοιο. καὶ ἅμα ἐξῆρχε τοῖς ξυμπόταις, πρῶτος ἐς τὴν φιάλην κύπτων· ἡ δὲ ἐπότιζεν ἱκανῶς πάντας· τὸ γὰρ νᾶμα ἀφθόνως ἐπεδίδου, καθάπερ δὴ τοῖς πηγαίοις ἀναδιδομένοις. ἔπιε δὲ καὶ ὁ Ἀπολλώνιος· ὑπὲρ γὰρ φιλότητος Ἰνδοῖς τὸ ποτὸν τοῦτο εὕρηται. ποιοῦνται δὲ αὐτοῦ οἰνοχόον Τάνταλον, ἐπειδὴ φιλικώτατος ἀνθρώπων ἔδοξε. πιόντας δὲ αὐτοὺς, ἐδέξατο ἡ γῆ εὐναῖς, ἃς αὐτὴ ὑπεστόρνυ. ἐπεὶ δὲ νὺξ μέση ἐγένετο, πρῶτον μὲν ἀναστάντες, τὴν ἀκτῖνα μετέωροι ὕμνησαν, ὥσπερ ἐν τῇ μεσημβρίᾳ· εἶτα τῷ βασιλεῖ ξυνεγένοντο, ὁπόσα ἐδεῖτο. παρατυχεῖν μὲν οὖν τὸν Ἀπολλώνιον οἷς ἐσπούδασεν ὁ βασιλεύς, οὔ φησιν ὁ Δάμις· οἴεσθαι δὲ αὐτὸν περὶ τῶν τῆς ἀρχῆς ἀπορρήτων τὴν ξυνουσίαν πεποιῆσθαι. θύσας οὖν ἅμα ἡμέρᾳ, προσῆλθε τῷ Ἀπολλωνίῳ, καὶ ἐκάλει ἐπὶ ξενίᾳ ἐς τὰ βασίλεια, ζηλωτὸν ἀποπέμψειν φάσκων ἐς Ἕλληνας. ὁ δὲ, ἐπῄνει μὲν ταῦτα, οὐ μὴν ἐπιδώσειν γε αὑτὸν ἔφασκεν

A AD hæc Iarchas, Ego, inquit, ô rex, ſciebam quiſnam Ægyptius aures tuas corrupiſſet; ita vt de Græcis boni quicquam narrare non liceat, dum illo veteris conſiliario: ſed quoniam ad meliorem ſententiam *à viro ſapiente* redactus es, nunc Tantali propinatio bibẽda nobis eſt: inde ſomno indulgebimus, vt poſſimus quæ noctu peragẽda ſunt, perficere: Græcarum verò rerum cogni- B tione, (*plurima quippe eſt ex omnibus quæ apud homines*) ego te libentẽ quandocunque adueneris explebo. Hæc dicens Iarchas potandi principium fecit ex phiala bibens, quæ largiter cunctos ſatiauit, iugiter humorem fundens, non ſecus ac ſi ex fonte ſcaturiret. Bibit autem Apollonius: amicitiæ namque firmandæ cauſa huiuſmodi compotatio apud In- C dos eſt adinuenta. Faciunt itaque eius miniſtrum, pincernámque Tantalum, qui amiciſſimus manſuetiſſimúſque erga homines habitus eſt. Potos autem terra excepit in lectis, quos ipſamet ſubſtrauerat. Media autem nocte primò cùm ſurrexiſſent, ſapientes radium Solis in ſublime eleuati, ſicuti meridie fecerant, laudauere: poſtea regi de omnibus quæ petebat, reſponderunt. D Interfuiſſe autem ſermonibus Apollonium, quos cum ſapientibus rex habuit, negat Damis: putare autem ipſum arcana quædam de iis quæ ad regni gubernationem pertinerent communicaſſe. Exorto autem die ſacriſque peractis, rex ad Apollonium venit, & hoſpitio ſibi illum iungere cupiens, vt in regiam ſecum pergeret, hortabatur. Apollonius autem regis humanitate collaudata, ad regiã ſe profecturũ negauit,

quòd nollet homini multùm ſibi diſſimili congredi. Aiebat quoque cùm eſſet iam diutius peregrinatus, vereri, ne quos domi reliquiſſet amicos, offendere, néve ſe ab illo deludi arbitrarentur. Cúmque rex ſuppliciter hoc ſe petere velle diceret, iámque illiberalius Apollonium inuaderet: Rex, inquit Apollonius, vbi humilius, quàm ſe deceat de iis, quæ poſtulat, loquitur, inſidias clanculum machinatur. Sed ſuperueniens Iarchas, Iniuriam, inquit, affers ſacræ domui, virum inuitum illinc diſtrahens, præſertim, qui iam prænoſcens intelligit, familiaritatem tuam illi nihil eſſe profuturam, fortè etiam tibi ipſi nihil allaturam boni. Quibus auditis rex ad vicum regreſſus eſt: Sapientum enim iura non ſinebant regem ſupra diei ſpatium apud eos morari. Tunc Iarchas accerſito nuntio, inquit, duc ad nos Damidem arcanorum omnium participem futurum: & cæteris Apollonij comitibus quæcunque neceſſaria ſunt, vt ſuppeditentur *in vico*, diligenter cura.

A ἀνδρὶ μηδὲν ὁμοίῳ. καὶ ἄλλως, πλείω χρόνον ἀποδημῶν τοῦ εἰκότος, αἰσχύνεσθαι τοὺς οἴκοι φίλους ὑπερορᾶν δοκοῦντας· ἀντιβολεῖν δὲ τοῦ βασιλέως φάσκοντος, καὶ ἀνελευθέρως ἤδη προσκειμένου, βασιλεῦ, ἔφη, ταπεινότερον αὑτοῦ περὶ ὧν αἰτεῖ διαλεγόμενος, ἐπιβουλεύει. προσελθὼν
B οὖν ὁ Ἰάρχας, ἀδικεῖς, εἶπεν, ὦ βασιλεῦ, τὸν ἱερὸν οἶκον, ἀπάγων ἐνθένδε ἄνδρα ἄκοντα. καὶ ἄλλως, τῶν προγιγνωσκόντων οὗτος ὤν, οἶδε τὴν ξυνουσίαν αὐτῷ τὴν πρὸς σὲ, μὴ ἐπ' ἀγαθῷ τῷ ἑαυτοῦ ἐσομένην· ἴσως δὲ οὐδ' αὐτῷ σοι χρηστόν τι ἕξουσαν. ὁ μὲν δὴ κατῄει ἐς τὴν κώμην. ὁ μὲν γὰρ θεσμὸς τῶν σοφῶν, οὐ ξυ-
C νεχώρει τῷ βασιλεῖ ξυνεῖναι σφίσιν ὑπὲρ μίαν ἡμέραν. ὁ δὲ Ἰάρχας πρὸς τὸν ἄγγελον, καὶ Δάμιν, εἶπε, τῶν δεῦρο ἀπορρήτων ἀξιοῦμεν, καὶ ἡκέτω· τῶν δὲ ἄλλων ἐπιμελοῦ ἐν τῇ κώμῃ.

Ex quibus rebus compoſitus ſit Mundus. Tum de quinto elemento, & quòd ſimul creata elementa fuerint, eſſéque mundum animal vtriuſque generis. hinc naui Ægyptiæ omnium quàm maximæ mundi regimen comparatum. Gubernari verò mundum à Deo omnium creatore, atque à Diis, qui ſub eo ſunt. De peritia præterea linguæ Græcæ, & facundia, & vrbanitate Iarchæ. Dein quæſtio terráne mari maior ſit, an mare terra.

Cap. XI.

EO abeunte, ſapientes vt conſueuerãt Apollonio circunfuſi, quæ vellet interrogãdi licentiã præbuere. Ille autem dictis obtemperans, quæſiuit quibus ex rebus hunc mundum eſſe compoſitũ opinarentur. Illi verò ex elemẽtis reſpõderunt. An igitur ex quatuor? inquit ille. minimè verò ex quatuor, inquit Iarchas, ſed ex quinq.

ὩΣ δὲ ἀφίκετο, ξυνιζήσαντες ὥσπερ εἰώθεσαν, ξυνεχώρουν τῷ Ἀπολλωνίῳ ἐρωτᾶν· ἤρετό τε ἐκ τίνων ξυγκεῖσθαι τὸν κόσμον ἡγοῖντο. οἱ δὲ ἔφασαν, ἐκ στοιχείων. μῶν, ἔφη, τεττάρων; οὐ τεττάρων, ἔφη ὁ Ἰάρχας, ἀλλὰ πέντε:

καὶ τί ἂν, ἔφη, πέμπτον γένοιτο παρὰ τὸ ὕδωρ τε, καὶ τὸν ἀέρα, καὶ τὴν γῆν, καὶ τὸ πῦρ; ὁ αἰθήρ, εἶπεν, ὃν ἡγεῖσθαι χρὴ γένεσιν θεῶν εἶναι. τὰ μὲν γὰρ τοῦ ἀέρος ἕλκοντα, θνητὰ πάντα· τὰ δὲ τοῦ αἰθέρος, ἀθάνατά τε, καὶ θεῖα. πάλιν ἤρετο τί τῶν στοιχείων πρῶτον γένοιτο. ὁ δὲ Ἰάρχας, ὁμοῦ, ἔφη, πάντα· καὶ γὰρ ζῷον κατὰ μέρος οὐ τίκτεται. ζῷον ἔφη, ἡγῶμαι τὸν κόσμον; ἤν γε, ὑγιῶς γιγνώσκῃς. αὐτὸς γὰρ ζωογονεῖ πάντα. θήλυν οὖν αὐτὸν καλῶμεν, ἢ τῆς ἄρσενός τε, καὶ ἀντικειμένης φύσεως; ἀμφοῖν, ἔφη. αὐτὸς γὰρ αὑτῷ ξυγγινόμενος, τὰ μητρός τε, καὶ πατρὸς ἐς τὴν ζωογονίαν πράττει· ἔρωτά τε ἑαυτοῦ ἴσχει θερμότερον, ἢ ἕτερόν τε ἑτέρου· ὃς ἁρμόττει ἑαυτὸν, καὶ ξυνίστησιν· ἀπεικός τε οὐδὲν ἑαυτῷ ξυμφύεσθαι. καὶ ὥσπερ χειρῶν τε, καὶ ποδῶν ἔργον πεποίηται ἡ τοῦ ζῴου κίνησις, καὶ ὅθεν αὐτῷ νοῦς, ὑφ' οὗ ὁρμᾷ, οὕτως ἡγώμεθα καὶ τὰ μέρη τοῦ κόσμου, διὰ τὸν ἐκείνων νοῦν ἐπιτήδεια παρέχειν αὐτὰ τοῖς τικτομένοις τε, καὶ κυομένοις πᾶσι. καὶ γὰρ τὰ πάθη τὰ ἐξ αὐχμῶν φοιτῶντα, κατὰ τὸν ἐκείνου φοιτᾷ νοῦν· ἐπειδὰν ἐκπεσοῦσα ἡ δίκη τῶν ἀνθρώπων, ἀτίμως πράττῃ. ποιμαίνεταί τε χειρὶ οὐ μιᾷ τόδε τὸ ζῷον, ἀλλὰ πολλαῖς τε, καὶ ἀρρήτοις, αἷς χρῆται. ἀχάλινωτον μὲν διὰ μέγεθος, εὐήνιον δὲ κινεῖται, καὶ εὐάγωγον. καὶ παράδειγμα μὲν οὐκ οἶδ' ὅ, τι ἀρκέσει τῷ λόγῳ, μεγίστῳ τε ὄντι,

A Quodnam igitur eſt quintum, inquit Apollonius? præter aquam enim, aërem, terram, atque ignem, quodnã quintum ſit neſcio. Æther eſt, inquit Iarchas, quem Deorum generationem oportet putare. Quæ enim aërem trahunt, mortalia ſunt; quæ verò ætherem, immortalia atque diuina. Rurſus interrogante Apollonio, quodnam elementorum prius factum eſſet, omnia ſimul facta eſſe reſpondit Iarchas. A-
B nimal enim per partes non paritur. Animal igitur, inquit, putare debeo eſſe mundum? Certè, inquit Iarchas, ſi rectè ſapis. Ipſe enim animãtia cuncta producit. Fœminam igitur ipſum vocabimus; an maſculæ & oppoſitæ naturæ? vtrunq., inquit Iarchas. Ipſe enim ſibi commiſtus patris, matriſq. vicem in animaliũ generatione ſupplet: amorémque ſui ipſius continet maiorem, quàm alius vllus ad alium habeat, qui ipſum componit,
C & conſtare facit; neque verò abſurdum, alienúmve quicquam coaleſcere ſecum. Et ſicut manuum, pedúmque operib. perficitur animalis motus, ménſque illi ineſt, à qua principium ſumit actionum ſuarum: ſimili modo putamus, & mundi partes, propter mentem, quæ illi ineſt, inuicem conuenire omnibus, quæ producunt, producuntúrve. Morbi enim, qui ex ſiccitatibus
D proueniunt, ſecundum eius mentem proficiſcuntur: quandoquidem homines à iure diſcedentes debitis honoribus ipſam non colunt. Regitur autem huiuſmodi animal, non vna manu, ſed multis atque inenarrabilibus vtitur, & infrenabile propter magnitudinem exiſtens: habenis tamen regitur, & moderatè deducitur. Quo autem exemplo ſufficienter hoc poſſim oſtendere neſcio, cùm ſit omnium longè maximum,

& noſtram exuperet cogitationem. Supponatur autem nauis ab Ægyptiis ædificata, quam in noſtrum mare deduxerunt, Indicæ *negotiationi* Ægyptiam opponentes. Cùm enim vetuſtum intercederet pactum de rubro mari, quod rex, qui illi mari dominabatur, contraxerat, ne quis Ægyptius longa naui mare rubrum ingrederetur, oneraria autem naui in eodem mari vna tantùm vti poſſet: nauigium facere cogitauerunt Ægyptij, quod multarum nauium vicem ſuppleret: ídque omnibus menſuris, quæ tantæ machinæ conueniebant, aptarunt; latera tabulatis intexentes, velíſque in altum maximè tendentibus illud ornantes: domunculáſque in eo complures tabulis circunſeptas inſtituerunt. Erant autem complures nauis eius gubernatores, ſub vno tamen, qui ceteros ætate, & nauigandi peritia præcedebat ordinati. Multi autem optimi, dexterrimíque nautæ, proræ præficiebantur. Plurimi etiam erant, qui malum optimè conſcendere, & vela, vtcunque opus eſſet, aptare nouerant. Erat inſuper ea nauis armis quibuſdam egregiè munita. Nam contra Barbaros, qui dexteram ſinus eius partem incolunt, præparare nauim opus erat, ne quando inuadentes, illam diriperent. Tale quid, & de hoc vniuerſo mundo exiſtimandum eſt, nauigij cuiuſdam inſtar ipſum conſiderando. Et prima quidem, ac perfectiſſima ſedes Deo tribuenda huius animalis genitori. Secunda verò Diis, qui eius partem gubernant: quo loco poëtas etiam debemus admittere, qui Deos complures in cœlo dicunt eſſe, multos etiam in mari, fluminibúſque ac fontibus. In terra præterea, ac ſub terra. Hos verò ſub

A καὶ πρόσω ἐννοίας· ὑποκείσθω δὲ ναῦς, οἵαν Αἰγύπτιοι ξυνθέντες, ἐς τὴν θάλατταν τὴν ἡμεδαπὴν ἀφιᾶσιν, ἀγωγίμων Ἰνδικῶν ἀντιδιδόντες Αἰγύπτιοι. θεσμοῦ γὰρ παλαιοῦ περὶ τῆς ἐρυθρᾶς ὄντος, ὃν βασιλεὺς ἐρυθρᾶς ἐνόμισεν, ὅτε τῆς θαλάττης ἐκείνης ἦρχε, μακρῷ μὲν πλοίῳ μὴ ἐσπλεῖν ἐς αὐτὴν Αἰγυπτίους, στρογγύλῃ δ' αὖ μιᾷ νηὶ χρῆσθαι, B σοφίζονται πλοῖον Αἰγύπτιοι, πρὸς πολλὰ τῶν παρ' ἑτέροις· καὶ παραπλευρώσαντες αὐτὸ ἁρμονίαις ὁπόσαι ναῦν ξυνιστᾶσι, τοίχοις τε ὑπερεράραντες, καὶ ἱστῷ, καὶ πηξάμενοι πλείους οἰκίας, οἵας ἐπὶ τῶν σελμάτων· πολλοὶ μὲν κυβερνῆται τῆς νεὼς ταύτης ὑπὸ τῷ πρεσβυτάτῳ τε, καὶ σοφωτάτῳ πλέουσι· πολλοὶ δὲ κατὰ πρῷραν ἄρχοντες ἄριστοί τε, καὶ C δεξιοὶ ναῦται, καὶ πρὸς ἱστία πηδῶντες. ἔστι δέ τι τῆς νεὼς ταύτης καὶ ὁπλιτεῦον. πρὸς γὰρ τοὺς Κολπίτας βαρβάρους, οἳ ἐν δεξιᾷ τοῦ εἴσπλου κεῖνται, παρατετάχθαι δεῖ τὴν ναῦν, ὅτε ληΐζοιντο αὐτὴν ἐπιπλέοντες. τοῦτο ἡγώμεθα καὶ περὶ τόνδε τὸν κόσμον εἶναι, θεωροῦντες αὐτὸν πρὸς τὸ τῆς ναυπλίας σχῆμα. τὴν μὲν γὰρ δὴ πρώτην, D καὶ τελεωτάτην ἕδραν, ἀποδοτέον θεῷ γενέτορι τοῦδε τοῦ ζώου· τὴν δὲ ὑπ' ἐκείνῃ, θεοῖς, οἳ τὰ μέρη αὐτοῦ κυβερνῶσι. καὶ τῶν τε ποιητῶν ἀποδεχώμεθα, ἐπειδὴ πολλοὺς μὲν φάσκωσιν ἐν τῷ οὐρανῷ θεοὺς εἶναι, πολλοὺς δὲ ἐν θαλάττῃ, πολλοὺς δὲ ἐν πηγαῖς τε, καὶ νάμασι, πολλοὺς δὲ καὶ περὶ γῆν. εἶναι δὲ καὶ ὑπὸ γῆν τινας· τοὺς δὲ ὑπὸ

γῆν τόπον, εἴπερ ἐστὶν, ἐπειδὴ φρι-
κώδη αὐτὸν, καὶ φθαρτικὸν ᾄδουσιν,
ἀποτάττωμεν τοῦ κόσμου. ταῦτα τοῦ
Ἰνδοῦ διελθόντος, ἐκπεσεῖν ὁ Δάμις
ἑαυτοῦ φησιν, ὑπ᾽ ἐκπλήξεως, καὶ
ἀναβοῆσαι μέγα, μὴ γὰρ ἄν ποτε νο-
μίσαι ἄνδρα Ἰνδὸν ἐς τοῦτο ἐλάσαι
γλώττης Ἑλλάδος, μηδ᾽ ἂν εἴπερ τὴν
κ. εὐνοίᾳ. γλῶτταν ἠπίστατο, τοσῇ δὲ εὐροίᾳ*, καὶ
ὥρᾳ διελθεῖν ταῦτα. ἐπαινεῖ δὲ αὐτοῦ
καὶ βλέμμα, καὶ μειδίαμα, καὶ τὸ
μὴ ἀθεεὶ δοκεῖν ἐκφέρειν τὰς δόξας.
τόν τε Ἀπολλώνιον εὐσχημόνως τε,
καὶ ἀψοφητὶ τοῖς λόγοις χρώμενον,
κ. μὲν τ. ὅμως ἐπιδοῦναι μετὰ* τὸν Ἰνδὸν τοῦτον
καὶ ὁπότε καθήμενος διαλέγοιτο, θα-
μὰ δὲ τοῦτο ἔπραττε, προσεοικέναι
τῷ Ἰάρχᾳ. ἐπαινεσάντων δὲ καὶ τῶν ἄλ-
λων περιφανεῖ φωνῇ τὰ εἰρημένα, πά-
λιν ὁ Ἀπολλώνιος ἤρετο, πότερα, τὴν
θάλατταν μείζω ἡγοῖντο, ἢ τὴν γῆν.
ὁ δὲ Ἰάρχας, εἰ μὲν πρὸς τὴν θά-
λατταν, ἔφη, ἡ γῆ ἐξετάζοιτο, μείζων
ἔσται. τὴν γὰρ θάλατταν αὐτὴ ἔχει. εἰ δὲ
πρὸς πᾶσαν τὴν ὑγρὰν οὐσίαν θεω-
ροῖτο, ἥττω τὴν γῆν ἀποφαινοίμεθα
ἄν· καὶ γὰρ ἐκείνην τὸ ὕδωρ φέρει.

A terra locum, ſi tamen eſt vllus, quoniam horrendum quendam, corruptúmque eſſe decantant, à reliquo mũdo ſecernamus. Dum talia loqueretur Iarchas: pene à mente propter ſtuporem ſe excidiſſe, atq; altius propter admiratiõnẽ exclamaſſe ſcribit Damis: quòd nunquã putaſſet virum Indũ tam multùm literis Græcis proficere potuiſſe: minus verò, & ſi optimè linguã noſſet, tam decorè, facundéq; cogitata proferre. Summis etiã B laudibus extollit illius aſpectum: riſuſque vrbanitatem, & quòd opiniones eiuſmodi non *ſine numine* videbatur afferre. Quinetiam Apolloniũ ipſum compoſita expolitáq; oratione vti ſolitum, aliquid tamen ab Indo adiumẽti ſumpſiſſe refert, vt quotienſcunq; ſedens loqueretur (id autem frequenter eueniebat) in pleriſq; C ſimillimus Iarchæ videbatur. Cùm omnes ea, quæ dicta fuerant, ſummis laudib extollerent, rurſum Apollonius interrogauit vtrũ maioris molis eſſe putarent, maréne, an terram. Tunc Iarchas, Si ad mediterraneum, inquit, tantùm mare comparabitur, haud obſcurum eſt terram maiorem eſſe: ipſa enim eſt, quæ mare continet: ſin de vniuerſa humida ſubſtantia ratio habeatur, ipſam terram minorẽ profectò *pronunciaremus*. Aqua enim terram ſuſtinet.

De puero formoſo adamato, vexatóque à Dæmone, & de epiſtola à ſapientibus ad Dæmonium, quo abiret à puero. Tum de Claudo, & Luſco, & muliere abortum faciente liberatis. Quódque oua noctuæ ſi elixa comeſa fuerint, abſtemios faciant.

Cap. XII.

Μεταξὺ δὲ τῶν λόγων τούτων, ἐφί-
σταται τοῖς σοφοῖς ὁ ἄγγελος, Ἰν-
δοὺς ἄγων σωτηρίας δεομένους· καὶ
προσῆγε γύναιον ἱκετεῦον ὑπὲρ παιδὸς,
ὃν ἔφασκε ἑκκαίδεκα ἔτη γεγονέναι,

INterea nuntius ad ſapientes acceſſit, Indos aliquot deducens, ſalutem expoſcentes. aderat & muliercula precans pro ſalute filij. Dicebat autem illum annos natum ſexdecim, duos

duos iam annos à dæmone detineri, eſſeque dæmoni moris, vt ironia, mendaciiſque plurimis vteretur. Interroganti autem è ſapientibus vni, vnde ei tale cōtigiſſet infortunium: ita reſpondit mulier: Cùm is puer ceteris æqualibus formoſitate præſtaret, dæmon quidam ipſius amore captus eſt, adeò vt nec illum mente ſineret vti, neq. ad præceptores pergere, aut ſagittariam artem, aliúmve ludum quempiam exercere: quinetiam nec domi eſſe permittebat, in campeſtres ſolitudines illum trahēs: propriæ quoque vocis vſu ablato, vocem grauem, qualem adulti iam ætate homines habent, illi tribuit. Reſpicit quoque, inquit, alienis potius, quam ſuis oculis. Ego igitur, ait mulier, his de cauſis me miſeram crucians, & pectora lacerans, vt par eſt, ipſum monere, & quæ in rem ſuam eſſent, ſuadere conabar: ipſe verò nec verbis parebat, nec meum ſuſtinebat aſpectū. Cúmque me huc ad vos venturam eſſe dixiſſem, ídque iam anno elapſo facere ſtatuiſſem, dæmon quiſnam eſſet manifeſtè cōfeſſus eſt, *dum* puero tanquā *interprete vteretur*: Aiebat autem ſe idolum eſſe hominis iamdudum in bello interfecti, qui vxorem ſuam vehementer amabat: ſed quoniam vxor coniugij iure violato, triduò poſt eius mortem alteri nupſiſſet, ſummum erga mulieres odiū concepiſſe, amorémq. omnē ad hunc puerum tranſtuliſſe. Pollicitus inſuper eſt, ſi ſe apud vos non accuſarem, multa bona filio meo daturum. quibus verbis perſuaſa aduentum hactenus diſtuli. Ipſe verò tandiu me fruſtratus, domum meam ſolus habet, nihil veri, aut honeſti loquens, nec ſentiens. Tunc vnus è ſapientibus, an prope eſſet puer, interrogauit. Quod cùm mulier negaſſet, aſſereréteque

A δαιμονᾶν δὲ δύο ἔτη· τὸ δὲ ἦθος τοῦ
δαίμονος, εἴρωνα εἶναι, καὶ ψεύστην.
ἐρομένου δέ τινος τῶν σοφῶν ὁπόθεν
λέγει ταῦτα· τοῦ παιδὸς τούτου, ἔφη,
τὴν ὄψιν εὐπρεπεστέρου ἑτέρου ὄν-
τος, ὁ δαίμων ἐρᾷ, καὶ οὐ ξυγχωρεῖ
αὐτῷ νοῦν ἔχειν, οὐδὲ ἐς διδασκάλου
βαδίσαι ἐᾷ, ἢ τοξότου, οὐδὲ οἴκοι εἶναι,
ἀλλ' ἐς τὰ ἔρημα τῶν χωρίων ἐκ-
B τρέπει. καὶ οὐδὲ τὴν φωνὴν ὁ παῖς
τὴν ἑαυτοῦ ἔχει, ἀλλὰ βαρὺ φθέγγε-
ται, καὶ κοῖλον, ὥσπερ οἱ ἄνδρες· βλέ-
πει δὲ ἑτέροις ὀφθαλμοῖς μᾶλλον,
ἢ τοῖς ἑαυτοῦ. κἀγὼ μὲν ἐπὶ τούτοις
κλάω, καὶ ἐμαυτὴν δρύπτω, καὶ
νουθετῶ τὸν υἱὸν ὁπόσα εἰκός. ὁ δὲ,
οὐκ οἶδέ με. διανοουμένης δέ μου τὴν
C ἐνταῦθα ὁδὸν, τουτὶ δὲ πέρυσι διε-
νοήθην, ἐξηγόρευσεν ὁ δαίμων ἑαυ-
τὸν, ὑποκριτῇ χρώμενος τῷ παι-
δί. καὶ δῆτα ἔλεγεν εἶναι μὲν εἴδω-
λον ἀνδρὸς, ὃς πολέμῳ ποτὲ ἀπέ-
θανεν, ἀποθανεῖν δὲ, ἐρῶν τῆς ἑαυτοῦ
γυναικός· ἐπεὶ δὲ ἡ γυνὴ περὶ τὴν εὐ-
νὴν ὕβρισε, τριταίου κειμένου γα-
D μηθεῖσα ἑτέρῳ, μισῆσαι μὲν ἐκ τού-
του τὸ γυναικῶν ἐρᾶν, μεταρρυῆ-
ναι δὲ ἐς τὸν παῖδα τοῦτον· ὑπισχνεῖ-
το δὲ εἰ μὴ διαβάλλοιμι αὐτὸν πρὸς
ὑμᾶς, δώσειν τῷ παιδὶ πολλὰ κα-
λὰ, καὶ ἀγαθά. ἐγὼ μὲν δὴ ἔπα-
θόν τι πρὸς ταῦτα. ὁ δὲ, διάγει με
πολὺν ἤδη χρόνον, καὶ τὸν ἐμὸν οἶ-
κον ἔχει μόνος, οὐδὲν μέτριον, οὐ-
δὲ ἀληθὲς φρονῶν· ἤρετο οὖν ὁ σο-
φὸς πάλιν εἰ πλησίον εἴη ὁ παῖς. ἡ
δὲ, οὐκ, ἔφη. πολλὰ μὲν γὰρ ὑπὲρ τοῦ

ἀφικέσθαι αὐτὸν πρᾶξαι. ὁ δ' ἀπειλεῖ κρημνοὺς, καὶ βάραθρα, καὶ ἀποκτενεῖ* μου τὸν ὑόν, εἰ δικαζοίμην αὐτῷ δεῦρο. θάρσει, ἔφη ὁ σοφός· οὐ γὰρ ἀποκτενεῖ αὐτόν. ἀναγνοὺς ταυτὶ, καί τινα ἐπιστολὴν ἀνασπάσας τῷ κόλπῳ*. ἔδωκε τῇ γυναικί. ἐπέσταλτο δὲ ἄρα ἡ ἐπιστολὴ πρὸς τὸ εἴδωλον ξὺν ἀπειλῇ, καὶ ἐκπλήξει. καὶ μὴν καὶ χωλεύων τις ἀφίκετο, γεγονὼς μὲν ἤδη τριάκοντα ἔτη· λεόντων δὲ θηρατὴς δεινός. ἐμπεπτωκότος δὲ αὐτῷ λέοντος, ὠλισθήκει τὸν γλουτόν, καὶ τοῦ σκέλους ἑτέρως εἶχεν· ἀλλ' αἱ χεῖρες αὐτοῦ καταψῶσαι τὸν γλουτόν, ἐς ὀρθὸν τοῦ βαδίσματος ὁ νεανίας ἦλθε. καὶ ὀφθαλμὼ δέ τις ἐξερρυηκὼς, ἀπῆλθε, πᾶν ἔχων τὸ ἐν αὐτοῖς φῶς· καὶ ἄλλος τὴν χεῖρα ἀδρανὴς ὢν, ἐγκρατὴς ᾤχετο. γυνὴ δέ τις ἑπτὰ ἤδη γαστέρας δυστοκοῦσα, δεομένου ὑπὲρ αὐτῆς τἀνδρός, ὧδε ἰάθη. τὸν ἄνδρα ἐκέλευσεν, ἐπειδὰν τίκτῃ ἡ γυνή, λαγὼν ὑπὸ κόλπου ζῶντα ἐσφέρεσθαι οὗ τίκτει· καὶ περιελθόντα αὐτὴν, ἀφεῖναι ὁμοῦ τῷ λαγῷ· συνεκδοθῆναι γὰρ αὐτῷ ἂν τῷ ἐμβρύῳ τὴν μήτραν, εἰ μὴ ὁ λαγὼς αὐτίκα ἐξενεχθείη θύραζε. πατρὸς δ' αὖ τινος εἰπόντος ὡς γένοιντο μὲν αὐτῷ παῖδες, ἀποθνήσκοιεν δὲ ὁμοῦ τῷ ἄρξασθαι οἴνου πίνειν, ὑπολαβὼν, εἶπεν ὁ Ἰάρχας, καὶ βελτίους ἀποθανόντες ἐγένοντο· οὐ γὰρ ἂν διέφυγον τὸ μὴ μανῆναι, θερμοτέρων ὡς φαίνεται σπερμάτων φύντες. οἴνου μὲν οὖν ἀφεκτέον τοῖς ἐξ ὑμῶν,

γ. μοι τ.

γ. τοῦ κόλπου

A ſe vt illuc filium perduceret, laboraſ-
ſe, dæmonem verò præcipitia, bara-
thráque daturum, & filium interfe-
cturum minatum eſſe, ſi ſe huc iudi-
candum adducerem. Tunc ſapiens,
Confide, inquit, non enim ipſum in-
terficiet, ſi hæc legerit: & ſimul epi-
ſtolam è ſinu detractā mulieri dedit.
Scribebatur enim epiſtola ad ido-
lum ipſum, minas, terrorémque illi
nuntians, niſi inuiolatum adoleſ-
centem dimitteret. Alius præterea
claudus eodem venit, annos ferè na-
B tus triginta. Erat autem leonum ve-
nator acerrimus: cúmq. ingens leo
ei venanti occurriſſet, *quod in coxarū*
vertebris globoſum eſt, diſſoluit, atque
ita crus femúrque in alteram partem
diſtorſit. Verùm illi manibus perfri-
cantes, detorquentéſque ita direxe-
runt, vt adoleſcens rectè gradiens
inde diſcederet. Alius verò oculo-
rum altero captus, vtroque viden-
di potentia recepta abiit. Alius item
C manu altera mácus, libero ipſius vſu
reſtituto diſceſſit. Mulier autem,
quæ ſepties abortiuum fœtum ſum-
ma cum difficultate, periculóque e-
nixa fuerat, hoc modo ſanata eſt. Iuſ-
ſerunt enim ſapientes mulieris eius
virum, cùm pariendi tempus adeſ-
ſet, viuum leporem in ſinu occulta-
tum, eò deferre vbi paritura mulier
eſſet: inde cùm ſæpius circa mulie-
rem deambulaſſet, repente leporem
D è ſinu dimittere: fore enim dicebant,
vt ſimul embryonem vulua dimitte-
ret, niſi lepus repente extra fores au-
fugiſſet. Patri verò querenti filios
quidem ſibi naſci, ſed cùm primum
bibere vinum cœpiſſent, omnes mo-
ri: ſic reſpondit Iarchas, melius cum
illis agi, quòd moriantur. Si enim ſu-
perſtites eſſent, omnes eſſe euaſuros
inſanos, quòd ex ſemine, vt appa-
ret, *feruidiore* procreati eſſent. Vino
igitur abſtinendum eſt filiis veſtris,

ita vt ne cupiditate quidem ipſius moueantur. Si qui igitur *tibi* poſthac filij naſcentur (vnus autem ſeptimo ab hoc die, vt video, natus eſt) obſeruare oportet, vbi noctua nidum faciat, & illius oua mediocriter elixata infanti comedenda præbere. Si enim illa comederit, vinum oderit, & modeſtius deget, quia temperatior fiet naturalis calor. Hæc Damis Apolloniúſque *auſcultantes*, ob eximiam circa res omnes illorum ſapientiam obſtupebant, multáque quotidie illos interrogabant; cùm ſapientes ipſi ab eiſdem quoque plurima ſciſcitarentur: atque eo pacto mutua diſputandi voluptate fruebantur.

A ὡς δὲ *μηδὲ ἐς ἐπιθυμίαν ποτὲ οἴνου καταστῆναι. εἰ οὖν σοι πάλιν παιδίον γένοιτο, γέγονε δὲ ἑβδόμην ἡμέραν, ὡς ὁρῶ, τὴν γλαῦκα ὄρνιν χρὴ ἐπιφυλάττειν οὗ νεοττεύει· καὶ τὰ ᾠὰ ἀφελόντα, δοῦναι μασᾶσθαι τῷ βρέφει, συμμέτρως ἕψοντας. εἰ γὰρ βρώσεταί τι τούτων πρὶν οἴνου γεύσεται, μῖσος αὐτῷ πρὸς τὸν οἶνον ἐμφύσεται, B καὶ σωφρονέστατα διακείσεται, μόνου ξυγκεκραμένος τοῦ ἐν τῇ φύσει θερμοῦ. τούτων οὖν ἐμπιπλάμενοι, καὶ τοὺς ἄνδρας ἐκπληττόμενοι τῆς ἐς πάντα σοφίας, παμπόλλους ὁσημέραι λόγους ἠρώτων· πολλοὺς δὲ καὶ αὐτοὶ ἠρωτῶντο· τῆς μὲν οὖν διαλεκτικῆς ξυνουσίας, ἄμφω μετεῖχον.

*γρ. ὥσπερ μ.

Apollonium de ſtellarum diuinatione libros quatuor conſcripſiſſe: atque etiam de ſacrificiis. Inde an ſcientia diuinandi teneri ab humano queat ingenio, & qualis eſſe debeat, qui conſequi eam voluerit: tum de ſeptem annulis ſtellarum ſeptem nominibus appellatis. CAP. XIII.

VERVM arcanas libationes, per quas aſtrologicam facultatem & diuinandi peritiam inquirebant, ſacrorum prætereа rationem, & inuocationum, quas diis gratiſſimas eſſe nouerant; Iarcham cum ſolo Apollonio communicaſſe refert Damis: ita vt inde digreſſus Apollonius de aſtrologica diuinatione libros quatuor ſcripſerit, quorum Miragenes meminit. Scripſit etiam de ſacrificiis libros, quo pacto ſingulis Diis ſacrificandum ſit: quæve ſacra talibus Diis ſint acceptiſſima. Sed ego aſtrorum ſcientiam, atque à Deo diuinandi artem omnem humanæ naturæ metas excedere puto: & vtrum quiſpiam verè ipſam nouerit, neſcio. De ſacrificiis autem faciendis multa ſcripta

ΤΑΣ δὲ ἀπορρήτους σπονδάς, αἷς ἀστρικήν, ἢ μαντείαν κατενόουν, καὶ τὴν πρόγνωσιν ἐσπούδαζον, θυσιῶν τε ἤπιοντο, καὶ κλήσεων, αἷς θεοὶ χαίρουσι. μόνον φησὶν ὁ Δάμις τὸν Ἀπολλώνιον ξυμφιλοσοφεῖν τῷ Ἰάρχᾳ, καὶ ξυγγράψαι μὲν ἐκεῖθεν περὶ D μαντείας ἀστέρων βίβλους τέτταρας, ὧν καὶ Μοιραγένης ἐπεμνήσθη. ξυγγράψαι δὲ περὶ θυσιῶν, καὶ ὡς ἄν τις ἑκάστῳ θεῷ προσφόρως τε, καὶ κεχαρισμένως θύοι. τὰ μὲν δὴ τῆς ἀστέρων, καὶ τὴν τοιαύτην μαντικὴν πᾶσαν, ὑπὲρ τὴν *ἀνθρωπίνην ἡγοῦμαι φύσιν· καὶ οὐδ' εἰ κέκτηταί τις οἶδα. τὸ δὲ περὶ θυσιῶν, ἐν πολλοῖς

*γρ. ἀνθρωπείαν

ἱεροῖς εὗρον, ἐν πολλαῖς δὲ πόλεσι, πολλοῖς δὲ ἀνδρῶν σοφῶν οἴκοις. καὶ τί ἂν τις ἑρμηνεύοι αὐτό, σεμνῶς ξυντεταγμένον, καὶ κατὰ τὴν ἠχὼ τοῦ ἀνδρός; φησὶ δὲ ὁ Δάμις καὶ δακτυλίους ἑπτὰ τὸν Ἰάρχαν τῷ Ἀπολλωνίῳ δοῦναι, τῶν ἑπτὰ ἐπωνύμους ἀστέρων, οὓς φορεῖν τὸν Ἀπολλώνιον κατὰ ἕνα πρὸς τὰ ὀνόματα τῶν ἡμερῶν. περὶ δὲ προγνώσεως λόγου αὐτοῖς ποτε ὄντος, καὶ τοῦ Ἀπολλωνίου προσκειμένου τῇ σοφίᾳ ταύτῃ, καὶ τὰς πλείους τῶν διαλέξεων ἐς τοῦτο ξυντείνοντος, ἐπαινῶν αὐτὸν ὁ Ἰάρχας, οἱ μαντικῇ, ἔφη, χαίροντες, ὦ χρηστὲ Ἀπολλώνιε, θεῖοί τε ὑπ' αὐτῆς γίγνονται, καὶ πρὸς σωτηρίαν ἀνθρώπου πράττουσι. τὸ γὰρ ἃ χρὴ ἐς θεοῦ ἀφικόμενον εὑρέσθαι, ταῦτα ἄν, ὦ χρηστέ, ἐφ' ἑαυτοῦ προειδότα προειπεῖν τοῖς ἑτέροις ἃ μήπω ἴσασι, πανολβίου τινὸς ἡγοῦμαι, καὶ ταὐτὸ ἰσχύοντος τῷ Ἀπόλλωνι Δελφικῷ. ἐπεὶ δὴ δὲ ἡ τέχνη τοὺς ἐς θεοῦ φοιτῶντας ἐπὶ τῷ χρήσασθαι, καθαροὺς κελεύει βαδίζοντας φοιτᾶν, ἢ ἔξιθι τοῦ νεὼ πρὸς αὐτοὺς ἐρεῖν· δοκεῖ μοι καὶ τὸν προγνωσόμενον ἄνδρα ὑγιῶς ἑαυτοῦ ἔχειν, καὶ μήτε κηλῖδα προσμεμάχθαι τῇ ψυχῇ μηδεμίαν, μήτε οὐλὰς ἁμαρτημάτων ἐντετυπῶσθαι τῇ γνώμῃ. καθαρῶς δὲ αὐτὸν προφητεύειν ἑαυτοῦ, καὶ τοῦ περὶ τῷ στέρνῳ τρίποδος ξυνιέντος· γεγωνότερον γὰρ οὕτω, καὶ ἀληθέστερον τὰ λόγια ἐκδώσει. ὅθεν οὐ χρὴ θαυμάζειν, εἰ καὶ σὺ τὴν ἐπιστήμην ξυνείληφας, τοσοῦτον ἐν τῇ ψυχῇ φέρων αἰθέρα. καὶ χαριεντιζόμενος ἅμα πρὸς τὸν Δάμιν, σὺ δ' οὐδέν, ἔφη, προγιγνώσκεις Ἀσύριε· καὶ ταῦτα,

A in pleriſque templis inueni, nec non publicè in ciuitatibus aliquot, & in ſapientum virorum priuatis domib. inueni. Verùm quis ea certò poſſet interpretari, quæ ſumma cum *grauitate*, facundiáq. à ſapiente viro ſcripta ſunt? Scribit præterea Damis Iarcham ſeptē annullos Apollonio dediſſe, ſtellarum ſeptem nominibus cognominatos, quorū ſingulos diebus ſingulis geſtabat Apollonius, B iuxta dierū nomina illos diſtinguens. Cùm autem de rerum præcognitione frequens inter eos ſermo haberetur, & Apollonius tali ſapientiæ præcipuè ſtuderet, & diſputationū pleraſque ad ipſam retorqueret, laudans eum Iarchas dixit: Qui diuinandi peritia gaudent, optime Apolloni, diuini quidem ob ipſam euadunt, & ad vtilitatē hominum plurimum conferūt. Qui enim ea, quæ aliis opus eſt à Diis exquirere, hæc *apud ſe præuidere*, C *&* ceteris ignorātib. prædicare poſſit, hunc ego feliciſſimum puto, cùm tandem quantum Apollo Delphicus in hac re poſſit efficere. Sed quoniam ars iubet eos, qui ad oracula petenda proficiſcuntur, puros mundóſq. accedere, alioquin de templo eiici præcipit, videtur mihi multò magis virū, qui præſcire futura voluerit, caſtè, ſāctéq. diſpoſitum eſſe oportere, ita vt nullius ſordis macula animā eius inquinet, nulláſq. delictorū cicatrices D mēti impreſſas gerat, vt purè de ſeipſo primùm, & de eo, quē in pectore geſtat tripode vaticinari poſſit. Sic enim *vocaliora*, verioráque dabit reſponſa. Quapropter mirari nemo debet, ſi hanc ſcientiam tu conſecutus es, cùm tantùm ætheris in anima geras. Poſthæc Damidi quoque gratificari volens, num tu etiam, inquit, aliqua prænoſcis Aſſyriæ, præſertim cū

tali viro tam frequenter verſatus? Per Iouem, inquit Damis, quæ mihi neceſſaria ſunt prænoſco. nam cùm primò Apollonio huic occurri, quia ſapientia plenus viſus eſt: eloquentiam inſuper, ac temperantiam, tolerantiámque decentem, & memoriam multam in eo conſpexi: & quanquam multis ſcientiis refertum, diſcendi tamen cupiditate flagrantem, diuinum neſcio quid mihi obtigiſſe putaui. Itaque illum ſecutus ex ignorante ſapiens, ex barbaro eruditus euaſiſſe mihi videor: ac deinceps in eius ſocietate perſeuerans Indos primò, ac tandem vos vidi, & Græcis commiſtus ipſe pene effectus ſum Græcus. Et quoniam ſcientia veſtra de rebus maximis conſiderat, quaſi Delphicum, aut Dodonæum, aut aliud quodcunque vultis oraculum, illam putate: meam verò (quoniam quæ mihi tantùm vtilia ſunt prænoſco) tanquam præſtigiatricis cuiuſdam aniculæ prudentiã exiſtimate: quoniam & ipſa de pecudibus, & aliis huiuſmodi vaticinari aliquid poteſt. Ad hæc verba ſapientes omnes riſere.

A ξυνὼν ἀνδρὶ τοιούτῳ. νὴ Δί', εἶπε, τά γε ἐμαυτῷ ἀναγκαῖα. ἐπειδὴ γὰρ πρῶτον ξυνέτυχον τῷ Ἀπολλωνίῳ τούτῳ, καὶ σοφίας μοι ἔδοξε πλέως, δεινότητός τε, καὶ σωφροσύνης, καὶ τοῦ καρτερεῖν ὀρθῶς. ἐπεὶ δὲ καὶ μνημοσύνην ἐν αὐτῷ εἶδον, πολυμαθέστατόν τε, καὶ φιλομαθίας ἥττω, δαιμόνιόν τι μοι ἐγένετο καὶ ξυγγενόμενος B αὐτῷ, σοφὸς μὲν ᾠήθην δόξειν ἐξ ἰδιώτου τε, καὶ ἀσόφου, πεπαιδευμένος δὲ ἐκ βαρβάρων. ἑπόμενος δὲ αὐτῷ, καὶ ξυσπουδάζων ὄψεσθαι μὲν Ἰνδούς, ὄψεσθαι δὲ ὑμᾶς, Ἕλλησί τε ἐπιμίξειν Ἕλλην ὑπ' αὐτοῦ γενόμενος, τὰ μὲν δὴ ὑμέτερα περὶ μεγάλων ὄντα, Δελφοὺς ἡγεῖσθε, καὶ Δωδώνην, C καὶ ὅ, τι βούλεσθε. τὰ μὰ δέ, ἐπειδὴ Δάμις μὲν ὁ προγιγνώσκων αὐτά, προγιγνώσκει δ' ὑπὲρ αὐτοῦ μόνου, γραὸς ἔστω ἀγυρτείας, μαντευομένης ὑπὲρ προβατίων, καὶ τῶν τοιούτων. ἐπὶ τούτοις μὲν δὴ ἐγέλασαν οἱ σοφοὶ πάντες.

Quale donum mortalibus medicina, atque vnde orta ea ſit. Item an diuinandi ſcientia ſit medico neceſſaria. Tum de Martichora animali: de aquis aureis, de lapide alios ad ſe trahente Pantaura nomine: de Pygmæis, & Sciapedibus, & Macrocephalis: & de auro, quod Gryphes effodiunt, & ipſis Gryphibus. De Phœnice aui, & Cygnis. CAP. XIIII.

SEDATO autem riſu Iarchas de diuinatione ſermonem proſecutus, multa bona erga homines illam efficere dixit. Inter quæ præcipuum eſt medicinæ donum. Non enim, inquit, ij, qui ſapientes in hac arte habiti ſunt, Æſculapij filij tam multùm profeciſſent, niſi

Καταστάντος δὲ τοῦ γέλωτος, ἐπανήγαγεν ὁ Ἰάρχας ἐς τὸν περὶ μαντικῆς λόγον· καὶ πολλὰ μὲν αὐτὴν ἀγαθὰ ἔλεγε τοὺς ἀνθρώπους εἰργάσθαι, μέγιστον δὲ τὸ τῆς ἰατρικῆς δῶρον. οὐ γὰρ ἄν ποτε τοὺς σοφοὺς Ἀσκληπιάδας ἐς ἐπιστήμην τούτου παρελθεῖν, εἰ μὴ

παῖς Ἀπόλλωνος Ἀσκληπιὸς γενόμενος, καὶ κατὰ τὰς ἐκείνου φήμας τε, καὶ μαντείας ξυνθεὶς τὰ πρόσφορα ταῖς νόσοις φάρμακα, παισί τε ἑαυτοῦ παρέδωκε, καὶ τοὺς ξυνόντας ἐδιδάξατο, τίνας μὲν δεῖ προσάγειν πόας ὑγροῖς ἕλκεσι, τίνας δὲ αὐχμηροῖς, καὶ ξηροῖς, ξυμμετρίας, τινὰ δὲ ποτίμων φαρμάκων, ἀφ' ὧν ὕδεροι ἀποχετεύονται*, καὶ αἷμα ἴσχεται, φθόαι τε παύονται, καὶ τὰ οὕτω κοῖλα, καὶ τὰ τῶν ἰοβόλων* ἄκη· καὶ τὸ τοῖς ἰοβόλοις αὐτοῖς ἐς πολλὰ τῶν νοσημάτων χρῆσθαι· τίς ἀφαιρήσεται τὴν μαντικήν; οὐ γάρ μοι δοκοῦσιν ἄνευ τῆς προγιγνωσκούσης αὐτοῖς σοφίας, θαρσῆσαί ποτε ἄνθρωποι τὰ πάντων ὀλεθριώτατα φαρμάκων ἐγκαταμίξαι τοῖς σώζουσιν. ἐπεὶ δὲ καὶ ὅδε ὁ λόγος ἀναγέγραπται τῷ Δάμιδι, σπουδασθεὶς ἐκεῖ περὶ τῶν ἐν Ἰνδοῖς μυθολογουμένων, θηρίων τε, καὶ πηγῶν, καὶ ἀνθρώπων, μηδ' ἐμοὶ παραλελείφθω. καὶ γὰρ κέρδος εἴη, μήτε πιστεύειν, μήτε ἀπιστεῖν πᾶσιν. ἤρετο γὰρ δὴ ὁ Ἀπολλώνιος, ἔστι τι ζῷον ἐνταῦθα Μαρτιχόρας*; ὁ δὲ Ἰάρχας, καὶ τίνα, ἔφη, φύσιν τοῦ ζῴου τούτου ἠκούσας; εἰκὸς γὰρ καὶ περὶ εἴδους αὐτοῦ διαλέγεσθαι*· λέγεται γάρ, εἶπε, μεγάλα, καὶ ἄπιστα· τετράπουν μὲν γὰρ εἶναι αὐτό, τὴν κεφαλὴν δὲ ἀνθρώπῳ εἰκάσθαι*. λέοντι δὲ ὁμοιοῦσθαι τὸ μέγεθος· τὴν δὲ οὐρὰν τοῦ θηρίου τούτου πηχυαίας ἐκφέρειν καὶ ἀκανθώδεις τὰς τρίχας, ἃς βάλλειν ὥσπερ τοξεύματα ἐς τοὺς θηρῶντας αὐτό.

σχολ. ἀποπατοῦνται· οἱ ὀχετοὶ ἰσχ...

γρ. ἰοβόλων ἢ ἄχ·

γρ. Μαρτιχόρα

γρ. λέγεσθαι·

γρ. εἰκάσθαι·

A Apollinis filius Æſculapius, iuxta patris vaticinia morbis proficua remedia compoſuiſſet: quæ ille deinceps filios docens, atque illi nepotibus, poſteriſque tradentes, amicis tandem, familiaribúſque eadem demonſtrarunt. Hinc itaque medicinæ orta eſt diſciplina, inuentúmque quales humidis vlceribus, qualéſque ſiccis, aridíſque oporteat adhibere: potiones inſuper medicamentorum miſcere: quib. hydropi-
B ci ſanentur, ſanguinis fluxus ſiſtatur, quo pacto varia apoſtemata curentur, & illati à ſerpẽtibus veneni dolor ſedetur. quin venenis ipſis ad multas ægritudines ſalubriter vti didicere: quam peritiam quî diuinationi auferre audeat neſcio. Neque enim rationi conſentaneum videtur ſine præcognitione quadam auſos vnquam aliquos fuiſſe tam pernicioſa venena proficuis medicamentis admiſcere. Et quoniam ſermo il-
C lic, non ioco, ſed ſerio habitus de fabuloſis ferarum, hominúmque, & fontium monſtris, quæ ſunt apud Indos, inſcribitur, hunc quoque mihi poſthabendum non putaui. Eſt enim lucrum aliquod neque omnibus auditis fidem adhibere, nec omnia rurſus tanquam impoſſibilia aſpernari. Interrogauit itaque Apollonius, an apud ipſos inueniretur animal Martichora nuncupatum. Tunc Iarchas: Num, in-
D quit, animalis huius quam dicant eſſe naturam audiſti? (conueniens eſt enim & de ipſius figura aliquid dicere.) Dicuntur, inquit, magna & incredibilia. Quadrupedem enim hanc belluam eſſe ferunt, eiúſque caput humano capiti aſſimilari, magnitudine verò leonem æquare: habere autem in cauda ſetas cubitales ſpinarum inſtar, quas contra perſequentes ſagittarum modo iaculetur.

Interrogauit præterea de aqua auri, quæ ex fontibus quibuſdam manare perhibetur, & de lapide, qui vim talem, qualẽ habet magnes, habere dicitur. tum de hominibus, qui ſub terra dicuntur habitare: ſimiliter & de Pygmæis, & iis qui pedum plantis ſibi ipſis vmbras contra ſolem parant. Ad hæc omnia reſpondens Iarchas: De animalibus, inquit, aut plantis, fontibúſve, quos huc veniens ipſe vidiſti, tibi aliquid narrare ſuperuacuum eſt. Tuum eſt enim aliis ea referre. Feram verò ſagittantem, aut fontes aureis aquis manantes, ego in his locis eſſe nunquam audiui. De lapillo autem qui cæteros lapides ad ſe trahit, cauſa non eſt, quin credamus. Poteris enim ipſum videre lapidem, & quæ in eo ſunt cuncta mirari. Primò autem ſumma eius magnitudo, pollicẽ demonſtrans, huius digiti vnguẽ adæquat, inquit. gignitur verò in concauis terræ profunditate paſſum quatuor. Tantùm verò ipſi ſpiritus ineſt, vt intumeſcat & plerunq. ſcindatur terra, vbi eiuſmodi lapis concipitur. Inquirere autem ipſum nemini licet: aufugit enim niſi ſumma cum ratione trahatur, ſoli autem nos partim dicentes, partim etiã aliqua faciẽtes inuenire Pantaruam poſſumus (id enim huic lapidi nomen eſt) qui noctu diem velut ignis oſtendit, quoniam igneus eſt, ac radioſus: ſin verò poſt diem aſpiciatur, innumeris rutilationibus oculos ferit. Id autem, quod in ipſo lumen fulget, ſpiritus eſt potentiæ admirabilis. Quicquid enim propè eſt, ſibi conciliat. quòd autem dico propè iacentes lapides ipſum congregare? cùm liceat petras quotcunque velis alicubi demergere, aut in mari, aut in fluuio, & illas non propè ad inuicem, ſed ſparſim., vtcunque

A ἐρομένου δὲ αὐτοῦ καὶ περὶ τοῦ χρυσοῦ ὕδατος, ὅ φασιν ἐκ πηγῆς βλύζειν, καὶ περὶ τῆς ψήφου τῆς ἅπερ ἡ μαγνῆτις* ποιούσης, [illegible] ἀνθρώπων τε ὑπὸ γῆν οἰκούντων, καὶ Πυγμαίων αὖ, καὶ σκιαπόδων. ὑπολαβὼν ὁ Ἰάρχας, περὶ μὲν ζώων, ἢ φυτῶν, εἶπεν, ἢ πηγῶν, ὧν αὐτὸς ἐνταῦθα ἥκων εἶδες, τί ἄν σοι λέγοιμι; σὸν γὰρ ἤδη νῦν ἐξηγεῖσθαι αὐτὰ ἑτέροις.
B θηρίον δὲ τοξεῦον, ἢ χρυσοῦ πηγὰς ὕδατος, οὔπω ἐνταῦθα ἤκουσα. περὶ μέντοι τῆς ψήφου τῆς ἐπισπωμένης τε, καὶ ξυνδούσης ἑαυτῇ λίθους ἑτέρας, οὐ χρὴ ἀπιστεῖν· ἔστι γάρ σοι καὶ ἰδεῖν τὴν λίθον, καὶ θαυμάσαι τὰ ἐν αὐτῇ πάντα. γίγνεται μὲν γὰρ ἡ μεγίστη κατὰ ὄνυχα δακτύλου τούτου, δείξας τὸν ἑαυτοῦ ἀντίχειρα· κυΐσκεται δὲ ἐν γῇ κοίλῃ βάθος, ὀργυιαὶ τέτταρες. τοσοῦτον δὲ
C αὐτῇ περίεστι τοῦ πνεύματος, ὡς ὑποιδεῖν τὴν γῆν, καὶ κατὰ τὰ πολλὰ ῥήγνυσθαι, κυϊσκομένης ἐν αὐτῇ τῆς λίθου· μαστεῦσαι δὲ αὐτὴν οὐδενὶ ἔξεστιν· ἀποδιδράσκει γὰρ, εἰ μὴ μετὰ λόγου ἀνασπῷτο· ἀλλ' ἡμεῖς μόνοι, τὰ μὲν δράσαντες, τὰ δὲ, εἰπόντες, ἀναιρούμεθα τὴν Παντάρβην· ὄνομα γὰρ αὐτῇ τοῦτο. νύκτωρ μὲν οὖν ἡμέραν ἀναφαίνει καθάπερ τὸ πῦρ· ἔστι γὰρ πυρσὴ, καὶ ἀκτινώ-
D δης. εἰ δὲ μεθ' ἡμέραν ὁρῷτο, βάλλει τοὺς ὀφθαλμοὺς μυρμαρυγαῖς μυρίαις. τὸ δὲ ἐν αὐτῇ φῶς, πνεῦμά ἐστιν ἀρρήτου ἰσχύος· πᾶν γὰρ τὸ ἐγγὺς εἰσποιεῖ αὐτῇ. τί λέγω τὸ ἐγγύς; ἔστι σοι λίθους ὁπόσας βούλει καταποντῶσαί ποι, ἢ τῶν ποταμῶν, ἢ τῆς θαλάττης, καὶ μηδὲ ἐγγὺς ἀλλήλων, ἀλλὰ σποράδας, καὶ ὡς

ἔτυχεν. ἡ δὲ, ἐς αὐτὰς καθιμηθεῖσα, ξυλλέγεται πάσας τῇ τοῦ πνεύματος διαδόσει· καὶ ὑποκείσονται αὐτῇ βοτρυδὸν οἱ λίθοι, καθάπερ σμῆνος. καὶ εἰπὼν ταῦτα, ἔδειξε τὴν λίθον αὐτήν τε, καὶ ὁπόσα ἐργάζεται. τοὺς δὲ Πυγμαίους οἰκεῖν μὲν ὑπογείους, κεῖσθαι δὲ ὑπὲρ τὸν Γάγγην, ζῶντας τρόπον, ὃς πᾶσιν εἴρηται· σκιάποδας δὲ ἀνθρώπους, ἢ Μακροκεφάλους, ἢ ὁπόσα Σκύλακος ξυγγραφαὶ περὶ τούτων ᾄδουσιν, οὔτε ἄλλοσέ ποι βιοτεύειν τῆς γῆς, οὔτε μὴν ἐν Ἰνδοῖς. ὃν δὲ ὀρύττουσι χρυσὸν οἱ γρῦπες, πέτραι εἰσὶν, οἷον σπινθῆρσιν, ἐστιγμέναι ταῖς τοῦ χρυσοῦ ῥανίσιν, ἃς λιθοτομεῖ τὸ θηρίον τοῦτο τῇ τοῦ ῥάμφους ἰσχύϊ. τὰ γὰρ θηρία ταῦτα, εἶναί τε ἐν Ἰνδοῖς, καὶ ἱεροὺς νομίζεσθαι τοῦ ἡλίου· τέθριππά τε αὐτῶν ὑποζευγνῦναι τοῖς ἀγάλμασι, τοὺς τὸν ἥλιον ἐν Ἰνδοῖς γράφοντας. μέγεθός τε, καὶ ἀλκὴν εἰκάσθαι αὐτοὺς τοῖς λέουσιν· ὑπὸ δὲ πλεονεξίας τῶν πτερῶν αὐτοῖς τε ἐκείνοις ἐπιτίθεσθαι, καὶ τῶν ἐλεφάντων τε, καὶ δρακόντων, ὑπερτέρους εἶναι· πέτονται δὲ οὐχ οὕτω μέγα, ἀλλ' ὅσον οἱ βραχύποροι ὄρνιθες. μὴ γὰρ ἐπτιλῶσθαι σφᾶς, ὡς ὄρνισι πάτριον, ἀλλ' ὑμέσι τοὺς ταρσοὺς ὑφάνθαι πυρσοῖς, ὡς εἶναι κυκλώσαντας πέτεσθαί τε, καὶ ἐν μετεώρῳ μάχεσθαι. τὴν Τίγριν δὲ αὐτοῖς, ἀνάλωτον εἶναι μόνην, ἐπειδὴ τὸ τάχος αὐτὴν ἐξισοῖ τοῖς ἀνέμοις. καὶ τὸν Φοίνικα δὲ τὸν ὄρνιν, τὸν διὰ πεντακοσίων ἐτῶν ἐς Αἴγυπτον ἥκοντα, πέτεσθαι μὲν ἐν τῇ Ἰνδικῇ τὸν χρόνον τοῦτον· εἶναι δὲ ἕνα ἐκδιδόμενον τῶν ἀκτίνων, καὶ χρυσῷ λάμποντα, μέγεθος

A contigerit: poſt modum verò hic lapis ad eas demiſſus ſui ſpiritus diſtributione omnes colligit: ita vt coaceruati lapides tanquam examen apum illi ſubiaceant. His dictis lapidem ſimul, & quid efficere poſſet, oſtendit. Pygmæos autem ſub terra degentes ſupra Gangem poſita loca incolere, & ſicut fama de ipſis prædicat viuere, non vanum eſt. Sciapedes verò, id eſt qui ſibi vmbram pedibus parant, & Macrocephalos, B & eiuſcemodi monſtra quotcunque Scylacis hiſtoriæ decantant, nec apud Indos, nec alibi terrarum vſquam viuere cenſeo. Aurum verò, quod Gryphes effodere dicuntur, petræ ſunt aureis guttis minutiſſimis conſperſæ, quas hæc fera roſtro diſcindit. Sunt enim huiuſmodi aues in India, & Soli ſacræ eſſe perhibentur, eaſdémque quadrigis iungunt, qui Solis imaginem apud Indos pingunt. Magnitudine autem, C ac viribus, leonibus pares illas eſſe tradunt, & ob petrarum cupiditatem ſibi inuicem inſidiari; elephantos quoque, ac dracones ſuperare. Volant autem non multùm, ſed quantùm *tardigradæ* aues. Non enim plumatæ ſunt, ſed rubra pellicula alarum coſtæ [tanquam digiti] connectuntur. Itaque in gyrum delatæ aliquantùm volare, & è ſublimi pugnare poſſunt. Solam verò Tigrim inſuperabilem illis eſſe D dicunt, quoniam fugiendi celeritate, qua ventos æquare dicitur, è conſpectu aufugit. Auem quoque Phœnicem eſſe exiſtimamus, quæ quingenteſimo quoque anno in Ægyptum veniens, hanc ipſam Indiam ſuperuolat. Aiunt autem vnicam tantùm hanc auem eſſe, & ex ſe radios emittere, atque auri colore fulgere: magnitudine verò,

A formáque aquilæ in nido conſidere, quem prope Nili fontes ex aromatibus ipſamet ſibi conſtruxit. Hæc verò quæ de ipſa decantant Ægyptij, quo pacto in Ægyptum deferatur, ipſi etiam Indi teſtificantur ſermoni conſentientes, quo dicunt Phœnici in nido liqueſcenti lugubres hymnos decantari oportere. Hoc ipſum & Cygni facere perhibentur ab iis, qui eos audire accuratiùs ſtudent.

ἀετοῦ, καὶ εἶδος, ἐς καλιὰν τ' ἰζάνειν πλὴν ἐκ τοῦ ἀρώματος ποιουμένην αὐτῷ, πρὸς ταῖς τοῦ Νείλου πηγαῖς. ἃ δ' Αἰγύπτιοι περὶ αὐτοῦ ᾄδουσιν, ὡς ἐς Αἴγυπτον φέρεται, καὶ Ἰνδοὶ ξυμμαρτυροῦσι προσᾴδοντες τῷ λόγῳ, τῷ τὸν φοίνικα τὸν ἐν τῇ καλιᾷ τηκόμενον, προπεμπτηρίους ὕμνους αὑτῷ ᾄδειν. τουτὶ δὲ καὶ τοὺς κύκνους φασὶ δρᾶν οἱ σοφώτερον* αὐτῶν ἀκούοντες. γρ. σοφώτεροι

Apollonium apud ſapientes fuiſſe menſes quatuor: tum de pio eius diſceſſu: de ſimiis nigris: de mari rubro ab Erythra rege (ἐρυθρὸν verò rubrum.) De epiſtola eius ad Sapientes: de Hyphaſide, vrbe Patala. Quid de mari rubro ab Orthagora dictum. De Oſtreis maximis, in quibus Margarita lapis. De Pagadibus Oruarum regionis. De piſcedulis, qui Græcè ἰχθυοφάγοι: de vrbe Stoberis. Cap. *XV.*

Tales Apollonij ſermones cum ſapientibus, taliſque conuerſatio fuit menſes quatuor. Tanto C enim tempore apud eos manſit, & ſermones tam arcanos, quàm coram aliis habitos omnes collegit. Poſtquam verò diſcedere ſtatuit, ductorem, camelóſque cum epiſtola ad Phraotem, vt remitteret, perſuaſerunt ſapientes. Ipſi verò alio duce, cameliſque aliis datis ipſum dimiſere, felices ſe, atque illum propter talem congreſſum prædicantes: eúmque venerati, cùm aſſererent non poſt mortem ſolùm, D ſed viuentem & pro Deo habitum iri, in domos ſuas diſceſſere; frequentérque ſe ad abeuntem conuertentes, ſignis multis declarantes inuitos à ſe illum dimittere. Apollonius autẽ dextra quidem Gangem, ſiniſtra verò Hyphaſim fluuios habens, ad mare deſcendit itinere dierum decem à ſacro monte confecto. Deſcendentibus autem ſtruthiones multi etiam occur-

Τοιαίδε μὲν αἱ πρὸς τοὺς σοφοὺς ξυνουσίαι Ἀπολλωνίῳ ἐγένοντο, μηνῶν τεττάρων ἐκεῖ διατρίψαντι, καὶ ξυλλαβόντι λόγους φανερούς τε, καὶ ἀπορρήτους πάντας. ἐπεὶ* δ' ἐξελαύνειν ἐβούλετο, τὸν μὲν ἡγεμόνα, καὶ τὰς καμήλους, πείθουσιν αὐτὸν ἀποπέμψαι τῷ Φραώτῃ μετ' ἐπιστολῆς. αὐτοὶ δ' ἡγεμόνα ἕτερον, καὶ καμήλους δόντες, προέπεμπον αὐτὸν, εὐδαιμονίζοντες αὐτούς τε, κἀκεῖνον. ἀσπασάμενοι δὲ τὸν Ἀπολλώνιον, καὶ θεὸν τοῖς πολλοῖς εἶναι δόξειν οὐ τεθνεῶτα μόνον, ἀλλὰ καὶ ζῶντα φήσαντες, αὐτοὶ μὲν ὑπέστρεψαν ἐς τὸ φροντιστήριον, ἐπιστρεφόμενοι πρὸς τὸν ἄνδρα, καὶ δηλοῦντες ὅτι ἄκοντες αὐτοῦ ἀπαλλάττοιντο. ὁ δ' Ἀπολλώνιος, ἐν δεξιᾷ μὲν τὸν Γάγγην ἔχων, ἐν ἀριστερᾷ δὲ τὸν Ὕφασιν, καθῄει ἐπὶ τὴν θάλατταν, ἡμερῶν δέκα ὁδὸν ἀπὸ τοῦ ἱεροῦ ὄχθου· κατιοῦσι δ' αὐτοῖς, πολλαὶ μὲν στρουθοὶ ἐ- γρ. ἐπειδὴ

φαίνοντο, πολλοὶ δὲ ἄγριοι βόες, πολλοὶ δὲ ὄνοι, καὶ λέοντες, καὶ παρδάλεις, καὶ τίγρεις, καὶ πιθήκων γένος ἕτερον παρὰ τοὺς ἐν τοῖς πεπερίσι, μέλανές τε γὰρ καὶ λάσιοι ἦσαν ἤδη κυνώδεις, καὶ σμικροῖς ἀνθρώποις ἴσοι. διαλεγόμενοι δὲ περὶ τῶν ὁρωμένων ὁποῖα εἰώθεσαν, ἀφίκοντο ἐπὶ τὴν θάλατταν, ἐν ᾗ κατεσκεύαστο ἐμπόρια μικρά. καὶ πλοῖα ἐν αὐτοῖς ὥρμει· πορθμεῖα, παραπλήσια τοῖς Τυρρηνοῖς. τὴν δὲ θάλατταν τὴν ἐρυθρὰν, εἶναι μὲν κυανωτάτην, ὠνομάσθαι δὲ, ὡς εἶπον, ἀπὸ Ἐρύθρα βασιλέως, ὃς ἐπωνόμασεν ἑαυτοῦ ἐκείνῳ τῷ πελάγει. ἐνταῦθα ἥκων, τὰς μὲν καμήλους ἀπέπεμψε τῷ Ἰάρχᾳ μετ' ἐπιστολῆς.

A rerunt: multi etiam boues agreſtes, multíque aſini: leones quoque, ac pantheræ, tigres præterea, & ſimiarum genus longè diuerſum ab iis, quas apud piperis arbores inuenerant. Sunt enim hæ nigræ, villoſæque, & paruis hominibus ſimiles. Colloquentes autem, vt mos eſt, de iis, quæ viderant ad mare rubrum peruenerunt, vbi merces quædam, licet paruæ, paratæ erant, &
B nauigia ad traiiciendum idonea in anchoris ſtabant, Tyrrhenis nauibus ſimilia. Rubrum autem mare vehementer cœruleum eſſe tradunt. Denominant autem rubrum, vt ipſi perhibent, à rege Erythra, qui ex ſuo nomine mare denominauit. Eò igitur cùm perueniſſet Apollonius, camelos retro ad Iarcham cum huiuſmodi epiſtola miſit.

ΑΠΟΛΛΩΝΙΟΣ ΙΑΡΧΑι, καὶ σοφοῖς ἑτέροις χαίρειν.

Ἀφικομένῳ μοι πεζῇ πρὸς ὑμᾶς, δεδώκατε τὴν θάλατταν· ἀλλὰ καὶ σοφίας τῆς ἐν ὑμῖν κοινωνήσαντες, δεδώκατε καὶ διὰ τοῦ οὐρανοῦ πορεύεσθαι. μεμνήσομαι τούτων, καὶ πρὸς Ἕλληνας κοινωνήσω λόγων, ὡς παροῦσιν, εἰ μὴ μάτην ἔπιον τοῦ Ταντάλου. ἔρρωσθε ἀγαθοὶ φιλόσοφοι. Αὐτὸς δὲ ἐπιβὰς νεὼς ἐκομίζετο λείῳ, καὶ εὐφόρῳ πνεύματι, θαυμάζων τὸ στόμα τοῦ Ὑφάσιδος, ὡς φοβερὸς δι' αὐτοῦ ἐκχεῖται. τελευτῶν γὰρ ὡς ἔφην, ἐς χωρία πετρώδη, καὶ στενὰ, καὶ κρημνοὺς ἐκπίπτει. δι' ὧν καταρρηγνὺς ἐς τὴν θάλατταν ἑνὶ στόματι, χαλεπὸς δοκεῖ τοῖς ἄγαν τῇ γῇ προσεχομένοις. καὶ μὴν καὶ τὸ τοῦ Ἰνδοῦ στόμα ἰδεῖν φασι· πόλιν

C *APOLLONIVS IARCHÆ, aliíſque ſapientibus gaudere.*

Cùm ego terreſtri itinere ad vos veniſſem, vos mare dediſtis mihi, & ſapientiam, quæ in vobis mecum communicantes, effeciſtis, vt in cœlum poſſim etiam aſcendere. Ego verò horum meminero, & ſermonum omnium participes Græcos reddam, non ſecus ac ſi ipſi interfuiſſent, niſi fruſtra Tantali po-
D tionem bibi. Valete optimi philoſophi. Ipſe poſt hæc nauem conſcendens, leni vento deferebatur admirans Hyphaſidis fluminis oſtia, qui præceps, terribilíſque in mare defertur. Decurrit enim, vt diximus, per loca petroſa, anguſta, atque prærupta, vbíque refractus vno oſtio: mare ingreditur, pernicioſo admodum iis, qui nauigando nimiũ *terræ* adhæſerint. Indi quoq. fluminis oſtia ſe vidiſſe perhibent, vbi ciuitas

A poſita eſt, nomine Patala, fluenti Indo adiacens. Ibi quoque conueniſſe quondam tradunt Alexandri claſſem, eiúſque gubernatorem, ducémque Nearchum, maritimæ artis peritiſſimum ibidem ſepultum aſſerunt. Quæ verò ab Orthagora de rubro mari narrantur, quòd ibi ſcilicet vrſa non conſpicitur, neque meridiem ſignare nauigantes poſſunt, quódque apparentia illic aſtra ordinem permutant ſuum, vera eſſe Damis etiam aſſerit. B Putandúmque eſt rectè veréque dicta eſſe ſecundum *cæli in ea regione inclinationem*. Meminerunt etiam paruæ inſulæ, quam *Byblum* appellant; ibi maxima conchylia, muricéſque eximiæ magnitudinis naſci perhibent. Oſtrea quoque petris adnaſcuntur decuplo maiora iis, quæ apud Græcos inueniuntur. Ibi etiã capitur in alba *Concha* lapis margarita, quæ in Oſtreis locum cordis dicitur obtinere. C Attigiſſe quoque ferunt Pegadem Oritarum regionem, apud quos æneæ ſunt petræ, æneáq. arena, æris etiã *ramenta*, deferre fluuios aſſerũt. *Proinde auriferã exiſtimant terrã, ob æris præſtantiã. Narrãt præterea ad Ichthyophagos piſcib. victitantes* perueniſſe, qui vrbem incolunt nomine Stoberam: vbi ex magnorum piſciũ membranis veſtes intexunt. Ibíque pecudes eſſe etiam piſciuoras, quòd ea comedant, quæ minimè naturæ ſuæ conueniant. D Paſtores enim piſcibus illas alere conſueuerunt, ſicut in Caria ficubus eaſdem paſcunt. Indi verò Carmani cognominati genus planè manſuetum, adeò piſcoſum mare accolunt, vt nunquam ſeruandi cauſa piſces reponant: neque ſicut in ponto fit, ipſos ſale condiãt, ſed ex iis quos capiunt, paucos quidem vendunt, plurimos verò palpitantes in mare demittunt.

A ἡ δὲ ἐπ' αὐτοῦ κεῖσθαι Πάταλα, περίρρυτον τῷ Ἰνδῷ. ἐς ἣν τὸ ναυτικὸν τοῦ Ἀλεξάνδρου ξυνελθεῖν, ᾧ ναύαρχον ἐπιτετάχθαι* Νέαρχον, οὐκ ἀγύμναστον* τῆς θαλαττίου τάξεως· ἃ δὲ Ὀρθαγόρᾳ περὶ τῆς ἐρυθρᾶς εἴρηται, καὶ ὅτι μήτε ἡ ἄρκτος ἐν αὐτῇ φαίνοιτο, μήτε σημαίνοιντο τὴν μεσημβρίαν οἱ πλέοντες, οἵ τε ἐπίδηλοι τῶν ἀστέρων ἐξαλλάττοιντο τῆς αὐτῶν τάξεως, δοκεῖ καὶ B Δάμιδι. καὶ χρὴ πιστεύειν ὑγιῶς τε, καὶ κατὰ τὸν ἐκεῖ οὐρανὸν εἰρῆσθαι ταῦτα. μνημονεύουσι καὶ νήσου μικρᾶς, ᾗ ὄνομα εἶναι Βύβλον, ἐν ᾗ τὸ τοῦ κογχυλίου μέγεθος καὶ οἱ μύες, ὄστρεά τε, καὶ τὰ τοιαῦτα, δεκαπλάσια τῶν Ἑλληνικῶν τὸ μέγεθος, ταῖς πέτραις περιπεφυκὲν ἁλίσκεσθαι δὲ καὶ λίθος ἐκεῖ μαργαρὶς ἐν ὀστράκῳ λευκῷ, καρδίας τόπον ἔ- C χουσα τοῦ ὀστρέου. καταχθῆναι δέ φασι καὶ ἐς Πηγάδας τε τῆς Ὠρειτῶν χώρας. οἱ δὲ Ὠρεῖται, χαλκαῖ μὲν αὐτοῖς αἱ πέτραι, χαλκῆ δὲ ἡ ψάμμος, χαλκοῦν δὲ ψῆγμα οἱ ποταμοὶ ἄγουσι· χρυσῖτιν ἡγοῦνται τὴν γῆν, διὰ τὴν εὐγένειαν τοῦ χαλκοῦ. φασὶ δὲ καὶ τοῖς Ἰχθυοφάγοις ἐντυχεῖν, οἷς πόλιν εἶναι Στόβηρα· διφθέρας δὲ τούτους ἐνῆφθαι μεγίστων ἰχθύων, καὶ τὰ πρόβατα τὰ ἐκείνῃ ἰχθυώδη εἶναι, καὶ φαγεῖν D ἄτοπα. σιτεῖν γὰρ τοὺς ποιμένας βόσκειν αὐτὰ τοῖς ἰχθύσιν, ὥσπερ ἐν Καρίᾳ τοῖς σύκοις. Καρμανοὶ δὲ Ἰνδοί, γένος ἥμερον, εὐιχθύων οὕτω νέμονται θάλατταν, ὡς μηδ' ἀποθέτους ποιεῖσθαι τοὺς ἰχθῦς, μηδὲ ὥσπερ ὁ πόντος ταριχεύειν, ἀλλ' ὀλίγους μὲν αὐτῶν ἀποδίδοσθαι, τοὺς δὲ πολλοὺς ἀσπαίροντας ἀποδιδόναι τῇ θαλάττῃ.

σχολ. ἐφίσταθαι
σχ. ἄπειρον

De Balaris vbi emporium, de Seleris ſacra inſula: de Nereide ſæua nautis. de margarita & belluis plurimis rubri maris, déque reditu ad Babylonem. Vtque in Antiochiam profectus, & contumelis ibi affectus in Cyprum ad Paphum, vbi Veneris templum nauigauerit. CAP. XVI.

A Προσπλεῦσαί φασι καὶ Βαλάροις. ἐμπόριον δὲ εἶναι τὰ Βάλαρα, μεστὸν μυρρινῶν τε, καὶ φοινίκων. καὶ δάφνας ἐν αὐτῷ ἰδεῖν, καὶ πηγαῖς διαρρεῖσθαι τὸ χωρίον. κήποις δὲ, ὁπόσοι ζωκτοὶ, καὶ ὁπόσοι ἀνθέων κῆποι, βρύειν αὐτό. καὶ λιμένας μεστοὺς γαλήνης, ἐν αὐτῷ εἶναι. προκεῖσθαι δὲ τοῦ χωρίου τούτου νῆσον ἱεράν, ἣν καλεῖσθαι Σέληρα· καὶ στάδια B μὲν ἑκατὸν εἶναι τὸν πορθμόν· Νηρηΐδα δὲ οἰκεῖν ἐν αὐτῇ, δεινὴν δαίμονα· πολλοὺς γὰρ τῶν πλεόντων ἁρπάζειν· καὶ μηδὲ ταῖς ναυσὶ ξυγχωρεῖν πεῖσμα ἐκ τῆς νήσου βάλλεσθαι. ἄξιον δὲ μηδὲ τὸν περὶ τῆς ἑτέρας μαργαρίτιδος παρελθεῖν λόγον, ἐπεὶ μηδὲ Ἀπολλωνίῳ μειρακιώδης ἔδοξεν, ἀλλὰ πλάττεται ἥδιστος, καὶ τῶν ἐν θαλαττουργίᾳ* θαυμασιώτατος. τὰ γὰρ τετραμμένα τῆς νήσου πρὸς τὸ πέ- C λαγος· ἐστὶ μὲν ἄπειρος πυθμὴν θαλάττης, φέρει δὲ ὄστρεον ἐν ἐλύτρῳ λευκῷ, μεστὸν πιμελῆς. οὐδὲ γὰρ λίθον φύει οὐδένα. γαλήνην δὲ ἐπιφυλάξαντες, καὶ τὴν θάλατταν αὐτοὶ λεάναντες, τοῦτο δὲ ἡ τοῦ ἐλαίου ἐπιρροὴ πράττει, καταδύεταί τις ἐπὶ τὴν θήραν τῶν ὀστρέων, τὰ μὲν ἄλλα, κατεσκευασμένος ὥσπερ οἱ D τὰς σπογγιὰς κείροντες· ἔστι δὲ αὐτῷ καὶ πλινθὶς σιδηρᾶ, καὶ ἀλάβαστρος μύρου. παριζήσας οὖν ὁ Ἰνδὸς τῷ ὀστρέῳ, δέλεαρ αὐτοῦ τὸ μύρον ποιεῖται· τὸ δὲ ἀνοίγνυταί τε, καὶ μεθύει ὑπ' αὐτοῦ.

* γ. θαυματουργία

AD Balara quoque ferunt appuliſſe. Eſt autem Balara emporium myrtis, palmíſque abundans. Laurus quoque nonnullas illic videri tradunt. Scatet autem fontibus tota regio. Hortíque ibidem plurimi ſunt omni genere olerum, atque florum abundantes: portus etiam maximè quieti, atque tranquilli. Oppoſita eſt autem regioni illi ſacra inſula, quam Seleram vocant: ea freto ſtadiorum centum à continenti diuiditur. Hanc tenere dicunt Nereidem Deam ſæuam, atque infeſtam, & prætemauigantium multos rapientem, quæ nec anchoras inſulæ applicare nautas patitur. Dignum quoq. exiſtimaui, quæ de altero margaritarum genere traduntur, non prætermittere: quandoquidem, & ipſi Apollonio res viſa eſt leuis quidem, ſed auditu iucunda, & *eorum quæ in mari fiunt* omnium mirabiliſſima. Nam qua parte inſula pelagus reſpicit, immenſa eſt maris altitudo. Fert autem alba Oſtrea quadam pinguedine referta. Lapidem autem nullum producunt. Inde maris tranquillitatem obſeruantes aquæ ſuperficiem quaſi olei cuiuſdam effuſione liniunt. Quod animaduertentes Indi ad Oſtrea capienda ingrediuntur, ita inſtructi paratíque, ſicut qui ſpongias colligunt. Eſt autem his ferreus later, & albaſtrum vnguenti, atque ita prope Oſtrea conſidentes Indo vnguento, quaſi eſca ad fallendum vtuntur: namq. illo perfuſa Oſtrea ſeſe aperientia inebriantur.

Tunc

Tunc ferreo ſtylo perforata quaſi
ſaniem quandam emittunt. hanc
venator ferreo latere excipit, qui
in varias multiplicéſq. formas con-
cauatus eſt. Ea verò poſtmodum ſa-
nies lapideſcit, atque in modum
naturalis margaritæ albus ille ſan-
guis obdureſcit, & hæc eſt quæ ex ru-
bro mari colligitur margarita. Huic
autem venationis generi Arabes ma-
ximè intendunt ex oppoſito deſi-
nentis maris habitantes. Reliqua
maris huius pars multis, variiſque
belluis referta eſt: quin etiam illic
vagari feruntur. quapropter naues
tutelæ cauſa tintinnabula quædam
tam à prora, quàm à puppi defe-
runt, quorum ſonitu terrefactæ bel-
luæ nauibus non appropinquant.
Poſt hæc Apollonius, ſociíque flu-
minis Euphratis oſtia ingreſſi, &
per ipſum fluuium nauigantes Ba-
byloniam ad Bardanem peruenere,
quem talem, qualem antea dimiſe-
rant recognoſcentes, rurſus in Ni-
num abiere. Illinc Antiochiam ve-
nientes, cùm ſolito more à ciuibus
contumeliis afficerétur, quòd à Græ-
corum ſtudiis penitus abhorrerent,
iterum ad mare iuxta Seleuciam de-
ſcenderunt. Vbi fortè nauigio re-
perto in Cyprum inſulam nauiga-
runt, & Paphum, vbi præclarum
eſt Veneris templum, quod ex col-
latitiis pecuniis extructum admira-
tus eſt Apollonius. Cúmque multa
eius templi ſacerdotes edocuiſſet,
atque vt templum ſanctè, piéque
colerent, eſſet cohortatus: in Io-
niam nauigauit vir ſumma admira-
tione dignus: plurimíque faciendus
ab iis, qui philoſophiam colunt.

A κέντρῳ τε διηθὲν, ἀποπτύει τὸν ἰχῶ-
ρα. ὁ δὲ, ἐκδέχεται αὐτὸν τῇ πλινθίδι,
τύποις ὀρωρυγμένῃ. λιθοῦται δὲ τοὐν-
τεῦθεν, καὶ ῥυθμίζεται, καθάπερ ἡ
φύσει μαργαρίς· κἄστιν ἡ μαργαρίς,
αἷμα λευκὸν, ἐξ ἐρυθρᾶς τῆς θαλάτ-
της. ἐπιτήδευσθαι δὲ τὴν θήραν ταύτην καὶ
τοὺς Ἀραβίους φασὶν, ἀντιπέρας οἰ-
κοῦντας. τὸ δὲ ἐντεῦθεν, θηριώδη μὲν
τὴν θάλατταν εἶναι πᾶσαν, ἀγελάζε-
B σθαι δὲ ἐν αὐτῇ τὰ κήτη· τὰς δὲ ναῦς,
ἔρυμα τούτου κωδωνοφορεῖν κατὰ πρύ-
μναν τε, καὶ πρῷραν. τὴν δὲ ἠχὼ,
ἐκπλήττειν τὰ θηρία, καὶ μὴ ἐᾶν ἐμ-
πελάζειν ταῖς ναυσί. καταπλεύσαντες
δὲ ἐς τὰς ἐκβολὰς τοῦ Εὐφράτου, φα-
σὶν ἐς Βαβυλῶνα δι' αὐτοῦ ἀναπλεῦσαι
παρὰ τὸν Οὐαρδάνην. καὶ τυχόντες
αὐτοῦ οἵου ἐγίγνωσκον, ἐπὶ τὴν Νῖνον
C ἐλθεῖν αὖθις· καὶ τῆς Ἀντιοχείας συνή-
θως ὑβριζούσης, καὶ μηδὲν τῶν Ἑλ-
ληνικῶν ἐσπουδακυίας, ἐπὶ θάλατ-
ταν τε καταβῆναι τὴν ἐπὶ Σελεύκειαν,
νεώς τε ἐπιτυχόντας, περιπλεῦσαι
Κύπρον κατὰ τὴν Πάφον, οὗ τὸ τῆς
Ἀφροδίτης ἕδος, ὃ ξυμβολικῶς ἱδρυ-
μένον, θαυμάσαι τὸν Ἀπολλώνιον.
καὶ πολλὰ τοὺς ἱερέας ἐς τὴν οἰκίαν
D τοῦ ἱεροῦ διδαξάμενον, ἐς Ἰωνίαν
πλεῦσαι, θαυμαζόμενον ἱκανῶς, καὶ
μεγάλων ἀξιούμενον παρὰ τοῖς σο-
φίαν τιμῶσιν.

ΦΙΛΟΣΤΡΑΤΟΥ ΕΙΣ ΤΟΝ ΑΠΟΛΛΩΝΙΟΥ ΤΟΥ ΤΥΑΝΕΩΣ ΒΙΟΝ, ΒΙΒΛΙΟΝ Δ΄.

PHILOSTRATI DE VITA APOLLONII TYANEI, LIBER QVARTVS.

Quanti omnes fecerint Apollonium in patriam reuerſum. Tum de legatis ad eum, & oratione ad Epheſios. Hinc quemadmodum voces paſſerum quorundam inter concionandum Epheſiis interpretatus fuerit. Poſtea de peſtilentia, quæ inuaſit Epheſios.

CAPVT PRIMVM.

A ἘΠΕΙΔΗ δὲ εἶδον τὸν ἄνδρα ἐν Ἰωνίᾳ, παρελθόντα ἐς τὴν Ἔφεσον, οὐδὲ οἱ βάναυσοι ἔτι πρὸς ταῖς ἑαυτῶν τέχναις ἦσαν· ἀλλ᾽ ἠκολούθουν, ὁ μὲν σοφίας, ὁ δὲ, εἴδους, ὁ δὲ, διαίτης, ὁ δὲ, σχήματος, οἱ δὲ, πάντων ὁμοῦ θαυμαστοὶ ὄντες. λόγοι τε περὶ αὐτοῦ ἐφοίτων. οἱ μὲν, ἐκ τοῦ Κολοφῶνι
B μαντείου, κοινωνὸν τῆς ἑαυτοῦ σοφίας, καὶ ἀτεχνῶς σοφὸν, καὶ τὰ τοιαῦτα τὸν ἄνδρα ᾄδοντες· οἱ δὲ, ἐκ Διδύμων· οἱ δὲ, ἐκ τοῦ περὶ τὸ Πέργαμον ἱεροῦ. πολλοῖς γὰρ τῶν ὑγιείας δεομένων, ὁ θεὸς ἐκέλευε προσφοιτᾶν τῷ Ἀπολλωνίῳ. τουτὶ γὰρ αὐτός τε βούλεσθαι, καὶ δοκεῖν
C ταῖς μοίραις. ἐφοίτων καὶ πρεσβεῖαι πρὸς αὐτὸν ἐκ τῶν πόλεων, ξένον τε αὐτὸν ἡγούμενοι, καὶ βίου ξύμβουλον, βωμῶν τε ἱδρύσεως, καὶ ἀγαλμάτων. ὁ δὲ, ἕκαστα τούτων, τὰ μὲν, ἐπι-

POSTQVAM virum in patriã reuerſum, Epheſúmque ingrediẽtẽ, Iones viderũt, ne ſordidos quidẽ opifices ſuæ continuerunt artes: ſed populus omnis vadentem proſequebatur. Alij quidem ſapientiã, alij oris formã, alij viuendi normã, alij corporis habitum, quidam etiam omnia ſimul admirãtes. Sermones quoq. de ipſo varij ferebãtur, cùm ipſum quidam ex oraculo Colophonio, illius participẽ ſapientiæ, & iã plenè perfectéq; ſapientẽ factum venire prædicarent: alij ex Didymæo, alij ex Pergaméo templo venire illum aſſererent. Multos enim ſanitatem ab oraculo petẽtes iubebat Deus ad Apollonium accedere. Sic enim ſibi Deo placere, & fata poſtulare dicebat. Legationes quoq. ex ciuitatibus ad eum veniebant, hoſpitem illum & agendæ vitæ conſiliarium ſibi fieri poſtulantes, orantéſque vt quo pacto ſtatuę aræve dicãdæ eſſent, edoceret. Ipſe verò de his omnib. partim per epi-

ſtolas reſpõdebat, partim eò ſe ven-
turum promittens, quid interea eſſet
agendum, præmonebat. Cùm Smyr-
næi legatos miſiſſent, nihil aliud ab
eo poſcentes, niſi vt quamprimùm
ad ſe veniret: Legatum interrogauit
Apollonius quid eſſet, cur ſui tanto-
pere indigerent. Ille autem, Videre
te, ac videri abs te nobis eſt opus. in-
quit: cui Apollonius, Veniam, in-
quit: vos autem Muſæ illis interim,
vt ſeſe inuicem ament, concedite.
Et primam quidem ad Epheſios ora-
tionem habuit, ſtans in templi cre-
pidine: neque Socraticorum more
loquens, ſed apertè vitia redarguens,
atque deteſtans ad philoſophiæ ſtu-
dium illos compellere nitebatur:
quos odio, ſuperbiáque plenos in-
uenit. Choreis etiam, & ſaltationi-
bus omnino dediti, fiſtulis, tibiíſq;
omnia complerant, effeminatíſque
viris, tota ciuitas referta erat, canti-
búſque omnia loca reſonabant. Ip-
ſe verò, quanquam Epheſij in eius
gratiam illa tranſpoſuiſſent, tamen
non permittenda exiſtimauit, ſed
corripuit, atque inuiſa multis reddi-
dit. Sermones autem plurimos in lu-
cis habuit, qui ſunt apud xyſtum,
vbi cùm aliquando de communi
concordia diſputaret, doceretque
oportere Epheſios ſeſe mutuò nu-
trire, atque nutriri: paſſeres fortè in
arbore quadam taciti conſidebant:
vnus autem ex ipſis tanquam alicu-
ius rei nuntius vocem emiſit, qua
viſus eſt aliquid ceteris prædicere:
eo audito ceteri clamorem tollentes,
poſt ipſum volarunt. Tunc aliquan-
diu tacitus Apollonius, ſciens qui-
dem quam ob cauſam paſſeres voli-
taſſent, nondum tamen auditoribus
id narrabat: vbi verò omnes in ſe cõ-
uerſos, & quaſi portentum aliquod

A στέλλων, τὰ δέ, ἀφίξεσθαι φάσκων,
διορθοῦτο. πρεσβευσαμένης δὲ καὶ τῆς
Σμύρνης, καὶ ὅ,τι μὲν δέοιτο οὐκ εἰπού-
σης, ἐκλιπαρούσης δὲ ἀφικέσθαι, ἤρε-
το τὸν πρεσβευτὴν ὅ,τι αὐτοῦ δέοιντο.
ὁ δὲ, ἰδεῖν, ἔφη, καὶ ὀφθῆναι. ὁ δὲ
Ἀπολλώνιος, ἀφίξομαι, εἶπε, καὶ
δοίητε, ὦ Μοῦσαι, καὶ ἐρασθῆναι ἀλλή-
B λων. τὴν μὲν δὴ διάλεξιν τὴν προτέ-
ραν, ἀπὸ τῆς κρηπῖδος τοῦ νεὼ πρὸς
τοὺς Ἐφεσίους διελέχθη, οὐχ ὥσπερ οἱ
Σωκρατικοὶ, ἀλλὰ τῶν μὲν ἄλλων, ἀ-
πάγων τε, καὶ ἀποσπουδάζων. φιλοσο-
φίᾳ δὲ μόνῃ ξυμβουλεύων, καὶ σπου-
δῆς ἐμπιπλάναι τὴν Ἔφεσον μᾶλλον,
ἢ ῥαθυμίας τε, καὶ ἀγερωχίας, ὁπόσην
εὗρεν. ὀρχηστῶν γὰρ ἡττημένοι, καὶ πρὸς
πυρρίχαις αὐτοὶ ὄντες, αὐλῶν μὲν
C πάντα μεστὰ ἦν, μεστὰ δὲ ἀνδρογύ-
νων, μεστὰ δὲ κτύπων. ὁ δὲ, καίτοι με-
ταθεμένων τῶν Ἐφεσίων πρὸς αὐτὸν,
οὐκ ἠξίου περιορᾶν ταῦτα, ἀλλ' ἐξῄρει
αὐτὰ, καὶ διέβαλε τοῖς πολλοῖς. τὰς δὲ
ἄλλας διαλέξεις, περὶ τὰ ἄλση τὰ ἐν
τοῖς ξυστοῖς δρόμοις ἐποιεῖτο. διαλεγο-
μένου δέ ποτε περὶ κοινωνίας, καὶ δι-
δάσκοντος ὅτι χρὴ τρέφειν τε, ἀλλή-
λους, καὶ ὑπ' ἀλλήλων τρέφεσθαι, στρου-
D θοὶ μὲν ἐκάθηντο ἐπὶ τῶν δένδρων
σιωπῶντες. εἷς δὲ αὐτῶν προσπετόμε-
νος, ἐβόα, παρακελεύεσθαί τι δοκῶν τοῖς
ἄλλοις. οἱ δὲ, ὡς ἤκουσαν, αὐτοί τε ἀνέ-
κραγον· καὶ ἀρθέντες, ἐπέτοντο ὑπὸ
τῷ ἑνί. ὁ μὲν δὴ Ἀπολλώνιος, εἴχετο
τοῦ λόγου, γιγνώσκων μὲν ἐφ' ὅ,τι οἱ
στρουθοὶ πέτοιντο, πρὸς δὲ τοὺς πολλοὺς
οὐχ ἑρμηνεύων αὐτό. ἐπεὶ δὲ ἀνέβλεψαν ἐς αὐτὸν πάντες, καὶ ἀνοήτως ἔνιοι

τερατῶδες αὐτὸ ἐνόμισαν, παραλλάξας ὁ Ἀπολλώνιος τοῦ λόγου, παῖς, εἶπεν, ὠλίσθησεν, ἀπάγων πυροὺς ἐν σκάφῃ· καὶ κακῶς αὐτοὺς ξυλλεξάμενος, αὐτὸς μὲν ἀπελήλυθε, πολλοὺς δὲ ἐσκεδασμένους ἀπολέλοιπεν ἐν στενωπῷ τῷ δεῖνι. ὁ δὲ στρουθὸς παρατυχὼν τούτοις, περιέξενος τοῖς ἄλλοις ἥκει τοῦ ἑρμαίου, καὶ ποιεῖται αὐτοὺς ξυσσίτους. οἱ μὲν δὴ πλεῖστοι τῶν ἀκροωμένων, δρόμῳ ἐπὶ τοῦτο ᾤχοντο· ὁ δὲ Ἀπολλώνιος, πρὸς τοὺς παρόντας διῄει τὸν λόγον, ὃν περὶ κοινωνίας προὔθετο. καὶ ἐπειδὴ ἀφίκοντο βοῶντές τε, καὶ μεστοὶ θαύματος, οἱ μὲν στρουθοί, εἶπεν, ὁρᾶτε ὡς ἐπιμέλονταί τε ἀλλήλων, καὶ κοινωνίᾳ χαίρουσιν. ἡμεῖς δὲ, οὐκ ἀξιοῦμεν, ἀλλὰ κἂν κοινωνοῦντα ἑτέροις ἴδωμεν, ἐκεῖνο* μὲν ἀσωτίαν, καὶ τρυφὴν, καὶ τὰ τοιαῦτα ἡγούμεθα· τοὺς δὲ ὑπ᾽ αὐτοῦ τρεφομένους παρασίτους τε, καὶ κόλακας φαμέν. καὶ τί λοιπὸν, ἀλλ᾽ ἢ ξυγκλείσαντας αὐτοὺς, ὥσπερ τοὺς σιτευομένους τῶν ὀρνίθων, ἐν σκότῳ γαστρίζεσθαι, μέχρις ἂν διαρραγῶμεν παχυνόμενοι. λοιμοῦ δὲ ὑφέρποντος τὴν Ἔφεσον, καὶ οὔπω ἀνοιδούσης τῆς νόσου, ξυνῆκε μὲν ὁ Ἀπολλώνιος τῆς προσβολῆς· ξυνεὶς δὲ, προὔλεγε. πολλαχοῦ δὲ τῶν διαλέξεων, ὦ γῆ, μένε ὁμοία· καὶ τὰ τοιαῦτα ἀπεφθέγγετο ξὺν ἀπειλῇ. τοὺς δὲ, σῶζε, καὶ οὐ παρελεύσῃ* ἐνταῦθα. οἱ δ᾽ οὐ προσεῖχον, καὶ τερατολογίαν τὰ τοιαῦτα ᾤοντο· τοσῷδε μᾶλλον, ὅσῳ καὶ ἐς πάντα τὰ ἱερὰ φοιτῶν, ἀποτρέπειν* αὐτὸ ἐδόκει,

γ. ἀσώτ. γ. ἀποτρ.

A admirantes aſpexit; tunc rupto ſilentio ſic eſt locutus: Puer quidam *lapſus* effuſum frumentum in arcam demiſit, cùm negligenter illud collegiſſet, abiit multa grana paſſim in angiporto ſparſa relinquens. Quæ cùm paſſer ille inueniſſet, ceteris, vt vidiſtis, nuntians inuentum cibum communicauit. His verbis permulti commoti ad hoc viſendum concurrêre. Ipſe verò iis, qui manſerunt, cœptum ſermonem de
B communi ſocietate ſeruanda proſecutus eſt. Poſtquam verò qui viſum ierant, cum clamore atque admiratione ſumma reuerſi ſunt: Videtis, inquit Apollonius, quo pacto paſſeres mutuam de ſe curam habent, quantúmque communi gaudeant ſocietate: nos autem homines eam colere dedignamur; & quod maius eſt, ſi quem boni quicquam ceteris impertiētem viderimus, cum prodigum aut ambitioſum, aut ali-
C quid eiuſmodi arbitramur: qui verò ab ipſo nutriuntur, paraſitos aut adulatores appellamus. Quòd ſi bona aliis communicandi facultas adimatur, quid aliud ſupereſt, niſi vt ſe quiſque domi occludens, velut aues, quas pinguefaciendi cauſa in tenebris paſcimus, vſque ad ventris diruptionem pingueſcat? Cùm peſtis Epheſum paulatim inuaderet, neque adhuc tamen ſatis apertè di-
D gnoſceretur, prænoſcens Apollonius venturum malum, palàm id cœpit prædicare, ac plerunque inter loquendum dicere ſolebat, ô terra ſimilis perſeuera. minitánſq. talia verba, Salua hos, & non præteribis *hîc*, [ſermones interſerebat.] Verùm Epheſij verbis eius mentem non adhibebant, quaſi monſtrum quoddam eius verba reputantes. Idq. eò magis putabant, quò ipſe Deorum omnia templa ambiens, id malum auertere,

amoueréque nitebatur. Poſtquam verò ingraueſcere morbus cœpit, nihil iam amplius illis prodeſſe poſſe arbitratus, reliquas Ioniæ partes peragrauit, quæ malè apud quoſque diſpoſita erant, dirigẽs, & aliquid ſemper diſputans, quod audientibus profuturum cenſeret.

A καὶ ἀπεύχεσθαι. ἐπεὶ δὲ ἀνέτως εἶχον τοῦ πάθους, ἐκείνοις μὲν οὐδὲν ᾤετο δεῖν ἐπαρκεῖν ἐπὶ πλέον, τὴν δὲ ἄλλην Ἰωνίαν περιῄει, διορθούμενος τὰ παρ᾽ ἑκάστοις, καὶ διαλογιζόμενος ἀεί τι συντεῖνον τοῖς παροῦσιν.

Quid fecerit, reliquam circuiens Ioniam Apollonius, prædicando, adhortandóque ad bene beatéque viuendum, & ad ſtudia bonarum artium. Dehinc Smyrnam vrbem omnium, quæ ſub Sole ſunt, pulcherrimam extitiſſe, necnon viris præclaris potiùs, quàm ædificiis vrbes ornare oportere. Diſſenſionem præterea, & diſcordiam pro bono reipub. plurimùm prodeſſe ciuitatibus. CAP. II.

VENIENTI autem Smyrnam, B obuiam Iones proceſſere; qui tum fortè *ſacra pro communi Ioniæ ſalute celebrabant. Cùmque decretum legiſſet Ionum, quo eum concilij, ſacrorúmque participem faciebant, noménque in eo inueniſſet haudquaquam Ionicum (erat enim Luculli cuiuſdam nomen appoſitum) ſcripſit ad commune conſilium epiſtolam, de eiuſmodi barbariſmo illos redarguens: nam Fabricium, & alia eiuſmodi nomina, in eorum decretis inuenerat. Quam vehementer igitur, grauitérque hac de cauſa illos redarguerit, ipſa epiſtola ſuper hoc ſcripta demonſtrat. Poſtridie verò ad Iones reuerſus, *quiſnam* crater in medio poſitus eſſet, interrogauit. *Illi, publicum Ionum* reſponderunt. Tum ipſe quoque ex illo hauriens, libauit, dicens: D Dij præſides Ionum date huic præclaræ coloniæ, vt placato mari vti poſſit: terra verò nihil mali, aut noxij eidem pariat, aut Ægæon terræmotor illorum quatiat ciuitates. Hæc Apollonius precatus eſt, iam, vt opinor, imminere præuidens, quæ poſteris temporibus Smyrnæ, Mileto, Chióque & Samo, aliiſque Ioniæ ciuitatibus contigere. Cùm

ſacra hæc in æde Apollinis Panionij pro communi ſalute fiebant.

Ἀφικουμένῳ δὲ αὐτῷ ἐς τὴν Σμύρναν, προσαπτεύτων μὲν οἱ Ἴωνες· καὶ γὰρ ἔτυχον πανιώνια θύοντες· ἀναγνοὺς δὲ καὶ ψήφισμα Ἰωνικὸν, ἐν ᾧ ἐδέοντο αὐτοῦ κοινωνῆσαι σφίσι τοῦ ξυλλόγου, καὶ ὀνόματι προστυχὼν ἥκιστα Ἰωνικῷ, Λούκουλλος γάρ τις ἐπεγέγραπτο τῇ γνώμῃ, πέμπει ἐπιστολὴν ἐς τὸ κοινὸν αὐτῶν, C ἐπίπληξιν ποιούμενος περὶ τοῦ βαρβαρισμοῦ τούτου· καὶ γὰρ δὴ καὶ Φαβρίκιον, καὶ τοιούτους ἑτέρους ἐν τοῖς ἐψηφισμένοις εὗρεν. ὡς μὲν οὖν ἐρρωμένως ἐπέπληξε, δηλοῖ ἡ περὶ τούτου ἐπιστολή. παρελθὼν δὲ ἐπ᾽ ἄλλης ἡμέρας ἐς τοὺς Ἴωνας, τίς, ἔφη, κρατὴρ οὗτος; οἱ δὲ, ἔφασαν, πανιώνιος. ἀρυσάμενος οὖν, καὶ σπείσας, θεοὶ, εἶπεν, Ἰώνων ἡγεμόνες, δοίητε τῇ καλῇ ἀποικίᾳ ταύτῃ, θαλάττῃ ἀσφαλεῖ χρῆσθαι, καὶ μηδὲν τῇ γῇ κακὸν ἐξ αὐτῆς προσκωμάσαι, μηδὲ Αἰγαίωνα σεισίχθονα τινάξαι ποτὲ τὰς πόλεις. τοιαῦτα ἐπεθείαζε, προορῶν οἶμαι τὰ χρόνοις ὕστερον περὶ τὴν Σμύρναν, περὶ τὴν Μίλητον, περί τε Χίον, καὶ Σάμον, καὶ πολλὰς τῶν Ἰάδων ξυμβάντα.

σπουδῇ δὲ ὁρῶν τοὺς Σμυρναίους, καὶ πάντων* ἁπλομένους λόγων, ἐπερρώνυε, καὶ σπουδαιοτέρους ἐποίει· φρονεῖν τε ἐκέλευσεν ἐφ᾽ ἑαυτοῖς μᾶλλον, ἢ τῷ τῆς πόλεως εἴδει· καὶ γὰρ εἰ καὶ καλλίστη πόλεων, ὁπόσαι ὑπὸ ἡλίῳ εἰσί, καὶ τὸ πέλαγος οἰκεῖται, Ζεφύρου τε πηγὰς ἔχει, ἀλλ᾽ ἀνδράσιν ἐστεφανῶσθαι αὐτὴν ἥδιον, ἢ στοαῖς τε, καὶ γραφαῖς, καὶ χρυσῷ πλείονι τοῦ ὄντος· τὰ μὲν γὰρ οἰκοδομήματα ἐπὶ τοῦ αὐτοῦ μένειν, οὐδαμοῦ ὁρώμενα, πλὴν ἐκείνου τοῦ μέρους τῆς γῆς, ἐν ᾧ ἐστιν· ἄνδρας δὲ ἀγαθοὺς πανταχοῦ μὲν ὁρᾶσθαι, πανταχοῦ δὲ φθέγγεσθαι· τὴν δὲ πόλιν, ἧς γεγόνασιν, ἀποφαίνειν τοσαύτην, ὅσην περ αὐτοὶ γῆν ἐπελθεῖν δύνανται. ἔλεγε δὲ τὰς μὲν πόλεις τὰς οὕτω καλὰς, ἐοικέναι τῷ τοῦ Διὸς ἀγάλματι, ὃς ἐν Ὀλυμπίᾳ τῷ Φειδίᾳ ἐκπεποίηται. καθῆσθαι γὰρ αὐτὸ οὕτως ὡς τῷ δημιουργῷ ἔδοξε· τοὺς δὲ ἄνδρας ἐπὶ πάντα ἥκοντας, μηδὲν ἀπεοικέναι τοῦ Ὁμηρείου Διὸς, ὃς ἐν πολλαῖς ἰδέαις Ὁμήρῳ πεποίηται, θαυμασιώτερον τοῦ ξυγκειμένου τοῦ ἐλεφαντίνου· τὸν μὲν γὰρ ἐν γῇ φαίνεσθαι, τὸν δὲ, ἐς πάντα ἐν τῷ οὐρανῷ ὑπονοεῖσθαι. καὶ μὴν καὶ περὶ τοῦ πῶς ἂν πόλις ἀσφαλῶς οἰκοῖτο, ξυνεφιλοσόφει τοῖς Σμυρναίοις, διαφερομένοις ὁρῶν ἀλλήλοις, καὶ μὴ ξυγκειμένοις τὰς γνώμας· ἔλεγε γὰρ δὴ τὴν ὀρθῶς οἰκησομένην πόλιν ὁμονοίας στασιαζούσης δεῖσθαι. τούτου δὲ ἀπιθανῶς τε, καὶ οὐκ ἐς τὸ ἀκόλουθον εἰρῆσθαι δόξαντος, ξυνεὶς ὁ Ἀπολλώνιος ὅτι μὴ ἕποιντο οἱ πολλοὶ τῷ λόγῳ, λευκὸν μὲν, ἔφη, καὶ μέλαν, οὐκ ἄν ποτε ταὐτὸν

γρ. ἁπτομένους

A videret Iones bonarum artium ſtudiis deditos, ſummáque induſtria illis incumbentes, oratione eoſdem cohortatus promptiores ad proſequenda ſtudia reddidit; iubens magis erga ſe ipſos, quàm erga vrbis ornatum, prudentiam exercere. Et ſi enim vrbs omnium, quæ ſub Sole reperiuntur pulcherrima ſit, & pelago alluatur, & Zephyri fontes poſſideat, præſtantiùs tamen eſſe illam ſtudioſis viris coronatam eſſe, B *quàm porticibus, & picturis, & auri copia maiore quàm ea quæ ſuppetit.* Ædificia namque eodem in loco ſemper manent, nec alibi vſquam, quàm vbi exſtructa fuerint, videri poſſunt: boni autem viri vbique videntur, & vbiq. loquuntur: & ciuitatem, ex qua orti ſunt, magnam & præclaram eſſe vbique demonſtrant, quocunque terrarum peragrare potuerint. Dicebat quoque pulchras vrbes bonis ciuibus carentes Iouis C Olympij ſimulachro à Phidia compoſito ſimilari. Id enim, inquit, immobile vbicunque artifici placuit, permanet: viri autem vbique terrarum peragrantes, ab Homerico Ioue nihil differunt, qui ſub variis formis ab Homero inducitur multò admirabilior eo, qui ex ebore fabricatus eſt. Hunc enim in terra tantùm apparere: illum verò quamcumque cœli partem percurrentem mente, & imaginatione comprehendi. D Præterea quo pacto ciuitas tutiſſima permanere poſſit, vnà cum Smyrnæis philoſophatus eſt, cùm illos inter ſe diſſidentes *& conſiliis diſcrepãtes,* conſpexiſſet: dicebat enim ciuitatẽ rectè habitandam diſſentientis cuiuſdam indigere concordiæ. quæ cùm ſibi ipſi repugnans ſententia videretur, animaduertens Apollonius hunc ſermonem ab eorum pleriſque non intelligi: Album, inquit, & nigrũ vnum & idem fieri nunquã

Pind. Pithium. V.

poſſunt; neque amarum dulci rectè commiſcetur: concordia verò quandoque diſſentiens ſalutem ciuitatibus affert. Quod autem dico, tale quid eſt. Seditio, quæ ad gladios, mutuáſque plagas ciues deducit, à ciuitatibus exterminanda penitus eſt. Ciuitas enim pace puerorum alumna, & legibus, & viris indiget, à quibus, & verba, & actiones prodeunt. Mutua autem ciuium æmulatio pro communi ciuitatis bono, ſeu quòd alius alio melius ſententiam dicat, aut magiſtratum rectius gerat, aut præclarius legatione fungatur, aut etiam ſplendidiora conſtruat ædificia, aut in aliquo huiuſmodi excellat, talis, inquam, contentio, aut æmulatio ciuitati plurimum confert: licet inter ſe ciues pro communi bono faciat diſſidere. Neque verò ſum neſcius huiuſmodi ſtudia pro ſalute ciuitatis Lacedæmoniis quondam inutilia viſa eſſe: quippe qui bellicis duntaxat operibus incumbentes, in ea re tantummodo laborabant, ídque ſolùm in pretio habebant. Mihi verò optimum eſſe videtur, vt quiſque quod ſcit, atque efficere poteſt, id agat. Nam ſi quis in gubernando populo mirabilis euadet, alius verò ſapientia valebit, alius in commune acquiret, alius bonus, mitis, & benignus exiſtimabatur: è contrario alius ſeuerus, & erroribus veniam non tribuens, alius in omnibus ignoſcens reputabitur, optimè arbitror ſeſe ciuitas habebit, ſtabiliúſque conſiſtet.

Ariſtoph. in Veſpis.

A γένοιτο, οὐδ' αὖ τὸ γλυκὺ τῷ πικρῷ ὑγιῶς ξυγκραθείη· ὁμόνοια δὲ στασιάσει σωτηρίας ἕνεκα τῆς πόλεων. ὃ δὲ λέγω, τοιόνδε ἡγώμεθα· στάσις ἡ μὲν ἐπὶ ξίφη, καὶ τὸ καταλιθοῦν ἀλλήλους ἄγουσα, ἀπέστω πόλεως, ἣ παιδοτροφίας τε δεῖ, καὶ νόμων, καὶ ἀνδρῶν, ἐφ' οἷς λόγοι, καὶ ἔργα. φιλοτιμία δὲ ἡ πρὸς ἀλλήλους ὑπὲρ τοῦ κοινοῦ, καὶ πῶς
B ἂν ὁ μὲν, γνώμης εἴποι βελτίω γνώμην, ὁ δὲ ἑτέρου ἄμεινον ἀρχῆς προσταίη, ὁ δὲ, πρεσβεύσειεν, ὁ δὲ ἐξοικοδομήσαιτο λαμπρότερον τῆς ἑτέρου ἐπιστασίας, ἔρις οἶμαι αὕτη ἀγαθὴ, καὶ στάσις πρὸς ἀλλήλους ὑπὲρ τοῦ κοινοῦ. τὸ δὲ ἄλλον ἄλλο ἐπιτηδεύοντα*, τὸ τῆς πόλεως ὄφελος ξυμφέρειν, Λακεδαιμονίοις
C μὲν εὔηθες ἐδόκει πάλαι. τὰ γὰρ πολεμικὰ ἐξεπονοῦντο*, καὶ ἐς τοῦτο ἐρρῶντο πάντες, καὶ τούτου μόνου ἥπτοντο· ἐμοὶ δὲ ἄριστον δοκεῖ τὸ πράττειν ἕκαστον ὅ,τι οἶδε, καὶ ὅ,τι δύναται. εἰ γὰρ ὁ μὲν, ἀπὸ δημαγωγίας θαυμασθήσεται, ὁ δὲ, ἀπὸ σοφίας, ὁ δὲ, ἀπὸ τοῦ ἐς τὸ κοινὸν
D πλουτεῖν, ὁ δὲ, ἀπὸ τοῦ χρηστὸς εἶναι, ὁ δὲ, ἀπὸ τοῦ ἐμβριθὴς, καὶ μὴ ξυγγνώμων τοῖς ἁμαρτάνουσιν, ὁ δὲ, ἀπὸ τοῦ μὴ διαβεβλῆσθαι τὰς χεῖρας, εὖ κείσεται ἡ πόλις, μᾶλλον δὲ ἑστήξει.

* χ. ἐπιτηδεύοντας ἰστ.

* χ. ἐξεπονοῦν,

Miſſos ab Epheſiis ad Apollonium legatos pro ſedanda peſtilentia, & quonam modo liberati ab eo fuerint: hinc illum in Græciam profectum, in templo Æſculapij ſomnia, qui eò venerant, interpretari edocuiſſe: deinde iuiſſe in Ilienſes, illorúmque doctrinam adeptum ad Achillis tumulum acceßiſſe, noctémque inibi totam ſolùm fuiſſe. CAP. III.

A ΚΑΙ ἅμα διϊὼν ταῦτα, ναῦν εἶδε τῶν τελαρμενίων ἐκπλέουσαν, καὶ τοὺς ναύτας ἄλλον ἄλλως ἐς τὸ ἀνάγεσθαι αὐτὴν πράττοντας. ἐπιστρέφων οὖν τοὺς παρόντας, ὁρᾶτε, εἶπε, τὸν τῆς νεὼς δῆμον, ὡς οἱ μὲν, τὰς ἐφολκίδας ἐμβεβήκασιν, ἐρετικοὶ ὄντες, οἱ δὲ ἀγκύρας ἀνιμῶσί τε, καὶ ἀναρτῶσιν, οἱ δὲ, ὑπέχουσι τὰ ἱστία τῷ ἀνέμῳ, οἱ δὲ, ἐκ πρύμνης τε, καὶ πρώρας προορῶσιν; B εἰ δὲ τούτων εἷς ἐλλείψει τι τῶν ἑαυτοῦ ἔργων, ἢ ἀμαθῶς τῆς ναυτικῆς ἅψεται, πονήρως πλευσοῦνται, καὶ ὁ χειμὼν αὐτοὶ δόξουσιν. εἰ δὲ φιλοτιμήσονται πρὸς αὐτοὺς, καὶ στασιάσουσι μὴ κακίων ἕτερος ἑτέρου δόξαι, καλοὶ μὲν ὅρμοι τῇ νηῒ ταύτῃ, μεστὰ δὲ εὐδίας τε, καὶ εὐπλοίας πάντα. C Ποσειδῶν δὲ ἀσφάλειος ἡ περὶ αὐτοῖς εὐβουλία δόξει. τοιούτοις μὲν δὴ λόγοις ξυνεῖχε τὴν Σμύρναν. ἐπεὶ δὲ ἡ νόσος τοῖς Ἐφεσίοις ἐνέπεσε, καὶ οὐδὲν ἦν πρὸς αὐτὴν αὔταρκες, ἐπρεσβεύοντο παρὰ τὸν Ἀπολλώνιον, ἰατρὸν ποιούμενοι αὐτὸν τοῦ πάθους. ὁ δὲ, οὐκ ᾤετο δεῖν ἀναβάλλεσθαι τὴν ὁδὸν, ἀλλ' εἰπὼν ἴωμεν, D ἦν ἐν Ἐφέσῳ, τοῦ Πυθαγόρου οἶμαι ἐκεῖνο πράττων, τὸ ἐν Θουρίοις ὁμοῦ, καὶ Μεταποντίοις εἶναι. ξυναγαγὼν οὖν τοὺς Ἐφεσίους, θαρσεῖτε, ἔφη, τήμερον παύσω τὴν νόσον. καὶ εἰπὼν,

DVM hæc loqueretur, Armeniorũ nauem portum ingredientẽ, & nautas pro naui firmanda variis operibus implicitos conſpicatus eſt. Cõuerſus igitur ad eos qui aderant: Videte, inquit, eius nauis populum, quo pacto alij lembos conſcendunt, cùm ſint remiges, alij verò ſuſpenſas anchoras demittũt, alij vela cõtrahunt, alii ex puppi, aut prora quæ factu neceſſaria ſunt, proſpiciũt. quòd ſi quis horum ſuo operi peragẽdo defuerit, aut temerè, negligentérve, quod agẽdum eſt, fuerit proſecutus; malè ſeſe nauis haberet, & ipſemet quaſi procella quædã nauim læderet. Verùm ſi æmulatione quadã inter ſe certantes laborabunt, ne quis altero deterior in ſuo opere videatur, rectè, probéq. in portu nauis firmabitur, proſperéque cum lętitia tota nauigatio peragetur. eorúmq. in conſultãdo rectitudo tãtum ipſis proderit, quantũ ſi Neptunus *Aſphalius* ſecuritatem polliceretur. His atq; huiuſmodi aliis orationibus, Smyrnã in cõcordia, beneuolentiáq. continuit. Cùm peſtis grauiter Epheſum inuaſiſſet, nec vllũ ſufficiens remediũ inueniretur, legatos Epheſij ad Apolloniũ miſerunt, tanti mali remediũ ab eo depoſcentes: ipſe verò non differendã eſſe profectionẽ arbitratus, Eamus, inquit: breuíq. tẽpore Epheſum delatus eſt, ibíq. idem opus operatus eſt, quod olim Pythagorã apud Thurios, Metapõtinóſq; feciſſe perhibẽt. vocatis namq. in cõcionẽ Epheſiis, Confidite, inquit, viri, hodie namq. hãc peſtẽ amouebo. His

dictis vniuerſam turbam ad theatrū duxit, vbi pro malis depellendis ſacrificia fieri conſueuerunt: vbi ſenem quendam mendicanti ſimilem inuenere, qui arte quadam oculis conniuebat, & peram geſtabat paniceis fruſtis refertam: lacera autem, attritáque veſte amictus erat, & *facie ſquallore horrida*. Huic Epheſios circumponens Apollonius, Obruite lapidibus, inquit, hunc Deorum inimicum. Admirantibus autem Epheſiis eius dicta, & inhumanum, crudeléq. cenſentibus, peregrinum hominem tam miſera conditione degentem interficere, humillimè præſertim pro ſalute ſua deprecantem, multa pro captanda miſericordia loquentē: inſtabat Apollonius Epheſios cohortās, ne diutius illum viuere permitterent. Cúmq. iam aliqui lapides in illū iacerent adſtantes, *qui prius cōniuere videbatur, reſpexit acriter*, & igne plenos oculos mōſtrauit. quo viſo agnouerunt Epheſij dæmonem eſſe, tantóque ſtudio ipſum lapidarunt, vt breui ſpatio magnū lapidum cumulum ſuper ipſum coaceruarent. Paulum deinde moratus Apollonius auferri lapides iuſſit, vt feram, quam interfeciſſent, agnoſcerent: Cúmque ita detexiſſent, nudaſſéntque corpus, quod ſe lapidib. contriuiſſe putabant, homo quidem euanuerat: canis autem tanquam moloſſus conſpiciebatur magnitudine tanta, quāta maximi leonum eſſe ſolent. Talis itaque lapidibus attrita bellua, ſpumam, quaſi rabidus canis, ab ore emittebat. Et is quidem modus fuit, quo Epheſios expiauit, & morbo liberauit. Epheſij autē ſtatuā Herculis *(quæ adhuc cernitur)* eo loco erexerūt, vbi mōſtrum illud lapidib. obrutum fuerat. Liberatis à peſte Epheſiis, Apollonius cùm iam ſatis in Ionia manſiſſe ſibi videretur, in Græciam

A ἦγεν ἡλικίαν πᾶσαν ἐπὶ τὸ θέατρον, οὗ τὸ τοῦ ἀποτροπαίου ἵδρυται. πτωχεύειν δέ τις ἐνταῦθα ἐδόκει γέρων, ἐπιμύων τοὺς ὀφθαλμοὺς τέχνῃ, καὶ πήραν ἔφερε, καὶ ἄρτου ἐν αὐτῇ τρύφος· ῥακεσί τε ἠμφίεστο, καὶ αὐχμηρῶς εἶχε τοῦ προσώπου. περιστήσας οὖν τοὺς Ἐφεσίους αὐτῷ, βάλλετε τὸν θεοῖς ἐχθρὸν, εἶπε, ξυλλε-
B ξάμενοι τῶν λίθων ὡς πλείους. θαυμαζόντων δὲ τῶν Ἐφεσίων ὅ,τι λέγοι, καὶ δεινὸν ἡγουμένων εἰ ξένον ἀποκτενοῦσιν ἀθλίως οὕτω πράττοντα· καὶ γὰρ ἱκέτευε, καὶ πολλὰ ἐπὶ ἐλέῳ ἔλεγεν· ἐνέκειτο παρακελευόμενος τοῖς Ἐφεσίοις ἐρείδειν τε, καὶ μὴ ἀνιέναι. ὡς δὲ ἀκροβολισμοῦ τινες ἐπ' αὐτῷ
C ἤρξαντο, καταμύειν δοκῶν, ἀνέβλεψεν ἀθρόον, πυρός τε μεστοὺς τοὺς ὀφθαλμοὺς ἔδειξε· ξυνῆκαν οἱ Ἐφέσιοι τοῦ δαίμονος, καὶ κατελίθωσαν οὕτως αὐτὸν, ὡς κολωνὸν λίθων περὶ αὐτὸν χώσαντες. διαλιπὼν δὲ ὀλίγον, ἐκέλευσεν ἀφελεῖν τοὺς λίθους, καὶ τὸ θηρίον, ὃ ἀπεκτόνασι, γνῶναι. γυμνωθέντος οὖν τοῦ βεβλῆ-
D σθαι δοκοῦντος, ὁ μὲν, ἠφάνιστο. κύων δὲ, τὸ μὲν εἶδος ὅμοιος τῷ ἐκ Μολοττῶν, μέγεθος δὲ κατὰ τὸν μέγιστον λέοντα, ξυντετριμμένος ὤφθη ὑπὸ τῶν λίθων, καὶ παραπτύων ἀφρὸν, ὥσπερ οἱ λυττῶντες. τὸ * μὲν Ie. ὧν μὲ δὴ τοῦ ἀποτροπαίου εἶδος· ἐπὶ* δὲ Ἡ- ἀφ. χ. ἐπ ρακλῆς, ἵδρυται περὶ τὸ χωρίον, ἐν ᾧ τὸ φάσμα ἐβλήθη. καθάρας δὲ τοὺς Ἐφεσίους τῆς νόσου, καὶ τῆς κατὰ τὴν Ἰωνίαν ἱκανῶς ἔχων, ἐς τὴν Ἑλλάδα

ὥρμητο. βαδίσας οὖν ἐς τὸ Πέργαμον, A
καὶ ἡσθεὶς τῷ τοῦ Ἀσκληπιοῦ ἱερῷ, τοῖς τε ἱκετεύουσι τὸν θεὸν ὑποθέμενος, ὁπόσα δρῶντες, εὐξυμβόλων ὀνειράτων τεύξονται, πολλοὺς δὲ καὶ ἰασάμενος, ἦλθεν ἐς τὴν Ἰλιάδα. καὶ πάσης τῆς περὶ αὐτὴν ἀρχαιολογίας ἐμφορηθεὶς, ἐφοίτησεν ἐπὶ τοὺς τῶν Ἀχαιῶν τάφους. καὶ πολλὰ μὲν εἰπὼν ἐπ' αὐτοῖς, πολλὰ δὲ τῶν B
ἀναίμων καθαγίσας, τοὺς μὲν ἑταίρους ἐκέλευσεν ἐπὶ ναῦν χωρεῖν, αὐτὸς δὲ ἐπὶ τοῦ κολωνοῦ τοῦ Ἀχιλλέως ἐννυχεύσειν ἔφη. δεδιττομένων οὖν τῶν ἑταίρων αὐτὸν, καὶ γὰρ δὴ καὶ οἱ Διοσκορίδαι*, καὶ (κ. Διόσκουροι,) οἱ Φαίδιμοι, καὶ ἡ τοιάδε ὁμιλία πᾶσα, ξυνῆσαν ἤδη τῷ Ἀπολλωνίῳ, τόν τε Ἀχιλλέα φοβερὸν ἔτι φασκόντων φαίνεσθαι· τουτὶ γὰρ καὶ τοὺς ἐν τῷ Ἰλίῳ περὶ αὐτοῦ πεπεῖσθαι. καὶ μὴν ἐγὼ, ἔφη, τὸν A- C
χιλλέα σφόδρα οἶδα ταῖς ξυνουσίαις χαίροντα· τόν τε γὰρ Νέστορα τὸν ἐκ τῆς Πύλου, μάλα ἠσπάζετο, ἐπειδὴ ἀεί τι αὐτῷ διῄει χρηστὸν, τόν τε Φοίνικα τροφέα, καὶ ὀπαδὸν καὶ τὰ τοιαῦτα ἐνόμιζεν, ἐπειδὴ διῆγεν αὐτὸν ὁ Φοῖνιξ λόγοις· καὶ τὸν Πρίαμον δὲ, καίτοι πολεμιώτατον αὐτῷ ὄντα, πρᾳότατον εἶδεν, D
ἐπειδὴ διαλεγομένου ἤκουσε. καὶ Ὀδυσσεῖ δὲ ἐν διχοστασίᾳ ξυνιστάμενος, οὕτω μέτριος ὤφθη, ὡς καλὸς τῷ Ὀδυσσεῖ μᾶλλον, ἢ φοβερὸς δόξαι· τὴν μὲν δὴ ἀσπίδα, καὶ τὴν κόρυν τὴν δεινὸν ὥς φασι νεύουσαν, ἐπὶ τοὺς Τρῶας οἶμαι αὐτῷ εἶναι μεμνημένῳ, ἃ ὑπ' αὐτῶν ἔπαθεν, ἀπιστησάντων πρὸς αὐτὸν ὑπὲρ τοῦ γάμου. ἐγὼ δὲ οὐδὲ μετέχω τι τοῦ Ἰλίου. διαλέξομαί τε αὐτῷ χαριέστερον, ἢ οἱ

A tranſire conſtituit. Itaque Pergamum veniens in Æſculapij templo conſtitit, iis qui Deum adoratum veniebant, conſulens quo pacto eſſent, quæ à Deo ſomnia peterent impetrare. Ipſe etiam pleriſque malorum remedia monſtrabat. Poſt in Ilienſium regionem migrauit, omnémque illorum veterem ſapientiam edoctus, ad Achæorum ſepulchra videnda profectus eſt. I-
B bi multa de illis locutus, multíſque ſine ſanguine tamen ſacrificiis peractis, ſocios ad nauem redire iuſſit. Ipſe verò apud Achillis tumulum pernoctare conſtituit. Cúmque illum ſocij ab incœpto deterrerent, diceréntque non ſicut Geminos, aut Phædimos quibuſcum iamiam locutus fuerat Apollonius, ſed terribilem viſu, horrendúmque apparere. Sic enim aiebant, qui apud Ilium verſabantur. Ego, in-
C quit, Achillem congreſſu, ſermonéque plurimum gaudere compertum habeo. Quippe qui Pylium Neſtorem tam valde coluit, à quo ſemper aliquid præclarum audire ſe gloriabatur. Phœnicem verò alumnum, & comitem appellabat, & id genus nominibus quoniam variis illius ſermonibus delectaretur, & Priamum quamuis inimi-
D ciſſimum manſuetiſſimè aſpexit, vbi loquentem illum audiuit. Vlyſſem etiam à ſe diſſentientem adeò modeſtè ſuſcepit, vt Vlyſſi benignus potius, quàm terribilis videretur. Clypeo namque & galea, vt aiũt, grauiter minaci aduerſus Troas, vt puto, vtitur memor eorum, quæ ab ipſis armatis pro connubio paſſus eſt. Mihi verò cùm Ilienſibus nihil eſt commune, iucundiora inſuper cum eo loquar, quàm olim

eius amici loqui conſueuerint. Quòd A ſi me, vt dicitis, interfecerit, cum Memnone, Cygnóque iacebo, & me forſitan caua foſſa, velut Hectorem, Troia ſepeliet. Hæc ad amicos partim ioco, partim ſerio locutus Apollonius ad tumulum ſolus acceſſit. Socij verò iam die in noctem declinante ad nauem rediere.

τό τε ἑταῖροι. κἂν ἀποκτείνῃ με ὥς φατε, μετὰ Μέμνονος δήπου, καὶ Κύκνου κείσομαι. καὶ ἴσως με ἐν καπέτῳ κοίλῃ, καθάπερ τὸν Ἕκτορα, ἡ Τροία θάψει. τοιαῦτα πρὸς τοὺς ἑταίρους ἀναμὶξ παίξας τε, καὶ σπουδάσας, προσέβαινε τῷ κολωνῷ μόνος· οἱ δὲ, ἐβάδιζον ἐπὶ τὴν ναῦν ἑσπέρας ἤδη.

Antiſthenem Parium interdictum ſocietate Apollonij, iubente Achille. Tum autumno ſoluiſſe Troia Apollonium, eóque tempore perinfidum mare eſſe nauigantibus. hinc de ſepulchro & ſtatua Palamedis, in qua inſcriptum, ΘΕΙΩι ΠΑΛΑΜΗΔΕΙ. *& de reſponſis Orphei in Leſbo.* CAP. IIII.

IPSE verò poſtea diluculo ad eos B veniens, Vbinam eſt, inquit, Antiſthenes Parius? Is verò ſeptimo iam die, ab Ilio ſecutus fuerat Apollonium. Cúmque vocanti reſpondiſſet Antiſthenes: Nónne, inquit Apollonius, ex Troia veniſti? Certè, inquit ille: ſum enim antiqua origine ex Troianis ortus. An etiam de Priami ſtirpe? inquit Apollonius. Ex hac ipſa profectò, reſpondit Antiſthenes. C Itaque inde natus, & ipſe bonus ſum, & ex bonis ortus. Rectè igitur, inquit Apollonius, prohibuit Achilles, ne qua ratione tecum verſarer. Cùm enim iuſſiſſet me Theſſalis aliqua nunciare, in quibus grauiter eos accuſat, egóq. mandatis acceptis abiens interrogarem, an aliud quippiam ei gratum efficere poſſem: potes, inquit, id autem eſt, vt adoleſcenti Pario D tuam ſapientiam non impertias. eſt enim ex Priami ſtirpe oriundus, & Hectorem laudare nunquam ceſſat. His auditis Antiſthenes, quanquam inuitus, noléſque, ab Apollonio diſceſſit. Cùm iam dies illuxiſſet, & vento à terra perflante, nauis diſceſſum pararet, ingens turba

ΟΔΕ Ἀπολλώνιος περὶ τὸν ὄρθρον ἥκων, ποῦ, ἔφη, Ἀντισθένης ὁ Πάριος; ἑβδόμην δὲ οὗτος ἡμέραν ἐτύγχανεν ἤδη προσπεφοιτηκὼς αὐτῷ ἐν Ἰλίῳ. ὑπακούσαντος δὲ τοῦ Ἀντισθένους, προσήκεις τι, ἔφη, ὦ νεανία τῇ Τροίᾳ; σφόδρα, εἶπεν. εἰμὶ γὰρ δὴ ἄνωθεν Τρώς. ἦ καὶ Πριαμίδης; νὴ Δί', εἶπεν. ἐκ τούτου γὰρ δὴ ἀγαθός τε οἶμαι, καὶ ἐξ ἀγαθῶν εἶναι. εἰκότως οὖν, ἔφη, ὁ Ἀχιλλεὺς ἀπαγορεύει μοι μὴ ξυνεῖναί σοι. κελεύσαντος γὰρ αὐτοῦ πρεσβεῦσαί με πρὸς τοὺς Θετταλοὺς, περὶ ὧν αἰτιᾶται σφᾶς, ὡς ἠρόμην τι αὖ πρὸς τούτῳ ἕτερον τῶν πρὸς χάριν αὐτῷ πράττοιμι, τὸ μειράκιον, ἔφη, τὸ ἐκ τοῦ Πάρου, μὴ ποιούμενος ξυνέμπορον τῆς σεαυτοῦ σοφίας. Πριαμίδης τε γὰρ ἱκανῶς ἐστι, καὶ τὸν Ἕκτορα ὑμνῶν οὐ παύεται. ὁ μὲν δὴ Ἀντισθένης, ἄκων ἀπῆλθεν. ἐπεὶ δὲ ἡμέρα ἐγένετο, καὶ τὸ πνεῦμα ἐκ τῆς γῆς ἐπεδίδου, περί τε ἀναγωγὴν

ἡ ναῦς εἶχεν, ἐπέρρεον αὐτῇ σμικρᾷ οὔσῃ πλείους ἕτεροι, βουλόμενοι τῷ Ἀπολλωνίῳ ξυμπλεῖν. καὶ γὰρ μετόπωρον ἤδη ἐτύγχανε, καὶ ἡ θάλαττα ἧττον βέβαια. πάντες οὖν καὶ χειμῶνος, καὶ πυρὸς, καὶ τῶν χαλεπωτάτων, κρείττω τὸν ἄνδρα ἡγούμενοι, ξυνεμβαίνειν ἤθελον, καὶ ἐδέοντο προσδοῦναι σφίσι τῆς κοινωνίας τοῦ πλοῦ. ἐπεὶ δὲ τὸ πλήρωμα πολλαπλάσιον ἦν τῆς νεὼς, ναῦν μείζω ἑτέραν ἐπισκεψάμενος, πολλαὶ δὲ περὶ τὸ Αἰάντειον ἦσαν, ἐνταῦθα, ἔφη, ἐμβαίνομεν· καλὸν γὰρ τὸ μετὰ πλειόνων σώζεσθαι. περιβαλὼν οὖν τὸ Τρωϊκὸν ἀκρωτήριον, ἐκέλευσε τὸν κυβερνήτην κατασχεῖν ἐς τὴν Αἰολέαν, ἣ ἀντιπέρας Λέσβου κεῖται, πρὸς Μήθυμνάν τε μᾶλλον τετραμμένον ποιεῖσθαι τὸν ὅρμον. ἐνταῦθα γάρ που τὸν Παλαμήδην φησὶν Ἀχιλλεὺς κεῖσθαι, οὗ καὶ ἄγαλμα αὐτοῦ εἶναι πηχυαῖον, ἐν πρεσβυτέρῳ, ἢ ὁ Παλαμήδης, τῷ εἴδει. καὶ ἅμα ἐξιὼν τῆς νεὼς, ἐπιμεληθῶμεν, εἶπεν, ὦ ἄνδρες Ἕλληνες ἀγαθοῦ ἀνδρὸς, δι' ὃν σοφία πᾶσα. καὶ γὰρ ἂν καὶ τῶν γε Ἀχαιῶν βελτίους γενοίμεθα, τιμῶντες δι' ἀρετὴν, ὃν ἐκεῖνοι δίκῃ οὐδεμιᾷ ἀπέκτειναν· οἱ μὲν δὴ ἐξεπήδων τῆς νεώς. ὁ δὲ ἐνέτυχε τῷ τάφῳ, καὶ τὸ ἄγαλμα κατορωρυγμένον πρὸς αὐτῷ εὗρεν· ὑπεγέγραπτο δὲ τῇ βάσει τοῦ ἀγάλματος, ΘΕΙΩι ΠΑΛΑΜΗΔΕΙ. καθιδρύσας οὖν αὐτὸ, ὡς κἀγὼ εἶδον, καὶ ἱερὸν περὶ αὐτὸ βαλόμενος, ὅσον οἱ τὴν Ἐνοδίαν τιμῶντες, ἔστι γὰρ καὶ δέκα ξυμπότας ἐν αὐτῷ εὐωχεῖσθαι, τοιάνδε εὐχὴν ηὔξατο· Παλάμηδες, ἐκλάθου

A ad nauim, quamuis parua eſſet, confluxerat. Omnes enim in eadem cum Apollonio naui deferri volebant. Erat enim autumni tempus, quando maris infida & inſtabilis tranquillitas eſſe ſolet. Cuncti verò tempeſtatem, & ignes, & quicquid eſt difficillimum, ab Apollonio vinci poſſe arbitrantes, & propterea cum eo eſſe cupientes, rogabant, vt ſe nauigationis comites aſſumeret. Sed cùm multitudo hominum capacitatem nauigij excederet, maiorem aliã nauim conſpicatus. (multæ enim circa Aiacis tumulum verſabantur.) Illam, inquit, ô ſocij, conſcendamus: Pulchrum enim eſt cum pluribus ſeruari. Inde Troicum circumuectus promontorium, ad Æoliam, quæ contra Leſbum poſita eſt, iubet gubernatorem curſum dirigere, ita vt verſus Methymnam magis applicaret. Illic enim Achilles dixit poſitum eſſe Palamedem, ibíque eius ſtatuam eſſe cubitalem, ſeniorem imaginem referentem, quàm re vera ipſe fuerit Palamedes. His dictis, cùm iam ad locum perueniſſet, è naui deſcendens, Veneremur, inquit, ô Græci præſtantem virum, per quem omnis ſapientia conſiſtit. Sic enim ipſis Achæis meliores erimus, ſi virtutis cauſa eum virum coluerimus, quem ipſi iniuſtè, & indicta cauſa interfecere. Hæc audientes reliqui Græci è naui deſcenderunt: ipſe verò ſepulchrum inuenit, iuxtáq. illud ſtatuam obrutam. Erat autem in ſtatuæ baſi inſcriptio ſcripta huiuſmodi: DIVO PALAMEDI. Apollonius igitur ſtatua in propria ſede locata, (vt ipſe vidi quoque) locóq. circa ſepulchrũ luſtrato, tantùm ſacrauit ſoli, quantum *qui Hecaten Triuiam colunt; ibi enim conuiuis decem epulari licet*; inde preces effudit huiuſmodi: Obliuiſcere Palamedes iracun-

iracundiæ, quam olim aduerſus Achæos concepiſti, permittéque ex eis multos ſapientes fieri viros. Optime Palamedes, per quem ſermones, per quem Muſæ, per quem ego ipſe. Poſt hæc in Leſbum traiiciens Orphei adytum intrauit. Ferunt autem Orpheo *placuiſſe* illic *vaticinari*, quouſque ſibi ab Apolline conceſſum fuit. Cùm enim neque in Gryneum, neque in Clarum, nec vſquam aliò, vbi tripus Phœbi eſſet oracula petitum accederent homines, & ſolus Orpheus conſulentibus reſponderet, cùm nuper ex Thracia caput eius aduectum eſſet, ſuperſtans Apollo, Deſine, inquit, quæ mea ſunt, occupare. iam enim ſatis te canentem pertuli. Poſt hæc cùm per mare, quod Leſbo, Eubœæque adiacet nauigarent, de quo Homerus ſæuiſſimum nauigatúque difficillimum eſſe narrat, ſerenitas erat, & maris præter anni tempus ſumma tranquillitas. Quapropter qui in naui erant, de inſulis quæ plurimæ, famoſæque nauigantibus occurrebant: de *nauium fabricatione*, nauicularia, & gubernatoria arte, cum Apollonio loquebantur; quòd eiuſmodi ſermones nauigantibus conferre viderentur. Sed cùm Damis ſermonum alios, tanquam parùm dignos calumniaretur, alios interpellando rumperet, partim verò interrogare volentes prohiberet, animaduertit Apollonius ipſum de rebus aliis colloquium exoptare: itaq. ad eum conuerſus, Quid hoc eſt, inquit Damis, quod loquentium orationem interrumpis? non enim *ſermones aduerſaris, quòd nauſees, aut nauigationis tędio malè habeam*. Vides enim quo pacto mare nauigio ſubſidit, & quàm tranquillè quietéq. vehamur: quid ergo eſt quòd moleſtè feras?

A τῆς μήνιδος, ἣν ἐν τοῖς Ἀχαιοῖς ποτε ἐμήνισας, καὶ δίδου γίγνεσθαι πολλούς τε, καὶ σοφοὺς ἄνδρας. ναὶ Παλάμηδες, δι' ὃν λόγοι, δι' ὃν Μοῦσαι, δι' ὃν ἐγώ. παρῆλθε καὶ ἐς τὸ τοῦ Ὀρφέως ἄδυτον, προσορμισάμενος τῇ Λέσβῳ. φασὶ δὲ ἐνταῦθά ποτε τὸν Ὀρφέα μαντικῇ χαίρειν, ἐς τὸν Ἀπόλλω ἐπιμεμελῆσθαι αὐτόν. B ἐπειδὴ γὰρ μήτε ἐς Γρύνειον ἐφοίτων ἔτι ὑπὲρ χρησμῶν ἄνθρωποι, μήτ' ἐς Κλάρον, μήτ' ἔνθα ὁ τρίπους ὁ Ἀπόλλωνος, Ὀρφεὺς δὲ ἔχρα μόνος, ἄρτι ἐκ Θρᾴκης ἡ κεφαλὴ ἥκουσα, ἐφίσταταί οἱ χρησμῳδοῦντι ὁ θεός· καὶ πέπαυσο, ἔφη, τῶν ἐμῶν· καὶ γὰρ δὴ ᾄδοντά σε ἱκανῶς ἤνεγκα. πλεόντων δὲ αὐτῶν μετὰ ταῦτα τὸ ἐπ' Εὐβοίας πέλαγος, C ὃ καὶ Ὁμήρῳ δοκεῖ τῶν χαλεπῶν, καὶ δυσμετρήτων εἶναι, ἡ μὲν θάλαττα ὑπτία, καὶ τῆς ὥρας κρείττων ἐφαίνετο· λόγοι τε ἐγίγνοντο περί τε νήσων, ἐπειδὴ πολλαῖς τε, καὶ ὀνομασταῖς ἐνετύγχανον, περί τε ναυπηγίας, καὶ κυβερνητικῆς, προσφόροι τοῖς πλέουσιν. ἐπεὶ δὲ ὁ Δάμις τοὺς μὲν, διέβαλλε τῶν λόγων, τοὺς δὲ, ὑπετέμνετο, τοὺς δὲ; D οὐ ξυνεχώρει ἐρωτᾶν, ξυνῆκεν ὁ Ἀπολλώνιος ὅτι λόγον ἕτερον σπουδάσαι βούλοιτο. καὶ τί παθὼν, ἔφη, ὦ Δάμι, διασπᾷς τὰ ἐρωτώμενα; οὐ γὰρ ναυτιῶν γε, ἢ ὑπὸ τοῦ πλοῦ πονήρως ἔχων, ἀποστρέφῃ τοὺς λόγους. ἡ γὰρ θάλαττα, ὁρᾷς, ὡς ὑποτέθεικεν ἑαυτὴν τῇ νηῒ, καὶ πέμπει. τί οὖν δυσχεραίνεις;

ὅτι, ἔφη, λόγου μεγάλου ἐν μέσῳ A ὄντος, ὃν εἰκὸς ἦν ἐρωτᾶν μᾶλλον, ἡμεῖς δὲ τοὺς ἑώλους τε, καὶ ἀρχαίους ἐρωτῶμεν. καὶ τίς, εἶπεν, ὁ λόγος οὗτος εἴη ἂν, δι' ὃν τοὺς ἄλλοις ἡγῇ περιττούς; Ἀχιλλεῖ, ἔφη, ξυγγενόμενος, ὦ Ἀπολλώνιε, καὶ πολλὰ ἴσως διακηκοὼς μήπω ἡμῖν γιγνωσκόμενα, οὐ δίεις ταῦτα, οὐδὲ τὸ εἶδος ἡμῖν τοῦ Ἀχιλλέως ἀνατυποῖς, B περιπλεῖς δὲ τὰς νήσους, καὶ ναυπη- κ. τ. αἰδῶν γεῖς * τῷ λόγῳ.

Tum Damis; Indignor, inquit, & iure quidem, vt opinor, quia cùm de re maxima, & ſcitu digna ſermo inſtet, de quo interrogare conuenientius fuerat, nos tamen de rebus vanis, & iam vetuſtate contritis loquimur. Et quis, inquit Apollonius, ſermo eſt, de quo audire aliquid cupis, & quo ceteros inferiores, minúſque narratu dignos exiſtimas? Tu, inquit Damis, cum Achille locutus Apolloni multa, vt arbitror, audiſti memoratu digna, & nobis *hactenus* ignota: nihil tamẽ eorum adhuc retuliſti, nec Achillis imaginem qualis eſſet expreſſiſti: præternauigás autem inſulas, & opera nautica deſignas.

Apollonio apparuiſſe Achillem, permiſiſſéque, vt quinque tantùm quæ vellet, à ſe peteret. De Polyxena verò dixiſſe præ amore erga ſe ſponte ſua gladio illam incubuiſſe. Tum quare Homerus de Palamede non meminerit in poëmate: quódque ſapientiſſimi viri illius miſereretur. Senarius Iambicus ex Æſchyli Nioba. Σοφοῖς* ἐστι γὰρ πρὸς σοφοὺς ἐπιτήδεια. Prudentibus affinia inter ſe pleraque. *Tum quare Helenam iniuſtè Græci à Troianis petiuerint.* CAP. V.

EI μὴ ἀλαζονεύεσθαι, ἔφη, δόξω, C πάντα εἰρήσεται. δεομένων δὲ καὶ τῶν ἄλλων τοῦ λόγου τούτου, καὶ φιληκόως ἐχόντων αὐτοῦ, ἀλλ' οὐχὶ βόθρον, εἶπεν, Ὀδυσσέως ὀρυξάμενος, οὐδὲ ἀρνῶν αἵματι ψυχαγωγήσας ἐς διάλεξιν τοῦ Ἀχιλλέως ἦλθον, ἀλλ' εὐξάμενος ὁπόσα τοῖς ἥρωσιν Ἰνδοί φασι δεῖν εὔχεσθαι· ὦ Ἀχιλλεῦ, ἔφην, τεθνάναι σε οἱ πολλοὶ τῶν ἀνθρώπων D φασίν. ἐγὼ δὲ οὐ ξυγχωρῶ τῷ λόγῳ, οὐδὲ Πυθαγόρας σοφίας ἐμῆς πρόγονος. εἰ δὴ ἀληθεύομεν, δεῖξον ἡμῖν τὸ σεαυτοῦ εἶδος· καὶ γὰρ ἂν ὄναιο ἄγαν τῶν ἐμῶν ὀφθαλμῶν, εἰ μάρτυσιν αὐτοῖς τοῦ εἶναι χρήσαιο. ἐπὶ τούτοις σεισμὸς μὲν περὶ τὸν κολωνὸν βραχὺς ἐγένετο, πεντάπηχυς δὲ νεανίας ἀνεδόθη.

TVNC Apollonius: Niſi, inquit, dubitarem ne multa iactanter fingere viderer, omnia vobis iampridem enarrarem. Cùm autem omnes, vt narraret, precarentur, & ſe libenter audituros oſtenderent: Ego, inquit Apollonius, non ſicut Vlyſſes terram effodiens, neque fuſo agnorũ ſanguine ipſum alliciẽs, cùm Achille locutus ſum: ſed omnes adhibui preces, quas pro placandis heroibus dici ſacerdotes Indorum iubẽt. O Achilles, inquam, te communis hominum fama mortuũ aſſerit, quorũ ego ſermonib. non aſſentior, nec etiã ſapientiæ meæ parens Pythagoras. Propterea ſi vera ſentimus, oſtẽde mihi, quæſo, imaginem tuam. *Etenim ex oculis meis tibi commodum accedet, ſi ipſis teſtibus oculatis, te eſſe perhibeas.* Hæc ego cùm dixiſſem, parumper tumulus intremuit, & iuuenis quidam apparuit ſtatura cubitorum quinque,

chlamyde Theſſalica indutus: ſpecies autem nequaquam iactatoris eſſe videbatur, quali plerique Achillem fuiſſe perhibent: ſed aſpectus eius grauem quandam præ ſe comitatem ferebat. Pulchritudinem verò eius nondum pro rei magnitudine ſatis digum laudatorem ſortitam eſſe iudico: quamuis multa ab Homero de ipſa ſint decantata. Ego enim inenarrabilem ipſam eſſe cenſeo, & dicentis cuiuſcunque vires excedere. Cùm itaque quantus primò apparuiſſet, repente in duplam exceſcere magnitudinem viſus eſt, ita vt cubitorum duodecim magnitudinem, implere mihi videretur. Vbi autem ad perfectam venit magnitudinē pulchritudine pariter, cum magnitudine adauctus, comam nunquam totondiſſe dixit, ſed intactam amni Sperchio conſeruaſſe, quòd Homerus eo primum flumine vſum fuiſſe diceret. Eius genæ tunc prima lanugine florebant. Tum nominatim me compellans, Perlibenter, inquit, te conueni, iamdudum quempiam talem virum mihi quæritans. Theſſali conſueta mihi fieri ſacra iamdudum omiſerunt, non tamen illis adhuc iraſci volui. Nam ſi contra eos iracundiam meam exercuiſſem, iamdudum magis perditi eſſent, quàm Græci, qui quondam in his locis occubuerunt. Amicè autem illis conſulo, ne nobis erga ſacra iniuriam afferant, néve ſe Troianis deteriores Græci Argiui patiantur: Qui cùm à ſe viros præclariſſimos abſtulerim, publicè tamen ſacra faciunt, & anni primitias mihi conſecrantes fœdera petunt, quæ ego nunquam illis ſum daturus. Peieratio enim illis aduerſus me facta, non ſinit antiquum Ilium in priſtinam formam reſtitui, nec vigorem recipere,

A Θετταλικὸς τὴν χλαμύδα, τὸ δὲ εἶδος, * οὐδὲ ἀλαζών τις ἐφαίνετο, ὡς ἐνίοις ὁ Ἀχιλλεὺς δοκεῖ. δεινός τ' ὁρώμενος, καὶ οὐκ ἐξηλλάττετο τοῦ φαιδροῦ. τὸ δὲ κάλλος, οὔπω μοι δοκεῖ ἐπαινέτου ἀξίου ἐπειλῆφθαι· καίτοι Ὁμήρου πολλὰ ἐπ' αὐτῷ εἰπόντος, ἀλλὰ ἄρρητον εἶναι, καὶ καταλύεσθαι μᾶλλον ὑπὸ τοῦ ὑμνοῦντος, ἢ παραπλη- B σίως ἑαυτῷ ᾄδεσθαι. ὁρώμενος δὲ ὁπόσον, εἶπον, μείζων ἐγίγνετο, καὶ διπλάσιος. καὶ ὑπὲρ τοῦτο, δωδεκάπηχυς γοῦν ἐφάνη μοι τὸ μέγεθος. ὅτε δὴ τελεώτατος ἑαυτοῦ ἐγένετο, καὶ τὸ κάλλος ἀεὶ ξυνεπεδίδου τῷ μήκει· τὴν μὲν δὴ κόμην, οὐδὲ κείρασθαί ποτε ἔλεγεν, ἀλλὰ ἄζυλον φυλάξαι τῷ Σπερχειῷ· ποταμὸν γὰρ πρώτῳ Σπερχειῷ χρήσασθαι· τὰ γένεια δὲ αὐ- C τοῦ, πρώτας ἐμβολὰς εἶχε. προσειπὼν δὲ ἀσμένως, εἶπεν, ἐντετύχηκά σοι, πάλαι δεόμενος ἀνδρὸς τοιοῦδε. Θετταλοὶ γὰρ τὰ ἐναγίσματα χρόνον ἤδη πολὺν ἐκλελοίπασί μοι. καὶ μηνιεῖν μὲν οὔπω ἀξιῶ· μηνίσαντος γάρ, ἀπολοῦνται μᾶλλον, ἢ οἱ ἐνταῦθά ποτε Ἕλληνες. ξυμβουλίᾳ δὲ ἐπιεικεῖ χρῶμαι, μὴ ὑβρίζειν D σφᾶς ἐς τὰ νόμιμα, μὴ δὲ κακίους ἐλέγχεσθαι τουτωνὶ τῶν Τρώων, οἳ τοσούσδε ἄνδρας ὑπ' ἐμοῦ ἀφαιρεθέντες, δημοσίᾳ τε θύουσί μοι, καὶ ὡραίων ἀπάρχονται. καὶ ἱκετηρίαν τιθέμενοι, σπονδὰς αἰτοῦσιν, ἃς ἐγὼ οὐ δώσω· τὰ γὰρ ἐπιορκηθέντα τούτοις ἐπ' ἐμέ, οὐκ ἐάσει τὸ Ἴλιόν ποτε τὸ ἀρχαῖον ἀναλαβεῖν εἶδος, οὐδὲ τυχεῖν ἀκμῆς;

* κ. οὐκ ἀ.

ὁπόση περὶ πολλὰς τῶν καθῃρημένων ἐγένοντο, ἀλλ' οἰκήσουσιν αὐτὸ βελτίους οὐδὲν, ἢ εἰ* χθὲς ἥλωσαν. ἵν' οὖν μὴ καὶ τὰ τῶν Θετταλῶν ἀποφαίνω ὅμοια, πρέσβευε παρὰ τὸ κοινὸν αὐτῶν ὑπὲρ ὧν εἶπον. πρεσβεύσω, ἔφην, ὁ γὰρ νοῦς τῆς πρεσβείας ἦν μὴ ἀπολέσθαι αὐτούς. ἀλλ' ἐγώ τι σου, Ἀχιλλεῦ, δέομαι. ξυνίημι, ἔφη· δῆλος γὰρ εἶ περὶ τῶν Τρωϊκῶν. ἐρώτα δὲ λόγους πέντε, οὓς αὐτός τε βούλει, καὶ μοῖραι ξυγχωροῦσιν. ἠρόμην οὖν πρῶτον, εἰ κατὰ τὸν τῶν ποιητῶν λόγον ἔτυχε τοῦ τάφου. κεῖμαι, εἶπεν, ὡς ἐμοί γε ἥδιστον, καὶ Πατρόκλῳ ἐγένετο· ξυνέβημεν γὰρ κομιδῇ νέοι· ξυνέχει δὲ ἄμφω χρυσοῦς ἀμφιφορεὺς κειμένους, ὡς ἕνα. μουσῶν δὲ θρῆνον, καὶ Νηρηΐδων, οὓς ἐπ' ἐμοὶ γενέσθαι φασὶ, μοῦσαι μὲν οὐδ' ἀφίκοντό ποτε ἐνταῦθα· Νηρηΐδες δὲ ἔτι φοιτῶσι. μετὰ ταῦτα δὲ ἠρόμην, εἰ ἡ Πολυξένη ἐπισφαγείη αὐτῷ, ὁ δὲ, ἀληθὲς μὲν, ἔφη, τοῦτο εἶναι· σφαγῆναι δὲ αὐτὴν οὐχ ὑπὸ τῶν Ἀχαιῶν, ἀλλ' ἑκοῦσαν ἐπὶ τὸ σῆμα ἐλθοῦσαν, καὶ τὸν ἑαυτῆς τε, κἀκείνου ἔρωτα μεγάλων ἀξιῶσαι, περιπεσοῦσαν ξίφει ὀρθῷ. τρίτον ἠρόμην, ἡ Ἑλένη, ὦ Ἀχιλλεῦ, ἐς Τροίαν ἦλθεν, ἢ Ὁμήρῳ ἔδοξεν ὑποθέσθαι ταῦτα; πολὺν χρόνον ἐξηπατώμεθα, πρεσβευόμενοί τε παρὰ τοὺς Τρῶας, καὶ ποιούμενοι τὰς ὑπὲρ αὐτῆς μάχας, ὡς ἐν τῷ Ἰλίῳ οὔσης· ἡ δ' Αἴγυπτόν τε ᾤκει, καὶ τὸν Πρωτέως οἶκον, ἁρπασθεῖσα ὑπὸ τοῦ Πάριδος. ἐπεὶ δὲ

A quem olim maximum habuit: ſed homines locum habitabunt nihilo meliores, quàm qui illud ipſum quandoque ceperunt. Ne quid igitur tale contra Theſſalos facere cogar, legatus hæc ad commune illorum concilium deferes. Faciam, inquit Apollonius: huius enim legationis cauſa eſt, ne funditus pereant. Ego autem quid abs te petam ô Achilles? Intelligo quid velis, inquit

B ille. Times enim de rebus apud Troiam geſtis interrogare. Verùm ego tibi quinque interrogationes interrogare permitto, quaſcunque velis: modo fata de ipſis reſpondere non prohibeant. Hoc ego ſermone confirmatus, primùm interrogaui, an iuxta Poëtarum dicta ſepulchrum habuerit. Tunc ille: Iaceo, inquit, vt mihi, Patroclóque iucundiſſimum

C fuit. Conuenimus enim admodum adoleſcentes: ambos autem tanquam vnum vrna aurea iacentes continet. De Muſarum verò & Nereidum lachrymis, quas erga me fuſas eſſe homines perhibent, hoc ſcias velim, Muſas omnino nunquã huc veniſſe: Nereides autem nunc & frequenter accedere. Poſt hæc rurſus interrogaui, an eius cauſa iugulata Polyxena fuerit. Ipſe autem verum eſſe reſpon-

D dit, illam apud eius tumulum fuiſſe iugulatam, non inuitam tamen, neq; à Græcis: ſed ipſa ſpõte, inquit, ad tumulũ veniens, cùm amoris, quem erga me ſummũ habuerat, meminiſſet, erecto gladio incubuit. Tertiò quæſiui, an vnquam ad Troiam Helena veniſſet, aut ita fingere Homero placuerit. Tunc Achilles: Longo, inquit, tempore decepti fuimus, cùm legatos ad Troiam miſimus: tum etiam cùm pro ipſa apud Ilium bellum gereremus. Ipſa verò in Ægypto habitabat apud Proteum, cùm tamẽ à Paride rapta fuiſſet. Poſtquam verò

id reſciuimus, bellum pro ipſa apud Troiam gerere perſeuerauimus, ne turpiter illinc, ignominioſéque diſcederemus. Quartò ſic interrogaui, dicens me vehementer mirari, quòd tot, tantóſque viros eodem tempore Græcia tulerit: quales, quantóſque circa Troiam conueniſſe ſcribit Homerus. Ad hæc Achilles, Nec barbari, inquit, [numero, virtutéque virorum] multò nobis erant inferiores; vſqueadeo per id temporis virtus in terra florebat. Quinto loco interrogaui: Quamobrem Homerus Palamedem, aut ignorauit, aut cognitum in ſermone ſeparauit. Ad hæc Achilles: Si Palamedes, inquit, ad Troiam non venit, nec Troia vnquam fuit. Quoniam vir ſapientiſſimus, bellicoſiſſimúſque, vt Vlyſſi placuit, interfectus eſt: non inducit ipſum in poëmate Homerus, ne Vlyſſis opprobria narrare cogatur. Ingemuitque illius cauſa Achilles, maximũ ipſum, & pulcherrimum, & in prima iuuenta bellaciſſimum fuiſſe dictitans. modeſtia verò ceteros ſuperaſſe, & Muſarum ſtudiis vehementer fuiſſe deditum. Sed tu, inquit, Apolloni (eſt enim ſapientibus viris erga ſapientes affinitas quædam) Palamedis ſepulchrum cura: eiúſque ſtatuam turpiter deiectam ſuo loco reſtitue. Iacet autem in Æolide ſecus Methymnam, quæ in Leſbo eſt. Hæc cùm dixiſſet, & quæ de adoleſcente Pario ſuperius narrata ſunt, fieri mandaſſet, mediocri fulgure emiſſo, diſceſſit. Iam enim gallorum cantus audiebatur. Et hæc quidem dum eſſet in naui, narrauit Apollonius.

A ἐπιστεύθη τοῦτο, ὑπὲρ αὐτῆς τῆς Τροίας λοιπὸν ἐμαχόμεθα, ὡς μὴ αἰσχρῶς ἀπέλθοιμεν. ἠρόμην δὲ τετάρτης ἐρωτήσεως, καὶ θαυμάζειν, ἔφην, εἰ τοσούσδε ὁμοῦ, καὶ τοιούσδε ἄνδρας ἡ Ἑλλὰς ἤνεγκεν, ὁπόσους Ὅμηρος ἐπὶ τὴν Τροίαν ξυντάττει. ὁ δὲ Ἀχιλλεύς, οὐδὲ οἱ βάρβαροι, ἔφη, πολὺ ἡμῶν ἐλείποντο· οὕτως ἡ γῆ πᾶσα ἀρετῆς ἤνθησε. πέμπτον

B ἠρόμην, τί παθὼν Ὅμηρος, τὸν Γαλαμήδην οὐκ οἶδεν. ἢ οἶδε μὲν, ἐξαιρεῖ δὲ τοῦ περὶ ὑμῶν λόγου. εἰ Γαλαμήδης εἶπεν, ἐς Τροίαν οὐκ ἦλθεν, οὐδὲ Τροία ἐγένετο· ἐπεὶ δὲ ἀνὴρ σοφώτατός τε, καὶ μαχιμώτατος ἀπέθανεν, ὡς Ὀδυσσεῖ ἔδοξεν, οὐκ ἐσάγεται αὐτὸν ἐς τὰ ποιήματα Ὅμηρος, ὡς μὴ τὰ ὀνείδη τοῦ Ὀδυσσέως ᾄδοι. καὶ ἐπολοφυρόμενος αὐ-

C τῷ ὁ Ἀχιλλεύς, ὡς μεγίστῳ τε, καὶ καλλίστῳ, νεωτάτῳ τε, καὶ πολεμικωτάτῳ, σωφροσύνῃ δὲ ὑπερβαλομένῳ πάντας, καὶ πολλὰ ξυμβαλομένῳ ταῖς Μούσαις, ἀλλὰ σὺ, ἔφη, Ἀπολλώνιε, σοφοῖς γὰρ πρὸς σοφοῖς ἐπιτήδεια, τοῦ τε τάφου ἐπιμελήθητι, καὶ τὸ ἄγαλμα τοῦ Γαλαμήδους ἀνάλαβε, φαύλως

D ἐρριμμένον. κεῖται δὲ ἐν τῇ Αἰολίδι, κατὰ Μέθυμναν τὴν ἐν Λέσβῳ. ταῦτα εἰπὼν, καὶ τὰ περὶ νεανίαν τὸν ἐκ Πάρου, ἀπῆλθε ξὺν ἀστραπῇ μετρίᾳ· καὶ γὰρ δὴ καὶ ἀλεκτρυόνες ἤδη ᾠδῆς ἥπτοντο. τοιαῦτα μὲν τὰ ἐπὶ τῆς νεώς.

De philoſophis inuentis in Phalero, & ſacris Epidauriis, déque Hierophanta Antiſtite, atque adoleſcente dæmoniaco ab Apollonio liberato. CAP. VI.

ἘΣ δὲ τὸν Πειραιᾶ ἐσπλεύσας περὶ μυστηρείων ὥραν, ὅτε Ἀθηναῖοι πολυανθρωπότατα Ἑλλήνων πράττουσιν, ἀνῄει ξυντείνας ἀπὸ τῆς νεὼς ἐς τὸ ἄστυ. προϊὼν δὲ, πολλοῖς τῶν φιλοσοφούντων ἐνετύγχανε, Φαλήραδε κατιοῦσιν· ὧν οἱ μὲν, γυμνοὶ ἐθέροντο· καὶ γὰρ τὸ μετόπωρον εὐήλιον τοῖς Ἀθηναίοις· οἱ δὲ, ἐκ βιβλίων ἐσπούδαζον· οἱ δ' ἀπὸ στόματος ἠσκοῦντο· οἱ δὲ, ἤριζον. παρῄει δὲ οὐδεὶς αὐτόν· ἀλλὰ τεκμηράμενοι πάντες ὡς εἴη Ἀπολλώνιος, ξυνανεστρέφοντό τε, καὶ ἠσπάζοντο χαίροντες. νεανίσκοι δὲ ὁμοῦ δέκα περιτυχόντες αὐτῷ, νὴ τὴν Ἀθηνᾶν ἐκείνην ἔφασαν, ἀνατείναντες τὰς χεῖρας ἐς τὴν ἀκρόπολιν, ἡμεῖς ἄρτι ἐς Πειραιᾶ ἐβαδίζομεν, πλευσόμενοι ἐς Ἰωνίαν παρὰ σέ. ὁ δὲ, ἀπεδέχετο αὐτοὺς, καὶ ξυγχαίρειν, ἔφη, φιλοσοφοῦσιν. ἦν μὲν δὴ Ἐπιδαυρίων ἡ ἡμέρα· τὰ δὲ Ἐπιδαύρια, μετὰ πρόρρησίν τε, καὶ ἱερεῖα, δεῦρο μυεῖν Ἀθηναίοις πάτριον ἐπὶ θυσίᾳ δευτέρᾳ· τουτὶ δὲ ἐνόμισαν Ἀσκληπιοῦ ἕνεκα, ὅτι δὴ *ἐμυήσαντο αὐτὸν ἥκοντα Ἐπιδαυρόθεν ὀψὲ μυστηρείων· ἀμελήσαντες δὲ οἱ πολλοὶ τοῦ μυεῖσθαι, περὶ τὸν Ἀπολλώνιον εἶχον. καὶ τοῦτ' ἐσπούδαζον μᾶλλον, ἢ τὸ ἀπελθεῖν τετελεσμένοι. ὁ δὲ, ξυνέσεσθαι μὲν αὐτοῖς αὖθις ἔλεγεν, ἐκέλευσε δὲ πρὸς τοῖς ἱεροῖς τότε γίγνεσθαι· καὶ γὰρ αὐτὸς μυεῖσθαι.

* γρ. ἐμύησαν

DIGREDIENS inde in Piræum myſteriorũ tempore, quæ ſumma totius Græciæ frequentia Athenienſes celebrant, in vrbem venit. Procedens autem philoſophos complures inuenit, qui in Phalerum deſcenderant: quorum aliqui nudatis corporib. ad ſolem ſeſe calefaciebãt (eſt enim Athenarum ciuitas autumni tempore ad ſolem bene expoſita) nonnulli autẽ legendis libris incumbebant: quidam orando ſeſe exercebant: alij verò diſſerẽdo, quid in quaque re veritatis eſſet inquirebant: nemo tamẽ ad ipſum acceſſit: ſed coniectantes Apollonium eſſe, in eum vertebãtur, & lætè ipſum ſalutabant. Adoleſcentes verò decem ſimul obuiam illi currentes, & manus ſimul ad arcem tendentes, per ipſam dixere, Palladem, nos pauloposſt venire in Piræum ſtatueramus, vt ad te in Ioniam nauigaremus. Eos humanè, benignéque ſuſcepit Apollonius: dixítq. ſe vehementer philoſophantib. congratulari. Erat fortè Epidauriorũ dies. Epidauria autẽ ſacra, quæ Athenis celebrantur *ſuper hoſtia altera*, & nomine, & ſacerdotum cultu ſimilia ſunt iis, quæ in Epidauro fiunt. Athenis autem (vt ſermo eſt) ſacrificia illa *ſic peragi* conſuetum eſt; quod Æſculapij cauſa ſtatuerunt, quem aliquando iam peractis myſteriis ex Epidauro venientem ſacris initiarunt. Cùm plurimi Apollonio circunſtantes curam ſacrorum omitterent, magíſque de illo videndo, audiendóque, quàm de ſe expiandis eſſent ſolliciti: ipſe ad eos conuerſus, aliáſq. collocuturum, pollicitus, tunc ſacris operã dare illos iuſſit, & ſe ſacris initiari velle dixit.

Verùm ſacrorum antiſtes, quem illi Hierophantem appellant, illum ſacris admittere noluit, aſſerens nunquam ſe initiaturum eſſe hominem incantatorem; *nec Eleuſinem patefactarum ei qui purus à dæmonibus non eſſet.* Apollonius nihil propterea deiectus animo: Maximum, inquit, eorum, in quibus accuſari poſſem, omiſiſti, quòd cùm de ſacris, arcaníſque myſteriis multò plura, & ſecretiora, quàm tu, cognoſcam: tamen ad te tanquam ſapientiorem initiandus acceſſerim. Cùm omnes qui aderant reſponſionẽ illam conſtanter, apertéque factam laudarent, & ſacrorum antiſtes odioſum ſe, moleſtúmque omnibus eſſe animaduerteret, quòd illum ſacris prohibuiſſet, mutata voce, Initiare, inquit, vir enim ſapiens eſſe videris. Tunc Apollonius: Ego certè paulò poſt initiabor, & digito quendam ex circunſtantibus notans: Ille, inquit, me initiaturus eſt: diuinatione quadam præmonſtrans eum, qui antiſtes templi futurus erat, quod poſt annum quartum euenit. De orationibus autem, quas plurimas Athenis habuit, eas duntaxat ſe ſcripſiſſe Damis narrat: quæ magis neceſſariæ de rebus grauioribus habitæ ſunt. Et quoniam Athenienſes amatores ſacrorum eſſe cognouit, primò de ſacrificiis diſſeruit, oſtendens, quod cuique Deo ſacrificium proprium eſſet, quáque diei, aut noctis hora ſacrificari oporteret: & rurſus cuinam Deorum hoſtiis, aut libationibus, aut ſupplicationibus eſſet ſacrificandum. Inuenitur etiam Apollonij libellus, in quo verba ipſa poſita ſunt, quibus ad horum ſingula peragenda vtendum eſt. Quæ quidẽ cùm pro ſcientia, humanitatéq. illa Athenienſes edocuerit, tum accuratius id fecit, vt antiſtitem redargueret eorum, quæ ſibi contu-

A ὁ δὲ Ἱεροφάντης, οὐκ ἐβούλετο παρέχειν τὰ ἱερὰ, μὴ γὰρ ἄν ποτε μυῆσαι γόητα, μηδὲ τὴν Ἐλευσῖνα ἀνοῖξαι ἀνθρώπῳ μὴ καθαρῷ τὰ δαιμόνια. ὁ δὲ Ἀπολλώνιος, οὐδὲν ὑπὸ τούτων ἥττων αὑτοῦ γενόμενος, οὔπω, ἔφη, τὸ μέγιστον, ὧν ἐγὼ ἐγκληθείην ἄν, εἴρηκας, ὅτι περὶ τῆς τε-
B λετῆς πλείω ἢ σὺ γιγνώσκω· ἐγὼ δὲ ὡς παρὰ σοφωτέρου ἐμαυτοῦ μυησόμενος ἦλθον. ἐπαινεσάντων δὲ τῶν παρόντων ὡς ἐρρωμένως, καὶ παραπλησίως αὐτῷ ἀπεκρίνατο, ὁ μὲν Ἱεροφάντης, ἐπειδὴ ἐξείργων αὐτὸν οὐ φίλα τοῖς πολλοῖς ἐδόκει πράττειν, μετέβαλε τοῦ τόνου· καὶ μυοῦ, ἔφη· σοφὸς γάρ τις ἥκειν ἔοικας. ὁ δὲ Ἀπολλώνιος, μυήσομαι, ἔφη, αὖ-
C θις· μυήσει δέ με ὁ δεῖνα· προγνώσει χρώμενος, ἐς τὸν μετ' ἐκεῖνον Ἱεροφάντην; ὃς μετὰ τέτταρα ἔτη τοῦ ἱεροῦ προὔστη. τὰς δὲ Ἀθήνησι διατριβὰς, πλείστας μὲν ὁ Δάμις γενέσθαι φησὶ τῷ ἀνδρὶ, γράψαι δὲ οὐ πάσας, ἀλλὰ τὰς ἀναγκαίας τε, καὶ περὶ μεγάλων σπουδασθείσας. τὴν μὲν δὴ πρώτην διάλεξιν, ἐπειδὴ φιλοθύτας τοὺς Ἀθηναίους εἶδεν,
D ὑπὲρ ἱερῶν διελέξατο, καὶ ὡς ἄν τις ἐς τὸ ἑκάστῳ τῶν θεῶν οἰκεῖον; καὶ πηνίκα τῆς ἡμέρας τε, καὶ νυκτὸς, ἢ θύοι, ἢ σπένδοι, ἢ εὔχοιτο. καὶ βιβλίῳ Ἀπολλωνίου προστυχεῖν ἔστιν, ἐν ᾧ ταῦτα τῇ ἑαυτοῦ φωνῇ ἐκδιδάσκει. διῆλθε δὲ ταῦτα Ἀθήνησι πρῶτον μὲν ὑπὲρ σοφίας αὑτοῦ τε, κἀκείνων, εἶτ' ἐλέγχων τὸν Ἱεροφάντην, δι' ἃ βλασ-

σφήμως τε, καὶ ἀμαθῶς, εἶπε· τίς γὰρ ἔτι ᾤηθη, τὰ δαιμόνια μὴ καθαρὸν εἶναι τὸν φιλοσοφοῦντα ὅπως οἱ θεοὶ θεραπευτέοι; διαλεγομένου δὲ αὐτοῦ περὶ τῆς σπονδῆς, παρέτυχε μὲν τῷ λόγῳ μειράκιον τῶν ἁβρῶν οὕτως ἀσελγὲς νομιζόμενον, ὡς γενέσθαι ποτὲ καὶ Ἀμαζόνων ᾆσμα· πατρὶς δὲ αὐτῷ Κέρκυρα ἦν, καὶ ἐς Ἀλκίνουν ἀνέφερε τὸν ξένον τοῦ Ὀδυσσέως, τὸν Φαίακα· καὶ διῄει μὲν δὴ ὁ Ἀπολλώνιος περὶ τῆς σπονδῆς ἐκέλευε δὲ μηδὲ πίνειν τοῦ ποτηρίου τούτου, φυλάττειν δὲ αὐτὸ τοῖς θεοῖς ἄχραντόν τε, καὶ ἄποτον. ἐπεὶ δὲ καὶ ὦτα ἐκέλευσε τῷ ποτηρίῳ ποιεῖσθαι, καὶ σπένδειν κατὰ τὸ οὖς, ἀφ' οὗ μέρους ἥκιστα πίνουσιν ἄνθρωποι, τὸ μειράκιον κατεσκέδασε τοῦ λόγου πλατύν τε, καὶ ἀσελγῆ γέλωτα. ὁ δέ, ἀναβλέψας ἐς αὐτό, οὐ σύ, ἔφη, ταῦτα ὑβρίζεις, ἀλλ' ὁ δαίμων, ὃς ἐλαύνει σε οὐκ εἰδότα. ἐλελήθει δὲ ἄρα δαιμονῶν τὸ μειράκιον· ἐγέλα τε γὰρ ἐφ' οἷς οὐδεὶς ἕτερος, καὶ μετέβαλλεν ἐς τὸ κλάειν, αἰτίαν οὐκ ἔχον· διελέγετό τε πρὸς ἑαυτόν, καὶ ᾖδε. καὶ οἱ μὲν πολλοί, τὴν νεότητα σκιρτῶσαν ᾤοντο ἐκφέρειν αὐτὸ ἐς ταῦτα· ὁ δ' ὑπεκρίνετο ἄρα τῷ δαίμονι, καὶ ἐδόκει παροινεῖν, ἃ ἐπαρῴνει τότε, ὁρῶντος δὲ ἐς αὐτὸ τοῦ Ἀπολλωνίου· δεδοικότως τε, καὶ ὀργίλως φωνὰς ἠφίει τὸ εἴδωλον, ὁπόσαι κλαομένων τε, καὶ στρεβλουμένων εἰσίν· ἀφέξεσθαί τε τοῦ μειρακίου ὤμνυ, καὶ μηδενὶ ἀνθρώπων ἐμπεσεῖσθαι. τοῦ δέ, οἷα δεσπότου πρὸς ἀνδρά-

melioſè, temerariéque obiecerat. Quis enim à dæmonibus liberum non putet hominem de cultu, religionéq. Deorum philoſophantem? Cùm de libationibus faciendis aliquando diſputaret, fortè adoleſcens aderat mollis, ac deliciis fluens, adeóque laſciuus, ac petulans, vt Amazonum cantibus *traductus* fuerit. Erat autem patria Corcyrenſis: genus verò in Phæacem Alcinoum Vlyſſis hoſpitem referebat. De libatione igitur, vt diximus, diſputans Apollonius, iubebat homines tali, aut tali potione abſtinere, & eam intactam, purámque Diis immortalibus conſeruare. Cúmque dixiſſet potionem quandam auribus eſſe ſacrificandam, ciúſque libationem per aures faciendam, cùm ea corporis parte homines bibere non poſſint: adoleſcens in cachinnum prorupit tam profusè ridens, vt omnes, qui aderant, in ſe conuerteret. Tunc illum reſpiciens Apollonius: Non tu, inquit, hanc mihi contumeliam affers, ſed dæmon, qui te inſcium hoc pacto vexat. *Detineri* autem à dæmone adoleſcens *ſe neſciebat*; & de his vtique ridebat, de quibus alius nemo riſiſſet: quandoque autem in *ploratum* riſum vertebat, cùm nulla ſubeſſet *lachrymandi* cauſa: interdum ſecum ipſe loquebatur, aut cantabat. Horum omnium luxurioſam, & mollem *iuuentutem* eſſe cauſam homines arbitrabantur. Sed adoleſcens dæmonis *inſtinctu geſticulabatur, ac debacchari tum videbatur, cùm in illum furentem intueretur* Apollonius. Nunc enim timétis, nunc iraſcentis voces idolum emittens, & quales *flentium* eſſe ſolent, & eorum qui aliquo cruciatu torquentur, iurabat ſe adoleſcentem dimiſſurum, & in neminem alium intraturum. Apollonius autem verbis

in eum vtebatur, quibus domini contra ſeruos, vti ſolent, *verſipellem, callidum* ſceleſtum, impudentémque ipſum appellans, minaciter, iracundéque iubebat, vt ſigno aliquo ſui diſceſſus edito, adoleſcentem relinqueret: *Nimirum vt* ſtatuam quandam *deiiceret*: vnam *ex iis* denotans quæ in porticu regia, iuxta quam talia fiebant, poſitæ erant. His dictis ea ſtatua tum paulum primò nutans decidit. *Tumultum verò qui ſuper hac re exortus eſt, vſque cum admiratione cuncti plauſum ediderint, quî deſcribere quis poſſet?* Verùm adoleſcens, tanquam è graui ſomno excitatus, oculos terebat, & ad radios ſolis facie conuerſa, verecundia perfuſus eſt, quòd omnes in ſe reſpicientes animaduertit: nec vlterius petulans apparebat, neque toruè ſicut antea aſpiciens: ſed in propriam naturam reuerſus, non aliter, quàm ſi medicamentum aliquod pro recipienda ſalute bibiſſet: tum verſicoloribus, ac mollibus veſtimentis, cæteríſque deliciis depoſitis, parcitatem victus, & vile pallium complexus eſt, ſéque ad Apollonij vitam, moréſque contulit.

A ποδὸν ποικίλον, πανοῦργόν τε, καὶ ἀναιδὲς, καὶ τὰ τοιαῦτα ξὺν ὀργῇ λέγοντος, καὶ κελεύοντος αὐτῷ ξὺν τεκμηρίῳ ἀπαλλάττεσθαι. Τὸν δεῖνα, ἔφη, καταβαλὼν ἀνδριάντα· δείξας τινὰ τῶν περὶ τὴν βασίλειον στοὰν, πρὸς ᾗ ταῦτα ἐπράττετο· ἐπεὶ δὲ ὁ ἀνδριὰς ὑπεκινήθη πρῶτον, εἶτα ἔπεσε. Τὸν μὲν θόρυβον τὸν ἐπὶ τούτῳ, καὶ ὡς ἐκρότησαν ὑπὸ θαύματος, B τί ἄν τις γράφοι. τὸ δὲ μειράκιον, ὥσπερ ἀφυπνίσαν, τούς τε ὀφθαλμοὺς ἔτριψε, καὶ πρὸς τὰς αὐγὰς τοῦ ἡλίου εἶδεν, αἰδῶ τε ἐσπάσατο, πάντων ἐς αὐτὸ ἐστραμμένων· ἀσελγές τε οὐκ ἔτι ἐφαίνετο, οὐδὲ ἄτακτον βλέπον, ἀλλ' ἐπανῆλθεν ἐς τὴν ἑαυτοῦ φύσιν, μεῖον οὐδὲν, ἢ εἰ φαρμακοποσίᾳ ἐκέχρητο· μεταβα- C λόν τε τῶν χλανιδίων, καὶ τῶν λῃδίων, καὶ τῆς ἄλλης συβαρίδος, ἐς ἔρωτα ἦλθεν αὐχμοῦ, καὶ τρίβωνος, καὶ ἐς τὰ τοῦ Ἀπολλωνίου ἤθη ἀπεδύσατο.

Bacchanalia, & muliebres Athenienſium ornatus reprehenſos ab Apollonio. Tum cur Athenienſium & venti ſocij, & Boreas præter ventos ceteros maſculus, affinis eſſe dicatur. Sublatos præterea ab Apollonio crudeles Indos: hinc pro Achille legatum eſſe ad Theſſalos congregatos in Pylea ad Amphictyona celebranda: deinde de Lacedæmoniis, qui pro patria occubuere, déque Arcanane Megiſtia.

Cap. VII.

DICITVR etiam Apollonius Athenienſes increpaſſe propter Bacchanalia, quæ menſe Nouembri celebrant. Ipſe enim ſimplices cantus & modulationes quaſdã numeroſas in theatro audituros conuenire putabat, quales comœdiarum, tragœdiarúmve cantus eſſe ſolent.

Ἐπιπλῆξαι δὲ λέγεται περὶ Διονυσίων Ἀθηναίοις, ἃ ποιεῖται σφίσιν, ἐν ὥρᾳ τοῦ ἀνθεστηριῶνος· ὁ μὲν γὰρ μονῳδίας ἀκροασομένους, καὶ μελοποιΐας, παραβάσεών τε, καὶ ῥυθμῶν, ὁπόσοι κωμῳδίας τε, καὶ τραγῳδίας εἰσὶν, ἐς τὸ θέατρον

ξυμφοιτᾶν ᾤετο. ἐπεὶ δὲ ἤκουσεν ὅτι αὐλοῦ ὑποσημήναντος λυγισμοῖς ὀρχοῦνται, καὶ μεταξὺ τῆς Ὀρφέως ἐποποιίας τε, καὶ θεολογίας, τὰ μὲν, ὡς ὧραι, τὰ δὲ, ὡς νύμφαι, ὡς βάκχαι πράττουσιν, ἐς ἐπίπληξιν τούτου κατέστη, καὶ παύσασθε, εἶπεν, ἐξορχούμενοι τοὺς Σαλαμινίους, καὶ πολλοὺς ἑτέρους κειμένους ἀγαθοὺς ἄνδρας· εἰ μὲν γὰρ Λακωνικὴ ταῦτα ὄρχησις, εὖγε οἱ στρατιῶται· γυμνάζεσθε γὰρ τῷ πολέμῳ, καὶ ξυνορχήσομαι. εἰ δὲ ἁπαλὴ, καὶ ἐς τὸ θῆλυ σπεύδουσα, τί φῶ περὶ τῶν τροπαίων; οὐ γὰρ κατὰ Μήδων ταῦτα, ἢ Περσῶν, καθ' ὑμῶν δὲ ἐστήξει τῶν ἀναθέντων ταῦτα, εἰ λίποισθε· κροκωτοὶ δὲ ὑμῖν, καὶ ἁλουργία, καὶ κροκοβαφία τοιαύτη, πόθεν; οὐδὲ γὰρ αἱ Ἀχαρναί γ' ὧδε ἐστέλλοντο, οὐδὲ ὁ Κολωνὸς ὧδε ἵππευε. καὶ τί λέγω ταῦτα; γυνὴ ναύαρχος ἐκ Καρίας ἐφ' ὑμᾶς ἔπλευσε μετὰ Ξέρξου· καὶ ἦν αὐτῇ γυναικεῖον οὐδὲν, ἀλλ' ἀνδρὸς στολὴ, καὶ ὅπλα· ὑμεῖς δὲ, ἁβρότεροι τῶν Ξέρξου γυναικῶν, ἐπ' αὐτοὺς στέλλεσθε οἱ γέροντες, οἱ νέοι, τὸ ἐφηβικόν· οἳ πάλαι μὲν ὤμνυσαν ἀγραύλου φοιτῶντες, ὑπὲρ τῆς πατρίδος ἀποθανεῖσθαι, καὶ ὅπλα θήσεσθαι. νῦν δὲ ἴσως ὀμοῦνται ὑπὲρ τῆς πατρίδος βακχεύσειν, καὶ θύρσον λήψεσθαι, κόρυν μὲν οὐδεμίαν φέρων, γυναικομίμῳ δὲ μορφώματι κατὰ τὸν Εὐριπίδην αἰσχρῶς διαπρέπων. ἀκούω δὲ ὑμᾶς καὶ ἀνέμους γίγνεσθαι, καὶ Λύδια ἀνασείειν λέγεσθε, ἔπιπλα, μετεώρως αὐτὰ κολποῦντες. ἔδει δὲ ἀλλὰ τούτοις γε αἰδεῖσθαι ξυμμάχοις γε ὄντας, καὶ πνεύσαντας ὑπὲρ ἡμῶν μέγα. μηδὲ τὸν Βορέαν κηδεστὴν γε

A Sed poſtquam audiuit ad ſonum tibiæ illos ſaltare, & inter Orphéi carmina, theologiámque, alios horarum, alios nympharum, alios baccharum habitu ornatos procedere: grauiter eos increpuit: Deſinite, inquiens, Salaminicos tripudiando imitari, & pleroſque alios iacentes *probos viros*. Si enim Laconica quædam eſſet hæc tripudiandi ratio; atque ipſe quoque ſaltabo. *eia agite milites. ſedenim exerceatis vos bello.* Sin B autem eſt mollis, effœminatáque ſaltatio, quid habet cum trophęis commune? neque verò contra Medos, Perſáſve, ſed contra vos ipſos, qui ea inſtituitis, venient, ſi ea permanere ſinetis; coccinæ, atque etiam purpureæ, croceæque veſtes: vnde à vobis ſumptæ? num neque Acarnanides mulieres ita exornentur, neque tam molliter colonus equitauerit. Sed quid ego talia commemoro, cùm mulier Caria Xerxis tempori- C bus nauis cuiuſdam præfecta contra vos nauigauerit nihil habens muliebris ornatus, ſed virili ſtola & armis inſtructa? vos autem molliores eſtis, quàm Xerxis fœminæ, eoſdem geritis ornatus, ſenes pariter ac iuuenes, quos Perſarum impuberes geſtare ſolent. Quondam tamen in agro pugnaturi iuraſtis pro patria potius eſſe morituros. Nunc autem, vt puto, iuratis vos pro patria bacchaturos, & thyrſum ſumpturos. D Qui enim & galeam ferre non poteſt, & formam imitatur muliebrem, vt inquit Euripides, is turpiter ornatur. Audiui verò vos & ventos fieri, & Lydiam agitare ſupellectilem in magnos ſinus ipſam attollentes. Oportet autem ipſos venerari, præſertim cùm ſocij veſtri ſint, & pro vobis maximè ſpirent: neque Boream affinem veſtrum,

qui maximè ventorũ omnium maſculus eſt, fœminam facere decet. Neque enim ipſe Boreas Orithiam amaſſet, ſi eam vidiſſet tripudiantem. Alius inſuper error Athenis emendatus eſt. Conueniens enim populus, in theatro quod in arce eſt, gladiatores ſeſe mutuò iugulantes ſpectabat: magíſque ibi tunc talia exercebantur, quàm nunc Corinthi fiat. Nam magnis pecuniis empti nequam homines eò deducebantur: ceu adulteri, ſeruorum captatores, ſcortatores, marſupiorum inciſores, aliíque huiuſmodi generis homines. Athenienſes verò illos armantes, certare ſimul iubebant. Hanc itaque tam crudelem conſuetudinem illis abſtulit Apollonius. Cùm illum in concionem vocarent Athenienſes, negauit ſe locum pollutum, & cruore manantem intrare velle. Idémque per epiſtolam ſcripſit, dicens mirari ſe iamdudum, quòd arcem Dea non deſeruerit, cùm vos tantùm ante oculos eius humani ſanguinis effundatis. Videmini enim mihi cùm feſta, quæ Panathenaica dicitis, celebraueritis, non boues in ſacrificio, ſed homines mactare. Tu etiam, ô Bacche, quo pacto poſt eiuſmodi ſanguinem in theatrum venis, vbi ſapientes Athenienſes libando tibi ſacrificant? abi igitur, & tu Dionyſi. Purior enim ſanctiórque Cythæron eſt. Hæc ſunt, quæ memoratu digna putaui ex iis, quæ tunc Athenis philoſophatus eſt Apollonius. Pòſt ad Theſſalos legatus pro Achille profectus eſt, cùm illi conuentum in Pylæa celebrarent, vbi Amphictyonica etiam peragere conſueuerunt. Theſſali itaque auditis quæ Achillis nomine ab Apollonio nuntiabantur, decreuere, vt circa ſepulchrum eius conſueta ſacra inſtaurarentur.

A ὄντα, καὶ παρὰ πάντας τοὺς ἀνέμους ἄρσενα, ποιεῖσθαι θήλυν· οὐδὲ γὰρ τῆς Ὠρειθυίας ἐραστὴς ἄν ποτε ὁ Βορέας ἐγένετο, εἰ κἀκείνην ὀρχουμένην εἶδε. διωρθοῦτο δὲ κἀκεῖνο Ἀθήνησιν. οἱ Ἀθηναῖοι ξυνιόντες ἐς τὸ θέατρον τὸ ἐπὶ τῇ ἀκροπόλει, προσεῖχον σφαγαῖς ἀνθρώπων, καὶ ἐσπουδάζετο ταῦτα ἐκεῖ

B μᾶλλον, ἢ ἐν Κορίνθῳ νῦν· χρημάτων τε μεγάλων ἐωνημένοι ἤγοντο μοιχοί, καὶ ἀνδραποδισταί, πόρνοι, καὶ τοιχωρύχοι, καὶ βαλαντιοτόμοι, καὶ ἀνδραποδισταί, καὶ τὰ τοιαῦτα ἔθνη· οἱ δ' ὥπλιζον αὐτούς, καὶ ἐκέλευον ξυμπίπτειν. ἐλάβετο δὴ καὶ τούτων ὁ Ἀπολλώνιος· καὶ καλούντων αὐτὸν ἐς ἐκκλησίαν Ἀθηναίων, οὐκ ἄν, ἔφη, παρελθεῖν ἐς χωρίον ἀκάθαρτον, καὶ λύθρου

C μεστόν· ἔλεγε δὲ ταῦτα ἐν ἐπιστολῇ. καὶ θαυμάζειν ἔλεγεν ὅπως ἡ θεὸς οὐ καὶ τὴν ἀκρόπολιν ἤδη ἐκλείπει, τοιοῦτον αἷμα ὑμῶν περισχεόντων αὐτῇ. δοκεῖτε γάρ μοι περιϊόντες, ἐπειδὰν τὰ παναθήναια πέμπητε, μηδὲ βοῦς ἔτι, ἀλλ' ἑκατόμβας ἀνθρώπων καταθύσειν τῇ θεῷ. σὺ δὲ Διόνυσε, μετὰ τοιοῦτον αἷμα ἐς τὸ θέατρον φοιτᾷς· κἀκεῖ σοι σπένδουσιν οἱ σοφοὶ Ἀθηναῖοι;

D μετάστηθι καὶ σὺ Διόνυσε. Κιθαιρὼν καθαρώτερος. τοιάδε εὗρον τὰ σπουδαιότατα τῶν φιλοσοφηθέντων Ἀθήνησιν αὐτῷ τότε. ἐπρέσβευσε δὲ καὶ παρὰ τοὺς Θετταλοὺς ὑπὲρ τοῦ Ἀχιλλέως κατὰ τοὺς ἐν Πυλαίᾳ ξυλλόγους, ἐν οἷς οἱ Θετταλοὶ τὰ ἀμφικτυονικὰ πράττουσιν. οἱ δέ, δείσαντες, ἐψηφίσαντο ἀναλαβεῖν τὰ προσήκοντα τῷ τάφῳ.

καὶ τὸ Λεωνίδου σῆμα τοῦ Σπαρτιάτου **A** μονονοὺ περιέβαλεν, ἀγασθεὶς τὸν ἄνδρα, ἐπὶ δὲ τὸν κολωνὸν βαδίζων, ἐφ᾽ οὗ λέγονται Λακεδαιμόνιοι περιχωσθῆναι τοῖς τοξεύμασιν, ἤκουσε τῶν ὁμιλητῶν διαφερομένων ἀλλήλοις, ὅ,τι εἴη τὸ ὑψηλότατον τῆς Ἑλλάδος. παρεῖχε δὲ ἄρα τὸν λόγον ἡ Οἴτη τὸ ὄρος, ἐν ὀφθαλμοῖς οὖσα. καὶ ἀνελθὼν ἐπὶ τὸν λόφον, ἐγὼ, ἔφη, τὸ ὑψηλότατον τοῦτο ἡγοῦμαι. **B** οἱ γὰρ ἐνταῦθα ὑπὲρ ἐλευθερίας ἀποθανόντες, ἀντήγαγον αὐτὸ τῇ Οἴτῃ, καὶ ὑπὲρ πολλοὺς Ὀλύμπους ἦραν· ἐγὼ δὲ, ἄγαμαι μὲν καὶ τούσδε τοὺς ἄνδρας. τὸν δὲ Ἀκαρνᾶνα Μεγιστίαν, καὶ πρὸ τούτων. ἃ γὰρ πεισομένοις ἐγίγνωσκε, τούτων ἐπεθύμησε κοινωνῆσαι τοῖς ἀνδράσιν, οὐ τὸ ἀποθανεῖν δείσας, ἀλλὰ τὸ μὴ μετὰ τοιῶνδε τεθνάναι.

Leonidæ quoque Spartiatæ ſtatuam amplexus eſt Apollonius ob *admirationem*, qua virum talem *proſequebatur*. Veniens autem ad tumulum, vbi ſagittis confoſſi Lacedæmonij perhibentur, familiares ſuos inter ſe diſſidentes, diſputantéſque audiuit, quiſnam totius Græciæ locus eſſet altiſſimus. Huius autem diſputationis occaſionem dederat mõs Oeta ante eorum oculos poſitus. Conſcendens autem collem, quem diximus, Apollonius: Ego, inquit, hunc omnium altiſſimum cenſeo. Namque in eo libertatis cauſa occubuere, æqualem illum Oetæ reddiderunt, & ſupra plures Olympos extulerunt. Ego autem viros iſtos colo, & veneror, & cum ipſis vna Acarnanem Megiſtiam. Quæ enim illos pro patria pertuliſſe audiuit, eorundem ſe fieri participem exoptauit.

Viſitaſſe Apollonium omnia Græcorum delubra, vt Dodonæum, Pythicum, Amphiarai, Trophonij, Muſarum in Helicone. Tum de portu Lechæo. Quídque de Sectione Iſthmi vaticinatus fuerit Apollonius, & quòd poſtea aggreſſus eam Nero, deſtiterit ab incœptu, & quare deſtiterit. Inde de Demetrio philoſopho: de Phauorini orationibus. De Menippo quodam amanti vnam è Lamiis, quæ ſe in formoſiſſ. mulieris corpus transformauerat: vtque ab Apollonio publicè liberatus fuerit.

Cap. *VIII.*

Ἐπεφοίτησε δὲ καὶ τοῖς Ἑλληνικοῖς **D** ἱεροῖς πᾶσι τῷ τε Δωδωναίῳ, καὶ τῷ Πυθικῷ, καὶ τῷ ἐν Ἄβαις· ἐς Ἀμφιαρέω τε, καὶ Τροφωνίου ἐβάδισε, καὶ ἐς τὸ Μουσεῖον τὸ ἐν Ἑλικῶνι ἀνέβη. φοιτῶντι δὲ ἐς τὰ ἱερὰ, καὶ διορθουμένῳ αὐτὰ, ξυνεφοίτων μὲν οἱ ἱερεῖς, ἠκολούθουν δὲ οἱ γνώριμοι, λόγων τε κρατῆρες ἵσταντο, * καὶ ἠρύοντο αὐτῶν οἱ διψῶντες. ὄντων δὲ καὶ Ὀλυμπίων,

Peragrauit etiã Apollonius totius Græciæ tẽpla, & oracula. Acceſſit namq. ad Dodonæũ templum, & Pythicũ, & quod eſt in Abis, Amphiarai quoq. & Trophonij templa vidit. Aſcendit etiam ad Muſarum templũ in Helicone poſitum: cúmq. ſingulorum templorum ſacra perquireret, & ſi qua opus eſſet, emendaret, tẽplorum ſacerdotes vnà proficiſcebãtur, & familiares eius, quos dulcedine ſermonum, voluptatéq. ſaturabat. Cùm ludorũ Olympiorũ tempus luſtraret, Helien-

Elienſéſque ipſum per legatos ad communionem certaminis inuitarent: Videmini mihi, inquit Apollonius Olympiorum gloriam diminuere: qui legationib. auertere tentetis eos, qui ſponte ſua eò ſunt profecturi. Cùm in Iſthmo conſtitiſſet aliquando, & mare Lechæo portui circumpoſitum mugiret: Is, inquit, terræ vertex ſcindetur forſitan: ego tamen magis credo non ſciſſum iri. Hæc autem dixit iam prænoſcens non futuram Iſthmi ſectionẽ, quam poſt annos ſeptem facere cogitauit Nero: qui relicta regia in Græciam venit præconiis Olympiis, Pythiiſque ſe ſubiiciens, quamuis Iſthmia etiam vicerit. Erant autem eius victoriæ Citharœdorum, & præconũ. Vicit etiam tragœdos in Olympiis, & tunc de Iſthmo reſcindendo dicitur cogitaſſe, vt ipſum nauibus peruium redderet, atque Adriaticum Ægæo miſceret, ne naues omnes ſupra Maleam nauigarent, ſed multæ per eum, quem ſcidiſſet locum, veherentur, nauigationis circuitum euitantes. *Quem verò Apollonij vox oracularis exitũ habuit? nimirum* ſciſſio à Lechæo Corinthiorum portu incœpta, ſtadia fermè quatuor cõtinenter proceſſit. Deſtitit autem ab incœptis Nero, vt quidam tradunt, quòd Ægyptij philoſophi dixerunt fore, vt commiſta maria, & diffuſum quod circa eſt Lechæum pelagus Æginam delerent. Alij quòd innouationes aliquas erga imperium timuerit. Tale igitur fuit, quod de de Iſthmi ſciſſione prædixit Apollonius, fore vt ſcinderetur, vel forſitan non ſcinderetur. Erat eo tempore Corinthi philoſophus, nomine Demetrius, omnem Cynicorum diſciplinam complexus: cuius Phauorinus in ſuis orationibus honorificè meminit. Is cùm erga Apollo-

A καὶ καλούντων αὐτὸν Ἠλείων ἐπὶ κοινωνίαν τοῦ ἀγῶνος, δοκεῖτέ μοι, ἔφη, διαβάλλειν τὴν τῶν Ὀλυμπίων δόξαν, πρεσβειῶν δεόμενοι πρὸς τοὺς αὐτόθι ἥξοντας. γενομένου δὲ κατὰ τὸν Ἰσθμὸν, μυκησαμένης τῆς περὶ τὸ Λέχαιον θαλάττης, οὗτος, εἶπεν, ὁ αὐχὴν τῆς γῆς, τετμήσεται μᾶλλον δὲ οὔ. εἶχε δὲ αὐτὸ καὶ τοῦτο πρόρρησιν τῆς σμικρὸν ὕστερον περὶ τὸν Ἰσθμὸν B τομῆς, ἣν μετὰ ἔτη ἑπτὰ Νέρων διενοήθη· τὰ γὰρ βασίλεια ἐκλιπὼν, ἐς τὴν Ἑλλάδα ἀφίκετο, κηρύγμασιν ὑποθήσων ἑαυτὸν Ὀλυμπικοῖς τε, καὶ Πυθικοῖς· ἐνίκα δὲ καὶ Ἰσθμοῖ. αἱ δὲ νῖκαι ἦσαν, κιθαρῳδίας, καὶ κήρυκες. ἐνίκα δὲ καὶ τραγῳδοὺς ἐν Ὀλυμπίᾳ. τότε λέγεται καὶ τῆς περὶ τὸν Ἰσθμὸν καινοτομίας ἅψασθαι, περίπλουν αὐτὸν ἐργαζόμενος, καὶ τὸν Αἰγαῖον C τῷ Ἀδρίᾳ ξυμβάλλων, ὡς μὴ πᾶσα ναῦς ὑπὲρ Μαλέαν πλέοι, κομίζοιντό τε αἱ πολλαὶ κατὰ τοῦ ῥήγματος, ξυντεμοῦσαι τὰς περιβολὰς τοῦ πλοῦ. πῇ δὲ ἀπέβη τὸ τοῦ Ἀπολλωνίου λόγιον; ἡ ὀρυχὴ τὴν ἀρχὴν ἀπὸ Λεχαίου λαβοῦσα, στάδια προὔβη ἴσως τέτταρα, ξυνεχῶς ὀρυττόντων. σχεῖν δὲ λέγεται Νέρων τὴν τομὴν, οἱ D μὲν, Αἰγυπτίων φιλοσοφησάντων αὐτῷ τὰς θαλάττας, καὶ τὸ ὑπὲρ Λεχαίου πέλαγος ὑπερχυθὲν, ἀφανιεῖν εἰπόντων τὴν Αἴγιναν· οἱ δὲ, νεώτερα περὶ τῇ ἀρχῇ δείσαντα. τοιοῦτο μὲν δὴ τοῦ Ἀπολλωνίου, τὸ τὸν Ἰσθμὸν τετμήσεσθαι, καὶ οὐ τετμήσεσθαι. ἐν Κορίνθῳ δὲ φιλοσοφῶν ἐτύγχανε τότε Δημήτριος, ἀνὴρ ξυνειληφὼς ἅπαν τὸ ἐν κυνικῇ κράτος· οὗ Φαβωρῖνος ὕστερον ἐν πολλοῖς τῶν ἑαυτοῦ λόγων, οὐκ ἀγεννῶς ἐπεμνήσθη. παθὼν δὲ πρὸς τὸν

Ἀπολλώνιον, ὅπερ φασὶ τὸν Ἀντισθένην πρὸς τὴν τοῦ Σωκράτους σοφίαν παθεῖν, εἵπετο αὐτῷ μαθητιῶν· καὶ προσκείμενος τοῖς λόγοις· καὶ τῶν αὐτῷ γνωρίμων τοὺς δοκιμωτέρους, ἐπὶ τὸν Ἀπολλώνιον ἔτρεπεν ὧν καὶ Μένιππος ἦν Λύκιος, ἔτη μὲν γεγονὼς πέντε, καὶ εἴκοσι, γνώμης δὲ ἱκανῶς ἔχων, καὶ τὸ σῶμα εὖ κατεσκευασμένος. ἐῴκει οὖν ἀθλητῇ καλῷ, καὶ ἐλευθερίῳ τὸ εἶδος· ἐρᾶσθαι δὲ τὸν Μένιππον οἱ πολλοὶ ᾤοντο ὑπὸ γυναικὸς ξένου. τὸ δὲ γύναιον, καλή τε ἐφαίνετο, καὶ ἱκανῶς ἁβρά, καὶ πλουτεῖν ἔφασκεν. οὐδὲν δὲ τούτων ἄρα ἀτεχνῶς ἦν, ἀλλὰ ἐδόκει πάντα. κατὰ γὰρ τὴν ὁδὸν τὴν ἐπὶ Κεγχρειὰς βαδίζοντι αὐτῷ μόνῳ φάσμα ἐντυχόν, γυνή τε ἐγένετο, καὶ χεῖρα ξυνῆψεν, ἐρᾶν αὐτοῦ πάλαι φάσκουσα. Φοίνισσα δὲ εἶναι, καὶ οἰκεῖν ἐν προαστείῳ τῆς Κορίνθου, τὸ δεῖνα εἰποῦσα προάστειον. ἐς ὃ ἑσπέρας, ἔφη, ἀφικομένῳ, ᾠδή τε ὑπάρξει ἐμοῦ ᾀδούσης, καὶ οἶνος, οἷον οὔπω ἔπιες· καὶ οὐδὲ ἀντεραστὴς ἐνοχλήσει σε. βιώσομαι δὲ καλὴ, ξὺν καλῷ. τούτοις ὑπαχθεὶς ὁ νεανίας· τὴν μὲν γὰρ ἄλλην φιλοσοφίαν ἔρρωτο, τῶν δὲ ἐρωτικῶν, ἥττητο· ἐφοίτησε περὶ ἑσπέραν αὐτῇ. καὶ τὸν λοιπὸν χρόνον ἐθάμιζεν, ὥσπερ παιδικοῖς, οὔπω ξυνιεὶς τοῦ φάσματος. ὁ δὲ Ἀπολλώνιος ἀνδριαντοποιοῦ δίκην ἐς τὸν Μένιππον βλέπων, ἐζωγράφει τὸν νεανίαν, καὶ ἐθεώρει. καταγνοὺς δὲ αὐτόν, σὺ μέντοι, εἶπεν, ὁ καλός τε, καὶ ὑπὸ τῶν καλῶν γυναικῶν θηρευόμενος, ὄφιν θάλπεις,

A nium ita eſſet affectus, ſicut olim Antiſthenem erga Socratis ſapientiã ferunt fuiſſe diſpoſitum, diſcendi cauſa Apolloniũ ſequebatur, eius verba diligẽter obſeruans: amicos inſuper, familiaréſq. ſuos ad audiendũ Apollonium compellebat: inter quos fuit Menippus Lycius, annos natus circiter viginti, & quinque: ingenio ſatis potens, corpore verò egregiè exercitatus; ita vt formoſi Athletæ, liberalíſq. ſpeciem præ ſe ferret. Hunc à peregrina muliercula pleriq. amari pu-

B tabãt. Mulier verò ſatis pulchra, mollíſq. apparebat, & diuitiis ſupra modum abundans: quæ artificioſè, & oſtentationis tantùm cauſa ſimulabãtur. Fuerat autem eius familiaritatem hoc modo conſecutus Menippus. Cùm aliquando ſolus Corintho ad Cenchræas proficiſceretur, phantaſma quoddam illi occurrit, quod ſe in mulieris ſpeciem formauerat, atque manu apprehendens Menippum,

C iamdudum, inquit, ſe illius amore teneri: eſſe autẽ ſe genere Phœniſſam, & in ſuburbano quodam iuxta Corinthum habitare; idq; etiam digito mõſtrauit, dixitq. ſi veſperi eò ad me veneris, me cantantẽ audies, & vinum bibes, quale antea nunquã bibiſti: neque te riualis turbabit vllus. Pulchra enim pulchro contenta viuã, & moriar. His blandiciis allectus adoleſcẽs in reliqua philoſophia ſatis validus, amoribus tamen reſiſtere impotens: veſperi ad mulierem venit: ac fre-

D quenter deinceps tanquam ad ſuas delicias veniebat ad mulierem, nondum quale id eſſet phantaſma cognoſcens. Hæc verò animaduertens Apollonius primò ſtatuarij inſtar Menippum intuitus, diligenter ipſum deſignabat, & contemplabatur: vbi verò illũ ſatis agnouiſſe viſus eſt: O pulcher, inquit, & à pulchris mulieribus expetite, ſerpẽtem foues,

A & te ſerpens fouet. Cùm talia verba Menippus admiraretur: Hoc propterea dixi, Apollonius inquit, quoniam mulierem habes, quæ vxor tua non eſt: quid vero, an te amari ab illa putas? Certè per Iouem, inquit, quandoquidē me vehementer amat. An igitur, inquit Apollonius, eā tibi connubio iunges? Iungam, reſpondit ille: gratiſſimū eſt enim amantē *ducere.* Quando igitur, inquit Apollonius, futuræ nuptiæ ſunt? Ille autem: B Cito, inquit, imò verò cras fortaſſe. Obſeruās igitur conuiuij tempus Apollonius, cùm iam qui inuitati fuerant, conueniſſent, & ipſe eodem accedēs, Vbinam, inquit, mulier eſt, cuius cauſa cōuiuium celebraturi conueniſtis? Tūc Menippus: Propè abeſt, inquit: atq; hæc dicens, cùm paulùm erubuiſſet, ſurrexit. Tūc Apollonius, Argentū hoc, inquit, & aurum, ceteráq. domus huius ornamenta, tuáne, C an mulieris ſunt? Mulieris, inquit ille. & ſemilaceram, craſſámq. veſtem oſtendens, Talia quædam mea ſunt, inquit, ornamenta. Tunc ad eos, qui aderant, cōuerſus Apollonius, Tātalíne, inquit, hortos vidiſtis? qui apparent aliquid eſſe, cùm non ſint? *Apud Homerum ſanè, dixerunt. non enim* in infernum deſcēdimus. Tale certè, D inquit, hunc omnem ornatum exiſtimetis oportet. Neq. enim quæ apparet materia illa ſubeſt, ſed materiæ duntaxat opinio eſt, & imago, vt autem verum eſſe agnoſcatis, quod dico, bona hæc ſpōſa vna eſt ex numero Lamiarū, quas aliqui laruas, aliqui lemures appellant. Sunt autem ad amorē, & Venerem pronæ, & humanas carnes vehementer expetunt, venereorum cupidi[illegible] *agitant* eos, quos cupiunt poſtea deuorare. Illa hæc audiens, Age, inquit, meliora loquere: ſéque eius dictis offenſam, ac perturbatam demonſtrans, in philoſophos paulò mordacius inuecta eſt, *quaſi ſemper nugarentur.* Vbi verò aurea pocula;

καὶ σὲ ὄφις. θαυμάσαντος δὲ τοῦ Μενίππου, ὅτι γυνή σοι, ἔφη, ἐστὶν, οὐ γαμετὴ, εἶπε. τί δὲ, ἡγῇ ὑπ' αὐτῆς ἐρᾶσθαι; νὴ Δί', εἶπεν, ἐπειδὴ διάκειται πρός με ἐρῶσα. καὶ γήμαις δ' ἂν αὐτὴν, ἔφη; χάριεν γὰρ ἂν εἴη τὸ ἀγαπῶσαν γῆμαι. ἤρετο οὖν πηνίκα οἱ γάμοι. θερμοὶ, ἔφη, καὶ ἴσως αὔριον. ἐπιφυλάξας οὖν τὸν τοῦ συμποσίου καιρὸν ὁ Ἀπολλώνιος, καὶ ἐπιστὰς τοῖς δαιτυμόσιν ἄρτι ἥκουσι, ποῦ, ἔφη, ἡ ἁβρὰ, δι' ἣν ἥκετε; ἐνταῦθα, εἶπεν ὁ Μένιππος. καὶ ἅμα ὑπανίστατο ἐρυθριῶν. ὁ δὲ ἄργυρος, καὶ χρυσὸς, καὶ τὰ λοιπὰ, οἷς ὁ ἀνδρὼν κεκόσμηται, ποτέρου ὑμῶν; γυναικὸς, ἔφη. τὰμὰ γὰρ τοσαῦτα, δείξας τὸν ἑαυτοῦ τρίβωνα· ὁ δὲ Ἀπολλώνιος, τοὺς Ταντάλου κήπους, ἔφη, εἴδετε, ὡς ὄντες, οὐκ εἰσί; παρ' Ὁμήρῳ γε ἔφασαν. οὐ γὰρ ἐς ᾅδου γε καταβάντες, ταῦτ', ἔφη, καὶ τουτονὶ τὸν κόσμον ἡγεῖσθε· οὐ γὰρ ὕλη ἐστὶν, ἀλλὰ ὕλης δόξα. ὡς δὲ γιγνώσκοιτε ὃ λέγω, ἡ χρηστὴ νύμφη, μία τῶν ἐμπουσῶν ἐστὶν, ἃς Λαμίας τε, καὶ μορμολυκίας οἱ πολλοὶ ἡγοῦνται: ἐρῶσι δ' αὗται καὶ ἀφροδισίων μὲν; σαρκῶν δὲ καὶ μάλιστα ἀνθρωπείων ἐρῶσι, καὶ πάλλουσι τοῖς ἀφροδισίοις, οὓς ἂν ἐθέλωσι δαίσασθαι. ἡ δὲ, εὐφήμει ἔλεγε, καὶ ἄπαγε. καὶ μυσάττεσθαι ἐδόκει, ἃ ἤκουε· καί που ἀπέσκωπτε τοὺς φιλοσόφους ὡς ἀεὶ ληροῦντες. ἐπεὶ μέντοι τὰ ἐκπώματα τὰ χρυσᾶ,

καὶ ὁ δοκῶν ἄργυρος, ἀνεμιαῖα ἠλέγχθη, καὶ διέπτη τῶν ὀφθαλμῶν πάντα, οἰνοχόοι τε, καὶ ὀψοποιοί, καὶ ἡ τοιαύτη θεραπεία πᾶσα, ἠφανίσθησαν, ἐλεγχόμενοι ὑπὸ τοῦ Ἀπολλωνίου, δακρυόντι ἐῴκει τὸ * φάσμα, καὶ ἐδεῖτο μὴ βασανίζειν αὐτό, μηδὲ ἀναγκάζειν ὁμολογεῖν ὅ, τι εἴη. ἐπικειμένου δὲ, καὶ μὴ ἀνιέντος, ἔμπουσά τε εἶναι, ἔφη, καὶ παχύνειν ἡδοναῖς τὸν Μένιππον ἐς βρῶσιν τοῦ σώματος. τὰ γὰρ καλὰ τῶν σωμάτων, καὶ νέα, σιτεῖσθαι ἐνόμιζεν, ἐπειδὴ ἀκραιφνὲς αὐτοῖς τὸ αἷμα.

* γρ. ἰδεῖν τὸ φάσμα

A & quod videbatur argentum inània, ventoſáque oſtenſa ab oculis euanuere, pincernæque, & coqui, ac reliqua familia ab Apollonio conuicta diſparuit: Lamia lachrymanti ſimilis rogabat Apollonium, ne ſe torqueret, néve quid eſſet fateri cogeret. Cúmque ille acriter inſtaret, neque eam ſe dimiſſurum aſſereret, tandem ſeſe Lamia cōfeſſa eſt, & voluiſſe Menippum voluptatibus explere, vt eius poſtea corpus deB uoraret. Conſueuiſſe enim pulchrorum & iuuenum hominum corporibus veſci, vbi ad ſummam ſanguinis abundantiam perueniſſent.

De Baſſo quodam, qui aßiduè de Apollonio maledicebat, item de legatis Lacedæmoniorum increpitis. De ſtatua & robore Milonis. De ſtatuaria. Tum de iuuene, qui ſibi doctus eſſe videbatur. CAP. *IX.*

C Τοῦτον τὸν λόγον γνωριμώτατον τῶν Ἀπολλωνίου τυγχάνοντα, ἐξ ἀνάγκης ἐμήκυνα. γιγνώσκουσι μὲν γὰρ πλείους αὐτόν, ἅτε καθ' Ἑλλάδα μέσην πραχθέντα. ξυλλήβδην δὲ αὐτὸν παρειλήφασιν, ὅτι ἕλοι ποτὲ ἐν Κορίνθῳ λάμιαν. ὅ, τι μέντοι πράττουσαν, καὶ ὅτι ὑπὲρ Μενίππου ταῦτα, οὔπω γιγνώσκουσιν· ἀλλὰ Δάμιδί τε, καὶ ἐκ τῶν ἐκείνου λόγων, ἐμοὶ εἴρηται. τότε καὶ πρὸς Βάσσον διηνέχθη τὸν ἐκ τῆς Κορίνθου. πατραλοίας μὲν γὰρ εἶναι καὶ ἐδόκει, καὶ ἐπεπίστευτο. σοφίαν δὲ αὑτοῦ κατεψεύδετο, καὶ χαλινὸς οὐκ ἦν ἐπὶ τῇ γλώττῃ. λοιδορούμενον δὲ αὐτὸν ἀπεῖχεν ὁ Ἀπολλώνιος, οἷς τε ἐπέστελλεν, οἷς τε διελέχθη κατ' αὐτοῦ. τοῦ γὰρ ὅπερ ἐς

HANC ego de Lamia narrationē, inter Apollonij geſta maximè notam, neceſſariò longiorem feci: Multi enim quòd factū fuit cognouere, vt pote quod in media Græcia celebratum eſt. Summatim verò narratum de illo eſt: omnes enim hoc duntaxat dixiſſe contenti fuerunt, quòd Lamiam Corinthi quandoque Apollonius deprehenderit. Quid autē egerit, & quo pacto Menippi gratia hæc fuerit operatus Apollonius, non omnes nouerūt. ſed ego ex DaD midis Apolloniíq. ſermonib. iſta retuli. *Tunc quoq. aduerſus Baſſum Corinthium contentio orta eſt*, qui cùm parricida habitus, *conuictúſq. eſſet*, tamen Apollonij ſapientiā vanam, falſamq. eſſe prædicabat. neq. frenū, aut moderationem vllam habuit in loquendo. Hunc conuitia, contumeliáſque temerè fundētem cōpeſcuit Apollonius, partim diſputationib. aduerſus eum habitis, partim etiam epiſtolis in eum conſcriptis. Quicquid autem de eo

tanquam parricida ſcripſit, verum etiam proculdubio putandum eſt. Neque enim veriſimile videtur talem virum conuitij cauſa falſum aliquid auſum fuiſſe dicere. In Olympiis autem ab Apollonio geſta ſunt hæc. Cùm ei ad ludos proficiſcenti Lacedæmoniorũ legati obuiam veniſſent, hoſpitium, familiaritatémque pollicentes; eſſent autem habitu haudquaquã Laconico, ſed molli, atque laſciuo; atque ipſi deliciis omnibus affluerent, acriter eos increpuit Apollonius. Vidés enim homines expolitis cruribus, comis autem vnguento ſtillantibus, abraſis barbis, veſtitu inſuper fluxo, ac molli. Ephoris talia nuntiare illos iuſſit, vt publicè balneorum *picu* vſu interdicto, & omnib. *cutu* deliciis propulſatis antiquam viuendi normam conſuetudinémque reuocarent. Sic enim fore, vt corporum exercitationes, *libamina & ſodalitia* apud eos floreſcerent, redirétq. ſibiipſi ſimilis Lacedæmon. Vbi verò ipſos quæ domi curanda erant, emendaſſe cognouit, epiſtolam ex Olympiis ad eos ſcripſit Laconica ſcedula breuiorem, his verbis, Apollonius Ephoris ſalutem. Virorum quidem eſt non peccare, generoſorum autem etiam peccantes ſentire. Reſpiciens autem Iouis Olympij templum. Salue, inquit, bone Iupiter, qui vſque adeo bonus es, vt te ipſum hominibus communices. Interpretatus quoque eſt, quid Milonis ænea ſtatua, & eiuſdem habitus, ſtaturáque ſignificaret. Milo namque ſuper diſcum poſitis ſimul vinctis pedibus inniti videtur: Siniſtra autem malum punicum tenet: dextræ autem manus digiti recti, atque inſertis ſimiles apparent. Qui autem in Arcadia, Olympiiſq. ſermones feruntur, ij ſunt.

A πατραλοίαν ἔλεγχον, ἀληθὲς ἐδόκει· μὴ γὰρ ἄν ποτε τοιόνδε ἄνδρα ἐς λοιδορίαν ἐκπεσεῖν, μηδὲ ἂν εἰπεῖν τὸ μὴ ὄν. τὰ δὲ ἐν Ὀλυμπίᾳ τοῦ ἀνδρὸς, τοιαῦτα· ἀνιόντι τῷ Ἀπολλωνίῳ ἐς Ὀλυμπίαν, ἐνέτυχον Λακεδαιμονίων πρέσβεις ὑπὲρ ξυνουσίας· Λακωνικὸν δὲ οὐδὲν περὶ αὐτοὺς ἐφαίνετο, ἀλλ' ἁβρότερον αὐτῶν εἶχον, καὶ συβαρίδος
B μεστοὶ ἦσαν· ἰδὼν δὲ ἄνδρας λείους τὰ σκέλη, λιπαροὺς τὰς κόμας, καὶ μηδὲ γενείους χρωμένους, ἀλλὰ καὶ τὴν ἐσθῆτα μαλακοὺς, τοιαῦτα πρὸς τοὺς Ἐφόρους ἐπέστειλεν, ὡς ἐκείνους κήρυγμα ποιήσασθαι δημοσίᾳ, τήν τε πίτταν τῶν βαλανείων ἐξαιροῦντας, καὶ τὰς παρατιλτρίας ἐξελαύνοντας, ἐς τὸ ἀρχαῖόν τε καθισταμένους πάντα· ὅθεν παλαῖστραί τε ἀνήβησαν, καὶ σπουδαὶ, καὶ τὰ
C φιλίτια ἐπανῆλθε, καὶ ἐγένετο ἡ Λακεδαίμων ἑαυτῇ ὁμοία. μαθὼν δὲ αὐτοὺς τὰ οἴκοι διορθουμένους, ἔπεμψεν ἐπιστολὴν ἀπ' Ὀλυμπίας βραχυτέραν τῆς Λακωνικῆς σκυτάλης· ἔστι δὲ ἥδε. Ἀπολλώνιος Ἐφόροις χαίρειν. Ἀνδρῶν, τὸ μὴ ἁμαρτεῖν, γενναίων δὲ, καὶ τὸ ἁμαρτόντας αἰσθέσθαι. ἰδὼν δὲ ἐς τὸ ἕδος τὸ ἐν Ὀλυμπίᾳ, χαῖρε, εἶπεν, ἀγαθὲ Ζεῦ. σὺ
D γὰρ οὕτω τι ἀγαθὸς, ὡς καὶ σαυτοῦ κοινωνῆσαι τοῖς ἀνθρώποις. ἐξηγήσατο δὲ καὶ τὸν χαλκοῦν Μίλωνα, καὶ τὸν λόγον τοῦ περὶ αὐτὸν σχήματος. ὁ γὰρ Μίλων, ἑστάναι μὲν ἐπὶ δίσκου δοκεῖ, τὼ πόδε ἄμφω συμβεβληκώς. ῥοιὰν δὲ ξυνέχει τῇ ἀριστερᾷ· ἡ δεξιὰ δὲ, ὀρθοὶ τῆς χειρὸς ἐκείνης οἱ δάκτυλοι, καὶ οἷον διείροντες. οἱ μὲν δὴ κατ' Ὀλυμπίαν τε, καὶ Ἀρκαδίαν λόγοι,

τὸν ἀθλητὴν ἱστοροῦσι τοῦτον, ἀτρεπτὸν A
γενέσθαι, καὶ μὴ ἐκβιβασθῆναί ποτε
τῆς χώρας, ἐν ᾧ ἔστη. δηλοῦσθαι δὲ, τὸ μὲν
ἀπρὶξ τῶν δακτύλων, ἐν τῇ ξυνοχῇ
τῆς ῥόας· τὸ μὴ δὴ ἂν διαχθῆναί ποτ' ἀπ'
ἀλλήλων αὐτοὺς, εἴ τις πρὸς ἕνα αὐ-
τῶν ἁμιλλῷτο, τῷ τὰς διαφυὰς ἐν
ὀρθοῖς τοῖς δακτύλοις, αὖ ξυνηρμόσθαι.
τὴν ταινίαν δὲ, ἣν ἀναδεῖται, σωφρο- B
σύνης ἡγεῖται ξύμβολον. ὁ δὲ Ἀπολ-
λώνιος, σοφῶς μὲν, εἶπεν, ἐπινενόη-
ται ταῦτα· σοφώτερα δὲ εἰσὶ τὰ ἀλη-
θέστερα. ὡς δὲ γιγνώσκοιτε τὸν νοῦν τοῦ
Μίλωνος, Κροτωνιᾶται τὸν ἀθλητὴν
τοῦτον ἱερέα ἐστήσαντο τῆς Ἥρας. τὴν μὲν
δὴ μίτραν ὅ, τι χρὴ νοεῖν, τί ἂν ἐξη-
γοίμην, ἔτι μνημονεύσας ἱερέως ἀν-
δρός; ἡ ῥόα δὲ μόνη, φυτὸν τῇ Ἥρᾳ
φύεται. ὁ δὲ ἐπὶ τοῖς ποσὶ δίσκος, C
ἐπὶ ἀσπίδος βεβηκὼς ὁ ἱερεὺς, τῇ Ἥρᾳ
εὔχεται· τουτὶ δὲ καὶ ἡ δεξιὰ σημαίνει.
τὸ δὲ ἔργον τῶν δακτύλων, καὶ μήπω
διεστὼς, τῇ ἀρχαίᾳ ἀγαλματοποιΐᾳ
προσκείσθω. παρατυγχάνων δὲ τοῖς
δρωμένοις, ἀπεδέχετο τῶν Ἠλείων ὡς
ἐπεμελοῦντο τῶν αὐτῶν, καὶ ξὺν κό-
σμῳ ἔδρων. μεῖόν τε οὐδὲν, ἢ ἀγω-
νιούμενοι τῶν ἀθλητῶν κρίνεσθαι ᾤον-
το, καὶ μήθ' ἑκόντες τι, μήτ' ἄκοντες ἁ- D
μαρτάνειν προὐνοοῦντο. ἐρομένων δὴ αὐτὸν
τῶν ἑταίρων, τίνας τοὺς Ἠλείους περὶ
τὴν διάθεσιν, τῶν Ὀλυμπίων ἡγεῖτο.
εἰ μὲν σοφοὺς, ἔφη, οὐκ οἶδα, σοφιστὰς
μέντοι. ὡς δὲ καὶ διεβέβλητο πρὸς
τοὺς οἰομένους ξυγγράφειν, καὶ ἀμαθεῖς

Aiunt enim hunc Athletam fuiſſe
adeò robuſtum, vt in loco vbi ſe-
mel conſtitiſſet firmus, immobilíſ-
que ita permaneret, vt inde nulla
poſſet vi dimoueri: Mali verò pu-
nici compreſſionem, firmitudinem,
tenacitatémq. digitorum oſtendere.
Quòd autem digiti recti ab inuicem
diſtrahi non poſſent, ſi quis etiam
ſummis viribus certaſſet, declarari
aiebant ex rimis, quæ ad certam nor-
mam compoſitæ inter diſtantes di-
gitos conſpiciuntur. Victam autem,
qua caput redimitus eſt, temperan-
tiæ ſuæ indicium eſſe putant. Sed
hæc, inquit Apollonius, ſapienter
profectò ſunt excogitata. Ego ta-
men ſapientiora eſſe cenſeo, quæ
ſunt veriora. Vt igitur ſciatis, quid
veritatis Milonis habitus contineat,
me audite: Crotoniatæ hunc Athle-
tam Iunonis ſacerdotem inſtituê-
re, ex quo ſine alia interpretatio-
ne ſatis apparet, quid mitra ſigni-
ficet, cùm ſacerdotem illum eſſe
dixerim. Arbor autem malus puni-
ca ſola in Iunonis honorem plan-
tatur. Qui autem pedibus ſubiacet
diſcus, oſtendit breui ſcuto ſuper-
ſtantem ſacerdotem Iunoni ſacri-
ficare conſueuiſſe, quod manus e-
tiam dextra ſignificat. Digitorum
verò non multùm diſtantium in-
ter ſe figuram antiquæ artis ſtatua-
riæ opus eſſe dicebant. Cùm fa-
ciendis ſacrificiis interueniſſet, of-
fendit Elienſes egregiè ornatos cum
magno ſuarum ſedium apparatu,
ex eóque nihilò minoris exiſtima-
tum iri putabant, quàm qui in ludis
erant certaturi Athletæ. Interrogan-
tibus itaque ſociis Apollonium, quid
de Eliēſium diſpoſitione erga ludos
Olympicos ſentiret: Sapientes, in-
quit, necne ſint ignoro. Sophiſtas
verò eſſe ipſos manifeſtè video. Quo pacto autem ſit calumniatus eos, qui re-
rum geſtarū ſcriptores eſſe putantur, & amentes oſtenderit eos, qui ſupra vires

aliquid ſcribere aggrediuntur, ex iis quæ dicentur, euadet manifeſtum. Adoleſcens quidam, qui ſibiipſi ſapiens eſſe videbatur, Apollonio circa templum deambulanti occurrens, Cras, inquit, velim me conuenias: volo enim præclari aliquid tibi legere. Interroganti Apollonio quidnam ſibi lecturus eſſet: Orationem, inquit ille, quam pro Ioue compoſui. atque hæc dicens, illam ſub veſte occultam oſtendit. Iocatus autem in voluminis magnitudine Apollonius, Quidnam, inquit, eſt quod in Ioue laudas? an eum fortè laudas, qui in hoc templo eſt, nihil ei ſimile in vniuerſa terra eſſe dicens? Hoc ipſum laudo, inquit, adoleſcens, & præter hoc alia multa. Horas enim & quæ in terra ſunt, quæque etiam ſuper terram, & ventos, & aſtra omnia Iouis eſſe dico. Videris mihi, inquit Apollonius, egregius laudator. Is certè ſum, inquit adoleſcens, vſque adeò, vt podagræ laudes ſcripſerim, præterea ſurditatis, ac cæcitatis. At verò, inquit Apollonius, nec hydropiſis, nec catarrhus tua carere debuerat ſapientia: ſed hæc quoque oportuit laudari: quamuis fuerit melius, vt mortuos etiam laudibus proſequens, ægritudinum, quibus interiere laudes percurras. Minus enim dolebunt defunctorum parentes, ac filij, cæterique propinqui cùm talia legerint. Animaduertens inde Apollonius adoleſcentem parumper oratione ſua cohibitum: O tu, inquit, laudator: O rerum geſtarũ ſcriptor, vtrum cenſes laudatorem melius, quæ nouit, an quæ non nouit, poſſe laudare? Tum ille, Quæ nouit, inquit, quonam enim pacto quæ non nouit laudare quiſquã poteſt? Num igitur, inquit Apollonius, de patris tui laudibus quicquam ſcripſiſti? Volui, inquit ille: ſed quoniam mihi

A ἡγεῖτο τοῖς ἁπτομένοις λόγου μείζονος, ὑπάρχει μαθεῖν ἐν τῷδε. μειράκιον γὰρ δοκησίσοφον ἐντυχὸν αὐτῷ περὶ τὸ ἱερόν, συμπεριδυμήθητί μοι, ἔφη, αὔριον· ἀναγνώσομαι γάρ τι. τοῦ δὲ Ἀπολλωνίου ἐρομένου ὅ, τι ἀναγνώσοιτο, λόγος, εἶπε, ξυντέτακταί μοι ἐς τὸν Δία. καὶ ἅμα ὑπὸ τοῦ* ἱματίου ἐπεδείκνυ αὐτόν, σεμνυνόμενος τῇ παχύτητι τοῦ βιβλίου. τί
B οὖν, ἔφη, ἐπαινέσῃ τοῦ Διός, ἢ τὸν Δία τὸν ἐνταῦθα, ὡς τὸ μηδὲν εἶναι τῶν ἐν τῇ γῇ ὅμοιον; καὶ τοῦτό* γε, ἔφη. πολλὰ δὲ πρὸ τούτου, καὶ ἐπὶ τούτῳ ἕτερα. καὶ γὰρ αἱ ὧραι, καὶ τὰ ἐν τῇ γῇ, καὶ τὰ ὑπὲρ τὴν γῆν, καὶ ἀνέμοις, καὶ ἄστρα, Διὸς πάντα. ὁ δὲ Ἀπολλώνιος, δοκεῖς μοι, εἶπεν, ἐγκωμιαστικός τις εἶναι σφόδρα. διὰ τοῦτο, ἔφη, καὶ
C ποδάγρας ἐγκώμιόν τί μοι ξυντέτακται, καὶ τοῦ τυφλόν τινα, ἢ κωφὸν εἶναι. ἀλλὰ μηδὲ τοῦ ὑδέροις, εἶπε, μηδὲ τοῦ καταρροις ἀποκήρυττε τῆς σεαυτοῦ σοφίας, εἰ βούλοιο ἐπαινεῖν τὰ τοιαῦτα. βέλτιον δὲ ἐστὶ καὶ τοῖς ἀποθνήσκουσιν ἑπόμενον, καὶ διιόντα ἐπαίνοις τῶν νοσημάτων, ὑφ' ὧν ἀπέθανον. ἧττον γὰρ ἂν αὐτοῦ ἀνιά-
D σονται πατέρες τε, καὶ παῖδες, καὶ οἱ ἀγχοῦ τῶν ἀποθανόντων. χαλινωμένου δὲ ἰδὼν τὸ μειράκιον ὑπὸ τοῦ λόγου, ὁ ἐγκωμιάζων, εἶπεν, ὦ ξυγγραφεῦ, πότερον ἃ οἶδεν ἐπαινέσεται ἄμεινον, ἢ ἃ οὐκ οἶδεν, ἔφη. πῶς γὰρ ἄν τις ἐπαινοῖ ἃ οὐκ οἶδε; τὸν πατέρα οὖν ἤδη ποτὲ τὸν σαυτοῦ ἐπήνεσας; ἐβουλήθην, εἶπεν. ἀλλ' ἐπεὶ

μέγας τέ μοι δοκεῖ, καὶ γενναιότατος ἀνθρώπων, ὧν οἶδα, καὶ κάλλιςος, οἶκόν τε ἱκανὸς οἰκῆσαι, καὶ σοφίᾳ ἐς πάντα χρῆσθαι, παρῆκα τὸν ἐς αὐτὸν ἔπαινον, ὡς μὴ αἰσχύναιμι τὸν πατέρα λόγῳ ἥττονι. δυσχεράνας οὖν ὁ Ἀπολλώνιος. τουτὶ δὲ περὶ τοὺς φορτικοὺς τῶν ἀνθρώπων ἔπασχεν, εἶτα· ἔφη, ὦ κάθαρμα, τὸν μὲν πατέρα τὸν σαυτοῦ, ὃν ἴσα καὶ σεαυτὸν γιγνώσκεις, οὐκ ἂν οἴει ποτ' ἂν ἱκανῶς ἐπαινέσαι· τὸν δ' ἀνθρώπων, καὶ θεῶν πατέρα, καὶ δημιουργὸν τῶν ὅλων, ὅσα περὶ ἡμᾶς, καὶ ὑπὲρ ἡμᾶς ἐστιν, εὐκόλως οὕτως ἐγκωμιάζων, οὔθ' ὃν ἐπαινεῖς δέδιας, οὔτε ξυνίεις ἐς λόγον καθιστάμενος μείζονα ἀνθρώπου;

A viſus eſt omnium, quos vnquam nouerim virorum, generoſiſſimus, pulcherrimus, & optimus rei familiaris gubernator, & vt ſummatim dicam, in rebus omnibus ſapientiſſimus, laudationem eius ſcribere deſtiti, veritus ne parenti dedecus potiùs quàm honorem afferrem, ſi oratione eius meritis inferiore in eo laudando vterer. Accenſus igitur indignatione Apollonius, quod illi aduerſus *importunos* euenire plerunq. ſolebat: O
B ſceleſte, inquit, an igitur patrē tuum, quem æquè ac te ipſum noſti, ſufficienter pro meritis laudare diffiſus es? hominum verò ac Deorum patrem, & huius vniuerſi opificem, & omnium, quæ apud nos, quæve etiã ſupra nos exiſtunt, autorem tam frigidè, imperfectéque laudare non dubitaſti, nec eum ipſum, quem laudabas, veritus es; nec intellexiſti de re, multò quàm ſint homines, perfectiore ſermonem abs te fieri?

De quibuſnam rebus habitæ orationes fuerint ab Apollonio in Olympiis. Tum quid à Laconicis ſacerdotibus Lacedæmonem profectus, interrogatus fuerit. Deinde quare infortunati habendi ſint mercatores. Cap. X.

Αἱ δὲ ἐν Ὀλυμπίᾳ διαλέξεις τῷ Ἀπολλωνίῳ περὶ τῶν χρησιμωτάτων ἐγίγνοντο, περὶ σοφίας τε, καὶ ἀνδρείας, καὶ σωφροσύνης, καὶ καθάπαξ, ὁπόσαι ἀρεταί εἰσι·
κ. ε. τ. περὶ * τούτων ἀπὸ τῆς κρηπῖδος τοῦ νεὼ διελέγετο, πάντας ἐκπλήττων, οὐ ταῖς διανοίαις μόνον, ἀλλὰ καὶ ταῖς ἰδέαις τοῦ λόγου. περιστάντες οὖν οἱ Λακεδαιμόνιοι, ξένον τε παρὰ* τῷ Διὶ ἐποιοῦντο, καὶ τῶν οἴκοι νέον πατέρα, βίου τε νομοθέτην, καὶ γερόντων γέρας. ἐρομένου δὲ Κορινθίου πρὸς ταῦτα ἀχθηδόνα, εἰ καὶ θεοφάνια ἐπ' αὐτῷ ἄξουσι,

Diſputationes in Olympiis ab Apollonio de reb. vtiliſſimis habitæ ſunt, vt puta de ſapientia, fortitudine, temperantia, &, vt ſummatim dicam, de virtutibus vniuerſis: de quibus in templi crepidine ſtans diſputabat. Omnes qui audiebant ſtupefaciēs non ſolùm grauitate ſen-
D tentiarum, ſed etiam orationis ſuauitate. Adſiſtentes igitur Lacedæmonij publicè ſibi hoſpitem penes Iouem illum fecere & iuniorum qui domi erãt parentem, & vitæ inſtitutorem, & ſeniorum honorem ipſum appellantes. Interrogante autem quodam Corinthio, qui dolenter talia ferebat, an etiam diuinos honores illi decreturi eſſent,

& libentiſſimè quidem decernemus, reſponderunt legati. Verùm Apollonius inuidiam cauens, à tali propoſito illos reuocauit. Poſtquam Tàygeto ſuperato bene cultam Lacedæmonem, & Lycurgi inſtituta rectè ſeruari conſpexit, non iniucundum fore putauit Lacedæmoniorum *magiſtratus* conuenire, & quæcunque vellent interrogandi præbere facultatem. Aduenientem igitur primò interrogarunt quo pacto coli Deos oporteret. quibus ille, Perinde inquit, ac dominos. rurſus quomodo heroas; Tanquam Patres, reſpondit. Tertiò verò interrogātibus quomodo homines colendi eſſent, Non Laconica eſt, inquit, interrogatio. Rurſus autem interrogantib. quid de legibus ſuis ſentiret: Idem, inquit, quod de optimis magiſtris, qui multùm ſanè probantur, ſi diſcipuli negligentes non fuerint. Interrogantibus adhuc quid de fortitudine cōſuleret, Quomodo enim, inquit, vos vtimini fortitudine. Erat eo tempore Lacedæmonius quidā adoleſcēs in iudicio accuſatus, quòd erga patrios mores iniuſtum aliquid perpetraſſet. Hic autē ortus erat è ſtirpe Callicratidæ qui Lacedæmoniorū claſſi apud Arginuſas præfuerat. Is adoleſcēs nauigationis cupiditate captus patriæ *cōmodis* poſthabitis naues fabricauerat, quib. Carthaginē primò, dein in Siciliam nauigauerat. Audiens igitur Apollonius ipſum eo crimine accuſatum, graue putauit circumuentum iudicio adoleſcentem negligere. Igitur ad ſe vocatum quid curis, cogitationibúſque tam plenus eſſet, interrogauit. Cui adoleſcens: Quia publicè, inquit, accuſatus ſum, quòd nauigandi ſtudio deditus publica negotia non tractem. Tunc Apollonius inquit, Patérne an auus tuus nauta fuit? Minimè, inquit ille, ſed gymnaſiorum principes, & Ephori, *&* *rectores* maximis reipublicæ dignitatib.

A νὴ τὼ σιώ, ἔφη, ἑτοιμά γε*. ὁ δὲ Ἀπολλώνιος, ἀπῆγεν αὐτοὺς τῆς τοιούτων, ὡς μὴ φθονοῖτο. ἐπεὶ δὲ ὑπερβὰς τὸ Ταΰγετον, εἶδεν ἐνεργὸν Λακεδαίμονα, καὶ τὰ Λυκούργου πάτρια εὖ πράττοντα, οὐκ ἀηδὲς ἐνόμισε τὸ καὶ τοῖς τέλεσι τῶν Λακεδαιμονίων ξυγγενέσθαι, περὶ ὧν ἐρωτᾶν ἐβούλοντο. ἤροντο οὖν ἀφικόμενον, πῶς θεοὶ θεραπευτέοι. ὁ δέ, εἶπεν, B ὡς δεσπόται. πάλιν ἤροντο, πῶς ἥρωες, ὡς πατέρες. τρίτον δὲ ἐρομένων, πῶς δὲ ἄνθρωποι, οὐ Λακωνικόν, ἔφη, τὸ ἐρώτημα. ἤροντο καὶ ὅ, τι ἡγοῖτο τοὺς παρ' αὐτοῖς νόμους. ὁ δέ, εἶπεν, ἀρίστους διδασκάλους· οἱ διδάσκαλοι δὲ εὐδοκιμήσουσιν, ἢν οἱ μαθηταὶ μὴ ῥαθυμῶσιν. ἐρομένων δ' αὐτῶν τί περὶ ἀνδρείας ξυμβουλεύοι, καὶ τί, ἔφη, C τῇ ἀνδρείᾳ χρήσεσθε; ἐτύγχανε δὲ περὶ τὸν χρόνον τοῦτον, νεανίας Λακεδαιμόνιος αἰτίαν ἔχων παρ' αὐτοῖς, ὡς ἀδικῶν περὶ τὰ ἤθη. Καλλικρατίδα μὲν γὰρ τοῦ περὶ Ἀργινούσας ναυαρχήσαντος ἔγγονος· ναυκληρίας δὲ ἤρα, καὶ οὐ προσεῖχε τοῖς κοινοῖς, ἀλλ' ἐς Καρχηδόνα ἐξέπλει, καὶ Σικελίαν, ναῦς πεποιημένος. ἀκούσας οὖν κρίνεσθαι αὐτὸν ἐπὶ τούτῳ, δεινὸν ᾠήθη D περιιδεῖν τὸν νεανίαν ὑπαχθέντα ἐς δίκην. καί, ὦ λῷστε, ἔφη, τί πεφροντικὼς περιεῖς, καὶ μεστὸς ἐννοίας; ἀγών, εἶπεν, ἐπήγγελταί μοι δημόσιος, ἐπειδὴ πρὸς ναυκληρίαις εἰμί, καὶ τὰ κοινὰ οὐ πράττω. ὁ πατὴρ δέ σοι ναύκληρος ἐγένετο, ἢ πάππος; ἄπαγε, εἶπε· γυμνασίαρχοι γὰρ, καὶ Ἔφοροι, καὶ παιδονόμοι

χ. ἑτοιμά γε

πάντες. Καλλικρατίδας δὲ ὁ πρόγονος, A καὶ τῶν ναυαρχησάντων ἐγένετο. μῶν, ἔφη, τὸν Ἀργινούσαις λέγεις; ἐκεῖνον, εἶπε, τὸν ἐν τῇ ναυαρχίᾳ ἀποθανόντα. εἶτ' οὖν διέβαλέ σοι, εἶπε, τὴν θάλατταν ἡ τελευτὴ τοῦ προγόνου; μὰ Δί', εἶπεν, οὐ γὰρ ναυμαχήσων γε πλέω. ἀλλ' ἐμπορικόν γε, καὶ ναυκλήρων κακοδαιμονέστερόν τι ἐρεῖς ἔθνος; πρῶτον μὲν περινοστοῦσι, ζητοῦντες ἀγορὰν κακῶς πράττουσαν· εἶτα προξένοις, καὶ καπήλοις ἀναμιχθέντες, πωλοῦσί τε, καὶ πωλοῦνται· καὶ τόκοις ἀνοσίοις τὰς αὑτῶν κεφαλὰς ὑποθέντες, ἐς τὸ ἀρχαῖον σπεύδουσι. κἂν μὲν εὖ πράττωσιν, εὐπλοεῖ ἡ ναῦς· καὶ πολὺν ποιοῦνται λόγον, τοῦ μήτε ἑκόντες ἀνατρέψαι, μήτε ἄκοντες. εἰ δὲ ἡ ἐμπορεία πρὸς τὰ χρέα οὐκ ἀναφέροιτο, μεταβάντες C ἐς τὰ ἐφόλκια, προσαράττουσι τὰς ναῦς· καὶ τὸν ἑτέρων ναῦται βίον, θεοῦ ἀνάγκην εἰπόντες ἀθεώτατα, καὶ οὐδὲ ἄκοντες αὐτοὶ ἀφείλοντο. εἰ δὲ καὶ μὴ τοιοῦτον ἦν τὸ θαλαττουργόν τε, καὶ ναυτικὸν ἔθνος, ἀλλά τοι γε Σπαρτιάτην ὄντα, καὶ πατέρων γεγονότα, οἳ μέσην ποτὲ τὴν Σπάρτην ᾤκησαν, ἐν κοίλῃ νηὶ κεῖσθαι, λήθην μὲν D ἔχοντα Λυκούργου τε, καὶ Ἐφίτου, φόρτου δὲ μνήμονα, καὶ ναυτικῆς ἀκριβολογίας, τίνος αἰσχύνης ἄπεστιν; εἰ γὰρ καὶ μηδὲν ἄλλο, τήν γοῦν Σπάρτην αὐτὴν ἔδει ἐνθυμεῖσθαι, ὡς ὁπότε μὲν τῆς γῆς εἴχετο, οὐρανομήκη δόξασαν· ἐπεὶ δὲ τῆς θαλάττης ἐπεθύμησε, βυθισθεῖσάν τε, καὶ ἀφανισθεῖσαν, οὐκ ἐν τῇ θαλάττῃ μόνον,

A omnes perfuncti. Callicratidas autem proauus meus, & claſſis præfectus extitit. An tu, inquit Apollonius, illum dicis, qui apud Arginuſas claſſi præfuit Lacedæmoniorum? Iſtum ipſum, inquit adoleſcens, qui etiam in ea præfectura diem obiit. Nónne igitur nauigandi cupiditatem abſtulit tibi mors proaui tui? Sanè, inquit ille: neque enim ego pugnandi cauſa nauigo. *an verò mi-* B *ſerior vlla gens eſt quàm negotiatorum, & nauiculariæ deditorum?* Primùm enim huiuſmodi homines omnes nundinas circumeunt, vt quàm minimo emant, quæ ſibi ſunt opus: deinde eum hoſpitum conciliatoribus, & cauponibus degentes aſſiduè aliquid emunt, vendúntque & ſceleratis vſuris capita ſupponentes, ad *priſcum malum* feſtinant. Quòd ſi res proſperè ſucceſſerint, bene nauigat nauis, & multus illis vbique C eſt ſermo, quòd neque inuiti, neque volentes vnquam *damnum acceperint:* ſin ex mercatura non conſequantur vtilitatem, minora nauigia conſcendentes naues perfringunt, & cauſam in Deos impiè referentes, non inuiti alienis opibus potiuntur. Quòd ſi etiam tale non eſſet maritimum, ac nauticum genus, nónne ſummo dedecori tribuetur virum Spartiatam, his parentibus ortum, qui in media Sparta vi- D tam duxerunt, in concaua naui latitantem, oblitum Lycurgi Ephitíque & cæterorum Spartiatarum, de *ſarcinis*, nauiculáq. ſollicitum eſſe? Quòd ſi nihil aliud ſaltem Spartam ipſam cogitare oportet, quandiu terreſtribus negociis intenta fuit, ad cœlum vſque gloriam extendiſſe: poſtquam verò maritimis ſtudiis ſeſe dedit, in profundo merſá, & propemodũ extinctá eſſe, non in mari ſolùm,

verumetiam in terra. His verbis vſque adeò commotus eſt adoleſcens: vt defixis ad terram oculis vehementer ploraret, quòd tantùm à ſuis maioribus degeneraſſet; polliceretúrque ſe continuò naues, vbi vixerat, venditurum: cúmque in eo perſiſtentem animaduertiſſet Apollonius, ad Ephoros duxit, atque vt iudicio abſolueretur, ab iiſdem impetrauit.

A ἀλλὰ καὶ ἐν τῇ γῇ· τούτοις τὸν νεανίαν οὕτω διεχρήσατο τοῖς λόγοις, ὡς νεύσαντα αὐτὸν ἐς τὴν γῆν κλαίειν, ἐπεὶ τοσοῦτον ἤκουσεν ἀπολελεῖφθαι τῶν πατέρων· ἀποδόσθαι δὲ τὰς ναῦς, ἐν αἷς ἔζη. καθεστῶτα δὲ αὐτὸν ἰδὼν ὁ Ἀπολλώνιος, καὶ τὴν γῆν ἀσπαζόμενον, κατήγαγε παρὰ τοὺς Ἐφόρους, καὶ παρῃτήσατο τῆς δίκης.

De epiſtola Imperatoris ad Lacedæmonios, & ſomnio Apollonij: & quòd in Cretam nauigarit. Hinc de Malea, Cydonia, Gnoſo, Labyrintho, Minotauro, Cortina, Ida, templo Leuenæo, leone Rheæ matris, terræmotu ingenti: inſula terræmotu exorta. CAP. XI.

B ILLVD quoque inter ea quæ apud Lacedæmonios geſſit, memoratur. Romanorum Imperator per epiſtolã grauiter Lacedæmonios accuſabat, quòd libertate nimium abutentes, aliis contumelias afferrent. Id autem eius opera, qui Græciæ præerat eueniſſe intelligebant Lacedæmonij. Erat igitur magna apud eos ambiguitas, atque inter ſe diſſidebant Spartiatæ, vtro modo reſcribere ſatius eſſet, an ſeſe de obiectis purgando, regis iracundiam placarent; an conſtanti magnóque animo illius dicta contemnerent. Igitur huius rei conſiliarium adhibuerunt Apollonium, epiſtolæ ſententiam ei narrantes: qui poſtquam inter ſe diſſidentes illos animaduertit, in medium procedens breuiter in hunc modum locutus eſt: Palamedes literas inuenit, non ſcribendi ſolùm cauſa, ſed vt etiam cognoſcere quiſque poſſet, quæ ſcribenda non eſſent. Hoc modo Lacedæmoniis ſuaſit, ne nimium audaces, néve rurſus ſupra modum pauidos in ſcribendo ſe oſtenderent. Manſit autem Spartæ, poſt Olympia quoad

ΚΑΙ ΚΕΙΝΟ τῶν ἐν Λακεδαίμονι, ἐπιστολὴ ἐκ βασιλέως Λακεδαιμονίοις ἦλθεν, ἐπίπληξιν ἐς τὸ κοινὸν αὐτῶν φέρουσα, ὡς ὑπὲρ τὴν ἐλευθερίαν ὑβριζόντων· ἐκ διαβολῶν δὲ τοῦ τῆς Ἑλλάδος ἄρχοντος, ἐπέσταλτο αὐτοῖς ταῦτα. οἱ μὲν δὴ Λακεδαιμόνιοι, ἀπορίᾳ εἴχοντο, καὶ ἡ
C Σπάρτη πρὸς ἑαυτὴν ἤριζεν, εἴτε χρὴ παραιτουμένους τὴν ὀργὴν τοῦ βασιλέως, εἴτε ὑπερφρονοῦντας ἐπιστέλλειν. πρὸς ταῦτα ξύμβουλον ἐποίουν τότε τὸν Ἀπολλώνιον τοῦ τῆς ἐπιστολῆς ἤθους. ὁ δὲ, ὡς εἶδέ τι διεστηκότας, παρῆλθεν ἐς τὸ κοινὸν αὐτῶν, καὶ ὧδε ἐβραχυλόγησε· Παλαμήδης εὗρε γράμματα οὐχ ὑπὲρ
D τοῦ γράφειν μόνον, ἀλλὰ καὶ ὑπὲρ τοῦ γιγνώσκειν, ἃ δεῖ μὴ γράφειν. οὕτω μὲν δὴ Λακεδαιμονίους ἀπήγε, τοῦ μήτε θρασεῖς, μήτε δειλοὺς ὀφθῆναι. διατρίψας δὲ ἐν τῇ Σπάρτῃ μετὰ τὴν Ὀλυμπίαν χρό-

νον, ὡς ἐτελεύτα ὁ χειμών, ἐπὶ Μαλέαν ἦλθεν ἀρχομένου ἦρος, ὡς ἐς τὴν Ῥώμην ἀφήσων· διανοουμένῳ δ' αὐτῷ ταῦτα, ἐγένετο ὄναρ τοιόνδε. Ἐδόκει γυναῖκα μεγίστην τε, καὶ πρεσβυτάτην περιβάλλειν αὐτὸν, καὶ δεῖσθαί οἱ ξυγγενέσθαι, πρὶν ἐς Ἰταλοὺς πλεῦσαι. Διὸς δὲ εἶναι ἡ τροφὸς ἔλεγε· καὶ ἦν αὐτῇ στέφανος, πάντ' ἔχων τὰ ἐκ γῆς, καὶ θαλάττης. Λογισμὸν δὲ αὐτῷ διδοὺς τῆς ὄψεως, ξυνῆκεν ὅτι πλευστέα ἐς Κρήτην πρότερον, ἣν τροφὸν ἡγούμεθα τοῦ Διός, ἐπειδὴ ἐν ταύτῃ ἐμαιεύθη. ὁ δὲ στέφανος, καὶ ἄλλην ἴσως δηλώσει νῆσον. οὐσῶν δὲ ἐν Μαλέᾳ νεῶν πλειόνων, αἳ ἐς Κρήτην ἀφήσειν ἔμελλον, ἐνέβη ναῦν ἀποχρῶσαν τῷ κοινῷ. κοινὸν δὲ ἐκάλει τούς τε ἑταίρους, καὶ τοὺς τῶν * ἑταίρων ἄλλους δούλους. οὐδὲ γὰρ ἐκείνους παρεώρα. παραπλεύσας δὲ Κυδωνίᾳ, καὶ προσπλεύσας ἐς Κνωσσὸν, τὸν μὲν Λαβύρινθον, ὃς ἐκεῖ δείκνυται, ξυνεῖχε δὲ οἶμαί ποτε τὸν Μινώταυρον, βουλομένων ἰδεῖν τῶν ἑταίρων, ἐκείνοις μὲν ξυνεχώρει τοῦτο· αὐτὸς δὲ, οὐκ ἂν ἔφη θεατὴς γενέσθαι τῆς ἀδικίας τοῦ Μίνω. προῄει δὲ ἐπὶ Γόρτυναν, πόθῳ τῆς Ἴδης. ἀνελθὼν οὖν, καὶ τοῖς θεολογουμένοις ἐντυχὼν, ἐπορεύθη ἐς τὸ ἱερὸν τὸ Λεβηναῖον· ἔστι δὲ Ἀσκληπιοῦ. καὶ ὥσπερ ἡ Ἀσία ἐς τὸ Πέργαμον, οὕτως ἐς τὸ ἱερὸν τοῦτο ξυνεφοίτα ἡ Κρήτη. πολλοὶ δὲ καὶ Λιβύων ἐς αὐτὸ περαιοῦνται. καὶ γὰρ τέτραπται πρὸς τὸ Λιβυκὸν πέλαγος· κατὰ γοῦν τὴν Φαιστὸν,

* κ. ἑταίρων δοῦ.

A hyems tranſiret. Veris autem principio ad Maleam profectus eſt, eo conſilio vt inde Romam tranſmitteret. Hæc autem cogitanti ſomnium huiuſcemodi apparuiſſe tradunt. Viſa eſt mulier ſtatura maxima, & ætate vetuſtiſſima, illum amplecti, rogaréque, vt ſe antea conueniret, quàm nauigaret in Italiam. Aiebat autem ſe Iouis nutricem eſſe, coronámque gerebat terreſtribus omnibus, maritimíſque diuitiis ornatam. B Cùm igitur ſomnium diligentius examinaret, nauigandum ſibi prius eſſe in Cretam percepit: ea namque inſula nutrix Iouis appellari ſolet, quia in ipſa fuerit educatus: corona verò aliam fortaſſis monſtrabit inſulam. Cùm autem eſſent apud Maleã naues permultæ in Cretam nauigaturæ, ipſe nauim delegit, communis ſocietatis capacem, communem verò ſocietatem vocabat, C cùm ſocios, tum ſociorum ſeruos, ac miniſtros: neque enim illos contemnebat. Præteruectus autem Cydoniam, & ad Gnoſon appellens, Labyrinthum, qui adhuc extabat, vbi clauſum aliquando fuiſſe Minotaurum ferunt, volentibus ſociis videre permiſit: Ipſe verò ſpectare ſe nolle inquit, iniuriam Minois. Acceſſit verò in Gortynam, vt Idam videret. illuc quoque aſcendens, Theologos, qui in eo monte D erant, allocutus eſt, & in templum venit Leuenæum nuncupatum, quod Æſculapio dicatum eſſe ferunt... & ſicut Aſia vniuerſa Pergamum venit; ita omnis Creta ad id templum congregatur. Multi etiam ex Africa religionis cauſa eò nauigant. Vergit enim id templum ad Libycum pelagus, ſecus Phæſtum oppidum, vbi multum

tum mare paruus cohibet lapis. Leuenæum autem appellari dicunt, quoniam ab ipſo promontorium extenditur leonis imaginem retinens, qualia fortuitò in ſaxis accidere plerunque videmus. Indigenæ verò fabuloſè de promontorio narrant eſſe vnum ex leonibus, qui quondam Rheæ matris iugo ſubditi fuerunt. Cùm illic circa meridiem Apollonius cum viris plurimis, & ſacerdotibus templi diſputaret, ingens terræmotus vniuerſam Cretam concuſſit: tonitru præterea non ex nubibus, ſed ex terra nato immugiit, maréque ſubſedit ſtadia circiter ſeptem; multíque timuerunt, ne deficiens pelagus templum quoque ſecum vnà traheret, ita vt omnes abſorberentur. Verùm Apollonius, Confidite, inquit: mare enim terram peperit. Quibus verbis elementorum concordiam deſignari plerique cenſebant, & quòd nihil noui erga terram operaturum mare credendum eſſet. Poſt paucos dies ex Cydonia venientes nonnulli nuntiarunt eadem die, quo hæc in Creta contigerãt, circa meridiẽ ſubitã prodigioſamq́. tempeſtatem fuiſſe, & ſimul ex mari inſulam merſiſſe in freto, quod inter Theram, Cretámque iacet. Sed nos orationis prolixitatem fugientes, ad ea, quæ Romæ geſſit Apollonius, tranſeamus, quæ iis, quæ in Creta fuerant acta, ſucceſſerunt.

A ἔνθα τὴν πολλὴν ἀνείργει θάλατταν ὁ μικρὸς λίθος. Λεβηναῖον δὲ τὸ ἱερὸν ὠνομάσθαι φασίν, ἐπειδὴ ἀκρωτήριον ἐξ αὐτοῦ κατατείνει λέοντι εἰκασμένον, οἷα πολλὰ αἱ ξυντυχίαι* τῶν πετρῶν ἀποφαίνουσι. μῦθόν τε ἐπὶ τῷ ἀκρωτηρίῳ ᾄδουσιν, ὡς λέων εἷς ἐκείνων γένοιτο, τῶν ὑποζυγίων ποτὲ τῇ Ῥέᾳ, ἐνταῦθα διαλεγομένου ποτὲ τοῦ B Ἀπολλωνίου περὶ μεσημβρίαν· διελέγετο δὲ πολλοῖς ἀνδράσιν, ὑφ' ὧν τὸ ἱερὸν ἐθεραπεύετο· σεισμὸς ἀθρόως τῇ Κρήτῃ προσέβαλε. βροντὴ δὲ οὐκ ἐκ νεφελῶν, ἀλλ' ἐκ τῆς γῆς ὑπήχησεν· ἡ θάλαττα δὲ ὑπενόστησε στάδια ἴσως ἑπτά. καὶ οἱ μὲν πολλοί, ἔδεισαν μὴ τὸ πέλαγος ὑποχωρῆσαν, ἐπισπάσηται τὸ ἱερόν, καὶ C ἀπενεχθῶσιν· ὁ δὲ Ἀπολλώνιος, θαρσεῖτε, ἔφη· ἡ γὰρ θάλαττα γῆν ἔτεκε. καὶ οἱ μὲν, ᾤοντο αὐτὸν τὴν ὁμόνοιαν τῶν στοιχείων λέγειν, καὶ ὅτι μηδὲν ἂν ἡ θάλαττα νεώτερον ἐς τὴν γῆν ἐργάσαιτο· μετὰ δὲ ἡμέρας ὀλίγας, ἀφικόμενοί τινες ἐκ τῆς Κυδωνιάτιδος, ἤγγελλον ὅτι κατὰ τὴν ἡμέραν τε, καὶ μεσημβρίαν, ἣν ἐγένετο ἡ διοσημία, νῆσος ἐκ τῆς θαλάττης ἀνεδόθη, περὶ τὸν πορθμὸν τὸν διαρρέοντα Θήραν τε, καὶ Κρήτην. ἐάσαντες οὖν λόγων μῆκος, ἔλθωμεν καὶ ἐπὶ τὰς ἐν Ῥώμῃ σπουδὰς*, αἳ ἐγένοντο αὐτῷ μετὰ τὴν ἐν Κρήτῃ.

Quòd Nero philoſophiam oderit, Muſoniúmque philoſophum in carcerem coniecerit. Quódque Philolaus philoſophus Romam fugiens, ne ſe conferret, Apollonium terrere conatus fuerit, & quid ille reſponderit. Tum Philolai ſermone perterritos Apollonij diſcipulos octo exceptis abiiſſe, hortatúmque Apollonium, qui remanſerant: multáque de Neronis locutum ſceleribus. CAP. XII.

A Νέρων οὐ ξυνεχώρει φιλοσοφεῖν, ἀλλὰ περίεργον αὐτῷ χρῆμα οἱ φιλοσοφοῦντες ἐφαίνοντο, καὶ μαντικὴν συσκιάζοντες· καὶ ἤχθη ποτὲ ὁ τρίβων ἐς δικαστήριον, ὡς μαντικῆς σχῆμα. ἐῶ τοὺς ἄλλους. ἀλλὰ Μουσώνιος ὁ Βαβυλώνιος ἀνήρ, Ἀπολλωνίου μὲν δεύτερος ἐλέχθη ἐπὶ σοφίᾳ· καὶ ἐκεῖ μὲν ὤν, ἐκινδύνευσεν. ἀπέθανε δ' ἂν τὸ ἐπὶ τῷ δήσαντι, εἰ B μὴ σφόδρα ἔρρωτο. ἐν τοιαύτῃ καταστάσει φιλοσοφίας οὔσης, ἔτυχε προσιὼν τῇ Ῥώμῃ. στάδια δὲ εἴκοσι καὶ ἑκατὸν ἀπέχων, ἐνέτυχε Φιλολάῳ τῷ Κιτιεῖ περὶ τὸ νέμος τὸ ἐν τῇ Ἀρικίᾳ. ἦν δὲ ὁ Φιλόλαος, τὴν μὲν γλῶτταν ξυγκείμενος, μαλακώτερος δὲ καρτερῆσαί τι. οὗτος ἀναλύων ἀπὸ C τῆς Ῥώμης, αὐτός τε ἐῴκει φεύγοντι, καὶ ὅτῳ ἐντύχοι φιλοσοφοῦντι, παρεκελεύετο τὸ αὐτὸ πράττειν. προσειπὼν οὖν τὸν Ἀπολλώνιον, ἐκστῆναι τῷ καιρῷ, μηδὲ ἐπιφοιτᾶν τῇ Ῥώμῃ, διαβεβλημένου τοῦ φιλοσοφεῖν. καὶ διηγεῖτο τὰ ἐκεῖ πραττόμενα, θαμὰ D ἐπιστρεφόμενος, μὴ ἐπακροῷτό τις αὐτοῦ κατόπιν· σὺ δὲ καὶ χορὸν φιλοσόφων ἀναψάμενος, εἶπε, βαδίζεις φθόνου μεστός, οὐκ εἰδὼς τοὺς ἐπιτεταγμένους ταῖς πύλαις ὑπὸ Νέρωνος, οἳ ξυλλήψονταί σέ τε, καὶ τούτους,

tim omnia ferunt. Cœli tẽperies talis eſt, qualis autumni tẽpore in Attica *myſteriorũ initiis* eſſe ſolet. Diſputationes cõplures illic habitas ſcribit Damis. Ego autem, quæ memoratu dignæ viſæ ſunt, referam. Cùm aliquando Apollonius, comitéſque in Herculis templo ſediſſent, ſubridens Menippus, quia ſibi Nero in mentem venerat, Quid, inquit, ô ſocij nunc agere cenſemus generoſum Imperatorem, quas certaminum coronas accipere, optimos autem Græcos nónne maximo cum riſu ad Panegyricos ludos putamus accedere? Tunc Apollonius: Audiui ex Teleſino, Elienſium lora Imperatorem extimeſcere. Cùm enim aſſentatores ipſum hortarentur, vt in Olympiis decertans victricem Romam præconis voce prædicari faceret: Modo mihi, inquit, Elienſes non inuiderent. Feruntur enim verberibus cædere, qui errauerint, atque etiam meipſo elatiores eſſe. *multa quoque alia his ſtultiora pronunciauit.* Ego autem futurum dico, vt in Olympiis quidem vincat Nero. Quis enim vſque adeò temerarius eſſet, vt ſe illi auderet opponere? Quòd autem Olympia vincat, minimè futurum vnquam arbitror: quinetiam ludos ipſos, nec ſtatuto tempore celebrant. Cùm enim conſuetudo exigat circa finem anni ludos celebrari, Nero Elienſes iuſſit in aduentum ſuum illos differre, ita vt ſibi potius, quàm Ioui ſacrificaturi videantur. Tragœdorum præterea, & Citharœdorum propoſuit certamina apud viros, quibus nec theatra ſint, nec ſcenæ ad eiuſmodi ludos peragendos idoneæ: ſed natiuum duntaxat ſtadium, nudáque omnia patent. atque hoc agit, vt victoriam quærat ex iis, quæ occulêre magis deceret. quippe qui Auguſti, Iuliíque habitu depoſito

A ξυμπάσης μεστὴν εἶναι, καὶ ὡραῖον, οἷαι τῆς Ἀττικῆς αἱ μετοπωριναί * τε, καὶ μυστηριώτιδες. διαλέξεις δὲ τῷ Ἀπολλωνίῳ περὶ τὴν ἐκεῖ παραπεσόντων ὁ Δάμις, πλείους μὲν γενέσθαι φησὶν, ἀξίας δὲ τοῦ ἀναγράψαι τάσδε. καθημένων αὐτῶν ἐς τὸ Ἡράκλειον, ἀναγελάσας ὁ Μένιππος, ἀνεμέμνητο δὲ ἄρα τοῦ Νέρωνος, τί, ἔφη, τὸν γενναῖον ἡγούμεθα; τίνας, ἔφη, ἐστεφανῶσθαι τῶν ἀγώνων; τοὺς δὲ βελτίστους Ἕλληνας, οὐ ξὺν ὅλῳ γέλωτι φοιτᾶν ἐς τὰς πανηγύρεις; ὁ δὲ Ἀπολλώνιος, ὡς μὲν ἐγὼ, ἔφη, Τελεσίνου ἤκουον, δέδιεν ὁ χρηστὸς Νέρων τὰς Ἠλείων μάστιγας. παρακελευομένων γὰρ αὐτῷ τῶν κολάκων νικᾶν τὰ Ὀλύμπια, καὶ ἀνακηρύττειν τὴν Ῥώμην, ἤν γε, ἔφη, μὴ βασκήνωσιν Ἠλεῖοι· λέγονται γὰρ μαστιγοῦν, καὶ φρονεῖν ὑπὲρ ἐμέ. πολλὰ δὲ καὶ ἄλλα ἀνοητότερα τούτων προανεφώνησεν. ἐγὼ δὲ, νικήσειν μὲν Νέρωνα ἐν Ὀλυμπίᾳ φημί. τίς γὰρ οὕτω θρασὺς, ὡς ἐναντία θέσθαι; Ὀλύμπια δὲ οὐ νικήσειν, ἅτε * μηδὲ ἐν ὥρᾳ ἄγουσι. πατρίου μὲν γὰρ τοῖς Ὀλυμπίοις τοῦ πέρυσιν ἐνιαυτοῦ ὄντος, ἐκέλευσε τοὺς Ἠλείους * Νέρων ἀναβαλέσθαι αὐτὰ ἐς τὴν ἑαυτοῦ ἐπιδημίαν, ὡς ἐκείνῳ μᾶλλον, ἢ τῷ Διῒ θύσοντας. τραγῳδίαν δὲ ἀπαγγεῖλαι, καὶ κιθαρῳδίαν, οἷς μήτε θέατρόν ἐστι, μήτε σκηνὴ πρὸς τὰ τοιαῦτα· στάδιον δὲ αὐτοφυὲς, καὶ γυμνὰ πάντα. τὸ δὲ, νικᾶν ἃ χρὴ ἐγκαλύπτεσθαι, καὶ τὴν Αὐγούστου τε, καὶ Ἰουλίου σκευὴν ῥίψαντα,

(Section letters B, C, D in margin.)

Margin notes: * χειμεριναί; * γρ. ἄγει μὴ; * καὶ Ἠλείους

γρ. Ἀμοιβέως καὶ Τερπνοῦ σκευήν. μεταμφιέννυσθαι νῦν τὴν * Ἀμοιβέως Τερπνοῦ· τί φήσεις; καὶ τὰ μὲν Κρέοντος, καὶ Οἰδίποδος, οὕτως ἐξακριβοῦν, ὡς δεδιέναι μή πῃ λάθοι ἁμαρτὼν θύρας, ἢ στολῆς, ἢ σκήπτρου. ἑαυτοῦ δὲ, καὶ Ῥωμαίων οὕτως ἐκπίπτειν, ὡς ἀντὶ τοῦ νομοθετεῖν νόμοις, ᾄδειν, καὶ * φιλοσοφεῖν ἔξω θυρῶν, ὧν εἴσω χρὴ καθῆσθαι τὸν βασιλέα χρηματίζοντα ὑπὲρ γῆς, καὶ θαλάττης. εἰσὶν, ὦ Μένιππε, τραγῳδοὶ πλείους, ἐς οὓς Νέρων ἑαυτὸν γράφει; τί οὖν, εἴ τις αὐτῶν μετὰ τὸν Οἰνόμαον, ἢ τὸν Κρεσφόντην ἀπελθὼν τοῦ θεάτρου, μεστὸς οὕτω τοῦ προσωπείου γένοιτο, ὡς ἄρχειν μὲν ἑτέρων βούλεσθαι, τύραννον δὲ αὑτὸν ἡγεῖσθαι. τί, καὶ φήσεις τοῦτον. ἆρ' οὐκ ἐλλεβόρου δεῖ, καὶ φαρμακοποσίας, ὁπόση τοὺς νοῦς ἐκκαθαίρει; εἰ δ' αὐτὸς ὁ τυραννεύων, ἐς τραγῳδοὺς, καὶ τεχνίτας τὰ πράγματα ἑαυτοῦ ἄγοι, λεαίνων τὴν φωνὴν, καὶ δεδιὼς τὸν Ἠλεῖον, ἢ τὸν Δελφὸν, ἢ μὴ δεδιὼς μὲν, κακῶς δὲ οὕτως ὑποκρινόμενος τὴν ἑαυτοῦ τέχνην, ὡς μὴ μαστιγώσεσθαι νομίζειν πρὸς τούτων, ὧν αὐτὸς ἄρχειν τέτακται· τί τοὺς κακοδαίμονας ἀνθρώπους ἐρεῖς ὑπὸ τοιούτῳ καθάρματι ζῶντας. τοὺς δὲ Ἕλληνας, τίνα ἡγῇ, ὦ Μένιππε; πότερα Ξέρξην καταπιμπράντα, ἢ Νέρωνα ᾄδοντα; εἰ γὰρ ἐνθυμηθείης τὴν ἀγορὰν, ἣν ἐς τὰς ἐκείνου ᾠδὰς ξυμφέρουσι, καὶ ὡς ἐξωθοῦνται τῶν οἰκιῶν, καὶ οὐκ ἔξεστι σπουδαίων οὐδὲν, ἢ σκεῦος, ἢ ἀνδράποδον αὐτοῖς πεπᾶσθαι *. περὶ γυναίοις τὲ, καὶ παισὶν, ὡς δεινὰ πείσονται, τὰς ἀπορρήτους ἡδονὰς ἐξ ἁπάσης οἰκίας ἐκ-

γρ. ἀγείρειν

γρ. πεπᾶσθαι

A *Amœbei & Terpni nunc habitum induit. quid dices?* & Creontis, Oedipíque facta dictáve examuſſim ſcire tanti æſtimat, vt timeat, ne fortè quid in porta, aut in ſtola, ſceptróve deliquerit. A ſua verò, ac Romanorum dignitate tantùm degenerauit, vt pro conditore legum, quas ferre oportebat, cantare, & in hiſtrionica * philoſophari extra vrbem malit, in qua ſedendo debuit, vt rex de maximis terræ maríſque rebus conſultus reſpondere. B Sunt quidem, ô Menippe, tragœdi complures, quibus etiam Nero ſe adnumerari cupit. Si quis igitur eorum qui Oenomai, aut Creſphontis perſonam geſſerit, & è theatro abiens velit eius, quem in ſcena ſimulauerat regis dignitatem ſeruando ceteris imperare, & tanquam tyrannus aliis præeſſe. quid de tali viro exiſtimares? nónne hunc helleboro, aliíſve potionibus diceres indigere, quibus inſanorum mentes purgantur. C Si quis item re vera tyrannus exiſtens in tragœdi, aut hiſtrionis formam ſeſe tranſmutet, vocémque expoliens, Elienſium, Delphicorúmve ſcuticam timeat, aut ſi re vera non timeat, tam prauè tamen artem, quam profitetur, exerceat, vt verberibus cædi ſe dignum iudicet ab iis, quibus imperare conſtitutus eſt: quid de miſeris hominibus dices ſub tali monſtro viuere coactis? Vtrum verò Græcis pernicioſiorem cenſes, D Xerxémne ferro, flammáque omnia vaſtantem, an cantantem Neronē: nam ſi ſumptus recogites, quos pro eius cantibus facere coguntur: itémque quo pacto domibus pelluntur: vtque præclaram ſupellectilem, aut ſeruum illis *comparare* non liceat. Quid verò erga mulieres, filióſque patiantur, dicere non attinet: cùm ſceleratas voluptates ex quacunque

Citharœdi apud Sueton. in Ner. & Athen.

al. plebeculam congregare.

domo Nero colligat. Accuſationes autem quot, quantáſque ex theatris oriri cenſes: cùm delatores ita redarguant, non veniſti auditum Neronem, aut veniſti quidem, ſed negligenter, & non attentè audiebas: riſiſti planè, non plauſiſti, non pro ipſius voce ſacrificaſti, vt clarior *ad Pythium veniret*: & vt ſummatim dicam, multæ tibi videbuntur illic *ſpectatorum Iliades* circa Græcos eſſe. Iam de incidendo, aut non incidendo Iſthmo (quanquam vt audio iam incidatur) iampridem agnoui præmonſtrante Deo. Ad hæc reſpondens Damis, Mihi, inquit, Apolloni, de reſcindendo Iſthmo negocium Neronis opera ſupergredi videtur: apparet enim ex hoc quàm magno ſit animo. Mihi autem, inquit Apollonius, eius operis imperfectio calumniam illi ſummam videtur afferre, tanquam imperfectè canenti, & imperfectè fodienti. Quinetiam Xerxis geſta commemorans, cum virum laudare ſoleo, non *quòd ponte iunxerit*, *ſed* quia tranſierit Helleſpontum. Neronem verò nunquam per Iſthmũ nauigaturũ video, nec ad fodiendi finẽ peruenturum. Videtur quoque mihi plenus timoris è Græcia diſceſſurus, niſi fortè *vis veritatis perierit*.

A λεγόντων τοῦ Νέρωνος δίκαι τε ὡς πολλαὶ ἀναφύσονται. καὶ τὰς μὲν ἄλλας, ἔα. τὰς δὲ ἐπὶ τοῖς θεάτροις, καὶ ταῖς ᾠδαῖς, οὐκ ἦλθες ἀκροασόμενος Νέρωνος; ἢ παρῆσθα μέν, ῥαθύμως δὲ ἠκροῶ, ἐγέλας, οὐκ ἐκρότησας, οὐκ ἔθυσας ὑπὲρ τῆς φωνῆς, ἵνα Πυθῶδε λαμπροτέρα ἔλθοι· πολλαί σοι δόξουσι θεατῶν Ἰλιάδες περὶ τοὺς Ἕλληνας εἶναι. τὸ γὰρ τετ-
B μήσεσθαι τὸν Ἰσθμόν, ἢ οὐ τετμήσεσθαι; τέμνεται δὲ ὥς φασι νῦν, πάλαι προὔμαθον, θεοῦ φήναντος. ὑπολαβὼν οὖν ὁ Δάμις, ἀλλ' ἐμοί γε, ἔφη, ὦ Ἀπολλώνιε, τὸ περὶ τὴν τομὴν ἔργον ὑπερφρονεῖν δοκεῖ τὰ Νέρωνος πάντα. ἡ γὰρ διάνοια ὁρᾶς ὡς μεγάλη. δοκεῖ μέν, ἔφη, κἀμοί, ὦ Δάμι. τὸ δὲ ἀτελὲς αὐτῆς διαβάλλει αὐτόν, ὡς ἀτελῆ μὲν ᾄδοντα, ἀτελῆ δὲ ὀρύττοντα. τὰ τοι Ξέρ-
C ξου ἐπαινῶ, ἀναλεγόμενος τὸν ἄνδρα, οὐχ ὅτι τὸν Ἑλλήσποντον ἔζευξεν, ἀλλ' ὅτι διέβη αὐτόν. Νέρωνα δέ, οὔτε πλευσούμενον διὰ τοῦ Ἰσθμοῦ ὁρῶ, οὔτε ἐς τέρμα τῆς ὀρυχῆς ἥξοντα. δοκεῖ δέ μοι καὶ φόβου μεστὸς ἀναχωρήσειν τῆς Ἑλλάδος, εἰ μὴ ἡ ἀλήθεια * ἀπόλωλεν.

Ter in Olympiis viciſſe Neronem nuntiatum Gaditanis. De Vindice & morte eius: déque vitiis Neronis. Galbam præterea, Othonem, Vitellium Thebanis regibus comparatos. C*AP.* *III.*

POST hos ſermones velociſſimus quidã curſor venit Gades, iubẽs, vt incolæ *ob fauſtum nuntium ſacra* facerent, & ter Olympiorum victorem Neronem decantarent. Gaditani itaque victoriæ genus intellexêre, vt pote qui rebus Græcorum ſtu-

Ἀφικομένου δέ τινος ἐς Γάδειρα μετὰ ταῦτα, τῶν σὺν τάχει διαθεόντων δρόμοις, καὶ κελεύοντος εὐαγγέλια θύειν, τρισολυμπιονίκην Νέρωνα ᾄδοντας. τὰ μὲν Γάδειρα ξυνίει τῆς νίκης, καὶ ὅτι ἐν Ἀρ-

καδίᾳ τίς εἴη ἀγὼν εὐδόκιμος, ἐπειδὴ ὥς εἶπον ἐς τὰ Ἑλλήνων περιδύουσιν. αἱ δὲ πόλεις αἱ πρόσοικοι τοῖς Γαδείροις, οὔτε ἐγίγνωσκον ὅτι εἴη τὰ Ὀλύμπια, οὐδ᾽ ὅτι ἀγωνία, ἢ ἀγὼν, οὐδὲ ἐφ᾽ ὅτῳ θύουσιν· ἀλλὰ ἀπήγοντο ἐς γελοίους δόξας, πολέμου νίκην ἡγούμενοι ταῦτα. καὶ ὅτι ὁ Νέρων ᾑρήκοι τινὰς ἀνθρώποις Ὀλυμπίοις, οὐδὲ τραγῳδίας ποτὲ, ἢ κιθαρῳδίας θεαταὶ ἐγεγόνεσαν. τοὺς γοῦν οἰκοῦντας τὰ Ἴσπολα, πόλις δὲ κἀκείνη Βαιτικὴ, φησὶν ὁ Δάμις παθεῖν τι πρὸς τραγῳδίας ὑποκριτὴν ὃ κἀμὲ ἄξιον ἐπιμνησθῆναι. θυουσῶν γὰρ τῶν πόλεων θαμὰ ἐπὶ ταῖς νίκαις, ἐπειδὴ καὶ αἱ Πυθικαὶ ἤδη καὶ ἀπηγγέλλοντο, τραγῳδίας ὑποκριτὴς τῶν οὐκ ἀξιουμένων ἀνταγωνίζεσθαι τῷ Νέρωνι, ἐπῄει τὰς ἑσπερίους πόλεις ἀγείρων· καὶ τῇ τέχνῃ χρώμενος, εὐδοκίμει παρὰ τοῖς ἧττον βαρβάροις. πρῶτον μὲν δι᾽ αὐτὸ τὸ ἥκειν παρ᾽ ἀνθρώπους, οἳ μήπω τραγῳδίας ἤκουσαν, εἶτ᾽ ἐπειδὴ τὰς Νέρωνος μελῳδίας ἀκριβοῦν ἔφασκε, παρελθὼν ἐς τὰ Ἴσπολα, φοβερὸς μὲν αὐτοῖς ἐφαίνετο, καὶ ὃν ἐσιώπα χρόνον ἐπὶ τῆς σκηνῆς· καὶ ὁρῶντες οἱ ἄνθρωποι βαδίζοντα μὲν αὐτὸν μέγα, κεχηνότα δὲ τοσοῦτον, ἐφεστῶτα δὲ ὀκρίβασιν οὕτως ὑψηλοῖς, τερατώδη δὲ τὰ περὶ αὐτὸν ἐσθήματα, οὐκ ἀφόβοι ἦσαν τοῦ σχήματος. ἐπεὶ δὲ ἐξάρας τὴν φωνὴν, καὶ γεγωνὸς ἐφθέγξατο, φυγῇ οἱ πλεῖστοι ᾤχοντο, ὥσπερ ὑπὸ δαίμονος ἐμβροντηθέντες. τοιαῦτα μὲν ἤδη τῶν ταύτῃ βαρβάρων, καὶ οὕτως ἀρχαῖα. σπουδὴν δὲ ποιουμένου τοῦ τῆς Βαιτικῆς

A dentes, in Arcadia præclarum ludorum certamen ſciebant exerceri. Ceteræ verò ciuitates nec quid eſſent Olympia intelligebãt: nec quid illic ludorum, certaminíſve celebraretur, ſciebant: atque ideo cuius rei cauſa ſacrificandum eſſet, ignorabant: ſed opinione ridicula tenebantur, bellicam quandam victoriam illam eſſe arbitrantes, quòd Nero contra aliquos Olympios appellatos bellum geſſiſſet. Ipſi enim
B tragœdiam, aut citharœdorum certamina nunquam viderant. Qui igitur Iſpula incolebant (eã verò Bæticæ prouinciæ ciuitas eſt) aliquid ab hiſtrione tragico paſſi ſunt, quod à Damide ſcriptum eſt. Ego quoque narratu dignum exiſtimaui; cùm Hiſpaniæ ciuitates iam ſæpius pro victoriis ſacrificaſſent, quòd & Pythica quondam victoria fuerat nuntiata; Tragicus quidam hiſtrio, qui cum Nerone certare de-
C dignabatur, mendicans ambibat Hiſpaniæ ciuitates, & arte ſua vtens à multis Barbaris probabatur: primò quidem, quòd ad homines venerat, qui tragœdias nunquam audiuerant, dein quòd Neronis cantus à ſe emendatos prædicabat. Is igitur Iſpula veniens, terribilis primo aſpectu viſus eſt, donec in ſcena tacitus perſtitit. Videntes enim ipſum tam altè gradientem, & tam vaſtè hiantem, pe-
D plis ſuperſtantem, veſtibúſque tam monſtroſis indutum non ſine timore eiuſmodi habitum. admirabantur. Vbi autem vocem attollens altius clamare cœpit, plurimi tanquam dæmonis alicuius voce perculſi, diffugerunt, tales erant, támque ſimplices hac in re Barbarorum mores. Cùm Bæticæ prouinciæ præfectus ſæpius Apollonij

A pollonij colloquium petiiſſet, iniucundam aiebat Apollonius eſſe amicitiam ſuam iis, qui philoſophiæ non darent operam: ſed cùm magis quotidie præfectus eadem petens inſtaret, audiſſétque Apollonius ipſum virum eſſe bonum, & Neronis ſcenas, cantúſque reprehendere, per epiſtolam illum admonuit, vt Gades accederet. Ille verò omni magiſtratus pompa dimiſſa cum paucis familiaribus venit, ſalutéque mutuò data, & B accepta, omnib. arbitris ſemotis, quid inter ſe fuerint collocuti, nemo nouit: coniicere autem ſe Damis inquit, aduerſus Neronem illos conſpiraſſe. Triduò namque inter ſe illo modo ſunt collocuti. Poſtea abiens præfectus, Apollonium complexus eſt: cui Apollonius, Vale, inquit, & Vindicis memento. Quid autem hæc verba voluerint, ſtatim aperiam. Dum in Achaia tragicis C cantibus incumberet Nero, Hiſpanos ad defectionem vir quidam nomine Vindex ſollicitabat, idoneus certè, qui poſſet fides concidere, quibus ineptè cantabat Nero. Nam apud eos, quos iam congregauerat, exercitus, orationem habuit contra tyrannum, ex media philoſophia depromptam. Inter alia namque dicebat Neronem magis eſſe omnia, quàm citharœdum, citharœdum verò multò magis, D quàm regem. Eundem quoque inſania, furore, auaritia, crudelitate, omníque laſciuia corruptum criminabatur. Iam verò omnium ab eo factorum crudeliſſimum, quòd ſcilicet matrem interfeciſſet, nequaquam illi dicebat crimini dandum eſſe: ſe namque iure interfectam putare, quæ tale portentum peperiſſet. Hæc igitur vt ſeſe haberent agnoſcens Apollonius, Vindici ſociū

ἐπιζητοῦντος ἐς ξυνουσίαν τῷ Ἀπολλωνίῳ ἐλθεῖν, ὁ μὲν, ἀηδεῖς ἔφη, τὰς ξυνουσίας τὰς ἑαυτοῦ φαίνεσθαι τοῖς μὴ φιλοσοφοῦσιν· ὁ δὲ προσέκειτο αἰτῶν τοῦτο. ἐπεὶ δὲ χρηστός τε εἶναι ἐλέγετο, καὶ διαβεβλημένος πρὸς τοὺς Νέρωνος μίμους, γράφει πρὸς αὐτὸν ἐπιστολὴν ὁ Ἀπολλώνιος, ἵν' ἐς τὰ Γάδειρα ἔλθοι. ὁ δὲ, ἀφελὼν τὸν τῆς ἀρχῆς ὄγκον, ξὺν ὀλίγοις, καὶ ἑαυτῷ ἐπιτηδειοτάτοις, ἦλθεν. ἀσπασάμενοι δὲ ἀλλήλους, καὶ μεταστησάμενοι τοὺς παρόντας, ὅ, τι μὲν διελέχθησαν, οὐδεὶς οἶδε. τεκμαίρεται δὲ ὁ Δάμις ἐπὶ Νέρωνα ξυμβῆναι σφᾶς. τριῶν γὰρ ἡμερῶν ἰδίᾳ σπουδάσαντες, ὁ μὲν ἀπῄει, περιβαλὼν τὸν Ἀπολλώνιον, ὁ δὲ, ἔρρωσο, ἔφη, καὶ μέμνησο Βίνδικος. τί δὲ τοῦτο ἦν, ἐπὶ Νέρωνα ἐν Ἀχαΐᾳ ᾄδοντα, τὰ ἔθνη τὰ Ἑσπέρια λέγεται κινῆσαι Βίνδιξ, ἀνὴρ οἷος ἐκτεμεῖν τὰς νευρὰς, ἃς Νέρων ἀμαθῶς ἔψαλλε. πρὸς γὰρ τὰ στρατόπεδα, οἷς ἐπετέτακτο, λόγον, κατ' αὐτοῦ διῆλθεν, ὃν ἐκ πάνυ γενναίας φιλοσοφίας ἐπὶ τύραννον ἄν τις πνεύσειεν. ἔφη γὰρ Νέρωνα εἶναι πάντα μᾶλλον, ἢ κιθαρῳδόν· καὶ κιθαρῳδὸν μᾶλλον, ἢ βασιλέα. προφέρειν δὲ αὐτῷ μανίαν, καὶ φιλοχρηματίαν, καὶ ὠμότητα, καὶ ἀσέλγειαν πᾶσαν· τὸ δὲ ὠμότατον τῶν ἐκείνου, μὴ προφέρειν αὐτῷ· τὴν γὰρ μητέρα ἐν δίκῃ ἀπεκτονέναι, ἐπειδὴ τοιοῦτον ἔτεκε· ταῦτ' οὖν ὡς ἔστι, προγιγνώσκων ὁ Ἀπολλώνιος, ξυνέταττε τῷ Βίνδικι ὅμορος

ἄρχοντα, μονονουχὶ ὅπλα, ὑπὲρ τῆς Ῥώμης τιθέμενος. Φλεγμαινόντων δὲ τῶν περὶ τὴν Ἑσπέραν, τρέπονται τοὐντεῦθεν ἐπὶ Λιβύην, καὶ Τυῤῥηνούς· καὶ τὰ μὲν, πεζῇ βαδίζοντες, τὰ δὲ, ἐπὶ πλοίων πορευόμενοι, κατίσχουσιν ἐπὶ Σικελίαν, οὗ τὸ Λιλύβαιον. παραπλεύσαντες δὲ ἐπὶ Μεσσήνην τε, καὶ πορθμὸν, ἔνθα ὁ Τυῤῥηνὸς Ἀδρίᾳ ξυμβάλλων, χαλεπὴν ἐργάζεται τὴν χάρυβδιν ἀκοῦσαί φασιν, ὡς Νέρων μὲν περιφεύγοι, τεθνήκοι δὲ Βίνδιξ, ἅπτοιντο δὲ τῆς ἀρχῆς, οἱ μὲν ἐξ αὐτῆς Ῥώμης· οἱ δὲ, ὁπόθεν τύχοι τῶν ἐθνῶν. ἐρομένων δὲ αὐτὸν τῶν ἑταίρων οἷ προβήσεται ταῦτα, καὶ ὅτου λοιπὸν ἡ ἀρχὴ ἔσοιτο, πολλῶν, εἶπε, Θηβαίων. τὸ γὰρ ἰσχὺν, ἣ πρὸς ὀλίγον, Βιτέλλιός τε, καὶ Γάλβας, καὶ Ὄθων ἐχρήσαντο, Θηβαίοις εἴκασεν, οἳ χρόνον κομιδῇ βραχὺν ἤχθησαν ἐς τὰ τῶν Ἑλλήνων πράγματα. ὅτι μὲν γὰρ τὰ τοιαῦτα δαιμονίᾳ κινήσει προεγίγνωσκε, καὶ ὅτι τοῖς γόητα τὸν ἄνδρα ἡγουμένοις οὐχ ὑγιαίνει, ὁ λόγος δηλοῖ μὲν, καὶ τὰ εἰρημένα.

A adiunxit eum, quem diximus prouinciæ præfectum, quaſi pro ciuitate Romana comparans arma. Hoc modò rebus in Hiſpania tumeſcentibus, Apollonius, ſociíque illinc in Africam deſcenderunt: inde verò in Tyrrhenos delati ſunt, partim nauibus, partim terreſtri itinere pergentes. Illinc rurſus abeuntes Siciliæ Lilybæum tenuere. Inde Meſſenam ſe contulerunt fretum præteruecti, vbi commiſta maria, Thuſcum & Adriaticum, difficilem nauigantibus Charybdim efficiunt. Ibi de Nerone profligato, & de Vindice mortuo certiores facti ſunt, quódque Romanum imperium plures inuaſerant, partim Romani ciues, partim alienigenæ, vtcunque contigerat. Cùm autem à ſociis interrogaretur, quo nam hæc tandem eſſet euaſura, & quis eſſet imperio potiturus, Multi, inquit, Thebani. Vires enim, quibus breui tempore Vitellius, Galba, Othóque vſi ſunt, Thebanis comparabat, qui tempore admodum breui Græciæ tenuerant principatum. Quòd autem hæc diuino quodam ſpiritu afflatus præſciret, quódque ij, qui illum incantatorem dicunt, non rectè ſentiant, ea quæ modo retuli ſatis oſtendunt.

Incantatores omnes eſſe miſerrimos. Tum Siciliæ tricipitem natum infantem portendiſſe Galbam, Othonem, Vitellium, annum duntaxat regnaturos.

Cap. IIII.

Σκεψώμεθα δὲ κἀκεῖνα. οἱ γόητες, ἡγοῦμαι δ' αὐτοὺς ἐγὼ κακοδαιμονεστάτους ἀνθρώπων, οἱ μὲν, ἐς βασάνους εἰδώλων χωροῦντες, οἱ δ' ἐς θυσίας βαρβάρους, οἱ δὲ, ἐς τὸ ἐπᾶσαί τι, ἢ ἀλεῖψαι μετα-

Atqve hoc loco pauca de tali re mihi dicendum eſſe exiſtimaui. Incantatores quoq., quos ego omnium hominũ infortunatiſſimos iudico, partim torquendis idólis, partim Barbaris, inſuetíſque ſacrificiis, partim cantibus, aut vnctionibus quibuſdam vacantes, res etiam

fato conſtitutas permutare ſe aſſerunt: multique eorum accuſationibus obnoxij, tali ſapientia præditos ſe eſſe confeſſi ſunt. Apollonius autem quæ fato ſtatuta erant ſequens, neceſſariò ſic euaſura eſſe prædicabat: futura autem præſciebat, non incantationibus vtens, ſed ex iis coniectans, quæ ſibi dij immortales oſtendebant. Igitur cùm vidiſſet apud Indos vinaria vaſa, tripodéſque ad ſua deſtinata miniſteria ſponte proficiſci, vt diximus, neque quo pacto id fieret interrogauit, nec ab eiſdem petiit, vt ſe docerent, & quamuis ea laudauerit, non tamen imitari voluit. Cùm Syracuſas Apollonius, comitéſque veniſſent, mulier quædam non ignobilis monſtrum peperit, quale prius viſum non eſſe conſtabat. Erant infanti capita tria, & eorum ſingulis, ſingula colla. Inferius autem vnum duntaxat corpus cernebatur. Hoc portentum interpretantes aliqui Siciliam, quæ Trinacris dicitur, perituram aiebant, niſi in vnum conſpirauerit: tunc enim ciuitates complures, & inter ſe mutuò, & ab aliis diſſidentes ſeditionibus magis vexabantur. Alij Typhœum, qui & ipſe plura habet capita, dicebant res nouas Siciliæ minitari. Verùm Apollonius vocato Damide, Vade, inquit, & vtrum, ſicut aiunt, compoſitum ſit monſtrum, vide. Erat enim publicè expoſitum, vt eſſet omnibus & videndi & diuinandi facultas. Referente autem Damide triceps ipſum, ac maſculum eſſe, conuocatis ſociis Apollonius, Tres, inquit, erunt Romani Imperatores, quos ego pridie Thebanos appellaui. nec eorum quiſquam perfectè imperio potietur, ſed alij in ciuitate ipſa, alij circa finitima vrbi loca *potentiam adepti* peribunt citius,

A ποιεῖν φασὶ τὰ εἱμαρμένα. καὶ πολλοὶ τούτων κατηγορίαις ὑπαχθέντες τὰ τοιαῦτα ὡμολόγησαν σοφοὶ εἶναι. ὁ δὲ, εἵπετο μὲν τοῖς ἐκ μοιρῶν, προὔλεγε δὲ ὡς ἀνάγκη γενέσθαι αὐτά. προεγίγνωσκε δὲ οὐ γοητεύων, ἀλλ' ἐξ ὧν οἱ θεοὶ ἔφαινον. ἰδὼν δὲ παρὰ τοῖς Ἰνδοῖς τοὺς τρίποδας, καὶ τοὺς οἰνοχόους, καὶ ὅσα αὐτόματα ἐσφοιτᾶν, εἶπον,
B οὔθ' ὅπως σοφίζονται αὐτὰ ἤρετο, οὔτ' ἐδεήθη μαθεῖν, ἀλλ' ἐπῄνει μὲν, ζηλοῦν δ' οὐκ ἠξίου. ἀφικομένων δὲ αὐτῶν ἐς τὰς Συρακούσας, γυνὴ τῶν οὐκ ἀφανῶν, τέρας ἀπεκύησεν, οἷον οὔπω ἐμαιεύθη. τρεῖς γὰρ τῷ βρέφει κεφαλαὶ ἦσαν, ἐξ οἰκείας ἑκάστη δέρης· τὰ δὲ ἐπ' αὐταῖς, ἑνὸς πάντα. οἱ μὲν, δὴ παχέως ἐξηγούμενοι, τὴν Σικελίαν
C ἔφασαν· τρινάκεια γὰρ, ἀπολεῖσθαι, εἰ μὴ ὁμονοήσειέ τε, καὶ ξυμπνεύσειεν. ἐστασίαζον δὲ ἄρα αἱ πολλαὶ τῶν πόλεων πρὸς αὑτάς τε, καὶ πρὸς ἀλλήλας. καὶ ἐν κόσμῳ ζῆν, ἀπῆν τῆς νήσου. οἱ δὲ, ἔφασαν τὸν Τυφῶ, πολυκέφαλον δὲ εἶναι, νεώτερα ἀπειλεῖν τῇ Σικελίᾳ· ὁ δὲ Ἀπολλώνιος, ἴθι, ἔφη, ὦ Δάμι, καὶ κάτιδε αὐτὸ, εἰ οὕτω ξύγκειται. ἐξέκειτο γὰρ δημοσίᾳ τοῖς
D τερατολογεῖν εἰδόσιν. ἀπαγγείλαντος δὲ τοῦ Δάμιδος ὡς τρικέφαλον εἴη, καὶ ἄρρεν. ξυναγαγὼν τοὺς ἑταίρους, τρεῖς, ἔφη, Ῥωμαίων αὐτοκράτορες, οὓς ἐγὼ πρῴην Θηβαίους ἔφην. τελεώσει δὲ οὐδεὶς τὴν ἀρχήν. ἀλλ' οἱ μὲν, ἐπ' αὐτῆς Ῥώμης, οἱ δὲ, περὶ τὰ ὅμορα τῇ Ῥώμῃ δυνηθέντες ἀπολοῦνται, θᾶττον μεταβαλόντες τὸ προσωπεῖον,

ἢ οἱ τῶν τραγῳδῶν τύραννοι. καὶ ὁ λόγος αὐτίκα ἐς φῶς ἦλθε. Γάλβας μὲν γὰρ ἐπ' αὐτῆς Ῥώμης ἀπέθανεν, ἁψάμενος τῆς ἀρχῆς. ἀπέθανε δὲ καὶ Βιτέλλιος, ὀνειροπολήσας τὴν ἀρχήν. Ὄθων δὲ περὶ τοὺς Ἑσπερίους Γαλάτας ἀποθανὼν, οὐδὲ τάφου λαμπροῦ ἔτυχεν, ἀλλ' ὥσπερ ἰδιώτης κεῖται. διέπτη δὲ ἡ τύχη ταῦτα ἐν ἑνὶ ἔτει.

A quàm tragœdiarum tyranni perſonam mutantes: nec multò pòſt ſermo, quem dixerat, verus apparuit. Galba enim iam regno potitus in ipſa ciuitate interfectus eſt. Vitellius autem interiit, dum imperij captaret auguria. Otho quoque apud occidentales Gallos moriens, honeſtáque ſepultura carens, tanquam priuatus quidam & ignobilis iacuit. Atque hæc omnia intra anni ſpatiũ à *Fortuna celeriter* acta ſunt.

De Typhæo, & Ætna. tum de fabulis Æſopi, & poëtarum figmentis: quódque illa magis, quàm hæc accedunt ad ſapientiam. Deinde vt Æſopus, cùm eſſet paſtor, fabularum componendarum peritiam adeptus fuerit. Cap. *V.*

Πορθμευθέντες δὲ ἐπὶ Κατάνης, οὗ B τὸ ὄρος ἡ Αἴτνη, Καταναίων μὲν ἀκοῦσαί φασιν ἡγουμένων τὸν Τυφῶ δεδέσθαι ἐκεῖ, καὶ πῦρ ἐξ αὐτοῦ ἀνίστασθαι, ὃ τύφει τὴν Αἴτνην. αὐτοὶ δὲ πιθανωτέροις ἀφικέσθαι λόγοις, καὶ προσήκοντας τοῖς φιλοσοφοῦσιν· ἄρξαι δ' αὐτῶν τὸν Ἀπολλώνιον ὧδε ἐρόμενον τοὺς ἑταίρους, C ἔστι τι μυθολογία; νὴ Δί', εἶπεν ὁ Μένιππος, ἥν γε οἱ ποιηταὶ ἐπαινοῦσι. τὸν δὲ δὴ Αἴσωπον τί ἡγῇ; μυθολόγον, εἶπε, καὶ λογοποιὸν πάντα. πότεροι δὲ σοφοὶ τῶν μύθων; οἱ τῶν ποιητῶν, εἶπεν, ἐπειδὴ ὡς γεγονότες ᾄδονται. οἱ δὲ δὴ Αἰσώπου, τί; βάτραχοι, ἔφη, καὶ ὄνοι, καὶ λῆροι, γραυσὶν D οἷοι μασᾶσθαι, καὶ παιδίοις. καὶ μὴν, ἔφη ἐμοὶ ὁ Ἀπολλώνιος, ἐπιτηδειότεροι πρὸς σοφίαν οἱ τοῦ Αἰσώπου φαίνονται. οἱ μὲν γὰρ περὶ τοὺς ἥρωας, ὧν ποιητικὴ πᾶσα ἔχεται,

Post hæc Catanam venerunt, ſecus quam Ætna mons poſitus eſt. Ibíque à Catanenſibus audiuerunt Typhœum illic ligatum iacere, & ex eo prodire ignem, qui Ætnam comburit: ipſi autem ea de re veriſimiliores, & philoſophis conuenientiores cauſas inquirentes in hunc modum diſſerebant, ſermonis principium faciente Apollonio, & ſocios hoc modo interrogante: An vobis aliquid ſermo fabuloſus eſſe videtur? Eſt profectò, reſpondit Menippus. Hunc enim laudant, & ſequuntur poëtæ. Æſopum verò quid eſſe cenſetis? Poëtam, inquit ille, omnino fabuloſum. *Quaſnam verò è fabulis* ſapientes eſſe putatis? Certè, inquit Menippus, *quæ poëtarum ſunt*, quia cùm factæ non ſint, tamẽ vt factæ decantantur. Æſopi verò, inquit Apollonius, quales vobis videntur eſſe fabulæ? Ranæ, inquit Menippus, & aſini, atque huiuſmodi nugæ pueris, aniculíſque *obtrudendæ*. Ego verò, inquit Apollonius, accommodatiores ad ſapientiam, Æſopi, quàm cęterorum fabulas eſſe cenſeo. Quæ enim de heroibus confictæ ſunt, de quibus tota eſt materia poëtarum,

audientium aures corrumpunt illicitos, ac nefandos eorum amores referentes, ceu fratrum, vel ſororum nuptias, & in Deos calumniam, & filiorum eſus, atque illiberales *aſtus*, & mutuas altercationes. Hæc enim cùm veluti geſta proferátur à poëtis, homines ad amorem *&* *Zelorypiam* inducunt, & diuitiarum regníque cupiditatem: *[nec ſe delinquere arbitrantur, cùm Deos imitentur.] Æſopus verò ſapientiæ cauſa primò quidem talia dicentes non eſt ſecutus, ſed viam quandam propriam adinuenit. Deinde tanquam *ij qui vilioribus cibis pulchrè conuiuas excipiunt*, ex rebus paruis magna quædam intelligi facit, & fabuloſo ſermone propoſito, ex ipſo, quid agendum ſit, aut non agendum, oſtendit. Quapropter veritatem magis etiam quàm ceteri poëtarum videtur attingere. Illi namque quaſi per vim probare nituntur vera eſſe, quæ à ſe dicantur: iſte verò ſermonem proponens, quem ita vt eſt, fabuloſum eſſe quiſque nouit, aliquid verè dictum de rebus non veris eſſe demonſtrat. Præterea poëtæ, cùm ſuam narrauerint fabulam auditoribus, vera néc ne ſit, inquirendum relinquunt. Is verò ſermonem quidem falſum referens, & morum præcepta ex eo trahens, alicuius vtilitatis cauſa loquendi falſitate ſenſum eſſe demonſtrat. Illud præterea in Æſopo eſt, quòd res orationis expertes loquentes inducit, & quæ ſeriò ab hominibus agenda ſunt operantes, quibus homines à pueritia aſſueti, atque ab incunabulis ipſis enutriti, opiniones aliquas iam inde ab initio de ſingulis animalibus concipiunt, vt ſint eorum quaſi quædam regalia, quædam ſtolida, quædam verſuta, quædam ſimplicia. Inſuper cùm

Gr. ad quae fabulae incitãt.

A καὶ διαφθείρουσι τοὺς ἀκροωμένους, ἐπειδὴ ἔρωτάς τε ἀτόπους οἱ ποιηταὶ ἑρμηνεύουσι, καὶ ἀδελφῶν γάμους, καὶ διαβολὰς ἐς θεούς, καὶ βρώσεις παίδων, καὶ πανουργίας ἀνελευθέρους, καὶ δίκας· καὶ τὸ ὡς γεγονὼς αὐτῶν ἄγειν, καὶ τὸν ἐρῶντα, καὶ τὸν ζηλοτυποῦντα, καὶ τὸν ἐπιθυμοῦντα πλουτεῖν, ἢ τυραννεύειν, ἐφ' ἅπερ οἱ μῦθοι. Αἴσωπος

B δὲ ὑπὸ σοφίας, πρῶτον μὲν, οὐκ ἐς τὸ κοινὸν τῶν ταῦτα ᾀδόντων ἑαυτὸν κατέστησεν, ἀλλ' ἑαυτοῦ τινα ὁδὸν ἐτράπετο· εἶτα ὥσπερ οἱ τοῖς εὐτελεστέροις βρώμασι καλῶς ἑστιῶντες, ἀπὸ σμικρῶν πραγμάτων, διδάσκει μεγάλα· καὶ προθέμενος τὸν λόγον, ἐπάγει αὐτῷ τὸ, πρᾶττε, ἢ μὴ πρᾶττε. εἶτα τοῦ φιλαλήθους μᾶλλον, ἢ οἱ ποιηταί, ἥψατο. οἱ μὲν γὰρ βιάζονται πιθανοὺς φαί-

C νεσθαι τοὺς ἑαυτῶν λόγους· ὁ δ' ἀπαγγέλλων λόγον, ὃν ὡς ἔστι ψευδὴς, πᾶς οἶδεν, αὐτὸ τὸ μὴ περὶ ἀληθινῶν ἐρεῖν, ἀληθεύει· καὶ οἱ μὲν ποιητὴς εἰπὼν τὸν ἑαυτοῦ λόγον, καταλείπει τῷ ὑγιαίνοντι ἀκροατῇ βασανίζειν αὐτὸν εἰ ἐγένετο. ὁ δὲ, εἰπὼν μὲν ψευδῆ λόγον, ἐπαγαγὼν δὲ νουθεσίαν ὥσπερ Αἴσωπος δείκνυσιν ὡς ἐς τὸ χρήσιμον τῆς

D ἀκροάσεως τῷ ψεύδει κέχρηται. χαρίεν δ' αὐτοῦ τὸ καὶ τὰ ἄλογα ἡδίω ἐργάζεσθαι, καὶ σπουδῆς ἄξια τοῖς ἀνθρώποις· ἐκ παίδων γὰρ τοῖς λόγοις τούτοις ξυγγενόμενοι, καὶ ὑπ' αὐτῶν ἐκνηπιωθέντες, δόξας ἀναλαμβανόμεθα περὶ ἑκάστου τῶν ζώων, τὰ μὲν, ὡς βασιλικὰ εἴη· τὰ δὲ, ὡς εὐήθη· τὰ δὲ, ὡς κομψά· τὰ δὲ, ὡς ἀκέραια. καὶ ὁ μὲν

ποιητὴς εἰπών, πολλαὶ μορφαὶ τῶν δαιμονίων, ἢ τοιοῦτό τι ἐπιρροθήσας, ἀπῆλθεν· ὁ δὲ Αἴσωπος, ἐπιχρησμῳδήσας τῷ ἑαυτοῦ λόγῳ, καταλύει τὴν ξυνουσίαν ἐς ὃ προὔθετο. ἐμὲ δὲ, ὦ Μένιππε, καὶ μῦθον περὶ τῆς Αἰσώπου σοφίας ἐδιδάξατο ἡ μήτηρ κομιδῇ νήπιον, ὡς εἴη μέν ποτε ποιμὴν ὁ Αἴσωπος, νέμοι δὲ πρὸς ἱερῷ Ἑρμοῦ, σοφίας δὲ ἐρῴη, καὶ εὔχοιτο αὐτῷ ὑπὲρ τούτου· πολλοὶ δὲ καὶ ἕτεροι ταὐτὸν αἰτοῦντες, ἐπιφοιτῷεν ἐν τῷ Ἑρμῇ, ὁ μὲν, χρυσὸν, ὁ δ' ἄργυρον, ὁ δὲ, κηρύκειον ἐλεφάντινον, ὁ δὲ τῶν οὕτω τι λαμπρῶν ἀνάπτων. ὁ δ' Αἴσωπος, ἔχοι μὲν οὕτως, ὡς μηδὲν τῶν τοιούτων ἔχειν, φείδοιτο δ' ὧν εἶχε. γάλακτος δὲ αὐτῷ σπένδων, ὅσον οἶς ἀμελχθεῖσα ἐδίδου· καὶ κηρίον ἐπὶ τὸν βωμὸν φέρων, ὅσον τὴν χεῖρα ἐμπλῆσαι· ἑστιᾶν δ' αὐτὸν καὶ μύρτοις ᾤετο· καὶ παραθεὶς ἂν τῶν ῥόδων, ἢ τῶν ἴων κομιδῇ ὀλίγα· τί γὰρ δὴ, ὦ Ἑρμῆ, ἔλεγε στεφάνους πλέκειν, καὶ ἀμελεῖν τῶν προβάτων; ὡς δὲ ἀφίκοντο ἐς ῥητὴν ἡμέραν ἐπὶ τὴν τῆς σοφίας διανομὴν, ὁ μὲν Ἑρμῆς, ἅτε λόγιος, καὶ κερδῷος, σὺ μὲν, ἔφη, φιλοσοφίαν ἔχε τῷ πλεῖστα δήπου ἀναθέντι*. (χ. ἀναλώσαντι.) σὺ δὲ ἐς ῥητόρων ἤδη χώρει, τῷ δεύτερά τι χαρισαμένῳ. σοὶ δὲ ἀστρονομεῖν χώρα, σοὶ δὲ εἶναι μουσικῷ, σοὶ δὲ ἡρῴου ποιητῇ μέτρου, σοὶ δὲ ἰαμβείου. ἐπεὶ δὲ καί τοι λογιώτατος ὢν, καταναλώσειν

A poëta dixerit, *Variæ occurrunt formæ Numinum.* (Euripid. in Alc.) aut aliquid tale, *clauſula Choro adhibita, abiit.* Æſopus autem vtilitati orationem applicans, eam, quam intendebat admonitionẽ in medium proponit. Me quoq. cùm eſſem adhuc admodum puer, ô Menippe, de Æſopi ſapientia fabulam huiuſcemodi mater edocuit. Dicebat enim Æſopum aliquando, cùm eſſet paſtor, iuxta Mercurij templum greges pauiſſe: erat autem, vt aiebat, B ſapientiæ ſtudioſus, & frequẽter pro illa adipiſcenda Mercurio vota faciebat. Erant verò eodem tempore & alij complures, qui illud à Mercurio petebãt. Omnes itaque templum ingreſſi, varia munera Deo tulerunt. Is quidem aurum, ille autem argentum, alius eburneũ caduceum, alius eiuſmodi quid præclarum. Æſopus autem cui nec talium rerum ſuppetebat facultas, quòd eorum, quæ habebat, parcus erat ſeruator, tantùm lactis Mercurio libauit, quantùm ab C emuncta oue potuiſſet exprimere: tantùm etiam faui in ara ferebat, quantum manu comprehendere potuiſſet. Myrthi quoque baccis interdum, & roſis, aut violis *pauculis appoſitis*, dicebat: Quid opus eſt, ô Mercuri, dum ſerta texam ouium curam omittere? Poſtquam igitur ſtatuta dies acceſſit, qua ſapientiæ diſtributio facienda erat, Mercurius *velut eloquentiæ & lucri præſes*; [pro magnitudine ſumptuum cuique ſa- D pientiam partiebatur.] Et tu, inquit, quoniam in templo multa obtuliſti, philoſophiã habeto. Tu autem orator euadito: qui ſecundas in donãdo partes obtinuiſti. Tu vero aſtronomiæ ſapientiã habeto: tu autem muſicus eſto, tibi heroici carminis, tibi iambici ſit facultas. Poſtquã autem Mercurius licet *prudentia præſtans*,

philoſophiæ partes inuitus diſtribuerat, animaduertit ſe Æſopi oblitum fuiſſe. Itaque de illo cogitans recordatus eſt fabulæ, quam ſibi dum adhuc infans faſciis ligaretur, & nutriretur in Olympo, horæ narrauerant de vacca, quæ quondam homini locuta de terra, ac de ſe ipſa quædam enarrans hominem ad ſolis boues amandos compulit. Hæc itaque ſecum recogitans, Mercurius Æſopo fingendi fabulas dedit facultatem, quæ ſola in Sapientiæ domo relicta fuerat. Habe, inquiens, quæ primùm ego didici. Hinc itaque multiformis ars Æſopo contigit, tantúſque in fabularum figmentis euaſit.

A ἄκων* τὰ τῆς φιλοσοφίας μέρη, καὶ ἔλαθεν ἑαυτὸν ἐκπεσὼν τοῦ Αἰσώπου, ἐνθυμεῖται τὰς ὥρας, ὑφ' ὧν αὐτὸς ἐν κορυφαῖς τοῦ Ὀλύμπου ἐτράφη, ὡς ἐν σπαργάνοις ποτὲ αὐτῷ ὄντι, μῦθον διηγοῦσαι περὶ τῆς βοός, ὃν διελέχθη τῷ ἀνθρώπῳ ἡ βοῦς, ὑπὲρ ἑαυτῆς τε, καὶ τῆς γῆς ἐς ἔρωτα αὐτὸν τῶν Ἀπόλλωνος βοῶν κατέστησεν, καὶ δίδωσιν ἐντεῦθεν B τὴν μυθολογίαν τῷ Αἰσώπῳ, λοιπὴν ἐν σοφίας οἴκῳ οὖσαν, ἔχε εἰπών, ἃ πρῶτα ἔμαθον· αἱ μὲν δὴ πολλαὶ μορφαὶ τῆς τέχνης, ἐντεῦθεν ἀφίκοντο τῷ Αἰσώπῳ, καὶ τοιόνδε* ἀπέβη τὸ τῆς μυθολογίας πρᾶγμα.

χ. ἀνωὲ

χ. ποιλᾶ

An Gigantes cum Diis bella geſſerint. Item cur montes ardeant. Tum de naui ſubmerſa, quam perituram prædixerat Apollonius: déque Muſonio effodiente Iſthmum. Cap. *VI.*

VIDEOR autem abſurdè egiſſe, qui cùm velim rationes afferre veriores, naturæque accommodatiores, quàm hæ ſint, quæ à pleriſque de Ætna traduntur, ad laudes fabularum orationem conuerterim. quanquam vt puto, non eiuſmodi digreſſio fuit. Fabula enim quam confutare volumus, non Apologis Æſopi ſimilis eſt, ſed ſcenæ cuidam grandiori, ac de numero fabularum, quas plerique poëtæ decantant. Dicunt enim Typhœũ quendam ſiue Enceladum ſub Ætna monte ligatum, montíque obluctantem, hunc ignem anhelando emittere. Ego autem Gigantes fuiſſe dico, multíſque locis diruptis tumulis eiuſmodi corpora oſtendi, non tamen, vt fertur, cum Diis pugnaſſe credo, ſed forſan Deorum

C ΙΣΩΣ δ' ἀνόητον ἔπαθον· ἐπιστρέψαι γὰρ ἡμᾶς διανοηθεὶς ἐς λόγους φυσικωτέρους τε, καὶ ἀληθεστέρους, ὧν οἱ πολλοὶ περὶ τῆς Αἴτνης ᾄδουσιν, αὐτός τε ἐς ἔπαινον μύθων ἀπηνέχθην. οὐ μὴν ἄχαρις ἡ ἐκβολὴ τοῦ λόγου γέγονεν· ὁ γὰρ μῦθος, ὃν παραιτούμεθα, οὐ τῶν Αἰσώπου λόγων ἐστίν, ἀλλὰ τῶν δραματικωτέρων, καὶ ὧν οἱ ποιηταὶ D θρυλλοῦσιν. ἐκεῖνοι μὲν γὰρ Τυφῶ τινα, ἢ Ἐγκέλαδον δεδέσθαι φασὶν ὑπὸ τῷ ὄρει, καὶ δυσθανατοῦντα, ἀσθμαίνειν τὸ πῦρ τοῦτο· ἐγὼ δέ, γίγαντας φημί, καὶ πολλαχοῦ τῆς γῆς ἀναδείκνυσθαι τοιαυτὶ σώματα, ῥαγέντων τάφων. οὐ μὴν ἐς ἀγῶνα ἐλθεῖν τοῖς θεοῖς, ἀλλ' ὑβρίσαι μὲν τάχα

ἐς τοὺς νεὼς αὐτῶν, καὶ τὰ ἕδη· οὐρανῷ δὲ ἐπιπηδῆσαι, καὶ μὴ ξυγχωρεῖν τοῖς θεοῖς ἐπ' αὐτοῦ εἶναι, μανία μὲν λέγειν, μανία δὲ οἴεσθαι. καὶ μηδὲ ἐκεῖνος ὁ λόγος, καίτοι δοκῶν εὐφημότερος εἶναι, τιμάσθω, Ἡφαίστῳ μέλειν τοῦ χαλκεύειν ἐν τῇ Αἴτνῃ, καὶ κτυπεῖταί τις ἐνταῦθα ὑπ' αὐτοῦ ἄκμων. πολλὰ γὰρ καὶ ἄλλα ὄρη πολλαχοῦ τῆς γῆς ἔμπυρα. καὶ οὐκ ἂν φθάνοιμεν ἐπιφημίζοντες αὐτοῖς γίγαντας, καὶ Ἡφαίστους. τίς οὖν ἡ τῶν τοιῶνδε ὀρῶν αἰτία; γῆ κρᾶσιν ἀσφάλτου, καὶ θείου παρεχομένη, τύφεται μὲν καὶ παρ' ἑαυτῆς φύσει, πῦρ δὲ οὔπω ἐκδίδωσιν. εἰ δὲ σηραγγώδης τύχοι, καὶ ὑποδράμοι αὐτὴν πνεῦμα, φρυκτὸν ἤδη αἴρει· πλεονεκτήσασα δὲ ἡ φλὸξ, ὥσπερ τὸ ὕδωρ, ἀπορρεῖ τῶν ὀρῶν, καὶ ἐς τὰ πεδία ἐκχεῖται, χωρεῖ τε ἐπὶ θάλατταν πῦρ ἀθρόον, ἐκβολὰς ποιούμενον, οἷαι τῶν ποταμῶν εἰσι. χῶρος δὲ εὐσεβῶν, περὶ οὓς τὸ πῦρ ἐρρύη, λεγέσθω μὲν κἀνταῦθά τις· ἡγώμεθα δὲ τοῖς ὅσια πράττουσι, γῆν μὲν πᾶσαν ἀσφαλῆ χῶρον εἶναι, θάλατταν δὲ εὔπορον, οὐ πλέουσι μόνον, ἀλλὰ καὶ νεῖν πειρωμένοις. ἀεὶ γὰρ τοὺς λόγους ἀνέπαυεν ἐς τὰ χρηστὰ τῶν παραγγελμάτων. ἐμφιλοσοφήσας δὲ τῇ Σικελίᾳ χρόνον, ὃς ἀποχρῶσαν αὐτῷ σπουδὴν εἶχεν, ἐπὶ τῆς Ἑλλάδος ἐκομίζετο, περὶ Ἀρκτούρου ἐπιτολάς· ἀλύπου δὲ τοῦ πλοῦ γινομένου, καταχθεὶς ἐς Λευκάδα, ἀποβῶμεν, ἔφη, τῆς νεὼς ταύτης. οὐ γὰρ λῷον αὐτῇ ἐς Ἀχαΐαν πλεῦσαι. προσέχοντος δὲ οὐδενὸς τῷ λόγῳ, πλὴν

A ædes, ac templa violaſſe. Quòd autem cœlum aggreſſi fuerint, nec illic Deos conſiſtere permiſerint dicere, inſania quædam eſt, inſanius etiam credere. Neque verò oratio hæc, quamuis ſit vulgatior, à nobis probetur: Vulcanum in Ætna fabrilem artem exercere, ibíque indefeſsè *incudem ab eo percuti*. Multi namque alij montes diuerſis terrarum locis igniti ſunt, nec tamen Gigantes ibi aut Vulcanum eſſe B quiſquam dicit. Vt igitur montes ardeant, cauſa quædam huiuſmodi eſſe dicitur. Terra bitumini, ſulfuríque commiſta ardet quidem, atque ex ipſa ignis naſcitur, quamuis alicubi forſan non emittitur. Quòd ſi cauernoſam terram eſſe contigerit, vt per ipſam ſpiritus aliquis ingrediatur, tunc flammam attollit, quæ magis magíſque aucta, *inſtar aquæ*, è montibus defluens; in C campos effunditur; quandoque etiam vſque ad mare delata, quaſi fluminis cuiuſdam oſtia facit. nec tamen ſceleſtorum hominum regio putanda eſt, perquam eiuſmodi ignis defluit: hoc enim forſitan aliquis putaret. Nos autem putamus bene agentibus viris vbique terrarum tutam eſſe manſionem, & mare *peruium* non nauigantibus modò, ſed etiam natare volentibus. *Ita ſemper ſermones exhortationib. ad bo-* D *na, finiebat.* Philoſophatus itaque in Sicilia Apollonius, quandiu materiam contemplatione dignam locus ſuppeditauit, in Græciam ſtatuit nauigare Arcturi ſidere iam occidente. & nauigium ſatis idoneũ nactus, cùm Leucadem tenuiſſet, Deſcendamus, inquit, ex hac naui. Neque enim melius eſt cùm ipſa in Achaiam traiicere. his verbis nemo paruit, præter eos, qui viri

virtutem iam antea nouerant. Ipſe A igitur cum iis, qui dicto audientes fuerant, in Leucadiam nauim tranſgreſſus, ad Lechæum delatus eſt. Syracuſia verò nauis, ex qua deſcenderat, dum Criſæum ſinum prænauigaret, ſubmerſa eſt. Inde Athenas veniens ſacris initiatus eſt, cùm templi antiſtes eſſet is, quem ipſe aliàs futurum prædixerat. Inuenit autem illic, Demetrium philoſophum. Poſt Neronis enim balneum, verbáque aduerſus illum dicta Demetrius Athenis conſtiterat, B tam generoſè quæ acciderant ferens, vt neque eo tempore, quo Nero cantandi certaminibus inſaniebat è Græcia diſceſſerit. Is aiebat ſe apud Iſthmũ vidiſſe Muſoniũ fodere *vinctum & iuſſum*, & quantum maximè poterat opus vrgentem. Quod cùm vituperaſſet Demetrius, ille manibus acceptum ligonem altius terræ impreſſit: vnde cùm oculos auertiſſet Demetrius, Animaduerti, C inquit Muſonius, te moleſtè ferre, quòd Iſthmum effodiam: quid verò eſſes paſſus, ſi me ſicut Neronem cithara canentem vidiſſes? & de Muſonio quidem quæ dicenda ſunt, omittantur: quæ plura ſunt, atque mirabiliora; ne videar aduerſus eum audacius inſultare, qui hæc temerè negligentérque narrauit.

A τῶν γιγνωσκόντων τὸν ἄνδρα, αὐτὸς μὲν ἐπὶ Λευκαδίας νεὼς ὁμοῦ τοῖς βουλομένοις ξυμπλεῖν, ἐς Λέχαιον κατέσχεν. ἡ δὲ ναῦς ἡ Συρακοσία, κατέδυ, ἐσπλέουσα τὸν Κρισαῖον κόλπον. μυηθεὶς Ἀθήνησιν, ἐμύει δ᾽ αὐτὸν ἱεροφάντης, ὃν αὐτὸς τῷ προτέρῳ ἐπεμαντεύσατο· ἐνέτυχε δὲ καὶ Δημητρίῳ τῷ φιλοσόφῳ. μετὰ γὰρ τὸ Νέρωνος βαλανεῖον, καὶ ἃ ἐπ᾽ αὐτῷ B εἶπε, διῃτᾶτο Ἀθήνησιν ὁ Δημήτριος οὕτω γενναίως, ὡς μηδὲ τὸν χρόνον, ὃν Νέρων περὶ τοὺς ἀγῶνας ὕβριζεν, ἐξελθεῖν τῆς Ἑλλάδος. ἐκεῖνος καὶ Μουσωνίῳ ἔφασκεν ἐντετυχηκέναι περὶ τὸν Ἰσθμόν, δεδεμένῳ τε, καὶ κελευσμένῳ ὀρύττειν. καὶ αὐτὸν μὲν * ἀπευφημῆσαι (κ. ἐπαφ.) τὰ εἰκότα, τὸν δέ, ἔχεσθαι τῆς σμινύης, καὶ ἐρρωμένως τῇ γῇ ἐμβάλλειν ἀνακύ- C ψαντα δέ, λυπῶ σε ἄν, ὦ Δημήτριε, τὸν Ἰσθμὸν ὀρύττων τῇ Ἑλλάδι. εἰ δὲ καὶ κιθαρῳδοῦντά με εἶδες ὥσπερ Νέρωνα, τί ἂν ἔπαθες; καὶ ἐάσθω τὰ τοῦ Μουσωνίου, πλείω ὄντα, καὶ θαυμασιώτερα, ὡς μὴ δοκοίην θρασύνεσθαι πρὸς τὸν ἀμελῶς αὐτὰ εἰπόντα.

Apollonium non aſpernatum fuiſſe meritas laudes. Deos præterea fauere philoſophis. Tum de Coloſſo Rhodienſi, & Cano tibicine excellenti. Quidque facere poßit muſica. CAP. *VII.*

APOLLONIVS in omnibus Græciæ tẽplis hyeme verſatus, ineunte vere ſtatuit in Ægyptũ proficiſci: *cùm multa culpaſſet, multa conſuluiſſet in vrbibus; multa etiam laudibus extuliſſet.* Neq. enim ſi quid præclarè *agereтur, laudationi parcebat.* Cùm igitur in Piræum veniſſet, nauis, quæ

ΧΕΙμάσας δ᾽ Ἀπολλώνιος ἐν τοῖς Ἑλληνικοῖς ἱεροῖς πᾶσιν, εἴχετο τῆς ἐπ᾽ Αἰγύπτου ὁδοῦ περὶ ἔαρ· πολλὰ μὲν ἐπιπλήξας· πολλὰ δὲ συμβουλεύσας ταῖς πόλεσι· πολλῶν δὲ ἐς ἔπαινον καταστάς. οὐδὲ γὰρ ἐπαίνου ἀπείχετο ὁπότε ὑγιῶς πράσσοιτο· καταβὰς ἐς τὸν Πειραιᾶ, ναῦς μέν τις

ὥρμει πρὸς ἱστίοις οὖσα· καὶ ἐς Ἰωνίαν ἀφήσουσα· ὁ δ᾽ ἔμπορος οὐ ξυνεχώρει ἐμβαίνειν· ἰδιόστολον γὰρ αὐτὴν ἄγειν· ἐρομένου δὲ τοῦ Ἀπολλωνίου τίς ὁ φόρτος, θεῶν, ἔφη, ἀγάλματα ἀπάγω ἐς Ἰωνίαν· τὰ μὲν γὰρ χρυσοῦ, καὶ λίθου· τὰ δὲ, ἐλέφαντος, καὶ χρυσοῦ, ἱδρυσόμενος, ἢ τί; ἀποδωσόμενος, ἔφη, τοῖς βουλομένοις ἱδρύεσθαι· δέδιας οὖν, ὦ λῷστε, μὴ συλήσωμεν τὰ ἀγάλματα ἐν τῇ νηΐ; οὐ τοῦτο, ἔφη, δέδια, τὸ δὲ πλείοσι ξυμπλεῖν αὐτὰ, καὶ ὁμιλίας ἀναπίμπλασθαι φαύλου, διαίτης τε, ὁπόση ναυτικὴ, δεινὸν ἡγοῦμαι. καὶ μὴν, ὦ βέλτιστε, εἶπε, δοκεῖς μοι γάρ τις Ἀθηναῖος εἶναι, ταῖς ναυσὶ, αἷς ἐπὶ τοὺς βαρβάρους ἐχρήσασθε· καίτοι ναυτικῆς ἀταξίας ἐμπεπλησμέναις, συνέβαινον οἱ θεοὶ ξὺν ὑμῖν, καὶ οὐκ ᾤοντο ὑφ᾽ ὑμῶν χραίνεσθαι. σὺ δὲ ἀμαθῶς οὕτως ἀπωθῇ τῆς νεὼς φιλοσόφους ἄνδρας, οἷς μάλιστα οἱ θεοὶ χαίρουσι, καὶ ταῦτα, ἐμπορείαν τοὺς θεοὺς πεποιημένος; ἡ δὲ ἀγαλματοποιία ἡ ἀρχαία, οὐ τοῦτο ἔπραττεν, οὐδὲ περιῄεσαν τὰς πόλεις, ἀποδιδόμενοι τοὺς θεοὺς, ἀλλ᾽ ἀπάγοντες μόνον τὰς αὑτῶν χεῖρας, καὶ ὄργανα λιθουργὰ, καὶ ἐλεφαντουργὰ, ὕλην τε παραθέμενοι ἀργὸν ἐν αὐτοῖς τοῖς ἱεροῖς, τὰς δημιουργίας ἐποιοῦντο· σὺ δ᾽ ὥσπερ τὰ Ὑρκανικά τε, καὶ Σκυθικὰ, ἀπείη δὲ εἰπεῖν, τίνα οὕτω τοὺς θεοὺς ἐς τοὺς λιμένας τε, καὶ τὰς ἀγορὰς ἄγων, οὐδὲν οἴει ἀσεβὲς πράττειν; καὶ μὴν καὶ σπερμολογοῦσιν ἔνιοι τῶν ἀνθρώπων, ἐξαψάμενοί τι Δήμητρος, ἢ Διονύσου ἄγαλμα.

A parata ſtabat in portu, in Ioniam erat nauigatura. Mercator verò cũctos in eam conſcendere prohibebat, quòd eam priuatim ipſe cõduxiſſet. Interrogante autem Apollonio, quas merces portatura nauis eſſet: Deorum ſimulachra, reſpondit ille, in Ioniam fero, *partim ex auro & marmore*; partim ex ebore itidem aurato confecta. Tunc Apollonius, Diíſne illa dedicaturus, an quidnam facturus illa portas? Imò verò, inquit ille, dicare volentibus illa venditurus. B Timéſne igitur, inquit Apollonius, ne nos, ſi in naui fuerimus, Deorum ſimulachra furemur? Minimè quidem hoc timeo, inquit ille: ſed illa cum multis nauigare, & mala ſocietate nauem compleri, & inter nauticos viros ſimulachra verſari graue Diis ipſis, atque indignum exiſtimabam. Atenim, inquit Apollonius, ô optime vir (te namque Athenienſem eſſe cenſeo) naues C quibus aduerſus Barbaros vſi eſtis, quamuis nauticis turbis refertiſſimas, vobiſcum vna Dij conſcenderunt. neque tamen à vobis pollui aut inquinari putauerunt. Tu autem tam temerè naui prohibes philoſophos, quibus maximè Dij gaudent. Neque id animaduertis, quòd tu de Diis mercaturam facis. Neque verò ſic antiqui ſtatuarij faciebant, vt Deos vendituri ambirent ciuitates, ſed manus duntaxat, D & artis ſuæ inſtrumenta *ad marmor & ebur cædendum* ſecum portantes, cùm informem materiam penes templa inuenirent, Deorum conficiebant ſimulachra. Tu verò tanquam Hyrcanos, aut Scythas ſeruos (abſit autem verbis inuidia) ſic Deos in portus ac nundinas ducens, nihil impium te facere arbitraris. Atqui fama eſt homines, quia Cereris, Bacchíve ſimulachrum attrectare fuiſſent auſi,

A à Diis, quorum ſimulachra contigerant, *ruiſſe retrò ſublapſos*. Te autem, qui Deos in cibum conuertis, neque inde ſaturaris *horrendæ mercaturæ, imò etiã mollitiei arguerim*, ſi propter id nihil mali ab ipſis timeas. Hæc minatus Apollonius aliã nauim conſcendit. Delatus autem in Chium, nec ſuorum quempiam terram attingere paſſus, in aliam nauim, quæ Rhodum petebat, aſcendit. Socij quoque ipſum ſecuti ſunt, nihil ipſum interrogantes, nec verbum fa- B cientes omnino. Ipſe enim in primis hoc eos docuerat, vt ſibi aliquid dicenti, facientíve parerent. Rhodum autem vento ſecundo delatus, hoc in ea inſula geſſit memoratu dignum. Cùm ad Coloſſi ſtatuam viſendam accederet, Damis ab eo quæſiuit, quid illo maius exiſtimaret. Ipſe verò philoſophum virum reſpondit, qui rectè, ac ſine fraude, philoſopharetur. Degebat tum temporis Rhodi Canus tibicen, omnium, vt fe- C rebatur, ætatis ſuæ tibicinum præſtantiſſimus. Hunc ad ſe vocatum Apollonius, interrogauit, quidnam arte ſua tibicen efficeret. Ille vero quicquid voluerit auditor, reſpondit. Atqui, inquit Apollonius, auditorum plures ditari, quàm tibiarum cantus audire malunt: potéſne igitur diuites illos efficere? Minimè, inquit ille. Quàm vero id vellem, inquit Apollonius. Quid autem, formoſóſne reddere potes adoleſ- D centes, qui te audiunt? id enim maximè affectant adoleſcentes. Nec id quidem poſſum, inquit ille, quamuis hilaritatis plurimùm canẽdo afferã. Quid eſt igitur, inquit Apollonius, quod auditorem velle putas? Quid aliud, inquit Canus, quàm vt mœrentibus mœrorem adimam, lætantem vero ſeipſo reddam hilariorem,

A καὶ* τρέφεσθαί φασιν ὑπὸ τῶν θεῶν, οὓς φέρουσι· σὺ δ' αὐτοὺς σιτίζῃ τοὺς θεούς, καὶ μηδ' ἐμπίπλασαι τούτοις, δεινῆς ἐμπορίας, εἴποιμι δ' ἂν καὶ ἀνδρίας, εἰ μηδὲν ἐκ τούτου δέδοικας. τοιαῦτα ἐπιπλήξας, ἐπὶ νεὼς ἑτέρας ἔπλει. καταπλεύσας δὲ ἐς τὴν Χίον, καὶ μηδὲ τὸν πόδα ἐς τὴν γῆν ἐρείσας, μετεπήδησεν ἐς τὴν ναῦν τὴν πλησίον· ἐκηρύττε* δ' ἡ ναῦς ἐς Ῥόδον. καὶ οἱ ἑταῖ- B ροι δὲ μετεπήδων, οὐδὲν εἰπόντες· ἐφιλοσοφεῖτο γὰρ αὐτοῖς μάλιστα τὸ ἕπεσθαι λέγοντί τε, καὶ πράττοντι. εὐφόρῳ δὲ παραιωθεὶς πνεύματι, τάδε ἐσπούδασεν ἐν τῇ Ῥόδῳ. προσιόντα δὲ αὐτὸν τῷ τοῦ Κολοσσοῦ ἀγάλματι, ἤρετο ὁ Δάμις τί ἡγοῖτο ἐκείνου μεῖζον. ὁ δέ, εἶπεν, ἄνδρα φιλοσοφοῦντα ὑγιῶς τε, καὶ ἀδόλως. ἐπεχωρίαζε τότε τῇ Ῥόδῳ Κάνος αὐλητής, ὃς ἄριστα δὴ ἀν- C θρώπων ἐδόκει αὐλεῖν. καλέσας οὖν αὐτόν, τί, ἔφη, ὁ αὐλητὴς ἐργάζεται; πᾶν, εἶπεν, ὅπερ ἂν ὁ ἀκροατὴς βούληται. καὶ μὴν πολλοί, ἔφη, τῶν ἀκροωμένων πλουτεῖν βούλονται μᾶλλον ἢ αὐλοῦ ἀκούειν. πλουσίους οὖν ἀποφαίνεις, οὓς ἂν ἐπιθυμοῦντας τούτου αἴσθῃ; οὐδαμῶς, εἶπεν· ὡς ἐβουλόμην ἂν τί δ' εὐειδεῖς ἐργάζῃ τοὺς νέους D τῶν ἀκροατῶν; ἐπειδὴ καλοὶ βούλονται δοκεῖν πάντες, περὶ οὓς νεότης ἐστίν. οὐδὲ τοῦτο, ἔφη, καίτοι πλεῖστον ἀφροδίτης ἔχων ἐν τῷ αὐλῷ. τί οὖν ἐστιν, εἶπεν, ὃ τὸν ἀκροατὴν ἡγῇ βούλεσθαι; τί δὲ ἄλλο γε, ἦ δ' ὁ Κάνος, ἢ τὸν λυπούμενον μὲν, κοιμίζεσθαι αὐτῷ τὴν λύπην ὑπὸ τοῦ αὐλοῦ.

in. τρέπεσθαί φ.

σχ. ἱμάτια

τὸν δὲ χαίροντα, ἱλαρώτερον ἑαυτοῦ γίγνεσθαι· τὸν δ᾽ ἐρῶντα, θερμότερον. τὸν δὲ φιλοθύτην, ἐνθεώτερόν τε, καὶ ὑμνῳδῆ. τοῦτο οὖν, ἔφη, ὦ Κάνε, πότερον αὐτὸς ἐργάζεται ὁ αὐλὸς, διὰ τὸ χρυσοῦ τε, καὶ ὀρειχάλκου, καὶ ἐλάφων κνήμης ξυγκεῖσθαι· οἱ δὲ, καὶ ὄνων, ἢ ἕτερόν ἐστιν, ὃ ταῦτα δύναται; ἕτερον, ἔφη, ὦ Ἀπολλώνιε. ἡ γὰρ μουσικὴ, καὶ οἱ τρόποι, καὶ τὸ ἀναμὶξ, καὶ τὸ εὐμετάβολον τῆς αὐλήσεως, καὶ τὰ τῶν ἁρμονιῶν ἤθη, ταῦτα τοὺς ἀκροωμένους ἁρμόττει, καὶ τὰς ψυχὰς ἐργάζεται σφῶν, ὁποίας βούλονται. ξυνίημι, ἔφη, ὦ Κάνε, ὅ,τι σοι ἡ τέχνη πράττει. τὸ γὰρ ποικίλον αὐτῆς, καὶ τὸ ἐς πάντας τρόπους, τοῦτο ἐξασκεῖς τε, καὶ παρέχεις τοῖς παρὰ σὲ φοιτῶσιν. ἐμοὶ δὲ πρὸς τοῖς ὑπὸ σοῦ εἰρημένοις, καὶ ἑτέρου δοκεῖ ὁ αὐλὸς δεῖσθαι, τῆς τε εὐπνοίας, καὶ τῆς εὐστομίας, καὶ τοῦ εὔχειρα εἶναι τὸν αὐλοῦντα. ἔστι δὲ εὔπνοια μὲν, ἢν τορὸν, καὶ λευκὸν, ἢ τὸ πνεῦμα, καὶ μὴ ἐπικτυπεῖ ἡ φάρυγξ. τουτὶ γὰρ ἔοικε φθόγγῳ ἀμούσῳ. εὐστομία δὲ, ἢν τὰ χείλη ἐνθέμενα τὴν τοῦ αὐλοῦ γλῶτταν, μὴ πιμπραμένου τοῦ προσώπου, αὐλῇ. τὸν δ᾽ εὔχειρα αὐλητὴν, πολλοῦ ἡγοῦμαι ἄξιον, ἢν μήτε ὁ καρπὸς ἀπαγορεύῃ ἀνακλώμενος, μήτε οἱ δάκτυλοι βραδεῖς ὦσιν ἐπιπέτεσθαι τοῖς φθόγγοις· καὶ γὰρ τὸ ταχέως μεταβάλλειν ἐκ τρόπου ἐς τρόπον, περὶ τοὺς εὐχειράς ἐστι μᾶλλον. εἰ δὴ ταῦτα πάντα παρέχεις, θαῤῥῶν αὐλει, ὦ Κάνε. μετὰ σοῦ γὰρ ἡ Εὐτέρπη ἔσται.

A amantem quoque calidiorem: religioſum verò diuino numine magis correptũ, & ad laudandos Deos paratiorem efficiam. An igitur præterea, Cani, efficit hæc tibia, quod ex auro, orichalcóve, aut ceruorum, aut aſinorum cruribus compacta ſit? an aliud quiddam eſt, quod hoc poteſt efficere? Aliud profecto eſt, inquit, Apolloni. Muſica namque, & modulationes, & harmoniarũ com-
B miſtio, earundémque permutatio diuerſis moribus accommodata auditores mouet, & eorum animos variè deducens, tales reddit, quales tibicen eos voluit. Intelligo, inquit Apollonius, quid ars tua poſſit efficere: eius enim diuerſitas, & in omnes modos conuerſio auditores variè affectos reddit: mihi autem, præter illa, quæ abs te commemo-
C rata ſunt, videtur tibicen aliis quibuſdam indigere. Hæc autem ſunt ipſius flatus, eiúſque ſpiritus bonitas, commoditas oris, & manuum dexteritas quædam. Habet autem ſpiritus bonitatem, ſi lenis ſit, ac politus, nec emiſſus in faucibus obſtrepat. Id enim inconcinnam efficit vocem. Oris autem commoditatem dico, ſi poſſint labia tibiarum linguam bene complecti; néve in-
D cenſa ardentíque facie cantet. Manuum vero dexteritas permulti (vt arbitror) æſtimanda eſt, vt neque manuum iuncturæ infractæ ſint, néve digiti tardius vocis numeros inſequantur. Velociter enim modulari, & ex alio in alium modum tranſire, eorum eſſe maximè puto, qui manuum dexteritate valeant. Quod ſi hæc omnia præſtare potes, ô Cani, audacter tibicinariam exerce, tecúmque Euterpe ſemper erit.

De adoleſcente Rhodio ædificante : déque alio adoleſcente edace. Item Theologiæ ſtudioſos eſſe Ægyptios. Tum quemadmodum prædixerit Apollonius Pharionem quendam, cùm ad ſupplicium duceretur, non abſciſſum iri. CAP. *VIII.*

ERAT præterea Rhodi adoleſcens *recens locupletatus*, ſed rudis penitus, atque indoctus. Is domum præclaram magnis ſumptibus *in vrbe* ædificabat, pictas tabulas, & marmorea ſigna ad ipſam exornandam vndique perquirens. Hunc interrogauit Apollonius quantos pro ſe erudiendo ſumptus in præceptoribus feciſſet: reſpondente autem illo ſe ne drachmam quidem ea de cauſa erogaſſe. Rurſus interrogauit quid pro conſtruenda domo eſſet erogatus. Ille verò, inquit, duodecim talenta iam expendi, atque alia totidem videor expenſurus. Quid ergo ex hac domo tibi vis, inquit Apollonius? Splendidè, inquit ille, in illa degere. Sunt enim in ea ſpatia exercendo corpori apta, luci præterea, atque horti, vt rarò in publicum prodire mihi ſit neceſſe. imò etiam libentius me ſalutatum accedent homines, cùm domum ornatam, quaſi Deorum templum ſint intraturi. Dic autem, inquit Apollonius, vtrum propter ſe ipſos, an propter illa quæ poſſident amabiliores homines eſſe putas? Propter diuitias, inquit ille. Plurimùm namque diuitiæ poſſunt. Diuitiarum autem, ô adoleſçens, vter melior eſt cuſtos, rudíſne, an eruditus? Cùm ad hæc ille conticeſceret, Tu, inquit Apollonius, mihi videris non domum poſſidere, ſed ab ea potius poſſideri. Ego autem in templum veniens multò iucundius in illo ſi paruum ſit, eburneum, aut aureum ſignum aſpicio,

A ΕΤΥΓΧΑΝΕ δὲ καὶ μειράκιον νεόπλουτόν τι, καὶ ἀπαίδευτον, οἰκοδομούμενον οἰκίαν τινὰ ἐν τῇ Ῥόδῳ, καὶ ξυμφέρον ἐς αὐτὴν γραφάς τε ποικίλας, καὶ λίθους ἐξ ἁπάντων ἐθνῶν. ἤρετο οὖν αὐτὸ, ὁπόσα χρήματα εἴη ἐς διδασκάλους τε, καὶ παιδείαν ἀνηλωκός· ὁ δὲ, οὐδὲ δραχμὴν, εἶπεν.
B ἐς δὲ τὴν οἰκίαν, πόσα; δώδεκα, ἔφη, τάλαντα. προσαναλώσαιμι δ' ἂν καὶ ἕτερα τοσαῦτα· τί δ', εἶπεν, ἡ οἰκία βούλεταί σοι; δίαιτα, ἔφη, λαμπρὰ ἔσται τῷ σώματι· καὶ γὰρ δρόμοι ἐν αὐτῇ, καὶ ἄλση, καὶ ὀλίγα ἐς ἀγορὰν βαδιοῦμαι·
C καὶ προσεροῦσί μοι οἱ εἰσιόντες ἥδιον, ὥσπερ ἐς ἱερὸν φοιτῶντες· ζηλωτότεροι δὲ, εἶπεν, οἱ ἄνθρωποι πότερον δι' αὐτούς εἰσιν, ἢ διὰ τὰ περὶ αὐτοὺς ὄντα; διὰ τὸν πλοῦτον, εἶπε· τὰ γὰρ χρήματα, πλεῖστον ἰσχύει. χρημάτων δ', ἔφη, ὦ μειράκιον, ἀμείνων φύλαξ, πότερον
D ὁ πεπαιδευμένος ἔσται; ἢ ὁ ἀπαίδευτος; ἐπεὶ δὲ ἐσιώπησε, δοκεῖς μοι, εἶπε, μειράκιον, οὐ σὺ τὴν οἰκίαν, ἀλλὰ σὲ ἡ οἰκία κεκτῆσθαι· ἐγὼ δὲ ἐς ἱερὸν παρελθὼν, πολλῷ ἂν ἥδιον ἐν αὐτῷ μικρῷ ὄντι, ἄγαλμά ἐλέφαντός τε, καὶ χρυσοῦ ἴδοιμι,

ἢ ἐν μεγάλῳ κεραμεοῦν τε καὶ φαῦλον νεδυίαν. ἰδὼν δὲ πίονα, καὶ φρονοῦντα ἐπὶ τῷ πλεῖστα μὲν ἀνθρώπων ἐσθίειν, πλεῖστον δὲ οἶνον πίνειν· ἀλλ' ἦ, ἔφη, σὺ τυγχάνεις ὢν ὁ γαστριζόμενος; καὶ θύω γε, εἶπεν, ὑπὲρ τούτου. τί οὖν, ἔφη, ἀπολέλαυκας τῆς βορᾶς ταύτης; τὸ θαυμάζεσθαι μὲν, καὶ ἀποβλέπεσθαι. καὶ γὰρ τὸν Ηρακλέα ἴσως ἀκούεις, ὡς καὶ τὰ σιτία αὐτοῦ παραπλησίως τοῖς ἄθλοις ᾔδετο. Ηρακλέους, ἔφη, ὄντος. σοὶ δὲ τίς, ὦ κάθαρμα, ἡ ἀρετή; τὸ γὰρ περίβλεπτος ἐν μόνῳ λείπεταί σοι τῷ ῥαγῆναι. τοιάδε μὲν αὐτοῦ τὰ ἐν τῇ Ῥόδῳ· τὰ δὲ ἐν τῇ Ἀλεξανδρείᾳ, ἐπειδὴ ἐσέπλευσεν, ἡ Ἀλεξάνδρεια καὶ ἀπόντος μὲν αὐτοῦ ἤρα, καὶ ἐπόθουν τὸν Ἀπολλώνιον, εἷς ἕνα. καὶ ἡ Αἴγυπτος δὲ ἡ ἄνω, μεστοὶ θεολογίας ὄντες, καὶ φοιτῆσαι αὐτὸν ἐς τὰ ἤθη τὰ αὐτῶν, ηὔχοντο. ἅτε γὰρ πολλῶν ἀφικνουμένων ἐνθένδε ἐς Αἴγυπτον, πολλῶν δὲ ἐπιμιγνύντων δεῦρο ἐξ Αἰγύπτου, ᾔδετό τε παρ' αὐτοῖς Ἀπολλώνιος, καὶ τὰ ὦτα ἐς αὐτὸν Αἰγυπτίοις ὀρθὰ ἦν· προϊόντα γέ τοι ἀπὸ τῆς νεὼς ἐς τὸ ἄστυ, ἴσα ἀπέβλεπον, καὶ διεχώρουν τῶν στενωπῶν, ὥσπερ τοῖς φέρουσι τὰ ἱερά. παραπεμπομένου δὲ αὐτοῦ μᾶλλον, ἢ τοὺς τῶν ἐθνῶν ἡγεμόνες, ἄνδρες ἤγοντο τὴν ἐπὶ θάνατον δώδεκα, λῃσταὶ τὴν αἰτίαν· ὁ δὲ, ἐς αὐτοὺς ἰδὼν, οὐ πάντες, εἶπεν. ὁ δεῖνα γὰρ καταψευσθεὶς, ἄπεισι· καὶ πρὸς τοὺς δημίους, ὑφ' ὧν ἤγοντο, ὑφεῖναι, ἔφη,

A quã in magno *figlinum* & ruditer elaboratũ. Alium præterea conſpicatus adoleſcentẽ vehementer pinguẽ,atq; vni ſtudio præcipuè deditũ, vt plura & meliora,quàm ceteri,biberet, atq. comederet, Profectò, inquit, egregiè vẽtri indulſiſti At ille,imò,inquit,pro illo etiã ſacra facio.Quid autẽ,inquit Apollonius,ex tanta voracitate conſequeris?Vt omnes,inquit ille,me aſpiciant,atq; mirẽtur. Nunquid enim de Hercule audiſti cibationes eius

B perinde ac certamina voluptatẽ videntib.afferre ſolitas eſſe? Sed ille,inquit Apollonius, Hercules erat: tibi verò quidnã virtutis ineſt ſceleſtiſſime?quod in te præclariſſimũ ſit, hoc ſolũ reſtat,vt nimia craſſitudine quãdoq.diſrũparis. Hæc ſunt quæ Rhodi philoſophatus eſt Apollonius. Poſtea in Ægyptum naui delatus, hæc quæ dicam geſſit memoratu digna. Alexandriæ ciues abſentem amabant A-

C pollonium,& vnanimiter omnes aduentũ eius deſiderabãt: ſunt enim *ſuperioris* Ægypti *incolæ* theologiæ plurimùm dediti;propterea vt eorũ mores viſurus accederet Apollonius, optabãt. Multis quoque ex Græcia in Ægyptum, contráque ex Ægypto in Græciam tranſeuntibus,& mores, inſtitutáque Ægyptiorum narrantibus.cupiebat Apollonius corã quandoque talia noſſe. Itaque cùm è naui deſcendens in vrbem pergeret,tan-

D quã Deum omnes aſpiciebant,tranſeuntíque velut ſacra ferenti omnes cedebant: cúmque maiore pompa quàm gentium princeps comitatus incederet,fortè prædones duodecim capitis damnati ad ſupplicium ducebantur. Eos cùm aſpexiſſet Apollonius, Non omnes,inquit,ſupplicio digni ſunt: & digito quendam illorum oſtendens,Ille, inquit,mentitus eſt. Tunc ad *carnifices*, à quibus ducebantur,conuerſus, Iubeo vos, inquit,

curſum ſiſtere, tardiúſque ad ſupplicij locum accedere, atque omnium vltimum hunc interfici. Is enim ſceleris huius nequaquam eſt particeps. Rectè igitur feceritis eorum mortem protrahentes, quoad palam fiat quos occidere, aut non occidere ſit meliùs. His dicendis quandiu poterat immoratus, ſermonem in lōgum protrahebat, quod aliàs facere minimè conſueuit. Cur autem id fecit, paulò pòſt apparebit. Cùm enim octo iam capita abſciſſa eſſent, eques citato curſu ad ſupplicij locum tendens, Pharioni parcite, clamabat: Nō enim latro eſt, ſed cōtra ſeipſum pœnarum timore mentitus eſt, atq. aliis tormentis veritatem fateri coacti, virum bonum hunc eſſe confeſſi ſunt. Quantùm autem lætitiæ ea res Ægyptiis attulerit, quíque in Apollonium plauſus excitati ſint, ſuperuacuum referre puto. Cúmque antea virum amarent, tum verò ſumma veneratione ſunt proſecuti.

A κελεύω τοῦ δρόμου, καὶ σχολαίτερον ἥκειν ἐπὶ τὸ ὄρυγμα, ὕστατόν τε ἀποκτεῖναι τοῦτον. μετέχει γὰρ οὐδὲν τῆς αἰτιάσεως. ἀλλ' ὑμεῖς γε ὅσια πράττοιτε, φειδόμενοι τούτων, βραχὺ μέρος ἡμέρας, οἷς λῷον ἦν μηδ' ἀποκτείνειν· καὶ ἄμφω διέτεινεν οἷς ἔλεγεν, οὐκ εἰωθὸς ἑαυτῷ ἀποτείνων μῆκος. τί δ' αὐτῷ σκοπὸς τούτου, αὐτίκα ἐδείχθη. ὀκτὼ γὰρ ἤδη ἀποτετμημένων τὰς κεφαλάς, B ἱππεὺς ἐλαύνων ἐπὶ τῷ ὀρύγματι, Φαρίωνος ἐβόα φείσασθε· μὴ γὰρ εἶναι λῃστὴν αὐτόν, ἀλλ' ἑαυτοῦ μὲν καταψεύσασθαι, δέει τοῦ στρεβλώσεσθαι, βασανισθέντων δὲ ἑτέρων, χρηστὸν ὁμολογεῖσθαι ἄνδρα. ἐῶ τὸ πήδημα τῆς Αἰγύπτου, καὶ ὅσον ἐπὶ τούτῳ ἐκρότησαν, καὶ ἄλλως θαυμαστικοὶ ὄντες.

Improbaſſe Apollonium Ægyptiorum ex animalibus ſacrificia. Tum de hippodromo Alexandria, & Claudio Imperatore. Hinc, qua ætate hominis ingenium maximè vigeat. Item Veſpaſiano obuiam iniſſe ſacerdotes Ægyptios, honorificéque illis de Apollonio locutum Veſpaſianum. CAP. IX.

QVVM templum aſcendiſſet, ornatus & apparatus, qui in eo erat, præclarus quidē, & Deo dignus, ſapientérque inſtitutus viſus eſt: taurorum autem anſeres, & animalia cetera, quæ ſacrificij cauſa ducebantur, minimè laudabat, & indigna conuiuiis Deorum eſſe dicebat. Interroganti autem ſacerdoti, *quid ſibi vellet, quòd* talia non ſacrificaret: imò potius velim tu mihi dicas, inquit Apollonius, quid *cauſæ ſit quapropter* tu talia ſacrifices. Cúmque ſacerdos diceret, Quis adeò *ſolers* eſt, vt Ægyptiorum inſtituta

ΑΝελθόντι δὲ αὐτῷ ἐς τὸ ἱερόν, ὁ μὲν κόσμος ὁ περὶ αὐτόν, καὶ ὁ ἐφ' ἑκάστῳ λόγος, θεῖός τε ἐφαίνετο, καὶ κατὰ σοφίαν ξυντεθείς. D τὸ δὲ τῶν ταύρων αἷμα, καὶ οἱ χῆνες, καὶ ὁπόσα ἐθύετο, οὐκ ἐπῄνει τὰ τοιάδε, οὐδὲ ἐς δαῖτας θεῶν ἦγεν. ἐρομένου δ' αὐτὸν τοῦ ἱερέως, τί μαθὼν, οὐχ οὕτω θύοι· σὺ μὲν, εἶπεν, ἀπόκριναί μοι μᾶλλον τί μαθὼν, οὕτω θύεις. εἰπόντος δὲ τοῦ ἱερέως, καὶ τίς οὕτω δεινός, ὡς διορθοῦσθαι τὰ Αἰγυπτίων;

πᾶς, ἔφη, ὁ σοφὸς, ἣν ἀπ' Ἰνδῶν ἥκῃ. καὶ βοῦν, ἔφη, ἀπανθρακιῶ τήμερον, καὶ κοινώνει τοῦ καπνοῦ ἡμῖν. οὐ γὰρ ἀχθέσῃ περὶ τὰς μοίρας, εἰ κἀκείνων οἱ θεοὶ δαίσονται. τηκομένου δὲ τοῦ πλάσματος, ὅρα, ἔφη, τὰ ἱερά. ποῖα, εἶπεν ὁ Αἰγύπτιος; ὁρῶ γὰρ οὐδὲν ἐνθάδε. ὁ δὲ Ἀπολλώνιος, οἱ δὲ Ἰαμίδαι, εἶπε, καὶ οἱ Τελεάδαι, καὶ οἱ Κλυτιάδαι, καὶ τὸ πᾶν τῶν Μελαμποδιδῶν μαντεῖον, ἐλήρησαν, ὦ λῷστε. τοσαῦτα μὲν περὶ πυρὸς εἰπόντες· τοσαύτας δὲ ἀπ' αὐτοῦ ξυλλεξάμενοι φήμας, ἢ τὸ μὲν ἀπὸ τῆς πεύκης πῦρ, καὶ ἀπὸ τῆς κέδρου, μαντικὸν ἡγῇ, καὶ ἱκανὸν δηλῶσαί τι· τὸ δὲ ἀπὸ πιοτάτου τε, καὶ καθαρωτάτου δακρύου καόμενον, οὐ πολλῷ αἱρετώτερον; εἰ δὲ ἐμπύρου σοφίας ᾔσθα ξυνετὸς, εἶδες ἂν καὶ ἐν τῷ τοῦ ἡλίου κύκλῳ πολλὰ δηλούμενα, ὁπότε ἀνίσχει. τούτοις ἐπέσκωπτε τὸν Αἰγύπτιον, ὡς ἀμαθῆ τῶν θείων. προσκειμένης δὲ τῆς Ἀλεξανδρείας ἵπποις, καὶ ξυμφοιτώσης μὲν ἐς τὸν ἱππόδρομον ἐπὶ τῇ θέᾳ ταύτῃ, μιαιφονούντων δὲ ἀλλήλοις, ἐπίπληξιν ὑπὲρ τούτων ἐποιεῖτο· καὶ παρελθὼν ἐς τὸ ἱερὸν, ποῖ, ἔφη, παρατενεῖτε ἀποθνήσκοντες, οὐχ ὑπὲρ τέκνων, οὔτε ἱερῶν; ἄλλως χραίνοιτε μὲν τὰ ἱερὰ, λύθρου μεστοὶ ἐς ταῦτα ἥκοντες, φθείροισθε δὲ εἴσω τειχῶν. καὶ Τροίαν μὲν ὡς ἔοικεν, ἵππος εἷς διεπόρθησεν, ὃν ἐσοφίσαντο οἱ Ἀχαιοὶ τότε. ἐφ' ὑμᾶς δὲ,

A valeat emendare? Quilibet ſapiens, inquit Apollonius, ſi modò ab Indis veniat. At enim ego, ſacerdos inquit, bouem comburam hodie: tu verò ſaltem odoris particeps nobiſcū fias velim. Neque enim hanc ſortem arbitror dedignaberis, ſiquidem & Dij ipſa fruuntur. Liqueſcētē igitur tauri corpore, Reſpice, inquit Apollonius, ſacra. Quænam verò reſpiciā? inquit Ægyptius. ego enim hic video nihil. B Tunc Apollonius, Iamidæ, inquit, & Teleadæ, atque Clytiadæ, & omnis omnino Melampodidarū diuinatio delirauit, optime vir, tam multa de igne locuta, tantáſq. ab eodem coniecturas capiens. Quin etiā abſurdiſſimum eſt, qui ex incenſa picea, aut cedro naſcitur, ignem arbitrari poſſe diuinationem aliquam nobis monſtrare. Hunc, qui ex pinguiſſimis, puriſſimíſque lachrymis manat, non multùm eſſe illo, quem dixi, præſtan- C tiorem ad vaticinia facienda putandum eſt. Quòd ſi igneæ ſapientiæ peritus eſſes, in Solis naſcentis circulo præmonſtrata videres permulta. His verbis Ægyptij ſacerdotis *ignorantiam* circa res diuinas cauillatus eſt Apollonius. Cùm omnis Alexandria equorum ſtudiis vehementer incumberet, atque in * hippodromo ad hoc ſpectaculum ciuitas vniuerſa conueniret, tantáque plerunque oriretur contentio decertantium, vt D ſeſe mutuò etiam perimerent, hunc morem grauiter redarguit Apollonius, & in templum veniens, Deſinite, inquit, mutuis cædib. ciuitatem perdere, non pro filiis, aut Deorum templis id facientes, ſed magis, vt tēpla polluatis, quandoquidem ſanguine conſperſi ad ea venitis, & intra muros cædes tantas perpetratis. Atqui Troiam, vt perhibent, vnus equus ſubuertit, quem tunc arte quadam Achiui ſtruxerant. Vos autem

* i. circo

contra vos ipſos equos ad currus A iungitis, per quos modeſtè, aut quietè viuere non licet. Delemini igitur non ab Atridis, aut Æacidis, ſed à vobis ipſis, quod nec ebrij quidem Troes vnquam fecerunt. Et in Olympiis quidem, vbi paleſtræ, pugillatoriæque & luctandi certamina exercentur; nemo pro certantibus moritur. Quibus forſitan eſt venia danda, ſi quis enixius *pro ſuo genere* contenderit. Vos autem hîc pro equis gladios nudatis, ſaxíſque B inuicem vos percutitis, atque etiam ignis vrbi quandoque iniicitur, vnde

Homer. Iliad. Δ.

—fremitus clamórque iacentûm
Vincentûmque oritur, tellúſque cruore madeſcit.

Reueremini communem Ægypti craterem Nilum. Sed quid ego Nilum cõmemoro apud homines altius per ſanguinem, quam per aquam vadere conſuetos? Multa inſuper alia in hanc ſententiam locutus, grauiter illos obiurgauit, vt refert Damis. C Cùm Veſpaſianus apud gentes Ægypto finitimas dignitatem imperatoriam ſibi aſciuiſſet, atque illinc in Ægyptum tranſiret, Dion & Euphrates, de quibus poſtea latius eſt dicendum, ipſum ab incœpto dehortabantur. Nam poſt primum Imperatorem, à quo Romana reſpublica rectè fuerat inſtituta, tam ſæuæ tyrannides imperium inuaſerant annos circiter quinquaginta, vt neque D Claudius, qui intra hoc ſpatium annos fermè tredecim imperauit inter bonos enumerandus videatur. Is enim annos natus quinquaginta imperium eſt adeptus, quo tempore in hominibus vigere maximè ſolet ingenium, *omnémque doctrinam cupidè amplecti. ſed quamuis ad eam ætatem perueniſſet*, iuuenilibus tamen æſtuabat affectibus, ita vt imperium à mulierculis depaſci

ἅρματα ἔζευκται, καὶ ἵπποι, δι' οὓς οὐκ ἔστιν ὑμῖν βιωσίμως ζῆν. ἀπόλλυσθε γοῦν οὐχ ὑπὸ Ἀτρειδῶν, οὐδ' ὑπὸ Αἰακιδῶν, ἀλλ' ὑπ' ἀλλήλων· ὃ μηδ' οἱ Τρῶες ἐν τῇ μέθῃ. κατὰ μὲν οὖν τὴν Ὀλυμπίαν, οὗ πάλης, καὶ πυγμῆς, καὶ τοῦ παγκρατιάζειν ἆθλα, οὐδεὶς ὑπὲρ * ἀθλητῶν ἀπέθανεν. ἴσως καὶ ξυγγνώμης μὲν ὑπαρχούσης, εἴ τις ὑπερσπουδάζοι περὶ τὸ ὁμόφυλον. ὑπὲρ δὲ ἵππων ἐνταῦθα, γυμνὰ μὲν ὑμῖν ἐπ' ἀλλήλοις ξίφη, βολαὶ δὲ ἕτοιμοι λίθων. πῦρ δὲ ἐπὶ τὴν τοιαύτην πόλιν, ἔνθα ἅμ' οἰμωγή τε, καὶ *ὕβρις ὀλλύντων τε, καὶ ὀλλυμένων, ῥέε δ' αἵματι γαῖα. αἰδέσθητε τὸν κοινὸν τῆς Αἰγύπτου κρατῆρα Νεῖλον. ἀλλὰ τί Νείλου μνημονεύω πρὸς ἀνθρώποις, αἵματος ἀναβάσεις διαμετροῦντας μᾶλλον, ἢ ὕδατος; καὶ πλείω ἐς τὴν ἐπίπληξιν ταύτην διηνέχθη ἕτερα, ὡς διδάσκει ὁ Δάμις. Οὐεσπασιανοῦ δὲ τὴν αὐτοκράτορα ἀρχὴν προνοοῦντος περὶ τὰ ὅμορα τῇ Αἰγύπτῳ ἔθνη, καὶ προχωροῦντος ἐπὶ τὴν Αἴγυπτον, Δίωνες μὲν, καὶ Εὐφράται, περὶ ὧν μικρὸν ὕστερον εἰρήσεται, χαίρειν παρεκελεύοντο. μετὰ γὰρ τὸν πρῶτον αὐτοκράτορα, ὑφ' οὗ τὰ Ῥωμαίων διεκοσμήθη, τυραννίδες οὕτω χαλεπαὶ ἴσχυσαν ἐπὶ πεντήκοντα ἔτη, ὡς μηδὲ Κλαύδιον τὰ μέσα τούτων τρισκαίδεκα ἄρξαντα, χρηστὸν δόξαι. καίτοι πεντηκοντούτης μὲν ἐς τὸ ἄρχειν παρῆλθεν, ὅτε νοῦς μάλιστα ὑγιαίνει ἀνθρώπων, παιδείας δὲ ξυμπάσης ἐδόκει ἐρᾶν· ἀλλὰ κἀκεῖνος τηλικόσδε ὤν, πολλὰ μειρακιῶδη ἔπαθε, καὶ μηλόβοτον γυναίοις τὴν ἀρχὴν

x. ὑπὸ ἀθλ.
x. εὐχωλὴ πέλει ἀνδρῶν

ἀνῆκεν, ὑφ' ὧν οὕτω ῥαθύμως ἀπέθανεν, ὡς καί τοι προεγνωκὼς ἃ μέλλοι πείσεσθαι, μὴ δ' ἃ προῄδει φυλάξασθαι. Ἀπολλώνιος δὲ παραπλησίως μὲν Εὐφράτῃ, καὶ Δίωνι, περὶ τούτων ἔχαιρε· μελέτην δ' αὐτὰ οὐκ ἐποιεῖτο ἐς πάντας, ῥητορικωτέραν ἡγούμενος τὴν τοιάνδε ἰδέαν τοῦ λόγου. προσιόντι δὲ τῷ αὐτοκράτορι, τὰ μὲν ἱερὰ πρὸ πυλῶν ἀπήντα, καὶ τὰ τῆς Αἰγύπτου τέλη, καὶ οἱ νόμοι, καθ' οὓς Αἴγυπτος τέτμηται. φιλόσοφοί τε ὡσαύτως, καὶ σοφία πᾶσα. ὁ δὲ Ἀπολλώνιος, οὐδὲν ἐπολυπραγμόνει τούτων, ἀλλὰ ἐσπούδαζεν ἐν τῷ ἱερῷ. διαλεχθεὶς δὲ ὁ αὐτοκράτωρ γενναῖά τε, καὶ ἥμερα, καὶ διελθὼν λόγον οὐ μακρὸν, ἐπιδημεῖ ἔφη ὁ Τυανεύς; ναὶ ἔφασαν, βελτίους ἡμᾶς ἐργασάμενος. πῶς ἂν ξυγγένοιτο ἡμῖν; ἔφη· σφόδρα γὰρ δέομαι τοῦ ἀνδρός. ἐντεύξεταί σοι περὶ τὸ ἱερὸν, ὁ Δίων εἶπε. πρὸς ἐμὲ γὰρ δεῦρο ἥκοντα ὡμολόγει ταῦτα. ἴωμεν, ἔφη, ὁ βασιλεὺς, προσευξόμενοι μὲν τοῖς θεοῖς, ξυνεσόμενοι δὲ ἀνδρὶ γενναίῳ· ἐντεῦθεν ἀνέφυ λόγος, ὡς ἐνθύμιον αὐτῷ ἡ ἀρχὴ γένοιτο πολιορκοῦντι τὰ Σόλυμα, μεταπέμποιτο δὲ τὸν Ἀπολλώνιον ὑπὲρ βουλῆς τούτων· ὁ δὲ παραιτοῖτο ἥκειν ἐς γῆν, ἣν ἐμίαναν οἱ ἐν αὐτῇ οἰκοῦντες, οἷς τε ἔδρασαν, οἷς τε ἔπαθον. ὅθεν αὐτὸς ἐλθεῖν ἐς Αἴγυπτον, τὴν μὲν ἀρχὴν ἐκτημένος, διαλεξόμενος δὲ τῷ ἀνδρὶ, ὁπόσα δηλώσω.

A ſineret, à quibus adeò ignominioſè interfectus eſt, vt licet quod paſſurus eſſet, præcognoſceret, cauere tamen quæ præuiderat, non valuerit. Apollonius autem pariter ac Dion & Euphrates in iis gaudebat; ſed non palàm opinionem ſuam diuulgabat, putans hanc materiam eloquentiorem dicendi characterem flagitare. Venienti Imperatori ſacer- B dotes Ægyptij ad portas obuiã proceſſere, myſteria, legéſq., quibus Ægyptus regitur, ſecum portantes: inſuper philoſophi, atq. omnes ſapientes eodem venerunt. Verùm Apollonius hæc omnia miſſa faciens, in templo cum ſuis philoſophabatur. Imperator igitur cùm generoſè & benignè homines illos non longa tamen oratione allocutus eſſet, verſaretúrne apud ipſos Tyaneus interrogauit. Illi verò eum apud ſe eſſe reſponderunt: atque illud etiam adie- C cere, ſe ab eo quotidie fieri meliores. Vbi ergo illum inueniam, inquit Imperator. multùm namq. illius opera indigeo. In templo ipſum, vt opinor, inuenies, inquit Dion. Huc enim venienti mihi illic ſe futurum eſſe pollicitus eſt. Eamus igitur, inquit rex, Diis vota facturi, & hominem verè generoſum allocuturi. Deinde ſermo ab Imperatore ortus eſt, quo pacto dum Hieroſolyma obſideret de accipiendo imperio cogitauerat, Apolloniúmque propterea accerſierat, vt D ſecum de ea re cõſultaret: ille autem profectionem abnuerat, quod nollet terram attingere, quam habitatores polluerant, partim ob ea, quæ ipſi patrauerant, partim ob ea, quæ ab aliis fuerant paſſi. Quapropter in Ægyptum venire conſtitui, vt prouinciæ imperium acciperem, & virum iſtum alloquerer. Quæ verò deinceps fuerint collocuti, ſtatim explicabo.

Quid Veſpaſianus cum Apollonio locutus fuerit, qualémque regem eſſe oporteat. Deinde quotum annum ætatis agens imperium adeptus fuerit Veſpaſianus. Hinc de Vitellij ſceleribus, & quid prædixerit Veſpaſiano Apollonius. CAP. X.

SACRIFICIIS peractis, Imperator prius quàm ſufficienter ſatis ciuitatum legatis reſpondiſſet, Apollonium ſalutauit: & precabundo ſimilis, Regem me facito, inquit. Cui Apollonius, Feci, inquit, iam Deos adorans precatus ſum, vt rex iuſtus eſſes, generoſus, modeſtus, & ciuitatum iuſtus gubernator, & tanquã legitimus pater. His ſermonib. plurimùm gauiſus eſt rex (namque auditis illis vniuerſus populus in tẽplo exclamauit) tanquam iis, quæ fuerant dicta conſentiens. Conuerſus inde rex ad Apollonium: Quale tibi, inquit, viſum eſt Neronis imperium? cui Apollonius: Nero forſan, inquit, citharam aptare nouerat: Imperium vero contentione, remiſſionéque dedecorauit. Moderatum, inquit rex, & in mediocritate conſtitutum regem eſſe iubes. Non ego, inquit Apollonius, ſed Deus ipſe, qui æquitaté mediocritate definiit. Optimi verò his de rebus conſiliarij ſunt homines iſti: (Dione & Euphrate digito monſtratis) nondum enim in contentionem cum illis venerat. *Tunc rex manibus ad cælum ſublatis*, O Iupiter, inquit, vt ego ſapientibus imperem, & mihi ſapientes. Et conuerſus ad Ægyptios, Ex me, inquit, perinde atque ex Nilo quæcunque vultis haurite. Hoc modo paulùm reſpirare viſi ſunt Ægyptij à malis, quæ iamdiu perpeſſi fuerant. Cùm è templo rex deſcenderet, Apollonium manu tenens in regiam duxit, ibíque illum his eſt verbis allocutus; Vereor, inquit, ne fortè ſupra quàm deceat, iuuenis

A Θύσας δέ, καὶ οὔπω χρηματίσας κατ' ἀξίαν ταῖς πόλεσι, προσεῖπε τὸν Ἀπολλώνιον· καὶ ὥσπερ εὐχόμενος αὐτῷ, ποίησόν με, ἔφη, βασιλέα. ὁ δέ, ἐποίησα, ἔφη*. ἤδη γὰρ εὐξάμενος, βασιλέα δίκαιόν τε, καὶ γενναῖον, καὶ σώφρονα, καὶ πολιᾷ κεκοσμημένον, καὶ πατέρα *γνησίον, ἃ δήπου παρὰ τῶν θεῶν ᾔτουν ταῦτα ἐγώ. ὑπερησθεὶς δὲ τούτοις ὁ βασιλεύς, καὶ γὰρ ἐβόησε τὸ ἐν τῷ ἱερῷ πλῆθος, ξυντιθέμενοι τῷ λόγῳ, τί σοι, ἔφη, Νέρωνος ἀρχὴ ἐφαίνετο; καὶ ὁ Ἀπολλώνιος, Νέρων, εἶπε, κιθάραν μὲν ἴσως ᾔδει ἁρμόττεσθαι, τὴν δὲ ἀρχὴν ᾔσχυνεν ἀνέσει, καὶ ἐπιτάσει. ξύμμετρον οὖν, εἶπε, κελεύεις εἶναι τὸν ἄρχοντα; οὐκ ἐγώ, εἶπε, θεὸς δέ, τὴν ἰσότητα μεσότητα ὁρισάμενος. ἀγαθοὶ δὲ τούτων ξύμβουλοι καὶ οἵδε οἱ ἄνδρες, τὸν Δίωνα δείξας, καὶ τὸν Εὐφράτην, μήπω αὐτῷ ἐς διαφορὰν ἥκοντα. τότε δὴ ἀνασχὼν ὁ βασιλεὺς τὰς χεῖρας, ὦ Ζεῦ, ἔφη, σοφῶν μὲν ἐγὼ ἄρχοιμι, σοφοὶ δὲ ἐμοῦ. καὶ ἐπιστρέψας ἑαυτὸν ἐς τοὺς Αἰγυπτίους, ἀρύεσθε, εἶπεν, ὡς Νείλου, καὶ ἐμοῦ. ἡ μὲν δὴ Αἴγυπτος, ὧδε ἀνέσχεν, ἀπειρηκότες ἤδη δι' ἃ ἐπιέζοντο. καλιὼν δὲ τοῦ ἱεροῦ, ξυνῆψε τῷ Ἀπολλωνίῳ τὴν χεῖρα, καὶ παραγαγὼν αὐτὸν ἐς τὰ βασίλεια, ἴσως, ἔφη, μειρακιώδης ἐνίοις δοκῶ,

γρ. εἶπε.

γρ. παίδων γνησίων.

βασιλείας ἁπτόμενος περὶ ἔτος ἑξηκοστὸν τοῦ βίου. δώσω οὖν ἀπολογίαν, ὡς ἀπολογοῖο ὑπὲρ ἐμοῦ τοῖς ἄλλοις. ἐγὼ γὰρ πλούτου μὲν ἡττηθεὶς, οὐδ' ἐν μειρακίῳ ποτὲ οἶδα. τὰς δὲ ἀρχάς τε, καὶ τὰς λαμπρότητας, ὁπόσαι τῇ Ῥωμαίων ἀρχῇ προσήκουσιν, οὕτω σωφρόνως, καὶ μετρίως διεθέμην, ὡς μήτε ὑπέρφρων, μήτ' αὖ καταπεπληγὼς δόξαι. νεώτερα δὲ οὐδ' ἐπὶ Νέρωνα ἐνεθυμήθην· ἀλλ' ἐπειδὴ τὴν ἀρχὴν, εἰ καὶ μὴ κατὰ νόμους, παρ' ἀνδρὸς γοῦν αὐτοκράτορος παραλαβὼν εἶχεν, ὑφιέμην αὐτῷ διὰ τὸν Κλαύδιον, ὃς ὕπατόν τε ἀπέδειξέ με, καὶ ξύμβουλον τῶν ἑαυτοῦ. καὶ νὴ τὴν Ἀθηνᾶν, ὁπότε Νέρωνα ἴδοιμι ἀσχημονοῦντα, δάκρυά μοι ἐξέπιπτεν, ἐνθυμουμένῳ τὸν Κλαύδιον, ὑφ' οἵου καθάρματος τὸ μέγιστον τῶν ἑαυτοῦ ἐκληρονομήθη. ὁρῶν δὲ μηδ' ὁπότε Νέρων ἐκ ποδῶν γέγονεν, ἐπὶ τὸ λῷον μεθιστάμενα τὰ τῶν ἀνθρώπων, ἀλλ' οὕτως ἀτίμως τὴν ἀρχὴν πράττουσαν, ὡς ἐπὶ Βιτελλίῳ κεῖσθαι, θαρρῶν ἤδη* ἐπ' αὐτὴν εἶμι. *κ. δὴ ἐν* πρῶτον μὲν, ἐπειδὴ βούλομαι τοῖς ἀνθρώποις παρασχεῖν ἑαυτὸν πολλοῦ ἄξιον· εἶτα, ἐπειδὴ πρὸς ἄνθρωπον ὁ ἀγὼν ἔσται κραιπαλῶντα. Βιτέλλιος γὰρ, μύρῳ μὲν λοῦται πλεῖον, ἢ ἐγὼ ὕδατι, δοκεῖ δέ μοι καὶ ξίφει πληγεὶς, μύρον ἐκδώσειν μᾶλλον, ἢ αἷμα. οἴνῳ δὲ οἶνον ξυνάπτων, μαίνεται, καὶ κυβεύει μὲν, δεδιὼς μή τι αὐτὸν οἱ πεττοὶ σφήλωσιν· ὑπὲρ δὲ ἀρχῆς ἀναρριπτεῖ παίζων. ἑταίραις

A imperium videat accepiſſe, qui annũ ſexageſimum natus regnum inuaſerim. Huius igitur rei excuſationem faciam, vt alios quoque mecum ſimul excuſatos reddam: ego diuitiarum cupiditati me nunquam ſuccubuiſſe, nec in ipſa quidem adoleſcentia memini. Dignitates verò, & magiſtratus, qui Romano imperio ſubſunt, adeò modeſtè temperatéque geſſi, vt nunquam, aut elatus nimis, aut rurſus humilis abiectúſve apparuerim. B Res autem nouas moliri ipſo viuente Nerone, nec tentaui: ſed cùm ipſe imperium, quanquam non ſecundum leges, attamen ab Imperatore accepiſſet, me illi ſubmiſi, propter Claudium, qui me Conſulem, & arcanorum conſiliarium fecerat. Atque ita me Pallas adiuuet, vt Neronem intuitus, tam turpiter, inhoneſtéque viuentem, plerunque ſum lachrymatus, cogitans quàm ſceleſtum hominem ſummi imperij heredem Claudius C ſortitus eſſet: Vidénſque rurſus poſt Neronis mortem ad hominem nihilo meliorem delatum imperium, ita vt non minus turpiter ſub Vitellio, quàm ſub Nerone iaceret, *nunc fidenter ad imperandum me accingo*. Primò quidem volens me ipſum plurimi dignum hominibus exhibere. Deinde quia cum homine crapuloſo, delitioſóque mihi certandum eſſe intelligebam. Vitellius enim in ſe lauando D plus vnguenti quàm ego aquæ conſumit, vt videatur gladio percuſſus, vnguentum potius, quàm ſanguinem emiſſurus. Præterea vino vinum ſuperfundens furit. Teſſeris inſuper ludere nunquam ceſſat, ſemper timens ne talorum iactus ipſum fallat, & inter ludum de maximis imperij rebus, vtcunque ſors tulerit, diſponit. Meretricibus etiam

ſubditus, nuptiis inſidiatur; iucundiores inquiens amores eſſe, qui cum periculo habentur. Omitto laſciuias alias innumerabiles, ne tam turpia coram te proferam: néve Romanos, qui huius imperio ſubſunt, deſpicere videar. Deos igitur duces adſumo, vt vir mihi ſimilis conſiſtam: & ex te, Apolloni, fundamentum *ipſe iacio.* Te enim multa de Diis noſſe, & curarum mearum, quibus mare, ac terra ſubeſt, comitem & conſiliarium adſciſco; vt ſi propitia, fauſtáque à Diis ſigna dentur, hæc aggrediar: ſin contra, neque mihi, neque Romanis vtilia, quæ cogitaui, futura ſunt, ne fruſtra volentibus Diis, & inuitis omnia perturbem. Poſt hanc orationem Apollonius diuino numine afflatus, O Capitoline Iupiter, inquit, (te namque præſentibus rebus dominari cognoſco) teipſum huic conſerua, & iſtum tibi. Templum enim quod impiæ manus heſterna die incenderunt, hunc virum tibi inſtaurare, fata decreuerunt. Hæc verba cùm rex audiſſet, obſtupuit. Sed Apollonius, res ipſa, quæ à me dicta ſunt, demonſtrabit, ita vt mei nihil indigeas. tu verò illa agere perge, quæ rectè, prudentérque cogitaſti. Fortè per eos dies euenit, vt Romæ Domitianus Veſpaſiani filius contra Vitellium pro patris imperio pugnaret, cúmque hoſtes in Capitolio obſediſſet, illi clanculum fugientes templum incenderunt. Quæ res Apollonio citius innotuit, quàm ſi in Ægypto geſta fuiſſet. Hæc inter ſe collocuti, ab inuicem ſunt digreſſi, cùm Apollonius regi diceret non licere ſibi Indorum ſacra præ-

A δὲ ὑποκείμενος, ἐπιθόρυται ταῖς γεγαμημέναις· ἡδίω φάσκων τὰ μετὰ κινδύνων ἐρωτικά. ἐῶ τὰ ἀσελγέστερα, ὡς μὴ τοιαῦτα ἐπὶ σοῦ λέγοιμι, μὴ δὴ περιίδοιμι Ῥωμαίους ὑπὸ τοιοῦδε ἀρχθέντας. ἀλλ' ἡγεμόνας ποιοῦμαι τοὺς θεούς, ἀνὴρ γενοίμην ἐμαυτῷ ὅμοιος· ὅθεν ἐν σοὶ Ἀπολλώνιε, πεῖσμα ἐγὼ βάλλομαι. φασὶ γὰρ B πλεῖστά σε τῶν θεῶν αἰσθάνεσθαι, καὶ ξύμβουλον ποιοῦμαί σε φροντίδων, ἐφ' αἷς ἐστι γῆ, καὶ θάλαττα. ἵν' εἰ μὲν εὐμενῆ τὰ παρὰ τῶν θεῶν φαίνοιτο, πράττοιμι ταῦτα· εἰ δὲ ἐναντία, καὶ μηδὲ πρὸς ἐμοῦ, μηδὲ Ῥωμαίων, μὴ ἐνοχλοίην τοὺς θεοὺς ἄκοντας. ἐπιθειάσας δὲ ὁ Ἀπολλώνιος τῷ λόγῳ, C Ζεῦ, ἔφη, Καπιτώλιε, σὲ γὰρ τῶν παρόντων πραγμάτων βραβευτὴν οἶδα, φύλαττε σεαυτὸν μὲν τούτῳ, σεαυτῷ δὲ τοῦτον. τὸν γὰρ νεών, ὃν χθὲς ἄδικοι χεῖρες ἐνέπρησαν, τόνδε σοι τὸν ἄνδρα ἀναστῆσαι πέπρωται. θαυμάσαντος δὲ τοῦ βασιλέως τὸν λόγον αὐτά, εἶπεν, αὐτὰ δηλώσει, καὶ μηδὲν ἐμοῦ D δέου· πέραινε δὲ, ἃ ὀρθῶς ἐβουλεύσω. ξυμβεβήκει δὲ ἄρα κατὰ τὴν Ῥώμην, Δομετιανὸν μὲν τὸν Οὐεσπασιανοῦ παῖδα, διατετάχθαι πρὸς τὸν Βιτέλλιον ὑπὲρ τῆς ἀρχῆς τοῦ πατρός. πολιορκίας δὲ αὐτὸν περισχούσης ἐν τῷ Καπιτωλίῳ, διαπεφευγέναι τοὺς πολιορκοῦντας, τὸν νεὼν δὲ ἐμπεπρῆσθαι· καὶ τῷ Ἀπολλωνίῳ φαίνεσθαι πολλῷ θᾶττον, ἢ κατ' Αἴγυπτον ἐπράττετο. τοσαῦτα σπουδάσαντες, ὁ μὲν, ἀπῆλθε τοῦ βασιλέως, εἰπὼν μὴ ξυγχωρεῖν αὐτῷ τὰ Ἰνδῶν πάτρια

χ. ἀπο — κατὰ μεσημβρίαν, *ἀλλ᾽ ὅ, τι περ ἂν ἐκεῖνοι πράττοιεν· ὁ δὲ, ἀνέλαμπέ τε ἔτι μᾶλλον, καὶ οὐ ξυνεχώρει τοῖς πράγμασι διαφεύγειν ἑαυτὸν, ἀλλ᾽ ὡς βεβαίων τε, καὶ αὐτῷ καθωμολογημένων εἴχετο δι᾽ ἃ ἤκουσε.

A termittere, quæ circa meridiem celebrare mos eſt. Rex autem agendis rebus alacriter incumbebat, tanquam firmato, ſtabilitóque regno, ob ea, quæ ab Apollonio audiuerat.

De Dione & Euphrate ad Veſpaſianum ab Apollonio intromiſſis. Hinc quid de Tiberio, Caio, Claudio, Nerone, Galba, Othone, Vitellio, Cæſaribus, Veſpaſianus dixerit. Tum Euphratem & Dionem ſuaſiſſe Veſpaſiano, vt occuparet rempublicam Romanam libertatis cupidam. CAP. XI.

Τῇ δ᾽ ὑστεραίᾳ περὶ ὄρθρον ἐπὶ τὰ βασίλεια ἥκων ὁ Ἀπολλώνιος, ἤρετο τοὺς δορυφόρους ὅ, τι ὁ βασιλεὺς πράττοι. οἱ δὲ, ἐγρηγορέναι τε αὐτὸν πάλαι ἔφασαν, καὶ πρὸς ἐπιστολαῖς εἶναι. καὶ ἀκούσας τοῦτο, ἀπῆλθεν, εἰπὼν πρὸς τὸν Δάμιν, ὁ ἀνὴρ ἄρξει. ἐπανελθὼν δὲ περὶ ἥλιον ἀνίσχοντα, Δίωνα μὲν, καὶ Εὐφράτην ἐπὶ θύραις εὗρε. καὶ περὶ τῆς ξυνουσίας φιλοτίμως ἐρωτῶσι, διῆλθε τὴν ἀπολογίαν, ἣν τοῦ βασιλέως ἤκουσε· τὰς δὲ αὐτοῦ δόξας, ἀπεσιώπησεν. εἰσκληθεὶς δὲ πρῶτος, ὦ βασιλεῦ, εἶπεν, Εὐφράτης, καὶ Δίων, πάλαι σοι γνώριμοι ὄντες, πρὸς θύραις εἰσὶν, οὐκ ἀφρόντιδες τῶν σῶν. κάλει δὴ κἀκείνους ἐς κοινὸν λόγον· σοφὼ γὰρ τὼ ἄνδρε. ἀκλείστοις, ἔφη, θύρας παρέχω σοφοῖς ἀνδράσι· σοὶ δὲ καὶ τὰ στέρνα ἀνεῷχθαι δοκεῖ τἀμά. ἐπεὶ δὲ εἰσεκλήθησαν, ὑπὲρ μὲν τῆς ἐμαυτοῦ διανοίας, εἶπεν, ὦ ἄνδρες, ἀπολελόγημαι χθὲς Ἀπολλωνίῳ τῷ γενναίῳ· ἠκούσαμεν, ἦ δ᾽ ὁ Δίων, τῆς ἀπολογίας, καὶ νοῦν εἶχε. τήμερον δὲ, εἶπεν, ὦ φίλε Δίων,

B POSTRIDIE aurora iam exorta veniens ad regiam Apollonius, quidnam rex ageret ex *Satellitibus* quæſiuit. Qui illum iampridem ſurrexiſſe dixerunt, & tunc ſcribendis epiſtolis vacare. Quo audito diſceſſit Apollonius Damidi dicens, Vir imperabit. Iterum oriente Sole iam reuerſus, Dionem, Euphratémque ſtantes ad ianuam reperit, iiſque ſermonis heſterni cum rege habiti cauſam ſciſcitantibus, excu- C ſationem à rege factam narrauit: ſuam verò ſuper ea re ſententiam, opinionémque conticuit. Inde intromiſſus ad regem: Dion, inquit, & Euphrates familiares tui iamdudum ad fores expectant, rerum tuarum curatores proculdubiò diligentes. Illos igitur vocari iube, vt etiam communibus ſermonibus interſint, cùm ſint viri ſapientes. Tunc rex, Ego, inquit, ſapientibus viris D fores patere ſemper volo, tibi autem non fores modò, ſed pectus etiam meum apertum eſſe. Illis igitur intromiſſis, Ego, inquit rex, ô viri, heſterno die coram Apollonio viro generoſo propoſiti mei excuſatione feci. Audiuimus ipſam, inquit Dion, neque à ratione videtur fuiſſe aliena. Rex itaque ſermonem proſecutus, Hodie, inquit, amice Dion,

inſimul philoſophabimur de iis, quæ agenda eſſe conſultauimus, vt quàm optimè ad omnium hominum ſalutem, & accommodatiſſimè fiant. Cùm enim animaduerterem primò quidem Tiberium in crudeliſſimam, immaniſſimámque tyrannidem imperium transmutaſſe, deinde Caium Bacchanalibus inſanientem, Lydia ſtola indutum, bellorum, quæ nunquam fuerant, victoré in *res & mores* Romanos temerè debacchatū. Deinceps bonum Claudium, qui mulierum amore attonitus, non imperij ſolùm, ſed vitæ etiam eſt oblitus: ſiquidem ab ipſis, vt fertur, interfectus fuit. Neronem verò quid commemorem? de quo breui & omnia illius acta complectente ſententia ſatis dixit Apollonius, quòd intenſione, remiſſionéque imperium deformauerat. Quid autem Galbæ turbationes referam, qui in medio foro interemptus eſt, cùm ſibi meretricios filios adoptaſſet, Othonem & Piſonem? quòd ſi Vitellio omnium ſceleſtiſſimo imperium conceſſerimus, reuixiſſe Nero videbitur. Hæc itaque viri, cùm animaduerterem, & per eos, quos retuli tyrannos, in ſummum dedecus, ignominiámque deductum imperium viderem, conſultores vos elegi, deliberaturus quo pacto illud hominibus iam inuiſum, odioſúmque conſtituere ſit opus. Ad hæc Apollonius, Tibicen, inquit, valde ſapiés diſcipulos ſuos auditum mittebat ineptiſſimos tibicines, vt ex eis quo pacto canendum non eſſet, addiſcerent. Tu itaque rex quomodo imperandum non ſit ab iis, qui malè imperarunt, iam didiciſti. Quomodo autem oporteat imperare, deinceps conſiderabimus. Tunc Euphrates clanculum iam Apollonio inuidens,

A ξυμφιλοσοφήσωμεν ὑπὲρ τῶν βεβουλευμένων, ἵν' ὡς κάλλιστα, καὶ κατὰ σωτηρίαν τῶν ἀνθρώπων πάντα πράττοιμι. ἐννοῶν γὰρ πρῶτον μὲν τὸν Τιβέριον, ὡς ἐς τὸ ἀπάνθρωπόν τε καὶ ὠμὸν τὴν ἀρχὴν μετέστησεν, εἶτα τὸν ἐπ' ἐκείνῳ Γάϊον, ὡς διονυσομανῶν, καὶ λυδίζων τὴν στολὴν, καὶ πολέμοις νικῶν οὐκ ὄντας, ἐς πάντα τὰ Ῥωμαίων αἰσχρῶς ἐβάκχευσεν· εἶτα τὸν χρηστὸν

B Κλαύδιον, ὡς ὑπὸ γυναίων ἐμβροντηθεὶς, ἐπελάθετο τοῦ ἄρχειν, ἀλλὰ καὶ τοῦ ζῆν. ἀπέθανε γὰρ ὑπ' αὐτῶν ὥς φασι· Νέρωνος δὲ τί ἂν καθαπτοίμην, εἰπόντος Ἀπολλωνίου βραχὺν, καὶ ἀθρόον λόγον περὶ ἀνέσεώς τε, καὶ ἐπιτάσεως, αἷς Νέρων τὴν ἀρχὴν ᾔσχυνε; τί δ' αὖ περὶ ὧν Γάλβας ξυνετάραττεν εἴποιμι, ὃς ἐπ' ἀγορᾶς μέ-

C σης ἀπέθανεν, ἡταιρημένους ἑαυτῷ ποιῶν παῖδας, τὸν Ὄθωνα, καὶ τὸν Πείσωνα. εἰ δὲ καὶ Βιτελλίῳ τῷ πάντων ἀσελγεστάτῳ τὴν ἀρχὴν παραδοίημεν, ἀναβιῴη Νέρων. ὁρῶν οὖν, ὦ ἄνδρες, ὑφ' ὧν εἶπον τυραννίδων διαβεβλημένων τὸ ἄρχειν, ξυμβούλους ὑμᾶς ποιοῦμαι πῶς ἂν διαθείμην αὐτὸ, προσκεκρουκὸς ἤδη τοῖς ἀνθρώποις. πρὸς

D ταῦτα ὁ Ἀπολλώνιος, αὐλητὴς, ἔφη, τῶν πάνυ σοφῶν, τοὺς ἑαυτοῦ μαθητὰς παρὰ τοὺς φαυλοτέρους τῶν αὐλητῶν ἔπεμπε μαθησομένους πῶς δεῖ μὴ αὐλεῖν. τὸ μὲν δὴ πῶς δεῖ μὴ ἄρχειν, μεμάθηκας, ὦ βασιλεῦ, περὶ τούτων, οἳ πονηρῶς ἦρξαν. τὸ δ' ὅπως δεῖ ἄρχειν, σπουδάσωμεν. ὁ δ' Εὐφράτης, ἀφανῶς μὲν ἤδη ἐβάσκαινε τῷ Ἀπολλωνίῳ,

A προσκείμενον αὐτῷ τὸν βασιλέα ὁρῶν μᾶλλον, ἢ τοῖς χρηστηρίοις τοὺς ἐς αὐτὰ ἥκοντας. ἀνοιδήσας τὸ μεῖζον τότε, καὶ τὴν φωνὴν ἐπάρας παρ' ὃ εἰώθει, οὐ χρή, ἔφη, κολακεύειν τὰς ὁρμὰς, οὐδὲ ἀνοήτως συνεκφέρεσθαι τοῖς παρὰ τὴν ἀξίαν τι πράττουσι, καταρρυθμίζειν δὲ αὐτοὺς, εἴπερ φιλοσοφοῦμεν. καὶ γὰρ εἰ προσήκει πράττειν,
B ἔδει βουλευομένοις φαίνεσθαι· ταῦθ' ὃν πεπράξεται τρόπον κελεύεις λέγειν, οὔπω μαθὼν εἰ ὑπὲρ πρακτέων οἱ λόγοι. ἐγὼ δὲ Βιτέλλιον μὲν καταλυθῆναι κελεύω· μιαρὸν γὰρ τὸν ἄνδρα οἶδα, καὶ μεθύοντα ἀσελγείᾳ πάσῃ. σὲ δ' ἄνδρα εἰδὼς ἀγαθὸν, καὶ γενναιότητι προὔχοντα, οὔ φημι χρῆναι τὰ μὲν Βιτελλίου διορθοῦσθαι, τὰ σεαυτοῦ δὲ μήπω εἰδέναι. ὅσα μὲν δὴ αἱ μοναρ-
C χίαι ὑβρίζουσιν, οὐκ ἐμοῦ χρὴ μανθάνειν, ἀλλ' αὐτὸς εἴρηκας. γιγνώσκοις δ' ἂν ὡς νεότης μὲν ἐπὶ τυραννίδα πηδῶσα, προσήκοντα ἑαυτῇ πράττει. τὸ γὰρ τυραννεύειν οὕτως ἔοικε νέοις, ὡς τὸ μεθύειν, ὡς τὸ ἐρᾶν. καὶ νέος μὲν τυραννεύσας, οὔπω κακὸς, ἢν μιαιφόνος παρὰ τυραννίδα, καὶ ὠμὸς, καὶ ἀσελγὴς δόξῃ. γέροντος δὲ ἐπὶ τυραννίδα ἥκοντος, πρώτη αἰτία τὸ τὰ τοι-
D αῦτα βούλεσθαι. καὶ γὰρ ἢν φιλάνθρωπος φαίνηται, καὶ κεκοσμημένος, οὐκ ἐκείνου ταῦτα νομίζουσιν, ἀλλὰ τῆς ἡλικίας, καὶ τοῦ κατηρτυκέναι. δόξαι δὲ καὶ πάλαι τούτου καὶ νέος ἔτι ἐπιθυμήσας ἁμαρτεῖν. αἱ δὲ τοιαῦται ἁμαρτίαι, προσκεῖνται μὲν δυστυχίᾳ, προσκεῖνται δὲ δειλίᾳ. ἐδόκει * γάρ τις, εἰ κατα- [margin: χ. δεῖ γ.]

A quòd ei plus adhibere fidei regem videbat, quàm oraculis ſoleant ij, qui ad ea conſulenda accedunt, ac propterea ſupra modum inflatus, cùm altius, quàm conſueuerat vocem tuliſſet, Non opus eſt, inquit, pro eorum ſucceſſibus cuipiam adulari, neque cum illo temerè efferri, qui præter rationem aliquid egerit, ſed magis reprimere, cohiberéque tales decet, ſi viri philoſophi ſumus.
B Quæ enim vtrum agenda eſſent, cõſuluiſſe prius oportuit, ea quonam pacto ſint agenda, nos dicere iubes, nondũ ſciens, an de rebus *ſub actionẽ cadentibus* ſermo ſit futurus. Ego autem Vitellium funditus perdendum iudico, quòd virum ſceleratum eſſe ſciam, & in omnem libidinem, laſciuiámque profuſum. Te autem cùm virum bonum generoſúmque cognoſcam, decere non cenſeo Vitellium emendare, te verò ipſum
C ignorare. Quantas verò iniurias, contumeliáſve monarchiæ pariant, non ex me diſcas oportet, cùm earum pleraſque iam enumraueris. Nec iuuentutem ignoras, vbi compos tyrannidis facta fuerit, ſibi conſentanea operari. Tyrannidem namque exercere tam eſt iuuentæ conſentaneum, quàm amare, & ebrietati indulgere. Et iuuenis tyrannidem habiturus non omnino vitioſus habetur, ſi præter tyrannidem homicida, ſi crudelis, ſi laſci-
D uus non fuerit. Sin verò ſenex ad tyrannidem acceſſerit, primùm quòd talia cupiens id fecerit, accuſabitur. Quòd ſi humanus, benignúſq. apparuerit, non perſonæ, ſed ætati tribuetur, quæ in eo iam perfecta, & tanquã bonis condimentis imbuta ſit. Inſuper ſi quis iuuenis in hoc peccare cõcupiuerit, eius peccata, partim timiditati tribuentur, partim infortuniis. Viſi ſunt enim plerique qui tyran-

tyrannidem occuparunt: quíque eam depoſuere, quòd ipſos fortunæ ſuæ pœniteret, aut aliis occupare volentibus *cederent, quòd ipſos vtique tanquam viros formidarent.* Sed nos, quæ de infortuniis dici poſſent, omittamus. Timiditatis verò culpam quo pacto vitabis? præſertim cùm videaris Neronem metuiſſe, virum omnium timidiſſimum, atque ignauiſſimum? Quæ enim in ipſum Vindex meditatus eſt, ea per Herculem, nunc prima excuſationem omnem excludunt. Tu enim exercitum habebas, & copiæ, quas contra Iudæos dicebas, commodiores erant ad ſupplicium de Nerone ſumendum. Illi enim iamdudum deſciuerunt, non à Romanis tantùm, verumetiam ab hominibus vniuerſis. Qui enim vitam à ceteris ſeparatam viuentes, neque menſa cum ceteris, neque ſacris, neque ceremoniis vllis communicant, ij magis à nobis diſtare vidétur, quàm Suſa, aut Bactra, aut horum vtriſque remotiores Indi. Non igitur decuit rebellantes iſtos vlciſci, quos melius fuerat non viciſſe. Neronem verò omittere, quem nemo non manu propria optaſſet interficere, qui potu, vt ſic dixerim, humani ſanguinis gaudebat, & in mediis cædibus cantabat. Et ego quidem ad rumores, qui de te ferebantur, erectas aures ſemper habebam. Cúmque illinc aliquis veniens *triginta* Iudæorum millia abs te narraret interfecta, ruríúſque in pugna alia *quinquaginta* millia; ego venientem ſeorſum apprehendens interrogabam, cur non ipſe maius aliquod facinus aggreditur? Nunc autem cùm aduerſus Vitellium bellum ſuſceperis, quæ agenda conſuſuluiſti proſequere. Sunt enim & hæc laude digna. ſed quæ poſt hæc

γνοίης τῆς ἑαυτοῦ τύχης, τὸ ἐν νῷ τυραννεῦσαι παρεῖναι, ἢ τυραννεύοντι ἐκστῆναι ἑτέρῳ, δείσας *δή που αὐτὸν ὡς ἄνδρα. τὸ μὲν δὴ τῆς δυστυχίας, ἐάσθω. τὸ δὲ τῆς δειλίας, πῶς παραιτήσῃ; καὶ ταῦτα, Νέρωνα δοκῶν δεῖσαι τὸν δειλότατόν τε, καὶ ῥαθυμότατον. ἃ γὰρ ἐνεθυμήθη Βίνδιξ ἐπ' αὐτὸν, σὲ νὴ τὸν Ἡρακλέα ἐκάλει πρῶτον· καὶ γὰρ στρατιὰν ἔχει* εἶχες. καὶ ἡ δύναμις, ἣν ἐπὶ τοὺς Ἰουδαίους ἦγες, ἐπιτηδειοτέρα ἦν τιμωρεῖσθαι Νέρωνα. ἐκεῖνοι μὲν γὰρ πάλαι ἀφεστᾶσιν οὐ μόνον Ῥωμαίων, ἀλλὰ καὶ πάντων ἀνθρώπων. οἱ γὰρ βίον ἄμικτον εὑρόντες, καὶ οἷς μήτε κοινὴ πρὸς ἀνθρώπους τράπεζα, μήτε σπονδαὶ, μήτε εὐχαὶ, μήτε θυσίαι, πλέον ἀφεστᾶσιν ἡμῶν, ἢ Σοῦσα, καὶ Βάκτρα, καὶ οἱ ὑπὲρ ταῦτα Ἰνδοί. οὐκοῦν οὐδ' εἰκὸς ἦν τιμωρεῖσθαι τούτους ἀφισταμένους, οὓς βέλτιον ἦν μὴ κτᾶσθαι. Νέρωνα δὲ, τίς οὐκ ἂν εὔξαιτο τῇ ἑαυτοῦ χειρὶ ἀποκτεῖναι, μονονοὺ πίνοντα τὸ τῶν ἀνθρώπων αἷμα, καὶ ἐν μέσοις τοῖς φόνοις ᾄδοντα; καίτοι ἐμοῦ τὰ ὦτα ὀρθὰ ἦν πρὸς τοὺς ὑπὲρ σοῦ λόγους. καὶ ὁπότε τις ἐκεῖθεν ἀφίκοιτο τρισμυρίους Ἰουδαίους ἀπολωλέναι φάσκων ὑπὸ σοῦ, καὶ πεντακισμυρίους κατὰ τὴν ἐφεξῆς μάχην, ἀπολαμβάνων τὸν ἥκοντα, ξυμμέτρως ἠρόμην, τί δ' ὁ ἀνὴρ, μὴ μεῖζόν τι τούτων; ἐπεὶ δὲ τὸν Βιτέλλιον εἴδωλον πεποιημένος τοῦ Νέρωνος, ἐπ' αὐτὸν στρατεύεις, ἃ μὲν βεβούλευσαι, πρᾶττε· καλὰ γὰρ καὶ ταῦτα. τὰ δὲ ἐπὶ

χ. μή που

χ. ἰχ.

τούτοις, ὧδε ἐχέτω. Ῥωμαίοις τὸ δημοκρατεῖσθαι, πολλοῦ ἄξιον· καὶ πολλὰ τῶν ὄντων αὐτοῖς ἐπ' ἐκείνης τῆς πολιτείας ἐκτήθη. παῦε μοναρχίαν, περὶ ἧς τοιαῦτα εἴρηκας, καὶ δίδου Ῥωμαίοις μὲν, τὸ τοῦ δήμου κράτος, σαυτῷ δὲ, τὸ ἐλευθερίας αὐτοῖς ἄρξαι. τοσαῦτα τοῦ Εὐφράτου εἰπόντος, ὁρῶν ὁ Ἀπολλώνιος τὸν Δίωνα προστιθέμενον τῇ γνώμῃ· τουτὶ γὰρ καὶ τῷ νεύματι ἐπεδήλου, καὶ οἷς ἐπῄνει λέγοντα, μή τι, ἔφη, Δίων, τοῖς εἰρημένοις προσθήσεις*; νὴ Δί', εἶπε, τῇ μὲν, ὅμοια, τῇ δὲ, ἀνόμοια. τὸ μὲν γὰρ ὡς πολλῷ βελτίων ἂν ἦν Νέρωνα καταλύων μᾶλλον, ἢ τὰ τῶν Ἰουδαίων διορθούμενος, ἡγοῦμαι κἀμοὶ πρὸς σὲ εἰρῆσθαι. σὺ δὲ ἐῴκεις ἀγῶνα ποιουμένῳ, μὴ καταλυθῆναί ποτε αὐτόν. ὁ γὰρ ταραχὴν τῶν ἐκείνου πραγμάτων εὖ τιθέμενος, *ἐρρώννυέ ποι τὸν ἄνθρωπον ἐπὶ πάντας, οὓς κακῶς ἔρρωτο. τὴν δὲ ἐπὶ τὸν Βιτέλλιον ὁρμὴν ἐπαινῶ. τοῦ γὰρ τυραννίδα κατεσκηκυῖαν παῦσαι, μεῖζον ἡγοῦμαι τὸ μηδὲ ἐᾶσαι φῦναι. δημοκρατίαν δὲ, ἀσπάζομαι μὲν, καὶ γὰρ εἰ τῆς ἀριστοκρατίας ἥττων ἥδε ἡ πολιτεία, ἀλλὰ τυραννίδων τε, καὶ ὀλιγαρχιῶν αἱρετωτέρα τοῖς σωφρονοῦσι*· δέδια δὲ μὴ χειροήθεις ἤδη Ῥωμαίους αὗται αἱ τυραννίδες πεποιηκυῖαι, χαλεπὴν ἐργάσωνται τὴν μεταβολήν. καὶ μὴ δυνῶνται μήτε ἐλευθεριάζειν, μήτε πρὸς δημοκρατίαν ἀναβλέπειν. ὥσπερ οἱ ἐκ σκότους ἐς ἀθρόον φῶς βλέψαντες. ὅθεν φημὶ δεῖν τὸν μὲν Βιτέλλιον,

γ. προστίθεσαι

γ. ἐρρώννυ ἐμοὶ τ.

γ. σώφροσι

A ſequentur, ita mihi tradenda videntur. Romana ciuitas populari gubernatione plurimùm gaudet: Magnam enim eorum quæ poſſidet partem, ſub eiuſmodi admiratione adepta eſt. Omitte igitur monarchiam, de qua tam multa dixiſti, & poteſtatem Romani populi in integrum reſtitue: tibi verò hanc gloriam vendica, vt libertatis initium abs te Romani accipiant. Dum hæc loqueretur Euphrates, animaduertit Apollo-
B nius Dionem quoque in eadem eſſe ſententia, quòd & nutibus, & breuib. verbis oſtenderat, quibus dicentem laudabat Euphratem. An igitur, inquit Apollonius, iis quæ dicta ſunt aliquid addere vis ô Dion? Certè per Iouem, inquit ille: nam alicubi aptè, alibi minus rectè dixiſſe videtur Euphrates. Quòd enim melior fuerit Neronẽ perdendo, quàm Iudæos caſtigando, meritò contra te dictum, ô rex, videtur. Tu enim laboraſſe videris, vt inſuperabilis euaderet Ne-
C ro. Nam qui orientes aduerſas turbationes compeſcuit, ac ſedauit, is eum aduerſus omnes, quibus poſtea malefecit confirmaſſe videtur. Bellum autem contra Vitellium ſuſceptum laudo: conſtitutam enim iam tyrannidem ſoluere maius puto, quàm eandem naſcentem opprimere. Popularem quoque gubernationem veneror, quæ licet optimatum imperio inferior habeatur, tyrannide tamen & paucorum poten-
D tia optabilior eſt. Vereor autem ne tyrannidi iam aſſuefactis Romanis difficilis ſit huiuſmodi permutatio: ita vt neque in libertate degere, neque ad popularem gubernationem reſpicere poſsint, ceu qui ex tenebris in ſummam lucem repente deducti, ſplendorem luminis perferre nõ poſſunt. Quapropter cẽſeo Vitellium quidem imperio priuandũ eſſe,

A imperio priuandũ eſſe, ídq. quanto citius fieri poteſt, agendũ ſuadeo. ac te quidẽ bellum aduerſus ipſum parare dico oportere: illi verò non bellum, ſed ſuppliciũ indicere, ſi ipſum cœperis antea, quàm imperiũ deponat: quod non multò (vt arbitror) labore aſſequeris. Poſt hæc Romanis facultatem permitte, quancunque voluerint gubernandæ reipublicæ eligendi formam. Quòd ſi popularem elegerint gubernationem, concede. Id enim tibi multis regnis, multíſque Olympicis victoriis erit glorioſius, & vbíque in tota ciuitate pingêris, vbi æneæ ſtatuæ tibi erigentur, nobis verò materiam ſermonum ſuppeditabit, ita vt neque Harmodius, neque Ariſtogiton tibi conferri poſſint. Si verò monarchia magis illis placuerit, cui potius, quàm tibi tradent imperium? nam quod volens in commune contuleris, tibi certè potius, quàm alij cuipiam dabunt.

ἐξωθεῖν τῶν πραγμάτων. καὶ ὡς τάχιστά γε, καὶ ἄριστα τοῦτο ἔσται, γιγνέσθω. δοκεῖ δέ μοι παρασκευάζεσθαι μὲν ὡς πολεμήσοντα, πόλεμον δὲ αὐτῷ μὴ προκηρύττειν, ἀλλὰ τιμωρίαν, εἰ μὴ μεθεῖτο τῆς ἀρχῆς· κἂν ἕλῃς αὐτόν, τουτὶ δὲ ὑπάρξειν ἡγοῦμαί σοι μὴ πονήσαντι, δίδου Ῥωμαίοις αἵρεσιν τῆς αὐτῶν πολιτείας· κἂν μὲν αἱρῶνται B δημοκρατίαν, ξυγχώρει. τουτὶ γάρ σοι πολλῶν μὲν τυραννίδων, πολλῶν δὲ Ὀλυμπιάδων μεῖζον. καὶ πανταχοῦ μὲν γεγράψῃ τῆς πόλεως, πανταχοῦ δὲ ἑστήξεις χαλκοῦς, ἡμῖν δὲ ἀφορμὰς παραδώσεις λόγων, αἷς οὔτε Ἁρμόδιος, οὔτε Ἀριστογείτων παραβεβλήσεταί * τις. εἰ δὲ μοναρχίαν προσδέξαιντο, τίνι λοιπόν, ἀλλ' ἢ σοὶ ψηφίσαιντο τὴν ἀρχὴν πάντας; ἃ γὰρ ἔχων ἤδη τῷ κοινῷ παρήσεις, σοὶ δήπου μᾶλλον, ἢ ἑτέρῳ δώσουσι. γρ. ἀποδέξαιντο.

Apollonium multis rationibus confutaſſe Euphratis ac Dionis ſententiam: deinde perſuaſiſſe Veſpaſiano vt imperium aggrederetur. CAP. XII.

POST hæc verba ſilentium aliquandiu ſecutum eſt, regíſque facies mentis internum certamen indicabat. Namque cùm omnia tanquam Imperator ageret, dicerétque tunc eorum conſiliis auerti, dimoueríque imperio conſtabat. Abrupto autem ſilentio Apollonius, Permimium, inquit, viri aberrare mihi videmini, qui regem ab iis, quæ iamdudum conſultauerat deterrentes, in puerilem ambiguitatem, & huic tempori minimè opportunam conieceritis. Si mihi enim vires habenti, quas nunc is habet, conſulentíque, quid boni per eas homini-

Σιωπὴ μὲν δὴ ἐπὶ τούτοις ἐγένετο, καὶ τὸ πρόσωπον τοῦ βασιλέως γρ. μὲν οὖν ἀγῶνα ἐπεδήλου * τῆς γνώμης, ἐπειδὴ γρ. τῆς βουλῆς. πάνθ' ὥσπερ αὐτοκράτωρ χρηματίζων D τε, καὶ πράττων, ἀπάγεσθαι ἐδόκει τῆς βουλῆς ταύτης· καὶ ὁ Ἀπολλώνιος, δοκεῖτέ μοι, εἶπεν, ἁμαρτάνειν, ἀναλύοντες βασιλέα περὶ πραγμάτων ἤδη βεβουλευμένον, ἐς ἀδολεσχίαν * γρ. πολυλογίαν καθιστάμενοι μειρακιώδη, καὶ ἀωροτέραν τοῦ καιροῦ. εἰ μὲν γὰρ ἐμοὶ κεκτημένῳ δύναμιν καθάπερ * οὗτος, καὶ βουλομένῳ τι δρᾶσαι ἂν τῶν ἀνθρώ- γρ. ἐπιτρέπει οὖν.

ποις, ἀγαθὸν ξύμβουλοι τῶν τοιούτων ἐγίγνεσθε, προύβαινεν ἂν ὁ λόγος ὑμῖν. αἱ γὰρ φιλόσοφοι γνῶμαι, τοὺς φιλοσόφους τῶν ἀκροατῶν διορθοῦνται. ἀνδρὶ δὲ ξυμβουλεύοντας ὑπάτῳ, καὶ ἄρχειν εἰθισμένῳ, καὶ ᾧ ἕτοιμον ἐπειδὰν ἐκπέσῃ τῆς ἀρχῆς ἀπολωλέναι, τί δεῖ ἐπιπλήττειν, εἰ μὴ διωθεῖται τὰ παρὰ τῆς τύχης, ἀλλὰ δέχεται μὲν αὐτὰ ἥκοντα, βουλεύεται δὲ ὅπως χρήσεται σωφρόνως, οἷς ἔχει. ὥσπερ οὖν, εἰ ἀ-
ἐχ. ἀπλημία
θλητὴν ὁρῶντες εὐψυχίᾳ* τε κατεσκευασμένον, καὶ μήκει, καὶ τὴν ἁρμονίαν τοῦ σώματος εὐφυᾶ, ἐς Ὀλυμπίαν βαδίζοντα δι' Ἀρκαδίας ἤδη, προσελθόντες, ἐπὶ μὲν τοὺς ἀντιπάλους, ἐῤῥώνυμεν, ἐκελεύομεν δὲ αὐτὸν, ἐπειδὰν νικήσῃ τὰ Ὀλύμπια, μὴ κηρύττεσθαι τῆς νίκης, μὴ δὲ ὑπέχειν τὴν κεφαλὴν τῷ κοτίνῳ, ληρεῖν ἂν ἐδόξαμεν, ἢ παίζειν ἐς τοὺς ἑτέρων πόνους· οὕτως ἐνθυμούμενοι τὸν ἄνδρα· καὶ ὁπόση μὲν αἰχμὴ περὶ αὐτὸν, ὁπόσος δὲ χαλκὸς ἀστράπτει, πλῆθος δὲ ἵππων ὅσον, αὐτὸς δὲ ὡς γενναῖός τε,
ἐχ. φύλαξαι
καὶ σώφρων, καὶ πρέπων καταχεῖν* ἃ διανοεῖται, πέμπωμεν ἐφ' ἃ ὥρμησεν, αἴσια μὲν φθεγγόμενοι πρὸς
ἐχ. ἐπιτείνετε δ.
αὐτὸν, εὐφημότερα* δὲ τούτων προσεγγυῶντες· οὔτε γὰρ ἐκεῖνο ἐνεθυμήθητε, ὅτι δυοῖν παίδοιν πατὴρ οὗτος, οἳ στρατοπέδων ἤδη ἄρχουσιν, οἷς εἰ μὴ παραδώσει τὴν ἀρχὴν, ἐχθίστοις χρήσεται· καὶ τί λοιπὸν, ἀλλ' ἢ ἐκπεπολεμῶσθαι πρὸς τὸν ἑαυτοῦ οἶκον; τὴν δὲ ἀρχὴν ὑποδεξάμενος, θεραπεύσεται μὲν ὑπὸ τῶν ἑαυτοῦ παίδων,

A bus afferre poſſem, hoc modo conſuluiſſetis: rectè nimirum veſtra proceſſiſſet oratio. Philoſophicæ enim ſententiæ philoſophos auditores emendant & corrigunt. homini autem conſulentes imperiis, & magiſtratibus aſſueto, & cui depoſito principatu calamitas vltima & pernicies imminet; quid mirari opus eſt, ſi à fortuna oblata munera non repudiet? Rectum enim
B meo iudicio fuerat, vt illa venientia ſuſciperet, hortaríque vt ipſis modeſtè, & prudenter vteretur. Si quis enim athletam procero corpore, magnóque animo paratum, & membrorũ proportione bene compactum in Achaia ad Olympios ludos proficiſcentem intueretur, accedénſque fortiter contra aduerſarios pugnare cohortaretur, iuberétque illum parta victoria ne ſe præ-
C conis voce victorem declarari permitteret, néve coronam ex apio acciperet, delirare profectò, & aliorum labores illudere videretur. Idcirco nos ad præſens cogitantes, quantas hic vir copias habeat, quámque armis, & omni apparatu inſtructas, qualem inſuper, quantúmque habeat equitatum, ipſe præterea quàm generoſus, modeſtúſque ſit, & quæ agenda ſtatuerit perficere potens, ad incœpta
D perficienda mittamus, omnia fauſta, propitiáque ominantes, eíque his etiam feliciora pollicentes. Neque verò id forſitan cogitatis, duos ipſi filios eſſe duorum iam exercituum duces, quibus niſi imperium tradiderit, inimiciſſimis vſurus eſt. Quid igitur ſibi reliquum fiet, niſi vt contra propriam domum bellum gerere cogatur? ſin verò imperium ſuſceperit, coletur à filiis, ipſéque in ſemetipſo, in illo au-

tem filij innitentur: erúntque patris cuſtodes, non mercenarij coacti, non vultu, beneuolentiáque ſimulantes, ſed aptiſſimi, coniunctiſſimi, & amiciſſimi. Atque ego quidem de nulla republica ſum ſolicitus. viuo enim ſub Diis. Hominum verò gregem ob carentiam iuſti modeſtíque paſtoris, detrimenti quippiam pati moleſtè fero. Sicut enim vir vnus alios virtute ſuperans, popularem gubernationem ita tranſmutat, vt vnius hominis imperium eſſe videatur: ita vnius hominis principatus ad communem vtilitatem omnia dirigens, atque diſponens, inſtar populi meritò habendus erit. Non ſoluiſti, dicet quiſpiam, Neronis tyrannidem, ô Euphrates, neque tu Dion, neque tu Apolloni: non tamen quiſpiam nos propterea increpabit, neque timidos reputabit, ſi cùm plurimi philoſophi innumeras iam tyrannides deiecerint, nos in hoc illis inferiores habebimur, quòd nihil vnquam pro libertate egiſſe videamur. Quanquam ego quoad fieri per me potuit, Neronem ſim perſecutus, multa inter diſputandum contra eum dicens; pluribus etiam in crudeliſſimum Tigillinum, dum præſens eſſem, inuectus: Nam quòd in Hiſpania Vindicem adiuui; in Neronem propugnaculum parare viſus ſum. non tamen ob hoc me dicam tyrannum deieciſſe; neque vos, qui talia non egeritis, molliores, quàm philoſophos deceat, arbitrabor. Oportet enim philoſophum, quæ in mentem veniunt, ea proferre: modò rationem habeat, ne quid inſanè, furioſéve dicat. Viro autem conſulari, qui tyrannum detrudere meditetur, primò quidem magno conſilio opus eſt, vt ex improuiſo negocium aggrediatur;

A στηρίξεται δὲ ἐπ' αὐτὴν, καὶ ἐπ' αὐτοῦ οἱ παῖδες. δορυφόροις δὲ αὐτοῖς χρήσεται, μὰ Δί' οὐ μεμισθωμένοις, οὐδὲ ἠναγκασμένοις, οὐδὲ πλαττομένοις εὔνουν πρόσωπον, ἀλλ' ἐπιτηδειοτάτοις, καὶ φιλτάτοις. ἐμοὶ πολιτείας μὲν οὐδεμιᾶς μέλει, ζῶ* γὰρ ὑπὸ τοῖς θεοῖς· τὴν δὲ τῶν ἀνθρώπων ἀγέλην, οὐκ ἀξιῶ (κ. ζῶ δ.) φθείρεσθαι, χήτει βουκόλου δικαίου τε, B καὶ σώφρονος. ὥσπερ γὰρ εἷς ἀρετῇ προύχων, μεθίστησι τὴν δημοκρατίαν ἐς τὸ ἑνὸς ἀνδρὸς τοῦ ἀρίστου τὴν ἀρχὴν φαίνεσθαι, οὕτως ἡ ἑνὸς ἀρχὴ, πάντα ἐς τὸ ξυμφέρον τοῦ κοινοῦ προορῶσα, δῆμός ἐστιν. οὐ κατέλυσας, φησὶ, Νέρωνα. σὺ δὲ Εὐφράτα; Δίων δέ; ἐγὼ δέ. ἀλλ' ὅμως οὐδεὶς ἡμῖν ἐπιπλήττει τοῦτο, οὐδ' ἡγεῖται δειλοὺς, εἰ φιλοσόφων ἀνδρῶν C μυρίας ἤδη καθελόντων τυραννίδας, ἀπελείφθημεν ἡμεῖς, τοῦ δόξαι ὑπὲρ ἐλευθερίας τι πρᾶξαι· καίτοι τό γε ἐπ' ἐμοὶ, καὶ παρεταττόμην ἐς Νέρωνα, πολλὰ μὲν κακοήθως διαλεχθεὶς, τὸν ὠμότατον Τιγελλῖνον ἐπικόψας ἀκούοντα. ἃ δὲ περὶ τὰ ἑσπέρια τὴν χρείαν ὠφέλουν Βινδίκα, Νέρωνι δήπου ἐπετείχιζον. ἀλλ' οὔτε ἐμαυτὸν διὰ ταῦτα φήσω καθῃρη- D κέναι τὸν τύραννον, οὔτε ὑμᾶς. ἐπεὶ μὴ ταῦτ' ἐπράττετε, μαλακωτέρους ἡγήσομαι τοῦ φιλοσοφίᾳ προσήκοντος. ἀνδρὶ μὲν οὖν φιλοσόφῳ, τὸ ἐπὶ νοῦν ἐλθὸν εἰρήσεται. ποιήσεται δὲ οἶμαι λόγον τοῦ μή τι ἀνοήτως, ἢ μανικῶς εἰπεῖν. ὑπάτῳ δὲ ἐνθυμουμένῳ καταλῦσαι τύραννον, πρότερον μὲν δεῖ βουλῆς πλείονος, ἵν' ἐξ ἀφανοῦς προσβαίη τοῖς πράγμασιν·

εἶτ' ἐπιτηδείου σχήματος, ἐς τὸ μὴ παρορκεῖν δοκεῖν. εἰ γὰρ ἐπ' αὐτόν, ὃς ἀπέφηνεν αὐτὸν στρατηγόν, καὶ ᾧ τὰ βέλτιστα βουλεύσειν τε, καὶ πράξειν ὤμοσε, μέλλοι χρήσασθαι τοῖς ὅπλοις, ἀπολογήσασθαι δήπου τοῖς θεοῖς δεῖ πρότερον, ὡς ξὺν ὁσίᾳ ἐπιορκοῦντα· φίλων τε δεῖ πλειόνων· οὐ γὰρ ἀχαρακώτοις γε, οὐδὲ ἀφράκτοις χρὴ τοιαῦτα πράττειν· καὶ χρημάτων ὡς πλείστων, ἵν' ὑποποιήσαιτο τὰς δυνάμεις, καὶ ταῦτα ἐπιθέμενος ἀνθρώπῳ, τὰ ἐν πάσῃ τῇ γῇ κεκτημένῳ. τριβὴ δὲ ὁπόση* περὶ ταῦτα, ὅσοι δὲ χρόνοι· καὶ ταῦτα μὲν ἐνδέχεσθε ὅπῃ βούλεσθε. μὴ γὰρ ἐς ἔλεγχον ἴωμεν, ὧν ἐνεθυμήθη μέν, ὡς εἰκὸς ἐστί, ἡ τύχη δὲ οὐδὲ ἀγωνισαμένῳ* ξυνέλαβε. πρὸς δὲ ἐκεῖνο, τί ἐρεῖτε; τὸν γὰρ χθὲς ἄρχοντα, καὶ στεφανούμενον μὲν ὑπὸ τῶν πόλεων ἐν τοῖς δεῦρο ἱεροῖς, χρηματίζοντα δὲ λαμπροτέρως τε, καὶ ἀφθόνως, τοῦτον κελεύετε δημοσίᾳ κηρύττειν τήμερον, ὡς ἰδιώτης μὲν εἴη λοιπόν, παρανοῶν δὲ ἐπὶ τὴν ἀρχὴν ἦλθεν; ὥσπερ γὰρ ἐπιτελῶν τὰ δεδογμένα, προθύμοις δορυφόροις, οἷς τις οἷων ταῦτ' ἐνεθυμήθη, παραστήσεται, οὕτως εἰς τὸ μεθίστασθαι τῶν δοξάντων ἥκων, πολεμίῳ τῷ μετὰ ταῦτα ἀπιστουμένῳ χρήσεται.

* χ. ἴσα π.
* χ. συνέλαβε.

A deinde occaſione quadam conuenienti ne peieraſſe videatur. Si enim aduerſus eum, qui ſe ducem exercitus conſtituit, & cui rectè conſulere, & pro quo acturum omnia iurauit, arma ſit illaturus: primùm apud Deos excuſare ſe oportet, vt eorum conſenſu peieret: Multis inſuper amicis indiget. Neque enim ſine præſidio, ac ſtipatoribus aggredi rem eiuſmodi poteſt. Pecuniis inſuper multis ad vires comparandas egebit, is, præſertim B qui hominem ſit inuaſurus vbique terrarum dominantem. Ocium quoque ad hæc molienda, tempúſque longiſſimum requiritur. Atque hæc, vtcunque vultis accipite. *Abſit enim vt incurramus in reprehenſionem eorum quæ hic quidem, vt veriſimile eſt, cogitauit: fortuna autem ne certantem quidem adiuuit. Ad illud verò quid dicetis?* Etenim Imperatorem heri à ciuitatib. his ipſis in templis coronatum & iura populis *magnificè* danté, hodie *iubetis* per præconem edice- C re, poſthac regno dimiſſo priuatum ſe eſſe victurum, quòd regnum inconſultò ac temerè inuaſiſſet. Namque ſicut cogitata ad finem perducens, promptiſſimos cuſtodes habiturus eſt eos, quibus confiſus talia aggreſſus eſt: ita ſi mentem ab iis, quæ antea agenda ſibi viſa fuerant, permutauerit, acerrimis hoſtibus iiſdem vtetur.

Iuſſum à Veſpaſiano Apollonium, vt ſe, quomodo gubernandum ſit regnum, doceret, multa illi documenta, præceptáque dediſſe, nulli non regi accuratè ſeruanda.

Cap. XIII.

Ἄσμενος τούτων ἀκούσας ὁ βασιλεύς, εἰ τὴν ψυχήν, ἔφη, τὴν

Hæc libenter, iucundéque audiens rex, *Si in anima*, inquit,

habitaſſes mea , haudquaquam ita clarè , quæ cogitaueram , exprimere potuiſſes. Te igitur ſequar: nam diuinum eſſe arbitror, quicquid ex te prodit. Propterea quæcunque facere bonum regem oportet , me doce. Tunc Apollonius, Non à me docenda, inquit, ô rex poſcis. Regnum enim maxima res eſt omnium, quæ apud homines ſunt; nec vllo pacto doceri poteſt. Veruntamen quæ agendo, rectè agere meo iudicio videberis , ea referam. Diuitias igitur primùm magni æſtima, non quæ in occulto repoſitæ iacent (quid enim hæ ab arenæ cumulo differunt ?) nec ea , quæ ex collatione tributorum à gementibus hominibus proueniunt. Atrum enim ſordidúmque putandum eſt aurum , quod ex lachrymis oritur. Diuitiis autem optimè ſupra reges omnes vtêris, ſi cum egentibus eas communicaueris: Diuitibus autem permittes , vt facultatibus ſuis tutò frui poſſint. Ne tibi liceat , quodcunque volueris, caue. ſic enim rebus modeſtius vteris. Eminentiores ſpicas , quæcunque ſupra cæteras ſe attollunt, ne amputato. Iniuſta enim eſt in hoc Ariſtotelis ratio : ſed difficiles homines, moleſtóſque potius tanquam ſpinas è ſegetibus aufer, & res nouas molientibus terribilem te oſtende , minitando tamen magis, quàm puniendo. Lex verò tibi etiam rex dominetur. Eris enim in illis ferendis modeſtior , ſi tu quoque ipſas non contempſeris. Deos nunc magis, quàm antea venerare. maiora namque ab illis accepiſti : pro rebus etiam magnis illos precare. Quæ ad imperium attinent , tanquam rex adminiſtra: quæ autem ad corpus, tanquam priuatus. Talos autem, & ebrietatem, & amores , vt fugias

A ἐμὴν ᾤκεις, οὐκ ἂν οὕτω σαφῶς ἃ ἐνεθυμήθην ἀπήγγελλας· ἕπομαι δή σοι. θεῖον γὰρ ἡγοῦμαι τὸ ἐκ σοῦ πᾶν· καὶ ὁπόσα χρὴ τὸν ἀγαθὸν βασιλέα πράττειν, δίδασκε. καὶ ὁ Ἀπολλώνιος, οὐ διδακτά μοι*, ἔφη, ἐρωτᾷς. βασιλεία γὰρ, μέγιστον μὲν τῶν κατ' ἀνθρώπους, ἀδίδακτον δέ. ὁπόσα δ' οὖν μοι δοκεῖς πράττων, ὑγιῶς ἂν πρᾶξαι, B καὶ δὴ φράσω. πλοῦτον ἡγοῦ, μὴ τὸν ἀπόθετον· τί γὰρ ἂν βελτίων ἔστι τῆς ὁπόθεν δὴ ξυνενεχθείσης ψάμμου; μὴ δὲ τὸν φοιτῶντα παρ' ἀνθρώπων, οἳ τὰς ἐσφορὰς *ὀλοφύρονται. κίβδηλος* γὰρ ὁ χρυσὸς, καὶ μέλας, ἢν ἐκ δακρύων ἥκῃ. πλούτῳ δ' ἂν ἄριστα βασιλέων χρῷο, τοῖς μὲν δεομένοις ἐπαρκῶν, τοῖς δὲ πολλὰ κεκτημένοις παρέχων ἀσφαλῆ τὸν πλοῦ- C τον. τὸ ἐξεῖναί σοι πᾶν ὅ, τι βούλει, δέδιθι. σωφρονέστερον γὰρ αὐτῷ χρήσῃ. μὴ τέμνε τῶν ἀσταχύων τοὺς ὑψηλούς τε, καὶ ὑπεραίροντας· ἄδικος γὰρ ὁ τοῦ Ἀριστοτέλους λόγος· ἀλλὰ τὸ δύσνουν ἐξαίρει μᾶλλον, ὥσπερ τὰς ἀκάνθας τῶν λήιων. καὶ φοβερὸς δόκει τοῖς νεώτερα πράττουσι, μὴ ἐν τῷ τιμωρεῖσθαι, ἀλλ' ἐν τῷ τιμωρήσεσθαι. νό- D μος, ὦ βασιλεῦ, καὶ σοῦ ἀρχέτω· σωφρονέστερον γὰρ νομοθετήσεις, ἢν μὴ ὑπερορᾷς τῶν νόμων· θεοὺς θεράπευε μᾶλλον, ἢ πρότερον· μεγάλα μὲν γὰρ παρ' αὐτῶν εἴληφας, ὑπὲρ μεγάλων δὲ εὔχῃ. καὶ τὰ μὲν τῇ ἀρχῇ προσήκοντα, ὡς βασιλεὺς πρᾶττε· τὰ δὲ τῷ σώματι, ὡς ἰδιώτης. περὶ δὲ κύβων, καὶ μέθης, καὶ ἐρώτων, καὶ τοῦ δια-

κ. μα, ἐ

κ. ὀλοφύρονται.

κ. κίβδηλον

βεβλῆσθαι πρὸς ταῦτα, τί ἄν σοι παραινοίην, ὅν φασι μηδὲ ἐφ' ἡλικίας ταῦτα ἐπαινέσαι; παῖδες εἰσί σοι, βασιλεῦ, δύο, καὶ γενναῖοι, ὥς φασιν. ἄρχε τούτων μάλιστα. τὰ γὰρ ἐκείνοις ἁμαρτηθέντα, σὲ δήπου διαβαλεῖ. ἔστω δέ σοι καὶ ἀπειλὴ πρὸς αὐτοὺς, ὡς οὐ παραδώσεις τὴν ἀρχὴν σφίσιν, εἰ μήπου καλοί τε, καὶ ἀγαθοὶ μείνωσιν, ἵνα μὴ κληρονομίαν ἡγῶνται τὴν ἀρχὴν, ἀλλ' ἀρετῆς ἆθλον. τὰς δὲ ἐμπολιτευομένας ἡδονὰς τῇ Ῥώμῃ, πολλαὶ δὲ αὗται, δοκεῖ μοι, ὦ βασιλεῦ, ξυμμέτρως παύειν. χαλεπὸν γὰρ μεταβαλεῖν δῆμον ἐς τὸ ἀθρόως σῶφρον· ἀλλὰ δεῖ κατ' ὀλίγον ἐμποιεῖν ῥυθμὸν ταῖς γνώμαις, τὰ μὲν, φανερῶς, τὰ δὲ, ἀφανῶς διορθούμενος. ἀπελευθέρων τε, καὶ δούλων, οὓς ἡ ἀρχή σοι δίδωσιν, ἀνέλωμεν τρυφὴν, τοσούτῳ ταπεινοτέρως αὐτοὺς ἐθίσαντες φρονεῖν, ὅσῳ μείζονος δεσπότου εἰσί. τί λοιπὸν, ἀλλ' ἢ περὶ τῶν ἡγεμόνων εἰπεῖν, οἳ ἐς τὰ ἔθνη φοιτῶσιν; οὐ περὶ ὧν αὐτὸς ἐκπέμψεις· ἀριστίνδην γάρ που τὰς ἀρχὰς δώσεις· ἀλλὰ περὶ τῶν κληρωσομένων τὴν ἀρχήν. τούτων γὰρ, τοὺς μὲν προσφόρους τοῖς ἔθνεσιν, ἃ διέλαχον, φημὶ δεῖν πέμπειν, ὡς ὁ κλῆρος· Ἑλληνίζοντας μὲν, Ἑλλήνων ἄρχειν· Ῥωμαΐζοντας δὲ, ὁμογλώττων, καὶ ξυμφώνων. ὅθεν δὴ ταῦτ' ἐνεθυμήθην, λέξω. κατὰ τοὺς χρόνους οὓς ἐν Πελοποννήσῳ διῃτώμην, ἡγεῖτο τῆς Ἑλλάδος ἄνθρωπος οὐκ εἰδὼς τὰ Ἑλλήνων, καὶ οὐδὲ οἱ Ἕλληνές τι ἐκείνου ξυνίεσαν·

A quæ credit, promptior eſt. Non igitur tyrannidem exerceat vir audiendis calumniis promptus: neque popularem gubernationem gerat: tyrannis enim & populi gubernatio ſub ipſo erunt: [hoc eſt, indignationem quandam ex ipſo ſortientur:] neq; iudicet quicquã de nullo cùm cognoſcat. neque nauim regat: ſeditio enim in naui excitabitur. neq; exercitui præſit: nam *præclarè agetur cum aduerſario*. B neque philoſophetur qui ita diſpoſitus eſt: non enim verè de rebus opinabitur. Vobis igitur Euphrates abſtulit eſſe ſapientes: quos enim inanibus mendaciis ſeduxit, quo pacto ſeipſos ſapientia dignos putabunt, à qua abſiſtunt, non veriſimilia perſuaſi? Tum demulcens Apollonium Theſpeſion, Satis, inquit, de Euphrate, minutiſque rebus locuti ſumus: & vos quandoque inuicem conciliabimus, C quòd ſapiẽtis eſſe putemus *ſapiẽtum arbitrum eſſe*. vobis autem quis me conciliabit? opus eſt enim eum qui mentitus eſt, à mẽdacio *hoſtiliter obſideri*. Hæc vt voles ſeſe habebunt, inquit Apollonius, nos autem ad noſtra ſtudia reuertamur: hæc enim nos magis conciliabunt.

Apollonium rogatum à Gymnoſophiſtis narraſſe diligenter quæcunque apud ſapientes Indos viderat: quæcunque Nilum iuniorem ex illis ad Apollonium diſcendi gratia acceſiſſe. C*AP*. *VIII*.

ΕΡῶν δὲ ὁ Νεῖλος τῆς ἀκροάσεως τοῦ ἀνδρὸς καὶ μήν σε, ἔφη, προσήκει ἄρξαι τῆς σπουδαίας, διελθόντα ἡμῖν τήν τε ἀποδημίαν τὴν γενομένην σοι ἐς τὸ Ἰνδῶν ἔθνος, τάς τε ἐκεῖ σπουδὰς, ἃς ὑπὲρ λαμπροτέρων δήπου ἐποιεῖσθε. ἐγὼ δὲ, ἔφη, ὁ Θεσπεσίων, καὶ περὶ τῆς Φραώτου σοφίας ἀκοῦσαι ποθῶ.

D EXpetens autẽ Nilus diuturnum Apollonij ſermonem audire, Principium, inquit, ſtudiorum noſtrorum capere hinc oportet, vt peregrinationem ad Indos tuam ſigillatim nobis enarres, quáſq. cum illis egeris diſputationes: de rebus enim præclaris vos fuiſſe locutos ſcio. Ego autẽ, inquit Theſpeſiõ, & de Phraotis ſapientia audire aliquid cupio.

A Dicitis enim ſermonum ſuorũ imagines ab Indis deduci. Principium igitur orationis Apollonius ab iis ſumens, quæ in Babylonia geſſerat, quæcunque deinceps peracta fuerint, diligenter expoſuit. Illi autem ſumma attentione, iucunditatéque audierunt. Cúmque interim meridies aduenisſet, colloquium dimiſere. Id enim tempus Nudi etiam ſacrificiis peragendis impertiunt.

B Poſtmodum Apollonio, ſociiſque cœnantibus, Nilus ſuperuenit panes & olera, *atque bellaria* afferens: quæ partim ipſe manibus geſtabat, partim comitibus ferenda dederat, & vrbanè, feſtiuéque illos ſalutans, Sapientes, inquit, hæc hoſpitalia munera vobis mihíque mittunt. Ego enim vobiſcum ſum cœnaturus, non, *vt minimè vocatus*, vt inquiunt: nam egomet me ipſum inuitaui. Munus profectò periucundum, inquit Apollonius, affers, ô

C adoleſcens, te ipſum primò, ac mores tuos, qui verè quidem, & ſine dolo adames: cúmque Indorum, & Pythagoræ ſapientiam diligas, hic apud me accumbe, & cœna. Accumbant, inquit ille: epularum verò non tibi tantum eſt, vt explere me poſſis. Videris, inquit Apollonius, multi cibi eſſe, & ad comedendũ validus. Imò verò validiſſimus, inquit ille, qui tantis, támque lautis epulis abs te nu-

D per appoſitis non fuerim ſaturatus: ſed paululum commoratus iterum cœnaturus ad te veniam. Quid igitur aliud de me ſentire aut diſcere potes, niſi inexplebilem quendam & inſaturabilem hominem eſſe? Ego, inquit Apollonius, te explebo: loquendi verò materiam partim tu parabis, partim etiam ego afferam. Cœna deinde perfecta, Nilus, Ego, inquit, præterito tempore cùm

A λέγεσθε γὰρ καὶ τὴν ἐκείνου λόγων ἀγάλματα* ἀπὸ Ἰνδῶν ἄγειν. ὁ μὲν δὴ Ἀπολλώνιος, ἀρχὴν τοῦ λόγου τὰ ἐν Βαβυλῶνι ποιησάμενος, διῄει πάντα. οἱ δὲ, ἄσμενοι ἠκροῶντο, ὑποκείμενοι τῷ λόγῳ. μεσημβρία δ᾽ ὡς ἐγένετο, διέλυσαν τὴν σπουδήν· τὸν γὰρ καιρὸν τοῦτον καὶ οἱ γυμνοὶ πρὸς ἱεροῖς γίγνονται. δειπνο- *(marg.: σχ. κατασπέρματα)*

B ποιουμένῳ δὲ τῷ Ἀπολλωνίῳ, καὶ τοῖς ἀμφ᾽ αὐτὸν, ὁ Νεῖλος ἐφίσταται, λαχάνοις ἅμα, καὶ ἄρτοις, καὶ τραγήμασι· τὰ μὲν, αὐτὸς φέρων· τὰ δὲ, ἕτεροι. καὶ μάλα* ἀστείως, οἱ σοφοὶ ἔφη, ξένια πέμπουσιν ὑμῖν τε, κἀμοὶ ταῦτα. κἀγὼ γὰρ ξυσσιτήσω ὑμῖν, οὐκ ἄκλητος, ὥς φασιν, ἀλλ᾽ ἐμαυτὸν καλῶν. ἡδὺ, εἶπεν ὁ Ἀπολλώ- *(marg.: χ. μεγάλα)*

C νιος, ἀπάγεις, ὦ νεανία, ξένιον σαυτόν τε, καὶ τὸ σεαυτοῦ ἦθος· ὃς ἀδόλως μὲν φιλοσοφοῦντι ἔοικας, ἀσπαζομένῳ δὲ τὰ Ἰνδῶν τε, καὶ Πυθαγόρου· κατακλίνου δὴ ἐνταῦθα, καὶ ξυσσίτει. κατάκειμαι, ἔφη· σιτία δὲ οὐκ ἔστι σοι τοσαῦτα, ὡς ἐμπλῆσαί με. ἔοικας, ἔφη*, ἄσιτος εἶναι, καὶ δεινὸς φαγεῖν. δεινότατος μὲν οὖν, ἔφη, ὅς* τοσαύτην, καὶ οὕτω λαμ- *(marg.: χ. εἶπεν; χ. ὅς γε)*

D πρὰν δαῖτά σου παραθέντος, οὔπω ἐμπέπλησμαι. διαλιπὼν δὲ ὀλίγον πάλιν, ἐπισιτούμενος ἥκω· τί φήσεις, ἀλλ᾽ ἢ ἀκόρεστόν τε εἶναί με, καὶ δεινῶς γάστριν; ἐμπίπλασο, εἶπεν. ἀφορμαὶ δ᾽ ὁπόσαι λόγων, τὰς μὲν, αὐτὸς παραδίδου· τὰς δὲ, ἐγὼ δώσω. ἐπεὶ δ᾽ ἐδείπνησαν, ἐγὼ, ἦδ᾽ ὁ Νεῖλος, τὸν μὲν ἄλλον χρόνον

ἐστρατευόμην ὁμοῦ τοῖς γυμνοῖς, οἷον ψιλοῖς τισιν, ἢ σφενδονήταις ἐκείνοις, ἐμαυτὸν ξυντάττων. νυνὶ δὲ ὁπλιτεύσω, καὶ κοσμήσει με ἡ ἀσπὶς ἡ σή. ἀλλ' οἶμαί σε, εἶπεν, Αἰγύπτιε, παρὰ Θεσπεσίωνί τε, καὶ τοῖς ἄλλοις ἕξειν αἰτίαν, ἐφ' οἷς οὐδὲ ἐς ἔλεγχον ἡμῶν καταστὰς πλείω· σὺ δὲ ἑτοιμότερον, ἢ ξυγχωρεῖ βίου αἵρεσις, ἐς τὰ ἡμέτερα ἤδη ἀφήσεις. οἶμαι, ἔφη· εἰ δ' αἰτία ἑλομένου ἔσται τις, τάχα καὶ μὴ ἑλομένου αἰτία· καὶ ἁλώσονται μᾶλλον, ἅπερ ἐγὼ ἑλόμενοι. τὸ γὰρ πρεσβυτέρους ὁμοῦ, καὶ σοφωτέρους ὄντας μὴ πάλαι ᾑρῆσθαι, ἅπερ ἐγὼ νῦν, δικαίαν αἰτίαν κατ' ἐκείνων ἔχοι μᾶλλον, οὕτω πλεονεκτοῦντι μὴ ἐς τὸ βέλτιον ἑλέσθαι ὅ, τι βούλονται. οὐκ ἀγεννῆ μὲν, ὦ νεανίσκε, λόγον εἴρηκας, ὅρα δὲ μὴ δι' αὐτὸ τὸ οὕτω μὲν σοφίας, οὕτω δὲ ἡλικίας ἔχειν, ἐκεῖνά γε ὀρθῶς εἰρημένοι* φαίνονται. ταῦτά γε ξὺν εἰκότι λόγῳ παραιτούμενος, σύ τε θρασυτέρου λόγου δοκεῖς ἅπτεσθαι καθιστὰς μᾶλλον, ἢ αὐτὸς ἐκείνοις ἑπόμενος. ὑποστρέψας δὲ ὁ Αἰγύπτιος παρὰ τὴν τοῦ Ἀπολλωνίου δόξαν, ἃ μὲν εἰκὸς ἦν, ἔφη, πρεσβυτέροις ὁμαρτεῖν νέον, οὐ παραιτοῦμαι. σοφίαν δὲ ὁπότ' ᾤμην εἶναι περὶ τοὺς ἄνδρας, ἣν, οὐκ ἄλλοις τισὶν ἀνθρώπων ὑπάρχειν, προσεποίησα ἐμαυτὸν τούτοις. πρόφασις δέ μοι τῆς ὁρμῆς ἥδ' ἐγένετο. ἔπλευσέ ποτε ὁ πατὴρ, ἐς τὴν ἐρυθρὰν ἥκων· ἦρχε δὲ ἄρα τῆς νεὼς, ἣν Αἰγύπτιοι στέλλουσιν ἐς τὸ Ἰνδῶν ἔθνος· ἐπιμίξας δὲ τοῖς ἐπὶ θαλάττῃ Ἰνδοῖς, διεκόμισε λόγους περὶ

* γ. εἰρημένα

A Nudis iſtis militabam, quaſi cum expeditis quibuſdam, aut funditoribus, me ipſum in acie collocans: nunc autem armabor accuratius; & me tuus clypeus proteget. Verùm, inquit Apollonius, Ægyptie, vereor ne à Theſpeſione, aliíſque nudis accuſeris primùm quòd non magis in me redarguendo perſtiteris: deinde quòd præter inſtitutæ vitæ conceſſionem, in mores noſtros de- B clines. Opinor, inquit Nilus, ſed ſi qua dignus eſt accuſatione qui elegit, fortè etiam qui non elegit reprehenſione dignus. Imò verò reprehenſione maiore digni redarguentur, hæc eadem nunc eligentes, quòd ſeniores ſapientioréſque exiſtentes iamdudum non elegerint ea, quæ ego non elegi: iuſtiorem reprehenſionem namque illis afferet, quod ex tanta copia non elegerint meliora, quibus in futurum C vti poſſent. Tunc Apollonius, Generosè, inquit, loqueris adoleſcens, ſed vide ne abs te in hac ætate conſtituto, atque hac ſapientia prædito ſatis rectè dici talia videantur. Quanquam enim probabili ratione ductus illa reſpuas, tu tamen audacior fortaſſe videberis, ſi eis præfinias, quæ ab illis agenda ſint potius, quàm illos ſequaris. Tum propter Apollonij opinionem conuerſus Ægyptius, In quibus, inquit, o- D portet adoleſcentem ſenioribus parere, in iis eos ſequi non recuſo: ſed cùm putarem ſapientiam apud ipſos eſſe, quam nuſquam alibi inueniri poſſe arbitrarer, me illis addixi: huius autem voluntatis occaſio talis mihi contigit. Pater meus ad rubrum mare quandoque veniens nauigauit. (erat enim præfectus nauis eius, quam ad Indos Ægyptii mittunt) Congreſſus autem Indis, qui ſecus mare degunt, de

ſapientibus, qui illic erant ſermones attulit ſimiles iis, quos modò tu nobis de iiſdem retuliſti. Audiui etiam ex eodem omnium longè ſapientiſſimos Nudos eſſe: colonos autem Indorum Æthiopes, paternam retinere diſciplinam, & antiquam reſpicere originem. Ego igitur cùm eſſem adoleſcens, paternas diuitias volentibus reliqui; & nudus ad hos Nudos acceſſi, vt Indorum ſapientiam, aut illi germanam addiſcerẽ. Et iſti quidem mihi ſunt viſi ſapientes, non tamen, quæ Indorum ſunt ſapere. Cúmque eos interrogarem, cur Indorum philoſophiam non ſeruarent, ipſi calumnias, accuſationéſque aduerſus illos attulere ſimiles iis, quas tu hodie audiuiſti: me verò adoleſcentem adhuc, vt vides, in collegium ſuum cooptarunt timentes, vt arbitror, ne ab eis diſcedens in mare rubrum nauigarem, ſicut olim fecerat pater meus. Quod ſanè per Deos immortales ex animo non abieceram, ſtatuerámque vſque ad ſapientum collem proficiſci: niſi te Deorum aliquis huc miſiſſet, qui mihi in hoc fauit, quòd neque in rubro mari nauigans, neque cum ſinus eius accolis collocutus Indorum ſapientiam agnoſcere potui: non hodie, ſed iamdudum, vt dixi, eam rationẽ viuendi eligens; verùm quæ habiturum me putabam non habens. *Nunquid enim graue eſt, ſi quis*, cùm à propoſito aberrauerit, ad id redeat quod venabatur? Quòd ſi hos etiam ad eadem ſequenda cohortarer, conſulerémque, vt quod ego feciſſem, & ipſi facerent, dic mihi quid nimium viderer audere? Non enim *arcenda eſt*; adoleſcentia; *quaſi non* quis poſſit melius etiã quàm ſenes iſtud percipere. Quicunque verò alteri conſulit eligere ſapientiam,

A τῶν ἐκείνῃ σοφῶν, ἀτεχνῶς τούτων, οὓς πρὸς ἡμᾶς διῆλθες· ἀκούων δὲ αὐτοῦ καὶ τοιουτονί τινα λόγον, ὡς σοφώτατοι μὲν ἀνθρώπων Ἰνδοὶ, ἄποικοι δὲ Ἰνδῶν Αἰθίοπες, πατρῴζουσι δὲ οὗτοι τὴν σοφίαν, καὶ πρὸς τὰ οἴκοι βλέπουσι· μειράκιον γενόμενος, τὰ μὲν πατρῷα, τοῖς βουλομένοις ἀφῆκα. γυμνὸς δὲ γυμνοῖς ἐπεφοίτησα τούτοις, ὡς μαθησόμενος τὰ Ἰνδῶν, ἢ ἀδελφά γε ἐκείνων· καί μοι ἐφαίνοντο σοφοὶ μὲν, οὐ μὴν ἐκεῖνα. ἐμοῦ δὲ αὐτοὺς ἐρομένου, τοῦ χάριν οὐ τὰ Ἰνδῶν φιλοσοφοῦσιν, ἐκείνων μὲν, ἐς διαβολὰς κατέστησαν παραπλησίως ταῖς πρὸς σὲ εἰρημέναις τήμερον· ἐμὲ δὲ, νέον ἔτι ὡς ὁρᾷς ὄντα, κατέλεξαν ἐς τὸ αὐτῶν κοινὸν, δείσαντες οἶμαι μὴ ἀποπηδήσας αὐτῶν, πλεύσαιμι ἐς τὴν ἐρυθρὰν, ὥσπερ ποτὲ ὁ πατήρ. ὃ μὰ τοὺς θεοὺς οὐκ ἂν παρῆκα. περιῆλθον γὰρ ἂν καὶ μέχρι τοῦ ὄχθου* τῶν σοφῶν, εἰ μή σέ τις ἐνταῦθα θεῶν ἔστειλεν. ἐμοίγ' οὖν ἀρωγὸν, ὡς μήτε τὴν ἐρυθρὰν πλεύσας, μήτε πρὸς τοὺς κολπίτας παραβαλλόμενος, σοφίας Ἰνδικῆς γεύσαιμην, οὐ τήμερον βίου ποιησόμενος αἵρεσιν, ἀλλὰ πάλαι μὲν ᾑρημένος, ἃ δὲ ᾤμην ἕξειν οὐκ ἔχων. τί γὰρ δεινὸν, εἰ ὅτου διαμαρτών τις, ἐπανίοιεν ἐφ' ὃ ἐθήρευεν; εἰ δὲ κἀκείνους ἐς ταὐτὶ μεταβιβάζοιμι, καὶ γενοίμην αὐτοῖς ξύμβουλος, ὧν ἐμαυτὸν πέπεικα, τί ἂν εἴποι μοι θρασὺ πράττοιμι; οὔτε γὰρ ἡ νεότης ἀπελατέα τουτί· καὶ αὐτὴ βέλτιον ἐνθυμηθῆναι ἂν τοῦ γήρως. σοφίας τε, ὅστις ἑτέρῳ γίγνεται ξύμ-

χ. λόφου δὲ ὄχλου

(Section letters B, C, D stand in the margin beside the lines beginning ὡς μαθησόμενος, θεοὺς οὐκ ἂν παρῆκα, and νος, ἃ δὲ ᾤμην respectively.)

λος, ἣν αὐτὸς ᾕρηται, διαφεύγει δήπου, τὸ μὴ οὐχ ἃ πέπεισται πείθειν. τοῖς τε ἥκουσιν ἀγαθοῖς παρὰ τῆς τύχης, ὅστις ἀπολαβὼν αὐτὰ χρῆται μόνος, ἀδικεῖ τἀγαθά. ἀφαιρεῖται γὰρ αὐτά, τὸ πλείοσιν ἡδίω φαίνεσθαι.

A quam ipſemet eligit, in hoc accuſari non poteſt, quòd aliis ea perſuadeat, quæ ipſe non credit. Quicunque autem bona à fortuna conceſſa excipiens, ſolus illis vtitur, ipſis bonis iniuriam affert, quòd ipſis aufert, vt à pluribus percepta videantur iucundiora.

Deriſiſſe Apollonium coram Gymnoſophiſtis Ægyptiorum ſimulachra, petiiſſéque ab eis quam ob cauſam tam ridiculas beſtiarum imagines colerent. Hinc de Deorum imaginibus apud Græcos, & quid phantaſia queat efficere. C*ap.* IX.

ΤΟΙαῦτα εἰρηκότος τοῦ Νείλου, καὶ οὕτω νεανικά, ὑπολαβὼν ὁ Ἀπολλώνιος, ὑπὲρ μισθοῦ δέ, εἶπεν, οὐ διαλέξῃ μοι πρότερον, σοφίας γε ἐρῶν τῆς ἐμῆς; διαλεγώμεθα· ἦδ᾽ ὃς Νεῖλος, καὶ ὅ, τι βούλει αἴτει. αἰτῶ σε, εἶπεν, ἃ μὲν αὐτὸς εἵλου, εἰρῆσθαι, τοὺς δὲ γυμνοὺς μὴ ἐνοχλεῖν ξυμβουλεύοντα, ἃ μὴ πείσεις. πείσομαι, ἔφη, καὶ ὁμολογείσθω ὁ μισθός. ταῦτα μὲν δὴ ἐσπούδασαν. ἐρομένου δ᾽ αὐτὸν μετὰ ταῦτα τοῦ Νείλου πόσου χρόνου διατρίψει περὶ τοὺς γυμνούς, ὁπόσου, ἔφη, χρόνου ἀξία ἡ τῶνδε σοφία τῷ ξυνεσομένῳ σφίσιν. εἶτα ἐπὶ καταδούπων τὴν ὁδὸν ποιησόμεθα, τῶν πηγῶν ἕνεκα. χαρίεν γὰρ τὸ μὴ μόνον ἰδεῖν τὰς τοῦ Νείλου ἀρχάς, ἀλλὰ καὶ κελαδοῦντος ἀκοῦσαι. ὧδε διαλεχθέντες, καί τινων Ἰνδικῶν μνημονεύσαντες, ἐκάθευδον ἐν τῇ πόᾳ. ἅμα δὲ τῇ ἡμέρᾳ προσευξάμενοι τὰ εἰωθότα, εἵποντο τῷ Νείλῳ παρὰ τὸν Θεσπεσίωνα αὐτοῖς ἄγοντι, προσειπόντες γοῦν ἀλλήλοις· καὶ ξυνιζήσαντες ἐν τῷ ἄλσει, διαλέξεως ἥπτοντο. ἦρχε δ᾽ αὐτῆς ὁ

B HÆc tam efficaciter dicente Nilo, De mercede, inquit, nónne aliquid prius dicam, cùm tantopere meam ſapientiam ames? Diſputemus, inquit Nilus, & à me quicquid vis pete. Peto, inquit Apollonius, vt in iis, quæ elegiſti, permaneas, neque moleſtiam afferas Nudis ea conſulendo, quæ perſuadere non poteris. Parebo, inquit, & certa merces ſit conſtituta. Cùm hæc inter ſe fuiſſent C locuti, Nilus Apollonium interrogauit, quandiu apud Nudos futurus eſſet. Cui Apollonius, Quoad, inquit, horum ſapientia dignas manſione cauſas præbuerit: deinde ad Catadupa fontium Nili viſendorum cauſa proficiſcemur. Iucundum eſt enim non ſolùm Nili principia videre, ſed ipſum quoque audire obſtrepentem. Hæc cùm dixiſſent, & de rebus Indicis aliqua contuliſſent, in herba dormitauerunt. Die D autem exorto, vbi conſuetas preces, ſacrificiáque peregerunt, ſequentes Nilum ducem omnes ad Theſpeſionem perrexerunt, ſalutéque mutuò data, & accepta, in luco diſputandi gratia conſederunt. loquendi verò principium ſic ab Apollonio

A Apollonio exortum eſt. Quanti ſit faciendum, ſapientiam non occulere, ſermones heſterni declarant. Nam cùm Indi me docuiſſent, quæcunque ex illorum ſapientia mihi conuenire putaui, ego præceptores meos honoris cauſa nominans, quicquid ab illis acceperam, enarraui. Erit igitur vobis quoque lucrum aliquod, ſi me veſtra ſapientia plenum dimiſeritis. Nunquam enim deſinam res veſtras apud Græcos prædicare: quinetiam ad Indos eaſdem perſcribam. Interroga igitur, inquiunt illi. Interro-
B gationem enim oratio ſequitur. Tunc Apollonius, De Diis, inquit, primùm interrogabo, quanam ratione impulſi tam abſurdas, ridiculáſque Deorum imagines, præter admodum paucas, veſtris hominibus colendas præbueritis. Paucæ namque, atque admodum paucæ Deorum formæ conſpiciuntur, quæ ſapientiæ diuinitatiſve vllum præ
C ſe ferant veſtigium: in ceteris verò templis irrationalium animalium atque infamium potius, quàm Deorum effigies coluntur. Ad hæc indignatus Theſpeſion, Dic, inquit, apud vos quales coluntur Deorum imagines? Quales, inquit Apollonius; pulcherrimas & ſibi gratiſſimas Deos elaboraſſe credendum eſt. Iouem Olympicum fortaſſe dices,
D Theſpeſion inquit, aut Palladis ſimulachrum, aut Gnidiæ Veneris, aut Argiuæ Iunonis, aut alia huiuſmodi, quæ ſumma arte, ſummáque pulchritudine plena dicuntur. Non de his ſolùm, inquit Apollonius, ſed in communi de omnibus dico, eam, quæ apud *alios eſt*, ſtatuariam artem rationi magis conſentaneam eſſe: vos autem deridere magis quàm venerari Deos videri. An igitur, inquit ille, veſtri Phidiæ, aut Praxiteles

Ἀπολλώνιος. ὡς μὲν γὰρ πολλοῦ, ἔφη, ἄξιον τὸ μὴ κρύπτειν σοφίαν, δηλοῦσιν οἱ χθὲς λόγοι. διδαξάμενοι γάρ με Ἰνδῶν ὁπόσα τῆς ἐκείνων σοφίας ὤμην προσήκειν ἐμοί, μέμνημαι τῶν ἐμαυτοῦ διδασκάλων, καὶ περίειμι διδάσκων, ἃ ἐκείνων ἤκουσα. καὶ ὑμῖν δὲ αὖ κέρδη γενοίμην, εἴ με καὶ τὴν ὑμετέραν σοφίαν εἰδότα πέμποιτε. οὐ γὰρ αὖ παυσαίμην, Ἕλλησί τε διιὼν τὰ ὑμέτερα, καὶ Ἰνδοῖς γράφων. ἐρώτα ἔφασαν. ἕπεται γάρ που ἐρωτήσει ὁ λόγος. καὶ ὁ Ἀπολλώνιος, περὶ θεῶν, εἶπεν, ὑμᾶς ἐρήσομαι πρῶτον· τί μαθόντες, ἄτοπα, καὶ γελοῖα θεῶν εἴδη παραδεδώκατε τοῖς δεῦρο ἀνθρώποις, πλὴν ὀλίγων, ἃ σοφῶς, καὶ θεοειδῶς ἵδρυται· τὰ λοιπὰ δὲ ὑμῶν ἱερὰ ζώων ἀλόγων, καὶ ἀδόξων, τιμαὶ μᾶλλον, ἢ θεῶν φαίνονται. δυσχεράνας δὲ ὁ Θεσπεσίων, τὰ δὲ παρ' ὑμῖν, εἶπεν, ἀγάλματα, πῶς ἱδρῦσθαι φήσεις; ὥς γε, ἔφη, κάλλιστόν τε, καὶ θεοφιλέστατον δημιουργεῖν θεούς. τὸν Δία που λέγεις, εἶπε, τὸν ἐν τῇ Ὀλυμπίᾳ; καὶ τὸ τῆς Ἀθηνᾶς ἕδος, καὶ τὸ τῆς Κνιδίας τε, καὶ τὸ τῆς Ἀργείας, καὶ ὁπόσα ὧδε καλά, καὶ μεστὰ ὥρας. οὐ μόνον, ἔφη, ταῦτα, ἀλλὰ καὶ καθάπαξ· τὴν μὲν παρὰ τοῖς ἄλλοις ἀγαλματοποιίαν, ἅπτεσθαί φημι τοῦ προσήκοντος· ὑμᾶς δὲ καταγελᾶν τοῦ θείου μᾶλλον, ἢ νομίζειν αὐτό. οἱ Φειδίαι δὲ, εἶπε, καὶ οἱ Πραξιτέλεις

μὲν ἀνελθόντες ἐς τὸν οὐρανὸν, καὶ ἀπομαξάμενοι τὰ τῶν θεῶν εἴδη, τέχνην αὐτὰ ἐποιοῦντο, ἢ ἕτερόν τι ἦν, ὃ ἐφίστη αὐτοὺς τῷ πλάττειν; ἕτερον, ἔφη, καὶ μεστόν γε σοφίας πρᾶγμα. ποῖον, εἶπεν οὐ γὰρ ἄν τι παρὰ τὴν μίμησιν εἴποις. φαντασία, ἔφη, ταῦτα εἰργάσατο, σοφωτέρα μιμήσεως δημιουργός. μίμησις μὲν γὰρ μόνον δημιουργήσει ὃ εἶδε· φαντασία δὲ, καὶ ὃ μὴ εἶδεν. ὑποθήσεται γὰρ αὐτὸ πρὸς τὴν ἀναφορὰν τοῦ ὄντος. καὶ μίμησιν μὲν πολλάκις ἐκκρούει ἔκπληξις, φαντασίαν δὲ οὐδέν. χωρεῖ γὰρ
γ. αὐτὸ ἀνέκπληκτος, πρὸς ὃ αὐτὴ* ὑπέθετο. δεῖ δέ που Διός μὲν ἐνθυμηθέντα εἶδος, ὁρᾶν αὐτὸν ξὺν οὐρανῷ, καὶ ὥραις, καὶ ἄστροις, ὥσπερ ὁ Φειδίας τότε ὥρμησεν. Ἀθηνᾶν δὲ δημιουργήσειν μέλλοντα, στρατόπεδα ἐννοεῖν, καὶ μῆτιν, καὶ τέχνας, καὶ ὡς Διὸς αὐτοῦ ἀνέθορεν. εἰ δὲ ἱέρακα, ἢ γλαῦκα, ἢ λύκον, ἢ κύνα ἐργασάμενος, ἐς τὰ ἱερὰ φέροις, ἀντὶ Ἑρμοῦ τε, καὶ Ἀθηνᾶς, καὶ Ἀπόλλωνος, τὰ μὲν θηρία, καὶ τὰ ὄρνεα ζηλωτὰ δόξειν τῶν εἰκόνων· οἱ δὲ θεοὶ, παρὰ πολὺ τῆς αὑτῶν δόξης ἐστήξοισιν. ἔοικας, εἶπεν, ἀβασανίστως ἐξετάζειν τὰ ἡμέτερα. σοφὸν γὰρ, εἴπερ τι Αἰγυπτίων, καὶ τὸ μὴ θρασύνεσθαι ἐς τὰ τῶν θεῶν εἴδη. ξυμβολικὰ δὲ αὐτὰ ποιεῖσθαι, καὶ ὑπονοούμενα. καὶ γὰρ ἂν καὶ σεμνότερα οὕτω φαίνοιτο· γελάσας οὖν ὁ Ἀπολ-
γ. θεοὶ, λώνιος, ὦ* ἄνθρωποι, ἔφη, μεγάλα ὑμῖν ἀπολέλαυται τῆς Αἰγυπτίων τε, καὶ Αἰθιόπων σοφίας, εἰ σεμνότερον ὑμῖν, καὶ θεοειδέστερον κύων δόξει, καὶ ἶβις

A cœlum aſcendentes, atque illic effigies Deorum fingentes eas poſtmodum ad artem attulerunt, aut eſt aliquid aliud quod eos fingere, aut ſculpere docuit? Aliud eſt profectò, inquit Apollonius, & quidem ſapientia plenum. Quidnam id eſt, inquit ille? (Nihil enim præter imitationem dicturum te puto) Phantaſia, inquit Apollonius, hæc perfecit: artifex proculdubio ſapientior
B quàm imitatio. Hæc enim ſolùm quod vidit operatur: phantaſia verò etiam quod nunquam vidit. Proponet enim ſibi idipſum, quod non nouit, ad eius quod eſt relationem. Imitationé præterea ſtupor plerunq. impedit, phantaſiam verò nihil. Ipſa enim impauida fertur ad id, quod ei ſubiici diximus. Oportet autem qui Iouis contemplatur effigiem, cum cœlo, & horis, & aſtris ipſum imaginari; ſicut Phidiæ tunc venit in
C mentem. Palladem verò fingere *cogitantem*, exercitus conſilia & artes meditari, & quomodo ex ipſo Ioue proſiliit. ſin verò accipitrem, aut noctuam, aut lupum vel canem fingés in templa deferédo, pro Mercurio, Pallade, aut Apolline: feræ, beſtiæ, atque aues honore, ſimulachróque dignabimini; Deos auté procul ab illorum gloria conſtituetis. Tunc Theſpeſió, Videris, inquit, incurioſè nimiũ res noſtras perſcrutari. Sapientis enim eſt, ſi quicquã *ſapiẽter excogitatũ eſt* apud Ægyptios imprimis ex-
D primatur, non audere contra Deorũ effigies aliquid *aggredi*, ſed méte, conſilióq. illas excogitatas eſſe cẽſere. Sic enim ipſas venerabiliores futuras videri putauerũt. Ad ea ſubridés Apollonius, O viri, inquit, magnum profectò ex Æthiopũ, Ægyptiorúmq. ſapiẽtia fructũ accepiſtis: venerabilior vobis, & Deorũ imaginibus ſimilior eſſe videbitur, aut canis, aut ciconia,

aut hircus(hæc enim ſapientem Theſpeſionem audio dicere) quàm aliæ Deorum effigies. In illis enim, quid venerationis, aut terroris inſit non video. Periuros enim & ſacrilegos, & qui ſcurrilitate in Deos vtuntur contemnere magis, quàm timere eiuſmodi templa conſentaneum eſt. Quòd ſi propterea veneranda hæc eſſe videntur, quia ſub ipſis aliud mente concipi & ſubintelligi poſſit: venerabiliores vtique fuiſſe Deos arbitrarer, ſi eorum nullum extaret ſimulachrum, ſed theologiæ modo quodam alio & magis arcano vterentur. Poterant enim templa conſtruere, & in ipſis altaria erigere: tum etiam quid ſacrificare liceret, aut non liceret, inſtituere, & quibus diebus quippiam facere, aut dicere opus eſſet præfinire. Nullũ autem in templo ſimulachrum habere, ſed Deorũ effigies illis relinquere excogitandas qui ſacrificatum accederent. Mens enim deſcribit & format aliquid, omni ſculptura, picturáve præclarius. Vos autem hoc etiam à Diis abſtuliſtis: ne quis tanquam pulchros mente videre, aut excogitare illos poſſet. Tum Theſpeſion, Fuit, inquit, Socrates quidam Athenienſis ſenex fatuus, vt nos, *cenſebatur*: is canem, anſerem, platanum Deos putans, per eos iurare conſueuit. Minimè verò fatuus habitus eſt, inquit Apollonius; ſed diuinus quidam vir, & verè ſapiens: iurabat autem per ea, quæ dixiſti, non tanquam Deos, ſed ne per Deos iuraret.

A καὶ τράγος. ταῦτα γὰρ Θεσπεσίωνος ἀκούω τοῦ σοφοῦ. σεμνὸν δὲ, δὴ ἢ ἔμφοβον τί ἐν τούτοις; τοὺς γὰρ ἐπιόρκους, καὶ τοὺς ἱεροσύλους, καὶ τὰ βωμολόχα ἔθνη, καταφρονεῖν τῶν τοιούτων ἱερῶν, εἰκὸς μᾶλλον, ἢ δεδιέναι αὐτά. εἰ δὲ σεμνότερα ταῦτα ὑπονοούμενα, πολλῷ σεμνότερον ἂν ἐπεπράγετο οἱ θεοὶ κατ' Αἴ-
B γυπτον, εἰ μὴ ἵδρυτό τι αὐτῶν ἄγαλμα· ἀλλ' ἕτερον τρόπον σοφώτερόν τε, καὶ ἀπορρητότερον τῇ θεολογίᾳ κεχρῆσθαι. ἦν γάρ που νεὼς μὲν αὐτοῖς ἐξοικοδομῆσαι, καὶ βωμοὺς ὁρίζειν, καὶ ἃ χρὴ θύειν, καὶ ἃ μὴ χρή, καὶ ὁπηνίκα, καὶ ἐφ' ὅσον, καὶ ὅ,τι λέγοντας, ἢ δρῶντας. ἄγαλμα δὲ μὴ ἐσφέρειν, ἀλλὰ τὰ εἴδη τῶν θεῶν καταλείπειν τοῖς τὰ ἱερὰ ἐσφοιτῶσιν. ἀναγράφει γάρ τι ἡ γνώμη, καὶ ἀνατυ-
C ποῦται δημιουργίας κρεῖττον. ὑμεῖς δὲ ἀφῄρησθε τοὺς θεοὺς, καὶ τὸ ὁρᾶσθαι καλῶς, καὶ τὸ ὑπονοεῖσθαι. πρὸς ταῦτα ὁ Θεσπεσίων, ἐγένετό τις, ἔφη, Σωκράτης Ἀθηναῖος ἀνόητος, ὥσπερ ἡμεῖς γέρων, ὃς τὸν κύνα, καὶ τὴν χῆνα, καὶ τὴν πλάτανον, θεούς τε ἡγεῖτο, καὶ ὤμνυ· οὐκ ἀνόητος, εἶπεν, ἀλλὰ θεῖος, καὶ ἀτεχνῶς σοφός· ὤμνυ γὰρ ταῦτα, οὐχ ὡς θεούς, ἀλλ' ἵνα μὴ θεοὺς ὤμνυ.

De flagellis Laconicis, vndéque ea orta conſuetudo fuerit. Item qua re peregrini non admittantur à Lacedæmoniis lege lata à Lycurgo. CAP. X.

POST hæc Theſpeſion, vt ſermonẽ ad alia transferret, interrogauit

ΜΕτὰ ταῦτα ὁ Θεσπεσίων, ὥσπερ μεθιστάμενος τοῦ λόγου, ἤρετο

A τὸν Ἀπολλώνιον περὶ τῆς Λακωνικῆς μάστιγος, καὶ εἰ δημοσίᾳ οἱ Λακεδαιμόνιοι παίονται· τοὺς ἐξ ἀνθρώπων γε, εἶπεν, ὦ Θεσπεσίων, αὐτοὶ μάλιστα οἱ ἐλεύθεροί τε, καὶ εὐδόκιμοι. τοὺς δὲ οἰκέτας ἀδικοῦντας, τί, ἔφη, ἐργάζονται; οὐκέτ' ἀποκτείνουσιν, εἶπεν, ὡς ξυνεχώρει ποτὲ ὁ Λυκοῦργος, ἀλλ' ἡ αὐτὴ καὶ ἐπ' ἐκείνους μάστιξ. ἡ δὲ Ἑλλάς, πῶς, ἔφη, περὶ αὐτῶν γιγνώσκει; ξυνιᾶσιν, εἶπεν, ὥσπερ ἐς τὰ Ὑακίνθια, καὶ τὰς [γ. γυμνοπαιδίας,] γυμνοποδίας, θεασόμενοι ξὺν ἡδονῇ τε, καὶ ὁρμῇ πάσῃ. εἶτ' οὐκ αἰσχύνονται, ἔφη, οἱ χρηστοὶ Ἕλληνες, ἐς τοὺς αὐτῶν ποτε ἄρξοντας ὁρῶντες, μαστιγουμένοις ἐς τὸ κοινόν, ἢ ἀρχθέντες ὑπ' ἀνθρώπων, οἳ μαστιγοῦνται δημοσίᾳ; σὺ δὲ πῶς οὐ διορθώσω ταῦτα; φασὶ γάρ σε καὶ Λακεδαιμονίων ἐπιμεληθῆναι· [γ. ὡς δ.] *ἅ γε, εἶπε, δυνατὸν ἦν διορθοῦσθαι ξυνεβούλευον μὲν ἐγώ, προθύμως δ' ἐκεῖνοι ἔπραττον· ἐλευθερώτατοι μὲν γὰρ τῶν Ἑλλήνων εἰσί, μόνοι δ' ὑπήκοοι τοῦ εὖ ξυμβουλεύοντος· τὸ δὲ τῶν μαστίγων ἔθος, τῇ Ἀρτέμιδι τῇ ἀπὸ Σκυθῶν δρᾶται, χρησμῶν φασιν ἐξηγουμένων ταῦτα. θεοῖς δ' ἀντινομοθετεῖν, μανία οἶμαι. οὐ σοφούς, ὦ Ἀπολλώνιε, ἔφη, τοὺς τῶν Ἑλλήνων θεοὺς εἴρηκας, εἰ μαστίγων ἐγίγνοντο ξύμβουλοι τοῖς τὴν ἐλευθερίαν ἀσκοῦσιν. οὐ μαστίγων, εἶπεν, ἀλλὰ τοῦ αἵματι ἀνθρώπων τὸν βωμὸν ῥαίνειν, ἐπειδὴ καὶ παρὰ Σκύθαις τούτων ἠξιοῦτο. σοφισάμενοι δὲ οἱ Λακεδαιμόνιοι τὸ ἀπαραίτητον τῆς θυσίας, ἐπὶ τὸν τῆς καρτερείας ἀγῶνα ἥκουσιν,

A Apollonium, quid de Laconicis flagellis ſentiret, & vtrum publicè ſuos ciues verberibus cæderent, cùm ſe maximè liberos, nobiléſque iactarent, tum etiam contra ſeruos, famulóſve delinquentes quid facerent, quæſiuit. Non amplius eos interficiunt, inquit Apollonius, ſicut olim conceſſit Lycurgus: ſed verberibus itidem in eos animaduertunt. Græcis verò, Theſpeſion inquit, hac de re quid videtur? Se-
B dent, inquit Apollonius, tanquam Hyacinthia, aut nudos athletas cum voluptate & alacritate ſpectantes. An, inquit Theſpeſion, optimi Græci non erubeſcunt, cùm videant eos, qui ſibi quandoque imperaturi ſunt, publicè loris cædi: aut non pudet eorum imperio ſubeſſe, qui coram omnibus verberantur: tu verò quomodo talia non emendaſti? dicunt enim te de Lacedæmoniis curam gerere. in iis qui-
C dem, inquit Apollonius, quæ emendari poſſunt? Conſului ſanè nonnulla: ipſi verò promptiſſimè quæ conſulueram ſunt executi. Sunt enim Græcorum omnium liberrimi & ſoli, qui bene conſulentibus pareant. Verberum autem conſuetudo in Scythicæ Dianæ honorem ſeruatur: quod, ita vt aiunt, oracula præceperunt. Diis autem obſiſtere inſania quædam eſt, vt opinor. Tum
D Theſpeſion, Nequaquam, inquit, Apolloni, ſapientes Græcorũ Deos oſtendis, ſi eos cædi verberibus conſulunt, qui maximè libertatem profitentur. Non verberum, inquit Apollonius, conſultores ſunt: ſed humano ſanguine aſpergi aras iubent, quoniam & apud Scythas ita colebantur. Verùm Lacedæmonij ſacrificij neceſſitatẽ ſapienter interpretati, ad tolerantiæ certamen deuenerunt,

ita vt neque homines interficerentur, & tamen eorum ſanguine Deæ ſatisfaciat. Cur igitur, inquit Theſpeſion, peregrinos hoſpites Dianæ non ſacrificant, ſicut facere quondã Scythæ conſueuerant? Quoniã, inquit Apollonius, Græcorum nemini placet Barbarorum mores imitari. At verò, inquit ille, humaniores viderentur vnum, duóſve ſacrificantes, quàm peregrinos omnes ex regione ſua depellentes. Non carpamus, inquit Apollonius, ô Theſpeſion, Lycurgi leges. Oportet enim viri mentem intelligere, & cur peregrinos in ſua regione verſari non permiſerit. Neque enim reſpexit ne peregrini indigenis miſcerentur, ſed vt ſuæ regionis mores integros, puróſque ſeruaret, nullis externis interuenientibus. Ego autem, inquit Theſpeſion, verè Spartiatas viros putarem, ſi etiam inter externos degentes, domeſticos tamen mores conſeruarent: propterea quòd non ſolùm abſentibus, ſed etiam præſentibus *ſimiles* viderentur. Oportebat igitur virtutes acquirere: ipſi verò expulſionem peregrinorũ ſeruantes, mores tamẽ ſuos corruperunt: & Græcorũ, quib. maximè aduerſabantur, facta imitantur: *de rebus certè marinis* & de iudiciis reddendis inſtituta ab Atticis ad eos tranſlata videntur. & pro quibus aduerſus Atheniẽſes pugnandũ ſibi quondam cenſuerunt, ipſi eadem poſtea facere ſtatuerunt, & quòd ipſi quidem bello ſuperarunt Athenienſes: in his verò pro quibus exercendis bellum ſuſceperunt, ab Athenienſibus ſuperati fuerunt. Quinetiam id ipſum ex Tauricis aut Scythis, Deam aduexiſſe *eorũ eſt qui externa approbãt.* Quòd ſi oraculis compulſi id fecere, quid ſcutica opus fuit? quídve ſeruilem quandam tolerantiam fingere?

A ἀφ' ἧς ἔδει μήτε ἀποθνήσκειν, καὶ ἀπάρχεσθαι τῇ θεῷ τοῦ σφῶν* αὐτῶν αἵματος. (κ. τῶν ἀ.) διατί οὖν, ἔφη, τοῖς ξένοις οὐ καταθύουσι τῇ Ἀρτέμιδι, καθάπερ ἐδικαίουν ποτὲ οἱ Σκύθαι; ὅτι, εἶπεν, οὐδενὶ Ἑλλήνων πρὸς τρόπου, βάρβαρα ἐξασκεῖν ἤθη. καὶ μὴν καὶ φιλανθρωπότεροι ἐδόκουν ἄν, ἕνα που, καὶ δύο θύοντες, ἢ B ξενηλασίᾳ χρώμενοι ἐς πάντας. μὴ καταπλώμεθα, εἶπεν, ὦ Θεσπεσίων, τοῦ Λυκούργου· χρὴ γὰρ ξυνιέναι τοῦ ἀνδρός, καὶ ὅτι τὸ μὴ ἐνδιατρίβειν ἐᾶν τοὺς ξένους, οὐκ ἀμιξίας* αὐτοῖς νῦν εἶχεν, ἀλλὰ (κ. αὐτοῖς ἔχει.) τοῦ ὑγιαίνειν τὰς ἐπιτηδεύσεις, μὴ ἐνομιλούντων τῇ Σπάρτῃ τῶν ἔξωθεν. ἐγὼ δὲ ἄνδρας, ἔφη, Σπαρτιάτας ἡγούμην ἄν, οἵοι δοκεῖν ἀξιοῦσιν, εἰ συνδιαιτώμενοι τοῖς ξένοις, μὴ μεθίσταιντο τοῦ C οἴκοι. οὐ γὰρ τῶν ἀπόντων, ἀλλὰ καὶ* τῶν (κ. τῶν π.) παρόντων ὁμοίους ὁρᾶσθαι· ἔδει οὖν οἶμαι τὰς ἀρετὰς κτᾶσθαι· οἱ δέ, καίτοι ξενηλασίαις χρώμενοι, διεφθάρησαν τὰς ἐπιτηδεύσεις· καὶ οἷς μάλιστα τῶν Ἑλλήνων ἀπήχθοντο, τούτοις ὅμοια πράττειν ἔδοξαν. τὰ γοῦν περὶ τὴν θάλατταν, καὶ αἱ μετὰ ταῦτα ἐπιτάξεις τῶν φόρων, Ἀττικώτερον αὐτοῖς ἐβουλεύθη. καὶ ὑπὲρ ὧν πολεμητέα D πρὸς Ἀθηναίους ᾤοντο αὐτοῖς εἶναι, ταῦτ' ἐς τὸ καὶ αὐτοὶ δρᾶν καθίσταντο· τὰ μὲν πολέμια τοὺς Ἀθηναίους νικῶντες, ὧν δὲ ἐκείνοις ἐπιτηδεύειν ἔδοξεν, ἡττώμενοι. καὶ αὐτὸ δὲ τὸ τὴν ἐν Ταύροις τι, καὶ Σκυθῶν ἐσάγεσθαι δαίμονα, ξένα ἦν νομιζόντων. εἰ δὲ χρησμῷ ταῦτα, τί ἔδει μάστιγος; τί δὲ καρτερίαν ἀνδραποδώδη πλάττεσθαι;

A Λακωνικώτερον περὶ θανάτου ῥώμην; ἐκεῖνο ἦν οἶμαι Σπαρτιάτην ἔφηβον ἑκόντα ἐπὶ τοῦ βωμοῦ θύεσθαι. τουτὶ γάρ, τὴν μὲν Σπάρτην, ἀψυχοτέρους* ἐδείκνυε· τὴν δ' Ἑλλάδα ἀπῆγε, τοῦ μὴ ἐς ἀντίπαλα αὐτοῖς ἀντικαθίστασθαι. εἰ δὲ ἐς τὰ πολέμια φείδεσθαι τῶν νέων εἰκὸς ἦν· ἀλλ' ὅ γε νόμος παρὰ Σκύθαις ἐπὶ τοῖς ἑξηκοντούταις κείμενος, οἰκειότερος ἦν B Λακεδαιμονίοις ἐπιτηδεύειν, ἢ Σκύθαις, εἰ τὸν θάνατον ἀτεχνῶς, ἀλλὰ μὴ κόμπου ἕνεκα ἐπαινοῦσι. ταῦτα οὐ πρὸς Λακεδαιμονίους εἴρηταί μοι, πρὸς δὲ σὲ Ἀπολλώνιε. εἰ γὰρ τὰ παλαιὰ νόμιμα, καὶ πολιώτερα, ἢ γιγνώσκειν αὐτά, πικρῶς ἐξετάζοιμεν, ἐς ἔλεγχον καθιστάμενοι τοῦ θείου, διότι αὐτοῖς χαίρουσι, πολλοὶ καὶ ἄτοποι λόγοι τῆς τοιᾶσδε φιλοσοφίας ἀναφύσονται. ἢ γὰρ ἂν καὶ τῆς Ἐλευσῖνι C τελετῆς ἐπιλαβοίμεθα, διότι, τό, ἀλλὰ μὴ τό, ἢ ὧν Σαμόθρακες τελοῦσιν· ἐπεὶ μὴ τὸ δεῖνα, τὸ δεῖνα δ' αὐτοῖς δρᾶται· καὶ Διονυσίων, καὶ φαλλοῦ, καὶ τοῦ ἐν Κυλλήνῃ εἴδους. ἢ οὐκ ἂν φθάνοιμεν συκοφαντοῦντες πάντας. ἴωμεν οὖν ἐφ' ὅ, τι βούλει ἕτερον, τιμῶντες καὶ τὸν Πυθαγόρου D λόγον, ἡμεδαπὸν ὄντα. καλὸν γὰρ εἰ καὶ μὴ περὶ πάντων, ἀλλ' ὑπέρ γε τῶν τοιούτων σιωπᾶν. ὑπολαβὼν δ' ὁ Ἀπολλώνιος, εἰ σπουδάσαι, εἶπεν, ὦ Θεσπεσίων, ἐβούλου τὸν λόγον, πολλὰ ἄν σοι, καὶ γενναῖα ἔδοξεν ἡ Λακεδαίμων λέγειν, ὑπὲρ ὧν ὑγιῶς τε, καὶ παρὰ πάντας ἐπιτηδεύει τοὺς Ἕλληνας· ἐπεὶ δ' οὕτως ἀποσπουδάζεις αὐτόν,

*ἐν. ἀψυχοτέρου

Magis enim Laconicum fuiſſet, opinor, erga mortem oſtendere fortitudinem: & impuberem Spartiatam vltrò ſe offerentem in altari ſacrificare. Hoc enim animoſiorem Spartam oſtendiſſet, & prohibuiſſet reliquam Græciam aliquid aduerſus eos moliri. Quòd ſi bellorum cauſa parcendum eſſe adoleſcentibus dixerint, ſaltem apud Scythas poſitam de ſexagenariis legem B ſeruare illos decentiùs fuit, ſi mortem re vera, & non iactantiæ, atque oſtentationis illi cauſa laudant. Atque hæc non aduerſum Lacedæmonios dicta ſunt: ſed magis contra te, Apolloni. Si enim veterũ inſtituta, & antiquiora, quàm à nobis ſciri poſſint, exactiùs perquiramus, Deos culpantes qui talibus gaudeant, multi, & abſurdi ſermones ex tali contemplatione orientur. Scrutemur enim Eleuſina myſteria; & quid afferre poterimus, cur hoc, non autem hoc C admittant: & Samothracum itidem initiationes, cur in eis hoc quidem fit; hæc autem non permittitur? Idem etiã de Baccho Priapo & Cyllenij dicemus effigie, nec ipſos calũniis intactos præteribimus. Pergamus igitur ad aliud quicquid libet, & rationem Pythagoræ, quæ noſtra eſt, etiam honorantes: Pulchrum eſt enim ſi non de omnibus, at- D tamen de iſtis tacere. Ad hæc reſpondens Apollonius, Si de ſtudioſis rebus, inquit, protendere ſermonem velles, ô Theſpeſion, multa tibi, præclaráque dicere Lacedæmon videretur, quæ rectè quid ſupra ceteros Græcos exercet: ſed quoniam adeò à noſtro ſermone teipſum remoues,

vt fas etiam eſſe non putes de talibus loqui, diſputationem ad aliud aliquid conuertamus. Maximè autem erit dignum, vt opinor, ſi de iuſtitia aliquid diſſeruerimus.

A ὡς μηδὲ ὅσιον ἡγεῖσθαι τὸ ὑπὲρ τοιούτων λέγειν, ἴωμεν ἐφ' ἕτερον λόγον πολλοῦ ἄξιον, ὡς ἐμαυτὸν πείθω· περὶ δικαιοσύνης γάρ τι ἐρήσομαι;

Quid de viro iuſto, & iuſtitia Apollonius cum Gymnoſophiſtarum principe Theſpeſione diſputauerit. Cap. XI.

ORdiamur, inquit Theſpeſion, ſermonem huiuſmodi. Eſt enim & ſapientibus, & non ſapientibus aptiſſimus. ſed ne Indorum opiniones interſerendo confundamus orationem, dic primùm, quid illi de iuſtitia ſentiant. Eſt enim rationi conſentaneum te dum illic eſſes, huiuſmodi rem diligenter perquiſiuiſſe. Quòd ſi eorum ſe rectè habet opinio, vlterius quærere deſinemus: ſin verò nos aliquid poterimus dicere ſapientius, ſuperaddemus. Id enim Iuſtitiæ quoddam officium eſſe videtur. Optimè, inquit Apollonius, meo iudicio iucundiſſimè dicere videris, ô Theſpeſion. Audi igitur quæ de hac re fuerint illic à nobis diſputata. Narrabam illis me quõdam gubernatorẽ fuiſſe, *magnæ nauis; quando anima alterius corporis curã habebat:* & me iuſtiſſimũ arbitrabar, quia mercedẽ à Piratis accecepturus eram, ſi nauem illis proderẽ illuc nauigando, vbi ipſi in inſidiis latentes nauem caperent, onera quæ in ipſa vehebantur deprædaturi. Ego autem illis omnia pollicitus ne mihi vim afferrent, deinde longius præteruectus ſpem omnem illorum ſum fruſtratus. An igitur Theſpeſion Indi iuſtitiæ opus id eſſe conſenſerunt? Minimè verò, inquit Apollonius: imò etiam me deriſerunt, dicentes non eſſe iuſtitiæ opus ab iniuſtis abſtinere. Rectè, inquit Theſpeſion, ſentiunt Indi, neque enim prudẽtiæ opus eſt, ſtultè aliquid non

B ΑΠΤΩΜΕΘΑ ὁ Θεσπεσίων, ἔφη, τοῦ λόγου. προσῆκον γὰρ σοφοῖς τε, καὶ μὴ σοφοῖς. ἀλλ' ἵνα μὴ τὰς Ἰνδῶν δόξας ἐνείροντες, ξυγχέωμεν αὐτὸν, καὶ ἀπέλθωμεν ἄπρακτοι τοῦ λόγου, πρῶτον εἰπὲ τὰ περὶ δικαιοσύνης Ἰνδοῖς δόξαντα· εἰκὸς γὰρ βεβασανίσθαι σοι ἐκεῖ ταῦτα. κἂν μὲν ἡ δόξα ὀρθῶς ἔχῃ, ξυνθησόμεθα. εἰ δ' αὐτοί τι σοφώ-C τερον εἴποιμεν, ξυντίθεσθε. δικαιοσύνης γὰρ καὶ τοῦτο. ἄριστα, εἶπεν ὁ Θεσπεσίων, καὶ ὡς ἐμοὶ ἥδιστα εἴρηκας. ἄκουε δὴ τὴν ἐκεῖ σπουδασθέντων. διῄειν πρὸς αὐτοὺς ἐγὼ, κυβερνήτης ὡς γενοίμην μεγάλης νεὼς, ὁπόθ' ἡ ψυχὴ σώματος ἑτέρου ἐπεμελεῖτο. καὶ δικαιότατον ἡγούμην ἐμαυτόν· ἐπειδὴ λῃσταὶ μὲν ἐμισθοῦντό με προδοῦναι τὴν ναῦν, καθορμισάμενον D οὗ λοχήσειν αὐτὴν ἔμελλον, δι' ἃ ἦγον· ἐγὼ δὲ, ἐπαγγειλαίμην μὲν ταῦτα, ὡς μὴ ἐπιθοῖντο ἡμῖν, παρεκπλεύσαιμι δ' αὐτοὺς, καὶ ὑπεράραιμι αὐτοὺς τοῦ χωρίου, ξυνέθεντο, *ἦ δ' ὃς ὁ Θεσπεσίων, δικαιοσύνην εἶναι Ἰνδοὶ ταῦτα; κατεγέλασαν μὲν οὖν, εἶπε· μὴ γὰρ εἶναι δικαιοσύνην τὸ μὴ ἀδικεῖν. ὑγιῶς, ἔφη, ἀπέδοξε τοῖς Ἰνδοῖς· οὔτε γὰρ φρονήσεως, τὸ μὴ ἀνοήτως τι

χ. π. δ' ἦ- δ', ἰ. θ. δ. Ἰνδοὶ τ.

ἄλ. οὔτε γὰρ φρόνησις, τὸ μὴ αἰσχροῖς τι ἐν. χ. ἐκτ.

ἐνθυμεῖσθαι· οὔτε ἀνδρεία, τὸ μὴ λείπειν τὴν τάξιν· οὔτε σωφροσύνη, τὸ μὴ ἐς τὰ τῶν μοιχῶν ἐμπίπτειν, οὔτε ἄξιον ἐπαίνου, τὸ μὴ κακὸν φαίνεσθαι. πᾶν γὰρ ὃ τιμῆς τε, καὶ τιμωρίας ἴσον ἀφέστηκεν οὔπω ἀρετή. πῶς οὖν, ὦ Θεσπεσίων, εἶπε, στεφανώσομεν τὸν δίκαιον, ἢ τί πράττοντα; ἐλλιπέστερον, ἔφη, καὶ προσφορώτερον ἂν ὑπὲρ δικαιοσύνης ἐσπουδάσατε, ἢ ὁπότε βασιλεὺς τοσῆσδέ τε, καὶ οὕτως εὐδαίμονος χώρας ἄρχων, ἐπέστη φιλοσοφοῦσιν ἡμῖν ὑπὲρ τοῦ βασιλεῦσι δικαιοτάτου κτήματος. εἰ ὁ Φραώτης, εἶπεν, ὁ ἀφικόμενος ἦν, ὀρθῶς ἂν ἐμέμφου τὸ μὴ ὑπὲρ δικαιοσύνης ἐπ' αὐτοῦ σπουδάσαι. ἐπεὶ δὲ εἶδες τὸν ἄνθρωπον, ἐν οἷς χθὲς ὑπὲρ αὐτοῦ διῄειν, μεθύοντα, καὶ ἀχθόμενον φιλοσοφίᾳ πάσῃ, τί ἔδει παρέχειν ὄχλον; τί δ' αὐτὸν ἔχειν φιλοτιμουμένοις, ἐπ' ἀνθρώπου Σύβαριν ἡγουμένου πάντα; ἀλλ' ἐπεὶ σοφοῖς ἀνδράσιν, ὥσπερ ἡμῖν, ἰχνευτέα ἡ δικαιοσύνη μᾶλλον, ἢ βασιλεῦσί τε, καὶ στρατηγοῖς, ἴωμεν ἐπὶ τὸν ἀτεχνῶς δίκαιον. ὁ γὰρ ἐμαυτόν τε ἡγούμην ὁπότε ἡ ναῦς, ἑτέρους τε, οἳ μὴ ἀδικῶν ἅπτονται, οὔπω δικαίους φατέ, οὐδ' ἀξίους τιμᾶσθαι. καὶ εἰκότως εἶπεν. οὐδὲ γὰρ ἂν Ἀθηναίοις ποτὲ, ἢ Λακεδαιμονίοις ἐγράφη γνώμη τὸν δεῖνα στεφανοῦν, ἐπεὶ μὴ τῶν ἡταιρηκότων ἐστὶν ἢ τὸν δεῖνα ποιεῖσθαι πολίτην, ἐπεὶ μὴ τὰ ἱερὰ ὑπ' αὐτοῦ συλᾶται. τίς οὖν ὁ δίκαιος, καὶ ὅ, τι πράττων; οὐδὲ γὰρ ἐπὶ δικαιοσύνῃ τινὰ στεφανωθέντα οἶδα, οὐδὲ γνώμην ἐπ'

A cogitare, neque fortitudinis, aciem non relinquere: neque temperantiæ, in mœchorum turpitudines non incidere: nec omnino laude dignum eſt, quòd non eſſe malus videaris. Omne enim quod æquè ab honore pœnáque diſtat, virtus non eſt. Quomodo, inquit Apollonius, ô Theſpeſion, coronabimus iuſtum, aut quid facientem talem eſſe dicemus? Exactius, inquit ille, & accuratius de iuſtitia diſputaſtis, quàm B olim cùm rex tam magnæ, támque fertili regioni imperans vobis de regno philoſophantib. interfuit, quod officiorum iuſtitiæ maximum eſt. Si Phraotes, inquit Apollonius, tunc acceſſiſſet, meritò proculdubio culparemur, ſi coram ipſo de iuſtitia non diſputauiſſemus: ſed quoniam ex iis, quæ pridie narraui, ſatis noſcere hominem potuiſti, ebrioſum, & philoſophiæ penitus inimicum, quod opus fuit diſputando moleſtiam illi afferre, aut nobis elaborare pro emendatione illius nullius C pretij cuncta eiuſmodi facientis? Sed quoniam viris, quales nos ſumus, ſapientibus inueſtiganda eſt iuſtitia magis etiam, quàm regibus, aut imperatoribus, quæramus eum, qui verè iuſtus ſit. Ego enim dum naui potiebar: me ipſum eſſe talem arbitrabar, & alios itidem, qui nihil iniuſtè operantur: vos autem tales nondum eſſe iuſtos dicitis, neq; hoD nore dignos. Et rectè quidem, inquit Theſpeſion. Nunquam enim apud Athenienſes, aut Lacedæmonios ſcripta ſententia eſt, hunc, aut hunc eſſe coronandum: quia ſcortator non eſt; aut hunc eſſe donandum ciuitate, quia non eſt ſacrilegus. Quis igitur erit iuſtus, aut quid faciens talis appellabitur? neminem enim iuſtitiæ cauſa coronatum agnoui: nec eſt qui pro viro

iuſto ſententiam ſcripſerit, quòd hunc oporteat coronari, quòd talia, aut talia operatus, iuſtus eſſe videatur. Cogitanti enim quæ apud Troiam Palamedi, aut Socrati Athenis euenere: malè fortunata apud homines apparebit iuſtitia. Iniuſtiſſima namque ij, quos dixi, paſſi ſunt, cùm eſſent ipſi iuſtiſſimi. Quinetiam per iniuſtitiæ opinioné damnati ſunt, cùm præter omne ius lata ſententia fuiſſet. Ariſtidem quoque Lyſimachi filium ea ipſa iuſtitia olim perdidit: ac talis vir ob talem virtutem in exilium miſſus eſt, equidem ridiculam iuſtitiam haberi cognoſco. A Ioue enim & fatis ordinata, vt hominibus non afferretur iniuria, nuſquam ſibi ipſi, ne quis iniuriaretur prouidit. Mihi autem Ariſtides ipſe ſatis eſt ad oſtendendum quis non iniuſtus, quíſve iuſtus ſit dicendus. Dicas namque velim, nunquid hic Ariſtides ille ſit, quem vos ex Græcia venientes ad inſulas dicitis nauigaſſe tributorum componendorum cauſa? quæ cùm ille æqua ratione conſtituiſſet, eadem veſte & quidem vili, ac ſemilacera amictus rediit. Iſtemet eſt, inquit Apollonius, ob quem & paupertatis amor quandoque floruit.

Si igitur, inquit Theſpeſion, oratores duo fuiſſent Athenis, qui redeuntem à ſociis Ariſtidem voluiſſent laudare: & is quidem in hunc modum ſententiam ſcriberet, Corona dignum eſſe Ariſtidem, quoniam diuitias non accepit, neque ſui victus cauſa moleſtiam cuiquam attulit: ſed cùm antea pauperrimus Athenienſium omnium ſemper fuiſſet, tunc etiam ſe ipſo rediiſſet pauperior. Alter verò decretum hoc modo proferret: Quoniam Ariſtides non præter vires ſociorum, ſed

A ἀνδρὶ δικαίῳ γραφεῖσαν, ὡς τὸν δεῖνα χρὴ στεφανοῦν, ἐπειδὴ τὸ δεῖνα πράττων, δίκαιος φαίνεται. τὰ μὲν γὰρ Παλαμήδους ἐνθυμηθέντι, τὰ ἐν Τροίᾳ, καὶ τὰ Σωκράτους, τὰ Ἀθήνησιν, οὐδὲ εὐτυχεῖν ἡ δικαιοσύνη δόξει παρὰ τοῖς ἀνθρώποις. ἀδικώτατα γὰρ δὴ οὗτοι ἔπαθον, δικαιότατοι ὄντες. πλὴν ἀλλ' οὗτοι μὲν, ἐπὶ δόξῃ ἀδικημάτων ἀ-

B πώλοντο, ψήφου παρὰ τὸ εὐθὺ ἐνεχθείσης. Ἀριστείδην δὲ τὸν Λυσιμάχου, καὶ αὐτή ποτε ἡ δικαιοσύνη ἀπώλλυ. καὶ ἀνὴρ τοιόσδε ἐπὶ τοιᾷδε ἀρετῇ φεύγων, ᾤχετο. καὶ ὡς μὲν γελοία ἡ δικαιοσύνη δόξει, γιγνώσκω. τεταγμένη γὰρ ὑπὸ Διός τε, καὶ μοιρῶν, ἐς τὸ μὴ ἀδικεῖσθαι τοὺς ἀνθρώπους, οὐδαμοῦ ἑαυτὴν ἐς τὸ μὴ αὐτὴν ἀδικεῖσθαι τάττει. ἐμοὶ δὲ ἀπόχρη τὰ τοῦ Ἀριστείδου, ἐς τὸ δη-

C λῶσαι τίς μὲν ὁ μὴ ἄδικος, τίς δὲ ὁ δίκαιος. εἰπὲ γάρ μοι, οὐχ οὗτος Ἀριστείδης ἐκεῖνος, ὅν φατε ὑμεῖς οἱ ἀπὸ Ἑλλήνων ἥκοντες, πλεύσαντα ἐς τὰς νήσους ὑπὲρ τῶν φόρων, ξυμμέτρους τε αὐτοὺς τάξαι, καὶ ξὺν αὐτῷ ἐπανελθεῖν τρίβωνι; οὗτος, εἶπε, δι' ὃν καὶ πενίας ἔρως ποτὲ ἤνθησεν. εἰ οὖν, ἔφη, δύο Ἀθήνησι δημαγωγοὶ γενοίσθην, ἐπαι-

D νοῦντες τὸν Ἀριστείδην ἀπὸ τῆς ξυμμαχίδος ἥκοντα, καὶ ὁ μὲν, γράφοι στεφανοῦν αὐτὸν, ἐπειδὴ μὴ πλουτῶν ἀφῖκται, μηδὲ βίον ἑαυτῷ ξυνειληχὼς μηδένα, ἀλλὰ πενέστατος μὲν Ἀθηναίων, πενέστερος δὲ ἑαυτοῦ. ὁ δὲ αὖ τοιουτονί τι γράφοι ψήφισμα· ἐπειδὴ Ἀριστείδης οὐχ ὑπὲρ τὸ δυνατὸν τῶν ξυμμάχων τάξας τοὺς φόρους, ἀλλ'-

ὡς ἕκαστοι γῆς ἔχοιεν, τῆς τε ὁμονοίας αὐτῶν ἐπεμελήθη τῆς πρὸς Ἀθηναίους, καὶ τὸ * μὴ ἀχθομένους φέρειν ταῦτα, δεδόχθω στεφανοῦν αὐτὸν ἐπὶ δικαιοσύνῃ. ἆρ' οὐκ ἄν σοι δοκῇ τῇ μὲν προτέρᾳ γνώμῃ, κἂν ἀντειπεῖν αὐτὸς ὡς οὐκ ἀξία τῶν ἑαυτῷ βεβιωμένων, ἢ ἐφ' οἷς ἀδικεῖ τιμῷτο, τὴν δ' ἴσως ἂν καὶ αὐτὸς ἐπαινέσαι στοχαζόμενος, ὧν διενοήθη; βλέψας γάρ που ἐς τὸ Ἀθηναίων τε, καὶ τὸ τῶν ὑπηκόων ξυμφέρον, ἐπεμελήθη τῆς ξυμμετρείας τῶν φόρων. καὶ τοῦτο μετὰ τὸν Ἀριστείδην ἐδείχθη μᾶλλον. ἐπειδὴ γὰρ παραβάντες Ἀθηναῖοι τοὺς ἐκείνῳ δόξαντας, βαρυτέρους ἐπέγραψαν ταῖς νήσοις. διεσπάσθη μὲν αὐτοῖς ἡ ναυτικὴ δύναμις, ᾗ μάλιστα φοβεροὶ ἦσαν· περιῆλθε δὲ ἡ Λακεδαιμονίων ἐς τὴν θάλατταν, ξυνέμεινε δὲ τῆς δυνάμεως οὐδὲν, ἀλλ' ἅπαν τὸ ὑπήκοον ἐς νεώτερα ὥρμησε, καὶ ἀποστροφῆς ἥψατο. δίκαιος οὖν, ὦ Ἀπολλώνιε κατὰ τὸν ὀρθὸν λόγον, οὐχ ὁ μὴ ἄδικος, ἀλλ' ὁ δίκαια μὲν αὐτὸς πράττων, καθιστὰς δὲ καὶ ἑτέρους ἐς τὸ μὴ ἀδικεῖν. καὶ φύσονται τῆς τοιαύτης δικαιοσύνης καὶ ἄλλαι μὲν ἀρεταί, μάλιστα δὲ ἥ τε δικαστικὴ, καὶ ἡ νομοθετική. δικάσει μὲν γὰρ ὁ τοιόσδε, καὶ πολλῷ δικαιότερον, ἢ οἱ κατὰ τῶν τομίων ὀμνύντες· νομοθετήσει δὲ, ὥσπερ οἱ Σόλωνές τε, καὶ οἱ Λυκοῦργοι. καὶ γὰρ δὴ κἀκείνοις τοῦ γράψαι νόμον δικαιοσύνη ἦρξε.

κ. ἀ

A commodè pro cuiuſque facultatibus tributa diſpertiens, concordiæ ipſorum erga Athenienſes curam geſſit, effecítque vt non dolenter illa perferrent, videri ſibi iuſtitiæ cauſa ipſum coronari debere. Nónne cenſes priori ſententiæ ipſum etiam Ariſtidem cõtradicturum quaſi rebus à ſe geſtis non congruenti, cùm pro quibus iniuſtè non egiſſet honorem peteret, hanc autem eſſe laudaturum, cùm mente repeteret, quid illis agendis fuerit
B meditatus. Reſpiciens enim ad Athenienſium, ſociorúmque vtilitatem, mediocritatem tributorum inſtituerat, quòd ſanè poſt Ariſtidem magis apparuit. Poſtquàm Athenienſes ipſius iudicium tranſgreſſi grauiora tributa inſulis impoſuere, ablata eſt ipſis naualis potentia; qua maximè terribiles erant: omnes autem maritimæ vires ad Lacedæmonios tranſiere: cùm omnes ſocij ad res nouas moliendas animos erexiſſent: vnde rerum conuerſio ſecuta eſt.
C Si igitur ſecundum rectam rationem contemplari voluerimus, Apolloni, non is eſt iuſtus, qui iniuſta non operatur, ſed qui & ipſe iuſta operatur, & alios ne iniuſtè quid agant, inſtituit. Naſcentur autem ex ipſa iuſtitia virtutes aliæ complures, maximè autem iudiciaria, & legum latiua. Iudicabit enim vir talis, & quidem rectiùs quàm qui ſuper ſectis carnium fruſtis iu-
D ramenta concipiunt. Et leges feret perinde ac Solones, aut Lycurgi. Nam & iis leges ferentibus iuſtitia princeps & dux fuit.

Immortalem eſſe animum diſputandum à Gymnoſophiſtis & Apollonio. Hinc de catadupis, hircoboue, aliiſque animalibus: déque Nomadibus, Elephantophagis, Naſomonibus, Androphagis, Pygmæis, Sciapodibus, Cataractis, atque ſtrepitu inenarrabili aquarum cadentium: item de altitudine verticis Nili, de Dæmone Nilum moderante, cuius Pindarus meminit. CAP. XII.

A TALIA de viro iuſto collocutos inter ſe fuiſſe refert Damis, & Apollonium iis omnibus aſſenſiſſe, quia *rationi* conſentanea viderentur. Deinde cùm multùm de anima philoſophati eſsēt quo pacto immortalis ſit, multa etiam *de Natura ſententiis Platonis, quæ in Timæo ſunt, congruentia, &* de Græcorum legibus diſſeruiſſent; interpellans ſermonem Apollonius, Ego, inquit, hoc iter B tum veſtri, tum Nili fontium cauſa ſuſcepi, quos in Ægyptum vſque venienti ignorare ignoſcendum eſt: penetranti, vt ego feci, Æthiopiam, dedecus eſt ipſos præterire, nec vllam de ipſis habere rationem. Bono omine, inquit Theſpeſion, proficiſcere, & quicquid tibi gratum eſt, *à fontibus* precare, diuini ſunt enim. Ducem verò itineris habeas cenſeo Timaſionem C olim Naucratitem: nunc verò Memphitem. Eſt enim fontibus illis aſſuetus, atque adeò purus, vt expiatione non egeat. Tibi autem, ô Nile, volumus aliquid de ipſis referre. Horum verborum ſenſus Apollonio manifeſtus erat. Sciebat enim ipſos indignanter ferre, quòd amaret eum Nilus. Omiſſo igitur colloquio, ad res præparandas diſceſſit, vt poſtridie in ortu Solis D abire poſſent. Paulò autem pòſt ſuperuenit Nilus, nec eorum, quæ audierat, narrabat quicquam, ſed frequenter ſecum ridens perſtabat. nemo tamē cur rideret interrogauit, quia tanquam arcanis parcebant.

A ΤΟσαῦτα ὁ Δάμις διαλεχθῆναί φησιν αὐτοὺς ὑπὲρ ἀνδρὸς δικαίου, καὶ τὸν Ἀπολλώνιον ξυμφῆσαι τῷ λόγῳ· τοῖς γὰρ ὑγιῶς λεγομένοις ξυμβαίνειν. φιλοσοφήσαντες δὲ καὶ περὶ ψυχῆς ὡς ἀθάνατος εἴη, καὶ περὶ φύσεως παραπλήσια ταῖς Πλάτωνος ἐν Τιμαίῳ δόξαις, περί τε B τῶν παρ' Ἕλλησι νόμων πλείω διαλεχθέντες, ἐμοὶ, εἶπεν ὁ Ἀπολλώνιος, ἡ δεῦρο ὁδὸς, ὑμῶν τε ἕνεκα, καὶ τῶν τοῦ Νείλου πηγῶν ἐγένετο. ἃς μέχρι μὲν Αἰγύπτου προηκόντι, ξυγγνώμη ἀγνοῆσαι. προχωρήσαντι δὲ ἐπ' Αἰθιοπίαν, ὃν ἐγὼ τρόπον, κἂν ὄνειδος φέρει τὸ παρελθεῖν αὐτὰς, καὶ μὴ ἀρύσασθαί τινας αὐτῶν λόγους, ἴθι χαίρων, ἔφη· καὶ C ὅ, τι σοι φίλον, εὔχου ταῖς πηγαῖς. θεῖαι γάρ. ἡγεμόνα δὲ οἶμαι ποιήσῃ τὸν πάλαι Ναυκρατίτην· νῦν δὲ Μεμφίτην Τιμασίωνα. τῶν τε γὰρ πηγῶν ἐθὰς ἐστί, καὶ οὕτω τι καθαρὸς, ὡς μὴ δεῖσθαι τοῦ ῥαίνεσθαι. σοὶ δὲ, ὦ Νεῖλε, βουλόμεθα ἐφ' αὐτῶν διαλεχθῆναί τι. ὁ μὲν δὴ νοῦς τῶν λόγων, οὐκ ἀφανὴς ἦν τῷ Ἀπολλωνίῳ. ξυνίει γὰρ αὐτῶν δυσχερῶς διακειμέ- D νων, ἐπειδὴ ἤρα αὐτοῦ ὁ Νεῖλος. ἐξιστάμενος δὲ αὐτοῖς τῆς διαλέξεως, ἀπῄει συσκευαζόμενος, ὡς ἐξιὼν ἅμα τῇ ἕῳ. μετ' οὐ πολὺ δὲ ἥκων ὁ Νεῖλος, ἀπήγγελλε μὲν οὐδὲν, ὧν ἤκουσεν, ἐφ' ἑαυτὸν δὲ θαμὰ ἐγέλα. ἤρετο δὲ οὐδεὶς ὑπὲρ τοῦ γέλωτος, ἀλλ' ἐφείδοντο τοῦ ἀπορρήτου.

τότε μὲν δὴ δειπνήσαντες, καὶ διαλεχθέντες οὐχ ὑπὲρ μεγάλων, αὐτοῦ ἐκοιμήθησαν. ἅμα τῇ ἡμέρᾳ τοῖς γυμνοῖς προσειπόντες, ἐπορεύοντο τὴν ἐς τὰ ὄρη τείνουσαν, ἀριστεροὶ τοῦ Νείλου, τάδε ὁρῶντες λόγου ἄξια· οἱ κατάδουποί εἰσι, γεώδη ὄρη, καὶ παραπλήσια τῷ τῶν Λυδῶν Τμώλῳ. καταρρέοις δὲ ἐπ' αὐτῶν φέρεται Νεῖλος, ἣν ἐπισπᾶται γῆν, ποιῶν Αἴγυπτον. ἡ δὲ ἠχὼ τοῦ ῥεύματος καταρρηγνυμένου τῶν ὀρῶν, καὶ ψόφῳ ἅμα ἐς τὸν Νεῖλον ἐκπίπτοντος, χαλεπὴ δοκεῖ, καὶ οὐκ ἀνεκτὴ ἀκοῦσαι· καὶ πολλοὶ τῶν πρόσω τοῦ μετρίου προσελθόντες, ἀνέζευξαν, ἀποβαλόντες τὸ ἀκούειν. προϊόντι δὲ τῷ Ἀπολλωνίῳ, καὶ τοῖς ἀμφ' αὐτόν, μαστοὶ ὀρῶν περιεχόμενοι δένδρα, ὧν Αἰθίοπες τὰ φύλλα, καὶ τὸν φλοιόν, καὶ τὸ δάκρυον καρπὸν ἡγοῦνται. ἑώρων δὲ καὶ λέοντας ἀγχοῦ τῆς ὁδοῦ, καὶ παρδάλεις, καὶ τοιαῦτα θηρία ἕτερα. καὶ ἐπῄει οὐδὲν αὐτοῖς, ἀλλ' ἀπεπήδα σφῶν, ὥσπερ ἐκπεπληγμένα τοὺς ἀνθρώποις. ἔλαφοι δὲ, καὶ δορκάδες, καὶ στρουθοί, καὶ ὄνοι, πολλὰ μὲν καὶ ἄλλα ἑωρᾶτο, πλεῖστα δὲ οἱ βόαγροί τε, καὶ οἱ βούτραγοι. ξύγκειται δὲ τὰ θηρία ταῦτα, τὸ μὲν ἐλάφου τε, καὶ ταύρου· τὸ δὲ, ἀφ' ὧν περὶ τὴν ἐπωνυμίαν ἥρηκε. καὶ ὀστοῖς δὲ τούτων ἐνετύγχανον, καὶ ἡμιβρώτοις σώμασιν. οἱ γὰρ λέοντες, ἐπειδὰν θερμῆς τῆς θήρας ἐμφορηθῶσιν, ἀπαμάζουσιν αὐτῆς τὰ περιττὰ, πιστεύοντες οἶμαι τὸ καὶ αὖθις θηράσειν. ἐνταῦθα Νομάδες οἰκοῦσιν Αἰθίοπες, ἐφ' ἁμαξῶν πεπολισμένοι. καὶ πλησίον τούτων, οἱ τοὺς ἐλέφαντας θηρῶσι, κατακόπτοντες

A Tunc igitur cœnati, & de rebus non magnis paulùm collocuti, ibidem dormierunt. Poſtridie mane ſalutatis Nudis iter cœperunt à ſiniſtra Nili parte, quæ ad montes ducit: quæ autem viderint, memoratu digna ſunt hæc. Catadupa montes ſunt terrei, ſimiles Tmolo, qui in Lydia eſt: ab ipſis autem Nilus defluens ex ea quam auellit terra Ægyptum facit. Sonitus autem aquæ montes
B ſcindentis, & cum ſtrepitu in Nilum cadentis horrenda quædam res, & auditu intolerabilis apparet, multíque propè accedentes auditum amiſerunt. Procedenti autem Apollonio, eiúſque comitibus colles apparuerunt quibuſdam quaſi gremiis ramos arborum ferentes, quarum folia, corticémque & lachrymas inter fructus Æthiopes numerant. Viderunt etiam ſecus viam leones, pantheras & alias huiuſmodi feras, quarum nulla in eos impetũ facere tentauit: ſed tanquam hominum con-
C ſpectum ſtupentes præteribant: ceruos inſuper & capreas, ſtruthionéſque & aſinos ſylueſtres complures, & animalium varia genera: inter quæ fuere ſylueſtres boues, & hircoboues. Sunt autem huiuſmodi belluarum aliæ ex boue, ceruóque compoſitæ: aliæ ex iis, de quibus denominationem capiunt, animalibus. Oſſa inſuper eiuſmodi ferarum, & ſemeſa
D earundẽ cadauera inuenerunt. Leones enim calida præda ſemel ſaturati, reliquias amplius attingere dedignantur, confidentes, vt opinor, nouã rurſus prædam ſe poſſe venari. Illic Æthiopes habitãt Nomades appellati, qui in curribus *degentes, res ſuas & ciuiles tractant*. Proximi autẽ illis ſunt qui elephantos venantur, illóſque

in fruſta

in fruſta diuiſos vendunt: vnde cognomen adepti Elephãtophagi nuncupantur. Naſamones inſuper & Anthropophagi, id eſt, hominum comeſtores, Pygmæi quoque, id eſt cubitales: & Sciapodes, id eſt, vmbram pedibus facientes. Hi, inquam, omnes Æthiopiæ gentes ſunt: habitant autem ſecus Oceanum Æthiopiæ, quò ſolùm vi tempeſtatis quandoque delati homines nauigant. Cùm illi de feris, quas viderant, loquerentur, & naturam contemplarentur, quæ tam variè diuerſa genera animalium paſcit, ſonitus quidam eorum aures perculit tanquam tonitrus nondum inualeſcentis, ſed adhuc intra nubis concauitatem incluſi. Tum Timaſion, Prope eſt, inquit, ô viri, catarrhacta, quæ deſcendentibus quidem vltima, aſcendentibus autem prima occurrit. Deinde ſtadia fermè decem progreſſi, viderunt fluuium ex monte profluentem, nihil minorem quàm Marſya ſit atque Meander, vbi primum in vnum confluunt. Precibus inde, votíſque nuncupatis propius acceſſerunt, nec vllas amplius feras videbant. Nam cùm ſint natura pauidæ, iuxta quietas aquas habitant potius, quàm iuxta confragoſas, & obſtrepentes. Inde poſt ſtadia fermè quindecim aliam audierũt catarrhactam difficilem ſanè, & intolerabilem auditu, & quæ priorem duplo fermè ſuperaret: quam cùm ex loco longè, quàm prius altiore præcipitari vidiſſet Damis, comites aliquos tum etiam ſe ipſum ita ſtupefactos aurib. refert, vt ſe ab Apollonio ſemouerent, rogarẽtq. ne vlterius progrederetur. Verùm ille cõſtanter Nilo duntaxat Timaſionéq. comitantib. catarrhactæ propinquauit: inde ad ſocios reuerſus, nuntiauit ſuſpenſos illic eſſe vertices Nili

A ἢ αὐτοὺς ποιοῦνται ἀγοράν ὅθεν ἐπώνυμοί εἰσι τῆς τῶν ἐλεφάντων βρώσεως. Νασαμῶνες δὲ, καὶ ἀνδροφάγοι, καὶ Πυγμαῖοι, καὶ σκιάποδες, ἔθνη μὲν Αἰθιόπων καὶ οἵδε, καθήκουσι δὲ ἐς τὸν Αἰθίοπα ὠκεανὸν, ὃν μόνον ἐσπλέουσιν οἱ ἀπενεχθέντες ἄκοντες. διαλεγομένους δὲ ὑπὲρ τῶν θηρείων τοὺς ἄνδρας, καὶ φιλοσοφοῦντας ὑπὲρ τῆς φύσεως, ἄλλο

B ἄλλως βοσκούσης, ἠχὼ προσέβαλεν, οἵα βροντῆς οὔπω σκληρᾶς, ἀλλὰ κοίλης ἔτι, καὶ ἐν τῷ νέφει. καὶ ὁ Τιμασίων ἐγγὺς, ἔφη, ὁ καταῤῥάκτης, ὦ ἄνδρες, ὁ κατιόντων μὲν ὕστατος, ἀνιόντων δὲ πρῶτος. καὶ στάδια δέκα ἴσως προελθόντες, ἰδεῖν φασι ποταμὸν ἐκδιδόμενον τοῦ ὄρους, μείω οὐδὲν, ἢ ἐν πρώταις ξυμβολαῖς, ὁ Μαρσύας, καὶ ὁ Μαίανδρος.

C προσευξάμενοι δὲ τῷ Νείλῳ χωρεῖν πρόσω, καὶ θηρία μὲν οὐκέτι ὁρᾶν ψοφοδεᾶ γὰρ φύσει ὄντα, προσοικεῖν τοῖς γαληνοῖς ὕδασι μᾶλλον, ἢ τοῖς ῥαγδαίοις τε, καὶ ἐνήχοις· ἑτέρου δὲ καταῤῥάκτου ἀκοῦσαι μετὰ πεντεκαίδεκά που στάδια χαλεποῦ ἤδη, καὶ οὐκ ἀνεκτοῦ αἰσθέσθαι· διπλασίω μὲν γὰρ εἶναι αὐτὸν τοῦ προτέρου· ὀρῶν δὲ ὑψηλοτέρων ἐκπίπτειν· ἑαυτοῦ μὲν οὖν, καί τινος τῶν ἑταίρων, οὕτω τι ἐκ-

D τυπηθῆναι τὰ ὦτα ὁ Δάμις φησὶν, ὡς αὐτός γε ἀναζεῦξαι, τοῦ τε Ἀπολλωνίου δεῖσθαι μὴ χωρεῖν πρόσω. τὸν δὲ, ἐῤῥωμένως ξὺν τῷ Τιμασίωνι, καὶ τῷ Νείλῳ, τοῦ τρίτου καταῤῥάκτου ἔχεσθαι, περὶ οὗ τάδε ἀπαγγεῖλαι ἥκοντα· ἐπικρέμασθαι μὲν τῷ Νείλῳ κορυφὰς ἐκεῖ,

σαδίων μάλιστα ὀκτὼ ὕψος, τὴν δὲ ὄχθην τὴν ἀντικειμένην τοῖς ὄρεσιν, ὀφρὺν εἶναι λιθοτομίας ἀῤῥήτου. τὰς δὲ πηγὰς ἀποκρεμαννυμένας τῶν ὀρῶν, ὑπερπίπτειν ἐς τὴν πετρώδη ὄχθην, ἀναχεῖσθαι δὲ ἐκεῖθεν ἐς τὸν Νεῖλον λυμαινούσας τε, καὶ λευκάς. τὰ δὲ πάθη τὰ περὶ αὐτὰς ξυμβαίνοντα, πολλαπλασίας, ἢ αἱ * πρότερον οὔσας. καὶ τὴν πηδῶσαν ἐκ τούτων ἠχὼ ἐς τὰ ὄρη, δυσήκοον ἐργάζεσθαι τὴν ἱστορίαν τοῦ ῥεύματος. τὴν δὲ πρόσω ὁδὸν, τὴν ἐπὶ τὰς πρώτας πηγὰς ἄγουσαν, ἄπορον μὲν ἐλθεῖν φασιν, ἄπορον δὲ ἐνθυμηθῆναι. πολλὰ γὰρ καὶ περὶ δαιμόνων ᾄδουσιν, οἷα καὶ Πινδάρῳ κατὰ σοφίαν ὕμνηται περὶ τοῦ δαίμονος, ὃν ταῖς πηγαῖς ταύταις ἐφίστησιν ὑπὲρ ξυμμετρίας τοῦ Νείλου.

κ. πρόπ-σαι,

A altitudine fermè ſtadiorum octo; ripam verò quæ montibus opponitur, ſupercilium habere lapidicinæ inenarrabilis: fontes verò ex montibus pendentes decidere in petroſam ripam, inde in Nilum refundi aquam albam & æſtuantem. Accidentia verò quæ inde oriuntur multiplicia ſunt, magíſque varia, quàm quæ in aliis catarrhactis prius euenerunt. Et qui illic in montibus reſonat fragor, aſperrimus B eſt, & inenarrabilem ſtrepitum reddit. Iter verò quòd ad primos fontes ducit, perarduum eſt, & non ſolùm acceſſu, ſed cogitatu etiam difficile. Multa etiam de dæmonibus illic exiſtentib. prædicant, qualia ſapienter Pindarus in ſuis hymnis de dæmone cecinit, quem eiuſmodi fontibus præeſſę dixit, vt Nilum moderaretur.

De Satyro prope catarrhactas Nili fœminas aggrediente, & quonam modo illum mitem manſuetúmque reddiderit Apollonius. Déque alterius Satyri habitu in Lemno. C**AP.** *XIII.*

ΚΑταλύσαντες δὲ μετὰ τοὺς καταῤῥάκτας ἐν κώμῃ τῆς Αἰθιοπίας οὐ μεγάλῃ, ἐδείπνουν μὲν περὶ ἑσπέραν, ἐγκαταμιγνύντες σπουδὴν παιδιᾷ, βοῆς δὲ ἀθρόας τῶν ἐν τῇ κώμῃ γυναικῶν ἤκουσαν, ἐπικελευομένων ἀλλήλαις ἑλεῖν, καὶ διῶξαι· παρεκάλουν δὲ καὶ τοὺς αὑτῶν ἄνδρας ἐς κοινωνίαν τοῦ ἔργου. οἱ δὲ ἁρπασάμενοι ξύλα, καὶ λίθους, καὶ ὅ,τι ἐς χεῖρας ἑκάστῳ ἔλθοι. ξυνεκάλουν, ὥσπερ ἀδικούμενοι τοὺς γάμους. ἐπεφοίτα δὲ ἄρα τῇ κώμῃ δέκατον ἤδη μῆνα σατύρου φάσμα, λυττῶν ἐπὶ τὰ

POST catarrhactas, cùm in vicum Æthiopiæ non magnum admodum diuertiſſent, atque illic cœnantes quieſcerent, ſeria iocis permiſta colloquentes; ecce ſubitus clamor in vico auditus eſt mulierum ſeſe inuicem cohortantium, D quarum aliæ inſequi, aliæ telum capere clamitabant: viros quoque ad eiuſdem operis communicationem cohortantes: illi verò fuſtibus, aut ſaxis, & quicquid in manus veniſſet arreptis, exclamabant ſe iniuria erga vxores affici. Venerat aûtem in vicũ illum decimo iam menſe antea Satyri ſpectrum furens erga

mulieres: iámque duas interfeciſſe ferebatur, quas amare maximè viſus fuerat. Hæc audientes Apollonij comites, cùm perterriti fuiſſent, Ne timeatis, inquit Apollonius, ſcio namque Satyrum quendam huic loco vim afferre. Certè per Iouem, inquit Nilus, neque nos Nudi hunc iam diutius inſultantem auertere potuimus vnquam, quo minus more ſuo laſciuiret. Eſt tamen, inquit Apollonius, aduerſus inſultatores huiuſmodi remedium quoddam, quo vſum fuiſſe Midam perhibent. Ipſe enim Midas Satyrorum generis particeps fuit, quod ipſius aures manifeſtabāt. Satyrus igitur quidam propter affinitatem ipſum illudebat in Midæ aures calumnias iactans, nec voce ſolùm, verùm etiam tibiis in ipſum carmina decantabat. Ille verò cùm ex matre, vt opinor, audiſſet Satyros vino demulceri, adeò vt cum epoto vino dormitauerint, manſuefacti poſtmodum non amplius conuicientur, fontem, qui penes regiam erat, vino commiſcuit, deinde Satyrum ad fontem immiſit: ille autem bibit, & ſuperatus eſt; & ne hoc falſum eſſe putetis, quæramus à vici huius præfecto, num aliquid vini loci huius habitatores habeant, & illud Satyro præbeamus: ſic enim *idem atque Midæ Satyrus patietur.* Cùm ita fieri cunctis placuiſſet, amphoras quatuor Ægyptias vino plenas lacunæ impoſuere, vbi eius vici pecora bibere cōſueuerant: eo peracto Apollonius, Satyrū inuocauit, occultè etiam aliqua minatus. Ille autem quaſi adhuc vinum non vidiſſet, eius tamē odore penè ac ſi bibiſſet correptus acceſſit. Poſtquā verò bibit, Libemus, inquit Apollonius Satyro, iā enim dormit. ea cùm dixiſſet, omnes vici habitatores ad nympharum antra deduxit,

A γύναια· καὶ δύ' ἀπεκτονέναι σφῶν
ἐλέγετο, ὧν μάλιστα ἐδόκει ἐρᾶν.
ἐκπεπληγμένων οὖν τῶν ἑταίρων. μὴ
δέδιτε*, εἶπεν ὁ Ἀπολλώνιος, ὑβρίζει γρ. δεδιέναι
γάρ τις ἐνταῦθα σάτυρος. νὴ Δί',
ἔφη ὁ Νεῖλος, ὅν γε ἡμεῖς οἱ γυ-
μνοὶ χρόνῳ ἤδη ὑβρίζοντα, μή πω* γρ. μήπω
μετεστήσαμεν τοῦ σκιρτᾶν. ἀλλ' ἔστιν, εἶ-
πεν, ἐπὶ τοὺς ὑβριστὰς τούτους φάρ-
B μακον, ᾧ λέγεται Μίδας ποτὲ χρή-
σασθαι. μετεῖχε μὲν γὰρ τοῦ τῶν σα-
τύρων γένους ὁ Μίδας οὗτος, ὡς ἐ-
δήλου τὰ ὦτα· σάτυρος δὲ ἐπ' αὐ-
τὸν εἷς κατὰ τὸ ξυγγενὲς ἐκώμαζε,
τὰ τοῦ Μίδου διαβάλλων* ὦτα· καὶ γρ. διαβάλλων
οὐ μόνον ᾄδων, ἀλλὰ καὶ αὐλῶν
τούτῳ. ὁ δ' οἶμαι τῆς μητρὸς ἀκη-
κοὼς ὅτι σάτυρος οἴνῳ θηρευθεὶς, ἐ-
πειδὰν ἐς ὕπνον καταπέσῃ, σωφρο-
νεῖ, καὶ διαλλάττεται, κρήνην τινὰ
C οὖσαν αὐτῷ περὶ τὰ βασίλεια, κε-
ράσας οἴνῳ, ἐπαφῆκεν αὐτῇ τὸν σά-
τυρον. ὁ δὲ, ἔπιέ τε, καὶ ἥλω. καὶ
ὅτι μὴ ψεύδεται ὁ λόγος, ἴωμεν
παρὰ τὸν κωμάρχην· καὶ ἢν ἔχω-
σιν οἱ κωμῆται οἶνον, κεράσωμεν
αὐτὸν τῷ σατύρῳ· καὶ ταυτὰ τῷ* Μί- ἴσ. τὰ τοῦ Μ.
δου πείσεται. ἔδοξε ταῦτα. καὶ ἀμ-
D φορέας Αἰγυπτίους τέτταρας οἰνοχοή-
σας ἐς ληνὸν, ἀφ' ἧς ἔπινε τὰ ἐν
τῇ κώμῃ πρόβατα, ἐκάλει τὸν σά-
τυρον, ἀφανῶς τι ἐπιπλήττων. ὁ δὲ,
οὔπω μὲν ἑωρᾶτο, ὑπεδίδου δὲ ὁ οἶ-
νος, ὥσπερ πινόμενος· ἐπεὶ δ' ἐξεπό-
θη, σπεισόμεθα, ἔφη, τῷ σατύρῳ. κα-
θεύδει γάρ· καὶ εἰπὼν ταῦτα, ἡγεῖτο
τοῖς κωμήταις ἐς νυμφῶν ἄντρον·

πλέθρον οὔπω ἀπέχων τῆς κώμης. ἐν ᾧ καθεύδοντα δείξας αὐτὸν, ἀπέχεσθαι, εἶπε, τοῦ παίειν, ἢ λοιδορεῖσθαι τοῦτον. πέπαυται γὰρ τῶν ἀνοήτων. τοῦτο μὲν δὴ τοιοῦτον Ἀπολλωνίου, μὰ δί' οὐχὶ ὁδοῦ πάρεργον, ἀλλὰ παρόδου ἔργον. κἂν ἐντύχῃ τις ἐπιστολῇ τοῦ ἀνδρὸς, ἣν πρὸς μειράκιον ὑβρίζον γράφων, καὶ σάτυρον δαίμονα σωφρονίσαι A

κ. ἐν Α. φησὶν ἐν * Αἰθιοπίᾳ, μεμνήσθω χρὴ τοῦ λόγου τούτου. σατύρους δὲ εἶναί τε, καὶ ἐρωτικῶν ἅπτεσθαι, μὴ ἀπιστῶμεν. οἶδα γὰρ κατὰ τὴν Λῆμνον τῶν ἐμαυτοῦ τινα ἰσηλίκων, οὗ τῇ μητρὶ ἐλέγετο ἐπιφοιτᾶν σάτυρος, ὡς εἰκὸς ἦν τῇ ἱστορίᾳ ταύτῃ. νεβρίδα γὰρ ξυμφυᾶ ἐδόκει ἐνημμένῳ κατὰ τὸν νῶτον. ἧς οἱ ποδεῶνες τε οἱ πρόσω ξυνειληφότες τὴν δέρην, περὶ τὸ στέρνον αὐτῷ ἀφῆπτοντο. ἀλλὰ μὴ πλείω ὑπὲρ τούτων. οὔτε γὰρ ἡ πεῖρα ἀπιστητέα, οὔτε ἐγώ. B

A quæ iugeris ſpatio à vico diſtabant, ibíq; dormientem illum oſtendens, Verberibus, inquit, & maledictis parcite, neque illum vllatenus laceſſite. Iam enim moleſtiam vobis afferre deſines: & hoc quidem Apollonij opus non præter itineris propoſitum, ſed ob ipſum iter *inſtitutum* fuerit. Extat autem illius epiſtola ad maledicum quendam adoleſcentem ſcripta, quæ dæmonem Satyrum in Æthiopia ſe manſuefeciſſe narrat, nihil aliud, quàm id, quod nuper retulimus, exprimere volens. Satyros autem eſſe, & procliues ad amandum exiſtere, negandum non eſt. Ego enim in Lemno quondam audiui æqualem meum, qui ad matrem ſuam venire ſolitum Satyrum quendam narrabat, eiúſque talem deſignabat habitum, dicebátque nebride humeros amiciri: cuius anteriores pedes collum circumplectẽtes in pectore nectebãtur. Sed de his hactenus. neq. enim experientiæ credendũ non eſt, neq. mihi.

De clade ingenti, qua Titus Hebræos affecit captis Hieroſolymis: faſſúmque publicè Titum ſuas ſe manus præbuiſſe Deo Hebræis irato, illiúſque, non ſua virtute fuiſſe victorem, & propterea noluiſſe coronam oblatam accipere. Quidque ſuper ea re ad illum ſcripſerit Apollonius. Tum de colloquio Titi cum Apollonio, déque morte Titi prædicta ab eo. Item de lepore piſce eſu pernicioſo, quo interiiſſe Titus dicitur. Cap. *XIIII.*

Καταβάντι δὲ αὐτῷ ἐξ Αἰθιοπίας, ἡ μὲν πρὸς τὸν Εὐφράτην διαφορὰ, ἐπέδωκε τότε μάλιστα ἐν ταῖς ὁσημέραι διαλέξεων ἐπέτρεπε δὲ αὐτὸς Μενίππῳ τε, καὶ Νείλῳ, μικρὰ ἐπιτιμῶν αὐτὸς τῷ Εὐφράτῃ. τοῦ δὲ Νείλου σφόδρα ἐπεμελεῖτο. ἐπεὶ δὲ Τίτος ᾑρήκει τὰ Σόλυμα, καὶ νεκρῶν πλέα ἦν πάντα, τὰ ὅμορα τῶν ἔθνη ἐστεφάνουν αὐτόν· D

DEſcẽdenti ex Æthiopia Apollonio aduerſus Euphratẽ diſcordia ex quotidianis ſermonib. incrementum accepit. Eius igitur curam aliquam Menippo, Nilóq; mandauit: Euphratẽ paululum increpans. Vehemẽter verò amabat Nilum. Interea Titus captis Hieroſolymis omnia circum loca cadaverib. compleuerat. finitimæ autem gentes ob victoriam coronare ipſum voluerant.

A Ille verò tali honore indignum ſe eſſe reſpondit: non enim ſe eſſe talium operum autorem, ſed Deo iracundiam contra Iudæos demonſtrâti, ſuas manus præbuiſſe. Ea cùm audiſſet Apollonius, vehementer virum laudauit, quòd videretur Titus ingenio abundare & modeſtia, tum verò diuinarum, humanarúmque rerum naturam noſſe, cùm ſanguinis cauſa coronari noluiſſet. Epiſtolam quoque ad eum ſcripſit; quam ad ipſum perferre Damidem B iuſſit. Fuit autem epiſtola talis:

APOLLONIVS TITO Romanorum Duci, Salutem.

Quòd nolueris pugnarum cauſa, & humani ſanguinis effuſione coronari, ego tibi modeſtiæ coronam tribuo: cùm te optimè noſſe animaduertam quorum gratia coronari quenquam oporteat. Vale.

C Hac epiſtola gauiſus Titus, Et meo, inquit, & patris nomine gratias habeo, & officiorum tuorum memor ero. Ego enim Hieroſolymam, tu autem me cepiſti. Cùm igitur imperator eſſet Romæ appellatus Titus, omnibus ornatus dignitatibus abire conſtituit, vt ſimul cum patre imperaret. Maximi tamen faciens Apollonium, permultùm perficere poſſe arbitratus eſt, ſi etiam breui tempore alloqui D eum poſſet: Quapropter ab eo petiuit, vt Argos accederet, eò cùm veniſſet Apollonius, alacriter, eum complectens Titus, Omnia mihi, inquit, pater per epiſtolas retulit, quorum abs te conſilium petiit. Ne fortè mentiri me putes: ecce tibi eius epiſtolam, vbi te benefactorem ſuum, & bonorum omnium quæ habemus, autorem appellat. Ego auté annos natus ſum triginta,

A ὁ δὲ, οὐκ ἠξίου ἑαυτὸν τούτου· μὴ γὰρ αὐτὸς ταῦτα εἰργάσθαι, θεῷ δὲ ὀργὴν φήναντι, ἐπιδεδωκέναι τὰς ἑαυτοῦ χεῖρας· ἐπῄνει ὁ Ἀπολλώνιος ταῦτα. γνώμη τε γὰρ περὶ τὸν ἄνδρα ἐφαίνετο, καὶ ξύνεσις ἀνθρωπείων τε, καὶ θείων, καὶ σωφροσύνης μεστὸν, τὸ μὴ στεφανοῦσθαι ἐφ᾽ αἵματι. ξυντάττει δὴ πρὸς αὐτὸν ἐπιστολὴν, ἧς διάκονον ποιεῖται τὸν B Δάμιν, καὶ ἐπιστέλλει ὧδε.

ΑΠΟΛΛΩΝΙΟΣ ΤΙΤΩι στρατηγῷ Ῥωμαίων, χαίρειν.

Βουληθέντι σοι μὴ ἐπ᾽ αἰχμῇ κηρύττεσθαι, μηδ᾽ ἐπὶ δηΐῳ αἵματι, δίδωμι ἐγὼ τὸν σωφροσύνης στέφανον· ἐπειδὴ ἐφ᾽ οἷς δεῖ στεφανοῦσθαι, γιγνώσκεις. Ἔρρωσο.

C Ὑπερησθεὶς δὲ ὁ Τίτος τῇ ἐπιστολῇ, καὶ ὑπὲρ ἐμαυτοῦ, ἔφη, χάριν οἶδά σοι, καὶ ὑπὲρ τοῦ πατρὸς, καὶ μεμνήσομαι τούτων. ἐγὼ μὲν γὰρ Σόλυμα ᾕρηκα, σὺ δὲ ἐμέ. ἀναρρηθεὶς δὲ αὐτοκράτωρ ἐν τῇ Ῥώμῃ, καὶ ἀριστείων ἀξιωθεὶς τούτων, ἀπῄει ἰσομοιρήσων τῆς ἀρχῆς τῷ πατρί. τὸν δὲ Ἀπολλώνιον, ἐνθυμη- D θεὶς ὡς πολλοῦ ἄξιος αὐτῷ ἔσται, κἂν πρὸς βραχὺ ξυγγενόμενος, ἐδεῖτο αὐτοῦ ἐπ᾽ Ἄργους ἥκειν. καὶ περιβαλὼν ἐλθόντα, πάντα μοι ὁ πατὴρ, ἔφη, ἐπέστελλεν, ὧν ξυμβούλῳ ἐποιεῖτο σέ. καὶ ἰδοὺ ἡ ἐπιστολὴ, ἐν ᾗ εὐεργέτης τε αὐτοῦ ἐν αὐτῇ γέγραψαι, καὶ πᾶν ὅ, τι ἐσμέν. ἐγὼ δὲ ἔτη μὲν τριάκοντα ταυτὶ γέγονα,

ἀξιούμενος δὲ, ὧν ὁ πατὴρ ἑξηκοντούτης ὤν, καὶ καλούμενος ἐς τὴν ἀρχὴν, πρὶν καὶ οἶδ' εἰ ἀρχθῆναι εἰδέναι, δέδια μὴ μειζόνων, ἢ ἐμὲ χρὴ, ἅπτωμαι. ἐπιψηλαφήσας δὲ αὐτοῦ τὸν αὐχένα ὁ Ἀπολλώνιος, καὶ γὰρ δὴ ἔρρωτο αὐτὸν, ἴσα τοῖς ἀσκοῦσι τὸ σῶμα. καὶ τίς, εἶπε, βιάσεται ταῦρον, αὐχένα οὕτω καρτερὸν ὑποσχεῖν ζυγῷ; ὁ ἐκ νέου, ἔφη, μοσχεύσας με· τὸν πατέρα τὸν ἑαυτοῦ λέγων ὁ Τῖτος, καὶ τὸ ὑπ' ἐκείνου ἂν μόνου ἀρχθῆναι, ὃς ἐκ παίδων αὐτὸν τῇ ἑαυτοῦ ἀκροάσει ξυνείθιζε. χαίρω οὖν, εἶπεν ὁ Ἀπολλώνιος, πρῶτον μὲν, παρεσκευασμένον σε ὁρῶν ἕπεσθαι τῷ πατρὶ, ὑφ' οὗ χαίρουσιν ἀρχόμενοι καὶ οἱ μὴ φύσει παῖδες· θεραπεύσοντά τε τὰς ἐκείνου θύρας, ὧν ξυνθεραπευθήσῃ. νεότητος δὲ γήρᾳ ἅμα ἐς τὴν ἀρχὴν ἰούσης, τίς μὲν λύρα, τίς δὲ αὐλὸς ἡδεῖαν ὧδε ἁρμονίαν, καὶ ξυγκεκραμένην ἀείσεται; πρεσβύτερα γὰρ ξυμβήσεται νέοις, ἐξ ὧν καὶ γῆρας ἰσχύσει, καὶ νεότης οὐκ ἀτακτήσει. ἐμοὶ δὲ, εἶπεν, ὦ Τυανεῦ, περὶ ἀρχῆς, καὶ βασιλείας, τί ὑποθήσῃ; ἄγε, ἔφη, σεαυτὸν πέπεικας· ὑποκείμενος γὰρ τῷ πατρὶ, δῆλά που ὡς ὁμοιώσῃ αὐτῷ. καὶ τὸν Ἀρχύτου αὖ εἴποιμι νυνὶ λόγον. γενναῖος γὰρ, καὶ μαθεῖν ἄξιος. ἐγένετο ὁ Ἀρχύτας ἀνὴρ Ταραντῖνος, τὰ Πυθαγόρου σοφός. οὗτος ὑπὲρ παίδων ἀγωγῆς γράφων, ἔστω φησὶν ὁ πατὴρ, παράδειγμα ἀρετῆς τοῖς παισίν. ὡς καὶ τῶν πατέρων ξυντονώτερον βαδιουμένων ἐπὶ τὰς ἀρετὰς, ἵν' ὁμοιῶνταί σφισιν οἱ παῖδες. ἐγὼ

A iiſdémque honoribus, quibus pater iam ſexagenarius ornatus, & cum eo pariter ad imperium vocatus, præter id, quod dubito, an rectè ſatis imperare ſciam: vereor etiam ne maiora, quàm me deceat, aggredi moliar. Demulcens autem eius collum Apollonius, quod robuſtum erat perinde atque eorum, qui corpus exercent, Dic mihi, inquit, quis tam valida ceruice taurum iugum ſub-
B ire cogeret? Is, inquit Titus, qui me vitulum à primordiis educauit: patrem illis verbis denotans; & quòd illius ſolum obtemperare præceptis à teneris aſſuefactus eſſet. Gaudeo, inquit Apollonius, primùm quòd te patri obtemperare paratum video, cuius dominatu gaudent etiam ſubditi, & qui natura filij non ſunt: quòd ſi frequenter cum eo domi verſaberis, inde honorem conſequeris. Iuuentute enim vnà cum ſenectute regnum gubernante, quæ lyra, quæ
C fiſtula *adeò ſuauem & temperatam* reſonabit harmoniam? *nam ſeniora iunioribus. concordabunt;* *vnde* & ſenectus roboris aliquid accipiet, & iuuentus inordinatè non efferetur. Mihi verò, Titus inquit, ô Tyanenſis, de regno, & imperio quid præcipies? Age, inquit Apollonius, Tu iam tibi quid agendum ſit perſuaſiſti. Cùm enim patri morem geras, non
D eſt dubium, quin tu illi ſimilis euadas. Ego autem Archytæ ſermonem tibi narrabo. Inſignis enim eſt, & cognitu dignus. is Tarento ortus, & Pythagoricæ doctrinæ ſectator, de puerorũ educatione ſcribens, Sit, inquit, pater filiis virtutum exemplar. quaſi parentes idipſum ſit ad virtutes ſtudioſius capeſſendas incitaturum, ſi filios ob id ſibi ſimiles futuros cenſeant. Ego au-

A tem Demetrium ſodalē meum tibi comitem adiungam, qui tecum erit vbicunq. volueris, & quid bonum virum facere deceat, edocebit. Tum Titus, Quænam, inquit, eſt eius viri, quem dicis, ſapientia? Libertas loquendi, inquit Apollonius, *& vera prædicandi: & conſtantia quæ à nullo perterretur.* habet enim vim quandam Cynicam. Cùm Titus audito canis nomine turbatus eſſet, Telemachus, inquit Apollonius, adhuc iuuenis, apud Homerum inducitur canes habens duos, qui tanquam famuli ipſum comitarentur ad Ithacenſium concionem proficiſcentem, quamuis hi comites rationis eſſent expertes. Tibi verò canis aderit, qui pro te aduerſus alios, & contra te ipſum, ſi quando peccaueris, ſapienter tamen, & non ſine ratione latrabit. Dato igitur, Titus inquit, pediſſequum canem. concedam enim non latrare tantùm, ſed etiam mordere, quotiens iniuſtè aliquid me facientem animaduerterit. Scribetur, inquit Apollonius, epiſtola. Nunc enim Romæ philoſophatur. Scribas, inquit Titus. vellem autem mei cauſa aliquis etiam ad te ſcriberet, vt mecum vnà venires. Veniam, inquit Apollonius, quando vtrique noſtrûm commodius erit, & vtilius. Semotis deinde arbitris, Titus, Quando, inquit, ſoli ſumus, Apolloni, permitte quæſo de iis, quæ mihi maximè curæ ſunt, aliquid interrogare. Interroga, inquit Apollonius, idque tanto audacius, quanto de rebus maioribus interrogaturus es. De vita mea, Titus inquit, & à quibus maximè cauendum mihi eſſet interrogarem; niſi fortè nimis timidus videri dubitarem, iam nunc talia formidans. Immò verò cautum & prudentem virum, inquit Apollonius, talia proſpicere decet.

A δέ σοι, καὶ Δημήτριον ξυστήσω τὸν ἐμαυτοῦ ἑταῖρον, ὃς ξυνέσται σοι ὁπόσε βούλει, διδάσκων τί δεῖ πράττειν τὸν ἀγαθόν. τίς δέ, ἔφη, Ἀπολλώνιε, ἡ σοφία τοῦ ἀνδρὸς τούτου; παρρησία, εἶπε, καὶ τὸ ἀληθεύειν, ἐκπλήττεσθαί τε ὑπὸ μηδενός. ἔστι γὰρ τοῦ κυνικοῦ κράτους. δυσχερῶς δὲ τοῦ Τίτου τὸν κύνα ἀκούσαντος, Ὁμήρῳ μέν τοι, ἔφη, νέος ὢν ὁ Τηλέμαχος, καὶ δυοῖν
B ἐδόκει κυνοῖν δεῖσθαι, καὶ ξυμπέμπειν αὐτὸν ὀπαδοὺς τῷ μειρακίῳ ἐς τὴν τῶν Ἰθακησίων ἀγορὰν, καί τοι ἀλόγους ὄντας· σοὶ δὲ ξυνέσται κύων, ὃς ὑπὲρ σοῦ τε πρὸς ἑτέρους, καὶ πρὸς αὐτόν σε, εἴ τι ἁμαρτάνοις, σοφῶς ἅμα, καὶ οὐδὲ ἀλόγως ὑλακτήσει. δίδου, εἶπε, τὸν ὀπαδὸν κύνα. ξυγχωρῶ δὲ αὐτὸν καὶ δακεῖν, εἴ τι με ἀδικοῦντα
C αἴσθοιτο. γέγραπται, ἔφη, πρὸς αὐτὸν ἐπιστολή· φιλοσοφεῖ δὲ ἐπὶ τῆς Ῥώμης. γεγράφθω, εἶπεν. ἐβουλόμην δ' ἂν καὶ πρὸς σὲ ὑπὲρ ἐμοῦ τινα γράφειν, ὡς ἅμα τῆς τε ἐς τὴν Ῥώμην ὁδοῦ κοινωνὸς ἡμῖν γένοιο. ἀφίξομαι, ἔφη, ὁπότε ἀμφοῖν λῷον. μεταστησάμενος δὲ ὁ Τίτος τοὺς παρόντας, αὐτοί, εἶπεν, ὦ Τυανεῦ γεγόναμεν· ξυγχωρεῖς γάρ που ἐρωτᾶν ὑπὲρ
D τῶν ἐμοὶ σπουδαιοτάτων; ἐρώτα, ἔφη, καὶ τοσούτῳ προθυμότερον, ὅσῳ ὑπὲρ μειζόνων. περὶ ψυχῆς, εἶπε, τῆς ἐμαυτοῦ, καὶ οὓς μάλιστα φυλαττοίμην ἂν ἔσται μοι ἡ ἐρώτησις, εἰ μὴ δόξω δειλός, δεδιὼς ἤδη ταῦτα. ἀσφαλὴς μὲν οὖν, ἔφη, καὶ ἐφεστηκώς· προορᾶν γὰρ τούτου χρὴ μάλιστα.

καὶ ἐς τὸν Ἥλιον ἀναβλέψας, ὤμνυ αὐτὸν, ἦ μὴν αὐτὸς μέλλειν ὑπὲρ τούτων πρὸς αὐτὸν λέξειν μηδὲ ἐρωτῶντα. τοὺς γὰρ θεοὺς φῆναί οἱ προειπεῖν αὐτῷ, ζῶντος μὲν τοῦ πατρὸς, δεδιέναι τοὺς ἐκείνῳ πολεμιωτάτους· ἀποθανόντος δὲ, τοὺς ἑαυτῷ οἰκειοτάτους. ἀποθανοῦμαι δὲ, εἶπε, τίνα τρόπον; ὅν γε, ἔφη, Ὀδυσσεὺς λέγεται. φασὶ γὰρ κἀκεῖνο τὸν θάνατον ἐκ θαλάττης ἐλθεῖν. ταῦτα ὁ Δάμις ὧδε ἑρμηνεύει. φυλάττεσθαι μὲν αὐτὸν τὴν αἰχμὴν τῆς τρυγόνος, ᾗ τὸν Ὀδυσσέα βεβλῆσθαί φασι. δυοῖν δὲ ἐτοῖν μετὰ τὸν πατέρα τὴν ἀρχὴν κατασχόντα, ὑπὸ τοῦ θαλαττίου λαγὼ ἀποθανεῖν. τὸν δὲ ἰχθὺν τοῦτον, παρέχεσθαι χυμοὺς ἀπορρήτους, ὑπὲρ πάντα τὰ ἐν τῇ θαλάττῃ, καὶ γῇ, ἀνδροφόνα. καὶ Νέρωνα μὲν ἐμποιῆσαι τοῖς ἑαυτοῦ ὄψοις τὸν λαγὼν τοῦτον, ἐπὶ τοὺς πολεμιωτάτους. Δομετιανὸν δὲ ἐπὶ τὸν ἀδελφὸν Τίτον, οὐ τὸ ξὺν ἀδελφῷ ἄρχειν δεινὸν ἡγούμενον * ἀλλὰ τὸ ξὺν πρᾴῳ τε, καὶ χρηστῷ. τοιαῦτα διαλεχθέντες, ἰδίᾳ περιέβαλον ἀλλήλους ἐν φανερῷ. ἀπιόντα δὲ προσειπὼν, νίκα, ὦ βασιλεῦ, ἔφη, τοὺς μὲν πολεμίους, ὅπλοις· τὸν δὲ πατέρα ἀρεταῖς.

Inde ad Solem reſpiciens, per ipſum iurauit, ſe iam antea ſtatuiſſe etiam non interrogatum aliquid ei hac de re dicere. Quoniam Dij præcepiſſent nuntiare, vt viuente patre ab iis, qui ſibi eſſent inimiciſſimi, caueret: mortuo autem ab iis, qui ſibi eſſent propinquiſſimi. Quo autem mortis genere moriturus ſum? Titus inquit. Eodem, inquit Apollonius, quo Vlyſſem mortuum eſſe perhibent. Aiunt enim illi mortem ex mari contigiſſe. Hoc autem dictum ita Damis interpretabatur, vt paſtinacæ cuſpidem ei cauendam moneret, qua percuſſum aſſerunt. Titum autem cùm poſt mortem patris annos duos regnaſſet à marino lepore interfectum dicunt. Is autem piſcis humores quoſdam occultos habet mortiferos ſupra omnia venena, quæ mari, terráve naſcantur. Et Neronem hunc ipſum piſcem epulis miſcuiſſe quandoque tradunt aduerſus homines ſibi inimiciſſimos. Domitianus quoque hoc eodem contra Titum fratrem vſus fuiſſe putatur, non quòd graue, moleſtúmque ſibi videretur ſimul cum fratre imperare, *ſed quòd cum* humano, benignóque viro *regnare nollet*. Cùm illi talia ſecretò inter ſe fuiſſent locuti, poſtea coram omnibus mutuò ſe complexi ſunt: abeuntem verò Titum, iis verbis allocutus eſt Apollonius. Vince ô Rex, hoſtes quidem armis, patrem verò virtutibus.

De epiſtola Apollonij ad Demetrium philoſophum; déque adoleſcente erudiendis auibus ſuas diuitias abſumente, atque perſuaſione Apollonij emendato. CAP. XV.

ΗΔΕ πρὸς τὸν Δημήτριον ἐπιστολὴ, ὧδε εἶχεν.

AD Demetrium autem epiſtolam ſcripſit iis verbis.

A

APOLLONIVS PHILOſophus Demetrio Cani, Gaudium dicit.

Ego te regi Tito regalium morum præceptorem dedi, tu fac vt illi de te vera dixerim, *& eſto ipſi omnia:* depoſita *duntaxat* iracũdia. Vale.

Tarſenſes præteritis temporibus Apollonio infenſi fuerant, propter graues obiurgationes, quibus in ipſos vſus fuerat, cùm delicioſi, molléſque ne verba quidem monentium perferre poſſent: tunc autem vſque adeò illum amabant, vt *conditorẽ alterum* ciuitatis, & vnicum vrbis præſidium illum eſſe putarent. Nam cùm rex aliquando publicè ſacrificaret, congregata in vnum ciuitas, de rebus maximi momenti ſupplicatum ad regem venit: ille verò petitionibus eorum auditis memoriæ habiturum, & de ipſis cum patre cõmunicaturum reſpondit. Quinetiam ſe legati vicem apud patrẽ pro ipſis ſubiturum pollicitus eſt. Accedens autem Apollonius, Si ego, inquit, horum aliquos manifeſtè coarguerim, tibi, patríque hoſtes acerrimos fuiſſe, legatóſque ad res nouas moliendas Hieroſolyma eſſe profectos, & ſocios belli occultos iis qui tibi manifeſtiſſimi hoſtes ſunt: *quidnam illi paterentur?* Quid aliud, Titus inquit, niſi vt morte plecterentur? Non igitur turpe iudicas, inquit Apollonius, à delinquentibus pœnas ſtatim repoſcere, in dandis autem beneficiis cunctationem quærere, & eas quidem ex te ipſo inferre, in iis alterius ſententiam aſciſcere ſociam? His verbis lætatus rex, Permitto, inquit, concedóque poſtulata, neq. enim mihi pater ſuccenſebit, quòd abs te, & à veritate fuerim ſuperatus.

ΑΠΟΛΛΩΝΙΟΣ ΦΙΛΟΣΟΦΟΣ Δημητρίῳ* κυνὶ, χαίρειν. *γρ. Σινωπεῖ

Δίδωμί σε βασιλεῖ Τίτῳ διδάσκαλον τοῦ τῆς βασιλείας ἤθους· σὺ δὲ ἀληθεῦσαί τέ με πρὸς αὐτὸν δίδου, καὶ γίγνου αὐτῷ, πλὴν ὀργῆς πάντα. Ἔρρωσο.

Οἱ δὲ τὴν Ταρσοὺς οἰκοῦντες, τὸν μὲν ἄλλον χρόνον ἤχθοντο τῷ Ἀπολλωνίῳ, διά τε τὰς ἐπιπλήξεις, ἐπειδὴ ξυντόνους αὐτὰς ἐποιεῖτο, διά τε τὸ ἀνειμένοι, καὶ τρυφῶντες, μηδὲ τὴν τοῦ λόγου, ἀνέχεσθαι ῥώμην· τότε δὴ οὕτω τι ἐπτήθησαν τοῦ ἀνδρὸς, ὡς οἰκιστήν τε αὐτὸν ἡγεῖσθαι, καὶ στήριγμα τοῦ ἄστεος. ἔθυε μὲν γὰρ δημοσίᾳ ὁ βασιλεύς· ξυνελθοῦσα δὲ ἡ πόλις, ἱκέτευεν ὑπὲρ τῶν μεγίστων· ὁ δὲ, μεμνῆσθαι τούτων πρὸς τὸν πατέρα, ἔφη, καὶ πρεσβεύσειν αὐτὸς, ὑπὲρ ὧν δέονται. παρελθὼν δὲ ὁ Ἀπολλώνιος, εἰ δὲ ἐνίους, ἔφη, τούτων ἐλέγξαιμι, σοὶ μὲν, καὶ πατρὶ τῷ σῷ πολεμίους. πεπρεσβευμένους δὲ ὑπὲρ νεωτέρων ἐς τὰ Σόλυμα, ξυμμάχους δὲ ἀφανεῖς τῶν σοὶ φανερωτάτων ἐχθρῶν, τί πείσονται; τί δὲ ἄλλο γε, εἶπεν, ἢ ἀπολοῦνται. εἶτα οὐκ αἰσχρὸν, ἔφη, τὰς μὲν τιμωρίας, αὐτίκα ἀπαιτεῖν, τὰς δὲ εὐεργεσίας, ὀψὲ διδόναι; καὶ τὰς μὲν, ὑφ' ἑαυτῷ ποιεῖσθαι, τὰς δὲ, ἐς κοινωνίαν γνώμης ἀνατίθεσθαι; ὑπερησθεὶς δὲ ὁ βασιλεὺς, δίδωμι τὰς δωρεὰς, εἶπεν. οὐ γάρ μοι ἀχθέσεται ὁ πατὴρ, ἀληθείας ἡττωμένου, καὶ σοῦ:

τοσαῦτα ἔθνη φασὶν ἐπελθεῖν τὸν Ἀπολλώνιον, σπουδάζοντά τε, καὶ σπουδαζόμενον. αἱ δὲ ἐφεξῆς ἀποδημίαι, πολλαὶ μὲν ἐγένοντο τῷ ἀνδρὶ, οὐ μὴν τοσαῦταί γε ἔτι, οὐδὲ ἐς ἕτερα ἔθνη, πλὴν ἃ ἔγνω. περί τε γὰρ τὴν
κ. τὴν ἐπὶ ἐν θαλάττῃ Αἴγυπτον, καταβάντι αὐτῷ ἐξ Αἰθιοπίας, διατριβὴ πλείων ἐγένετο· περί τε Φοίνικας, καὶ Κίλικας, Ἴωνάς τε, καὶ Ἀχαιοὺς, καὶ Ἰταλοὺς πάλιν, οὐδαμοῦ ἐλλείποντι, τὸ μὴ οὐχ ὁμοίῳ φαίνεσθαι. χαλεποῦ γὰρ τοῦ γνῶναι ἑαυτὸν δοκοῦντος, χαλεπώτερον ὂν ἔγωγε ἡγοῦμαι τὸ μεῖναι τὸν σοφὸν ἑαυτῷ ὅμοιον· οὐδὲ γὰρ τοὺς πονηρῶς φύντας, ἐς τὸ λῷον μεταστήσει, μὴ πρότερον ἐξασκήσας τὸ μὴ αὐτὸς μὴ μεθίστασθαι. ὑπὲρ μὲν δὴ τούτων ἐν ἑτέροις λόγοις ἱκανῶς εἴρηκα, διδάσκων τοὺς μὴ μαλακῶς αὐτοῖς ὁμιλοῦντας, ὅτι τὸν ἀτεχνῶς ἄνδρα, μήτε μεταστήσει τι, μήτε δουλώσεται. ὡς δὲ μήτε ἐς λόγων ἴοιμεν μῆκος ἀκριβῶς, ἀναδιδάσκοντες τὰ παρ' ἑκάστοις αὐτῷ φιλοσοφηθέντα, μήτ' αὖ διαπηδῶντες φαινοίμεθα λόγον, ὃν οὐκ ἀπόνως παραδίδομεν τοῖς ἀπείροις τοῦ ἀνδρὸς, δοκεῖ μοι τὰ σπουδαιότερα ἐπελθεῖν τούτων, καὶ ὁπόσα μνήμης ἀξιώσεται. ἡγώμεθα δὲ αὐτὰ παραπλήσια ταῖς τῶν Ἀσκληπιαδῶν ἐπιδημίαις. μειράκιον ἑαυτοῦ μὲν ἀπαιδεύτως εἶχε, τοὺς δὲ ὄρνις ἐπαίδευε, καὶ ξυνοίκους ἐπὶ σοφίᾳ ἐποιεῖτο. ἐδίδασκε δὲ αὐτοὺς λαλεῖν τε ὅσα οἱ ἄνθρωποι, καὶ τερετίζειν, ὅσα οἱ αὐλοί. τούτῳ περιτυχὼν, τί, ἔφη, ἐπιτηδεύεις; ἐπεὶ δὲ τοὺς

A Talia apud varias gentes Apollonius, partim docens, partim etiam diſcens philoſophatus eſt. Poſteriores peregrinationes eius multæ quidem fuerunt, non tamen tam longæ, neque ad exteras nationes; quod quidem ſciam. Nam poſtquam deſcendit ex Æthiopia frequenter ſecus Ægyptium mare verſatus, apud Phœnices quoque, & Cilices, Ionéſque & Achæos: rur-
B ſúſque apud Italos manſit; nihil vnquam omittens, quo minus ſemper ſibi ſimilis videretur. Cùm enim perdifficile putetur ſe ipſum noſcere, ego multò difficilius arbitror ſapientem ſibi ſimilem permanere. Neque enim eos, qui natura praui ſunt, commutabit in melius, niſi antea ſe ita comparauerit, vt ipſe immutabilis maneat. Verùm de his alio loco ſufficienter à nobis dictum eſt, vbi etiam edocuimus, eos, qui non deliciosè,
C mollitérque inter ſe degunt, eúmque, qui re vera vir eſt, nulla contingens res permutabit, aut in ſeruitutem rediget. Sed ne prolixiores ſermones faciamus exactè narrando, quæ apud ſingulos philoſophatus ſit, néve rurſus videamur tranſeundo interrumpere ſermonẽ, quem non ſine labore conſcribimus iis, quibus vir tantus ignotus erat, viſum eſt mihi ſtudioſiora eius viri
D facta narrare, & quæ magis digna memoratu apparuerunt. Putamus autem hæc Aſclepiadarum peregrinationi ſimilia viſum iri. Adoleſcens quidem omnium bonarum artium ignarus ſtudioſè varias aues erudiebat, ſapientiæ quoad poterat, participes eas reddens, docebátque & hominum voces imitari, & gutture tanquam tibiis modulari. Huic occurrens Apollonius, quidnã artis exerceret, interrogauit: cúmque ille

graculos, ſ. merulas.

philomelas, & * pſittacos, & alias aues, quæ linguam habent expeditiorem, *inter quas charadrij*, docere ſe reſpondiſſet: ipſe autem in loquendo rudis, & incultus, Videris, inquit Apollonius, huiuſmodi aues corrumpere. Primùm quidem quòd eas ſua, vt ita dicam, locutione vti non ſinis, quæ adeò ſuauis eſt, atque iucunda, vt eam nulla muſicæ inſtrumenta poſſint imitari: deinde cùm tu Græcorum omnium peſſimè loquaris, tuæ ruditatis diſcipulas ipſas facis. Fruſtra inſuper facultates tuas conſumis. Cùm enim tuos comites, & te ipſum, quo pacto ſis cultus, intueor, diues mihi, delitioſúſque eſſe videris. Huiuſmodi autem viros calumniatores premunt, linguis contra eos pro ſtimulis vtentes: & quid aduerſus eos tibi tunc proderit auium curatio? Non enim ſi philomelarum omnium cantus in vnum congeras, abigere illas poteris tibi incumbentes, & in te conuitia iactantes. Sed opus eſt facultates tuas illis impertiri, & pecuniam illis tanquam canibus mellitas offas obiicere, quibus rurſus latrantibus iterum atque iterum dandum erit, quoad ipſe famelicus & pauper euadas. Opus igitur tibi eſt curatione inſigni, & vitæ mutatione præclara, *ne lateat te, dum in auiculas effundis opes: & ea præſtas ob quæ* plorare potius, quàm cantare aues debuerint. Eſt autem mutationis huius remedium non magnum, neque difficile. Eſt enim in ſingulis ciuitatibus hominum quoddam genus tibi adhuc ignotum: id autem magiſtrorum genus ab hominibus vocatur: his pauca ex tuis facultatibus præbens

A τε ἀηδόνας αὐτῷ διῄει, καὶ τοὺς κοψίχους, καὶ ὁπόσα εὐγλωττίζει τοὺς χαραδρίους· τὴν φωνὴν δὲ ἀπαίδευτον ἐφαίνετο. δοκεῖς μοι, ἔφη, διαφθείρειν τοὺς ὄρνις, πρῶτον μὲν, τὸ μὴ ξυγχωρεῖν αὐτοῖς τὸ ἑαυτῶν φθέγμα, οὕτως ἡδὺ ὄν, ὡς μηδ᾽ ἂν τὰ μουσικὰ τῶν ὀργάνων ἐς μίμησιν αὐτοῦ καταστῆναι. εἶτα καὶ τὸ κάκιστα Ἑλλήνων αὐτὸς διαλεγόμενος, μαθη-

B τὰς αὐτοὺς ποιεῖσθαι ἀφωνίας. ἐπιτρίβεις δὲ, ὦ μειράκιον, καὶ τὸν σεαυτοῦ οἶκον. βλέψαντι γὰρ ἐς τοὺς ἀκολούθους, καὶ ὡς κατεσκεύασθαι, τῶν ἁβρῶν ἔμοι γε, καὶ οὐκ ἀπλούτων φαίνῃ. τοὺς δὲ τοιούτους ὑποβλίττουσιν οἱ συκοφάνται, κέντρα ἐπ᾽ αὐτοὺς ἡρμένοι τὴν γλῶτταν. καὶ τί χρήσῃ τῇ φιλορνιθίᾳ τότε; οὐ-

C δὲ γὰρ τὰ πασῶν ἀηδόνων μέλη ξυμφέρων ἀποσοβήσεις αὐτοὺς ἐγκειμένους τε, καὶ ἐρείδοντας. ἀλλ᾽ ἐπαντλεῖν χρὴ τῶν ὄντων, καὶ περιβάλλειν αὐτοῖς τὸ χρυσίον, ὥσπερ τὰ μειλίγματα τοῖς κυσὶ, κἂν ὑλακτῶσιν, αὖθις διδόναι, καὶ αὖθις· εἶτα αὐτὸν πεινῆν ὕστερον, καὶ ἀπορεῖν. δεῖ δέ σοι ἐκτροπῆς λαμπρᾶς, καὶ μεταβολῆς ἤδη τινὸς τῶν τρόπων, ὡς

D μὴ λάθῃς πτερορρυήσας. τὸν πλοῦτον, καὶ ἀξίως πράττων τοῦ θρηνεῖσθαι μᾶλλον ὑπ᾽ ὀρνίθων, ἢ ᾄδεσθαι. τὸ δὲ φάρμακον τῆς μεταβολῆς, οὐ μέγα. ἔστι γάρ τι ἐν ἁπάσαις πόλεσιν ἔθνος ἀνθρώπων, ὃ σὺ οὔπω μὲν γιγνώσκεις, καλοῦσι δὲ αὐτὸ διδασκάλους. τούτοις ἀπὸ τῆς

οὐσίας μικρὰ δοὺς, ἀσφαλῶς κεκτήσῃ τὰ πλείω. ῥητορικὴν γάρ σε παιδεύουσι τὴν τῶν ἀγοραίων. ῥᾳδία δὲ ἡ τέχνη. εἰ μὲν γὰρ παῖδά σε ἑώρων, ἔτι ξυνεβούλευον ἂν φοιτᾶν ἐπὶ φιλοσόφων τε, καὶ σοφιστῶν θύρας, καὶ σοφίᾳ πάσῃ τὴν οἰκίαν τὴν σεαυτοῦ φράττειν. ἐπειδὴ ἔξωρος τούτων τυγχάνεις ὤν· τό γ' οὖν ὑπὲρ σεαυτοῦ λέγειν, ἐκμάθε, νομίσας, εἰ μὲν τὰ τελεώτερα ἔμαθες,
κ.π. ε κἂν ὅμοιος ἀνδρὶ ὁπλιτεύοντί ποτε*, καὶ φοβερῷ δόξαι· ταυτὶ δὲ ἐκμαθὼν, τὴν τῶν ψιλῶν τε, καὶ σφενδονητῶν σκευὴν ἕξεις. βάλλεις γὰρ ἂν τοὺς συκοφάντας, ὥσπερ τοὺς κύνας· ξυνῆκε τὸ μειράκιον τούτου. καὶ τὰς τῶν ὀρνίθων διατριβὰς ἐκλιπὸν, ἐς διδασκάλων ἐβάδισεν, ὑφ' ὧν καὶ ἡ γνώμη αὐτοῦ, καὶ ἡ γλῶττα ἴσχυσε.

A tutò reliquas poſſidebis. Forenſem namq; rhetoricam te docebunt. Eſt autem ars ea cognitu facilis. quòd ſi te in pueritia conſtitutum adhuc viderem, conſuluiſſem vt ad ſophiſtarum, philoſophorúmque limina accedens, omni ſapientia domum tuam ſepires. Sed quoniam illa diſcendi tempus præteriit, diſce ſaltem, vt pro te ipſo dicere poſſis, atque illud tecum meditare, quòd
B ſi perfectiora didiciſſes, ſimilis eſſes *grauibus armaturæ militi*, & ceteris terribilis: Hæc autem ſi didiceris, expeditorum militum, aut funditorum armaturam habebis, qua poteris calumniatores perinde ac canes ferire. Hæc verba diligenter conſiderans adoleſcens, auium ſtudio, curáque relicta, ad præceptores profectus eſt, qui mentem eius, ac linguam direxere.

An olim Pactolus aureas arenas habuerit. An item arbores terra ſint antiquiores. Déque ingenti Antiochiæ terramotu, atque de theſauro inuento in hortu.

Cap. XVI.

Δυοῖν δὲ λόγοιν ἐν Σάρδεσι λεγομένοιν, τοῦ μὲν, ὡς ὁ Πακτωλός ποτε τῷ Κροίσῳ ψῆγμα χρυσοῦ ἄγοι. τοῦ δὲ, ὡς πρεσβύτερα τῆς γῆς εἴη τὰ δένδρα. τὸν μὲν, πιθανῶς, ἔφη, πεπιστεῦσθαι. χρυσία γὰρ εἶναί ποτε τῷ Τμώλῳ ψαμμώδη, καὶ τοὺς ὄμβρους αὐτὰ φέρειν ἐς τὸν Πακτωλὸν κατασύραντας, χρόνῳ δὲ ὅπερ φιλεῖ τὰ τοιαῦτα αὐτὰ ἀπολιπεῖν ἀποκλυσθέντα. τοῦ δὲ ἑτέρου λόγου καταγελάσας, ὑμεῖς μὲν, ἔφη, πρεσβύτερα τῆς γῆς φατε εἶναι τὰ δένδρα. ἐγὼ δὲ, πολὺν οὕτω χρόνον φιλοσοφήσας, οὔπω ἔγνων οὐρανοῦ

Cvm opiniones duæ Sardibus vigerent, quarum vna dicebat Pactolum quondam aurea fruſta Crœſo deferre ſolitum: altera arbores antiquiores eſſe, quàm ter-
D ra: earum vnam veriſimiliter aiebat Apollonius credi poſſe, arenas ſcilicet aureas olim Tmolo fuiſſe, imbréſque trahentes in Pactolum detuliſſe: tempore autem, quo id ſolet accidere, eas ablutas deſeruiſſe. Alteram autem opinionem valde deridebat, inquiens, vos arbores dicitis terra priores exiſtere: ego autem ſatis longo tempore philoſophatus, nunquam agnoui cœlo

aſtra fuiſſe priora, atque illud etiam edocuit, nihil vnquam fieri, niſi antea id extiterit, in quo tale id fieri deberet. Cùm Syriæ præfectus ſuſpiciones ciuibus inſerens, Antiochiam ad ſeditionem compuliſſet, ciuitas omnis in duas partes diuiſa ſeceſſerat: ingenti autem terræmotu coorto vniuerſi perterriti ſunt, & quòd in eiuſmodi portentis fieri conſueuit, *pro ſe inuicem preces fuderunt.* Accedens itaque ad eos Apollonius, Deus, inquit, manifeſtè vobis concordiæ ſequeſter, ac mediator extitit: vos autem ſi ſapitis, non iterum poſthac diſſidebitis talia metuentes, monuitque vt cogitarent quidnam ob ſeditiones eſſent paſſuri: vtque aliorum exemplis moniti, ſibi ipſis cauerent, & conſultarent. Illud præterea memoratu dignum duximus, quod paulopoſt enarrabimus. Quidam pro theſauro inueniendo telluri ſacrificabat, & eadem de cauſa ſupplicare Apollonio non dubitauit. Qui cogitans cuius rei amore teneretur, lucratorem te eſſe video percupidum. Ille autem facultates, inquit, nullæ mihi ſunt, præter admodum paucas, quæ educandæ familiæ non ſufficiunt. Videris igitur, inquit Apollonius, familiam magnam, & ocioſam educare domi: neque enim imprudentibus connumerandus appares. Ille verò parumper lachrymans, Filias, inquit, habeo quatuor: Quapropter & dotibus quatuor indigeo. Habeo autem drachmas tantùm bis mille, quas vbi filiabus pro dotibus dedero, illæ quidem parùm accepiſſe videbuntur, ego autem funditus periero, cùm nihil penitus mihi relinquetur. Illum igitur miſeratus Apollonius, Ego, inquit, & terra de te curam habebimus: nam illi

A προγενεστέροις ἀστέρας, διδάσκων ὅτι ἂν γένοιτό τι, τοῦ ἐν ᾧ φύεται μὴ ὄντος. στασιάζοντος δὲ τὴν Ἀντιόχειαν τοῦ τῆς Συρίας ἄρχοντος, καὶ καθιέντος ἐς αὐτοὺς ὑποψίας, ὑφ' ὧν διειστήκεσαν ἐκκλησιαζομένη πόλις· σεισμοῦ δὲ γενναίου προσπεσόντος ἔπτηξαν· καὶ ὥσπερ ἐν διοσημίαις εἰώθεν, ὑπὲρ ἀλλήλων ηὔ-
B ξαντο. παρελθὼν οὖν ὁ Ἀπολλώνιος, ὁ μὲν θεὸς, ἔφη, διαλλακτὴς ὑμῖν σαφὴς γέγονεν· ὑμεῖς δὲ, οὐδ' ἂν αὖθις στασιάσετε, τὰ αὐτὰ φοβούμενοι. καὶ κατέστησεν αὐτοὺς ἐς ἔννοιαν, ὧν ποτε πείσονται, καὶ ταὐτὸ τοῖς ἑτέροις φοβήσονται. ἄξιον δὲ καὶ τούτου ἐπιμνησθῆναι. ἔθυέ τις ὑπὲρ θησαυροῦ τῇ γῇ, καὶ οὐδὲ τῷ Ἀπολλωνίῳ προσεύχεσθαι ὑπὲρ τούτου ὤκνει. ὁ δὲ,
C ἐνθυμηθεὶς οἵων ἐρᾷ, δεινόν γε, ἔφη, χρηματιστὴν ὁρῶ. κακοδαίμονα μὲν οὖν, εἶπεν, ᾧ γε ἐστὶν οὐδὲν, πλὴν ὀλίγων, ἃ μὴ ἀπόχρη βόσκειν τὸν οἶκον. ἔοικας; ἔφη, πολλοὺς τρέφειν, καὶ ἀργοὺς οἰκέτας· οὐδὲ γὰρ αὐτός γε τῶν ἀσόφων φαίνῃ. ὁ δὲ, ἠρέμα ἐπιδακρύσας,
D θυγατέρες μοι, εἶπεν, ἐστὶ τέτταρες, καὶ φερνῶν δεῖ τεττάρων. ἐμοὶ δὲ εἰσὶ δισμύριαί που δραχμαὶ νῦν. ἐπειδὰν δὲ ταῖς θυγατράσι κατανεμηθῶσιν, ἐκεῖναί τε σμικρὸν εἰληφέναι δόξουσιν, ἐγὼ δὲ ἀπολοῦμαι, ἔχων οὐδέν. παθὼν οὖν τι πρὸς αὐτὸν ὁ Ἀπολλώνιος, ἐπιμελησόμεθά σου, ἔφη, κἀγὼ καὶ ἡ γῆ. φασὶ γάρ σε

θύειν αὐτῇ. καὶ εἰπὼν ταῦτα, περιῄει
τὰ προάστεια, ὥσπερ οἱ τοὺς καρ-
ποὺς ὠνούμενοι· ἰδὼν δέ τι χωρίον
ἐλαῶν πλῆρες, καὶ ἡσθεὶς τοῖς δένδρε-
σιν, ὡς εὐφυᾶ τε ἦν, καὶ μεγάλα·
καί τινος κηπίου ἐν αὐτῷ ὄντος, ἐν ᾧ
σμήνη τε, καὶ ἄνθη ἑωρᾶτο, παρῆλ-
θεν ἐς τὸ κηπίον, ὥς τι ἐπισκεψόμε-
νος μεῖζον. καὶ προσευξάμενος τῇ
Πανδώρᾳ, ἐχώρει ἐς ἄστυ. βαδίσας
δὲ παρὰ τὸν τοῦ ἀγροῦ δεσπότην, ᾧ
πλοῦτος ἐκ τῶν παρανομωτάτων ἐπε-
πόριστο, τὰς Φοινίκων οὐσίας ἐνδει-
κνύντι, χωρίον, ἔφη, ὁ δεῖνα, πόσου
ἐπρίω, καὶ τί πεπόνηταί σοι ἐς αὐτό.
τοῦ δέ, πέρυσι μὲν ἐωνῆσθαι τὸν ἀγρὸν
πεντακισχιλίων, καὶ μυρίων φήσαν-
τος, οὔπω δ' ἐκπεπονηκέναι, πείθει τὸν
ἄνθρωπον, ἀποδόσθαι οἱ δισμυρίων
αὐτὸν εὕρημα ποιησάμενον τοὺς πεν-
τακισχιλίους. ὁ μὲν δὴ τοῦ θησαυροῦ
ἐρῶν, οὔπω ξυνίει τοῦ δώρου, ἀλλ'
ᾤετο ἴσα ἔχειν. τοσούτῳ δὲ ἐλάττω,
ὅσῳ τὰς μὲν δισμυρίας ἐν ταῖν χε-
ροῖν οὔσας, ἐφ' ἑαυτῷ εἶναι. τὸν
δ' ἀντ' αὐτῶν ἀγρὸν, ἐπὶ πάχναις
κείσεσθαι, καὶ χαλάζαις, καὶ τοῖς ἄλ-
λοις, ἃ τοὺς καρποὺς φθείρει. ἐπεὶ δὲ
ἀμφορέα μὲν τρισχιλίων δαρεικῶν
αὐτίκα εὗρε περὶ αὐτὸ μάλιστα τὸ
ἐν τῷ κηπίῳ σμῆνος· εὐφόρου δὲ τοῦ
τῆς ἐλαίας καρποῦ ἔτυχεν, οὐκ εὐφο-
ρούσης τότε τῆς ἄλλης γῆς, ὕμνοι αὐτὸ
ἐς τὸν ἄνδρα ᾔδοντο, καὶ μνηστήρων
θεραπευόντων αὐτὸν, πλέα ἦν πάντα.

A te ſacrificare frequenter dicunt. Poſt
hæc verba Apollonius in ſuburba-
nos agros profectus, tanquam vnus
ex iis, qui fructus emendos quærunt.
videns autem agellum oliuis conſi-
tum, gaudens illum aſpiciebat: nam
arbores viridiſſimæ erant, ac pro-
ceræ: & in agello hortulum eſſe ani-
maduertit, vbi apum erant examina,
& flores permulti; hortúmque in-
greſſus quaſi maius aliquid conſide-
ratus Pandoræ ſacrificauit: deinde
B in vrbem reuerſus agelli dominum
conuenit, qui diuitias iniquiſſimis
quibuſcunq. rationibus comparans
Phœnicum fortunas congregabat.
Hunc itaque alloquens Apollonius,
talem, inquit, agellum quanti emiſti?
quídve poſtmodum in eo colendo
ſumptus feciſti? Ille autem anno pro-
ximo drachmis mille & quingentis
agrum ſe emiſſe reſpondit: ſumptus
auté in colendo feciſſe nullos. Hor-
C tatur igitur Apollonius virum, vt
duobus drachmarum millib. agrum
ſibi vendat, cum drachmarum quin-
gentarũ lucro: emptor autem quid
acciperet muneris nondum intelli-
gebat: venditor verò pecuniarum
amator, pluris multò bis mille dra-
chmas, quàm agrum ipſum faciebat,
quòd pecunias in manus habens, ſibi
penitus ſubiectas fore ipſas animad-
uertebat. Agrum verò imbribus, &
grandinibus, & ceteris multis quæ
D fructus plerunque corrumpunt ex-
poſitum eſſe ſciebat. Sed poſtquam
amphoram tribus millibus daricis
plenam humi defoſſam inuenit in ea
horti parte, vbi apum aluearia fuiſſe
diximus: copioſis etiam oliuarũ fru-
ctibus potitus eſt, cùm alibi non
multas oleas terra protuliſſet, tum
verò maximas viri laudes vbiq; de-
cantabat, ipſe verò à multis procis
colebatur.

De quodam qui Gnidiæ Veneris ſimulachri amore ardebat. Item de vrbibus Helleſponti terræmotu ab Apollonio liberatis. Tum de edicto Domitiani ne liceret eunuchos facere, & plantare vineas. CAP. XVII.

ALIVD præterea memorabile A ab Apollonio geſtum huiuſcemodi comperi. Quidam ſimulachrũ Veneris, quod nudum in Gnido poſitum eſt, vehementer amabat, magnámq. facultatum ſuarum partem donaria in templo ſuſpendens conſumpſerat: plura etiam ſe donaturum pollicebatur, ſi eius nuptiis potiretur. Hæc Apollonio ſceleſta videbantur, cùm præſertim id Gnidij B non prohiberent, ſed Deam famoſiorem viſum iri putarent, ſi amaretur. Apollonio autem conſentaneum rationi viſum eſt tali dementia templum purgare: & interrogantibus ſe Gnidiis an aliquid emendare vellet ex iis, quæ apud ipſos in templo, aut ſacrificando, aut orando ſeruabantur, Oculos, inquit, emendabo: templi autem ritus perinde, vt nunc ſunt, ſunto. Inde virum C ad ſe vocans, qui amore torquebatur interrogauit, an putaret Deos eſſe. Cúmque ille ſe putare dixiſſet, atque adeò, vt eorum etiam amore teneretur, nuptiarúmq. memoriam intuliſſet, quas ſacrificiis aſſequi ſe poſſe arbitrabatur, Te, inquit, ô demens, poëtæ extulerunt, qui Anchiſas & Peleos Deabus commiſtos eſſe fabulantur. Ego autem de amore hoc agnoſco quòd Dij Deas, & D viri mulieres, & beluæ beluas, &, vt breuiter omnia complectar, ſimilia ſimiles amant: quò ſimiles, & eiuſdem generis partus edant. Alterius verò generis animal ſi diſſimili coniungatur, neque coniugium neque amorem ſeruare poteſt. Quòd ſi ea, quæ de Ixione feruntur, cogitares, nunquã tibi veniſſet in mẽtem,

A ΚΑΙΚΕΙΝΑ ἀξιομνημόνευτα εὗρον τοῦ ἀνδρός. ἐρᾶν τις ἐδόκει τοῦ τῆς Ἀφροδίτης ἕδους, ὃ ἐν Κνίδῳ γυμνὸν ἵδρυται· καὶ τὰ μὲν, ἀνετίθει. τὰ δ᾽ ἀναθήσειν ἔφασκεν ὑπὲρ τοῦ γάμου. Ἀπολλωνίῳ μὲν * καὶ ἄλλως ἄτοπα ἐδόκει καὶ ταῦτα. ἐπεὶ δὲ μὴ παρῃτεῖτο ἡ Κνίδος, ἀλλ᾽ B ἐναργεστέραν ἔφασαν τὴν θεὸν δόξειν, εἰ ἐρῷτο· ἔδοξε τῷ ἀνδρὶ καθᾶραι τὸ ἱερὸν τῆς ἀνοίας ταύτης. καὶ ἐρομένων τῶν Κνιδίων αὐτὸν, εἴ τι βούλοιτο τῶν θυτικῶν, * καὶ εὐκτικῶν διορθοῦσθαι, ὀφθαλμοὺς, ἔφη, διορθώσομαι· τὰ δὲ τοῦ ἱεροῦ πάτρια, ἐχέτω ὡς ἔχει. καλέσας οὖν τὸν θρυπτόμενον, ἤρετο αὐτὸν, C εἰ θεοὺς νενόμικε. τοῦ δ᾽ οὕτω νομίζειν θεοὺς φήσαντος, ὡς καὶ ἐρᾶν αὐτῶν, καὶ τῶν γάμων μνημονεύσαντος, οὓς * θύειν ἡγεῖτο, σὲ μὲν ποιηταὶ, ἔφη, ἐπαίροισι, τοὺς Ἀγχίσας τε, καὶ τοὺς Πηλέας θεαῖς ξυζυγῆναι εἰπόντες· ἐγὼ δὲ, περὶ τοῦ ἐρᾶν, καὶ ἐρᾶσθαι, τόδε γιγνώσκω· θεοὶ θεῶν· ἄνθρωποι ἀνθρώπων· θηρία D θηρίων· καὶ καθάπαξ, ὅμοια ὁμοίων ἐρᾷ, ἐπὶ τὸ ὅμοια*, καὶ ξυγγενῆ τίκτειν. τὸ δὲ ἑτερογενὲς, τῷ μὴ ὁμοίῳ ξυνελθὸν, οὔτε ζυγὸς, οὔτε ἔρως. εἰ δὲ ἐνεθύμου τὰ Ἰξίονος, οὐδ᾽ ἂν ἐς ἔννοιαν καθίστασο τοῦ μὴ ὁμοίων ἐρᾶν.

γ. δὲ καὶ μὲν ἀ. ἐ. τ.

γ. ἢ εὐ.

γ. θύσειν

γ. ἵνα καὶ

ἀλλ' ἐκεῖνος μὲν τροχῷ εἰκασμένος, δι' οὐρανοῦ κάμπτεται. σὺ δ' εἰ μὴ ἄπει τοῦ ἱεροῦ, ἀπολῇ ἐν ἁπάσῃ τῇ γῇ, οὐδ' ἀντειπεῖν ἔχων, τὸ *μὴ οὐ δίκαια τοὺς θεοὺς ἐπὶ σοὶ γνῶναι· ὧδε ἡ παροινία ἐσβέσθη, καὶ ἀπῆλθεν ὁ φάσκων ἐρᾶν ὑπὲρ ξυγγνώμης θύσας. σεισμῶν δὲ κατασχόντων ποτὲ τὰς ἐν τῷ ἀριστερῷ Ἑλλησπόντῳ πόλεις, Αἰγύπτιοι μὲν, καὶ Χαλδαῖοι, περὶ αὐτὰς ἠγείροντο ὑπὲρ ξυλλογῆς χρημάτων, ὡς δεκαταλάντοις θυσίαις γῇ, καὶ Ποσειδῶνι θύσοντες. ξυνέφερον δὲ αἱ πόλεις, τὰ μὲν, ἀπὸ τοῦ κοινοῦ, τὰ δὲ, ἀπὸ τῶν οἴκων, ὑποκείμενοι τῷ φόβῳ. οἱ δὲ, εἰ μὴ ἐπὶ τραπεζῶν ἐκτεθείη τὸ ἀργύριον, οὐκ ἂν ἔφασαν ὑπὲρ αὐτῶν θῦσαι. ἐδόκει δὴ τῷ ἀνδρὶ μὴ περιιδεῖν τοὺς Ἑλλησποντίους· καὶ παρελθὼν ἐς τὰς πόλεις, τὰς μὲν, ἀπήλασεν, ὡς θησαυρὸν πεποιημένας τὰ ἑτέρων κακὰ, τὰς δὲ, αἰτίας τῶν μηνιμάτων λαβὼν, καὶ ὡς ἑκάστῃ πρόσφοροι θύσαι, ἀπελύσατο τὴν προσβολὴν δαπάνῃ σμικρᾷ, καὶ ἡ γῆ ἔστη. Δομετιανοῦ δὲ βασιλέως ὑπὸ τὸν αὐτὸν χρόνον εὐνούχους τε μὴ ποιεῖν νομοθετήσαντος, ἀμπέλους τε μὴ φυτεύειν ἔτι, καὶ τὰς πεφυτευμένας δὲ αὐτῶν ἐκκόπτειν, παρελθὼν ἐς τοὺς Ἴωνας ὁ Ἀπολλώνιος, τὰ μὲν προστάγματα, οὐ πρὸς ἐμὲ, ἔφη, ταῦτα. μόνος γὰρ ἴσως ἀνθρώπων, οὔτε αἰδοίων δέομαι, οὔτε οἴνου. λέληθε δὲ ὁ θαυμασιώτατος τῶν μὲν ἀνθρώπων φειδόμενος, τὴν δὲ γῆν εὐνουχίζων. ὅθεν ἐς θάρσος ἡ Ἰωνία ἦλθε πρε-

γ. τὸ μ.

A tibi diſſimile aliquid amare, atque ille quidem rotæ affixus per cœlum voluitur: tu autem niſi è templo diſceſſeris, in omni terra funditus perdêris, nec iure conqueri poteris iniuſtè tibi à Diis talia prouenire. His verbis illius furor extinctus eſt, & qui ſe amare antea iactabat, tunc pro impetranda venia ſacrificaturus abiit. Cùm ciuitates in Helleſponti ſiniſtra parte poſitas crebri terræmotus concuterent, Ægyptij, Chaldæique ſacrificuli apud eas pecuniæ colligendæ cauſa conuenerant, decem poſcentes talenta, pro ſacris Neptuno, B tellurîque faciendis. Conferebant autem ciuitates pecunias cùm ex publico, tum etiam ex priuatis facultatibus, nihil penſi ob timorem facientes. Illi enim niſi pecunia apud argentarios depoſita eſſet, ſacra pro eis facere negabant. quod poſtquā animaduertit Apollonius, turpe ſibi putauit Helleſponticas ciuitates negligere. C Ad eas igitur accedens, ſacrificulos obiurgauit, quòd ex alienis malis theſauros quærerent, & cauſas eorum, quæ tunc acciderant, enarrans, ſacríſque vt cuique commodum eſſet, fieri iuſſis, exiguo ſumptu calamitatem dimouit, & terra conſtitit. Per ea tempora Domitianus Romanorum Imperator legem tulerat, ne quis homines facere eunuchos, néve D vlterius plantare vites auderet, & quæ ſuo tempore plantatæ fuiſſent, iubebat amputari. Veniens itaque ad Iones Apollonius, Hæc, inquit, præcepta ad me non attinent. Solus enim fortaſſis hominum omnium, neque pudendis egeo, nec vino vtor. oblitus tamen eſt admirabilis Imperator, quod hominibus parcens terram ipſam fecit eunucham. Quamobrem auſi ſunt Iones

ad Imperatorem legatos pro vitibus mittere, & vacationem legis ab ipſo petere, qui terram populari amputandis vitibus iuſſit, & vlterius non plantare.

A πρεσβεύσασθαι πρὸς τὸν βασιλέα ὑπὲρ ἀμπέλων, καὶ παραιτήσασθαι νόμον, ὃς κελεύει καὶ δηοῦσθαι τὴν γῆν, καὶ μὴ φυτεύεσθαι.

De adoleſcentulo rabiente à rabioſo cane demorſo: vtque vnà cum cane ab Apollonio ſanatus fuerit. Quódque in eum adoleſcentem Telephi Myſii anima tranſiuerit, & propterea eiuſdem canis morſu ſanari eum oportuiſſe, ſicut ab Achille olim vulneratus nonniſi ab eodem ſanari potuerit. Vnde Ouidius:

Vulnus Achilleo quod quondam fecerat hoſti,
Vulneris auxilium Pelias haſta fuit.

Deinde quâ ſanari re queat rabioſus. CAP. XVIII.

HOC inſuper quod Tarſi geſſit Apollonius tanquam memoria dignum decantatur. Rabioſus canis adoleſcentem obuiam factum momordit: quo morſu in caninos mores deflexit adoleſcens. Latrabat enim, ſedebátque velut canis, & ceu quadrupes gradiebatur, manib. tanquam pedibus vtens; iámque dies triginta hoc morbo laborabat. Veniens igitur Tarſum Apollonius, cùm adoleſcentis infortunium agnouiſſet, ciuibus præcepit, vt canem qui illum momorderat, inquirerent: illi verò nunquam ſe canem illum vidiſſe iurabant, quòd extra ciuitatis muros deprehenſus à cane fuiſſet adoleſcens, dum ſeſe iaculando exerceret; nec poſtquam in morbum inciderat, ex eo ſcire potuerat quiſquam, quæ forma, quæve ſtatura canis fuiſſet. Paulùm igitur cunctatus Apollonius, O Damis, inquit; is canis albus eſt, & villoſus, & cuſtodiendis ouibus accommodatus, & Amphilochicis canibus magnitudine æqualis. Stat autem tremebundus iuxta fontem quendam: aquam enim & cupit, & timet: ipſum autem ducito ad fluminis ripam, vbi palæſtræ exercétur, hoc tantùm eius

B ΚΑΚΕΙΝΑ ἐν Ταρσοῖς τοῦ ἀνδρὸς ᾄδουσι· κύων ἐνεπεπτώκει ἐφήβῳ λυττῶν. καὶ ἀπῆγε τὸν ἔφηβον τὸ δῆγμα ἐς τὰ τῶν κυνῶν πάντα· ὑλάκτει τε γὰρ, καὶ ὠρύετο, καὶ τετράπους ἔθει, τῶν χειρῶν ὑπέχων τῷ δρόμῳ. νοσοῦντι δὲ αὐτῷ τριακοστὴν ἡμέραν, ἐφίσταται μὲν ὁ Ἀπολλώνιος, ἄρτι ἐς τοὺς Ταρσοὺς ἥκων. κελεύει δὲ τὸν ἀνι- C χνευθῆναι τὸν κύνα, ὃς ταῦτα εἰργάσατο. οἱ δὲ οὔτε ἐντετυχηκέναι τῷ κυνὶ ἔφασαν· ἔξω γὰρ τείχους εἰλῆφθαι αὐτὸν τοῦ ἐφήβου πρὸς ἀκοντίοις ὄντος, οὔτ' αὖ τοῦ νοσοῦντος μαθεῖν, ἥ τις ἡ ἰδέα τοῦ κυνὸς, ἐπεὶ μηδὲ αὐτὸν ἔτι οἶδεν. ἐπισχὼν οὖν, ὦ Δάμι, ἔφη, λευκὸς ὁ κύων, λάσιος, προβατευτικὸς, Ἀμφιλοχι- D κῷ ἴσος. προσέστηκε δὲ τῇ δεῖνι κρήνῃ τρέμων· τὸ γὰρ ὕδωρ καὶ ποθεῖ, καὶ δέδοικεν. ἄγε μοι τοῦτον ἐπὶ τὴν τοῦ ποταμοῦ ὄχθην, ἐφ' ἧς αἱ παλαῖστραι, μόνον εἰπὼν,

ὅτι ὑπ' ἐμοῦ καλοῖτο. ἑλχθεὶς δὲ ὁ κύων ὑπὸ τοῦ Δάμιδος, ὑπεκλίθη τοῖς τοῦ Ἀπολλωνίου ποσίν, ὥσπερ οἱ βώμιοι τῶν ἱκετῶν, κλαίων. ὁ δὲ ἡμέρου τε αὐτὸν ἔτι μᾶλλον, καὶ τῇ χειρὶ ἐπεπράϋνε, τὸν ἔφηβόν τε ἵστη ἐγγὺς ξυνέχων αὐτός· ὡς δὲ μὴ λάθοι τοὺς πολλοὺς μέγα ἀπόρρητον· μεθέστηκε μὲν δή, ἔφη, ἐς τὸν παῖδα τοῦτον ἡ Τηλέφου ψυχὴ τοῦ Μυσοῦ. μοῖραι δὲ ἐπ' αὐτῷ ταῦτα βούλονται· καὶ εἰπὼν ταῦτα, ἐκέλευσε τὸν κύνα περιλιχμήσασθαι τὸ δῆγμα, ὡς ἰατρὸς αὐτῷ πάλιν ὁ τρώσας γένοιτο. ἐπεστράφη τοὐντεῦθεν ἐς τὸν πατέρα ὁ παῖς, καὶ ξυνῆκε τῆς μητρός. προσεῖπέ τε τοὺς ἥλικας, καὶ ἔπιε τοῦ Κύδνου. παρεώφθη δὲ οὐδὲ ὁ κύων, ἀλλὰ κἀκεῖνον εὐξάμενος τῷ ποταμῷ, δι' αὐτοῦ ἧκεν. ὁ δὲ ἐπεὶ διέβη τὸν Κύδνον, ἐπιστὰς τῇ ὄχθῃ, φωνήν τε ἀφῆκεν, ὅπερ ἥκιστα περὶ τοὺς λυττῶντας τῶν κυνῶν ξυμβαίνει. καὶ τὰ ὦτα ἀνακλάσας, ἔσεισε τὴν οὐράν, ξυνιεὶς τοῦ ἐρρῶσθαι. φαρμακοποσία γὰρ λύττης, ὕδωρ, ἢν θαρσήσῃ αὐτὸ ὁ λυττῶν. τοιαῦτα τοῦ ἀνδρὸς τὰ ὑπὲρ ἱερῶν τε, καὶ πόλεων, καὶ τὰ πρὸς δήμους, καὶ ὑπὲρ δήμων, καὶ τὰ ὑπὲρ τεθνεώτων, ἢ νοσούντων, καὶ τὰ πρὸς σοφούς τε, καὶ μὴ σοφούς, καὶ τὰ πρὸς βασιλέας, οἳ ξύμβουλον αὐτὸν ἀρετῆς ἐποιοῦντο.

A auribus immurmurans, quòd à me vocatur. Paulò pòſt canis à Damide tractus ad Apollonij pedes procubuit, eiulans, ceu qui ſupplices altaribus admouerentur: illum autem manibus mulcens Apollonius, penes ipſum adoleſcentem conſtituit, quem ex manu detinebat. Tunc ad eos qui aderant conuerſus, Ne vos, inquit, magnum arcanum lateat, ſciatis animã Telephi Myſij in hunc puerum tranſlatam eſſe, & fata ab
B ipſo hoc expoſcere. His dictis canem lambere morſum iuſſit, vt idem medicus eſſet, qui vulneris antea autor fuerat. Quæ cùm egiſſet, adoleſcens ad patrem conuerſus eſt: matrem recognouit: æquales quoque ſalutauit nominatim, & hauſtam ex Cydno aquam bibit. Neq; verò canis curationẽ neglexit Apollonius: ſed pro illo ſanando fluuium precatus, *in eum coniecit canem*. Is verò fluuium ingreſſus, cùm in eo na-
C tans aliquandiu moratus eſſet, in ripa conſiſtens vlulauit, quod rabioſi canes facere non conſueuerunt, & auribus demiſſis caudam vibrabat, tanquam & ipſe conualuiſſe ſeſe agnoſceret. Medicamentum namque rabiei eſt aqua, ſi eam attingere rabioſus audeat. Hæc ab Apollonio acta ſunt in templis & ciuitatibus apud populos, & pro populis, ſuper mortuos aut ægrotan-
D tes, & cum ſapientibus, ac non ſapientibus tractata, & cum regibus, qui illum virtutis conſiliarium adhibuerunt.

ΦΙΛΟΣΤΡΑΤΟΥ ΕΙΣ ΤΟΝ ΑΠΟΛΛΩΝΙΟΥ ΤΟΥ ΤΥΑΝΕΩΣ ΒΙΟΝ, ΒΙΒΛΙΟΝ Ζ'.

PHILOSTRATI DE VITA APOLLONII TYANEI, LIBER SEPTIMVS.

De philoſophis, qui aduerſus tyrannos fortiter ſe, ac præclarè geſſerunt, vt Zenone, qui primus Dialecticen inueniſſe dicitur, Platone, Patone Rhegino, Heraclide, & Pythone, Calliſthene Olynthio, Diogene Sinopenſi, Cratete Thebano.

CAPVT PRIMVM.

NEQVE verò ſum neſcius optimum eſſe virorũ philoſophantium indicem tyrannides: conſiderandúmque permitto, qua in re quiſque minus, magíſve alio aduerſus ipſas ſe virum geſſerit. At noſtra huc tendit oratio. Tempore quo Domitianus imperauit, accuſationes, & iudicia plurima Apollonium circumuenere: quomodo autem, & vnde principium ſumpſerint, & quo nomine illarum quælibet fuerit appellata, paulò pòſt explicabo. Et quoniam mihi dicere neceſſe eſt, quid dicens, & qualis viſus iudicium euaſerit, tyrannos potius conuincens, quàm ab eiſdem victus, non alienum duxi horum gratia prius enarrare ſapientum hominum erga tyrannos acta, quæcunq. memoratu digna cõperi, atque illa cum Apollonij factis comparare. Sic enim optimè veritatẽ inueniri poſſe ſum arbitratus. Zeno

A Οἶδα καὶ τὰς τυραννίδας ὡς ἔστιν ἀρίστη βάσανος ἀνδρῶν φιλοσοφούντων· καὶ ξυγχωρῶ σκοπεῖν ὅτι ἕκαστος ἑτέρου ἧττον, ἢ μᾶλλον ἀνὴρ πρὸς αὐτὰς ἔδοξεν. ὁ λόγος δέ μοι ξυντείνει ἐς τόδε. κατὰ τοὺς χρόνους, οὓς Δομετιανὸς ἐτυράννευσε, περιέστησαν τὸν ἄνδρα κατηγορίαι, καὶ γραφαί. ὅπως B μὲν ἀρξάμεναι, καὶ ὁπόθεν, καὶ ὅ, τι ἑκάστῃ αὐτῶν ὄνομα, δηλώσω αὐτίκα· ἐπεὶ δὲ ἀνάγκη λέξαι, τί μὲν εἰπών, τίς δὲ εἶναι δόξας ἀπῆλθε τῆς κρίσεως, ἑλὼν μᾶλλον τὸν τύραννον, ἢ ἁλοὺς αὐτός, δοκεῖ μοι διελθεῖν περὶ τούτων, ὁπόσα εὗρον ἀφηγήσεως ἄξια σοφῶν ἀνδρῶν πρὸς τυράννους ἔργα, παραδεικνύειν τε αὐτὰ τοῖς Ἀπολλωνίου. χρὴ γάρ που τἀληθὲς οὕτω μαστεύειν. Ζήνων

μὲν τοίνυν ὁ Ἐλεάτης, διαλεκτικῆς δὲ οὗτος ἐδόκει ἄρξαι, τὴν Νεάρχου τοῦ Μυσοῦ καταβαλὼν τυραννίδα, ἥλω. καὶ στρεβλωθεὶς, τοὺς μὲν ἑαυτοῦ ξυνωμότας, ἀπεσιώπησεν, οἳ δὲ ἦσαν τῷ τυράννῳ βέβαιοι, διαβαλὼν τούτοις ὡς οὐ βεβαίοις. καὶ οἱ μὲν, ὡς ἐπ' ἀληθέσι ταῖς αἰτίαις, ἀπέθανον. ὁ δὲ ἐλεύθερα τὰ Μυσῶν ἤγαγε, τὴν τυραννίδα, περὶ ἑαυτῇ σφήλας. Πλάτων δὲ ὑπὲρ τῆς Σικελιωτῶν ἐλευθερίας ἀγῶνά φησιν ἄρασθαι, συλλαβὼν τῆς διανοίας ταύτης Δίωνι.* Φοίτων δὲ Ῥηγίου ἐκπεσὼν, κατέφυγε μὲν ἐπὶ Διονύσιον τὸν Σικελίας τύραννον· μειζόνων δὲ ἀξιωθεὶς, ἢ τὸν φυγόντα εἰκὸς, συνῆκε μετὰ τοῦ τυράννου, καὶ ὅτι τοῦ Ῥηγίου ἐρῴη. Ῥηγίνοις δὲ ἐπιστέλλων ταῦτα, ἥλω· καὶ ὁ μὲν τύραννος, ἑνὸς τῶν μηχανημάτων ἀνάψας αὐτὸν ζῶντα, προσήγαγε τοῖς τείχεσιν, ὡς μὴ βάλοιεν οἱ Ῥηγῖνοι τὸ μηχάνημα, φειδοῖ τοῦ *Φοίτωνος· ὁ δὲ, ἐβόα βάλλειν· σκοπὸς γὰρ αὐτοῖς ἐλευθερίας εἶναι. Ἡρακλείδης δὲ καὶ Πύθων, οἱ Κότυν ἀποκτείναντες τὸν Θρᾷκα, ἀνθρωπείω* μὲν ἤστην ἄμφω, τὰς δὲ Ἀκαδημίους διατριβὰς ἐπαινοῦντες, σοφώ τε ἐγενέσθην, καὶ οὕτως ἐλευθέρω. τὰ δὲ Καλλισθένους τοῦ Ὀλυνθίου, τίς οὐκ οἶδεν; ὃς ἐπὶ τῆς αὐτῆς ἡμέρας ἐπαινέσας τε, καὶ διαβαλὼν Μακεδόνας, ὅτε μέγιστοι δυνάμει ἦσαν, ἀπέθανεν, ἀηδὴς δόξας. Διογένης δὲ ὁ Σινωπεὺς, καὶ Κράτης ὁ Θηβαῖος, ὁ μὲν εὐθὺ Χαιρωνείας ἥκων, ἐπέπληξεν ὑπὲρ Ἀθηναίων Φιλίππῳ.

γρ. Φοίτων

γρ. Φοίτωνος

γρ. νεανία

A igitur Eleates qui Dialecticam primus inuenit, Nearchi Myſij tyrannidem euertere tentans, deprehenſúſq; cùm variis ſuppliciis torqueretur, ſocios coniurationis minimè prodidit, ſed quos tyranno fidiſſimos nouerat calumniatus, vt morte damnarentur, effecit: ipſe autem Myſiam liberauit, tyrannidem in ſe ipſam errare faciens. Plato autem pro Siciliæ libertate certamen ſuſcepiſſe dicebatur, Dionem eiuſdem B ſententiæ comitem aſciſcens. Pœton autem Rheginus exul cùm ad Dionyſium Siciliæ tyrannum confugit: atque honoratius ab eodem ſuſceptus, quàm exuli conuenire videretur, tyranni mentem intellexit Rhegij capiendi percupidam. Cúmque id Rheginis per epiſtolam nuntiaſſet, à tyranno deprehenſus eſt. Quapropter tyrannus illum vni ex machinis, quas pro Rhegio expugnando conſtruxerat, viuum ſuſpendit, eámque muris admouit; exiſtimans Rheginos ne Pœtonem vulC nerarent, aduerſus machinam tela non emiſſuros. Ille autem magnis vocibus exclamans Rheginos hortabatur, vt in machinam tela torquerent. Se namque aiebat ſignum libertatis eſſe propoſitum. Heraclides autem & Python, qui Cotyn Thracé interfecerunt, adoleſcentuli quidem ambo erant: Academicorum autem diſciplinā ſecuti, ſapienD tes, liberíque euaſerant. Calliſthenem autem Olynthium nemo fermè ignorat, qui vno eodémque die Macedones laudauit, & accuſauit, tum cùm maximè vrbibus pollerēt: quam ob rem veluti moleſtus ipſis interfectus eſt. Diogenes quoq; Sinopenſis, & Crates Thebanus circumferuntur: quorū is quidem pro Chæronia veniens, Philippum pro Athenienſibus grauiter obiurgauit:

abſurdum eſſe dicens armis eos perdere, qui pro ſe arma quandoque cepiſſent. Crates autem, cùm Alexander Thebas inſtaurare ſui gratia velle diceret, Ego, inquit, patria non egeo, quam armis præpotentior iterum ſubruat. Sed quoniam prolixitatem oratio refugit, plura, quæ adhuc dici poſſent, omittam; præſertim cùm ea quæ dicta ſunt, refellere ſit neceſſe, non quia turpiter, aut præter rationem geſta ſint; ſed quia actis ab Apollonio ſunt inferiora, quanquam alorum omnium facta exſuperent.

A περὶ ὧν Ἡρακλείδης εἶναι φάσκων, ἀπώλλυ ὅπλοις τοὺς ὑπὲρ ἐκείνων ὅπλα ἠρμένους. ὅτε δὲ ἀνοικιεῖν Θήβας Ἀλεξάνδρου δι' αὐτὸν φήσαντος, οὐκ ἄν, ἔφη, δεηθείην πατρίδος, ἣν κατασκάψει τις ὅπλοις ἰσχύσας· καὶ λέγοιτο μὲν πολλὰ τοιαῦτα. ὁ λόγος δὲ οὐ ξυγχωρεῖ μῆκος τοῖς γε ἀνάγκην ἔχουσι καὶ πρὸς ταῦτα ἀντειπεῖν, οὐχ ὡς οὐ καλά, ἢ οὐκ ἐν λόγῳ πᾶσιν, ἀλλ' ὡς ἥττω τοῦ Ἀπολλωνίου, κἂν ἄριστα ἑτέρων φαίνηται.

Zenonem, Platonem, Pætonem, Calliſthenem, Diogenem, Cratetem inferiores fuiſſe Apollonio, rebus geſtis aduerſus tyrannos. Tum de Domitiano quædam. Quidque contra illum dixerit Apollonius. Cap. II.

ELEATES enim Zeno, & qui Cotyn interfecere, non multùm laudis mereri videntur, quia Thraces Myſios & Getas in ſeruitutem ducere perfacile eſt: liberare autem, ſtultum; cùm libertate non gaudeant, & ſeruitutem nequaquam turpem eſſe arbitrentur. Quòd autem minus ſapienter fecerit Plato, ſatis patet, Siciliæ res potius, quàm Athenienſium tentans emendare: vnde etiam iure venditus fuit, decipiens alios, & itidem ipſe deceptus: hæc, inquam faciens, quòd minus ſapienter egerit, dicere verear, cùm ſciam pleroſque moleſtè talia verba audituros. Quæ autem Rheginus Pœton erga Dionyſium non ſtabiliter regnantem aggreſſus eſt, audaciam profectò præ ſe ferunt: ſed cùm eſſet omnino à tyranno interficiendus, etiamſi à Rheginis vulneratus nõ fuiſſet; mirabile meo iudicio nihil fecit mortẽ pro libertate potius aliorum, quàm pro ſua deligẽs ſeruitute.

C ΤΟ μὲν τοίνυν τοῦ Ἐλεάτου ἔργον, καὶ τῶν τὸν Κότυν ἀπεκτονότες, οὔπω ἀξιόλογα. Θρᾷκας γάρ, καὶ Μυσούς, καὶ Γέτας, δουλώσασθαι μὲν ῥᾴδιον, ἐλευθεροῦν δὲ εὐηθές· οὐ γὰρ τῇ ἐλευθερίᾳ χαίρουσιν, ἐπεὶ οἶμαι οὐκ αἰσχρὸν ἡγούμενοι τὸ δουλεύειν. Πλάτων δέ, ὡς μὲν οὐ σοφόν τι ἔπαθε, τὰ ἐν Σικελίᾳ διορθούμενος μᾶλλον, ἢ τὰ Ἀθήνησιν, ἢ ὡς εἰκότως ἐπράθη, σφαλείς τε, καὶ σφήλας, οὐ λέγω, διὰ τοὺς δυσχερῶς ἀ-
D κροωμένους· τὰ δὲ τοῦ Ῥηγίνου, πρὸς Διονύσιον μὲν ἐτολμᾶτο τυραννεύοντα οὐ βεβαίως Σικελίας. ὅτε δ' ὑπ' ἐκείνου πάντως ἀποθανὼν ἄν, εἰ καὶ μὴ ἀπὸ Ῥηγίνων ἐβλήθη, θαυμαστὸν οἶμαι οὐδὲν ἔπραττε, τὸν ὑπὲρ τῆς ἑτέρων ἐλευθερίας θάνατον μᾶλλον, ἢ τὸν ὑπὲρ τῆς αὐτοῦ δουλείας αἱρούμενος.

Καλλισθένης δὲ, τὸ δόξαι κακὸς, οὐδ' ἂν νῦν διαφύγοι. τοὺς γὰρ αὐτοὺς ἐπαινέσας, τε διαβαλὼν, ἢ διέβαλεν, οὓς ἐνόμισεν ἐπαίνων ἀξίους, ἢ ἐπήνεσεν, οὓς ἐχρῆν διαβάλλοντα φαίνεσθαι. καὶ ἄλλως, ὁ μὲν καθισάμενος ἐς τὸ λοιδορεῖσθαι τοῖς ἀγαθοῖς ἀνδράσιν, οὐκ ἔχει ἀποδράναι τὸ μὴ οὐ δόξαι βάσκανος· ὁ δὲ τοὺς πονηροὺς κολακεύων ἐπαίνοις, αὐτὸς ἀποίσεται τὴν αἰτίαν τῶν ἁμαρτηθέντων σφίσιν. οἱ γὰρ κακοὶ, κακίους ἐπαινούμενοι. Διογένης δὲ πρὸ Χαιρωνείας μὲν εἰπὼν ταῦτα πρὸς τὸν Φίλιππον, κἂν ἐφύλαξε τὸν ἄνδρα καθαρὸν τῶν ἐπ' Ἀθηναίους ὅπλων· εἰργασμένοις δ' ἐπιστὰς, ὠνείδιζε μὲν, οὐ μὴν διωρθοῦτο· Κράτης δὲ, καὶ αἰτίαν ἂν λάβοι πρὸς ἀνδρὸς φιλοπόλιδος, μὴ ξυναράμενος Ἀλεξάνδρῳ τῆς βουλῆς, ἣ ἐς τὸ ἀνοικίσαι τὰς Θήβας ἐχρῆτο. Ἀπολλώνιος δὲ, οὔθ' ὑπὲρ πατρίδος κινδυνευούσης δείσας, οὔτε τοῦ σώματος ἀπογνοὺς, οὔτ' εἰς ἀνοήτους ὑπαχθεὶς λόγους, οὔθ' ὑπὲρ Μυσῶν, ἢ Γετῶν, οὔτε πρὸς ἄνδρα, ὃς ἦρχε νήσου μιᾶς, ἢ χώρας οὐ μεγάλης, ἀλλ' ὑφ' ᾧ θάλαττα ἦν, τε γῆ πᾶσα, πρὸς τοῦτον ἐπειδὴ πικρῶς ἐτυράννευε, παρέταττεν ἑαυτὸν ὑπὲρ τοῦ τῶν ἀρχομένων κέρδους, χρησάμενος μὲν τῇ διανοίᾳ ταύτῃ καὶ πρὸς Νέρωνα. ἡγείσθω δ' οὖν τις ἀκροβολισμοὺς ἐκεῖνα, ἐπεὶ μὴ ὁμόσε χωρῶν, ἀλλὰ τὸν μὲν Βένδικα ἐπιρρωννὺς, καὶ τὸν Τιγελλῖνον ἐκπλήττων, σαθροτέραν τὴν τυραννίδα ἐποίει. καί τις ἀνεφύετο λόγος ἀλαζὼν ἐνταῦθα, ὡς οὐδὲν γενναῖον ἐπι-

A Calliſthenes autem ne nunc quidem prauitatis infamiam fugit, dum eoſdē laudaret & vituperaret. Aut enim eos vituperauit, quos laudandos putabat, aut laudauit, quos cenſebat vituperandos. *Ceterùm qui in viros bonos conuicia coniicit*, inuidiæ ſuſpitionem euitare non poteſt: qui autem aſſentando prauos laudat, ipſe delictorum quæ ab illis fiunt, culpam

B feret. Praui enim ſi laudentur, deteriores euadunt. At verò Diogenes ea ante Chæroneam Philippo locutus, etiā ſeruare purum ab armis in Athenienſes virum potuiſſet: ſed cùm rebus peractis aduenerit, obiurgauit ſanè hominem, non autem emendauit. Crates quoque forſitan culpa non carebit ab homine ciuitatis amatore, quòd Alexandri conſiliis non conſenſerit, quæ pro Thebis inſtaurandis meditabatur. Verùm Apollonius nec pro periclitan-

C te patria ſupplicans, nec de ſalute corporis deſperans, nec ſermones inſulſos vllos proferés, nec pro Myſiis, Getiſve, nec apud principem, qui vni inſulæ, aut paruæ regioni imperaret: ſed ſub quo terra omnis erat, & mare vniuerſum: aduerſus hunc, inquam, qui malè imperabat ſeſe comparauit pro vtilitate eorum, qui imperio ſuberant; cùm eadem mente aduerſus Neronem antea vſus fuiſſet: vt illa tanquam

D præludia quis exiſtimare poſſet: tum peractis illis ab incepto non deſtiterit: nam & Vindicis auxerat vires, & Tigillinum grauiter increpans, debiliorem tyrannidem effecerat. Verùm enimuerò iactationis nimium forſan habere videbitur hæc oratio, quia non admodum præclarum fuerit aduerſus Nero-

A nem inſurgere, pſaltriæ, fidicinæque more viuentem, de Domitiano dicere quid poterunt? Qui & corpore erat robuſtiſſimo, & voluptates omnes aſpernabatur, quæ ex muſicis inſtrumentis, aut pulſationibus ortæ vires labefactant, ac minuunt: & cui aliorum dolores, & gemitus iucunditatem, lætitiámque præbebant. Perfidiam verò populorum erga tyrannos, tyrannorum verò erga reliquos omnes cuſtodiam quandam eſſe dicebat. B Aiebat quoque regem noctu ab omnibus operibus ceſſare oportere: tunc autem cædes, & trucidationes exercere. Quapropter ſenatus membra ſunt amputata optimis quibuſque viris ab eo interfectis. Philoſophia autem adeò perterrita eſt, vt habitu mutato philoſophi, partim in * Hiſpaniam, partim in Libyæ, Scythiæve deſerta confugerent: C quidam etiam viuendi ratione mutata ſcelerum conſiliarios illi ſeſe adiungerent. Et ſicut à Sophocle Tireſias ad Oedipum de ſe ipſo loquens inducitur, *Non ſeruus ego viuo tibi, aſt Apollini:* ſic Apollonius dominam ſibi conſtituens ſapientiam, liber erat à Domitiani calamitatibus, cùm Tireſiæ, Sophocliſque verba aptaſſet, & priuatim ſibi nihil metuebat: quæ autem in aliorum perniciem fieri videbat, miſerabatur. D Quapropter ſenatoriam, & quæ in quocunque erat, prudentiam contra tyrannum concitauit. Pergens enim ad varias gentes, & illarum principes philoſophicè alloquens dicebat, non immortalem eſſe potentiam tyrannorum: & qui ceteris terribiliores appareant magis; ac facilius ſuperari. Narrabat quoque Palladis ludos Athenis celebrari conſuetos, vbi Harmodij & Ariſto-

*Celtarum occidua.

A ᾄδοντι Νέρωνι, ψαλτρίας τινὸς, ἢ καὶ αὐλητρίδος βίον ζῶντι. ἀλλὰ περί γε Δομετιανοῦ, τί φήσουσιν; ὃς τὸ μὲν σῶμα ἔρρωτο, ἡδονὰς δὲ, τὰς μὲν, ἐξ ὀργάνων τε, καὶ κτύπων, τὰς τὸ θυμοειδὲς ἀπομαραινούσας, παρῃτεῖτο· τὰ δὲ ἑτέρων ἄχη, καὶ ὅ,τι ὀλοφύρετό τις, ἐς τὸ εὐφραῖνον εἷλκε. τὴν δ᾽ ἀπιστίαν, δήμων μὲν ἐκάλει πρὸς τοὺς τυράννους B φυλακτήριον, τυράννων δὲ πρὸς πάντας. τὴν δὲ νύκτα, πάντων μὲν ἔργων ἠξίου παύειν βασιλέα, φόνων δὲ ἄρχειν. ὅθεν ἠκρωτηριάσθη μὲν ἡ βουλὴ τοῖς εὐδοκιμωτάτοις. φιλοσοφία δὲ οὕτω τι ἔπτηξεν, ὡς ἀποβαλόντες τὸ σχῆμα, οἱ μὲν, ἀποδράναι σφῶν ἐς τὴν Κελτῶν Εσπέραν, οἱ δὲ, ἐς τὰ ἔρημα Λιβύης τε, καὶ Σκυθίας. ἔνιοι δ᾽ ἐς λόγους C ἀπενεχθῆναι ξυμβούλους τῶν ἁμαρτημάτων. ὁ δ᾽ ὥσπερ τῷ Σοφοκλεῖ πεποίηται πρὸς τὸν Οἰδίπουν ὁ Τειρεσίας, ὑπὲρ ἑαυτοῦ λέγων, Οὐ γάρ τι σοὶ ζῶ δοῦλος, ἀλλὰ Λοξίᾳ· οὕτω τὴν σοφίαν δέσποιναν πεποιημένος, ἐλεύθερος ἦν τῆς Δομετιανοῦ φορᾶς, τὰ Τειρεσίου τε, καὶ Σοφοκλέους ἑαυτῷ ἐπιθειάσας*· καὶ δεδιὼς μὲν οὐδὲν ἴδιον, ἃ δὲ ἑτέροις ἀπώλλυ ἐλεῶν. ὅθεν ξυνίστη* ἐπ᾽ αὐτὸν νεότητά τε, ὁπόσην ἡ D βουλὴ εἶχε, καὶ ξύνεσιν, ὁπόση περὶ ἐνίοις αὐτῶν ἑωρᾶτο· φοιτῶν ἐς τὰ ἔθνη, καὶ φιλοσοφῶν πρὸς τοὺς ἡγεμόνας, ὡς οὔτε ἀθάνατος ἡ τῶν τυράννων ἰσχὺς, αὐτῷ τε τῷ φοβεροὶ δοκεῖν, ἁλίσκονται μᾶλλον. διῄει δὲ αὐτοῖς καὶ τὰ Παναθήναια τὰ Ἀττικὰ, ἐφ᾽ οἷς Ἁρμόδιός τε, καὶ Ἀριστο-

*γρ. θαυμάσας αὐτῶν ἐπιφημίσας
*γρ. περιέφερε, διεχέρει.

γείτων ᾄδονται· καὶ τὸ ἀπὸ Φυλῆς A ἔργον, ὃ καὶ ὁμοῦ τριάκοντα τυράννοις εἷλε. καὶ τὰ Ῥωμαίων δὲ αὐτῶν διῄει πάτρια· ὡς κἀκεῖνοι δῆμος τὸ ἀρχαῖον ὄντες, τὰς τυραννίδας ἐώθουν ὅπλοις.

gitonis laudes cantabantur, & Athenienſium tribuum acta, quibus triginta ſimul tyranni ſuperati ſunt. Romanorum quoque referebat facinora, & quòd populus ille armis quondam ex vrbe tyrannos pepuliſſet.

De tragœdo Inus fabulam agente, déque tribus Veſtalibus iuſſu Domitiani interemptis: & quomodo Domitianus Iuliam fratris filiam occiſo marito vxorem duxerit. Item Orphitum ac Rufum & Neruam in exilium miſſos à Domitiano. Quidque Apollonius fecerit contra tyrannum. Cap. III.

Τραγῳδίας δὲ ὑποκριτοῦ παρελθόντος ἐς τὴν Ἔφεσον ἐπὶ τῇ Ἰνοῖ B τῷ δράματι, καὶ ἀκροωμένου τοῦ τῆς Ἀσίας ἄρχοντος· ὃς καί τοι νέος ὤν, φανερῶς ἐν ὑπάτοις, ἀτολμότερον ὑπὲρ τούτων διενοεῖτο· ὁ μὲν, ὑποκριτὴς ἐπέραινεν ἤδη τὰ ἰαμβεῖα, ἐν οἷς ὁ Εὐριπίδης διὰ μακρῶν αὐξηθέντας τοὺς τυράννους, ἁλίσκεσθαί φησιν ὑπὸ μικρῶν. ἀναπηδήσας δὲ ὁ Ἀπολλώνιος, ἀλλ' ὁ δειλὸς, ἔφη, οὗτος, οὔτε C Εὐριπίδου ξυνίησιν, οὔτε ἐμοῦ. καὶ μὴν καὶ λόγου ἀφικομένου, ὡς λαμπρὰν κάθαρσιν εἴη Δομετιανὸς πεποιημένος τῆς Ῥωμαίων Ἑστίας, ἐπειδὴ τρεῖς τῶν Ἑστιάδων ἀπέκτεινεν ἐπ' αἰτίᾳ τῆς ζώνης, καὶ τῷ μὴ καθαρεῦσαι γάμων. ἃς ἁγνὰς, τὴν Ἰλιάδα Ἀθηνᾶν, καὶ τὸ ἐκεῖ πῦρ θεραπεύειν ἔδει· εἰ γὰρ καὶ σὺ, ἔφη, καθαρθείης Ἥλιε, τῶν D ἀδίκων φόνων, ὧν πᾶσα ἡ οἰκουμένη μεστὴ νῦν, καὶ οὐδὲ ἰδίᾳ ταῦτα, ὥσπερ οἱ δειλοὶ, ἀλλ' ἐν τῷ ὁμίλῳ, καὶ ἐς πάντας ἐκήρυττέ τε, καὶ ηὔχετο· ἐπεὶ δὲ Σαβῖνον ἀπεκτονὼς ἕνα τῶν ἑαυτοῦ ξυγγενῶν, Ἰουλίαν ἤγετο· ἡ δὲ Ἰουλία, γυνὴ μὲν

Qvvm tragœdiarum hiſtrio Inonis fabulam ageret Epheſi, & audiendæ fabulæ præfectus Aſiæ intereſſet, vir licet adhuc iuuenis, conſulari tamen dignitate clarus, videretúrque timidius illam audire, & hiſtrio Euripidis iambica perageret, in quibus poëta dixit longo tempore auctos tyrannos à paruis quandoque viris, & breui tempore ſuperari: Proſiliẽs in mediũ Apollonius: at verò, inquit, hic pauidus, nec me, nec Euripidem intelligit. Iterum quoque cùm Domitianum memorari cogitaſſet, atque ipſum nonnulli laudarent, quòd Romæ templum Veſtæ purgaſſet virginib. tribus ob zonæ ſolutæ crimen interemptis, & quia rem cum viris habuiſſe culparentur, cùm oporteret eas caſtas, atque intactas Ilienſem Palladem, & ignem perpetuum cuſtodire. Hæc audiens Apollonius, Vtinam, inquit, & tu, ô Sol, iniuſtis cædibus purgareris, quibus nunc vniuerſa terra referta eſt: atque hæc non priuatim, ſicut pauidi ſolent, ſed in turba, palámque prædicabat. Cùm Domitianus agnato ſuo Sabino interfecto, Iuliam duxiſſet vxorem (erat autem Iulia interfecti quidem

quidem Sabini vxor, Titi, Domitiani fratris, filia) Epheſi pro nuptiis Imperatoris ſacrificabant. Interueniens autem Apollonius, O nox, inquit, qualis quondam fuit Danai filiarum, cur ſola fuiſti? Quæ autem per ea tempora Domitianus fecit, talia fuere. Nerua qui poſt Domitianum iuſtè, modeſtéque imperauit, iam dignus imperio videbatur: *eadémque de Orfito & Rufo fuit opinio*. hos Domitianus paratarum contra ſe inſidiarum inſimulans, in inſulam relegauit: Neruam quoque Tarentum ſecedere iuſſit. his familiaritate coniunctus Apollonius, dum Titus vnà cum patre, ac deinde ſolus imperauerat, modeſtiæ, aliarúmque virtutum præcepta dederat; eóſque tanquam bonos frugíque viros imperatoribus iam dictis in fidem, amicitiámque commendauerat: à Domitiano autem, quoniam aſper, difficiliſque videretur, eoſdem ſeiunxerat, & ad communem libertatem capeſſendam hortabatur: & quia per epiſtolas illis conſulere, non ſatis tutum arbitrabatur, cùm potentiores quoſdam ſerui prodiſſent, alios etiam amici & vxores, ita vt nihil tutum, nihil ſecretum eſſe poſſet etiam domi: propterea Apollonius è comitibus ſuis, quos prudentiores agnouerat, modò hunc, modo illum ad eos mittens, Miniſtrum, aiebat, præclari ſecreti te facio; pergeréque Romam te oportet ad virum quendam, eique perſuadere, vt mihi conſentiat. Poſtquam autem illos Roma pulſos audiuit, & ad opprimendum tyrannum prompto, paratóque animo eſſe, ob ſegnitiem verò, tarditatémque ab incœptis deſtitiſſe; de fato, & neceſſitate multa diſſeruit apud Smyrnæ lucum, vbi

A ἦν τῶν πεφονευμένων, Δομετιανοῦ δὲ ἀδελφιδῆ, μία τῶν Τίτου θυγατέρων) ἔθυε μὲν ἡ Ἔφεσος ἐπὶ τοῖς γάμοις. ἐπιστὰς δὲ τοῖς ἱεροῖς ὁ Ἀπολλώνιος, ὦ νὺξ, ἔφη, τῶν πάλαι Δαναΐδων, ὡς μία ἦσθα. καὶ τὰ ἐν τῇ Ῥώμῃ ὧδε αὐτῷ ἐπεπράττετο. ἄρχειν πρέπειν ἐδόκει Νερούας· ὃς μετὰ Δομετιανὸν σωφρόνως ἥψατο. ἦν δὲ καὶ περὶ Ὀρφῖτόν τε, καὶ Ῥοῦφον, ἡ αὐτὴ δόξα· τούτοις
B Δομετιανὸς ἐπιβεβουλεῦσθαι ἑαυτῷ φήσας, τοὺς μὲν, ἐς νήσους καθείρχθησαν· Νερούᾳ δὲ προσέταξεν οἰκεῖν Τάραντα. ὢν δὲ ἐπιτήδειος αὐτοῖς ὁ Ἀπολλώνιος, τὸν μὲν χρόνον, ὃν Τίτος ὁμοῦ τῷ πατρὶ, καὶ μετὰ τὸν πατέρα ἦρχεν, ἀεί τι ὑπὲρ σωφροσύνης ἐπέστελλε τοῖς ἀνδράσι, παραδιδοὺς αὐτοὺς τοῖς βασιλεῦσιν ὡς χρηστούς. Δομετιανοῦ δὲ, ἐπεὶ
C χαλεπὸς ἦν, ἀφίστη τοὺς ἄνδρας, καὶ ὑπὲρ τῆς ἁπάντων ἐλευθερίας ἐρρώννυ. τὰς μὲν δὴ ἐπιστολιμαίους ξυμβουλίας, οὐκ ἀσφαλεῖς αὐτῷ * ᾤετο· (χ. αὐτῷ εἶδ.) πολλοὺς γὰρ ἐν δυνάμει καὶ δοῦλοι προὔδοσαν, καὶ φίλοι, καὶ γυναῖκες· καὶ οὐδὲν ἀπόρρητον ἐχώρησε τότε οἰκία. τῶν δὲ αὑτοῦ ἑταίρων τοὺς σωφρονεστάτους, ἄλλο τε ἄλλον ἀπολαμβάνων;
D διάκονον, εἶπεν, ἂν ποιοῦμαί σε ἀπορρήτου λαμπροῦ. βαδίσαι δὲ χρὴ ἐς τὴν Ῥώμην περὶ τοῦ δεῖνα, καὶ διαλεχθῆναί οἱ, καὶ γενέσθαι πρὸς τὴν πειθὼ τοῦ ἀνδρὸς πᾶν ὅ, τι ἐγώ. ἐπεὶ δὲ ἤκουσεν ὅτι φεύγοιεν, ὁρμῆς μὲν ἐνδεξάμενοί τι ἐπὶ τὸν τύραννον, ὄκνῳ δ' ἐκπεσόντες, ὧν διενοήθησαν, διῆγε μὲν ὑπὲρ μοιρῶν, καὶ ἀνάγκης, περὶ τὸ νέμος τῆς Σμύρνης, ἐν

ῷ ὁ Μέλης. εἰδὼς δὲ τὸν Νερούαν ὡς αὐτίκα δὴ ἄρξαι*, διῆλθε τὸν λόγον, καὶ ὅτι μὴ δεῖ τοὺς τυράννους τὰ ἐκ μοιρῶν οἷοι βιάζεσθαι.

γρ. ἄρξειν.

A *Meles amnis erat.* Cúmque paulopoſt Neruam regnaturum eſſe certò ſciret, rem omnem illi aperuit, probauítque tyrannos fatis afferre vim nequaquam poſſe.

De ſtatua Domitiani prope Meletem fluuium, & quæ verba in eam dixerit Apollonius. tum propterea iuſſum à Domitiano vt ad ſe accederet, præuidiſſéque id Apollonium. hinc in Siciliam, inde in Italiam Puteolos nauigaſſe; inibique inueniſſe Demetrium philoſophum. CAP. IV.

ΧΑΛΚΗΣ δέ τι εἰκόνος ἱδρυμένης Δομετιανοῦ πρὸς τῷ Μέλητι, ἐπιστρέψας ἐς αὐτὴν τοὺς παρόντας, ἀνόητε, εἶπεν, ὡς πολὺ διαμαρτάνεις μοιρῶν, καὶ ἀνάγκης. ὃν γὰρ μετὰ σὲ τυραννεῦσαι πέπρωται, τοῦτον κἂν ἀποκτείνῃς, ἀναβιώσεται. ταῦτα ἐς Δομετιανὸν ἀφίκετο ἐκ διαβολῶν Εὐφράτου. καὶ ὑπὲρ ὅτου μὲν τῶν ἀνδρῶν ἐχρησμῳδει αὐτὰ, οὐδεὶς ξυνίει. πτόμενος δὲ ὁ τύραννος ὑπὸ τοῦ ἑαυτοῦ φόβου, ὥρμησεν ἀποκτεῖναι τοὺς ἄνδρας. ὡς δὲ μὴ ἔξω λόγου πράττων αὐτὸ φαίνοιτο, ἐκάλει τὸν Ἀπολλώνιον ἀπολογησόμενον ὑπὲρ τῶν πρὸς αὐτοὺς ἀπορρήτων. ἢ γὰρ ἀφικομένου καταψηφισάμενος, οὐδὲ ἀκρίτους ἀπεκτονέναι δόξειν, ἀλλ᾽ ἐν ἐκείνῳ ἑαλωκότας. ἢ εἰ σοφίᾳ τινὶ τοῦ φανεροῦ ἐπεξέλθοι, μᾶλλον ἤδη ἀπολεῖσθαι σφᾶς, ὡς καταψηφισμένοις καὶ ὑπὸ τοῦ κοινοῦ* τῆς αἰτίας. διανοουμένου δὲ αὐτοῦ ταῦτα, καὶ γράφοντος ἤδη πρὸς τὸν τῆς Ἀσίας ἄρχοντα, ὡς ξυλληφθείη τε, καὶ ἀναχθείη, προεῖδε μὲν ὁ Τυανεὺς πάντα δαιμονίως τε, καὶ ὥσπερ εἰώθει. πρὸς δὲ τοὺς ἑταίρους

γρ. κοινοῦ.

B ERAT Domitiani ſtatua penes Meletem poſita, ad eam omnes qui aderant conuertens Apollonius, O demens, inquit, quàm multùm abes à fatorum, neceſſitatíſque cognitione. Is enim, cui poſt regnare fato datum eſt, etiam ſi abs te interficeretur, reuiuiſcet. Hæc Apollonij verba nuntiante Euphrate ad aures Domitiani peruenerunt. Quid autem detuliſſet nemo ſciebat, ſed perculſus metu tyrannus C interficere homines illos conſtituit: verùm ne ſine ratione id facere videretur, miſſo nuntio accerſiuit Apollonium, vt de ſecretis ſermonib. cum Nerua & amicis eius habitis, excuſationē facturus Romam veniret: ſecúmq. ita ratiocinabatur Domitianus: ſi Romam profectū condemnaret, non indicta cauſa, ſed in delicto deprehenſos occidiſſe eos videretur: ſin autem quadam fretus prudentia D ad manifeſtum periculum accedere noluerit, tunc etiam iuſtius illos cōmuni omnium opinione damnatos, quaſi mandatorum cōtemptores interfecturū ſe eſſe putabat. Hæc itaq. ſecum meditatus Aſiæ præfecto miſſa epiſtola præceperat, vt homines comprehēſos in vincula coniiceret: verùm hoc diuina quadam ſcientia monitus (vt ſolebat) Tyanenſis præuidit, vulgóq. amicis dicebat ſecretò

A peregrinandum eſſe vrgente neceſſitate. Quo audito alij quidem de vetuſto Abaride cogitabant, opinantes illum in ſimilem quempiam locum profecturum. Ipſe autem, ne cum Damide quidem communicato conſilio, in Achaiam cùm illo nauigauit: inde Corinthum traiiciens, & ſacris, vt conſueuerat, circa meridiem Soli peractis, in Siciliam primò, deinde in Italiam venit: & circa noctis principium ſummam tranquillitatem maris & proſperum ventũ nactus Puteolos quinto poſt die applicuit: ibi Demetriũ comperit, qui ceteris philoſophis audacior non procul Roma degebat. Nouerat autem Apollonius ipſum à tyranno expulſum illic morari: iocans tamen, vt plerunque ſolebat, Ego te, inquit, deliciis indulgentem deprehendi in Italiæ felicis (*ſiquidem felix eſt*) *ora* beatiſſima degentem, vbi quondam Vlyſſem ferunt cum Calypſone diuerſatum, fumi Ithacenſis, & domus oblitum eſſe. Complexus autem illum Demetrius, & mediocriter incuſans, O Dij, inquit, quantum damni philoſophia patietur in tali viro periclitans! Tunc Apollonius, Quid eſt, inquit, in quo pericliter? Nihil, inquit Demetrius, quàm id, quod tu ipſe optimè præſciens aduenis. Si enim mentem tuam ignoro, nec meam ipſius cognoſco. colloquamur autem non hoc in loco, ſed eò ſecedamus, vbi ſoli futuri ſumus. Accedat autem & Damis, quem mehercule, Iolaum *eſſe tuorum certaminum exiſtimo.*

A εἰπὼν δεῖσθαι ἀποδημίας ἀπορρήτου. τῶν μὲν, εἰσῆλθεν Ἀβάριδος τοῦ ἀρχαίου δόξα, καὶ ὅτι ἐς τοιόνδε ὡρμήκει. ὁ δὲ, οὐδὲ τῷ Δάμιδι περὶ ἑαυτοῦ νοῦ ἐκφήνας, ἐς Ἀχαιοὺς ξὺν αὐτῷ ἔπλει. Κορίνθου δὲ ἐπιβὰς, καὶ τῷ Ἡλίῳ περὶ μεσημβρίαν ὁπόσα εἰώθει δράσας, ἀφῆκεν ἐς τὸ Σικελῶν καὶ Ἰταλῶν ἔθνος, ἅμα ἑσπέρᾳ. τυχὼν δὲ οὐρίου πνεύματος, καὶ λεῖος εὐροίας ὑποδραμούσης τὸ πέλαγος, ἀφίκετο ἐς Δικαιαρχίαν πεμπταῖος. Δημητρίῳ δὲ ἐντυχὼν, ὃς ἐδόκει θαρσαλεώτερος τῶν φιλοσόφων, ἐπεὶ μὴ πολὺ ἀπὸ τῆς Ῥώμης διῃτᾶτο, ξυνιεὶς μὲν αὐτοῦ ἐξεστηκότος τῷ τυράννῳ, διατελοῦς δὲ ἕνεκα, εἴληφά σε, εἶπε, τρυφῶντα, καὶ τῆς εὐδαίμονος Ἰταλίας, εἰ δὴ εὐδαίμων, τὸ μακαριώτατον οἰκοῦντα, ἐν ᾧ λέγεται καὶ Ὀδυσσεὺς Καλυψοῖ ξυνὼν, ἐκλαθέσθαι καπνοῦ Ἰθακησίου, καὶ οἴκου. περιβαλὼν δὲ αὐτὸν ὁ Δημήτριος, καί τι καὶ ἀπευφημήσας, ὦ θεοὶ, ἔφη, τί πείσεται φιλοσοφία κινδυνεύουσα περὶ ἀνδρὶ τοιούτῳ; κινδυνεύω δὲ, εἶπε, τί; ἄγε, ἔφη. προειδὼς ἥκεις· εἰ γὰρ τὸν σὸν ἀγνοῶ νοῦν, οὐδὲ τὸν ἐμαυτοῦ οἶδα. D διαλεγώμεθα δὲ μὴ ἐνταῦθα, ἀλλ' ἴωμεν, οὗ μόνων * ἡμῶν ἡ ξυνουσία ἔσται. παρατυγχανέτω δὲ καὶ ὁ Δάμις, ὃν ἐγὼ νὴ τὸν Ἡρακλέα, Ἰόλεων ἡγοῦμαι τῶν σῶν ἄθλων.

κ· κοινὴ

Quare Cicadas felices Demetrius dixerit. Tum de Melito & Anyto qui, Socratẽ calumniati ſunt. Item pro quibus ſit moriendum, pro quibus minimè. Tum quid profuerint cithara & cantus Neronis. Quódque Domitianus fuerit vel Nerone peior.

CAP. *V.*

A ΓΕΙ δὲ αὐτὸν εἰπὼν ταῦτα, ἐς τὸ Κικέρωνος τοῦ παλαιοῦ χωρίον. ἔστι δὲ τοῦτο πρὸς τῷ ἄστει. ἱζησάντων δὲ ὑπὸ πλατάνῳ, τῷ μὲν τέττιγες, ὑποψαλλούσης αὐτοῖς τῆς ὥρας, ἐν ᾠδαῖς ἦσαν. ἀναβλέψας δὲ ἐς αὐτοὺς ὁ Δημήτριος, ὦ μακάριοι, ἔφη, καὶ ἀτεχνῶς σοφοί, ὡς ἐδίδαξαν τε ὑμᾶς ᾠδὴν ἄρα μοῦσαι, μή πω ἐς δίκας, ἢ διαβολὰς ὑπαχθεῖσαν· γαστρός τε κρείττους ἐποίησαν, καὶ ἀνῴκισαν τοῦ ἀνθρωπίνου φθόνου. ἐς ταυτὶ τὰ δένδρα, ἐφ' ὧν ὄλβιοι τὴν ἐφ' ὑμῖν τε, καὶ Μουσῶν εὐδαιμονίαν ᾄδετε. ὁ δὲ Ἀπολλώνιος, ξυνίει μὲν οἷ τείνει ταῦτα. διαβαλὼν δὲ αὐτὰ ὡς ἀργότερα τῆς ἐπαγγελίας, εἶτα, εἶπε, τεττίγων βουληθεὶς διελθεῖν ἔπαινον, οὐκ ἐς τὸ φανερὸν διῆλθες αὐτόν, ἀλλ' ἐνταῦθα πτήξας, ὡς τοῦ δημοσίᾳ κειμένου νόμου μηδένα ἐπαινεῖν τέττιγας; οὐχ ὑπὲρ ἐπαίνου ταῦτα εἶπον, ἀλλ' ἐνδεικνύμενος ὅτι τούτοις μὲν ἀνεῖται τὰ αὑτῶν Μουσεῖα, ἡμῖν δὲ οὐδὲ γρύξαι γνώμη, ἀλλ' ἔγκλημα ἡ σοφία εἴρηται. καὶ ἡ μὲν Ἀνύτου, καὶ Μελίτου γραφή, Σωκράτης φησὶν ἀδικεῖ, διαφθείρων τοὺς νέους, καὶ δαιμόνια καινὰ ἐπεισάγων. ἡμᾶς δὲ οὑτωσὶ γράφονται, ἀδικεῖ ὁ δεῖνα σοφὸς ὤν, καὶ δίκαιος. καὶ ξυνιεὶς μὲν θεῶν, ξυνιεὶς δὲ ἀνθρώπων,

A HIS dictis in antiquum Ciceronis ſuburbanum deuenere (eſt autem propè vrbem.) Cúmque ſub platano conſediſſent, cicadæ diei hora concitatæ circa ipſos cantabant: eas itaque reſpiciens Demetrius, O beatæ, inquit, ac verè ſapientes. Vos eam quam Muſæ docuerunt cantatis cantilenam iudiciis, accuſationibúſve nondum obnoxiam: fecerunt autem vos Muſæ nequaquam ventri ſubditas, & humanæ inuidiæ expertes: his arboribus inſidetis, quas illæ vobis incolendas dederunt, vbi felices veſtram Muſarúmque felicitatem decantatis. Apollonius autem quamuis intelligebat, quorſum Demetrij verba tenderent, leuiter tamen ipſum increpans, quòd maioris ocij verba viderentur, quàm præſentis ratio poſtularet. Cur, inquit, cicadarum laudes enumerare volens, non palam apertéque illas profers, ſed hic etiam formidare videris, quaſi lex publicè lata ſit, ne quis cicadas etiam audeat laudare? Tum Demetrius, Non laudationis cauſa hæc dixi: ſed vt oſtenderem, quoniam his licet ſua cantilena perfrui: nobis autem ne mutire quidem conceſſum eſt, quæ ſentimus, ſed veluti crimen ſapientia nobis obiicitur. Et Meliti quidem, Anytíque accuſatio Socratem culpabat, quòd iuuentutem corrumperet, & vanos Deos introduceret: noſtra verò accuſatio talis quædam eſt: hic iniuriam fecit, quia vir eſt iuſtus, ac ſapiens, nouítque diuina, & humana omnia,

A & omnium rerum leges intelligit: quanto autem tu ſapiétior nobis es, tanto maior erit te accuſandi facultas. Cupit enim Domitianus affinem culpæ te arguere eorũ, ob quæ Nerua eiúſque comites exularunt. Quid eſt auté, cur illi exularint? inquit Apollonius. Ob crimé, ait Demetrius, maximum omnium, quod in quenquá cadere poteſt; vt illi videtur, qui eos pepulit. Dicit enim ipſos deprehéſos B eſſe contra regnũ ſuum inſidias machinantes, te autem illis facinoris huius autorem, ac ſuaſorem fuiſſe: quinetiam huius rei cauſa puerum abs te diſſectũ affirmat. Num igitur, inquit Apollonius, ab eunucho ablatum iri imperium arbitratur? Minimè verò, Demetrius inquit, in hoc te accuſat, quòd puerum caſtraueris: ſed vaticinandi cauſa mactatum abs te puerũ dicit, vt ex nouis extis futura melius dignoſceres. Illud etiam crimé accuſationi adiicitur, quòd nouo indu- C méti genere, & viuendi cóſuetudine vtaris noua, & hæc tibi ab his etiá obiiciuntur, à quib. diligi, colíq; te maximè putas, vt ex Teleſino audiui noſtrorũ vtriq. familiariſſimo. O Mercuri, inquit Apollonius, vtiná nunc Teleſinum inueniamus. Hunc enim philoſophum te dicere arbitror, qui Neronis temporib. conſulatũ geſſit. Hunc ipſum dico, inquit Demetrius: quomodo autem ipſum es allocutus. (ſolent enim tyráni ſuſpectos habere D omnes, qui in dignitate ſũt cóſtituti, ſi cũ iis loquãtur, qui in ea ſunt cauſa in qua nunc tu es. Teleſinus auté ex vrbe nuper migrauit propter præconis edictum; quod aduerſus philoſophiá omnem latum eſt: exulare potius eligens tanquam philoſophus, quàm veluti cóſularis remanere. Vtinam, inquit Apollonius, talis vir mei cauſa periculũ non ſubeat; ſatis enim pro ipſa philoſophia periclitatur.

νόμων τε πέρι πολλὰ εἰδώς. σὺ δὲ ὅσῳ τῶν ἡμῶν σοφώτατος, τοσούτῳ σοφωτέρα κατηγορία ἐπὶ σὲ εὕρηται. βούλεται γάρ σε Δομετιανὸς μετέχειν τῶν ἐγκλημάτων, ἐφ' οἷς Νερούας τε, καὶ οἱ ξὺν αὐτῷ φεύγουσι. φεύγουσι δὲ, ἤδη ὃς, ἐπὶ τῷ; ἐπὶ τῇ μεγίστῃ, ἔφη, τῶν νῦν αἰτιῶν, ὡς δοκεῖ τῷ διώξαντι. φησὶ γὰρ αὐτοὺς ἐπὶ τὴν ἀρχὴν τὴν αὐτοῦ πιδῶντας ἡρηκέναι, σὲ δὲ ἐξορμῆσαι τοὺς ἄνδρας ἐς ταῦτα, παῖδα οἶμαι τεμόντα. μῶν, ἔφη, ὡς ὑπὸ εὐνούχου ἡ ἀρχὴ καταλυθείη; οὐ τοῦτο, ἔφη, συκοφαντούμεθα. φασὶ δὲ ὡς παῖδα θύσαις ὑπὲρ μαντικῆς, ἣν τὰ νεαρὰ* τῶν σπλάγχνων φαίνει. προσκεῖται δὲ τῇ γραφῇ καὶ περὶ ἀμπεχόνης, καὶ διαίτης, καὶ τὸ, ἔστιν, ὑφ' ὧν προσκυνεῖσθαί σε. ταυτὶ γὰρ Τελεσίνου ἤκουον ἀνδρὸς, ἐμοί τε, καὶ σοὶ ἐπιτηδείου. ἕρμαιον, εἶπεν, εἰ Τελεσίνῳ ἐντευξόμεθα. λέγεις γάρ που τὸν φιλόσοφον, ὃς ἐπὶ Νέρωνος ἐν ὑπάτοις ἦρξεν; ἐκεῖνον μὲν οὖν, ἔφη, λέγω. ξυγγένοιο δὲ ἂν αὐτῷ τίνα τρόπον; αἱ γὰρ τυραννίδες, ὑπόπτεροι πρὸς τοὺς ἐν ἀξίᾳ πάντας, ἣν ἐς κοινὸν ἴωσι λόγον τοῖς ἐν οἵᾳ σὺ νῦν αἰτίᾳ. Τελεσῖνος δὲ καὶ τῷ* κηρύγματι ὑπεξῆλθεν, ὃ κεκήρυκται νῦν ἐς φιλοσοφίαν πᾶσαν. ἀσπασάμενος μᾶλλον τὸ φεύγειν ὡς φιλόσοφος, ἢ τὸ ὡς ὕπατος μένειν. μὴ κινδυνευέτω, εἶπεν, ὁ ἀνὴρ, ἐμοῦ γε ἕνεκα· ἱκανῶς ὑπὲρ φιλοσοφίας κινδυνεύει.

* χ. νεφρὰ τ.

* σχολ. τῷ δόγματι τοῦ Δομετιανοῦ.

ἀλλ' ἐκεῖνό μοι εἰπέ, Δημήτριε, τί δοκῶ σοι λέγων; ἢ τί πράττων ἂν θήσεσθαι τὸν ἐμαυτοῦ φόβον. μὴ παίζων, ἔφη, μηδὲ ἃ δέδιας, φοβεῖσθαι λέγων. εἰ γὰρ φοβερὰ ἡγοῦ ταῦτα, κἂν ᾤχου ἀποδρὰς τὸν ὑπὲρ αὐτῶν λόγον. σὺ δ' ἂν ἀπέδρας, εἶπεν, εἰ περὶ ὧν ἐγὼ ἐκινδύνευες; οὐκ ἄν, ἔφη, μὰ τὴν Ἀθηνᾶν, εἴ τις ἐδίκαζε. τὸ δ' ἄνευ δίκης, καὶ ὁ μηδ' εἰ ἀπολογοίμην ἀκροασόμενος, ἢ ἀκροασόμενος μέν, ἀποκτενῶν δὲ καὶ μὴ ἀδικοῦντα, οὐκ ἂν ἔμοιγ' οὖν ξυνεχώρησας ἑλέσθαι ποτὲ ψυχρὸν οὕτω, καὶ ἀνδραποδώδη θάνατον, ἀντὶ τοῦ φιλοσοφίᾳ προσήκοντος· φιλοσοφίᾳ δὲ οἶμαι προσήκει, ἢ πόλιν ἐλευθεροῦντα ἀποθανεῖν, ἢ γονεῦσι τοῖς ἑαυτοῦ, καὶ παισί, καὶ ἀδελφοῖς, καὶ τῇ ἄλλῃ ξυγγενείᾳ ἀμύνοντα, ἢ ὑπὲρ φίλων ἀγωνιζόμενον, οἳ ξυγγενείας αἱρετώτεροι σοφοῖς ἀνδράσιν, ἢ τῶν ἠμπολημένοι ἐξ ἔρωτος. τὸ δὲ μὴ ἐπ' ἀληθέσι, κεκομψευμένοις* δ' ἀποθανεῖν, καὶ παρασχεῖν τῷ τυράννῳ σοφῷ δόξαι, πολλῷ βαρύτερον, ἢ εἴ τις, ὥσπερ φασὶ τὸν Ἰξίονα, μετέωρος ἐπὶ τροχοῦ κνάμπτοιτο. σὺ δ' ἀγῶνος οἶμαι ἄρξειν αὐτῷ, τὸ ἥκειν ἐνταῦθα. σὺ μὲν γὰρ τῷ τῆς γνώμης ὑγιαίνοντι, προσθήσεις τοῦτο, καὶ τὸ μὴ ἂν θαρρῆσαι τὴν δεῦρο ὁδόν, εἴ τι ἠδίκεις. Δομετιανῷ δὲ οὐ δόξεις, ἀλλ' ἀπόρρητόν τινα ἰσχὺν ἔχων, θρασέως ἐρρῶσθαι. τὸ γὰρ καλοῦντος μέν, οὔπω δ' ἡμέραι δέκα, ὥς φασι, σὲ δ' ἀφῖχθαι πρὸς τὴν κρίσιν, οὐδ' ἀκηκοότα πω, ὡς κριθήσῃ, νοῦν τῇ

γρ. κεκομψευμένοις γρ. πειλαῖς δὲ ψευσμένοις.

A Tu verò hoc mihi dicas velim, Demetri, quid faciens, dicénſve tibi videor ſedare poſſe timorem meum. Non ludendo, inquit ille, nec quæ metuis, timere te dicendo: nam ſi hæc terribilia exiſtimares, harum rerum fugeres defenſionem. Tu autem fugeréſne, ô Demetri, ſi pro iiſdem, pro quibus nunc appellor, periculum ſubiturus eſſes. Per Palladem, inquit Demetrius, non fugerem, ſi quis de iure mecũ vellet cer- B tare: cùm autem is, qui ſummæ rerum præſidet, etiã indicta cauſa homines interficiat, atq; excuſationem ſi afferre voluerim, non ſit auditurus, aut etiam quamuis audierit, occidat, tum ei etiam, qui nihil iniuſtè perpetrauerit nequaquam fugæ parcendũ arbitrarer. Quin & tu mihi non concederes tam ignauam, &, vt ſic dicã, frigidam mortem eligere, præſertim quæ philoſophiæ non cõueniat. Phi- C loſophiæ namq; (vt arbitror) conueniens mors eſt, ſi ciuitatem ſuam in libertatem vendicans aliquis moriatur, aut parentes, & filios, & fratres, agnatóſve vlciſcens, aut amicorum cauſa decertans, quos cognatis præferunt ſapientes viri; *aut amore venundatus.* Sin verò quis *fictis* de cauſis, & iactantiæ gratia mortem quærat, & vt ſapiens videatur, ſeſe tyranno ſubiiciat, multò dementior putari debet, quàm ſi in rota circũferatur, ſicut de Ixione fabulæ narrãt. Tu D autẽ defenſiones hinc ſumes opinor, quòd huc veneris. Hoc enim apud hominẽ ſanæ mẽtis iure proponeres, dicereſq. in primis te nunquã fuiſſe auſum huc accedere, ſi quid deliquiſſes. Hoc autẽ Domitiano non probabis, ſed quia arcanã quandam, & abſconditã vim habeas, audaciſſimũ te eſſe arbitrabitur. Cùm enim dieb. decem, ex quo te appellauit, nondum elapſis, ad iudicium venias, ignorans adhuc qua de cauſa voceris, *animum*

accuſationi *adbibebit*: quòd delictorũ tibi conſcius prænoſcere videaris, quibus de rebus accuſari poſſis, & de puero interfecto vulgata fama inualeſcet. Caue inſuper ne ea quæ de fatorũ neceſſitate in Ionia fuiſſe abs te diſputata feruntur, nunc ſuper te veniant, & volentib. fatis graue quippiá in te moliri, tu nunc in ipſa coactus irruas; nõ animaduertẽs ſapientis ſemper exiſtimatũ eſſe talia præcauere. Quòd ſi Neronis temporum non es oblitus, quid mihi contigerit meminiſſe facilè potes, & me ad mortem ſubeundã illiberalem non eſſe. Sed habebant ea tempora facilitatẽ quandam. Neronẽ enim cithara ab imperatoria dignitate videbatur excludere: in ceteris verò non admodum incompoſitè ſeſe habebat. Præbebat enim cithara plerunque velut inducias quaſdam, per quas à cædibus abſtinebat. Id enim cauſæ fuit, quòd me non interfecerit, cùm iam penè gladium contra me nudaſſet, ob tuos meóſque ſermones, quos de balneis habui. Mihi enim parcendi cauſa fuit, eo tempore illi reſtituta vocis claritas; ex qua, vt opinabatur, ſuauiſſimas melodias ediderat: nunc autem qua ſuauitate vocis, quáve cithara hunc hominem placabimus? *inconcinna* enim, *atque bile referta ſunt apud illum* omnia, neque à ſe ipſo, nec ab alio demulcetur. & quamuis lyram collaudans Pindarus dicat, eam Martis etiam furorem placare, à belliſque eum reuocare: is tamen cùm muſica certamina inſtituerit, & victores coronari publicè iuſſerit, tamen eorum quoſdam interfecit, quos aiunt ſuauiſſimè & tibiis, & voce ceciniſſe. Viris præterea quos tecum ducis, eſt cõſulendum. Perdes

A κατηγορίᾳ δώσει, προγιγνώσκων γὰρ ἂν φαίνοιο, καὶ ὁ λόγος ὁ περὶ τοῦ παιδὸς ἰσχύσει. καὶ ὅρα μὴ τὰ περὶ μοιρῶν, καὶ ἀνάγκης, ὑπὲρ ὧν ἐν Ἰωνίᾳ διειλέχθαι σέ φασιν, ἐπὶ σὲ ἥκῃ, καὶ βουλομένης τι τῆς εἱμαρμένης ἄτοπον, σὺ δὲ ἠναγκασμένος χωρῇς ἐπ' αὐτό· οὐκ εἰδὼς ὡς σοφώτερον ἀεὶ τὸ φυλάττεσθαι. εἰ δὲ μὴ ἐκλέλησαι τῶν ἐπὶ Νέρωνος, οἶσθά που τοὐμόν, καὶ ὅτι μὴ ἀνελεύθερος ἐγὼ πρὸς θάνατον. ἀλλ'

B εἶχέ τι ῥᾳστώνης ἐκεῖνα. Νέρωνα γὰρ ἡ κιθάρα, τοῦ μὲν προσφόρου βασιλείᾳ σχήματος ἐδόκει ἐκκρούειν· τὰ δὲ ἄλλα, οὐκ ἀηδῶς ἡρμόττεν. ἦγε γάρ τινας πολλάκις δι' αὐτὴν ἐκεχειρίας, καὶ ἀπείχετο τῶν φόνων. ἐμὲ γοῦν οὐκ ἀπέκτεινε, καίτοι τὸ ξίφος ἐπ' ἐμαυτὸν ἕλκοντα, διὰ σοῦ σούς τε, κἀμοῦ

C λόγους, οὓς ἐπὶ τῷ βαλανείῳ διῆλθον. αἴτιον δὲ ἦν τοῦ μὴ ἀποκτεῖναι, τὸ τὴν εὐφωνίαν αὐτῷ ἐπιδοῦναι τότε, καὶ τὸ ὡς ᾤετο μελῳδίας λαμπρᾶς ᾆσαι. νυνὶ δέ, τίνι μὲν εὐφωνίᾳ, τίνι δὲ κιθάρᾳ θύσομεν; ἄμουσα γάρ, καὶ μεστὰ* χολῆς πάντα· καὶ οὔτ' ἂν ὑφ' ἑαυτοῦ ὅδε, οὔτ' ἂν ὑφ' ἑτέρων θελχθείη. καίτοι Πίνδαρος ἐπαινῶν τὴν λύραν, φησὶν ὡς καὶ

D τὸν τοῦ Ἄρεως θυμὸν θέλγει, καὶ τῶν πολεμικῶν ἴσχει αὐτόν. οὑτοσὶ δέ, καίτοι μουσικὴν ἀγωνίαν καταστησάμενος ἐνταῦθα, καὶ στεφανῶν δημοσίᾳ τοὺς νικῶντας, ἔστιν οὓς καὶ ἀπέκτεινεν αὐτῶν, ὕστατά φασι μουσικὴν ἀγωνίαν αὐλήσαντάς τε, καὶ ᾄσαντας. βουλευτέα δέ σοι καὶ ὑπὲρ τῶν ἀνδρῶν. προσαπολεῖς γὰρ

που κἀκείνοις, ἢ θρασὺς δόξας, ἢ A εἰπὼν, ἃ μὴ πείσῃς. ἡ σωτηρία δέ σοι παρὰ πόδα. τὴν γὰρ νεῶν τούτων; πολλαὶ δὲ ὡς ὁρᾷς εἰσιν, αἱ μὲν, ἐς Λιβύην ἀφήσουσιν, αἱ δὲ ἐς Αἴγυπτον, αἱ δὲ ἐς Φοινίκην, καὶ Κύπρον, αἱ δὲ εὐθὺ Σαρδοῦς, αἱ δὲ ὑπὲρ Σαρδώ· μιᾶς ἐπιβάντι σοι κομίζεσθαι κράτιστον, ἐς ὅ,τι δεῖ τῶν ἐθνῶν τούτων. αἱ γὰρ τυραννίδες, ἧττον χαλεπαὶ τοῖς φανεροῖς τῶν ἀνδρῶν, ἢν ἐπαινοῦντας αἰσθωνταί πω* μὴ ἐν φανερῷ ζῆν.

γρ. τὸ μ.

enim omnes, quòd vel nimium audax eſſe videberis, vel ea dices, quæ perſuadere minimè poteris. Salus autem ante pedes tibi poſita eſt. Nauium enim, quas hîc in portu plurimas eſſe vides, aliæ quidem in Libyã; aliæ in Ægyptum, aliæ in Phœniciã & Cyprum ſunt nauigaturæ: quædam Sardiniam vſque, quædam vltra Sardiniam etiam ſunt profecturæ. Harum igitur quamcunque libuerit conſcendens, ad quaſcunque volueris gentes defereris. Tyrannides autem præclaris viris moleſtiæ minus afferunt, vbi eos non in aperto viuere ſenſerint laudantes.

Moriendum eſſe pro philoſophia. Tyrannos item coli apud Medos. Hinc quando moriendum eſſe leges iubeant. CAP. VI.

Ἡττηθεὶς δὲ ὁ Δάμις τῶν τοῦ Δη- C μητρίου λόγων, ἀλλὰ σύ γε, ἔφη, φίλος ἀνδρὶ παρὼν, γένοιο ἂν ἀγαθόν τι τούτῳ μέγα. ἐμοῦ δὲ σμικρὸς λόγος, εἰ ξυμβουλεύοιμι αὐτῷ μὴ κυβιστᾶν ἐς ὀρθὰ ξίφη, μηδὲ ἀναρριπτεῖν πρὸς τυραννίδα, ἧς οὐ χαλεπωτέρα ἐνομίσθη. τῆς γοῦν ὁδοῦ τῆς ἐνταῦθα, εἰ μή σοι ξυνέτυχον, οὐδὲ τὸν νοῦν ἐγίγνωσκον. ἕπομαι γὰρ αὐτῷ θᾶττον, ἢ ἑαυτῷ τις. εἰ δὲ ἔροιό με ποῖ πλέω, ἢ ἐφ' ὅ,τι, καταγέλαστος ἐγὼ τοῦ πλοῦ, Σικελικὰ μὲν πελάγη, καὶ D Τυρρηνοὺς κόλπους ἀναμετρῶν, οὐκ εἰδὼς δὲ ὑπὲρ ὅτου. καὶ εἰ μὲν ἐκ προρρήσεως ἐκινδύνευον, εἶχον ἂν πρὸς ἐρωτῶντας λέγειν, ὡς Ἀπολλώνιος μὲν θανάτου ἐρᾷ, ἐγὼ δὲ ἀντεραστὴς ξυμπλέω. ἐπεὶ δὲ οὐδὲν οἶδα, ἐμὸν ἤδη λέγειν, ὑπὲρ ὧν οἶδα· λέξω δὲ

HAC oratione Demetrij ſuperatus Damis, Tu quidem, inquit, cùm huic viro ſis alioquin amiciſſimus, nunc certè magnum illi bonum videris afferre: de me enim parua oratio haberetur, ſi conſulerem, ne gladiis iam erectis incurreret; néve tyrannidi ſubiiceret, quæ nulla ſæuior, nulla immanior eſſe putatur. Huius enim itineris, niſi ſimul adeſſe contigiſſet, ignarus eram: nam ego citius quàm ſeipſum quiſpiam eum ſequor. Quòd ſi quis me interroget, quò nauigem, aut cuius rei cauſa: ridiculus planè videbor, quòd Siculum pelagus, & ſinus Tyrrhenos dimenſus, cur id fecerim adhuc ignoré: quòd ſi ſponte mea periculum ſubirem, poteram ſaltem cauſſam interrogantibus dicere: Quoniam Apollonius mortem affectat: ego etiam huius riualis ſimul nauigo. Sed quia tunc, vt dixi, nihil ſciui, meum officium eſt nunc, quæ ſcio non reticere. Dicam autem

non mea, ſed huius hominis cauſa. Ego ſi mortem oppetam, non magnam in me iacturam faciet philoſophia: cùm ſim quaſi ſtrenui cuiuſdam militis famulus, rationem afferre potens cur hunc ſequar. Sin autem hunc aliquis cœciderit, quod quidem eſt tyranno facillimum, trophæum, vt mihi videtur, de philoſophia ponere poterit, quæ optimum philoſophorum omnium amiſerit. Multi autem contra nos Anyti, Melitíve inſurgent, & accuſationes hinc atque aduerſus Apollonij familiares ingerent: alius quidem, quòd is tyrannidem riſerit: alius verò quòd aduerſus eandem loquentem confirmauerit: alius rurſus, quòd dicenti aures præbuerit, aut quòd audita laudauerit. Ego autem pro philoſophia moriendum itidem arbitror, ſicut pro templis, pro muris & maiorum ſepulchris. Nam pro talium ſalute multi & præclari viri mortem oppetierunt. Philoſophiæ verò perdendæ cauſa, nec ego mori vellem, nec eorum quiſquam, qui illam & Apollonium amant. Poſt hæc Apollonius, Damidi, inquit, pro præſentibus rebus cautè diſſerenti ignoſcere oportet. Nam cùm ſit genere Aſſyrius, & Medi finitimus, vbi tyrannides maximis coluntur honoribus, nihil magni de libertate ſentire poteſt. Tu autem, Demetri, quo pacto apud philoſophiam excuſari poſſis, neſcio: qui timorem tantùm pro his rebus oſtendis, quarum ſi qua verè timenda appareret, te magis decuit à timore illum reuocare, qui talia metuere videretur. Nec oportuit vllo modo timorem incutere illi, quem pro iis, qui verè timenda non ſunt, timere ſenſiſſes. Vir enim ſapiens pro iis, quæ enumeraſti, morietur,

A αὐτὸ ὑπὲρ τοῦ ἀνδρός. εἰ μὲν γὰρ ἐγὼ
ἀποθάνοιμι, οὔπω δεινὰ φιλοσοφία
πείσεται. σκευοφόρῳ γὰρ εἴκασμαι στρα-
τιώτου γενναίου, λόγου ἀξιούμενος, ὅτι
τοιῷδε ἕπομαι. εἰ δὲ ἔσται τις, ὃς ἀπο-
κτενεῖ τοῦτον, εὔποροι δ' αἱ τυραννίδες,
τὰ μὲν, ξυνθεῖναι, τὰ δὲ, ἐξᾶραι, τρό-
παιον μὲν οἶμαι κατὰ φιλοσοφίαν ἑστή-
ξει, σφαλείσης καὶ περὶ τὸν ἄριστα ἀν-
B θρώπων φιλοσοφήσαντα. πολλοὶ δὲ Ἄ-
νυτοι καθ' ἡμῶν, καὶ Μέλιτοι. γραφαὶ
δ' αἱ μὲν, ἔνθεν, αἱ δὲ, ἐκεῖθεν, ἐπὶ
τοὺς Ἀπολλωνίῳ ξυγγενομένους, ὡς ὁ
μέν τις ἐγέλασε, καθαπτομένου τῆς
τυραννίδος, ὁ δ' ἐπέρρωσε λέγοντα, ὁ δ'
ἐνέδωκε λέξαι τι, ὁ δ' ἀπῆλθε ξὺν
ἐπαίνῳ, ὧν ἤκουσεν. ἐγὼ δ' ἀποθνή-
σκειν μὲν ὑπὲρ φιλοσοφίας οὕτω φη-
μὶ δεῖν, ὡς ὑπὲρ ἱερῶν, καὶ τειχῶν, καὶ
τάφων. ὑπὲρ σωτηρίας γὰρ τῶν τοιῶν
C δε, πολλοὶ καὶ ὀνομαστοὶ ἄνδρες ἀποθα-
νεῖν ἠσπάσαντο. ὡς δὲ ἀπολέσθαι φι-
λοσοφίαν, μήτε ἐγὼ ἀποθάνοιμι,
μήτε ὅς τις ἐκείνης τε, καὶ Ἀπολλωνίου
ἐρᾷ. πρὸς ταῦτα ὁ Ἀπολλώνιος,
Δάμιδι μὲν ὑπὲρ τῶν παρόντων εὐ-
λαβῶς διειλεγμένῳ, ξυγγνώμην, ἔφη,
προσήκει ἔχειν. Ἀσσύριος γὰρ ὤν, καὶ
D Μήδοις προσοικήσας, οὗ τὰς τυραν-
νίδας προσκυνοῦσιν, οὐδὲν ὑπὲρ ἐλευ-
θερίας ἐνθυμεῖται μέγα. σὺ δ' οὐκ
οἶδ' ὅτι πρὸς φιλοσοφίαν ἀπολογήσῃ,
φόβους ὑποτιθεὶς, ὧν εἴ τι καὶ ἀληθὲς ἐ-
φαίνετο, ἀπάγειν ἐχρῆν μᾶλλον, ἢ εἴσω
καθιστάναι τοῦ φοβεῖσθαι τὸν εἰ μηδ' ἃ
παθεῖν εἰκὸς ἦν, δεδιότα. σοφὸς δ' ἀ-
νὴρ, ἀποθνησκέτω μὲν ὑπὲρ ὧν εἶπας.

ἀποθάνοι δ᾽ ἄν τις ὑπὲρ τούτων, καὶ μὴ σοφός. τὸ μὲν γὰρ ὑπὲρ ἐλευθερίας ἀποθνήσκειν, νόμῳ προστέτακται· τὸ δ᾽ ὑπὲρ ξυγγενείας, ἢ φίλων, ἢ παιδικῶν, φύσις μὲν ὥρισε· δουλοῦνται δὲ ἅπαντας ἀνθρώπους φύσις, καὶ νόμος. φύσις μὲν, καὶ ἑκόντας. νόμος δὲ, ἄκοντας. σοφοῖς δὲ οἰκειότερον τὸ τελευτᾶν, ὑπὲρ ὧν ἐπετήδευσαν. ἃ γὰρ μὴ νόμου ἐπιτάξαντος, μηδὲ φύσεως ξυντεκούσης αὐτοὶ ὑπὸ ῥώμης τε καὶ θράσους ἐμελέτησαν· ὑπὲρ τούτων, εἰ καταλύοι τις αὐτὰ, ἴτω μὲν πῦρ ἐπὶ τὸν σοφὸν, ἴτω δὲ πέλεκυς. ὡς νικήσει αὐτὸν οὐδὲν τούτων, οὐδὲ ἐς ὁπουῦν προελᾷ ψεῦδος· καθέξει δὲ ὁπόσα οἶδε, μεῖον οὐδὲν, ἢ ἃ ἐμυήθη. ἐγὼ δὲ, γιγνώσκω μὲν πλεῖστα ἀνθρώπων, ἅτε εἰδὼς πάντα· οἶδα δὲ, ὧν οἶδα, τὰ μὲν, σπουδαίοις, τὰ δὲ, σοφοῖς, τὰ δὲ, ἐμαυτῷ, τὰ δὲ, θεοῖς· τυράννοις δὲ οὐδέν. ὡς δὲ οὐχ ὑπὲρ ἀνοήτων ἥκω, σκοπεῖν ἔξεστιν. *ἐγὼ γὰρ λέγω, περὶ μὲν τῷ ἐμαυτοῦ σώματι, κινδυνεύω οὐδὲν, οὐδ᾽ ἀποθάνοιμι ὑπὸ * τῆς τυραννίδος, οὐδ᾽ εἰ αὐτὸς βουλοίμην· ξυνίημι δὲ κινδυνεύων περὶ τοῖς ἀνδράσιν, ὧν, εἴτε ἀρχὴν, εἴτε προσθήκην ποιεῖταί με ὁ τύραννος, εἰμὶ πᾶν ὅ,τι βούλεται. εἰ δὲ προυδίδω σφᾶς, ἢ βραδύνων, ἢ βλακεύων περὶ τὴν αἰτίαν, τίς ἂν τοῖς σπουδαίοις ἔδοξα; τίς δ᾽ οὐκ ἂν ἀπέκτεινέ με εἰκότως, ὡς παίζοντα ἐς ἄνδρας, οἷς ἃ * παρὰ τῶν θεῶν ᾔτουν, ἀνετέθην*.

γ. ἐγὼ γὰρ λέγω τ. μ. τ. ἐ. σ. κ. δ᾽ ἐ.

γ. ὑπὲρ τ.

γ. πὰρ

γ. αἰτίαν

A ſed pro his & non ſapiens quiſpiam moreretur. Nam pro libertate mori leges iubent: pro agnatis verò, & amicis, ac pro iis omnino, quos amaueris, idem eſſe faciendum natura ipſa præfiniuit. Legi autem, naturæque omnes homines ſeruiunt: naturæ quidẽ ſponte, legi autem quandoque etiam inuiti. Sapientes autem magis decet pro iis mori, in quibus ſeſe exercuerunt. Quæ enim nulla B iubente lege, nec impellente natura, ipſi fortitudine quadam animi eligere auſi ſunt, pro his, ſi quis ea ſoluere tentauerit, mori non recuſabunt: ſiue ignis admoueatur ſapienti, ſiue accedat ſecuris, nihil horum profectò vincet ſapientem; nec ad aliquod dicendum mendacium compelletur: & in his omnibus quæ didicit conſtans nihil minus permanebit quàm in ſacris, quibus eſt initiatus. Ego autem plu- C ra quàm ceteri homines cognoſco, vtpote qui ſciam omnia. Scio autem quæ ſcio, partim ſtudioſis hominibus, partim ſapientibus, partim mihi ipſi, partim etiam Diis immortalibus: tyrannis autẽ ſcio nihil. Quòd autem non pro dementibus huc venio, ex hoc facilè intelligi poteſt: *Atenim ego in nullo quidem capitis periculo verſor*, nec à tyrannide interfici poſſum, etiam ſi hoc ipſe vellem: intelligo tamen in hominibus me periclitari, quorum ſiue principium, ſiue additamentũ D me facit tyrannus, ero quicquid ipſe voluerit. Sin autem hos perdidero, aut negligentius, aut mollius eorum cauſam agendo, qualis nam ſtudioſis viris eſſe videbor? aut quis non iuſtè interficiet, qui viros deluſerim, quibus * vt à Diis petij, præpoſitus ſum.

*quæ à Diis petebam, tributa ſunt.

Tyrannorum duas eſſe puniendis hominibus conſuetudines. Tum quomodo Tiberius, & Nero homines occiderint. Item de Phraote, & Iarcha, & poculo ſapientum Indorum. Hinc ſeipſum noſcere vnumquenque oportere. Vnde illud, Χίλων δ' ἐν κοίλῃ Λακεδαίμονι γνῶθι σεαυτόν. *id eſt*, Inque caua Chilon Lacedæmone, Noſce te ipſum. *Tum quid faciat ſapientia.* C*AP.* VII.

QVONIAM autem fugere mihi non licebat, quin proditionis crimen ſubirem, iam oſtendam. Tyrannorum *mores duorum generum* ſunt: aut enim indicta cauſa homines occidunt, aut iudicio antea ſuppoſitos, ac damnatos. Sunt autem ſimiles illi quidem calidis, promptíſque belluis; hi verò mollioribus, & ignauioribus. Quòd autem vtrique moleſti ſint, omnibus patet. Licet autem exempla ſumere, eius quidem, qui furore quodam, indictáque cauſa occidebat, Neronẽ, alterius autem mollioris Tiberiũ. Interfecit enim ille quidem eos, qui nihil tale metuebant: hic autem eos, qui iamdudum id timuerant. Ego autem deteriores illos exiſtimo, qui iudicium fingentes, ſecundum leges decernere aliquid ſimulant, cùm ſecundum leges nihil faciant: decernunt enim perinde atque ij, qui iudicij obſeruatione non vtuntur, nomine legis abutentes in iis, qui per iracundiam agentes de alicuius morte ſententiam ferunt. Nam ſic interficiendo, miſeris illis hoc pacto damnatis, multitudinis miſericordiam auferunt; quam velut exequias præbere decet iis, qui iniuſtè fuerint interempti. Huius itaque tyrannidis iudiciariam quandam formam videre mihi videor, quæ tamen in iniudicatum terminetur. Nam de quibus antequam iudicium fiat, conſtituit quid ſit agendum: eos tanquam non iudicatos iudicio ſubijcit: & qui tali iudicio damnatus fuerit, manifeſtè

A ΟΤΙ δὲ οὐκ ἐῶν μοι διαφυγεῖν τὸ μὴ προδότης δόξαι, δηλῶσαι βούλομαι. τυραννίδων ἤθη διττά. αἱ μὲν γὰρ ἀκρίτους ἀποκτείνουσιν· αἱ δὲ ὑπαχθέντας δικαστηρίοις. ἐοίκασι δὲ αἱ μὲν, τοῖς θερμοῖς τε, καὶ ἑτοίμοις τῶν θηρίων· αἱ δὲ, τοῖς μαλακωτέροις τε καὶ ληθάργοις. ὡς μὲν δὴ χαλεπὸν ἄμφω, δῆλον πᾶσι παράδειγμα ποιουμένοις, τῆς μὲν ὁρμώ-
B σης, καὶ ἀκρίτου, Νέρωνα· τῆς δὲ* ὑποκαθημένης, Τιβέριον. ἀπώλλυσαν γὰρ, ὁ μὲν, οὐδὲ οἰηθέντας, ὁ δὲ ἐκ πολλοῦ δείσαντας. ἐγὼ δὲ ἡγοῦμαι χαλεπωτέρας τὰς δικάζειν προσποιουμένας, καὶ ψηφίζεσθαί τι ὡς ἐκ τῶν νόμων· πράττουσι μὲν γὰρ κατ' αὐτῶν οὐδέν· ψηφίζονται δὲ ἅπερ οἱ
C μηδὲν κρίναντες, ὄνομα τῷ διατρίβοντι τῆς πρὸς ὀργῆς θέμενοι νόμον. τὸ δὲ ἀποθνήσκειν κατεψηφισμένοις, ἀφαιρεῖται τοὺς ἀθλίους, καὶ τὸν παρὰ τῶν πολλῶν ἔλεον, ὃν ὥσπερ ἐντάφιον χρὴ ἐπιφέρειν τοῖς ἀδίκως ἀπελθοῦσι. δικαστικὸν μὲν δὴ τὸ τῆς τυραννίδος ταύτης ὁρῶ σχῆμα· τελευτᾶν δέ μοι δοκεῖ ἐς ἄκριτον·
D ὧν γὰρ πρὶν ἢ δικάσαι κατεψηφίσατο, τούτους ὡς μήπω δεδικασμένους ὑπάγει τῇ κρίσει. καὶ ὁ μὲν, ψήφῳ ἁλοὺς, ἐν αὐτῇ δῆλον

* [illegible]

ὡς ὑπὸ τοῦ μὴ κατὰ νόμους κρίνοντος ἀπολωλέναι φησίν. ὁ δ᾽ ἐκλιπὼν τὸ δικάσασθαι, πῶς ἂν διαφύγοι τὸ μὴ οὐκ ἐφ᾽ ἑαυτοῦ ἐψηφίσθαι; τὸ δὲ καὶ τοιῶνδε ἀνδρῶν κειμένων, ἐπ᾽ ἐμοὶ νῦν ἀποδρᾶναι τὸν ἐμαυτοῦ τε, κἀκείνων ἀγῶνα, ποῖ με τῆς γῆς ἐάσει καθαρὸν δόξαι; ἔστω γὰρ σὲ μὲν εἰρηκέναι ταῦτα, ἐμὲ δὲ ὀρθῶς εἰρημένοις πείθεσθαι, τοὺς δὲ, ἀποσφάχθαι· τίς μὲν ὑπὲρ εὐπλοίας εὐχὴ τῷ τοιῷδε; ποῖ δὲ ὁρμιεῖται; πορεύσεται δὲ παρὰ τίνα; ἐξαλλάττειν γὰρ χρὴ οἶμαι πάσης, ὁπόσης Ῥωμαῖοι ἄρχουσι. παρ᾽ ἄνδρας δὴ ἥκειν ἐπιτηδείους τε, καὶ μὴ ἐν φανερῷ οἰκοῦντας· τουτὶ δ᾽ ἂν Φραώτης τε εἴη, καὶ ὁ Βαβυλώνιος, καὶ Ἰάρχας ὁ θεῖος, καὶ Θεσπεσίων ὁ γενναῖος. εἰ μὲν δὴ ἐπ᾽ Αἰθιόπων στελλοίμην, τί ἄν, ὦ λῷστε, πρὸς Θεσπεσίωνα εἴποιμι; εἴτε γὰρ κρύπτοιμι ταῦτα, ψευδολογίας ἐραστὴς δόξω, μᾶλλον δὲ δοῦλος. εἴτε ἐς ἀπαγγελίαν αὐτῶν ἴοιμι, τοιῶνδέ που δέοιτ᾽ ἂν λόγων· ἐμὲ, ὦ Θεσπεσίων, Εὐφράτης πρὸς ὑμᾶς διέβαλεν, ἃ μὴ ἐμαυτῷ ξύνοιδα. ὁ μὲν γὰρ κομπαστὴν, ἔφη, καὶ τερατώδη με εἶναι, καὶ ὑβριστὴν σοφίας, ὁπόση Ἰνδῶν. ἐγὼ δὲ, παντὶ μὲν οὐκ εἰμὶ, προδότης δὲ τῶν ἐμαυτοῦ φίλων, καὶ σφαγεὺς, καὶ οὐδὲν πιστὸν, καὶ τὰ τοιαῦτά εἰμι. στέφανόν τε ἀρετῆς, εἴ τις ἐνταῦθα, στεφανωσόμενος ἥκω τουτονί· ἐπειδὴ τοὺς μεγίστους τῶν κατὰ τὴν Ῥώμην οἴκων οὕτως ἀνεῖλον, ὡς μὴ οἰκῆσθαι αὐτοὺς ἐπ᾽

A patet ab homine non ſecundum leges iudicante damnatum eſſe: qui autem iudicium refugerit, quónam pacto euitabit infamiam, quin ſeſe ipſemet damnauerit? Cùm itaque viri tales contra me nunc poſiti ſint, ſi contentionem mihi aduerſus eos inſtantem aufugiam, quæ terra me crimine purum iudicabit? Supponatur enim, ea quæ dixiſti rectè, veréque fuiſſe dicta, me verò tanquam

B verè dictis parêre: hos autem, quos tueri debeo, ſupponatur interfici: quas ego cùm ſim talis, pro ſecunda nauigatione preces faciam? quò me conferam? Aut ad quem pergere exoptabo? Eſſent enim, vt opinor, omnia loca, vbi Romani dominantur euitanda; veniendúmque ad viros cùm mihi amicos, tum non palam, & in aperto degentes qualis aut Phraotes eſſet, aut Babyloniæ rex, aut diuinus Iarchas, aut generoſus

C Theſpeſion. Quòd ſi ad Æthiopes diuertendum mihi ſtatuerim, quídnam, vir optime, Theſpeſioni dicendum erit? ſiue enim quæ egiſſem occulerem, mendaciorum amator ac ſeruus potius eſſe videbor: ſin verò hæc patefacere conſtituere, tali opinor oratione vtendum erit. Me quidem, ô Theſpeſion, Euphrates apud vos calumniatus eſt, crimina obiiciens, quorum mihi nequaquam conſcius eram. Dicebat enim

D me iactatorē eſſe, & portentoſa quædam loquentem: Indorum præterea ſapientiæ violatorem: ego autem reuera nihil horum ſum, proditor autem amicorum & iugulator, & perfidus, & alia quædam huiuſmodi me eſſe fateor: adeò vt ſi quis pro talibus virtutibus coronari mereatur, ego me illum eſſe profitear, quoniam maximas earum, quæ Romæ ſunt, familias ita perdidi, vt illic degere amplius ex ipſis nemo poſſit.

Quòd

Quòd ſi hæc me dicentem audires, Demetri, erubeſceres profectò: iam enim hoc ita ſentio, quaſi ea quæ oculis cernuntur. Quid autem, ſi Phraotem & me ad virum talem in Indiam fugientem ante oculos tibi ponas,¿ Animaduertere iam nunc potes, quomodo ipſum intueri poſſem, aut quam cauſam fugæ prætexere? *numquid* tibi præclarum videretur, ſi dicerem, probum iuſtúmque antea me ad eum veniſſe, & animam pro amicis ponere paratum; poſtquam verò fuerim cum eo verſatus, *rem omniũ quæ inter homines ſunt maximè diuinam, vt vilem proieciſſe?* Iarchas autem ex me veniẽte nihil quæreret, ſed velut Æolus Vlyſſem, quando proſperæ nauigationis munere abutentem, ignominioſè iuſſit ex inſula diſcedere: ſic ille, comitéſque, è ſacro colle me depellerent, iniquum dicentes præmium pro accepto poculo me referre. Volunt enim vt quicunque ex illo bibunt, periculorum cum amicis participes ſint. Et quoniam ſcio quàm ſis, in ſermonibus vehemens & acutus, ô Demetri, poſſes has meas rationes facilè confutans dicere, vt ad eos accederem, cum quibus verſatus antea non eſſem. Sic enim forſitan bene mihi ſuccedere fugam arbitrareris, quòd *facilius* poſſem apud eiuſmodi homines *latere*: itaque rationem hanc quid habeat veritatis, perſcrutemur. Mihi enim de illa ſic videtur. Ego virum ſapientem cenſeo nihil priuatim ſui cauſa facturum, neq. arbitraturum quicquam ita occultè fieri poſſe, vt ipſe ſaltem ſibi non adſit: & ſiue Apollinis Pythij præceptum id fuerit, ſiue ſapientis hominis cuiuſdam ſe ipſum probè cognoſcentis, & ob hoc ſententiam hanc de omnibus in communi proferentis, ſiue alio quo-

A ἐρυθριᾷς, Δημήτριε, τούτων ἀκούων; ὁρῶ γάρ. τί οὖν, εἰ καὶ Φραώτην ἐνθυμηθείης, κἀμὲ παρὰ τὸν ἄνδρα τοῦτον ἐς Ἰνδοὺς φεύγοντα, πῶς μὲν ἂν ἐς αὐτὸν βλέψαιμι; τί δ' ἂν εἴποιμι ὑπὲρ ὧν φεύγω; μὲν ὡς ἀφικόμην μὲν καλὸς κἀγαθὸς πρότερον, καὶ τὸν θάνατον τὸν ὑπὲρ φίλων οὐκ ἄθυμος*· ἐπεὶ δὲ ξυνεγενόμην αὐτῷ, τὸ θειότατον τοὐπὶ* τῶν κατ'
B ἀνθρώπους, ἄτιμον ἔρριψά σοι; ὁ δὲ Ἰάρχας οὐδὲ ἐρήσεται οὐδὲν ἥκοντα, ἀλλ' ὥσπερ ὁ Αἴολος ποτὲ τὸν Ὀδυσσέα κακῶς χρησάμενον τῷ τῆς εὐπλοίας δώρῳ, ἄτιμον ἐκέλευσε χωρεῖν τῆς νήσου· κἀμὲ δή που ἀπελᾷ τοῦ ὄχθου, κακὸν εἰπόντες τὸ Ταντάλειον γέγονε πόμα· βούλονται γὰρ τὸν ἐς αὐτὸ κύψαντα, καὶ κινδύνων κοινωνεῖν τοῖς φίλοις. οἶδα ὡς
C δεινὸς εἶ, Δημήτριε, λόγοις ξυντεμεῖν πάντας. ὅθεν μοι δοκεῖς καὶ τουτό τι ἐρεῖν πρός με. ἀλλὰ μὴ παρὰ τούτοις ἴθι, παρ' ἄνδρας δέ, οἷς μή πω ἐπέμιξας· καὶ εὖ κείσεταί σοι τὸ ἀποδρᾶναι· ῥᾷον γὰρ οὐκ εἰδόσι λήσῃ. βασανιζέσθω δὲ καὶ ὅδε ὁ λόγος, ὅπῃ τοῦ πιθανοῦ ἔχει. δοκεῖ γάρ μοι περὶ αὐτοῦ τάδε. ἐγὼ ἡγοῦμαι τὸν σοφὸν μηδὲν ἰδίᾳ,
D μηδ' ἐφ' ἑαυτοῦ πράττειν, μηδ' ἂν ἐνθυμηθῆναί τι οὕτως ἀμάρτυρον, ὡς μὴ αὐτὸν γοῦν ἑαυτῷ παρεῖναι. καὶ εἴτε Ἀπόλλωνος αὐτοῦ, τὸ Πυθοῖ γράμμα, εἴτε ἀνδρὸς ὑγιῶς ἑαυτὸν γνόντος, καὶ διὰ τοῦτο γνώμην αὐτὸ ποιουμένου ἐς πάντας;

σχ. οὐκ ἀπρόθυμος, οὐκ ἄθυμος

σχ. τὸ ἀποθνήσκειν καὶ κινδυνεύειν ὑπὲρ φίλων, ἄτιμον ἐγχειρισάμενος; μὴ θύραζε ἔρριψας

Ff

δοκεῖ μοι ὁ σοφὸς ἑαυτὸν γιγνώσκων, καὶ παραστάτην ἔχων τὸν ἑαυτοῦ νοῦν, μήτ᾽ ἂν πτῆξαί τι, ὧν οἱ πολλοί, μήτ᾽ ἂν θαρσῆσαί τι, ὧν ἕτεροι μὴ ξὺν αἰσχύνῃ ἅπτονται. δοῦλοι γὰρ τῶν τυραννίδων ὄντες, καὶ προδοῦναι αὐταῖς ποτε τοὺς φιλτάτους ὥρμησαν· τὰ μὲν μὴ φοβερὰ δείσαντες, ἃ δὲ χρὴ δεῖσαι, μὴ φοβηθέντες. σοφία δὲ οὐ ξυγχωρεῖ ταῦτα. πρὸς γὰρ τῷ Πυθικῷ ἐπιγράμματι, καὶ τὸ τοῦ γρ. ἰσχυροῦ Εὐριπίδου ἐπῄνει*, ξύνεσιν ἡγουμένου περὶ τοῖς ἀνθρώποις εἶναι τὴν ἀπολλύσαν αὐτοὺς, ἐπειδὰν ἐνθυμηθῶσιν, ὡς κακὰ εἰργασμένοι εἰσίν. ἥδε γάρ που καὶ τῷ Ὀρέστῃ τὰ τῶν εὐμενίδων εἴδη ἀνέγραφεν, ὅτε δὴ μαίνεται ἐπὶ τῇ μητρί. νοῦς μὲν γὰρ, τῶν πρακτέων κύριος· ξύνεσις δὲ, τῶν ἐκείνῳ δοξάντων. ἣν μὲν δὴ χρηστὰ ἕληται ὁ νοῦς, πέμπει ἤδη τὸν ἄνδρα ἡ ξύνεσις ἐς πάντα μὲν ἱερά, πάσας δὲ ἀγυιάς, πάντα δὲ τεμένη, πάντα δὲ ἀνθρώπων ἤθη, κροτοῦσά τε, καὶ ᾄδουσα. ἐφυμνήσει δὲ αὐτῷ καὶ καθεύδοντι παριστᾶσα χορὸν εὔφημον ἐκ τοῦ τῶν ὀνείρων δήμου. ἣν δ᾽ ἐς φαῦλα ὀλισθήσῃ ἡ τοῦ νοῦ στάσις, οὐκ ἐᾷ τοῦτον ἡ ξύνεσις, οὔτε ὄμμα ὀρθὸν ἐς ἀνθρώπων τινὰ ἀφεῖναι, οὔτε τὸ ἀπ᾽ ἐλευθέρας γλώττης φθέγμα. ἱερῶν τε ἀπελαύνει, καὶ τοῦ εὔχεσθαι· οὐδὲ γὰρ χεῖρα αἴρειν ξυγχωρεῖ ἐς τὰ ἀγάλματα, ἀλλ᾽ ἐπισκώπτει αἴροντας, ὥσπερ τοὺς ἐπανατεινομένους οἱ νόμοι. ἐξίστησι δὲ αὐτοὺς καὶ ὁμίλου παντὸς, καὶ δειματοῖ καθεύδοντας· καὶ ἃ μὲν

A cunque modo ſe res habeat, mihi ſapientis eſſe videtur ſe ipſum noſcere, & ſui ipſius mentem habere præſidem; neque terrefieri ab iis, quæ plerique timent, neque rurſus audere quicquam aggredi eorum, quæ ceteri abſq. rubore vllo, verecundiáque, attentant. Qui enim tyrannis inſeruiunt, ſibi etiam amiciſſimos prodere conantur, timentes, ea quæ verè timenda non ſunt, quæ verò timere oporteret, non metuentes. talia verò vti fiant, non
B concedit ſapientia: quæ præter Pythium epigramma, Euripidis quoque ſententia laudat: putantis conſcientiam eſſe, quæ homines puniat, cùm ſe malè operatos fuiſſe recogitant, eadem enim furiarum pœnas appoſuit Oreſti, quando aduerſus matrem inſaniit. Mens enim agendarum rerum domina eſt: conſcientia verò quæ menti videntur. Quapropter ſi mens opera bona eligit facienda, conſcien-
C tia virum mittit ad omnia ſacra, per omnes vicos, per omnia Deorum templa, ad omnes hominũ ſpecies: & plaudens, canénſque ipſum vbique laudat: dormienti quoque eidem aſſiſtens, præclarum chorum è ſomniorum domo illi circomponit. ſin ad aliqua delicta ſeditioſa mens prolabitur, non ſinit conſcientia talem hominem rectis oculis quenquam aſpicere: nec expeditè verba proferre, à ſacris quo-
D que & precibus, votíſque eundem arcet: neque manus ad ſimulachra Deorum attollere ſinit, & attollentem increpat, ac reiicit, ſicuti leges contra rebelles fieri iubent: ab omni etiam hominum cœtu eundem exterminat, & dormientes terrefacit, & quæcunque per

diem fecerint, ea tanquam imagines audire, aut dicere arbitrantur, & ea omnia ſimilia ſomniis, vanáque conſciētia efficit. Debiles autem viſiones & phātaſticos terrores probabiles, & verè timendos oſtendit. Hoc itaque pacto conſcientia me redarguet, ſiue ad eos, qui me agnoſcunt, ſiue ad eos, qui non cognoſcunt, acceſſerim. Quòd enim talia agens, virorum proditor ſim, manifeſtè me & oſtendiſſe arbitror, & ipſa veritas apertè demonſtrat: quinetiam mei ipſius proditor non ero, pugnabóque aduerſus tyrannum generoſi Homeri carmen decantans, *Communis Mars.*

A ὁρῶσι μεθημέραν, καὶ ἤδη τινὰ ἀκούειν, ἢ λέγειν οἴονται, ὀνειρώδη, καὶ ἀνεμιαῖα ποιεῖ τούτοις· τὰς δὲ ἀμυδράς, καὶ φαντασιώδεις πτοίας, ἀληθεῖς ἤδη, καὶ πιθανὰς τοῦ φόβου. ὡς μὲν δὴ ἐλέγξει με ἡ σύνεσις, ἐς εἰδότας τι, καὶ μὴ εἰδότας ἥκοντα, προδότης γενοίμην τῶν ἀνδρῶν. δεδεῖχθαί μοι σαφῶς οἶμαι, B καὶ ὡς φαίνει ἀλήθεια. προδώσω δὲ οὐδὲ ἐμαυτόν, ἀλλ' ἀγωνιοῦμαι πρὸς τὸν τύραννον, τὸ τοῦ γενναίου Ὁμήρου ἐπειπών, ξυνὸς Ἐνυάλιος.

Apollonium diſceßiſſe Puteolis à Demetrio nauigaturum Romam. Tum de Æliano amico Apollonij. CAP. *VIII.*

HAC oratione adeò ſe commotum ſcribit Damis, vt animi promptitudinem, audaciámque receperit. Demetrius quoque non amplius aduerſatus eſt Apollonio, ſed illius dictis conſentiens quaſi diuinitus datam laudabat eius opinionem, quòd pro talibus viris auderet periclitari: philoſophiam itidem collaudans, quæ ei talem audaciam præſtabat. Deinde ipſos præcedens domum ſuam ducere voluit: verùm id recuſauit Apollonius, meridiem iam inſtare dicens: velle autem ſe prima nocte Romanorum portum intrare, ſicut naues facere conſueuerunt: aliàs verò concœnabimus, inquit, vbi melius ſeſe habebunt res meæ. nunc enim vererer ne qua aduerſus te inſtitueretur accuſatio, quòd cum regis inimico cœnauiſſes. neque verò nobiſcum ad portum deſcendere te volo, ne quis te mecum ſermones aut arcana conſilia communicaſſe criminetur.

C ΥΠΟ τούτων ὁ Δάμις τῶν λόγων, αὐτὸς μὲν οὕτω διατεθῆναί φησιν, ὡς ὁρμήν τε ἀναλαβεῖν, καὶ θάρσος. τὸν Δημήτριον δὲ μὴ ἀπογνῶναι τοῦ ἀνδρός, ἀλλ' ἐπαινέσαντα, καὶ ξυνθέμενον οἷς εἶπεν· ἐπιθειάσαι τε ὑπὲρ οὗ κινδυνεύει. καὶ φιλοσοφίαν αὐτήν, ὑπὲρ ἧς καρτερεῖ ταῦτα. ἡγεῖσθαί τε αὐτοῖς, οὗ καταλύων ἐτύγχανε· τὸν δὲ Ἀπολλώνιον παραιτούμενον τοῦτο, δείλη ἤδη φάναι. καὶ χρὴ περὶ λύχνων ἁφὰς, ἐς τὸν Ῥωμαίων λιμένα ἀφεῖναι. D τουτὶ γὰρ ταῖς ναυσὶ ταύταις νόμιμον. ξυσσιτήσομεν δὲ, ἐπειδὰν εὖ τὰ ἐμὰ ἔχῃ. νυνὶ γὰρ ἂν καὶ κατασκευασθείη τις αἰτία ἐπὶ σέ, ὡς ξυσσιτήσαντα τῷ τοῦ βασιλέως ἐχθρῷ· καὶ μηδὲ τὴν ἐπὶ τοῦ λιμένος μεθ' ἡμῶν ἴθι, μὴ καὶ τὸ λόγου* σε κεκοινωνηκέναι μοι* διαβάλῃ ἐς ἀπορρήτους βουλάς. *λόγῳ κ. *μὴ δ.

ξυνεχώρησε μὲν δὴ ὁ Δημήτριος. καὶ περιβαλὼν αὐτόν, ἀπῄει, μεταστρεφόμενός τε, καὶ τὰ δάκρυα ἀποψῶν. ὁ δὲ Ἀπολλώνιος, ἰδὼν ἐς τὸν Δάμιν, εἰ μὲν ἔρρωσαι, ἔφη, καὶ θαρσεῖς, ὥσπερ ἐγώ, βαδίσωμεν ἄμφω ἐπὶ τὴν ναῦν. εἰ δὲ ἀθύμως ἔχεις, ὥρα σοι καταμένειν ἐνταῦθα· Δημητρίῳ γὰρ ξυνέσῃ τὸν χρόνον τοῦτον, ἀνδρὶ σοί τε, κἀμοὶ ἐπιτηδείῳ. ὑπολαβὼν δὲ ὁ Δάμις, καί τινα, ἔφη, νομιῶ ἐμαυτόν, εἰ τοιαῦτά σου διειλεγμένου σήμερον ὑπὲρ φίλων, καὶ κοινωνίας, καὶ κινδύνων, οἳ ἐπ' αὐτοὺς ἥκοιεν· ἐγὼ δὲ ἀνήκοος τοῦ λόγου φεύγοιμί σε, καὶ ἀποκινδυνεύοιμί σου, μήπω πρότερον κακὸς ὑπὲρ σοῦ δόξας. ὀρθῶς, ἔφη, λέγεις, καὶ ἴωμεν. ἐγὼ μέν, ὡς ἔχω· σὲ δὲ χρὴ μετασκευάζειν σαυτὸν ἐς τὸ δημοτικώτερον, καὶ μήτε κομᾶν· ὡς γοῦν ἔχεις τρίβωνά τε ἀνταλλάττεσθαι τουτουὶ τοῦ λίνου, καὶ τὸ ὑπόδημα παραιτεῖσθαι τοῦτο. τί δὲ βούλεταί μοι ταῦτα, χρὴ λεχθῆναι. λαθεῖν γὰρ καὶ πλείω καρτερῆσαι πρὸ τῆς δίκης. οὐ δὴ βούλομαι κοινωνῆσαί μοι περὶ τούτων ξυλληφθέντα. ξυλληφθείης γὰρ ἄν, διαβεβλημένου τοῦ σχήματος. ἀλλ' ὡς μὴ φιλοσοφοῦντα μέν, ἐπιτήδειον δὲ ἄλλως ὄντα μοι, ξυνέπεσθαί τε, καὶ παρατυγχάνειν, οἷς πράττω. αἰτία μὲν ἥδε τοῦ μεταβαλεῖν τὸν Δάμιν, τὸ τῶν Πυθαγορείων σχῆμα. οὐ γὰρ ὡς κακίω γε αὐτὸ μεθεῖναί φησιν, οὐδὲ μεταγνοὺς αὐτοῦ. τέχνην δὲ ἐπαινέσας, ἣν ὑπῆλθεν ἐς τὸ ξυμφέρον τοῦ καιροῦ. ἀποπλεύσαντες δὲ τῆς Δικαιαρχίας, τριταῖοι κατῆραν ἐς τὰς ἐκβολὰς τοῦ Θύμβριδος, ἀφ' ὧν ξύμμετρος ἐς τὴν

A Eius verbis aſſenſus Demetrius, abeuntes complexus dimiſit, *& conuerſus lachrymas abſtergebat*. Apollonius autem in Damidem *intuens*, Si animo vales, inquit, &, ſicut ego, audacia abundas, ambo nauem ingrediamur: ſin verò propter timorem animo deficis, tempus adhuc ſupereſt hoc loco manendi. Commodiſſimè namque apud Demetrium vtrique noſtrum amiciſſimum verſari poteris. Ad hæc reſpondens Damis, Quem me eſſe

B tunc putarim, ſi hodie tibi de periculorum pro amicis toleratione diſſerenti cùm interfuerim, tamen ſolum te relinquam, & immunis à periculis eſſe velim; cùm hactenus nunquam timidus erga te viſus fuerim. Præclarè dicis, inquit Apollonius, propterea pergemus: ego quidem eodem quo ſum habitu, te autem habitum magis popularem aſſumere oportet, vt neque comam habeas tam prolixam, & hanc la-

C cernam lintea veſte permutes. Calceamenta inſuper quæ nunc habes, dimittere opus eſt. Quid autem hæc permutatio, conferat, oſtendam. Nolo enim te deprehenſum mecum in eodem eſſe diſcrimine: Si enim veſtitum mecum cómunicares, *futurum eſt* vt comprehendaris quàm primùm. Ego autem cupio, vt non tanquam philoſophus, ſed tanquam amicus & familiaris me ſequi videaris. His verbis perſuaſus Da-

D mis, Pythagoreum habitum permutauit, non quidem ob timorem aut pœnitentiam vllam, & Apollonij calliditatem laudauit, quam temporis cauſa exercere neceſſe fuit. Poſt hæc Puteolis ſoluentes, cùm iam triduò nauigaſſent, oſtia Tyberina intrauerunt, vnde facili

Romam vſque nauigatio eſt. Fortè per id temporis regium gladium tenebat Ælianus, vir iamdudum Apollonij amator, cum quo in Ægypto fuerat quandoq. locutus. Is apertè nihil pro Apollonio Domitianũ rogauit. neque enim eius quem gerebat magiſtratus ratio permittebat. Quonam enim pacto vitũ regis inimicum apud eundem laudare auſus eſſet, aut quomodo velut amicum excuſaret? Omnibus tamen artibus, quæ clanculum prodeſſe cuiq; poſſunt, pro Apollonio vſus eſt. Nam cùm ſuum ante aduentum grauiter à calumniatorib. accuſaretur Apollonius, O rex, inquit, quàm pleni ſermonum inanium ſunt ſophiſtæ; quantáque eſt in eorum arte iactantia; qui quoniam in vita nullius boni compotes ſunt, mortem appetunt: nec ipſam ſponte ſua venientẽ expectare ſuſtinent, ſed eam vi quadam ad ſe trahunt, eos laceſſendo, qui gladios in manibus habent. Hoc ipſum, vt arbitror, Nero cùm animaduertiſſet*, Apollonium interficere noluit. Vbi enim mortem affectare illum ſenſit, non veniæ gratia mortem remiſit, ſed illum deſpiciẽs non eſt dignatus occidere. Muſoniũ quoque Tyrrhenum, multis in rebus imperio ſuo aduerſatum in inſulam relegauit nomine Tyaram. adeóque ſophiſtas huiuſmodi amant Græci, vt tunc quidem ad eius colloquio fruendum, omnes eò nauigarent: nunc autem fontis, quem fecit viſendi cauſa, eodem omnes accedant. Nam in inſula aquis carente Muſonius fontẽ inuenit, quem Græci nunc laudib. efferunt non minus eo, quem in Helicone ab equo inuentum fabulantur.

In Reg. Cod. non ſubductũ fuiſſe à Demetrio, quo minus interficeretur.

A Ῥώμην ἀνάπλους. τὸ μὲν δὴ βασίλειον ξίφος, ἦν ἐπ' Αἰλιανῷ τότε. ὁ δὲ ἀνὴρ οὗτος, πάλαι τοῦ Ἀπολλωνίου ἤρα, ξυνειλεγμένος ποτὲ αὐτῷ κατ' Αἴγυπτον, καὶ φανερὸν μὲν οὐδὲν ὑπὲρ αὐτοῦ πρὸς τὸν Δομετιανὸν ἔλεγεν. οὐ γὰρ ξυνεχώρει ἡ ἀρχή. τὸν γὰρ δοκοῦντα τῷ βασιλεῖ ἀπηχθῆσθαι, πῶς μὲν ἂν πρὸς αὐτὸν ἐπῄνεσε; πῶς δ' ἂν B ὡς ἐπιτήδειον ἑαυτῷ παρῃτήσατο; τέχναις μὲν ὁπόσαι εἰσὶν, ἀφανῶς ἀμύνουσαι, πάσαις ὑπὲρ αὐτοῦ ἐχρῆτο. ὅς γε καὶ τὸν χρόνον* πρὶν ἥκειν, διέβαλλέ τε· ὦ βασιλεῦ, ἔφη, κουφόλογόν τι σοφισταὶ χρῆμα, καὶ ἀλαζὼν ἡ τέχνη· καὶ ἐπεὶ μηδὲν χρηστὸν τοῦ ζῆν ἀπολαύουσι, θανάτου γλίχονται· καὶ οὐ περιμένουσιν αὐτοῦ τὸ αὐτόματον, ἀλλ' ἐπισπῶνται τὸν θάνατον, ἐκκαλούμενοι τοὺς ἔχοντας ξίφη. ταῦθ' ἡγοῦμαι καὶ C Νέρωνα ἐνθυμηθέντα, μὴ* ἀποκτεῖναι αὐτόν. ἐπεὶ γὰρ θανατῶντα ᾔσθετο, οὐ κατὰ ξυγγνώμην ἐπανῆκεν αὐτῷ τὸν θάνατον, ἀλλὰ καθ' ὑπεροψίαν τοῦ κτεῖναι. καὶ μὴν καὶ Μουσώνιον τὸν Τυρρηνὸν, πολλὰ τῇ ἀρχῇ ἐναντιωθέντα, τῇ νήσῳ ξυνέσχεν, ᾗ ὄνομα * Τύαρα. καὶ οὕτω τι τῶν σοφιστῶν τούτων ἥττους Ἕλληνες, ὡς τότε D μὲν, κατὰ ξυνουσίαν αὐτοῦ, ἐσπλεῖν πάντας νυνὶ δὲ, κατὰ ἱστορίαν τῆς κρήνης. ἐν γὰρ τῇ νήσῳ ἀνύδρῳ οὔσῃ πρότερον, εὕρημα Μουσωνίου κρήνη ἐγένετο, ἣν ᾄδουσιν Ἕλληνες ὅσα Ἑλικῶνι τὴν τοῦ ἵππου.

γ. δια… — *γ. μὴ ὑπαχθῆναι, ὑπὸ Δημητρίου κτ.* — *γ. Γύαρα, Νύαρχ.*

Apollonium ſtatim cùm in vrbem venit, in iudicium ductum fuiſſe. Tum quid ſecretò Ælianus ei dixerit. Cap. IX.

γ. ὧδε δ. Τούτοις μὲν * οὖν διῆγεν ὁ Αἰλιανὸς τὸν βασιλέα, πρὶν ἥκειν Ἀπολλώνιον. ἀφικομένου δὲ, σοφώτερον ἥπτετο. κελεύει μὲν γὰρ ξυλληφθέντα αὐτὸν, ἀναχθῆναί οἱ. λοιδορουμένου δ' αὐτῷ τοῦ τὴν κατηγορίαν ξυνθέντος, ὡς γόητι, καὶ ἱκανῷ πλείω τέχνην, ὁ μὲν Αἰλιανὸς, τῷ βασιλείῳ, ἔφη, δικαστηρίῳ σαυτόν τε, καὶ τὰ τούτου φύλαττε. ὁ δ' Ἀπολλώνιος, εἰ μὲν γόης, ἔφη, ἐγὼ, πῶς κρίνομαι; εἰ δὲ κρίνομαι, πῶς γόης εἰμί; εἰ μὴ ἄρα τὸ συκοφαντεῖν ἰσχυρὸν οὕτως εἶναι φασὶν, ὡς μηδὲ τοὺς γοητεύοντας ἐκφεύγειν αὐτό. βουλομένου δὲ τοῦ κατηγόρου λέγειν τι ἀμαθέστερον, ἐκκρούων αὐτὸν ὁ Αἰλιανὸς, ἐμοί, εἶπεν, ἄφες τὸν καιρὸν τὸν πρὸ τῆς δίκης. ἔλεγχον γὰρ ποιήσομαι τῆς τοῦ σοφιστοῦ γνώμης ἰδίᾳ, καὶ οὐκ ἐν ὑμῖν. κἂν μὲν ὁμολογῇ ἀδικεῖν, ξυντετμήσονταί οἱ ἐν τῷ δικαστηρίῳ λόγοι, καὶ σὺ ἄπει εἰρηνικῶς. εἰ δὲ ἀντιλέγοι, δικάσει ὁ βασιλεύς. παρελθὼν οὖν ἐς τὸ ἀπόρρητον δικαστήριον, ἐν ᾧ τὰ μεγάλα καὶ ἐλέγχεται, καὶ σιωπᾶται, χωρεῖτε, ἔφη, ἐνθένδε, καὶ μηδεὶς ἐπακροάσθω. δοκεῖ γὰρ τῷ βασιλεῖ τοῦτο. ὡς δὲ ἐγένοντο αὐτοὶ, ἐγὼ, ἔφη, ὦ Ἀπολλώνιε, μειράκιον ἦν κατὰ τοὺς χρόνους, οὓς ὁ πατὴρ τοῦ βασιλέως ἐπ' Αἴγυπτον ἦλθε, τοῖς μὲν θεοῖς θύσων, χρησόμενος δ' ὑπὲρ τῶν ἑαυτοῦ σοι. καὶ χιλίαρχον μὲν ὁ βασιλεὺς ἦγεν, ἤδη τῶν πολεμικῶν

A Hæc itaque regi ante aduentum Apollonij narrauit Ælianus. Cùm autẽ deueniſſet, *ad prudentiora aggreſſus eſt.* Iuſſit enim comprehenſum hominem ad ſe duci. Cúmque illũ accuſator grauiter calumniaretur, cúmque incantatorem, ac malis artibus imbutum aſſereret, Iudicio, inquit Ælianus, regio teipſum ac *res iſtius* ſeruato. Apollonius autem, Si ego, inquit, incantator B ſum, quomodo ad iudicium veni? ſin autem veni ad iudicium, quomodo incantator ſum? niſi calumniatores tantas vires habere dixeris, vt ab incantatoribus etiam vinci non poſſint. Cùm ad hæc inſolentiùs aliquid dicere accuſator pararet, cõpeſcens ipſum Ælianus, Mihi, inquit, concede, quod ante iudicium tempus datur. Ego enim ſophiſtæ mentem ſeorſum tentabo. Quòd ſi C iniuſtè quippiam feciſſe confitebitur, auferentur orationes forenſes, & tu iudiciariæ cauſæ victor abibis: ſin ille ſuæ defenſionis cauſa obiectis criminib. contradicet, tunc regis de illo iudicium erit. Poſt hæc in ſecretiorem quendam locum ſecedens Ælianus, vbi de cauſis grauioribus iudicia exercebantur. Diſcedite omnes, inquit, nemóq. interſit: ſic enim regi viſum eſt. Poſtea D verò quàm ambo relicti ſunt, Ego, inquit, Apolloni, admodum adhuc adoleſcens eram, quando imperatoris pater in Ægyptum venit Diis ſacrificaturus, tecúmque de ſuis maximis rebus conſulturus: & tunc tribuni militum dignitate apud regẽ fungebar, erámque iam tum rei bellicæ

A peritus: tu verò me tanta familiaritate complexus es, vt dum rex ciuitatibus iura diceret, tu mihi ſeorſum, & quiſnam eſſem, & quo vocarer nomine, & quo patre natus eſſem, referres: quin etiam hunc ipſum, quem nunc gero magiſtratum, mihi prædixiſti, qui multis quidem eſſe maximus, ſummúmque humanorum bonorum eſſe videatur: ego autem maximam moleſtiam & præcipuum infortunium eſſe iudico. B Sum enim difficilis tyrannidis cuſtos, attamē ſi eam feſellerim, Deos timeo, quòd beneuolentia tibi ſim affectus, iam oſtendi; nam quòd amare te nunquam deſtiti, ex quo primùm, vt dixi, te cognoui, nec vnquam deſinam, quoad eius temporis meminero, nunc dicere non attinet: ſed cùm te his criminibus, quæ falsò tibi accuſator obiicit, liberare cupiam, propterea tecum ſecretò C colloqui inſtitui, vt auderes meis omnibus rebus fidenter vti; præſcire etiam qualis in te eſſet regis animus. Quid enim de te iudicaturus ſit, neſcio. Eſt autem ita diſpoſitus, vt contra te ferre ſententiam cupiat: vereatur autem, ne falſis de cauſis id feciſſe videatur. Et primò quòd homines conſulares à ſe alienandi cauſa fueris criminatus. Vult enim quæ facienda minimè ſunt, ea ſecundum iuſtitiæ numeros feciſſe videri. Neque verò oportet beneuolentiam & animi mei D affectum erga te manifeſtum fieri. Si enim remiſſius aliquid me ſentire de te ſuſpicaretur, vter noſtrum citius eſſet periturus, neſcio. Ad hæc Apollonius, Quoniam apertè, inquit, inter nos loqui poſſumus, & quæcunque habes in animo protuliſti, mihi quoque itidem facere iuſtum arbitror. Communicaſti namque mecum de rebus tuis, perinde

εἰδότα. σὺ δ' οὕτω τί μοι ἐπιτηδείως εἶχες, ὡς χρηματίζοντος τοῦ βασιλέως ταῖς πόλεσιν, ἀπολαβών με ἰδίᾳ, ποδαπός τε εἴην λέγειν, καὶ ὅ, τι μοι τὸ ὄνομα, καὶ ὡς ἔχω τοῦ πατρός. προὔλεγες δέ μοι καὶ τὴν ἀρχὴν ταύτην, ἣ τοῖς πολλοῖς μεγίστη δοκεῖ, καὶ μείζων, ἢ πάντα ὁμοῦ τὰ ἀνθρώπων· ἐμοὶ δὲ ὄχλος, καὶ κακοδαιμονία φαίνεται. τυραννίδος γὰρ φύλαξ χαλεπῆς εἰμι. κἂν μὲν σφήλω αὐτὴν, δέδοικα τὰ ἐκ τῶν θεῶν. σοὶ δ' ὅπως εὔνοις εἰμὶ, δεδήλωκα· ὁ γὰρ εἰπὼν ἀφ' ὧν εἴρηκά που τὸ μηδ' αὖ παύσασθαί σε ἀγαπῶν, ἔστ' ἂν ᾖ τὸ ἐκείνων μεμνῆσθαι. τὸ δὲ ἰδίᾳ ἐθελῆσαι ἔρεσθαι σε ὑπὲρ ὧν ὁ κατήγορος ξυντέθηκε σόφισμα οὐ φαῦλον, ὑπὲρ ξυνουσίας ἐμοί τε πρὸς σὲ γέγονεν, ὅπως θαρροίης μὲν τὰ ἐπ' ἐμοὶ ὄντα, προγνοίης δὲ τὰ ἐπὶ τῷ βασιλεῖ. ὅτι μὲν ψηφιεῖται ἐπὶ σοὶ, οὐκ οἶδα. διάκειται δὲ, ὥσπερ οἱ καταψηφίσασθαι μὲν ἐπιθυμοῦντες, αἰσχυνόμενοι δὲ τὸ μὴ ἐπ' ἀληθέσι, καὶ πρόφασιν ἀπωλείας ὑπάτων ἀνδρῶν ποιεῖταί σε. βούλεται μὲν γὰρ ἃ μὴ δεῖν πράττειν, αὐτὰ καταρρυθμίζων ἐς τὴν τοῦ δικαίου δόξαν. δεῖ δὴ κἀμοὶ πλάσματος, καὶ ὁρμῆς ἐπὶ σέ. εἰ γὰρ ὑπόψεταί με ὡς ἀνειμένα, οὐκ οἶδ' ὁπότερος ἡμῶν ἀπολεῖται θᾶττον. πρὸς ταῦτα ὁ Ἀπολλώνιος, ἐπεὶ ὑγιῶς, ἔφη, διαλεγόμεθα, καὶ ὁπόσα καρδίᾳ ἴσχεις σύ τε εἴρηκας, ἐμοί τε εἰπεῖν δίκαιον· φιλοσοφεῖς τε ὑπὲρ τῶν σεαυτοῦ πραγμάτων, ὡς οἱ σφόδρα

σφόδρα μοι ξυνδιατετρίφατες, καὶ νὴ Δία οὕτω φιλανθρώπως πρὸς ἡμᾶς ἔχεις, ὡς ξυγκινδυνεύειν ἡγεῖσθαί μοι, λέξω τὸν ἐμαυτοῦ νοῦν. ἐμοὶ γὰρ ἀποδρᾶναι μὲν ἦν ὑμᾶς ἐς πολλὰ μέρη τῆς γῆς, ἃ μὴ ὑμῶν ἀκροᾶται, παρ' ἄνδρας τε ἀφικέσθαι σοφοὺς, καὶ σοφωτέρους, ἢ ἐγὼ θεούς τε θεραπεύειν ξὺν ὀρθῷ λόγῳ βαδίσαντας ἐς ἤθη ἀνθρώπων θεοφιλέστερον, ἢ οἱ ἐνταῦθα. παρ' οἷς οὔτε ἔνδειξις, οὔτε γραφὴ οὐδεμία. δι' αὐτὸ γὰρ τὸ μήτε ἀδικεῖν, μήτε ἀδικεῖσθαι, δικαστηρίων οὐ δέονται. δείσας δὲ προδότου λαβεῖν αἰτίαν, ἢ φύγοι μὲν αὐτὸς τὴν ἀπολογίαν, ἀπόλοιντο δὲ οἱ δι' ἐμοῦ κινδυνεύοντες, ἥκω ἀπολογησόμενος. ὑπὲρ δὲ ὧν ἀπολογεῖσθαί με δεῖ, φράζε.

A atque ij, qui diutiſſimè verſati mecū ſunt: & per Iouem ita amicè erga me diſpoſitus, vt etiam pericula ſimul ſubire videam te paratū: propterea ego quoque mentem meam, conſiliúmq. omne tibi adaperiam. Mihi quidem à vobis fugere in diuerſas terrarum partes licuit, quarū nec nomina quidem audita vobis ſunt; veniſſémq. ad viros ſapientes, & me ipſo ſapientiores, qui recta ratione deos colunt, eóſq. ob id ipſum propitios magis habēt, quàm ij, qui B iſtis in locis verſantur: apud eos autē nulla eſt delatio, nulla accuſatio, & cùm iniuriam aliis non inferant, nec ab aliis iniuriā patiantur, nullis omnino iudiciis indigent. Veritus autē ne proditor eſſe viderer, ſi excuſatione à me neglecta perdātur ij, qui propter me in iudiciū ſunt adducti, huc acceſſi excuſationem in iudicio facturus. De quibus autem excuſationē fieri oporteat, audire ex te cupio.

Quibus accuſatus criminibus Apollonius fuerit: tum quid euenerit Ariſtidi ob inuidiam pulſo ab Vrbe. CAP. X.

ΑΙ μὲν ἰδέαι τῆς γραφῆς, ποικίλαι τε, ἔφη, καὶ πλείους· καὶ γὰρ τὴν ἐσθῆτα διαβάλλουσι, καὶ τὴν ἄλλην δίαιταν, καὶ τὸ ἔστιν ὑφ' ὧν προσκυνεῖσθαί σε· καὶ τὸ ἐν Ἐφέσου ποτὲ ὑπὲρ λοιμοῦ χρῆσαι. διειλέχθαι δὲ καὶ κατὰ τοῦ βασιλέως, τὰ μὲν ἀφανῶς, τὰ δὲ ἐκφανδὸν. τὰ δὲ ὡς θεὸν ἀκούσαντα. τὸ δὲ ἐμοὶ μὲν ἀπιθανώτατον, γιγνώσκω γὰρ ὅτι μηδὲ χ. ἱερῶν τὸ τῶν ἱερείων* αἷμα ἀνέχῃ, τῷ δὲ βασιλεῖ πιθανώτατον, διαβάλλεταί φασιν ἐς ἀγρὸν βαδίσαντά σε παρὰ Νερούαν, τεμεῖν αὐτῷ παῖδα Ἀρκάδα,

TVNC Ælianus, Accuſationis, inquit, capita multa ſunt, atq; diuerſa. Nam & veſtiēdi formā, & alios viuēdi mores calumniātur, quærētes quidnā ſit, cur tanta veneratione dignū te iudices. obiiciunt etiam illud quòd Epheſi de peſte reſponſum dediſti: multa quoq; aduerſus regem, D tum ſecreto, tum palā, quædam etiā, tanquam à Deo accepta diſſeruiſſe te criminātur. Aliud præterea obiiciunt crimen, quod mihi quidem omnium maximè eſt incredibile, qui ſciam ne in ſacris quidem, vt effundatur victimarum ſanguis te ſuſtinere: regi autem vehementer credibile eſt. Dicunt enim te cum Nerua ſimul in agrum exeuntem mactatum Arcadem puerum in fruſta concidiſſe,

atq; in regis perniciẽ ſacrificaſſe, atque hoc ſacrificio Neruá ad opinionem regni extuliſſe, eáq. noctu à vobis fuiſſe perpetrata, deſinente iam menſe. Hoc autem crimine, quoniá maximum eſt, aliud nullum maiore defenſione indigere cenſemus: nam quòd nouo vtaris habitu, & quòd prænoſcendi ſcientiam habeas, & reliqua tibi obiecta crimina omnia huc tendunt, & illa quidem, atque omnem, quæ ad hæc ſequitur, iuſtitiam condonari tibi dicunt, *& ad ſacrificandum fiduciam concedi*. Opus eſt igitur ad hæc confutáda crimina excuſationem parare. *Sit igitur eiuſmodi ſermo, quod regem non deſpicias.* Ad hæc Apollonius, Primú, inquit, quòd ſuperbus non ſim, argumentum eſt, quia excuſationem facturus adueni. Quòd ſi audaciam aliquam actiones meæ prætendere videntur, quaſi ſupra tyrannides extollere me voluerim, idipſum ex hoc diluitur, qui me tibi ſubieci, cùm ſis vir bonus, & amator mei. Nam inimico prauú videri nihil habet moleſtiæ: inimici namque oderunt non ob ea quæ ceteri palàm accuſant, ſed ob ea, in quibus priuatim ſe læſos arbitrantur. ab amico autem accuſari tanquam prauum, multò moleſtius eſt, quàm omnia quæ ab inimico accidere poſſunt: neque enim fieri poteſt, quin ipſis odioſus ſit, propterea quòd prauus eſſe iudicetur. Viſus eſt Æliano rectè dicere Apollonius, cúmq. bono animo eſſe iubẽs, hanc de ipſo cepit opinioné, vt nullo modo terrefieri vir ille poſſet, etiam ſi Gorgonis caput contra eum eleuaretur. Conuocans igitur viros ad hoc negocium præparatos, Iubeo, inquit, hunc vinctum in carcere detineri, quoad rex aduenisse illum certior fiat, atque ex eo audiat quæcunque mihi ab eodem dicta ſunt: & hæc dicens valde ſe iratum aduerſus ipſum oſtendebat.

A θυομένῳ γε ἐπὶ τὸν βασιλέα, καὶ ἐπᾶραι αὐτὸν τοῖς ἱεροῖς τούτοις. πεπρᾶχθαι δὲ ταῦτα νύκτωρ, φθίνοντος ἤδη τοῦ μηνός. τοῦτο δὴ κατηγόρημα, ἐπειδὴ πολλῷ μεῖζον, μὴ ἕτερόν τι παρ' ἐκεῖνο ἡγώμεθα. ὁ γὰρ λαμβανόμενος τοῦ σχήματος, καὶ τῆς δίκης, καὶ τοῦ προγιγνώσκειν, ἐς τοῦτο δή που ξυντείνει. καὶ ταῦτά γε καὶ τὴν παρανομίαν τὴν ἐς αὐτὰ δοῦναί σοι φησί, καὶ τὸ ἐς
B τὴν θυσίαν θάρσος. χρὴ οὖν παρεσκευάσθαι τὴν ὑπὲρ τούτων ἀπολογίαν. ἔστω δέ σοι ὁ λόγος, μὴ *ὑπερορῶν τοῦ βασιλέως. καὶ ὁ Ἀπολλώνιος, τοῦ μὴ ὑπερορᾶν, ἔστω τεκμήριόν σοι τὸ ὑπὲρ ἀπολογίας ἀφῖχθαί με. εἰ δὲ καὶ θράσεως οὕτω τἀμὰ εἶχεν, ὡς ὑπὲρ τυραννίδας αἴρεσθαι, ἀλλά σοί γε ὑπέχον ἐμαυτὸν, τοιῷδε ὄντι, καὶ ἀγαπῶν-
C τί με. τὸ μὲν γὰρ ἐχθρῷ πονηρὸν δόξαι, δεινὸν οὔπω. οἱ γὰρ ἐχθροὶ μισοῦσιν, οὐκ ἀφ' ὧν δημοσίᾳ διαβέβληταί τις, ἀλλ' ἀφ' ὧν ἰδίᾳ προσκέκρουκε. τὸ δὲ πρὸς ἀνδρὸς φίλου λαβεῖν αἰτίαν, ὡς κακὸς φαίνοιτο, βαρύτερον τοῦτο, ἢ τὰ ἐχθρῶν ὁμοῦ πάντα. οὐ γὰρ ἂν διαφύγοι τὸ μὴ οὐ κἀκείνοις, δι' ἃ κακὸς ἦν, ἀπηχθῆσθαι. ἐδό-
D κει τῷ Αἰλιανῷ εὖ λέγειν. καὶ παρακελευσάμενος αὐτῷ θαρρεῖν, ἑαυτοῦ ἐλάβετο, ὡς μὴ ἂν ἐκπλαγέντος τοῦ ἀνδρός, μηδ' ἂν Γοργείη κεφαλὴ ἐπ' αὐτὸν αἴροιτο. καλέσας οὖν τοὺς προστεταγμένους τὰ τοιαῦτα, κελεύω, ἔφη, ξυνέχειν τοῦτον, ἔστ' ἂν ὁ βασιλεὺς ἥκοντά τε αὐτὸν μάθῃ, καὶ λέγοντα ὁπόσα εἴρηκε. καὶ ἐῴκει τοῖς μάλα ὠργισμένοις.

παρελθὼν δὲ ἐς τὰ βασίλεια, τὰ προσήκοντα τῇ ἀρχῇ ἔπραττεν. ἐνταῦθα ὁ Δάμις ἀπομνημονεύει ἔργου ὁμοίου τε, καὶ ἀνομοίου, τοῦ ἐπ᾽ Ἀριστείδου ποτὲ Ἀθήνησιν. ὀστράκῳ μὲν γὰρ τὸν Ἀριστείδην ἐλαυνόντων, ἐπ᾽ ἀρετῇ· ἔξω δὲ τείχους ἤδη ὄντι, προσελθόντα τὸν ἀγροικὸν τινὰ δεῖσθαι αὐτοῦ γράψαι τι αὐτῷ ἐπ᾽ Ἀριστείδην ὄστρακον· ἐκεῖνος μὲν, οὔτε τὸν ἄνδρα εἰδὼς, οὔτ᾽ αὐτὸ τὸ γράφειν, ἀλλὰ μόνον τὸν ὑπὲρ δικαίου φθόνον. χιλίαρχος δὲ τῶν σφόδρα γιγνωσκόντων τὸν Ἀπολλώνιον, προσειπὼν αὐτὸς, ἤρετο κατ᾽ ὕβριν ὑπὲρ ὅτου κινδυνεύοι· τοῦ δὲ, οὐκ εἰδέναι φήσαντος, ἀλλ᾽ ἐγὼ, ἔφη, οἶδα. τὸ γὰρ προσκυνεῖσθαί σε ὑπὸ ἀνθρώπων, διαβέβληκεν, ὡς ἴσον ἀξιούμενον τοῖς θεοῖς. καὶ τίς, εἶπεν, ὁ προσκυνήσας ἐμέ; ἐγὼ, ἔφη, ἐν Ἐφέσῳ, παῖς ἔτι ὤν, ὁπότε ἡμᾶς ἰάσω τοῦ λοιμοῦ. καλῶς ποιῶν, εἶπεν, αὐτός γε σὺ, καὶ ἡ σωθεῖσα Ἔφεσος πόλις. διὰ ταῦτ᾽ οὖν, ἔφη, καὶ ἀπολογίαν ὑπὲρ σοῦ παρεσκεύακα, ἥ σε ἀπαλλάξει τῆς αἰτίας. ἴωμεν γὰρ ἔξω τείχους· κἂν μὲν ἀποκόψω σου τὸν αὐχένα τῷ ξίφει, καὶ μεθῶ τὸ ξίφος, θεῖόν τε ἀνάγκη νομίζεσθαί σε, καὶ ὡς ἐπ᾽ ἀληθέσι κρίνεσθαι. τοσῷ δὲ μὲν δὴ ἀγροικότερος οὗτος ἦν τοῦ τὸν Ἀριστείδην ἐλαυνόντος. ἔλεγε δὲ ταῦτα μασώμενός τι, καὶ ξυγγελῶν. ὁ δ᾽ οὐκ ἀκηκοότι ὅμοιος, διελέγετο πρὸς τὸν Δάμιν ὑπὲρ τοῦ Δέλτα, περὶ ὅ φασι τὸν Νεῖλον σχίζεσθαι.

A Deinde in regiam veniens Ælianus, quæ ſui erant officij, miniſtrabat. Hoc loco Damis caſum quendam contigiſſe memorat, partim ſimilem, partim diſſimilem illi, qui Athenis Ariſtidi quandoque contigit. Cùm enim ob virtutem vrbe pulſus eſſet Ariſtides, & abiens, muros iam eſſet egreſſus, ruſticus quidam illi occurrens, petiit, vt aliquam B ſententiam ſibi ſcriberet, qua aduerſus Ariſtidem vteretur: cùm ipſe neque hominem nouiſſet, nec accuſationem omnino vllam, ſed ſolùm inuidia tangeretur, quòd valde iuſtum eſſe illum audierat. Quod autem Apollonio contigit, hoc fuit: tribunus qui Apollonium optimè cognoſcebat, cùm nominatim ipſum ſalutaſſet, cuius rei cauſa in hoc diſcrimen adductus eſſet, interrogauit: neſcire autem ſe reſpondente Apollonio, At ego, inquit, ille opti- C mè ſcio: accuſaris enim quia ab hominibus tanquam Deus venerari expetis. Et quis, inquit, Apollonium tantopere vnquam veneratus eſt? Ego ipſe, inquit tribunus, cùm adhuc puer eſſem Epheſi, quando nos à peſte liberaſti. Rectè, inquit Apollonius, & tu feciſti, & Epheſi ciuitas tanto malo liberata. Idcirco, inquit ille, defenſionem pro te paraui, quæ te iudicio liberabit. Nam ſi huc extra muros eamus, ego ceruicem enſe D amputabo, & enſem dimittam, & tu vir diuinus putaberis, & pro veris criminibus in iudicium vocatus. & in hoc multo ruſticior fuit is, quàm qui Ariſtidem expellere volebat. Hæc autem ridens, & Apollonium deludens dicebat. Ille verò non audiēti ſimilis, cum Damide loquebatur de inſula, quam Delta appellant, vbi Nilus bifariam ſcinditur.

Apollonium iuſſu Æliani in carcerem ductum: hinc de Helena in Ægypto, & reticulo à Leucothea donato Vlyſſi: déque diuite quodam, qui erat in carcere.

CAP. II.

POST hæc Ælianus liberiorem carcerem incolendi facultatẽ Apollonio ad ſe vocato præſtitit, quoad ocium eſſet regi illũ audiendi. Statuerat enim rex ſecretò prius aliqua cum eo loqui. Diſcedens igitur de prætorio Apollonius, & in carcerem vadens, Diſputemus, inquit, ô Damis, cum his hominibus, qui nobiſcũ hîc incluſi ſunt. Quid enim aliud agere poſſumus, donec tyrãnus quæ petiit mecum loquatur? Garrulos, inquit Damis, & loquaces nos exiſtimabũt, ſi eos à defenſionis ſuæ meditatione dimoueamus. Abſurdũ præterea videtur inter viros mœſtos deambulare. Imò verò, inquit Apollonius, hi maximè colloquentibus, & conſolatoribus indigent, ſi Homeri carminũ meminiſti, qui dicit Helenã ægyptia medicamenta in cratere miſcuiſſe, vt animæ dolores dilueret. Quod ego nihil aliud ſignificare puto, quàm Helenam cùm ſermones Ægyptios didiciſſet, eos mœſtis hominib. narrare ſolitam eſſe, eóſq. in cratere ponere, id eſt, ſermones pariter & vinũ pro leuanda ægritudine ſolitã adhibere. Veriſimile hoc eſt, inquit Damis. Siquidem ipſa in Ægyptum veniens Proteo locuta eſt, vel ſicut Homero placet, cum Thonis filia Polydamne verſata eſt: nunc autẽ in aliud tempus hi ſermones differãtur. Opus eſt enim mihi aliquid te prius interrogare. Scio, inquit Apollonius, quid me ſis interrogaturus: ſcire enim cupis quid cum æliano locutus fuerim, & quæ ab illo rurſus audierim, & vtrum crudelis erga nos, an mitis viſus ſit. Hæc ſũt quæ audire cupis: deinde omnia vt ſeſe habuerint, enarrauit.

A ΕΠΕΙ δὲ καλέσας αὐτὸν ὁ Αἰλιανὸς, ἐκέλευσε τὸ ἐλευθέριον οἰκεῖν δεσμωτήριον, ἔστ' ἂν γένηται σχολὴ, ἔφη, τῷ βασιλεῖ· ξυγγενέσθαι γάρ σοι ἰδίᾳ πρότερον βούλεται. ἀπῆλθε μὲν τοῦ δικαστηρίου· καὶ παρελθὼν ἐς τὸ δεσμωτήριον, διαλεγώμεθα, ἔφη, Δάμι, τοῖς ἐνταῦθα. τί γὰρ ἂν ἄλλο πράττοι τις τὸν χρόνον τοῦτον, ὃν διαλέξεταί
B μοι ὁ τύραννος, ὑπὲρ ὧν δεῖται; ἀδολέσχας, εἶπεν, ἡγήσονται ἡμᾶς, ἢν ἐκκρούωμεν αὐτοὺς, ὧν ἀπολογήσονται. καὶ ἄλλως, ἄτοπον περιπατεῖν ἐς ἀνθρώποις ἀθύμως ἔχοντας. καὶ μὴν τούτοις μάλιστα δεῖ, ἔφη, τοῦ διαλεξομένου τε, καὶ θεραπεύσοντος. εἰ γὰρ ἐνθυμηθείης τὰ τοῦ Ὁμήρου ἔπη, ἐν οἷς Ὅμηρος
C τὴν Ἑλένην φησὶ τὰ ἐξ Αἰγύπτου φάρμακα οἰνοχοεῖν ἐς τὸν κρατῆρα, ὡς τὰ ἄχη τῆς ψυχῆς ἀποβρέχοιτο. δοκῶ μοι τὴν Ἑλένην λόγους Αἰγυπτίους ἐκμαθοῦσαν, ἐπᾴδειν τοῖς ἀθύμοις ἐν τῷ κρατῆρι, ἰωμένην αὐτοὺς λόγων τε δυνάμει, καὶ οἴνῳ. εἰκὸς μὲν, εἶπεν, εἴπερ ἐς Αἴγυπτόν τε ἦλθε, καὶ ὡμίλησε τῷ Πρωτεῖ, ἢ ὡς Ὁμήρῳ
D δοκεῖ, Πολυδάμνῃ ξυνεγίνετο τῇ τοῦ Θῶνος. νυνὶ δὲ ἀναβεβλήσθων οὗτοι. δέομαι γὰρ ἐρέσθαι σε. οἶδα, ἔφη, ὅ με ἐρήσῃ. τοὺς γάρ τοι λόγους, οἳ γεγόνασί μοι πρὸς τὸν ἄνδρα, καὶ ἅττα εἶπε, καὶ εἰ φοβερὸς ἦν, ἢ πρᾶος, βούλει ἀκοῦσαί μου; καὶ διῆλθε πάντας.

προσκυνήσας οὖν ὁ Δάμις, καὶ ἀπιστῶ, ἔφη, καὶ τὴν Λευκοθέαν ποτὲ κρήδεμνον Ὀδυσσεῖ δοῦναι μετὰ τὴν ναῦν, οἷς ἐκπεσὼν, ἀναμετρεῖ ταῖς ἑαυτοῦ χερσὶ τὸ πέλαγος. καὶ γὰρ ἡμῶν ἐς ἀμήχανά τε καὶ φοβερὰ ἐμβεβηκότων, θεῶν τις ὑπερέχει οἶμαι χεῖρα, ὡς μὴ ἐκπέσοιμεν σωτηρίας πάσης. ἐπιπλήττων δὲ ὁ Ἀπολλώνιος τῷ λόγῳ, ποῖ παρατενεῖς, ἔφη, δεδιὼς ταῦτα, καὶ μή πω γιγνώσκων, ὅτι σοφία μὲν, τὰ ξυνιέντα ἑαυτῆς ἐκπλήττει πάντα, αὐτὴ δὲ ὑπ' οὐδενὸς ἐκπλήττεται. ἀλλ' ἡμεῖς, εἶπε, παρὰ ἀξύνετον ἥκομεν. καὶ οὐ μόνον οὐκ ἐκπληττόμενον ἡμᾶς, ἀλλ' οὐδὲ ἀξιοῦντα εἶναί τι ὃ *ἐκπλήττει αὐτόν. ξυνίης οὖν, ἔφη, ὦ Δάμι, ὅτι τετύφωται, καὶ ἀνοήτως ἔχει; ξυνίημι. τί δ' οὐ μέλλω, εἶπε; καὶ σὺ δὴ, ἔφη, καταφροντέα τοῦ τυράννου τοσούτῳ μᾶλλον, ὅσῳ καὶ γιγνώσκεις αὐτόν. διαλεγομένοις δὲ αὐτοῖς ταῦτα, προσελθών τις οἶμαι Κίλιξ, ἐγὼ, ἔφη, ἄνδρες, ὑπὲρ πλούτου κινδυνεύω. καὶ ὁ Ἀπολλώνιος, εἰ μὲν ἀφ' ὧν οὐ θεμιτὸν, ἔφη, πλουτεῖς, οἷον, ληστείας, ἢ φαρμάκων, ἃ δὴ ἀνδροφόνα, ἢ τάφους ἐκίνησας, ὅσοι τῶν πάλαι βασιλέων εἰσὶν, οἱ πολύχρυσοί τε, καὶ θησαυρώδεις οὐ κρίνεσθαί σε χρὴ μόνον, ἀλλὰ καὶ ἀπολωλέναι. ταυτὶ γὰρ, πλοῦτος μὲν, ἀλλ' *ἐπίρρητός τε καὶ ὠμός. εἰ δὲ κληρονομήσας, ἢ διδούσης ἐμπορείας ἐλευθερίου τε, καὶ μὴ καπήλου, τίς οὕτω *βαρὺς, ὡς ἀφελέσθαι σε νόμου σχήματι τὰ

γ. ἐκπλήξει ἄ.

ἴσ. ἐπίρρητός τι

γ. ὕπουλ.

A Gauiſus, inquit Damis, non incredibile mihi nunc videtur inquit, Leucotheam quandoque vittam Vlyſſi dediſſe poſt nauim alligatam, ex qua dependens propriis manibus mare metiebatur. Nobis enim terribilibus quibuſdam & horrendis difficultatibus implicitis, Deorum aliquis manum porrexit, ne penitus omnium ſalute deſtitueremur. Hæc eius dicta increpans Apollonius, B Quorſum, inquit, hæc tua verba tendunt? aut quid talia metuis? neque adhuc agnoſcis quòd ſapientia cuncta ſtupefacit, quæ ipſam intelligunt: ipſa verò à nullo ſtupefit? Verumenimuerò, inquit Damis, nos ad hominem venimus omni prudentia vacuum, & qui non ſolùm propter nos non obſtupeſcat, ſed nihil eſſe putet omnino quod ſtupefacere ipſum poſſit. Agnoſcis igitur, inquit Apollonius, ô Damis, illum ſuperbia C furere, dementémq. eſſe? Intelligo, inquit ille, quid enim prohibet? Tibi igitur Apollonius omnia tyranni dicta, factáq. contemnenda ſunt; atque eò magis, quò melius ipſũ agnoſcis. Dum talia ſecum loquerentur, quidã Cilix, vt ex habitu apparebat, ad eos veniẽs, Ego, inquit, ô viri, propter diuitias in vitę diſcrimẽ adductus ſum: & iure forſitan, inquit Apollonius. Si enim ex nefariis operib. diuitias cõparaſti, velut latrociniis, aut veneficiis homines interficiendo, aut effodiendo regum ſepulchra, vbi magni D theſauri plerunque conduntur, conſentaneum eſt, te non ſolùm in iudiciũ vocari, ſed maximis affectũ ſuppliciis interfici. His enim modis diuitiæ quidẽ parantur, ſed nefandæ, ſceleſtæque putari debent. Sin verò ex hereditatibus, aut liberali mercatura, & non fœneratura ditatus es, quis eſt adeò peruerſus, vt ſub legum prætextu conetur, ea tibi auferre, quæ

quæ ſecundũ leges acquiſiſti? Tunc ille, Eorum, inquit, quæ habeo, maxima pars ab agnatis mihi relicta, in vnam domum meam peruenit. Vtor autem diuitiis non tanquã alienis cùm meæ ſint: nec rurſus, vt omnino meis; nam bonis viris libenter eas communico. Accuſant autem me calumniatores, quòd non tyrannidis bono diuitias poſſideam, cùm mihi ſint adiumento res nouas aduerſus tyrannum moliendi, addúntque non mihi ſolùm, verùm etiam aliis, quos huius facinoris ſocios adſciuerim, opes meas facultatem ſuppeditare. Comparatæ autem iam quædam aduerſus nos accuſationes; & primò quidem quòd omnes diuitiæ, ſi mediocritatem excedant, contumeliam pariunt, & ceruicem ſupra multos eleuare faciunt, & animos erigunt, nec obtemperare legib. patiuntur, & magiſtratus qui ad gubernandas prouincias accedunt, in caput diuitum prouocant; cùm pecuniis maximè inſeruiant: & ſe ab eiuſmodi diuitibus propter diuitiarum magnitudinem contemni arbitrantur. Ego enim cùm adhuc eſſem adoleſcens antequam talentorum centum diuitias poſſiderem, omnia pro ridiculis habebam, parúmque pro iis quæ tunc aderant metuebam. Poſtquam verò talenta quinquaginta vno die ex patrui morte mihi peruenerunt, ita mentem immutaui, quantum equorum domitores illos immutant, ex feris ac rudibus ad manſuetiores mores traducentes. Cúmque diuitiæ quotidie augeſcerent, multáque à terra, maríque mihi afferrentur, propter timorem factus ſum diuitiarum ſeruus, vt magnas pecunias pro cuſtodiendis diuitiis erogarem, partim calumniatoribus tribuendo, quos talibus officiis lenire opus erat:

A κτηθέντα σοι κατὰ νόμους; τὰ μὲν ὄντα μοι, παρὰ πλειόνων, ἔφη, ξυνελθόντα ἐστὶν, ἐς μίαν δὲ οἰκίαν τὴν ἐμὴν ἥκει. χρῶμαι δὲ αὐτοῖς, οὐθ' ὡς ἑτέροις, ἐμὰ γάρ· οὔθ' ὡς ἐμοῖς, κοινὰ γὰρ πρὸς τοὺς ἀγαθούς ἐστί μοι. διαβάλλουσι δὲ ἡμᾶς οἱ συκοφάνται, μὴ ἐπ' ἀγαθῷ τῆς τυραννίδος κτῆσθαι τὸν πλοῦτον. ἐμοῦ δὲ τὰ γὰρ νεώτερα πειρωμένου
B προσθήκην, ἐφόδιον ἂν γενέσθαι αὐτὸν ἑτέροις τε, ὅτῳ προστεθείμην ῥοπὴν ἂν οὐ σμικρὰν τὰ ἐμὰ εἶναι. μεμαντευμέναι δὲ ἤδη καθ' ἡμῶν αἰτίαι, ὡς ὕβριν μὲν τίκτει πᾶς ὁ ὑπὲρ τὸ μέτριον* πλοῦτος, κ.μέτ. ὁ δὲ ὑπὲρ τοὺς πολλοὺς, τὸν αὐχένα ἵστησι, καὶ τὸ φρόνημα ἐγείρει, νόμοις τε οὐκ ἐᾷ πείθεσθαι, καὶ τοὺς ἄρχοντας, οἳ ἐς τὰ ἔθνη φοιτῶσι, μόνον οὐκ ἐπὶ κόρρης παίει δουλουμένους τοῖς χρήμασιν, ἢ ὑπερορῶντας αὐτῶν
C διὰ τὴν ἰσχὺν τοῦ πλούτου. ἐγὼ δὲ, μειράκιον μὲν ὤν, πρὶν οὐσίας ἑκατὸν ταλάντων κτῆσθαι, κατάγελων ἡγούμην πάντα, καὶ σμικρὰ ὑπὲρ τῶν ὄντων ἐδεδίειν. ἐπεὶ δὲ τάλαντά μοι πεντακόσια ἐπὶ μιᾶς ἡμέρας ἐγένετο, τελευτήσαντος ἐπ' ἐμοὶ τοῦ πρὸς πατρὸς θείου. τοσοῦτον ἡ γνώμη μετέβαλεν, ὅσον οἱ καταρτύοντες τὰς ἵππων,
D καὶ μεταβάλλοντες τοῦ* ἀπαιδεύτου τε καὶ ἀκολάστου ἤθους. ἐπιδιδόντος δέ μοι τοῦ πλούτου, καὶ τὰ μὲν ἐκ γῆς, τὰ δὲ, ἐκ θαλάττης φέροντος, οὕτω τι ἐδουλώθην ὑπὸ τοῦ περὶ αὐτοῦ δέους; ὡς ἀπαντλεῖν τῆς οὐσίας· τὸ μὲν, ἐς τοὺς συκοφάντας; οἷς ἔδει μειλίττεσθαι τῇ ἀπομαγδαλίᾳ ταύτῃ·

A τὸ δὲ, ἐς τοὺς ἄρχοντας, ὡς ἰσχὺς πρὸς τοὺς ἐπιβουλεύοντας εἴη μοι· τὸ δὲ, ἐς τοὺς ξυγγενεῖς, ὡς μὴ φθονοῖεν τῷ πλούτῳ. τὸ δὲ, ἐς τοὺς δούλους, ὡς μὴ κακίους γίγνοιντο, ἀμελεῖσθαι φάσκοντες. ἐβουκολεῖτο δέ μοι καὶ ἀγέλη φίλων λαμπρά. προορῶντες γὰρ οὗτοί μοι, τὰ μὲν, αὐτοὶ ἔδρων· τὰ δέ μοι προὔλεγον. ἀλλ' ὅμως οὕτω μὲν χαρακώσαντες τὸν πλοῦτον, οὕτω δὲ ἀσφαλῶς τειχισάμενοι, κινδυνεύομεν περὶ αὐτῷ νῦν. καὶ οὔπω δῆλον, οὐδ' εἰ τὸ σῶμα ἀθῷοι μενοῦμεν. B

partim magiſtratus gerentibus impertiendo, vt cõtra inſidiatores munitus eſſem: partim agnatis, affinibúſque largiendo, ne mihi diuitias inuiderent. Quinetiam ſeruis nonnullis donabam, ne deteriores fierent, ſi negligi ſe penitus animaduerterent. Paſcebam etiam greges amicorum præclaros: qui imminentia pericula præuidentes, partim illis occurrebant, partim mihi prænuntiabant. Attamen cùm hoc modo diuitias circumuallaſſem, eáſque tam tutis mœnibus ſepſiſſem, earum cauſa in hoc diſcrimen adductus ſum: neque ſatis adhuc exploratum nobis eſt, an incolumi corpore ſimus euaſuri.

Oratio conſolatoria Apollonij ad eos qui vnà erant in cuſtodia, iuſſu Domitiani, vt ſcilicet tolerarent, quoniam Deorum eſſet inuentum tolerantia, & id genus multa: déque vitiis, quæ natura inerant Domitiano. *Cap. XII.*

Καὶ ὁ Ἀπολλώνιος, θάῤῥει, ἔφη· τὸν γὰρ πλοῦτον τοῦ σώματος ἐγγυητὴν ἔχεις. δέδεσαι μὲν γὰρ δι' αὐτόν· ἀνήσει δέ σε ἀπολυόμενος οὐ μόνον τοῦ δεσμωτηρίου τοῦδε, ἀλλὰ καὶ τοῦ θεραπεύειν τοὺς συκοφάντας τε, καὶ τοὺς δούλους, οἷς δι' αὐτὸν ὑπέκεισο. ἑτέρου δ' αὖ φήσαντος γραφὴν φεύγειν, ἐπειδὴ θύων ἐν Τάραντι, οὗ ἦρχε, μὴ προσέθηκε ταῖς δημοσίαις εὐχαῖς, ὅτι Δομετιανὸς Ἀθηνᾶς εἴη παῖς, σὺ μὲν ᾠήθης, ἔφη, μὴ ἂν τὴν Ἀθηνᾶν τεκεῖν, παρθένον οὖσαν τὸν ἀεὶ χρόνον· ἠγνόεις δ', οἶμαι, ὅτι ἡ θεὸς αὕτη Ἀθηναίοις ποτὲ δράκοντα ἔτεκε. καθεῖρκτό τις καὶ ἐπὶ τοιᾶδε αἰτίᾳ. χωρίον ἐν Ἀκαρνανίᾳ περὶ τὰς ἐκβολὰς τοῦ Ἀχελῴου ἔχων, περιέπλει τὰς Ἐχινάδας ἐν C D

Ad hæc Apollonius, Confide, inquit: nam pro corpore fideiuſſores habes diuitias: illarum enim cauſa in carcere detineris: ſed non ita multò poſt dimittêris, non ſolùm his vinculis ſolutus, & liber, verùm etiam labore ac ſolicitudine, quæ te ſeruos ac calumniatores diuitiarum metu colere cogebat. Cùm vero alius propterea ſe accuſatum quereretur, quod Tarenti, vbi dominabatur, ſacrificans publicis precibus non addiderat, Domitianum Palladis filium eſſe. Atenim, inquit, arbitrabaris fortaſſe Palladem non peperiſſe, cùm ſemper habita ſit virgo. Ignorabas autem (vt opinor) Deam ipſam draconem quandoque Athenienſibus peperiſſe. Alius autẽ hac de cauſa in carcere tenebatur. Habebat enim agellum in Acarnania ſecus Acheloi fluminis oſtia: ipſe vero parua ſcapha nauigãs inſulas, quæ Echinades

appellantur, circumuehebatur, & ex iis vnam contemplatus, quæ continenti dudum coniuncta fuerat, arboribus vitibúſque eam conſeuit, domúmq. habitationi ſufficientem in ea cõſtruxit, aquam ex continenti deducens, quæ affatim inſulæ ſufficeret. Ex hoc itaque accuſatus eſt, quaſi non purus à furore eſſet Acarnan, quódque ſceleſtorum operum ſibi conſcius, ex alia terra tanquam ab eo polluta ſeceſſiſſet; atque idem faceret, quod olim poſt interfectam matrem feciſſet Alcmæon Amphiarai filius, qui etiam Acheloi oſtia ſibi delegit habitanda: & quanquam idem ſcelus non perpetraſſet, coniici tamen facile poſſe, quædam non multùm illi diſſimilia ab ea commiſſa fuiſſe: ille autem nihil aliud quàm ocij, & quietis cupiditatem huius ſeceſſus cauſam fuiſſe dicebat: & inuidiam ſolam eſſe opinabatur, quæ accuſationem contra ſe inſtituiſſet, & tunc in carcere detineret. Cùm plurimi eorum, qui erant in carcere ad Apollonium venientes, calamitates ſuas deplorarent (erant autem in eo carcere fermè quinquaginta) & eorum aliqui ægrotarent, alij mœrore proſternati iacerent, alij mortem expectare quererentur: quidam paruos filios, aut parentes, aut vxores vlulando deflerent, O Damis, inquit Apollonius, videntur mihi homines iſti medicamento indigere, cuius antea meminimus. Siue igitur Ægyptium id ſit, ſiue vbique terrarum naſcatur ſapientia, ex hortis ſuis ad id componendũ radices euellentes, tentemus eius ſaltem particulã his miſeris præbere: *ne prius eos conſiliũ oppeſſundet. Cõcedamus, inquit Damis*: maximè namq. videntur indigere. Eis itaq. in vnum cõuocatis, Apollonius, ô viri,

A ἀκατίῳ μικρῷ· διασκεψάμενος δὲ αὐτῶν μίαν, ἣ ξυνῆπτεν ἤδη τῇ ἠπείρῳ, δένδρεσί τε ὡραίοις διεφύτευσε, καὶ ἀμπέλοις ἡδυοίνοις. δίαιταν τε ἱκανὴν τῷ σώματι κατεσκευάσατο ἐν αὐτῇ. καὶ γάρ τι καὶ ὕδωρ ἐκ τῆς ἠπείρου ἐσηγάγετο, ἀποχρῶν τῇ νήσῳ. ἐκ τούτου ἀνέφυ γραφή, μὴ καθαρὸς εἶναι ὁ Ἀκαρνὰν ὤν. ἔργα δὲ αὑτῷ ξυνειδὼς οὐ φορητά, τῆς μὲν ἄλλης γῆς,

B ἐξίστασθαί τε, καὶ ἀποφοιτᾶν, ὡς μεμιασμένης ἑαυτῷ. τὴν δ' Ἀλκμαίωνος τοῦ Ἀμφιαρέω λύσιν, δι' ἣν τὰς ἐκβολὰς τοῦ Ἀχελῴου κατὰ τὴν μητέρα ᾤκησεν, ᾑρῆσθαι αὐτόν, εἰ μὴ καὶ ἐφ' ὁμοίοις, ἀλλ' ἐπὶ σχετλίοις ἴσως, καὶ οὐ πόρρω ἐκείνων. ὁ δ' οὐ ταῦτ' ἔφασκεν, ἀλλὰ ἀπραγμοσύνης ἐρῶν ἐκεῖ οἰκῆσαι· * τὸ δὲ ἄρα ἐς δίκας αὐτῷ περι-

C στῆναι, δι' ἃς καὶ εἶρχθαι αὐτόν. προσιόντων δὲ τῷ Ἀπολλωνίῳ πλειόνων ἔνδον, καὶ ὀλοφυρομένων τοιαῦτα, πεντήκοντα γάρ που εἶναι τοὺς ἐν τῷ δεσμωτηρίῳ τούτῳ, καὶ τοὺς μέν, νοσεῖν αὐτῶν, τοὺς δέ, ἀθύμως κεῖσθαι, τοὺς δέ, ἐγκαρτερεῖν τὸν θάνατον, οἱ δ' ἐπιβοᾶσθαι τέκνα, καὶ γονέας τοὺς αὐτῶν, καὶ γάμους, ὦ Δάμι, ἔφη, δοκοῦσί μοι τοῦ

D φαρμάκου δεῖσθαι οἱ ἄνδρες, οὗ κατ' ἀρχὰς ἐπεμνήσθην. εἴτ' οὖν Αἰγύπτιον τοῦτο, εἴτ' ἐν πάσῃ τῇ γῇ φύεται, ῥιζοτομούσης αὐτὸ σοφίας ἐκ τῶν ἑαυτῆς κήπων, προσδῶμεν αὐτοῦ τοῖς ἀθλίοις τούτοις, μὴ προσανέλῃ σφᾶς ἡ γνώμη. προσδῶμεν, ἦ δ' ὃς ὁ Δάμις. ἐοίκασι γὰρ δεομένοις. ξυγκαλέσας οὖν αὐτοὺς ὁ Ἀπολλώνιος, ἄνδρες,

εἶπεν, ὦ κοινωνοῦντες ἐμοὶ ταυτησὶ τῆς στέγης, ἐλεῶ ὑμᾶς, ὡς ὑφ' αὑτῶν ἀπόλλυσθε, οὔπω εἰδότες, εἰ κατηγορία ἀπολεῖ ὑμᾶς. δοκεῖτε γάρ μοι προαποκτιννύντες αὑτοὺς, τοῦ καταψηφισθέντος ἂν ὑμῶν ὡς οἴεσθε θανάτου. καὶ θαρρεῖν μὲν ἃ δέδιτε, δεδιέναι δ' ἃ θαρρεῖτε, οὐ μὴν προσήκει γε· ἀλλ' ἐνθυμηθέντας τὸν Ἀρχιλόχου τοῦ Παρίου λόγον, ὃς τὴν ἐπὶ τοῖς λυπηροῖς καρτερίαν τλημοσύνην καλῶν, θεῶν αὐτήν φησιν οὖσαν εὕρημα ἀναφέρειν τῶν σχετλίων τούτων· ὥσπερ οἱ τέχνῃ τοῦ ῥοθίου ὑπεραίροντες, ἐπειδὰν τὸ κῦμα ὑπὲρ τὴν ναῦν ἵστηται, μηδ' ἡγεῖσθε χαλεπὰ ταῦτα, ἐφ' ἃ ὑμεῖς μὲν ἄκοντες, ἐγὼ δὲ ἑκὼν ἥκω. εἰ μὲν γὰρ ξυνίστεσθε ταῖς αἰτίαις, ὀλοφυρτέα ἡ ἡμέρα μᾶλλον, ἐν ᾗ ὁ λογισμὸς ἐς ἄδικά τε καὶ ὠμὰ ὁρμήσας, ὑμᾶς ἔσφηλεν. εἰ δ' οὔτε σὺ τὴν ἐν τῷ Ἀχελῴῳ νῆσον, ὑπὲρ ὧν ὁ κατήγορός φησιν, ἐρεῖς ᾠκηκέναι· οὔτε σὺ τὸν σεαυτοῦ πλοῦτον ἔφεδρόν ποτε τῇ βασιλείᾳ στήσασθαι, οὔθ' ἑκὼν σὺ τοῦ μὴ πρὸς Ἀθηνᾶς δοκεῖν ἀφῃρῆσθαι τὸν ἄρχοντα, οὔθ' ὑπὲρ ὧν ἀφῖχθαι κινδύνων ἕκαστος, ἀληθῆ ταῦτα εἶναι φήσει, τί βούλεταί φησιν ὁ ὑπὲρ τῶν οὐκ ὄντων θρῆνος οὗτος; ὅσῳ γὰρ τοὺς οἰκειοτάτους ἐπιβοᾶσθε, τοσῷδε χρὴ ἐρρῶσθαι μᾶλλον. ἆθλα γάρ που τῆς τλημοσύνης ταύτης ἐκεῖνα. ἢ τὸ καθεῖρχθαι δεῦρο δεινὸν εἶναί φατε, καὶ τὸ ἐν τῷ δεσμωτηρίῳ ζῆν, ἢ ἀρχὴν ὧν πείσεσθαι ἡγεῖσθε, ἢ καὶ καθ' αὑτὸ τιμωρίαν, εἰ καὶ μηδὲν ἐπ' αὐτῷ πάθοιτε. ἀλλ' ἔγωγε

A inquit, huius habitaculi mecum participes, ego valde miſereor veſtri, quòd veſtra ipſorum cauſa pereatis, nondum ſcientes, an vos ipſa accuſatio perditura ſit. Nam apparet prius vos à vobis interfici, quàm ab eo, qui vos morte condemnaturus eſt, vt putatis. Neque verò audere vbi timetis, aut timere vbi audetis, rationi conſentaneum arbitror, ſed Archilochi Parij ſententiæ vos iubeo meminiſſe, qui tolerantiam in rebus aduerſis
B patientiam nuncupans, Deorum quoddam iuuentum eſſe dicit, ad huiuſmodi mala perferenda, ceu gubernatoris artem, per quam incumbente tempeſtate venientium fluctuum impetus recipit. Nec exiſtimetis hæc mala eſſe, ad quæ vos quidem inuiti, ego autem volens acceſſi. Si enim cauſas conferre voluerimus, magis lugenda eſt dies illa, qua raciocinatio ad iniuſta crudeliáque facinora impellens vos fe-
C fellit. Sin verò tu Acheloi inſulam, non ob eas cauſas, quos accuſator affert, coluiſſe te dices: tu verò diuitias tuas nunquam inſidias regi tetendiſſe affirmabis, neque tu conſultò feciſſe dices, vt principi auferres, quin Palladis filius haberetur, & omnes omnino falſa eſſe dicetis crimina, pro quibus in hoc diſcrimen adducti eſtis. Petam à vobis quid pro rebus non veris tanti gemitus ſibi velint?
D Quantò enim vobis propinquiſſimos magis acclamatis, tantò vos oportet eſſe robuſtiores. Membra namque huius patientiæ ſunt hæc: aut enim hîc detineri, & in carcere viuere moleſtum exiſtimatis; aut principium eorum, quæ vos paſſuros arbitramini, aut hanc pœnam grauem putatis, etiam ſi nihil vltra patiamini. Verùm ego qui

rerum humanarum naturam agnoſco, rationem vos docebo medicorum cibariis diſſimilem. Nam & corpori vires addit, & mori non ſinet. Nos homines in carcere ſumus omni tempore, quod nos vitam appellamus. Ipſa enim anima corruptibili corpori alligata, multa quidem perfert, omnibus autem ſeruit, quæcunque in homines cadunt. Et qui primi domos inuenerunt, non animaduertiſſe videntur, quòd alio carcere ſe ipſos circundarent. Nam quicunque regias habitant, vt in eis tutò degere poſſint, hos magis vinctos eſſe cenſemus, quàm eos qui ab eiſdem vinciuntur. Cûmque vrbes & earum mœnia in memoriam redigo, videntur hæ mihi communes carceres eſſe, in quibus clauſi detineantur mercatores, oratores, ſpectatores, & pomparum ductores. Quinetiam Scythas, qui in curribus vitam degunt, nihil minus, quàm nos incluſos arbitror. Hiſter enim & Thermodon, atque Tanais ipſos circunſiſtunt, flumina haudquaquã facilia tranſitu, *niſi glacie concreta conſiſtant*, & ſuper carros domus ædificant, in quibus deliteſcentes feruntur. Et niſi puerilis valde ratio videatur, dicunt Oceanum quaſi quoddam vinculum terræ circuniectum eſſe. Accedite poëtæ (veſtra ſunt enim quæ ſum dicturus) atque his mœrentibus decantate. Saturnum quoque Iouis *conſilio* fuiſſe ligatum, Martem etiam Deorum omnium bellicoſiſſimum in cœlo quidem à Vulcano, in terra verò ab Aloidis vinctum fuiſſe. Quòd ſi præterea cogitabimus, quàm multi ſapientes, ac beati, aut ab inſolen-

Plato in Cratylo, de Nept.

A τὴν ἀνθρωπείαν εἰδὼς φύσιν, ἀναδιδάξω λόγον ὑμᾶς οὐδὲν ἐοικότα τοῖς τῶν ἰατρῶν σιτίοις· καὶ γὰρ ἰσχὺν ἐντίθησι, καὶ ἀποθανεῖν οὐκ ἐᾷ. Οἱ ἄνθρωποι ἐν τῷ δεσμωτηρίῳ ἐσμὲν τὸν χρόνον τοῦτον, ὃς δὴ ὠνόμασται βίος· αὐτὴ γὰρ ἡ ψυχὴ, σώματι φθαρτῷ ἐνδεθεῖσα, πολλὰ μὲν καρτερεῖ, B δουλεύει δὲ πᾶσιν, ὁπόσα ἐπ' ἄνθρωπον φοιτᾷ. οἰκίας τε, οἷς ἐπενοήθη πρῶτον, ἀγνοῆσαί μοι δοκοῦσιν ἄλλο δεσμωτήριον αὑτοῖς περιβάλλοντες. καὶ γὰρ δὴ καὶ ὁπόσοι τὰ βασίλεια οἰκοῦσιν, ἀσφαλῶς αὐτοῖς κατεσκευασμένα, δεδέσθαι μᾶλλον τούτους ἡγώμεθα, ἢ οὓς αὐτοὶ δέουσι. πόλεις δὲ ἐνθυμουμένῳ, καὶ τείχη, δοκεῖ ταῦτα δεσμωτήρια εἶναι κοινὰ, ὡς δεδέσθαι C μὲν ἀγοράζοντας, δεδέσθαι δὲ ἐκκλησιάζοντας· καὶ θεωμένους αὖ, καὶ πομπὰς πέμποντας. καὶ Σκυθῶν, ὁπόσοι ἁμαξόβιοι εἰσιν, οὐ μεῖον ἡμῶν δέδενται. Ἴστροι τε γὰρ αὐτοὺς ὁρίζουσι, καὶ Θερμώδοντες, καὶ Τανάϊδες, οὐ ῥᾴδιοι ποταμοὶ ὑπερβῆναι, ἢν μὴ ὑπὸ τοῦ κρυμοῦ στῶσιν. οἰκίας τε ἐπὶ τῶν ἁμαξῶν πέπηγνυνται* καὶ φέρονται μὲν, ἀλλ' ἐν αὐταῖς ἐπτηχότες. εἰ δὲ μὴ μειρα- D κιώδης ὁ λόγος, φασὶ καὶ τὸν Ὠκεανὸν δεσμοῦ ἕνεκα τῇ γῇ περιβεβλῆσθαι. ἴτε, ὦ ποιηταί, ταυτὶ γὰρ ὑμέτερα, καὶ ῥαψῳδεῖτε πρὸς τούτοις τοῖς ἀθύμοις, ὡς Κρόνος μέν ποτ' ἐδέθη βουλαῖς τοῦ Διός, Ἄρης δὲ ὁ πολεμικώτατος, ἐν οὐρανῷ μὲν ὑπὸ Ἡφαίστου πρότερον, ἐν γῇ δὲ ὑπὸ τῶν τοῦ Ἀλωέως. ταῦτ' ἐνθυμούμενοι, καὶ πολλοὺς τῶν σοφῶν τε, καὶ μακαρίων ἀνδρῶν, οὓς δῆμοί τε

* γρ. [illegible]

A ἀσελγεῖς ἔδησαν, τυραννίδες δὲ προὐπηλάκισαν, δεχώμεθα καὶ ταῦτα, ὡς μὴ τῶν δεξαμένων αὐτὰ λειποίμεθα. οὕτω που τοὺς ἐν δεσμωτηρίῳ τὰ ῥηθέντα μετέβαλεν, ὡς σίτου τε τοὺς πολλοὺς ἅψασθαι, καὶ ἀπελθεῖν τῶν δακρύων, βλέψαι τε ἐπ' ἐλπίδος, μηδ' ἂν παθεῖν μηδὲν ἐν ἐκείνῳ ξυνόντες. τῆς δ' ὑστεραίας, διελέγετο μὲν ἐς τὸν αὐτὸν νοῦν ξυντείνων. ἐσπέμπεται δέ τις ἀκροατὴς τῶν διαλέξεων ὑπὸ B τοῦ Δομετιανοῦ καθειμένος. τὸ μὲν δὴ σχῆμα αὐτοῦ, κατηφὴς ἐδόκει, καὶ κινδυνεύειν τι ὡς ἔφασκε μέγα. γλώττης τε οὐκ ἀνεπιτηδείως εἶχεν, οἷοι τῶν συκοφαντικῶν οἱ συνειληχότες ὀκτὼ ῥήματα, ἢ δέκα. ὁ δὲ Ἀπολλώνιος ξυνιεὶς τῆς τέχνης, διελέγετο ἃ μὴ ἐκείνῳ προὔβαινε. ποταμῶν τε γὰρ πρὸς αὐτοὺς ἐμέμνητο, καὶ ὀρῶν. καὶ θηρία διῄει, καὶ C δένδρα· ὑφ' ὧν, οἱ μὲν, διήγοντο, ὁ δ' οὐδὲν ἐπέραινεν. ὡς δὲ καὶ ἐπάγειν αὐτὸν ἐς λοιδορίας τοῦ τυράννου ἐπειρᾶτο, ὦ τᾶν, ἔφη, σὺ μὲν, ὅ, τι βούλει, λέγε. οὐ γὰρ διαβεβλήσῃ γε ὑπ' ἐμοῦ. ἐγὼ δὲ, ὁπόσα μέμφομαι τὸν βασιλέα, πρὸς αὐτὸν λέξω. ἐγένετο καὶ ἕτερα ἐν τῷ δεσμωτηρίῳ τούτῳ ἐπεισόδια, τὰ μὲν, D ἐπιβεβουλευμένα, τὰ δὲ, ὡς ξυνέπεσεν οὔπω μεγάλα, οὐδ' ἄξια ἐμοὶ σπουδάσαι. Δάμις δὲ οἶμαι ὑπὲρ τοῦ μὴ παραλελοιπέναι τι, αὐτῶν ἐπεμνήσθη. τὰ δέ γε λόγου ἐχόμενα, εἰσὶ ταῦτα. ἑσπέρα μὲν ἦν, καθεῖρκτο δὲ ἡμέραν πέμπτην· παρελθὼν δέ τις ἐς

tibus populis in carcerem detruſi fuerint, aut à crudelibus tyrannis contumeliis affecti; ſic iſta perferemus, vt nihil iis inferiores videantur, qui hæc non ſunt perpeſſi. His verbis adeo immutauit eos qui erant in carcere, vt eorum plerique cibum caperent, & lachrymas, fletúſque dimitterent, ſperaréntq. præſente Apollonio nihil mali perpeti ſe poſſe. Poſtridie quoq. in eandem ſententiá permulta locutus eſt. Submiſſus fuerat à Domitiano quidam ſermonū auſcultator, qui habitu quidem triſtis, demiſſúſq. apparebat, & in magno (vt aiebat) periculo conſtitutus. Lingua verò non admodum expedita vtebatur, verba decem octóve calumniatorum more connectens. Sed cùm Apollonius fraudem percepiſſet, ea narrabat, quæ ſibi nunquam contigerant. Flumina enim & montes prædicabat: tum verò feras, & arbores, quarum ratione ceteri quidem delectabantur: ille verò nihil perficiebat eorum, quæ concupiuerat. Poſtquam ille ad obiurgationes tyranni deducere tentauit Apollonium: O amice, inquit, tu quicquid libet audacter dicito: neq; enim ego calumniabor. Ego autem quicquid in rege dignum accuſatione iudicauerim, coram ipſo proferá. Factum eſt aliud quoque in carcere colloquium, partim ab iis, qui cum eo, vtcunq; ſors tulerat, locuti ſunt: ſed quoniam de rebus non magnis memoria digni ſermones fuere, idcirco ſilentio prætereundum putaui. Damis autem (vt opinor) nihil eorum, quæ dixerit aut fecerit Apollonius, prætermittere volens, omnia ſcripſit, ex quibus ego illa collegi, quæ digna memoratu iudicaui. Cùm iam quinque dies in carcere incluſus fuiſſet Apollonius, & fortè iam noctis principium eſſet: quidam

Græcæ linguæ peritus in carcerem veniens, vbinam Tyanenſis eſſet, interrogauit: ſeorſum deinde ab aliis vocato, Cras, inquit, tecum loqui rex inſtituit. Hoc enim ab Æliano videbatur audiuiſſe. Iam ego hoc ſcio, inquit Apollonius, tanquam arcanum: & neminem præter Ælianum id ſcire intelligo, quamuis in carcere ſim. Tum ille, Et iam antea tibi prædictum fuit, vt peteres, ſi quid tibi expedire abitraris. Vt bene faciatis, inquit Apollonius, ego autem & hîc, & extra, eodem modo viuo. Diſputo namque de iis, quæ accidunt: nullius autem rei indigeo. An etiam, inquit ille, conſiliario non eges, Apolloni, qui te moneat, quo pacto regem alloqui te oporteat? Non ſanè per Iouem, inquit Apollonius, niſi fortè vt adulator ſim perſuadere velis. Quid ſi quis, inquit ille, conſulat, ne ſuperbè, neu quaſi regem ipſum deſpiciens loquaris? Rectè conſuleret, inquit Apollonius, quanquam id ipſe mihi perſuaſi. Ego autem, inquit ille, huius rei gratia veneram. Gaudeo autem, quòd te ad hæc iam modeſtè præparatum conſpiciam. Oportet autem ad tyranni vocem, & oris eius deformitatem te præpares. Loquitur enim grauiter, etiam ſi placidè, manſuetéque loqui voluerit: ſupercilia verò oculis ſuperiacent: Genæ autē bili refertæ ſunt: ídque in eo conſpicuum maximè eſt. Verùm hæc Tyanenſis, non te perterreant: ſunt enim naturæ vitia, ſempérque eodem modo ſeſe habentia. Ad hæc reſpondens Apollonius, Vlyſſes, inquit, antrum ingrediens Polyphemi, cùm antea nec quantus eſſet, nec quibus cibis veſceretur, audiſſet, nec qua voce tonaret, quicquam nouiſſet, tamen ſe ipſum ipſemet confirmauit, &

A τὸ δεσμωτήριον Ἑλληνικὸς τὴν φωνὴν, ποῦ, ἔφη ὁ Τυανεύς; καὶ ἀπολαβὼν αὐτὸν, αὔριον, ἔφη, διαλέξεταί σοι ὁ βασιλεύς. Αἰλιανοῦ δὲ ταῦτα ἀκηκοέναι ἐδόκει. ξυνίημι τοι, ἦδ' ὅς, τοῦ ἀπορρήτου. μόνου γὰρ δὴ ἐκείνου εἰδέναι αὐτό· καὶ μὴν καὶ τῷ ἐπὶ τοῦ δεσμωτηρίου. προείρηται, ἔφη, παῦ, εἴ τι βούλοιο ἐπιτηδείων σοι εἶναι. καλῶς μὲν ποιοῦντες ὑμεῖς, εἶ-

B πεν. ἐγὼ δὲ, καὶ τὸν ἐνταῦθα βίον, καὶ τὸν * ἐνθένδε, ταυτὸν πράττω· (κ. ἄγω,) διαλέγομαι μὲν γὰρ ὑπὲρ τῶν παραπιπτόντων, δέομαι δὲ οὐδενός. οὐδὲ τοῦ ξυμβουλεύσοντος, ἔφη, Ἀπολλώνιε, ὡς διαλέξῃ τῷ βασιλεῖ; νὴ Δί', εἶπεν, εἰ μὴ κολακεύειν πείθοι. τί δ' εἰ μὴ ὑπερορᾶν, ἔφη, μηδ' ὑπερφρονεῖν αὐτοῦ; ἄριστα, εἶπε, ξυμ-

C βουλεύεις*, καὶ ὡς ἐμαυτὸν πέπεικα. (κ. ξυμβουλεύει,) ὑπὲρ τούτων μὲν ἥκω, ἔφη· καὶ χαίρω παρεσκευασμένον σε ὁρῶν ξυμμέτρως. δεῖ δὲ καὶ πρὸς τὸ φθέγμα τοῦ βασιλέως παρεσκευάσθαι σε, καὶ πρὸς τὸ δύστροπον τοῦ προσώπου. φθέγγεται μὲν γὰρ βαρὺ, κἂν πρᾴως διαλέγηται. ἡ δὲ ὀφρὺς ἐπίκειται τῷ τοῦ ὀφθαλμοῦ ἤθει· μεστὴ δ' ἡ παρειὰ χολῆς. ταύτῃ γὰρ μά-

D λιστα ἐπιφαίνει. ταῦτα, ὦ Τυανεῦ, μὴ ἐκπληττώμεθα. ἔστι γὰρ φύσεως μᾶλλον, καὶ ἀεὶ ὅμοια. καὶ ὁ Ἀπολλώνιος, Ὀδυσσεὺς μέντοι, ἔφη, παριὼν ἐς τὸ τοῦ Πολυφήμου ἄντρον, καὶ μήτε ὁπόσος ἐστὶ προακηκοὼς πρότερον, μήθ' οἷα σιτεῖται, μήθ' ὡς βροντᾷ ἡ φωνὴ, ἐθάρρησέ τε αὐτῷ,

καίτοι ἐν ἀρχῇ δείσας, καὶ ἀπῆλθε τοῦ ἄντρου, ἀνὴρ δόξας. ἐμοὶ δὲ ἐξελθεῖν τὸ αὔταρκες, ἐμαυτόν τε σώσαντα, καὶ τοὺς ἑταίρους, ὑπὲρ ὧν κινδυνεύω. τοιαῦτα διαλεχθεὶς πρὸς τὸν ἥκοντα, καὶ ἀπαγγείλας αὐτὰ πρὸς τὸν Δάμιν, ἐκάθευδε.

A quamuis ab initio formidans, antrum tamen egreſſus vir fortis exiſtimatus eſt. mihi quoque exire à tyranno eſt animus, & me ipſum ſocióſque ſeruare, pro quibus in hoc periculum adductus ſum. Hæc ad eum qui ab Æliano miſſus fuerat cùm dixiſſet, Damidi poſtmodum omnia ſeriò narrauit: ſubinde ſomno correptus dormitauit.

Quonam modo manſuefaciendi ſint leones. Déque Æſopi fabula de leone ægroto, & vulpe. Item intereundum ad Domitianum, quid cum Damide locutus fuerit Apollonius. Cap. XIII.

ΠΕΡΙ δὲ ὄρθρον, γραμματεύς τις ἥκων τῶν βασιλείων δικῶν, κελεύει σε ὁ βασιλεύς, ἔφη, ὦ Ἀπολλώνιε, περὶ πλήθουσαν ἀγορὰν ἐς τὴν αὐλὴν ἥκειν, οὔπω ἀπολογησόμενον, ἀλλ' ἰδεῖν τέ σε ὅς τις ὢν τυγχάνεις βούλεται, καὶ ξυγγενέσθαι μόνῳ. τί οὖν, εἶπεν, ὑπὲρ τούτων ἐμοὶ διαλέγῃ; οὐ γὰρ σύ, ἔφη Ἀπολλώνιος; νὴ Δί', εἶπεν, ὁ Τυανεύς γε. πρὸς τίνα οὖν, ἔφη, ταῦτα εἴπω; πρὸς τοὺς ἄξοντάς με, εἶπε. χρὴ γάρ που ὡς ἐκ δεσμωτηρίου φοιτᾶν. προστέτακται, ἔφη, πρὸς τούτοις γε ἐκείνοις ταῦτα. κἀγὼ δὲ ἀφίξομαι τοῦ καιροῦ. νυνὶ δὲ παραγγέλλων ἦλθον. ταυτὶ γὰρ μάλα ἑσπέρας προσετάχθη. ὁ μὲν δὴ ἀπῆλθεν. ὁ δ' Ἀπολλώνιος ἀναπαύσας ἑαυτὸν ἐπὶ τῆς κλίνης, ὕπνου, ἔφη, δέομαι Δάμι. χαλεπὴ γάρ μοι ἡ νὺξ γέγονεν, ἀναμνησθῆναι βουλομένῳ, ὧν Φραώτου ποτὲ ἤκουσα. καὶ μὴν ἐγρηγορέναι τε, εἶπεν, ἐχρῆν μᾶλλον, καὶ ξυντάττειν ἑαυτὸν ἐς τὸ παρηγγελμένον, μέγα οὕτως ὄν. καὶ πῶς ἂν

B CIRCA crepuſculum verò, quidam regiarum cauſarum ſcriptor adueniens, Iubet, inquit rex, Apolloni, vt quando forum populo refertum erit, ad ſe in regiam venias; non de illatis criminibus facturus excuſationem, ſed quia te videre qualis ſis, & ſolus cum ſolo loqui cupit. Quid igitur, inquit Apollonius, hæc mihi loqueris? An verò, inquit ille, tu es Apollonius? C Certè ſum, inquit, Tyanenſis etiam. Cuinam igitur, inquit ille, hæc dicerem? Iis, inquit Apollonius, qui me ducturi ſunt. Opus eſt enim me tanquam ex carcere cuſtoditum prodire. Tum ille, Hæc eadem, inquit, cuſtodibus præcepi. Et ego, inquit Apollonius, in tempore adero: tu verò talia annuncians abi. Cúmque ille abiiſſet, & iam noctis inſtaret principium, D Apollonius in lectulo recumbens, Ego, inquit, ô Damis ſomno indigeo. Grauis enim præterita nox mihi fuit, cùm laborarem meminiſſe aliqua ex Phraote quondam audita. At verò, Damis inquit, vigilare magis oportuit, téque ad regis præceptum præparare, cùm magnũ tibi negocium immineat. Sed quonam

pacto, inquit, præparare me poſſum, cùm neſciam quibus de rebus ſit interrogaturus? Tum Damis, De vita, inquit, decertans tam negligenter agere videris? Certè, inquit Apollonius, negligenter. Nam & ipſam vitam negligo. Sed nunc quid ex Phraote audierim, tibi narrare volo. Erit enim ſermo præſentibus rebus (vt arbitror) accommodatus. Leones, quos manſueſcere volunt homines, iubebat Phraotes verberibus non cædi. Nam *iniuriæ acceptæ memores* verberib. illos fieri aiebat: nec rurſus blanditiis nimiũ leniendos putabat, quia ſic nimiũ ſuperbi euaderent. Opinabatur itaque blanditias minis permiſtas facilius ad mores optatos illos poſſe deducere. Id autem ille non *pro leonibus dicebat*. (*non enim pro* ferarum manſuefactione *ſoliciti eramus*,) ſed vt tyrãnis quaſi frenum quoddam iniiceret, quo ſi vterentur, à mediocritate nunquam aberraturos cenſebat. Optimè, inquit Damis, contra tyrannorum mores excogitata eſt ratio. Sed eſt etiam leo neſcio quis apud Æſopum, qui ægrotare ſimulans, beluas omnes capiebat, quæ ad viſendum accedebant. Vulpes autem quid, inquit, huc ingrediens vtilitatis capiam, vbi tutò manere nullus poteſt: atque exeuntium veſtigium nullum patet? At ego, inquit Apollonius, ſapientiorem vtique vulpem iudicarem, ſi intus accedens capta non fuiſſet: ſed è ſpelunca regrediens, ſuamet oſtendiſſet veſtigia. Hæc locutus ſomnum cœpit valde breuem. Deinde illuceſcente die cùm Soli ſacrificaſſet, ſicut in carcere conſueuit, omnibus qui illic interrogabant, perbenignè reſpondit. Interea cùm forum populo repletum eſſet, librarius idem aduenit, iubens vt ad regis portas accederet. Ille

A ξυνταττοίμην, ἔφη, μηδὲ ὅ τι ἐρήσεται εἰδώς; αὐτοσχεδιάσεις οὖν, εἶπεν, ὑπὲρ τοῦ βίου; νὴ Δί', ἔφη, ὦ Δάμι. αὐτοσχεδίῳ γὰρ αὐτῷ χρῶμαι. ἀλλ' ὅ γε ἀνεμνήσθην τοῦ Φραώτου, βούλομαι διηγεῖσθαι πρὸς σέ· χρηστὸν γὰρ ἐς τὰ παρόντα καὶ σοὶ δόξει. τοὺς λέοντας, οὓς τιθασεύουσιν οἱ ἄνθρωποι, κελεύει Φραώτης μήτε παίειν· μνησικακεῖν γὰρ αὐτοὺς εἰ παίοιντο· μήτε θεραπεύειν, ἀγε-
B ρώχους γὰρ ἐκ τούτου γίγνεσθαι· ξὺν ἀπειλῇ δὲ μᾶλλον καταψῶντας, ἐς εὐάγωγα ἤδη ἄγειν. τοῦτο δὲ οὐχ ὑπὲρ τῶν λεόντων, εἶπεν. οὐ γὰρ ὑπὲρ θηρίων ἀγωγῆς ἐσπουδάζομεν, ἀλλ' ἡνίαν ἐπὶ τοὺς τυράννους διδούς. ᾗ χρωμένους, οὐκ ἂν ἐκπεσεῖν ἡγεῖτο τοῦ ξυμμέτρου. ἄριστα μὲν, ἔφη, ὁ λόγος οὗτος ἐς τὰ τῶν τυράννων ἤθη εἴρηται. ἀλλ' ἔστι τις καὶ παρὰ τῷ
C Αἰσώπῳ λέων ὁ ἐν τῷ σπηλαίῳ. φησὶ δ' αὐτὸν ὁ Αἴσωπος οὐ νοσεῖν μὲν, δοκεῖν δὲ καὶ τῶν θηρίων, ἃ ἐφοίτα παρ' αὐτὸν ἅπτεσθαι. τὴν δὲ ἀλώπεκα, τί τούτῳ χρησόμεθα, εἶπε, παρ' οὗ μηδὲ ἀναλύει τις, μηδὲ δείκνυταί τι τῶν ἐξιόντων ἴχνος; καὶ ὁ* Ἀπολλώνιος, ἀλλ' ἐγὼ, ἔφη, κ. ἰὸ ἀτ.
σοφωτέραν τὴν ἀλώπεκα ἡγούμην ἂν, εἰ παρελθοῦσα εἴσω, μὴ ἥλω, ἀλλ' ἐξῆλθε τοῦ σπηλαίου, τὰ ἴχνη τὰ ἑαυτῆς δεικνῦσα. ταῦτα εἰπὼν, ὕπνου ἐσπάσατο
D κομιδῇ βραχὺ, καὶ ὅσον ἐπ' ὀφθαλμοὺς ἦλθεν. ἡμέρα δ' ὡς ἐγένετο, προσευξάμενος τῷ Ἡλίῳ, ὡς ἐν δεσμωτηρίῳ εἰκὸς, διελέγετο τοῖς προσιοῦσιν, ὁπόσα ἠρώτων. καὶ οὕτως ἀγορᾶς πληθούσης, ἀφικνεῖται γραμματεὺς, κελεύων ἐπὶ θύρας ἤδη εἶναι, μὴ καὶ θᾶττον, ἔφη, ἐσκληθῶμεν. ὁ δὲ,

εἰπὼν, ἴωμεν, ξὺν ὁρμῇ προῆλθε. πορευομένῳ δὲ αὐτῷ, δορυφόροι ἐπηκολούθουν τέτταρες, πλέον ἀπέχοντες, ἢ τῆς φυλακῆς ἕνεκα ὁμαρτοῦντες. ἐφείπετο δὲ καὶ ὁ Δάμις, δεδιὼς μὲν, ξυννοοῦντι δὲ ὅμοιος. ἑώρων μὲν δὴ ἐς τὸν Ἀπολλώνιον ἅπαντες· τοῦ τε γὰρ σχήματος ἐπεβλέπετο, καὶ θεία ἐδόκει ἡ περὶ τῷ εἴδει ἔκπληξις. καὶ αὐτὸ δὲ τὸ ἥκειν, ὑπὲρ ἀνδρῶν κινδυνεύσοντα, καὶ τοὺς βασκαίνοντας αὐτῷ πρότερον, ἐπιτηδείους ἐποίει τότε· περιεστὼς δὲ τοῖς βασιλείοις, καὶ τοὺς μὲν, θεραπευομένους ὁρῶν, τοὺς δὲ, θεραπεύοντας εἰσιόντων τε, καὶ ἐξιόντων κτύπον, δοκεῖ μοι, ἔφη, ὦ Δάμι, βαλανείῳ ταῦτα *εἰκάσαι. τοὺς μὲν γὰρ ἔξω, εἴσω ὁρῶ σπεύδοντας. τοὺς δὲ εἴσω, ἔξω. παραπλήσιοι δὲ εἰσιν, τοῖς μὲν, ἐκλελουμένοις, οἱ δὲ ἀλούτοις. τὸν λόγον τοῦτον ἄσυλον κελεύω φυλάττειν, καὶ μὴ τῷ δεῖνι, ἢ τῷ δεῖνι προσγράφειν αὐτὸν, οὕτω τι Ἀπολλωνίου ὄντα, ὡς καὶ ἐς ἐπιστολὴν αὐτῷ ἀναγεγράφθαι. ἰδὼν δὲ ἕνα μάλα πρεσβύτην, ἐπιθυμοῦντα μὲν τοῦ ἄρχειν, δι᾽ αὐτὸ δὲ τοῦτο ὑπερχόμενον, καὶ θεραπεύοντα τὸν βασιλέα, τοῦτον, ἔφη, ὦ Δάμι, οὐδὲ Σοφοκλῆς πω πέπεικε τὸν λυττῶντά τε, καὶ ἄγριον δεσπότην ἀποφυγεῖν, ὃν ἡμεῖς, εἶπεν, Ἀπολλώνιε, καὶ αὐτοὶ ᾑρήμεθα. ταῦτά τοι *καὶ προσεστήκαμεν θύραις τοιαύταις. δοκεῖς μοι, ἔφη, ὦ Δάμι, καὶ τὸν Αἰακὸν ὥσπερ ἐν ᾅδου λέγεται, φρουρὸν ἡγεῖσθαι τουτωνὶ τῶν πυλῶν εἶναι. τεθνεῶτι γὰρ

γ. εἰκάζ.

γ. τοι

A verò nihil aliud quàm eamus, inquiens, alacriter proceſſit: vadentem autem ſatellites quatuor ſequebantur longius aliquantò diſtantes, quàm vt cuſtodiæ cauſa ſequi viderentur. Hærebat autem illi Damis timidus quidem, ſed cogitabundo ſimilis. Omnis autem populus Apolloniū reſpiciebat, tum propter habitus nouitatem, tum quòd diuinus quidam ſtupor formæ eſſe B videbatur. Periculum quoque, quòd pro viris amicis ſubibat, eos etiam qui ſibi antea infenſi fuerant: tunc amicos, benignóſq; reddebat. Cùm ante regias fores conſiſteret, viderétque homines quoſdam tanquam Deos adorari; alios autem ſupplices venerabundóſque coram illis adſtare: tum ingredientum, & egredientium ſtrepitum ingentem animaduerteret, ad Damidem conuerſus, Videntur, inquit, hæc negocia C balneis rectiſſimè poſſe comparari. Nam eos qui extra ſunt, video intrò ingredi properantes: qui verò ſunt intus, cùm celeritate egredi animaduerto: vt hi quidem lauari volentibus, illi autem iam lotis ſimiles appareant. Attamē ſermonem hunc *integrum intaminatúmq. ſerues velim, neq. huic aut illi adſcribas, cùm ita Apollonij germanus ſit*, vt in epiſtolam quandam ab eodem *relatus ſit*. Cùm vidiſſet hominem iam ſenio confectum, magiſtratum quendam ſtudioſius affectare, atque eius potiundi cauſa quaſi hominem ſeruum ſeſe regi ſubmittere: huic, inquit Apollonius, ô Damis, non perſuaſit D Sophocles, vt agreſtem dominum, & furioſum profugeret. Idem & de nobis, Apolloni, dici poteſt, inquit Damis, qui nunc ante has fores conſiſtimus. Tunc Apollonius, Videris mihi, inquit, ô Damis, arbitrari Æacum ſicut in inferno dicitur, has fores cuſtodire. Mortuo namque

Cicero in Cat. m.

ſimilis appares. Non mortuo, Damis inquit, ſed morituro. Tunc Apollonius, Abiecto, inquit, animo erga mortem eſſe mihi videris, ô Damis: quanquam ab adoleſcentia mecum *ſatis diu ſis philoſophatus.* Ego autem iam te ad ipſam præparaſſe arbitrabar, & quam ego aciem aduerſus eam ſtruxiſſem, iam cognoſcere. ſicut enim pugnaturis & iam armatis non audacia ſolùm opus eſt, verùm etiam ordine quodam, qui pugnandi opportunitatem illi demonſtret, pari modo philoſophantibus meditanda ſunt tempora, in quibus mori poſſunt, ne imparati, improuiſique, ſed cum optima electione ad mortem ferantur. Quàm autem optimo, & philoſophiæ aptiſſimo tempore mori elegerim, ſi quis me velit interficere; aliâs, cùm tu etiam adeſſes, diſputaui; ac te quoque ad idem confirmare perſtiti. ſed de his ſatis.

A δὴ ἔοικας. οὐ τεθνεῶτι, ἔφη, τεθνηξομένῳ δέ. καὶ ὁ Ἀπολλώνιος, ἀφυῶς, εἶπεν, ὦ Δάμι, πρὸς τὸν θάνατον ἔχειν μοι φαίνῃ, καίτοι ξυνών μοι χρόνον ἐκ μειρακίου* φιλοσόφῳ. ἐγὼ δὲ ᾤμην παρεσκευάσθαι τέ σε πρὸς αὐτόν, καὶ τὴν ἐν ἐμοὶ τακτικὴν εἰδέναι πᾶσαν. ὥσπερ γὰρ τοῖς μαχησομένοις, καὶ ὁπλιτεύουσιν, οὐκ εὐψυχίας δεῖ μόνον, ἀλλὰ καὶ B τάξεως ἑρμηνευούσης τοὺς καιροὺς τῆς μάχης· οὕτω καὶ τοῖς φιλοσοφοῦσιν ἐπιμελητέα τῶν καιρῶν, ἐν οἷς ἀποθανοῦνται, ὡς μὴ ἄτακτοι, μηδὲ θανατῶντες ξὺν ἀρίστῃ δὲ αἱρέσει ἐς αὐτοὺς φέροιντο. ὅτι δὲ ἄριστά τε, καὶ κατὰ τὸν προσήκοντα φιλοσοφίᾳ καιρὸν, εἰλόμην ἀποθνήσκειν, εἴ τις ἀποκτείνειν βούλοιτο. ἑτέροις τε ἀπολελόγημαι σοῦ παρόντος αὐτόν τε σὲ διδάσκων, ἀπείρηκα. ἐπὶ τοσοῦτον μὲν δὴ ταῦτα.

*κ. φιλοσόφοι.

Stupefactum Domitianum inter ſacrificandum Palladi, habitu Apollonij dæmonium eſſe eum dixiſſe. Tum quid locuti inter ſe fuerint. Poſtremò ira concitum Domitianum, iuſſiſſe vt & caput & barbam Apollonius attonderet. CAP. XIIII.

POSTQVAM regi alloquendi Apollonium ocium fuit, ij quibus mandatum fuerat, in regiam ipſum introduxere. Damidem verò cum eo intrare non permiſerunt. Fortè autem rex, cùm Palladi nuper ſacrificaſſet, viridi ramo coronatus, in Adonidis aula conſtiterat. Erat autem aula illa hortulis vndique circundata & floribus abundabat, quos Aſſyrij in honorem Adonidis myſteriorum cauſa domi plantant. Cúmque ſacris adhuc intentus caſu ſeſe conuertiſſet,

ΕΠΕΙ δὲ σχολὴ τῷ βασιλεῖ ἐγένετο, τὰ ἐν ποσὶ διωσαμένῳ πάντα, ἐς λόγους ἀφικέσθαι τῷ ἀνδρί, παρῆγον μὲν αὐτὸν ἐς τὰ βασίλεια οἱ ἐπιμεληταὶ τῶν D τοιούτων, οὐ ξυγχωρήσαντες τῷ Δάμιδι ἐπισπέσθαι οἱ. θαλλοῦ δὲ στέφανον ἔχων ὁ βασιλεύς, ἄρτι μὲν τῇ Ἀθηνᾷ τεθυκὼς, ἐτύγχανεν ἐν αὐλῇ Ἀδώνιδος. ἡ δὲ αὐλὴ, ἀνθέων ἐπεθήλει κήποις, οὓς Ἀδώνιδι Ἀσύριοι ποιοῦνται ὑπὲρ ὀργίων, ὁμωροφίους αὐτοὺς φυτεύοντες. πρὸς δὲ τοῖς ἱεροῖς ὤν, μετεστράφη.

καὶ ἐκπλαγεὶς ὑπὸ τοῦ εἴδους τοῦ ἀνδρὸς, Αἰλιανὲ, εἶπε, δαίμονά μοι ἐπεισήγαγες. ἀλλ' οὔτε ἐκπλαγεὶς ὁ Ἀπολλώνιος, καθαπτόμενός τε ὧν ἤκουσεν, ἐγὼ δὲ, ἔφη, τὴν Ἀθηνᾶν ᾤμην ἐπιμεμελῆσθαί σου βασιλεῦ· τρόπον, ὃν καὶ τοῦ Διομήδους ποτὲ ἐν Τροίᾳ. τὴν γάρ τοι ἀχλὺν, ὑφ' ἧς οἱ ἄνθρωποι χεῖρον βλέπουσιν, ἀφελοῦσα τῶν τοῦ Διομήδους ὀφθαλμῶν, ἔδωκεν αὐτῷ θεούς τε διαγινώσκειν, καὶ ἄνδρας. σὲ δ' οὔπω ἡ θεὸς ἐκάθηρεν, ὦ βασιλεῦ, τὴν κάθαρσιν ταύτην. ἦ μὴν ἔδει γε ὡς αὐτὴν τὴν Ἀθηνᾶν ὁρῴης ἄμεινον, τούς τε ἄνδρας, μὴ ἐς τὰ τῶν δαιμόνων εἴδη τάττοις. σὺ δὲ, εἶπεν, ὦ φιλόσοφε, πότε τὴν ἀχλὺν ἐκαθήρω ταύτην; πάλαι, ἔφη, κἀξ ὅτου φιλοσοφῶ. πῶς οὖν, εἶπε, τοὺς ἐμοὶ πολεμιωτάτους ἄνδρας θεοὺς ἐνόμισας; καὶ τίς, ἔφη, πρὸς Ἰάρχαν σοι πόλεμος, ἢ πρὸς Φραώτην τοὺς Ἰνδοὺς, οὓς ἐγὼ μόνους ἀνθρώπων θεούς τε ἡγοῦμαι, καὶ ἀξίους τῆς ἐπωνυμίας ταύτης; μὴ ἄπαγε ἐς Ἰνδοὺς, εἶπεν, ἀλλ' ὑπὲρ τοῦ φιλτάτου σοι Νερούα, καὶ τῶν κοινωνούντων αὐτῷ τῆς αἰτίας λέγε. ἀπολογοῦμαι ὑπὲρ αὐτοῦ, ἔφη, τί, ἢ μή; ἀπολογοῦ, εἶπεν· ἀδικῶν γὰρ εἴληπται. ἀλλ' οὐχ ὡς αὐτὸς ἀδικεῖς. ξυνειδὼς ἐκείνῳ τοιαῦτα, τοῦτό με ἀναδίδασκε. εἰ μὲν * ἃ ξύνοιδα, ἔφη, ἀκοῦσαι βούλει, ἄκουε. τί γὰρ ἂν τἀληθῆ κρύπτοιμι; ὁ μὲν δὴ βασιλεὺς, ἀπορρήτων τε λαμπρῶν ἀκροᾶσθαι * ᾤετο, καὶ ἐς τὸ ξυντεῖνον τῆς ἀπωλείας τῶν ἀνδρῶν ἥκει πάντα. ὁ δ' ὡς μετέωρον αὐτὸν ὑπὸ τῆς δόξης ταύτης εἶδεν.

γρ. εἰ ἃ ξ.

γρ. ἀκροάσεσθαι

A ſpecie viri ſtupefactus, ô Æliane, clamauit, Cur dæmonem ad me duxiſti? At hoc ſermone nihil territus Apollonius, quamuis verba optimè percepiſſet, ô rex, putabam Palladem perinde te purgauiſſe, atque olim apud Troiam Diomedem purgauit. *Iliad. E.* Nebulã enim, propter quam deterius videre homines ſolent, ab eius oculis abſtergens dedit illi, vt Deos atque homines dignoſceret. Te autem, vt video, nondum Dea purgauit, quanquam vehementer
B indigeres, vt ipſam Palladem, atque homines etiam intueri melius poſſes; néve homines inter dæmonum ſpecies collocares. Tu autem, ô philoſophe, inquit rex, à tali nebula expurgatus vnquam fuiſti? Iamdudum, inquit Apollonius, ex quo primùm philoſophari cœpi. Quomodo igitur, inquit rex, viros mihi inimiciſſimos Deos putaſti? Imò verò, inquit Apollonius, quodnam tibi eſt bellum aduerſus
C Indos Iarcham & Phraotem, quos ego ſolos inter homines Deos cenſeo, & tali dignos denominatione? Ne traducas nos ad Indos, rex ait: neque enim de illis loquor, ſed de amiciſſimo tibi Nerua, & iis, qui in eadem ſunt cauſa, reſponde. Vis ne igitur, inquit Apollonius, excuſationem me reddere? Vt libet, inquit rex. Ipſe enim mihi iam attuliſſe iniuriam conuictus eſt. Tu verò conſiliorum, & ſententia-
D rum omnium illi conſcius, quo pacto, non iniuſtè contra me facias edoce. Si ea quorum ego ſum eis conſcius audire vis, audi. Quid enim ego quod verum eſt celarem? Tum rex arcana quædam, & ad virorum perniciem ſpectantia auditurum ſe eſſe putans, animum erexerat. Apollonius autem vbi ſuſpenſo animo regem animaduertit.

Ego

Ego, inquit, Neruam virorum omnium modeſtiſſimum, & manſuetiſſimum, tibiq; bene *affectũ* & omnino principem optimum eſſe cognoſco: elationem verò & faſtum in rebus agendis adeò peroſum, vt honores etiam reformidet. eius quoque familiares, de quibus dicere te puto, Rufus, & Orphitus modeſti quidem & ipſi, ac diuitiarum contemptores, & ad res agendas tardiores eſſe videntur. Res autem nouas contra te moliri, nec vnquam ipſi cogitauerunt, nec alteri cogitanti aſſenſiſſent. His verbis rex ad iracundiam excitatus, calumniatorem igitur me contra ipſos vis redarguere, vt quos ego ſceleſtiſſimos omnium, mihíque inimiciſſimos agnoui, tu bonos, benignóſque, & ad agendum ſegniores affirmes? Atqui puto, ſi quis eoſdem de te interrogauerit fore, vt nequaquam dicant incantatorem, ac præſtigiatorem, aut impudentem, aut auarum, & legum contemptorem te eſſe: adeò ſceleſtiſſima capita ad malum inuicem concordatis. Sed hæc omnia redarguet accuſatio: cuncta enim quibus coniuraſtis, & pro quibus, & quando, & quæ pro hac re ſacrificia feciſtis: nihil minus ſcio, quàm qui eorundem participes interfuere. At ne his quidem verbis territus Apollonius, Turpe eſt, inquit, ô rex, & à legibus alienum de iis iudicare, de quibus antea ſis perſuaſus, aut de iis ante perſuaderi, de quibus iudicium ſis laturus. Attamen ſi ita diſpoſitus es, defenſionis meæ principium accipere ſinito. Ego rex de me malè ſentire te animaduerti, in quo maiore iniuria abs te afficior, quàm à calumniatore. Quæ enim probaturum ſe eſſe pollicitus eſt, tu ante, quàm audieris, credidiſti. Tu

A ἐγὼ, ἔφη, Νερούαν σωφρονέστατον ἀνθρώπων οἶδα, καὶ πρᾳότατον, καὶ σοὶ ἐπιτηδειότατον, καὶ ἄρχοντα μὲν ἀγαθόν· εὐλαβῆ δὲ οὕτω πρὸς ὄγκον πραγμάτων, ὡς καὶ τὰς τιμὰς δεδιέναι. οἱ δὲ ἀμφ' αὐτὸν, Ῥοῦφον γάρ που λέγεις, καὶ Ὀρφιτον, σώφρονες μὲν καὶ οἵδε οἱ ἄνδρες, ὁπόσα οἶδα, καὶ διαβεβλημένοι πρὸς πλοῦτον·
B νωθροὶ δὲ πράττειν ὁπόσα ἔξεστι. νεώτερα δὲ οὔτ' ἂν αὐτοὶ ἐνθυμηθεῖεν, οὔτ' ἂν ἑτέρῳ ἐνθυμηθέντι ξυνάραιντο. ἀνοιδήσας ὁ βασιλεὺς ὑφ' ὧν ἤκουσε, συκοφάντην με οὖν, εἶπεν, ἐπ' αὐτοῖς εἴληφας; ἵν' οὓς ἐγὼ μιαρωτάτους ἀνθρώπων, καὶ τοῖς ἐμοῖς ἐπιτηδεύοντας εὗρον. σὺ δ' ὡς χρηστοί τέ εἰσι λέγῃς, καὶ νωθροί. καὶ γὰρ ἂν κἀκείνους ἡ-
C γοῦμαι ὑπὲρ σοῦ ἐρωτωμένους, μήθ' ὡς γόης εἶ φάσειν, μήθ' ὡς ἴτης, μήθ' ὡς ἀλαζὼν, μήθ' ὡς φιλοχρήματος, μήθ' ὡς φρονῶν ὑπὲρ τοὺς νόμους· οὕτως, ὦ μιαραὶ κεφαλαὶ, κακῶς ξυντέταχθε. ἐλέγξει δὲ ἡ κατηγορία πάντα. καὶ γὰρ ὁπόσα ὀμώμοσθε ὑμῖν, καὶ ὑπὲρ ὧν, καὶ ὁπότε, καὶ τί θύσασιν, οὐδὲν μεῖον οἶδα, ἢ καὶ εἰ παρετύγχανόν τε, καὶ ἐκοινώνουν. ὁ δὲ, οὐδὲ ταῦτα ἐκπλα-
D γεὶς, αἰσχρὸν, ἔφη, βασιλεῦ, καὶ οὐκ ἐκ τῶν νόμων, ἢ δικάζειν ὑπὲρ ὧν πέπεισαι, ἢ πεπεῖσθαι, ὑπὲρ ὧν μὴ ἐδίκασας. εἰ δ' οὕτως ἔχεις, ξυγχώρησον ἐνθένδε μοι τῆς ἀπολογίας ἄρξασθαι. κακῶς, ὦ βασιλεῦ, ὑπὲρ *ἐμοῦ φρονεῖς. *χ. σοῦ* καὶ πλείω μὲν ἀδικεῖς, ἢ ὁ συκοφάντης· ἃ γὰρ ἐκεῖνος διδάξειν, ἔφη, σὺ πρὶν ἀκοῦσαι, πέπεισαι. τῆς

μὲν ἀπολογίας ὁπόθεν βούλει, ἄρχου. ἐγὼ δὲ καὶ ἐς ὅ, τι παύσομαι, οἶδα, καὶ ὁπόθεν ἤδη προσήκει ἄρξασθαι. ἄρχεται τὸ ἐντεῦθεν ἤ τῆς ἐς τὸν ἄνδρα ὕβρεως, γενείων τε ἀποκείρας αὐτὸν, καὶ χαίτης, ἔν τε τοῖς κακουργοτάτοις δήσας. ὁ δ᾽ ὑπὲρ μὲν τῆς κουρᾶς, ἐλελήθειν, ὦ βασιλεῦ, ἔφη, περὶ ταῖς θριξὶ κινδυνεύων. ὑπὲρ δὲ τῶν δεσμῶν, εἰ μὲν γόητά με ἡγῇ, ἔφη, πῶς δήσεις; καὶ ἀνήσω γε οὐ πρότερον, εἶπεν, ἢ ὕδωρ γενέσθαι σε, ἢ τι θηρίον, ἢ δένδρον. ταυτὶ μὲν, ἔφη, οὐδ᾽ εἰ δυναίμην, γενοίμην ἂν, ὡς μὴ προδοίην ποτὲ τοὺς οὐδεμιᾷ δίκῃ κινδυνεύοντας. ὢν δ᾽ ὅσπερ εἰμὶ, πᾶσιν ὑποθήσω ἐμαυτὸν, οἷς ἂν περὶ τὸ σῶμα τουτὶ πράξῃς, ἔστ᾽ ἂν ὑπὲρ τῶν ἀνδρῶν ἀπολογήσωμαι. ὑπὲρ δὲ σοῦ, εἶπε, τίς ἀπολογησόμενος ἔσται; χρόνος, ἔφη, καὶ θεῶν πνεῦμα, καὶ σοφίας ἔρως, ᾧ ξύνειμι.

A inquit rex, defenſionem vndecunque libet ordire. Nam ego vbi conſiſtere, & vnde incipere conueniat, iam conſtitui. Poſt hæc virum contumelioſè deludere cœpit, capillos, barbámque attondens, & inter ſceleratos vinciri iubens. Ipſe verò ſe tonderi videns, Oblitus, inquit, ô rex, fueram pro capillis periculum ſubiturum eſſe: de vinculis autem, ſi me, B inquit, incantatorem eſſe arbitraris, quo pacto vincies? Vinciam, inquit rex, nec antea dimittam, quàm te in aquam, aut feram quampiam, aut arborem conuertêris. Ego verò, inquit Apollonius, in nulla iſtorum, etiam ſi facere poſſem, me conuertam, ne viros prodam ſine cauſa in capitis periculum adductos: ſed qualis nunc ſim, talem ſuppliciis omnib. me ſubiiciam, quæ tibi in corpus hoc exercere libuerit, C modò viros, quos nominaui, defendam. Pro te autem, inquit rex, defenſionem quis parabit? Tempus, reſpondit ille, & Deorum ſpiritus, & amor philoſophiæ, cui me penitus addixi.

Perbreues & Laconico more Apollonium ſcripſiſſe epiſtolas. Hinc de Syracuſio quodam in carcerem profecto ad Apollonium: quidque viciſſim locuti fuerint.

CAP. XV.

ΤΟΝ μὲν προάγωνα τῆς ἀπολογίας, ὃς δὴ ἐγένετο αὐτῷ πρὸς Δομετιανὸν ἰδίᾳ, τοιόνδε διαγράφει ὁ Δάμις. οἱ δὲ βασκάνως ταῦτα ξυνθέντες, ἀπολελογῆσθαι μὲν αὐτόν φασι πρότερον, δεδέσθαι δὲ μετὰ ταῦτα, ὅτε δὴ κείρασθαι. καί τινα ἐπιστολὴν ἀνέπλασαν, ξυγκειμένην μὲν Ἰωνικῶς, τὸ δὲ μῆκος, ἄχαρι. ἐν ᾗ βούλονται τὸν Ἀπολλώνιον ἱκέτην τοῦ Δομετιανοῦ γενέσθαι, παραιτούμενον ἑαυτὸν τῶν δεσμῶν. Ἀπολλώνιος δὲ, τὰς

D PRÆLVDIVM itaque defenſionis priuatim coram Domitiano tale fuiſſe ſcribit Damis. Qui autem inuidioſè talia referunt, primò quidem ſeſe defendiſſe Apollonium perhibent, poſterius verò ligatum, & detonſum fuiſſe. Epiſtolam quoque fingunt Ionicè quidam conſcriptam, longitudine autem faſtidioſam, per quam dicunt Apollonium ſuppliciter admodum à Domitiano petiiſſe, vt ſe vinculis liberaret. Apollonius verò teſtamentum

quidem ſuum Ionicè ſcripſit. Epiſtolam autem Ionicè compoſitam nullam inueni, quanquam omnes vndecunq. potui epiſtolas eius collegerim: neque fuit vnquam in ſcribēdo prolixus: nam breues & Laconico more ſcriptæ ſunt omnes. Præterea victor cauſæ diſceſſit ex foro: cur autem poſt latam ſententiam detruſus in carcerem fuerit, poſterius dicetur; ſi prius quid in foro egerit, quídque de tonſura diſputauerit, enarrauero. Digna enim memoratu mihi talia viſa ſunt. Cùm iam biduò vinctus manſiſſet Apollonius, quidam in carcerem venit, opis ferendæ cauſa venire ſe dictitans, & de ſalute ſua conſilia afferre. Is erat genere Syracuſius, Domitiani verò conſiliorū omnium conſcius, adeò vt Imperatoris lingua, & mens appellaretur. Is iuxta Apollonium conſedit, ſicut antea alterum quoque feciſſe diximus: à ſermone autem probabiliore exorſus eſt: ille namque à remotioribus, hic autem à præſentibus rebus loquendi principium ſumens, O Dij, inquit, quis vnquam putaſſet Apollonium in carcerem detentum iri? Cui Apollonius, Idem, inquit, qui me detinet: niſi enim hoc putaſſet, vnquam vinxiſſet. Ille autem ſermonem proſequens, Quis vnquam ambroſias comas tonderi credidiſſet? Ego, inquit Apollonius, qui eas nutrierā. Quomodo autem hæc fers, inquit ille? cui Apollonius, Fero, inquit, vt decet eum, qui nec volens, nec inuitus ad hæc deuenerit. Crus autem, inquit ille, quomodo hæc ſuſtinet? Neſcio, inquit Apollonius; mens enim aliis intenta eſt. Verùm & ad dolendum ſolet eſſe mens. Minimè verò, ait Apollonius: mens enim quæ in homine eſt, aut non dolebit, aut do-

A μὲν διαθήκας τὰς ἑαυτοῦ, τῷ Ἰωνίῳ ἑρμηνεύει τρόπον. ἐπιστολῇ δὲ ἰάδι ξυγκειμένῃ οὔπω Ἀπολλωνίου προσέτυχον· καίτοι ξυνειληχὼς αὐτοῦ πλείστας. οὐδὲ μακρηγορίαν τοῦ ἀνδρὸς ἐν ἐπιστολῇ εὗρον. βραχεῖαι γὰρ, καὶ ἀπὸ σκυτάλης πᾶσαι. καὶ μὴν καὶ νικῶν τὴν αἰτίαν, ἀπῆλθε τοῦ δικαστηρίου. καὶ πῶς ἂν ποτ᾽ ἐδόκει* μετὰ τὴν ἀφεῖσαν ψῆ- (ἴσ. ἐδέθη μ.)
B φον; ἀλλὰ μή πω τὰ ἐν δικαστηρίῳ, ἔπι, καὶ τὰ ἐπὶ τῇ κουρᾷ, καὶ ἄττα διελέχθη, λεγέσθω πρότερον· ἄξια γὰρ σπουδάσαι. δυοῖν γὰρ ἡμέραιν δεδεμένου τοῦ ἀνδρὸς, ἀφικνεῖταί τις ἐς τὸ δεσμωτήριον, τὸ προσελθεῖν αὐτῷ ἐωνῆσθαι φάσκων, ξύμβουλος δὲ σωτηρίας ἥκειν. ἦν μὲν δὴ Συρακούσιος ἐστί. Δομετιανοῦ δὲ νοῦς τε, καὶ γλῶττα. κα-
C θεῖτο δ᾽ ὥσπερ ὁ πρότερος. ἀλλ᾽ ὑπὲρ πιθανωτέρων ἐστί. ὁ μὲν, γὰρ πόρρωθεν· ὅδ᾽ ἐκ τῶν παρόντων ἑλὼν, ὦ θεοὶ, ἔφη, τίς ἂν ᾠήθη δεθῆναι Ἀπολλώνιον; ὁ δήσας, εἶπεν. οὐ γὰρ ἂν εἰ μὴ ᾠήθη, ἔδησε. τίς δ᾽ ἂν τὰς ἀμβροσίας ποτὲ ἀποτμηθῆναι χαίτας; ἐγὼ, εἶπεν, ὁ κομῶν. φέρεις δὲ πῶς ταῦτα; ὡς
D γε εἰκὸς, εἶπε, τὸν μήθ᾽ ἑκουσίως, μήτ᾽ ἀκουσίως ἐς αὐτὰ ἥκοντα. τὸ δὲ σκέλος πῶς, ἔφη, καρτερεῖ; οὐκ οἶδα, εἶπεν. ὁ γὰρ νοῦς, πρὸς ἑτέροις ἐστί. καὶ μὴν πρὸς τὸ ἀλγοῦν, ἔφη, ὁ νοῦς. οὐ μὲν οὖν, εἶπε. νοῦς μὲν γὰρ ὅ γ᾽ ἀνδρὶ τοιῷδε, ἢ οὐκ ἀλγήσει, ἢ τὸ ἀλ-

γῶν παύσει. τί δὲ δὴ ἐνθυμεῖται ὁ νοῦς; αὐτὸ, εἶπε, τὸ ἐννοεῖν ταῦτα. πάλιν δ' αὐτοῦ τὰς χαίτας ἀνακαλοῦντος, καὶ περιάγοντος ἐς αὐτὰς τὸν λόγον, ὤνησω, ἔφη, νεανίσκε, μὴ τῶν ἐν Τροίᾳ ποτὲ Ἀχαιῶν εἷς γενόμενος· ὡς σφόδρα ἄν μοι δοκεῖς τὰς Ἀχιλλείους κόμας ὀλοφύρεσθαι, Πατρόκλῳ τμηθείσας, εἰ δὴ ἐτμήθησαν· καὶ λειποθυμῆσαι δ' ἂν ἐπ' αὐταῖς. εἰ* γὰρ τὰς ἐμὰς, ἐν αἷς ποτε πολιαί τε ἦσαν, καὶ αὐχμὸς, ἐλεεῖς φάσκεις, τί οὐκ ἂν πρὸς ἐκείνας ἔπαθες, τὰς ἠσκημένας τε, καὶ ξανθάς; τὸ δὲ, ἄρα ξὺν ἐπιβουλῇ ταῦτα ἐλέγετο, ἵν' ὑπὲρ ὧν ἀλγεῖ, μάθοι. καὶ νὴ Δία εἰ λοιδορεῖται τῷ βασιλεῖ, ὑπὲρ ὧν πέπονθεν ἀνακοπεὶς δ' ὑφ' ὧν ἤκουσε. διαβέβλησαι, ἔφη, πρὸς τὸν βασιλέα περὶ πλειόνων, μάλιστα δ' οἱ περὶ Νερούαν, ὡς ἀδικοῦντες φεύγουσιν. ἀφίκοντο μὲν γάρ τινες ἐς αὐτὸν διαβολαὶ, καὶ περὶ τῶν ἐν Ἰωνίᾳ λόγων, οὓς ἀντιξόως τε αὐτῷ, καὶ ἀπηχθημένως εἶπας. καταφρονεῖ δὲ τούτων ὥς φασιν, ἐπειδὴ πρὸς τὰ μείζω παροξύνεται. καίτοι τοῦ κἀκεῖνα διαβάλλοντος ἀνδρὸς ὑψοῦ προήκοντος τῆς δόξης. οἶδ', ἔφη, Ὀλυμπιονίκην εἴρηκας, εἰ δόξης φησὶν ἅπτεσθαι διαβολαῖς ἰσχύων. ξυνίημι δ' ὡς ἐστὶν Εὐφράτης, ὃν ἐγὼ οἶδα πάντ' ἐπ' ἐμὲ πράττοντα. ἠδίκημαι δ' ὑπ' αὐτοῦ καὶ μείζω ἕτερα. αἰσθόμενος γάρ ποτε φοιτήσειν μέλλοντα παρὰ τοὺς ἐν Αἰθιοπίᾳ γυμνοὺς, ἐς διαβολάς μου πρὸς αὐτοὺς κατέστη. καὶ εἰ μὴ τὴν ἐπιβουλὴν ξυνῆκα, τάχ' ἂν ἀπῆλθον μηδ' ἰδὼν τοὺς

κ. ἐς γ.

A lorem ſedabit. Quid autem cogitat mens? Hoc ipſum, inquit Apollonius, non cogitare talia. Cúmque ille de comis abſciſſis iterum quæreret, & orationem rurſus eò flecteret, Maximum, inquit Apollonius, donum conſecutus es, ô adoleſcens, quòd vnus ex Achiuis non fuiſti, qui quondam ad Troiam expugnãdam acceſſere: quàm grauiter enim tuliſſes Achillem Patroclo comas tondentem, ſi tamen totondit, quantóque dolore illarum cauſa fuiſſes B affectus? Nam qui meas iam canas, & ſordibus oblitas, tantopere miſeraris; non video quo pacto tolerare potuiſſes illas flauas & ornatas tonderi videns. Hoc autem ille inſidioſè obiecerat Apollonio, vt agnoſceret, pro quibus maximè doleret: & vtrum conuitia in regem iactaret, pro iis quæ paſſus fuerat; incertus etiam adhuc ob ea quæ audierat. De multis, inquit, apud regem accuſatus es, maximè verò propter eos C qui cum Nerua tanquam iniuſta paſſi (vt dicitis) exulant. Delatæ ſunt inſuper querelæ de ſermonibus, quos in Ionia inimicè aduerſus eum locutus es: verùm hæc omnia (vt aiunt) parui facit, quoniam propter maiora tibi iraſcitur, quamuis hæc ipſa magnæ autoritatis vir detulerit. Qualem, inquit Apollonius, Olympionicem mihi narras, ſi ex eo gloriam quærit, quòd in afferendis calumniis plurimùm valeat. D Agnoſco autem hunc eſſe Euphratem, quem ſcio aduerſus me omnia machinari. Sum autem ab eodem aliâs in rebus etiam grauiorib. perpeſſus iniuriam: nam cùm audiſſet quondã me in Æthiopiã ad Gymnoſophiſtas profecturum, apud illos me calũniatus eſt, & niſi eius inſidias præuidiſſem, ſine taliũ virorũ, & tam ſapiẽtum colloquio mihi fuerat

diſcedendum. Hæc verba Syracuſius admirans, An tu, inquit, minoris æſtimas apud regem accuſari, eidémque ex Euphratis verbis minus probari, quàm ſi apud Gymnoſophiſtas idem tibi contingat? Certè per Iouem, inquit Apollonius. Illuc enim diſcendi cauſa proficiſcebar, huc autem docẽdi gratia venio. Et quid, inquit, eſt, quod doceri vis? me virum bonũ probúmque eſſe, reſpondit Apollonius, hoc enim rex nondum ſciuit. At verò, inquit ille, officium tuum eſt, quæ ad te pertinent, bene diſponere, ipſúmq. ea docere, quæ ſi antea dixiſſes, quàm huc accederes, nunquam profectò vinctus fuiſſes. Agnoſcens autem Apollonius Syracuſij verba eodem, quò regis ſermones, tendentia, qui putabat, ſi eum vinculis liberaſſet, fore vt aliquid contra Neruam, eiúſq. comites mentiretur: O vir optime, inquit, ſi vera Domitiano loquens in carcere vinctus detineor, quid ſi eidem falſa dixero ſum paſſurus? Ei enim veritas carcere digna videtur, mihi autem mendacium.

A ἄνδρας. θαυμάσας οὖν ὁ Συρακούσιος τὸν λόγον, εἶτ', ἔφη, οὐ διαβληθῆναι βασιλεῖ, μεῖζον ἡγῇ τοῦ τοῖς γυμνοῖς, μὴ χρηστὸς ἂν, ἐξ ὧν Εὐφράτης καθίει δόξαι; νὴ Δί', εἶπεν. ἐκεῖ γὰρ μαθησόμενος ᾔα, ἐνταῦθα δὲ ὑπὲρ διδασκαλίας ἥκω. τῆς τί, ἔφη, διδασκούσης; τοῦ εἶναί με καλὸν, κἀγαθόν· τουτὶ δὲ ὁ βασιλεὺς οὔ- B πω οἶδεν, ἀλλ' ἔστι τὰ σεαυτοῦ εὖ θέσθαι. διδαξαμένῳ δ' αὐτὸν, ἃ καὶ πρὶν ἐνταῦθα ἥκειν λέξας, οὐκ ἂν ἐδέθης. ξυνιεὶς οὖν τοῦ Συρακουσίου ξυνελαύνοντος αὐτὸν ἐς τὸν ὅμοιον τῷ βασιλεῖ λόγον, οἰομένου τε ὡς ἀπαγορεύων πρὸς τὰ δεσμὰ, ψεύσεταί τι κατὰ τῶν ἀνδρῶν· ὦ βέλτιστε, εἶπεν, εἰ τἀληθῆ πρὸς Δομε- C τιανὸν εἰπὼν ἐδέθην, τί πείσομαι μὴ ἀληθεύσας; ἐκείνῳ μὲν γὰρ τἀληθὲς, δοκεῖ δεσμῶν ἄξιον, ἐμοὶ δὲ, τὸ ψεῦδος.

De Pythone oratore, & Demoſthene. Quóque modo Apollonius cùm eſſet in carcere è compede liberatum pedem Damidi oſtenderit, atque immiſerit iterum. Tum de incantationibus, & qui præcipuè illis vtantur. CAP. XVI.

HIS verbis captus Syracuſius, valde illum amabat, & tanquam verè philoſophantem admirabatur; ídque ſæpius verbis ſignificans è carcere diſceſſit. Apollonius verò Damidem reſpiciens, Intellexiſtíne, inquit, hunc Pythonem? Vidi, inquit Damis, ipſum tibi aſſidentem, & verbis (vt videbatur) ſeducere te conantem: ſed quid ſibi velut Pythonis nomen, non intelligo. Fuit, inquit Apollonius, By-

D ΟΜΕΝ δὴ Συρακούσιος ἀγασθεὶς αὐτὸν ὡς ὑπὲρ φιλοσοφοῦντα, ταυτὶ γὰρ εἰπὼν ἀπῆλθεν, ἐχώρει ἐκ τοῦ δεσμωτηρίου. ὁ δ' Ἀπολλώνιος ἰδὼν ἐς τὸν Δάμιν, ξυνίης, ἔφη, τοῦ Πύθωνος τούτου; ξυνίημι μὲν, εἶπε, καθημένου τε, καὶ ὑπαγομένου σε. τί δ' ὁ Πύθων βούλεταί σοι, καὶ τίς ὁ τοῦ ὀνόματος νοῦς, οὐκ οἶδα. ἐγένετο δὲ, ἔφη, Πύθων ὁ Βυ-

ζάντιος ἀγαθός φασι ῥήτωρ τὸ καταπείθειν. οὗτος ὑπὲρ Φιλίππου τοῦ Ἀμύντου πρεσβεύων παρὰ τοὺς Ἕλληνας ὑπὲρ τῆς δουλείας αὐτῶν, τοὺς μὲν ἄλλους, εἴα. ἀλλ' ἐν Ἀθηναίοις γε αὐτοῖς, ὅτε δὴ μάλιστα ῥητορικὴ ἔρρωτο, ἀδικεῖσθαί τε ὑπ' αὐτῶν ἔφασκε τὸν Φίλιππον, καὶ δεινὰ πράττειν Ἀθηναίους, τὸ Ἑλληνικὸν ἐλευθεροῦντας, ὁ Πύθων ταῦτα δημηγορέων, ὥς φασιν· ἀλλὰ Δημοσθένης ὁ Παιανιεὺς, ἀντειπὼν θρασυνομένῳ, μόνος τὸ ἀνακόψαι αὐτὸν πάλιν ἐν τοῖς ἑαυτοῦ λόγοις. ἐγὼ δὲ, τὸ μὴ ὑπαχθῆναί με ἐς ἃ ἐδόκει τούτῳ, οὐκ ἄν ποτε ἆθλον ἐμαυτοῦ φαίην· Πύθωνι δὲ αὐτὸν ταυτὸν πράττειν ἔφην, ἐπειδὴ τυράννου τε μισθωτὸς ἀφίκετο, καὶ ἀτόπων ξύμβουλος. διαλέγεσθαι μὲν δὴ τὸν Ἀπολλώνιον πλείω τοιαῦτα. ἑαυτὸν δὲ ὁ Δάμις ἀπορεῖν μὲν ὑπὲρ τῶν παρόντων φησί, λύσιν δ' αὐτῶν ὁρᾶν οὐδεμίαν, πλὴν ὅσαι παρὰ τῶν θεῶν εὐξαμένοις τισὶ, κἀκ πολλῶν χαλεπωτέρων ἦλθον. ὀλίγον δὲ πρὸ μεσημβρίας, ὦ Τυανεῦ, φάναι (σφόδρα γὰρ δὴ χαίρειν αὐτὸν τῇ προσρήσει) τί πεισόμεθα; ὅγε ἐπάθομεν, ἔφη. πέρα δὲ οὐδὲν, οὐδὲ ἀποκτενεῖ ἡμᾶς οὐδείς. καὶ τίς, εἶπεν, οὕτως ἄτρωτος· λυθήσῃ δὲ πότε; τὸ μὲν, ἐπὶ τῷ δικάσαντι, ἔφη, τήμερον. τὸ δὲ, ἐπ' ἐμοὶ ἄρτι. καὶ εἰπὼν ταῦτα, ἐξήγαγε τὸ σκέλος τοῦ δεσμοῦ· καὶ πρὸς τὸν Δάμιν, ἔφη, ἐπίδειξιν πεποίη-

A zantius quidam nomine Python orator (vt aiunt) ad perſuadendum aptiſſimus. Is à Philippo Amyntæ filio ad Græcos pro ipſorum ſeruitute legatus miſſus, ceteros quidem Græcos omiſit, ad Athenienſes autem quàm maximè poterat rhetorica arte, & dicendi vehementia vſus eſt, Philippũ dicens iniuria ab illis affici, & peruersè facere Athenienſes, qui Græciam aſſerere in libertatem tentarent. Hæc itaque & alia huiuſmodi
B aduerſus Atheniẽſes dicebat Pytho. Sed Demoſthenes Pæanicus magno animo contradicens ſe ſolùm huius vehemẽtiam auſum eſſe ferre in ſuis orationib. iactabat. Ego autem quòd eius oratione ſeductus non fuerim, quódque illi non aſſenſerim, nunquã præmio dignum me iudicabo; aſſerã tamen ipſum eadem, quæ quondam Python, eſſe conatũ, quippe qui tyranni mercenarius ad me venerit, abſurda iniuſtáque perſuadere adnitẽs.
C Et quidẽ Apollonius longo ſermone narrauit in hanc ſentẽtiam verba dicens: Damis autem rebus præſentib. vehementer ſe dubitaſſe refert, quòd earum exitum nullum videret, niſi quem Dij colentibus ipſos, adorantibúſque ex rebus etiam grauioribus plerunq. dederunt. Paulùm verò ante meridiem ipſum compellans Damis, O Tyanenſis, inquit, (gaudebat autem tali cognomine) quidnã paſſuri ſumus? Illud idem, inquit Apol-
D lonius, quod hactenus paſſi ſumus: finis autem nobis hic futurus non eſt, neque nos interficiet quiſquam. Et quis, inquit Damis, adeò inuulnerabilis eſt, vt interfici non poſſit? Ille autem ſermonem proſequens, Liberabimur autem, inquit, quoad eum, qui iudicaturus eſt hodie; quo ad me autem paulopoſt: atque hæc dicens exemptum è compede crus Damidi oſtendens, ait, Ego futuræ

libertatis indicium hoc tibi præmōſtrare volui: quapropter confide. & tunc primùm Damis ait indubitanter ſe cognouiſſe naturam Apollonij, quòd diuina eſſet, & ſupra hominem. Nam neque ſacrificiis peractis (quomodo enim in carcere id facere potuiſſet?) neque precibus, votíſque nuncupatis, vincula deriſerat, rurſúſque crure compedibus inſerto, itidem, atque ceteri vincti permanebat. Hæc autem ſtolidiores homines ad incātationes referunt, quas ad plurimas rerum humanarū proficere opinantur. Nam athletæ incantationes expetunt, & certatores omnes propter vincendi cupiditatem eaſdem colunt: quamuis ad victoriam conferre nihil poſſunt. Vbi enim à fortuna quandoque victoria prouenit, tunc infelices homines ab ea laudem auferentes, huic arti ipſam attribuunt, nec etiam ſuis cupiditatib. fraudati, fidem adhibere eiſdem deſinunt, & ſecum ipſi excuſationes huiuſmodi meditantur: ſi hos autem vapores incendiſſem, non caruiſſem profectò victoria. atq; hæc & verbis aſſerunt, & omnino ſic eſſe opinantur. Ad mercatorum etiam fores hæc ipſa accedit incantationū opinio. Nam eorum pleroſque comperimus pecunias ex mercatura quæſitas cōputare, vt incantatorib. congruas partes impendant, & aduerſitates, ſi quæ contingant, aut ex pecuniarum parſimonia, ſiue quòd non vt oportuit ſacrificarint, euenire arbitrātur. Maximè verò amatores attingere ars huiuſmodi videtur, qui cùm tam deceptibili morbo laborent, vt aniculis etiam pro eo leuando fidem adhibeant, mirandum non eſt, ſi ad huius artis profeſſores ſophiſtas accedētes, eorundem præceptis obtemperent; qui & balteum ipſis ferendum præbebunt, & lapillos,

A μαί σοι τῆς ἐλευθερίας τῆς ἐμαυτοῦ, καὶ θάῤῥει. τότε πρῶτον ὁ Δάμις φησὶν ἀκριβῶς ξυνεῖναι τῆς Ἀπολλωνίου φύσεως, ὅτι θεία τε εἴη, καὶ κρείττων ἀνθρώπου. μὴ γὰρ θύσαντα· πῶς γὰρ ἐν δεσμωτηρίῳ· μηδ' εὐξάμενόν τι, μηδὲ εἰπόντα καταγελάσαι τοῦ δεσμοῦ; καὶ ἐναρμόσαντα αὖ τὸ σκέλος, τὰ τοῦ δεδεμένου πράττειν; οἱ δὲ εὐηθέστεροι τῶν ἀνθρώπων, ἐς τοὺς

B γόητας ἀναφέρουσι ταῦτα· πεπόνθασι δ' αὐτὸ ἐς πολλὰ τῶν ἀνθρωπείων. δέονται μὲν γὰρ αὐτῆς ἀθληταί· δέονται δὲ ἀγωνισταὶ πάντες, διὰ τὸ νικᾶν γλίχεσθαι. καὶ ξυλλαμβάνει μὲν αὐτοῖς ἐς τὴν νίκην, οὐδέν. ἃ δὲ ἀπὸ τύχης νικῶσι, ταῦθ' οἱ κακοδαίμονες αὐτοὺς ἀφελόμενοι, λογίζονται τῇ τέχνῃ ταύτῃ. ἀπιστοῦσι δ'

C αὐτῇ οὐδ' ἡττώμενοι σφῶν. εἰ γὰρ τὸ δεῖνα ἔθυσα, καὶ τὸ δεῖνα ἐθυμίασα, οὐκ ἄν διέφυγέ με* ἡ νίκη. χ. μοι τοιαῦτα λέγουσι, καὶ τοιαῦτα οἴονται. φοιτᾷ δὲ καὶ ἐπὶ θύραις ἐμπόρων κατὰ ταυτά. καὶ γὰρ δὴ κἀκείνοις εὕροιμεν ἄν, τὰ μὲν χρήματα, τῆς ἐμπορείας λογιζομένοις τῷ γόητι, τὰ δὲ, ἄτοπα, τῇ αὑτῶν φειδοῖ, καὶ τῷ μὴ ὁπόσα ἔδει θῦσαι. ἀ-

D νῆπται* δὲ ἡ τέχνη τοὺς ἐρῶντας μάλιστα. σχολ. εἴληπται δ. νοσοῦντες γὰρ εὐπαράγωγον οὕτω νόσον, ὡς καὶ γραϊδίοις ὑπὲρ αὐτοῖς διαλέγεσθαι, θαυμαστὸν οἶμαι οὐδὲν πράττουσι, προσιόντες τοῖς σοφισταῖς τούτοις, καὶ ἀκροώμενοι σφῶν τὰ τοιαῦτα· οἱ κεστόν τε αὐτοῖς φέρειν διδόασι καὶ λίθους.

τοὺς μὲν, ἐκ τῶν τῆς γῆς ἀπορρήτων, A τοὺς δὲ, ἐκ σελήνης τε, καὶ ἀστέρων. γ. Ἰνδικὴ ἀρώματά τε, ὁπόσα ἡ Ἰνδῶν* κηπεύει. καὶ χρήματα μὲν αὐτοῖς λαμπρὰ ὑπὲρ τούτων πράττονται· ξυνδρῶσι δὲ οὐδέν. ἢν μὲν γὰρ παθόντων τι τῶν παιδικῶν πρὸς τοὺς ἐρῶντας, ἢ δώροις ὑπαχθέντων, προβαίνῃ τὰ ἐρωτικὰ, ὑμνεῖται ἡ τέχνη, ὡς ἱκανὴ πάντα. εἰ δ' ἀποτυγχάνοι ἡ πεῖρα, B ἐς τὸ ἐλλειφθὲν ἡ ἀναφορά. μὴ γὰρ τὸ δεῖνα θυμιᾶσαι, μηδὲ θῦσαι, ἢ τῆξαι· τουτὶ δὲ μέγα εἶναι, καὶ ἄπορον. οἱ μὲν οὖν τρόποι, καθ' οὓς καὶ διοσημίας, καὶ ἕτερα πλείω τερατεύονται, καὶ ἀναγεγράφαταί τισιν, οἳ ἐγέλασαν πλατὺ ἐς τὴν τέχνην· ἐμοὶ δ' ἀποπεφάνθω, μηδ' ἐκείνοις ὁμιλεῖν τοὺς νέους, ἵνα μηδὲ παίζειν τὰ τοιαῦτα C ἐθίζοιντο, ἀποχρῶσα ἡ ἐκτροπὴ τοῦ λόγου. τί γὰρ ἂν πλείω καθαπτοίμην τοῦ πράγματος, ὃ καὶ φύσει διαβέβληται, καὶ νόμῳ.

aut ex terræ viſceribus defoſſos, aut ex aſtris, lunáve (vt aiunt) direptos. aromata inſuper quæcunque in hortis Indorum naſcuntur: pecuniam etiam grandem horum cauſa afferri iubent: proſunt autem nihil: ſi enim qui amantur quacunque de cauſa erga amatores afficiantur, aut muneribus allecti, eiſdem obſequantur in amoribus; tunc ars ipſa laudatur, tanquam ad omnia ſufficiens: ſin verò eos fefellerit experientia, in aliquod omiſſum culpa refertur. Dicunt enim talem vaporationem, aut ſacrificium, libationémve defuiſſe: hoc autem magnum *quiddam*, *&* *arduum, atque imperuium eſſe.* Hi ergo modi, per quos diuina ſigna, & alia quæuis portenta procurant, quæque à cachinnonibus, & huius artis deriſoribus conſcripta ſunt; ego quoad fieri poteſt occulendos cenſui, nec inter adoleſcentes de ipſis quicquam eſſe loquendum, ne illis etiam ludi cauſa aſſueſcant. Sed iam digreſſio finem habeat. Quid enim amplius dicere attinet de iis, quæ natura ſimul, & lex diſci prohibent?

Damidem iuſſu Apollonij è carcere Puteolos quæ Δικαιαρχία *Græcè dicitur, ad Demetrium philoſophum ſe contuliſſe. Demum de puero Arcade ſummæ pulchritudinis adamato à Domitiano, atque in carcerem coniecto, quia mori potius pudicus adoleſcens, quàm turpia, & muliebria pati conſtituerat.* Cap. *XVII.*

Ἐνδειξαμένου δὲ τοῦ Ἀπολλωνίου τῷ D Δάμιδι ἑαυτὸν, καὶ πλείω διαλεχθέντος, ἐπέστη τις περὶ μεσημβρίαν, σημαίνων ἀπὸ γλώττης τοσαῦτα· ἀφίησί σε ὁ βασιλεὺς, Ἀπολλώνιε, τούτων τῶν δεσμῶν, Αἰλιανοῦ ξυμβουλεύσαντος· τὸ δὲ ἐλεύθερον δεσμωτήριον ξυγχωρεῖ οἰκεῖν, ἔς ἂν ἡ ἀπολογία· ἐς ἡμέραν δὲ ἴσως ἀπολογήσῃ πέμπτην. τίς οὖν, ἔφη,

Qvvm talem ſe Damidi monſtraſſet Apollonius, multáque inter ſe fuiſſent locuti, circa meridiē adueniens quidam, ſic locutus eſt. Rex te huiuſmodi vinculis liberat, Apolloni, Æliani conſiliis perſuaſus: & liberum tibi carcerem concedit habitandum, quoad tempus faciendæ defenſionis adueniat: quæ (vt arbitror) poſt quinque dies erit facienda. Quis igitur, ait Apollonius,

hinc me traducet? Ego, inquit ille: ſequere modò. Cùm ij, qui in libero carcere erant, Apollonium viderent, læti, atque alacres complectabantur, vtpote qui inſperantibus ipſis ad ſe rediiſſet. Sicut enim filij parentes deſiderant, à quibus comiter doceri, moneríq. conſuerunt, aut quæ ætate ſua contigerint audire: ſic illi deſiderabant Apollonium, ídque mutua congratulatione ſignificabant. Ipſe verò boni aliquid eis conſulere nunquam ceſſabat. Poſtridie Damidem vocans Apollonius, Mihi quidem ſtatuta die defenſio erit facienda: tu verò Puteolos pergas volo, meliúſque pedibus vade: atque vbi Demetrium ibi conueneris, ad mare te conuertere, vbi Calypſonis inſula eſt: illic enim apparere me videbis. Viuentém ne, inquit Damis, aut quo pacto? Tunc ridens Apollonius, Viuentem, inquit (vt ego puto) vt autem me exiſtimas rediuiuum, & ille quidem (vt ait) inuitus abiit, nec de eius vita deſperans omnino, nec rurſus de incolumitate eius multùm confidens. Cúmque die tertia Puteolos deueniſſet, de tempeſtate quæ maxima diebus illis in mari fuerat, audiuit. Nam ventus imbri commiſtus vehementius maria perturbauerat, ita vt nauium illuc tendentium alias demerſerit, alias in Siculum vſque fretum diſpulerit. Quapropter tum Damis intellexit cur pedibus vadere ſe iuſſiſſet Apollonius. Cætera autem quæ poſt hac ſcribentur ex Apollonio ſe audiuiſſe refert Damis, cum Demetrio, ſibique poſtmodum illa narraret. Adoleſcens quidam eximiæ pulchritudinis ex Meſſana quæ eſt in Arcadia (vt aiebat) oriundus Romam venerat. Hunc permulti quidem, ſed præ

A ὁ μετασκευάσων με ἐνθένδε; ἐγώ, εἶπε, καὶ ἕπου. καὶ ἰδόντες αὐτὸν οἱ ἐν τῷ ἐλευθέρῳ δεσμωτηρίῳ, περιέβαλον πάντες, ὡς οὐδ᾽ οἰηθεῖσιν αὐτοῖς ἐπανήκοντα. ὃν γὰρ δὴ πόθον ἴσχουσι πατέρος παῖδες, ἐς νουθετήσεις καθισταμένου σφίσιν ἡδείας τε, καὶ ξυμμέτρους, ἢ τὰ ἐφ᾽ ἡλικίας αὐτοῦ ἑρμηνεύοντος, τοῦτον κἀκεῖνοι τοῦ Ἀπολλωνίου εἶχον, καὶ ὡμολόγουν ταῦτα. ὁ δ᾽ οὐκ ἐπαύετο ἀεί τι ξυμβουλεύων. γρ. μεταγαγών με & κατακομίσας

B καλέσας δὲ τῆς ὑστεραίας τὸν Δάμιν, ἐμοὶ μὲν, ἔφη, τὰ τῆς ἀπολογίας, ἐς τὴν προειρημένην ἡμέραν ἔσται. σὺ δὲ, τὴν ἐπὶ Δικαιαρχείας βάδιζε· λῷον γὰρ πεζῇ ἰέναι. κἂν προσείπῃς Δημήτριον, στρέφου περὶ τὴν θάλατταν, ἐν ᾗ ἐστιν ἡ Καλυψοῦς νῆσος· ἐπιφανέντα γάρ ἐκεῖ ὄψει. ζῶντα, ἔφη, ὁ Δάμις, ἢ τί; γελάσας δὲ ὁ Ἀπολλώνιος, ὡς μὲν ἐγὼ οἶμαι, ζῶντα, εἶπεν· ὡς δὲ σὺ οἴει, ἀναβεβιωκότα.

C ὁ μὲν, δὴ ἀπελθεῖν φασιν ἄκων, καὶ μήτ᾽ ἀπογιγνώσκων ὡς ἀπολουμένου, μήτ᾽ εὔελπις, ὡς οὐκ ἀπολεῖται, καὶ τριταῖος μὲν * δὴ ἀπελθεῖν ἐς Δικαιαρχείαν, ἀκοῦσαι δὲ καὶ περὶ τοῦ χειμῶνος, ὃς περὶ τὰς ἡμέρας ἐκείνας ἐγένετο, ὅτι πνεῦμα ὑπόμβρον καταρραγὲν τῆς θαλάσσης, τὰς μὲν κατέδυσε τῶν νεῶν, αἳ ἐκεῖσε ἔπλεον. γρ. μὲν ἐλθ.

D τὰς δὲ, ἐς Σικελίαν τε, καὶ τὸν πορθμὸν ἀπεώσατο, καὶ ξυνεῖναι τότε ὑπὲρ ὅτου ἐκέλευσεν αὐτὸν πεζῇ κομίζεσθαι. τὰ ἐπὶ τούτοις ἀναγράφει Δάμις, ἐξ ὧν Ἀπολλωνίου φησὶν ἀκηκοέναι πρὸς Δημήτριόν τε, καὶ πρὸς αὐτὸν εἰπόντος. μειράκιον μὲν γὰρ ἐκ Μεσσήνης τῆς ἐν Ἀρκαδίᾳ περίβλεπτον ὥρᾳ, ἀφικέσθαι τι * ἐς τὴν Ῥώμην. ἐρᾶν δὲ αὐτοῦ γρ. ἐς ἱστ.

πολλοὺς μέν· Δομετιανὸν δὲ παρὰ πάντας. τοῖς δ' οὕτως ἐρᾶν, ὡς μηδὲ τὸ ἀντερᾶν ἐκείνῳ δεδιέναι. ἀλλ' ἐσωφρόνει τὸ μειράκιον, καὶ ἐφείδετο τῆς ἑαυτοῦ ὥρας. εἰ μὲν δὴ χρυσοῦ κατεφρόνησεν, ἢ χρημάτων, ἢ λίθων, ἢ ἵππων, ἢ τοιούτων δελεασμάτων, οἷς ὑπάγονται τὰ παιδικὰ ἔνιοι, ἢ ἐπαινῶ μὲν, χρὴ γὰρ οὕτω παρεσκευάσθαι τὸν ἄνδρα. ὁ δὲ, μειζόνων ἀξιωθεὶς ἂν, ἢ ὁπόσων πάντες, οὓς ὀφθαλμοὶ βασιλέων ἠσπάσαντο, οὐκ ἠξίου ἑαυτὸν, ὧν ἠξιοῦτο. ἐδέθη τοίνυν. τουτὶ γὰρ τῷ ἐραστῇ ἔδοξε. καὶ προσελθὼν τῷ Ἀπολλωνίῳ, βουλομένῳ μὲν τι λέγειν ἐῴκει, αἰδοῖ δὲ ξύμβουλον σιωπῆς ἔχων, οὔπω ἐθάῤῥει. ξυνιεὶς οὖν ὁ Ἀπολλώνιος, σὺ μὲν οὐδ' ἡλικίαν πω τοῦ ἀδικεῖν ἄγων, καθεῖρξαι, ἔφη, καθάπερ ἡμεῖς οἱ δεινοί. καὶ ἀποθανοῦμαί γε, εἶπε. τὸ γὰρ σωφρονεῖν, θανάτου τιμῶνται οἱ ἐφ' ἡμῶν νόμοι· καὶ οἱ ἐπὶ Θησέως, εἶπε. τὸν γὰρ Ἱππόλυτον ἐπὶ σωφροσύνῃ ἀπώλλυ ὁ πατὴρ αὐτοῦ. αὐτὸς κἀμὲ, εἶπεν, ὁ πατὴρ ἀπολώλεκεν. ὄντα με γὰρ Ἀρκάδα ἐκ Μεσσήνης, οὐ τὰ Ἑλλήνων ἐπαίδευσεν, ἀλλ' ἐνταῦθα ἔστειλε μαθησόμενον ἤθη νομικά· καί με ὑπὲρ τούτων ἥκοντα, ὁ βασιλεὺς κακῶς εἶδεν. ὁ δ' ὥσπερ οὐ ξυνεὶς ὃ λέγει, εἰπέ μοι, ἔφη, μειράκιον, μὴ γλαυκὸν ἡγεῖταί σε ὁ βασιλεὺς, καί τοι μελανόφθαλμον ὡς ὁρῶ ὄντα; ἢ στρεβλὸν τὴν ῥῖνα, καί τοι τετραγώνως ἔχοντα, καθάπερ τῶν Ἑρμῶν οἱ γεγυμνασμένοι; ἢ τὴν κόμην

A cæteris omnibus Domitianus amabat. Ceterùm alij ſic amabantur, vt admodum ab eodem non redamari timerent. Verùm ipſe adoleſcens formæ ſuæ, & pudicitiæ parcens, cum modeſtia ſumma degebat: itaque quòd aurum, & pecunias contempſerit, gemmáſque & equos, atque alia, quibus adoleſcentes, vt amatoribus indulgeant, adduci ſolent, inter laudes non enumero: ſic enim decet virum eſſe diſpoſitum: ſed iis maioribus præmiis B ſollicitatus quàm omnes alij, quos vnquã oculi regum concupiuerint, indignum ſe iis, quæ offerebantur, reſpondebat. Quapropter amatoris iuſſu in carcerem coniectus eſt: & ad Apollonium veniens dicere aliquid velle videbatur, ſed ob pudorem loqui non audebat. Quòd cùm animaduertiſſet Apollonius, Quid cauſæ eſt, inquit, cur tu nihil propter ætatem adhuc mali potens operari, perinde ac nos infelices, in C carcere detineris? Imo etiam moriar, inquit ille. Temperantiam namque leges noſtræ morte plectunt. Non noſtræ ſolùm, inquit Apollonius, ſed etiam quæ quondam apud Theſeum fuere. Hippolytum namque temperantiæ cauſa pater interemit. Me quoque, inquit ille, pater itidem perdidit. Nam Meſſanæ, quæ eſt in Arcadia, natum, literas Græcas non docuit, ſed huc miſit, vt legitima iura perdiſcerem: venien- D tem autem rex malè me vidit. Tunc Apollonius quaſi non ſatis intelligens quid ille diceret, Dic, inquit, ô adoleſcens, num te cœruleis oculis eſſe rex putauit, cùm eoſdẽ (vt video) nigros habeas: aut obtorto naſo eſſe iudicauit, cùm eundem *quadratũ*, & bene compactum habeas, non ſecus atque artificiosè fabricata Mercurij ſimulachra? aut comam

aliter ſe habere opinatus eſt, cùm *ſolis in modum candicet & ſuffulgeat.* aut os fortè tam egregiè formatum, vt ſilentio, paritérque ſermoni ſit accommodatum, non ei tale viſum eſt? Collum autem his omnibus ferendis idoneum, & *libertatem ingenuitatémque* præ ſe ferens, aliter ſeſe habere viſum eſt regi, ac propterea malè ab illo viſum te eſſe dicis? Imò verò hoc ipſum me perdidit: compulſus enim ad me amandum, abſtinere non patitur ab iis, quæ amat, ſed meam pudicitiam violare nititur, perinde atque ij, qui mulieres amant. Admirans autem illum Apollonius, quàm obſcœnum dormire cum amatore putaret, & verum turpe, an non id eſſe cenſeret, atque alia huiuſmodi interrogare noluit, quoniam erubeſcere Arcadem, & ob pudorem ſubmiſſius loqui animaduertit. Interrogauit autem an in Arcadia ſeruos vllos poſſideret. Certè per Iouem, inquit ille, & quidem plurimos. Quis igitur, inquit Apollonius, his te præfecit? Leges, inquit ille. Nam per leges eorum dominus ſum. *An verò dominis parere ſeruos oportet, an iis aduerſari quæ placent iis*, qui eorum corpori dominantur? Ille autem aduertens, quorſum facienda reſponſio tenderet, Tyrannorum, inquit, vim inſuperabilem, imminentémque eſſe audiui: propterea liberis imperare volunt. mei autem corporis dominus ego ſum, illúdque inuiolatum ſeruabo. Et quo pacto, inquit Apollonius, cum amatore negocium habens, qui gladio contra tuam pulchritudinem laſciuit? Ego, inquit ille, ceruicem potius præbebo. Illam namque gladius appetit. Ipſum igitur collaudans

ἑτερόν τι, παρ' ὃ ἔστιν; ἔστι δ' οἶμαι ἡλιῶσά τε, καὶ ὑποφαίνουσα. καὶ μὴν καὶ τὸ στόμα οὕτω ξύμμετρον, ὡς καὶ σιωπῇ πρέπειν, καὶ λόγῳ. δέρη τε τούτοις ἐλευθέρα, καὶ φρονοῦσα. τί οὖν ἕτερον τούτων ὁ βασιλεὺς ἡγεῖταί σε, ἐπειδὴ κακῶς ὑπ' αὐτοῦ λέγεις ὦφθαι; αὐτό με τοῦτο ἀπολώλεκεν. ὑπαχθεὶς γάρ μου ἐρᾶν, οὐ φείδεται, ὧν ἐπαινεῖ, ἀλλ' αἰσχύνειν* διανοεῖταί με, ὥσπερ οἱ τῶν γυναίων ἐρῶντες. ἀγασθεὶς δ' αὐτὸν ὁ Ἀπολλώνιος, τὸ μὲν ξυγκαθεύδειν ὅ,τι ἡγοῖτο, καὶ εἰ αἰσχρὸν τοῦτο, ἢ μή· καὶ τὰ τοιαῦτα τῶν ἐρωτημάτων, παρῆκεν· ἐπειδὴ τὸν ἐρυθριῶντα ἑώρα τὸν Ἀρκάδα, καὶ κεκοσμημένως φθεγγόμενον· ἤρετο δ' αὐτὸν ὧδε. κέκτησαι τινὰς ἐν Ἀρκαδίᾳ δούλους; νὴ Δί', ἔφη, πολλούς γε. τούτων οὖν τίνα, εἶπεν, ἡγῇ σεαυτόν; ὅ γε, ἔφη, οἱ νόμοι. δεσπότης γὰρ αὐτῶν εἰμι. δεσποτῶν δ', εἶπεν, ὑπηκόους εἶναι δούλους χρή, ἢ ἀπαξιοῦν, ἃ δοκεῖ τοῖς σώματος κυρίοις; ὁ δ' ἐνθυμηθεὶς ἐς οἵαν ἀπόκρισιν περιάγοιτο, ἡ μὲν τῶν τυράννων ἰσχὺς, ἔφη, ὡς ἄμαχός τε, καὶ χαλεπὴ, οἶδα. δι' αὐτῶν γάρ πω καὶ δεσπόζειν τῶν ἐλευθέρων βούλονται. τοῦ ἐμοῦ σώματος ἐγὼ δεσπότης, καὶ φυλάξω αὐτὸ ἄσυλον. πῶς εἰπέ; πρὸς ἐραστὴν γάρ σοι ὁ λόγος, κωμάζοντα μετὰ ξίφους ἐπὶ τὴν σὴν ὥραν; τὸν τράχηλον, ἔφη, ὑπόσχω μᾶλλον. ἐκείνου γὰρ δεῖ τῷ ξίφει. ἐπαινέσας δ' αὐτὸν

* ἴσ. αἰσχύνειν

A ὁ Ἀπολλώνιος, Ἀρκάδα σε, ἔφη, ὁρῶ. καὶ μὴν τοῦ μειρακίου τούτου καὶ ἐν ἐπιστολῇ μέμνηται, καὶ διαγράφει αὐτὸν πολλῷ ἥδιον, ἢ ἐγὼ ἐνταῦθα, σωφροσύνης τε ἐπαινῶν πρὸς ὃν γράφει, φησὶ, τὸ μειράκιον τοῦτο μὴ δὴ ἀποθανεῖν ὑπὸ τοῦ τυράννου. θαυμασθὲν δὲ τῆς Ῥώμης, ἐπὶ

B Μαλίαν πλεῦσαι, ζηλωτὸς τοῖς ἐν Ἀρκαδίᾳ μᾶλλον, ἢ οἱ τὰς τῶν μαστίγων καρτερίας* παρὰ Λακεδαιμονίοις νικῶντες.

γ. καρτερίας τ.

Apollonius, Arcadem, inquit, te eſſe video. Huius autem adoleſcentis ipſe in epiſtola quadam meminit, eúmque latius, accuratiúſque deſcribit, quàm ego hoc loco fecerim, atq; eius temperantiam laudabiliter extollere dicit. Adoleſcens is à tyranno non eſt interfectus, ſed cùm Romam non ſine admiratione ſumma vidiſſet, ad Maleam nauigauit, ab Arcadibus magis coli dignus, quàm qui propter plagarum tolerantiam victores apud Lacedæmonios prædicantur.

ΦΙΛΟ-

ΦΙΛΟΣΤΡΑΤΟΥ ΕΙΣ ΤΟΝ ΑΠΟΛΛΩΝΙΟΥ ΤΟΥ ΤΥΑΝΕΩΣ ΒΙΟΝ, ΒΙΒΛΙΟΝ Η'.

PHILOSTRATI DE VITA APOLLONII TYANEI, LIBER OCTAVVS.

Inter ducendum in iudicium quid cum ſcriba, à quo ducebatur, locutus fuerit Apollonius de philoſophia, de iudicio, de aqua, ad cuius menſuram loquebantur rei, hoc eſt ad Clepſydram, quod Græci dicunt, μετρεῖν ὕδωρ, ἢ πρὸς ὕδωρ λέγειν, id eſt, metiri aquam, vel ad aquam dicere.

CAPVT PRIMVM.

NVNC ad tribunal accedamus audituri virum de illatis criminibus ſe defendẽtem. Cùm enim Sol iam eſſet exortus, patefactus eſt nobilioribus viris aditus in prætorium: & qui cum rege verſabantur, aſſerebant illũ præterita die nihil omnino comediſſe, cùm nimirũ examinaret accuratius ea, quæ in accuſatione continerentur. Habebat enim in manibus libellum, vbi ſcripta erat accuſatio: & alia quidem cum iracundia quadam, alia placatiore animo legebat. Fingere porrò debemus animo virum legib. inimicum, quia prætorij meminimus. Ex alia verò parte occurremus viro, qui ſe potius diſputaturum, quàm cauſam capitis dicturum arbitrabatur, quòd ſatis concipi poteſt ex iis, quæ egit antea quàm prætorium ingrederetur. Cùm enim ad tribunal accederet, interrogauit ſcribam, quo-

A ΙΩΜΕΝ ἐς τὸ δικαστήριον, ἀκροασόμενοι τοῦ ἀνδρὸς ἀπολογουμένου ὑπὲρ τῆς αἰτίας. Ηλίου γὰρ ἐπιτολαὶ ἤδη, καὶ ἀνεῖται τοῖς ἐλλογίμοις ἡ ἐς αὐτὸ πρόσοδος. τὸν βασιλέα τε οἱ ξυνδιαιτώμενοί φασι μηδὲ σίτου χθὲς ἅψασθαι, διορῶντα οἶμαι τὰ
B ἐν τῇ δίκῃ· καὶ γάρ τοι καὶ βιβλίον πρόχειρον ἔχειν αὐτὸν, τὰ μὲν, ξὺν ὀργῇ, τὰ δὲ, ἧττον. ἀνατυποῦσθαι δὲ χρὴ οἷον ἀχθόμενον τοῖς νόμοις, ἐπειδὴ εὗρον δικαστήρια. ἐντευξόμεθα δὲ καὶ τῷ ἀνδρὶ, διαλέξεσθαι* ἡγουμένῳ μᾶλλον, ἢ δρα- * διαλεχθῆναι
C μεῖσθαί τινα ὑπὲρ τῆς ψυχῆς ἀγῶνα. τουτὶ δ' ἂν τεκμηραίμεθα τοῖς γε πρὸ τοῦ δικαστηρίου. προϊὼν γὰρ, ἤρετο τὸν γραμματέα, ὑφ' οὗ ἤγετο, οἷ

βαδίζοιεν. τοῦ δὲ, ἐς τὸ δικαστήριον ἡγεῖσθαι αὐτῷ φήσαντος, δικάσομαι, ἔφη, πρὸς τίνα; πρός γε τὸν σεαυτοῦ, ἔφη, κατήγορον. δικάσει δὲ ὁ βασιλεύς· ἐμοὶ δὲ, ἔφη, καὶ τῷ βασιλεῖ, τίς ὁ δικάσων; δείξω γὰρ αὐτὸν φιλοσοφίαν ἀδικοῦντα. καὶ τίς, εἶπε, βασιλεῖ φιλοσοφίας λόγος, κἂν ἀδικῶν ταύτην τύχῃ; ἀλλὰ φιλοσοφίᾳ πολὺς, ἔφη, βασιλέως, ἵν᾽ ἐπιτηδείως ἄρχοι. ἐπαινέσας δὲ ὁ γραμματεὺς (καὶ γὰρ δὴ καὶ μετρίως διέκειτο πρὸς τὸν Ἀπολλώνιον, ὡς καὶ κατ᾽ ἀρχὰς ἐδείκνυ) πόσῳ δὲ, εἶπε, τὸν λόγον διαμετρήσεις ὕδατι; τουτὶ γάρ με χρὴ πρὸ τῆς δίκης εἰδέναι. εἰ μὲν ὁπόσα, ἔφη, ἀπαιτεῖ ἡ δίκη, ξυγχωρεῖ μοι λέγειν, οὐκ ἂν φθάνοι διαμετρηθεὶς οὐδὲ ὁ Θύμβρις. εἰ δὲ ὁπόσα εἰρήσεται μέχρι τοῦ ἀποκρινομένου ὁ ἐρωτῶν, ἐναντίας, εἶπεν, ἀρετὰς ἐπήσκησας, βραχυλογεῖν τε, καὶ μακρηγορεῖν ὑπὲρ τῶν αὐτῶν φάσκων. οὐκ ἐναντίας, ἔφη, ἀλλ᾽ ὁμοίας. ὁ γὰρ θατέρου ἱκανὸς, οὐδὲν ἂν θατέρου λείποιτο. καὶ ξυμμετρία δὲ ἀμφοῖν ξυγκειμένη, τρίτη μὲν οὐκ ἂν φαίην, πρώτη δ᾽ ἂν εἴη ἀρετὴ λόγου. ἐγὼ δὲ καὶ τὸ σιωπᾶν ἐν δικαστηρίῳ, τετάρτην ἀρετὴν οἶδα. ἀνόητόν γε, εἶπε, σεαυτῷ, καὶ παντὶ τῷ κινδυνεύειν μέλλοντι. καὶ μὴν καὶ Σωκράτην, ἔφη, τὸν Ἀθηναῖον μάλα * ὤνησεν, ὅτ᾽ ἔφυγε τὴν γραφήν. καὶ πῶς ὤνησεν, εἶπε, τὸν ἐπειδὴ ἐσιώπα, ἀπο-

* γ. μέγα.

A quandam habere: mundum autem, qui opifici Deo adiacet, omnia, quæ in cœlo, terráque, & mari ſunt exiſtimare debemus; cuius etiam homines præter fortunæ rationem ſunt participes. Eſt autem in bono viro mundus quidã ſapientiæ menſuram non excedens, quem tu etiam ô rex, fateberis indigere viro, qui Deo ſit ſimilis. Verùm * huius mundi figuram inordinatæ animæ furioſius attingentes omnia perturbant, & varias leges ſibi ipſis fin- B gentes, temperantiam minimè ſeruant. Quapropter Deos meritis honoribus non venerantur, & garrulam loquacitatem, & viuendi delitias ſectantur, ex quibus otium naſcitur, cuiuſlibet operis peruerſus conſiliarius: animæ autem quaſi ebriæ factæ ad multa nefanda proſiliunt: nec illarum compeſcere laſciuiam aliquid poteſt, etiam ſi omnes potiones ebibant, quæcunque velut mandragora ſomno inducen- C do putantur accommodatæ: ſed viro opus eſt, qui gubernet eum, quem circa ipſas diximus etiam eſſe mundum. hunc autem à ſapientia quaſi Deum factum eſſe oportet. Is itaque ſufficiens erit ab amoribus reuocare, ad quos impetuoſius feruntur, quàm communis conſuetudo patiatur. Ab auaritia quoque deterrebit, ob quam ſatis ſe habere nunquam dicunt, & affluentibus diuitiis os nunquam occludunt. Cohibere D autem ne ſe cædibus inquinent, tali viro forſitan impoſſibile non erit: purgare autem ab ipſis, atq; expiare, neque mihi impoſſibile eſt, nec omnium rerum opifici Deo. Eſt etiam in accuſatione poſita, ô rex, Epheſus à peſte liberata; in quo velim ita me iudicet Ægyptius, ſicut accuſationi conuenit. Eſt enim accuſatio fermè talis quædam.

Apud Celtas, aut Scythas, fluuiorum Iſtri, ſeu Rheni accolas, ciuitas quædam poſita eſt, nihil minor Epheſo, quæ eſt in Ionia. Hanc barbarorum receptaculum, & hominum imperio tuo non obtemperantium, *peſte graſſante* liberauit Apollonius. Eſt autem ſapienti viro talis etiam accuſationis defenſio quædam, ſi dixerit regem ſuos hoſtes non *morbis*, ſed armis velle delere: quanquam, nec abs te rex, nec à me ſit vſquam ciuitas illa deleta: neque te exoptare puto ciuitati cuipiam peſtem, ob quam videas ægrotos ante templa expoſitos iacere. Sed vtcunque ſit, omittantur quæ ad Barbaros attinent, nec illis remedia curemus afferre, dum immanes & implacabiles ſint, & noſtro generi inimiciſſimi: Epheſum verò quis negabit liberari oportuiſſe, quæ generis principium ab Attica puriſſima ducens, ſupra omnes Ioniæ, Lydiæve ciuitates adaucta eſt? Prominet autem mari, quod terram ambit, in qua ipſa poſita eſt. Abundat autem bonarum artium ſtudiis & philoſophis, oratoribúſque redundat: vt verè dici poſſit eam ciuitatem non equitum robore, ſed clarorum hominum millibus ceteras ſuperare, & in ea plurimùm vigere ſapientiam. Quis igitur pro talis vrbis ſalute diſcrimen quodcunque ſubire non auderet? præſertim cùm animaduerterit Democritũ Abderitas quõdam à peſte liberaſſe: & Athenienſem Sophoclẽ meminerit, qui ventos demulſiſſe fertur, non opportuno tempore regionem perflantes: aut illa audierit, quæ de Empedocle prædicantur, qui nebulæ in Agrigentinos diffuſæ *vehementiam* compeſcuit. Verùm hoc loco me vrget accuſator. Audiſti enim,

A περὶ Σκύθας, καὶ Κελτούς, οἳ ποταμὸν Ἴστρον, ἢ Ῥῆνον οἰκοῦσι, πόλις ᾤκισται, μείων οὐδὲν Ἐφέσου τῆς τῆς ἐν Ἰωνίᾳ. ταύτην ὁρμητήριον βαρβάρων οὖσαν, οἳ μὴ ἀκροῶνταί σου, λοιμὸς μέν τις ἀπολεῖν ἔμελλεν· Ἀπολλώνιος δὲ ἰάσατο. ἔστι μὲν γάρ τις καὶ πρὸς ταῦτα ἀπολογία σοφῷ ἀνδρὶ, ἢν ὁ βασιλεὺς τὸ ἀντίξοον, ὅπλοις, ἀλλὰ μὴ νόσοις αἱρεῖν βούληται. B μὴ γὰρ ἐξαλειφθείη πόλις μηδεμία, μήτε σοὶ, βασιλεῦ, μήτε ἐμοί. μήτε ἴδοιμι πρὸς ἱεροῖς νόσον, δι᾽ ἣν οἱ νοσοῦντες ἐν αὐτοῖς κεῖσονται. ἀλλὰ μὴ ἔστω ἐν σπουδῇ τὰ βαρβάρων, μηδὲ ἰώμεθα αὐτοὺς ἐς τὸ ὑγιαῖνον, πολεμιωτάτους ὄντας, καὶ οὐκ ἐκσπόνδους τῷ περὶ ἡμᾶς γένει. τὴν δὲ Ἔφεσον, τίς ἀφαιρήσεται τοῦ σώζεσθαι, βεβλημένην μὲν τὰς ἀρχὰς τοῦ γένους C ἐκ τῆς καθαρωτάτης Ἀτθίδος, ἐπιδεδωκυῖαν δὲ παρὰ πάσας, ὁπόσαι Ἰωνικαί τε, καὶ Λύδιοι· προβεβληκυῖαν δὲ ἐπὶ τὴν θάλατταν, διὰ τὸ ὑπερήκειν τῆς γῆς, ἐφ᾽ ἧς ᾤκισται· μεστὴν δὲ φροντισμάτων οὖσαν, φιλοσόφων τε, καὶ ῥητορικῶν, ὑφ᾽ ὧν ἡ πόλις, οὐχ ἵππῳ, μυριάσι δὲ ἀνθρώπων ἰσχύει, σοφίαν ἐπαινοῦσα; τίς δ᾽ ἂν σοφὸς ἐκλιπεῖν σοι δοκεῖ τὸν ὑπὲρ πόλεως τοιαύτης ἀγῶνα· ἐνθυ- D μηθεὶς μὲν Δημόκριτον ἐλευθερώσαντα λοιμοῦ ποτὲ Ἀβδηρίτας· ἐννοήσας δὲ Σοφοκλέα τὸν Ἀθηναῖον, ὃς λέγεται καὶ ἀνέμους θέλξαι, τῆς ὥρας ὑπερπνεύσαντας· ἀκηκοὼς δὲ τὰ Ἐμπεδοκλέους, ὃς νεφέλης αὖ ἔσχε φορὰν, ἐπ᾽ Ἀκραγαντίνους ῥαγείσης. ἐπικόπτει με ὁ κατήγορος; ἀκούεις γάρ που καὶ σύ,

ὦ βασιλεῦ, καί φησιν, οὐκ ἐπειδὴ σωτηρίας αἴτιος Ἐφεσίοις ἐγενόμην γράφεσθαί με, ἀλλ' ἐπειδὴ προεῖπον ἐμπεσεῖσθαι σφίσι τὴν νόσον· τουτὶ γὰρ ὑπὲρ σοφίαν εἶναι, καὶ τερατῶδες τὸ ἐπὶ τοσόνδε ἀληθείας, οὐκ ἂν ἐφικέσθαι με, εἰ μὴ γόης τε ἦν, καὶ ἀπόρρητος. τί γοῦν ἐνταῦθα ἐρεῖ Σωκράτης, ὑπὲρ ὧν ἔφασκε τοῦ δαιμονίου μανθάνειν; τί δὲ Θαλῆς τε, καὶ Ἀναξαγόρας, τὼ Ἴωνε, ὁ μὲν, εὐφορίαν τὴν τῶν ἐλαιῶν, ὁ δὲ πολλὰ τῶν οὐρανίων παθῶν προειπόντε, ἢ γοητεύοντε, προειπεῖν ταῦτα; καὶ μὴν καὶ ὑπήχθησαν οὗτοι δικαστηρίοις ἐφ' ἑτέραις αἰτίαις, καὶ οὐδαμοῦ τῶν αἰτιῶν εἴρηται γόητας εἶναι σφᾶς, ἐπειδὴ προγιγνώσκουσι. καταγέλαστον γὰρ τοῦτο ἐδόκει, καὶ οὐδ' ἐν Θετταλίᾳ πιθανὸν κατ' ἀνδρῶν λέγεσθαι σοφῶν, οὗ τὰ γύναια κακῶς ἤκουσεν ἐπὶ τῇ τῆς σελήνης ἕλξει. πόθεν οὖν τοῦ περὶ τὴν Ἔφεσον ἀήθους ᾐσθόμην; ἤκουσας μὲν καὶ τοῦ κατηγόρου εἰπόντος, ὅτι μὴ κατὰ τοὺς ἄλλους διαιτῶμαι, κἀμοὶ δὲ ὑπὲρ τῶν ἐμαυτοῦ σιτίων, ὡς λεπτὰ, καὶ ἡδίω τῆς ἑτέρων συβαρίσεως, ἐν ἀρχῇ εἴρηται. τοῦτό μοι, ὦ βασιλεῦ, τὰς αἰσθήσεις ἐν αἰθρίᾳ τινὶ ἀπορρήτῳ φυλάττει· κοὐκ ἐᾷ θολερὸν περὶ αὐτὰς οὐδὲν εἶναι, διορᾶν τε, ὥσπερ ἐν κατόπτρου αὐγῇ, πάντα γιγνόμενά τε, καὶ ἐσόμενα. οὐ γὰρ περιμενεῖ γε ὁ σοφὸς τὴν γῆν ἀναθυμιῶσαν, ἢ τὸν ἀέρα διεφθορότα, ἢν τὸ δεινὸν ἄνωθεν ῥέῃ, ἀλλὰ ξυνήσει αὐτῶν καὶ ἐπὶ θύραις ὄντων, ὕστερον μὲν, ἢ θεοὶ, θᾶττον δὲ,

A ô rex, quandoq. dicentem, quòd non propterea me accuſat, quia ſalutem Epheſiis attulerim; ſed quia peſtem ipſos inuaſurā eſſe prædixerim. Hoc enim admirabile quid eſſe, & omniū excedere ſapiētiam dicit, adeò vt niſi incantator eſſem præcipuus, huc attingere veritatis non potuerim. Quid igitur hoc loco Socrates dicit, de iis quæ à dæmone prædiſcere ſe dicebat? Quid Iones duo Thales, & Anaxagoras, quorum ille quidem olearū abundantiā, alter cœleſtium portentorum multa prædixit, num incantationibus eos talia præſciſſe dicemus? B Verumenimuerò ii, quos diximus, ob crimina in iudicium à calumniatoribus vocati fuerunt, nuſquā tamen in accuſationib. dictum reperitur incātatores ipſos eſſe. Ridiculum enim id eſſe videbatur, & ne in Theſſalia quidem credibile, vt à ſapiētib. viris tale aliquid diceretur; quamuis illic mulierculis dicāt probro dari, quòd Lunam è cœlo detraxerint. Vnde igitur Epheſiorum incōmoda præſenſiſti? dicet quiſpiā. Huius autem rei facilis, C & in prōptu eſt excuſatio, cùm ex accuſatore nuper, ô rex, audieris, quod non eodē cum aliis victu vtar, & me paulo ante dicere animaduertiſti, quā leuib. quámq. terreſtrib. cibariis veſcerer, quæ mihi longè ſunt iucūdiora, quā lautæ, & apparatiſſimæ aliorū dapes. Hoc igitur, ô rex, admirabilē quandam, & arcanā perſpicacitatem ſenſib. tribuit, nec turbidum quicquā, aut obſcurū circa ipſos manere patitur, facítq. vt tanquā in ſpeculi claritate cūcta perſpiciā tam facta, quàm etiam futura. Neque enim expectabit ſapiens euaporantem terrā, aut aërem corruptum, aut graue aliquid deſuper adueniat; ſed hæc omnia intelliget, quamuis adhuc in foribus, vt aiunt exiſtentia; poſterius certè, quàm Dij, citius tamen, D

A quàm plerique hominum. Dij namque futura, homines verò *ea quæ* fiũt, ſapiẽtes verò *quæ inſtant,&* accedunt, ſentiunt. Peſtis autem cauſas, ô rex, ſi fortè ſcire volueris, ſeorſum interrogabis. Sunt enim ſapientiæ profundioris, quàm vt proferri in vulgus mereantur. Hæc *ergo* victus frugalitas, & ſobrietas, non modò ſenſuum perſpicacitatem gignit, ſed vim quandam ad res maximas, & admirabiles percipiẽdas. Videre autem quod dico licet, cùm ex aliis multis, tum ex iis, quæ Epheſi circa imminentem morbum, & morbi ſpeciem agnoſcendã peregi. Mendico namque ſeni ſimile erat monſtrum illud: id autem ego vidi, & videns patefeci, neque ſedaui morbum, ſed funditus abſtuli. Quem verò Deorũ vt opem afferret, ſim precatus, declarat templum Epheſi huius rei gratia auerſori Herculi dedicatum. Ipſum namque auxiliatorem elegi, qui cùm fortis eſſet, ac ſapiens Helidem quandoq; morbo liberauerat, euaporationes *defæcans*, quæ à terra proueniebant; contra Augiam irrumpens dominãtem. Quis igitur incantationũ amator tibi viſus eſt vnquam, qui Deo tribuat, quod ipſe fecerit: aut quæ artis miracula quærit is, qui ſi quid admirabile factum ſit, à Deo fateretur proceſſiſſe? Quis autem incantator Herculẽ inuocaſſet? Talia namque infelices homines ſacra in terræ barathris faciunt, & terreſtribus Diis ſacrificant, in quorum numero Herculem poneret nemo. Eſt enim purus, & hominum generi beneuolus. Eundem quoque & in Peloponneſo ſum precatus, vbi penes Corinthum Lamia obuerſabatur, formoſiores adoleſcentulos deuorans. Ego tamẽ certamen ſuſcepi, non magna, admirandáve munera poſcens,

ἢ οἱ πολλοί. θεοὶ μὲν γὰρ μελλόντων, ἄνθρωποι δὲ γιγνομένων, σοφοὶ δὲ προσιόντων αἰσθάνονται. λοιμῶν δὲ αἰτίας ἰδίᾳ, βασιλεῦ, ἐρώτα. σοφώτεραι γὰρ, ἢ ἐς τοὺς πολλοὺς λέγεσθαι. ἆρ' οὖν τὸ οὕτω διαιτᾶσθαι, λεπτότητα μόνον ἐργάζεται τῶν αἰσθήσεων, ἢ ἰσχὺν ἐπὶ τὰ μέγιστά τε, καὶ θαυμασιώτατα. θεωρεῖν δὲ ἔξεστιν ὃ λέγω, καὶ ἀπ' ἄλλων μὲν, οὐχ ἥκιστα δὲ κἀκ τῶν ἐν Ἐφέσῳ περὶ τὴν νόσον ἐκείνην
B πραχθέντων. τὸ γὰρ τοῦ λοιμοῦ εἶδος, πτωχῷ δὲ γέροντι εἴκασα, καὶ εἶδον, καὶ ἰδὼν εἷλον, οὐ παύσας νόσον, ἀλλ' ἐξελών. ὅτῳ δὲ εὐξάμενος, δηλοῖ τὸ ἱερὸν, ὃ ἐν Ἐφέσῳ ὑπὲρ τούτου ἱδρυσάμην· Ἡρακλέους μὲν ἀποτροπαίου ἐστί. ξυνεργὸν δὲ αὐτὸν εἱλόμην, ἐπειδὴ σοφός τε, καὶ ἀνδρεῖος ὢν, ἐκάθηρέ ποτε λοιμοῦ τὴν Ἦλιν, τὰς ἀ-
C ναθυμιάσεις *ἀποκλύσας, ἃς παρεῖ- χ. ἀπαντλήσας
χεν ἡ γῆ, κατ' Αὐγίαν ἐπιὼν τυραννοῦντα. τίς δὴ οὖν σοι, βασιλεῦ, δοκῇ, φιλοτιμούμενος γόης φαίνεσθαι, θεῷ ἀναθεῖναι, ὃ αὐτὸς εἴργασο; τίνας δὲ ἂν κτήσεσθαι *θαυμασὰς τῆς τέχνης, ἴσ. θαυμαστὰς
θεῷ παρεὶς τὸ θαυμάζεσθαι; τίς δὲ ἂν Ἡρακλεῖ εὔξασθαι, γόης ὤν; τὰ γὰρ τοιαῦτα οἱ κακοδαίμονες βόθροις ἀ-
D ναπιθᾶσι, καὶ χθονίοις θεοῖς, ὧν τὸν Ἡρακλέα ἀποτακτέον. καθαρὸς γὰρ, καὶ τοῖς ἀνθρώποις εὔνους. ηὐξάμην αὐτῷ καὶ ἐν Πελοποννήσῳ ποτέ. Λαμίας γάρ τι κἀκεῖ φάσμα περὶ τὴν Κόρινθον ἤλυε, σιτούμενον τῶν νέων τοὺς καλούς. καὶ ξυνήρατό μοι τοῦ ἀγῶνος, οὐ θαυμασίων δεηθεὶς δώρων;

ἀλλὰ μελιτοῦττας, καὶ λιβανωτὸν, καὶ τὸ ὑπὲρ σωτηρίας τι ἀνθρώπων ἐργάσασθαι· τουτὶ γὰρ, καὶ κατὰ τὸν Εὐρυσθέα, μισθὸν τῶν ἄθλων ἡγεῖτο. μὴ ἄχθου, βασιλεῦ, τὰ Ἡρακλέους ἀκούων. ἔμελε γὰρ αὐτοῦ τῇ Ἀθηνᾷ, ἐπειδὴ χρηστὸς, καὶ σωτήριος τοῖς ἀνθρώποις. ἀλλ' ἐπεὶ κελεύεις με ὑπὲρ τῆς θυσίας ἀπολογεῖσθαι, τουτὶ γὰρ καὶ τῇ χειρὶ ἐνδείκνυσαι, ἄκουε ἀπολογίας ἀληθοῦς. ἐγὼ γὰρ πάνθ' ὑπὲρ σωτηρίας τῶν ἀνθρώπων πράττων, οὔπω ὑπὲρ αὐτῶν ἔθυσα, οὐδ' ἂν θύσαιμι οὐδέν. οὐδ' ἂν θίγοιμι ἱερῶν, ἐν οἷς αἷμα. οὐδ' ἂν εὐξαίμην ἐς μάχαιραν βλέπων, ἢ θυσίαν, ἣν φής. οὐ Σκύθην με, ὦ βασιλεῦ, ἥρηκας, οὐδ' ἐκ τῶν ἀμίκτων ποθέν· οὐδ' ἐπέμιξά πω Μασσαγέταις, ἢ Ταύροις, ὡς κἀκείνους ἂν τοῦ τῆς θυσίας ἔθους μετέβαλον. ἀνοίας δ' ἂν ποῦ ἤλαυνον, ἵνα πλεῖστα μὲν ὑπὲρ μαντικῆς διαλεγόμενος, καὶ ὅπη ἔρρωται, ἢ μή. ἄριστα δ' ἀνθρώπων ᾐσθημένος, ὅτι τὰς αὐτῶν βουλὰς, οἱ θεοὶ τοῖς ὁσίοις τε, καὶ σοφοῖς ἀνδράσι, καὶ μὴ μαντευομένοις, φαίνουσι, μιαιφονίας ἅπτομαι, καὶ σπλάγχνων ἀθύτων ἐμοὶ, καὶ ἀκαλλιερήτων, ἐφ' οἷς ἀπέλιπεν ἄν με καὶ ἡ τοῦ δαιμονίου ὀμφὴ, μὴ καθαρὸν ὄντα. καὶ μὴν εἴ τις ἀφελὼν τὸ τῆς θυσίας μῖσος, ἐξετάζοι τὸν κατήγορον, πρὸς ἃ μικρῷ πρόσθεν εἴρηκεν, ἀπαλλάττει με τῆς αἰτίας αὐτός. ὃν γάρ φησι προειπεῖν Ἐφεσίοις τὴν νόσον, θυσίας οὐδεμιᾶς δεηθέντα,

A ſed placentas duntaxat, atque thura, cùm id omnium maximè expeterẽ, vt bonum aliquod pro ſalute hominũ operarer. Illud enim, iuxta Euryſthei ſententiã, maximum præmium laborũ eſſe cenſebam. Nec enim moleſtè feras velim, ô rex, de rebus Herculis aliquid audire. Pallas enim de ipſo curam habebat, quoniam benignus, & hominibus ſalutaris habitus eſt. Sed quoniam me iubes de ſacrificio defenſionem afferre, quod etiam manu ſignificaſti, veram defenſionẽ
B audi. Ego cùm omnia pro virorum, quos dico, ſalute fecerim, nunquam tamen pro ipſis ſacrificaui, neque ſacrificarem omnino, aut templum attingerem, vbi ſanguinem effuſum aſpexerim; nec vnquã ſum Deos precatus cultrum reſpiciens, aut tale aliquod ſacrificium, quale mihi obiicit accuſator. Non enim Scytham me putaueris, ô rex, nec ex aliqua patria natum extra commune hominum
C conſortium poſita: neque cum Maſſagetis, aut Tauricis vnquã ſum verſatus, vt eorum ſacrificãdi mores aſſumpſerim. Nec etiam adeò ſum demens, vt cùm multa de vaticinandi facultate diſputauerim, & quid ipſa poſſit, aut non poſſit, diſſeruerim; atq; idem ipſe optimè omnium hominũ ſciam Deos immortales conſilia ſua ſanctis, & ſapientibus vatibus aperire, ego cædes & viſcera in ſacris attrectare auderem. Præſertim cùm nunquam antea ſanguine conſueuerim ſacrificare, neque Diis gratum id
D eſſe putauerim. In quibus etiam dæmonis vox me deſeruiſſet, quòd impurus eſſem atque pollutus. At verò ſi quis ſacrificij odio ſublato accuſatorem interroget ea, quæ de me paulò antè dixit, comperiet ipſum ſuiſmet verbis tali crimine me abſoluere. Quẽ enim nullo peracto ſacrificio dixit futurã peſtẽ Epheſiis prædixiſſe, quid

quid illi iugulatione vlla opus erat ad ea prænoſcenda, quæ etiam ſine ſacrificio prænoſcere poteram? aut quid omnino vaticinio indigebam pro iis, quæ mihi ipſi iampridem atque aliis perſuaſeram? Si enim propter Neruam & eius familiares accuſor, rurſus eadem dicam, quæ alias dixi, cùm de talibus interrogabar. Ego Neruam omni imperio, omníque laude dignum iudico: poſſe autem eum multis curis, negociiſve animum intendere, nequaquam puto. Corpus enim morbo diſſolutum, mentem quoque angoris plenam reddit, ita vt quæ domi ſunt agenda, curare non poſſit. Te autem & à corpore, & à mente laudat; & iure quidem, vt opinor. quanquam promptior eſt humana natura ad ea laudanda, quæ efficere ipſa non poteſt. Eſt autem mihi *probè & ex re* affectus Nerua: neque me deridentem illum vnquam vidi, nec vllatenus iocosè ludentem, ſicut inter amicos fieri conſueuit: ſed mecum velut adoleſcentuli cum parentibus, præceptoribúſve cum pudore quodam & reuerētia loquens erubeſcit. Cúmque ſciat honeſtatem, probitatémque à me præter cetera laudari, tam exactè in vtraque ſeſe exercet, vt ſupra modum humilis eſſe mihi videatur. Quomodo igitur credibile cuiquam videbitur Neruam imperium affectare, qui bene ſecum agi putaret, ſi domum ſuam gubernare poſſet? Aut quis mecum res magnas communicare arbitrabitur eum, qui & de paruis mecum loqui non audeat? Vel quis vnquam exiſtimaret ipſum tentare, vt his rebus mentem meam commoueat, quibus nec alium quenquam ſi de me cogitaret, mouere niteretur? aut *quì* ego ſapiens *viri indicio* aſſen-

A τί σφαγίων ἐδεήθην ἄν, ἐφ' ἃ καὶ μὴ θυσαμένῳ παρῆν εἰδέναι; μαντικῆς δὲ τί ἐδεόμην, ὑπὲρ ὧν αὐτός τε ἐπεπείσμην, καὶ ἕτερος*; εἰ γὰρ ὑπὲρ Νερούα, καὶ τῶν ἀμφ' αὐτὸν κρίνομαι, λέξω πάλιν, ἃ καὶ πρώην* εἶπον, ἡνίκα ἤτιω ταῦτα· Νερούαν γὰρ ἄξιον μὲν ἀρχῆς ἡγοῦμαι πάσης, καὶ λόγου παντὸς ἐπ' εὐφημίαν ἥκοντας· ἀγωνιστὴν δὲ φροντίδων, οὐ χρηστόν. B καταλέλυται γὰρ τὸ σῶμα ὑπὸ τῆς νόσου, δι' ἣν καὶ ἡ γνώμη μεστὴ ἄτης, καὶ οὐδὲ τὰ οἴκοι ἱκανή. σὲ γοῦν ἐπαινεῖ μὲν σώματος, ἐπαινεῖ δὲ γνώμης· εἰκὸς μὲν οἶμαί τι πράττων· προθυμοτέρα δ' οὕτως ἡ ἀνθρωπεία φύσις ἐπαινεῖν, ἃ μὴ αὐτὴ ἔρρωται. πέπονθε δέ τι καὶ πρὸς ἐμὲ χρήσιμον Νερούας. καὶ οὔτε γελάσαντά πω αὐτὸν ἐπ' ἐμοῦ οἶδα· οὔτε ἀηθισάμενόν* τι C τῶν εἰωθότων ἐν φίλοις· ἀλλ' ὥσπερ τὰ μειράκια πρὸς τοὺς πατέρας τε, καὶ διδασκάλους τοὺς αὐτῶν· εὐλαβῶς μὲν φθέγγεται τὸ ἐπ' ἐμοῦ πᾶν, ἐρυθριᾷ δὲ ἔτι. εἰδὼς δὲ τὸ ἐπιεικὲς ἐπαινοῦντά με, οὕτω τι ἄγαν ἐπιτηδεύει αὐτό, ὡς κἀμοὶ ταπεινότερος τοῦ μετρίου φαίνεσθαι. πῶς οὖν πιθανὸν ἡγήσαιτο ἄν τις ἀρχῆς ἐπιθυμῆσαι D Νερούαν, ἀγαπῶντα εἰ τῆς ἑαυτοῦ οἰκίας ἄρξοι· ἢ ὑπὲρ μεγάλων διαλέγεσθαί μοι, τὸν μηδ' ὑπὲρ μικρῶν τεθαρρηκότα· ἢ ξυνάπτειν ἐμοὶ γνώμην, ὑπὲρ ὧν μηδ' ἂν πρὸς ἄλλον, εἰ τοὐμὸν ἐνεθυμήθη, ξυνῆψεν; ἢ πῶς* ἔτ' ἐγὼ σοφὸς γνώμην ἑρμη-

χ. ἵπει;
χ. πρώην
χ. ἀήθους τι, καὶ μικρῶς διαπραξάμενον,
χ. ἵν

νειν ἀνδρὸς, μαντικῇ μὲν πιστεύων, ἀπιστῶν δὲ σοφίᾳ; τὸν δὲ Ὀρφῖτον, καὶ τὸν Ροῦφον, τοὺς δικαίους μὲν, καὶ σώφρονας, νωθεῖς δὲ ἄνδρας ὡς εὖ οἶδα, εἰ μὲν ὡς τυραννήσοντας, διαβεβλῆσθαί φασιν, οὐκ οἶδ᾽ εἴτε τούτων πλέον διαμαρτάνουσιν, εἴτε Νερούα, εἰ δ᾽ ὡς ξυμβούλω γεγονότε, πιθανώτερος ἀρχῇ ἐπιθέσθαι Νερούας, ἢ οἵδε ξυμβουλεῦσαι. ἀλλὰ μὴν τόν γε ὑπὲρ τούτων κρίνοντα, κἀκεῖνα εἰκὸς ἦν ἐνθυμεῖσθαι, τί ἐβούλετό μοι τὸ ξυλλαμβάνειν τοῖς ἐπὶ νεώτερα ἥκουσι. χρήματα μὲν γὰρ οὔ φησι παρ᾽ αὐτῶν γενέσθαι μοι, οὐδὲ δώροις ἐπαρθέντα με, ταῦτα εἰργάσθαι. σκεψώμεθα δὲ, μὴ μεγάλων δεόμενος, ἀνεβαλόμην τὰς παρ᾽ αὐτῶν εὐεργεσίας, ἐς ὃν ᾤοντο ἄρξειν χρόνον, ἐν ᾧ μεγάλα μὲν ἂν αἰτεῖν ὑπῆρξε, μειζόνων δ᾽ ἀξιοῦσθαι. πῶς οὖν ταῦτα ἔσται δῆλα; ἐνθυμήθητι, βασιλεῦ, σεαυτὸν, καὶ τοὺς ἔτι πρὸ σοῦ ἄρξαντας, ἀδελφὸν δή που τὸν σεαυτοῦ, καὶ πατέρα, Νέρωνά τε, ἐφ᾽ ὧν ἦρξαν. κατὰ τούτους γὰρ μάλιστα τοὺς βασιλέας, βεβίωταί μοι ἐς τὸ φανερὸν, τὸν ἄλλον χρόνον Ἰνδοῖς φοιτῶντι· τούτων δὴ τῶν ὀκτὼ, καὶ τριάκοντα ἐτῶν, τοσοῦτον γὰρ τὸ ἐς σὲ μῆκος, οὔτε ἐπὶ θύρας βασιλείους ἐφοίτησα, πλὴν ἐν Αἰγύπτῳ τοῦ σοῦ πατρὸς, ἐπεὶ μήτε βασιλεύς πω ἐτύγχανεν ὤν, ὡμολόγει τε δι᾽ ἐμὲ ἥκειν, οὔτ᾽ ἀνελεύθερόν τι διελέχθην βασιλεῦσιν, ἢ ὑπὲρ βασιλέων δήμοις, οὔτ᾽ ἐπιστολαῖς ἐλαμπρυνάμην, ἢ γραφόντων ἐμοὶ

A tirer, nec vaticiniis fidem adhiberem, ſapientiæ autem non crederem? Orphitum autem, ac Rufum viros iuſtos, ac temperatos, ad res autem agendas ſegniores, vt percepi, ſi quis imperium occupaturos calumniaretur: neſcio an magis quã in Nerua aberret: ſin conſultores, ſuaſoréſque Neruæ fuiſſe ad occupandum imperium quiſpiam dixerit, facilius certè mihi Neruam inſidiaturum, quàm hoſce conſultores perſuaſerit, ſed & huiuſmodi ac- B cuſantem cogitare debet, quid mihi volens adiuuerim eos, qui res nouas moliri tentarent. Numquam enim pecunias me ab illis accepiſſe, aut muneribus corruptum talia feciſſe quiſquam criminabitur. Videamus autem vtrum magna quædam præmia ab illis expectans, eorum beneficia in id tempus diſtulerim, quo illi ſe potituros imperio arbitrabantur. Tunc enim magna ab illis petere, & maiora etiam conſe- C qui potuiſſem. Quomodo igitur oſtendes vnquam tale quicquam me fuiſſe meditatum? Reminiſcere, ô rex, te ipſum, & qui ante te imperatores fuerunt, fratrem videlicet tuum, atque patrem, & præter hos Neronem etiam. Sub his enim præcipuè imperatoribus in aperto vixi, cùm antea ad Indos peregrinatus eſſem. His igitur triginta & octo annis (tantum enim quod dixi ſpatium vſque ad te fuit) ad re- D gias fores nunquam acceſſi, præterquam in Ægypto, vbi cum patre tuo ſum verſatus: quanquam ipſe tunc rex adhuc non erat, & mei conueniendi cauſa illuc ſe veniſſe fatebatur. Nec illiberale quicquam cum regibus ſum locutus, niſi populorum cauſa qui regum ditioni ſuberant. Nec vnquam ob epiſtolas ſum gloriatus, quas aut mihi

reges, aut ego regibus ſcripſerim, nec munerum cauſa regibus adulatus, à meipſo, aut grauitate mea diſceſſi. Si igitur pauperes, diuitéſque conſiderans me interroges, vtris eorum me connumerem, inter ditiſſimos proculdubio me adſcribam. nullis enim rebus indigere pluris facio, quàm Lydiæ Pactolíque diuitias omnes. Quomodo igitur nondum regnantium dona in tempus diſtuliſſem, quo ipſos regnaturos eſſe putarem; qui nec à vobis accipere quicquam volui, quibus firmum, ſtabiléque imperium eſſe animaduerto? aut quomodo regni permutationes meditarer, qui conſtitutum imperium non magnifacio? Veruntamen omnia quæ contingere poſſunt philoſopho, qui potentioribus aduletur, in Euphrate manifeſtè conſpicio. Hîc ſibi enim diuitias parauit. Quid autem diuitias dixi? imò verò fontes diuitiarum. Iam enim inter fœneratorum menſas nuncupatur caupo, quæſtuarius, publicanus, numularius, & ad omnia venalia & pretio comparabilia ſe conuertit: potentiorúmque foribus magis eſt affixus, quàm proprij earundem ianitores. Expellitur etiam inde plerunque, non ſecus ac guloſi canes depelli ſolent. Philoſopho autem ne drachmam quidem impertit. Cúmque ſuas diuitias quoad ceteros obſtruſas habeat, hunc tamen vnum Ægyptium pecuniis paſcit, vt in me linguam amputari digniſſimam acuat. Euphratem igitur tibi iudicandum relinquo: niſi enim adulatoribus valde faues, inuenies hominem longè deteriorem, quàm à me ſit narratum. Tu verò quod reliquum eſt accuſationis ex me audi, vt de quibus accuſer, intelligas. *Accinebatur* quidam, ô rex, in media

Ariſtot. 1. Polit.

A βασιλέων, ἢ αὐτὸς ἐνδεικνύμενος γράφειν, οὐθ' ὑπὲρ δωρεῶν κολακεύων βασιλέας, ἐμαυτοῦ ἀπηνέχθην. εἰ γοῦν ἔροιό με, πλουσίους ἐνθυμηθεὶς, καὶ πένητας, ποτέρους τῶν ἐθνῶν τούτων ἐμαυτὸν γράφω, τῶν πλουσιωτάτων φήσω. τὸ γὰρ δεῖσθαι μηδενὸς ἐμοὶ Λυδία, καὶ τὸ Πακτωλοῦ πᾶν. πῶς οὖν, ἢ τὰς παρὰ τῶν οὔπω βασιλέων δωρεὰς ἀνεβαλόμην, ἐς ὃν ἄρξειν αὐτοὺς ᾤμην χρόνον, ὁ μηδὲ τὰς παρ' ὑμῶν ἑλόμενος, οἷς βέβαιον ἡγούμην τὸ B ἄρχειν, ἢ βασιλειῶν μεταβολὰς ἐπενόουν, μηδὲ ταῖς καθεστηκυίαις ἐς τὸ τιμᾶσθαι χρώμενος; καὶ μὴν ὁπόσα γίγνεται φιλοσόφῳ, ἀνδρὶ κολακεύοντι τοὺς δυνατούς, δηλοῖ τὰ Εὐφράτου. τούτῳ γὰρ ἐντεῦθεν, τί λέγω χρήματα; πηγαὶ μὲν οὖν εἰσι πλούτου, κἀπὶ τῶν τραπεζῶν ἤδη διαλέγεται κάπηλος, C ὑποκάπηλος, τελώνης, ὀβολοστάτης, πάντα γιγνόμενος τὰ πωλούμενά τε, καὶ πωλοῦντα. ἐντετύπωται δ' ἀεὶ ταῖς τῶν δυνατῶν θύραις, καὶ προσέστηκεν αὐταῖς πλείω καιρόν, ἢ οἱ θυρωροί· ἀπελήφθη δὲ καὶ ὑπὸ θυρῶν πολλάκις, ὥσπερ τῶν κυνῶν οἱ λίχνοι. δραχμὴν δὲ οὐδὲ φιλοσόφῳ ἀνδρί ποτε προθέμενος, ἀποτειχίζει τὸν ἑαυτοῦ πλοῦτον, ἑτέροις τὸν Αἰγύπτιον τουτονὶ βόσκων D χρήμασι, καὶ ὀξύνων ἐπ' ἐμὲ γλῶτταν ἀξίαν ἐκτετμῆσθαι. Εὐφράτην μὲν δὴ καταλείπω σοι. σὺ γὰρ, ἢν μὴ κόλακας ἐπαινῇς, εὑρήσεις τὸν ἄνθρωπον κακίω, ὧν ἑρμηνεύω. τῆς δὲ λοιπῆς ἀπολογίας, ἀκροῶ. τίς οὖν αὕτη; καὶ ὑπὲρ τίνων; ᾖδετό τις, ὦ βασιλεῦ, παῖ-

δὸς Ἀρκάδος ἐν τῇ κατηγορίᾳ θρῆνος, τετμῆσθαι μὲν αὐτὸν ὑπ' ἐμοῦ νύκτωρ, εἰ δ' ὄναρ φησίν, οὔπω οἶδα, εἶναι δὲ πατέρων τε ἀγαθῶν ὁ παῖς ἐστι, καὶ τὸ εἶδος, οἷοι Ἀρκάδων οἱ ἐν αὐχμῷ, καλοί. τοῦτόν φασιν ἱκετεύοντά τε, καὶ ὀλοφυρόμενον, ἀποσφάχθαι. κἀμὲ τὰς χεῖρας ἐς τὸ τοῦ παιδὸς αἷμα βάψαντα, θεοῖς ὑπὲρ ἀληθείας εὔχεσθαι· μέχρι τούτων ἐμὲ κρίνουσιν. ὁ δὲ ἐφεξῆς λόγος, τῶν θεῶν ἅπτεται. φασὶ γὰρ τοὺς θεοὺς ἀκοῦσαι μὲν ὧδέ μου εὐξαμένου, δοῦναι δὲ ἱερὰ εὔσημα, καὶ μὴ ἀποκτεῖναι ἀσεβοῦντα. τὴν μὲν οὖν ἀκρόασιν, ὡς οὐ καθαρά, τί ἄν, ὦ βασιλεῦ, λέγοιμι; ἀλλ' ὑπὲρ ὧν γέ μοι ἀπολογητέα· τίς ὁ Ἀρκάς ἐστι; εἰ γὰρ μὴ ἀνώνυμος τὰ πατέρων, μηδ' ἀνδραποδώδης τὸ εἶδος, ὥρα σοι ἐρωτᾶν τί μὲν ὄνομα τοῖς γειναμένοις αὐτόν, τίνος δὲ οἰκίας ἐστί· τίς δ' ἐθρέψατο αὐτὸν ἐν Ἀρκαδίᾳ πόλις· τίνων βωμῶν δὲ ἀπαχθεὶς, ἐνταῦθα ἐθύετο. οὐ λέγει ταῦτα, καίτοι δεινὸς ὢν μὴ ἀληθεύειν. οὐκοῦν ὑπὲρ ἀνδραπόδου κρίνει με. ᾧ γὰρ μήτ' αὐτῷ ὄνομα, μήθ' ὧν ἔφυ, μὴ πόλις μὴ κλῆρός ἐστιν, οὐχί, ὦ θεοί, τοῦτον ἐν ἀνδραπόδοις χρὴ τάττειν; ἀνώνυμα γὰρ πάντα. τίς οὖν ὁ κάπηλος τοῦ ἀνδραπόδου; τίς ὁ πριάμενος αὐτὸ ἐξ Ἀρκάδων; εἰ γὰρ τὸ γένος τοῦτο ἐπιτήδειον τῇ σφαττούσῃ μαντικῇ, πολλῶν μὲν χρημάτων εἰκὸς ἐωνῆσθαι τὸν παῖδα, πεπλευκέναι δέ τινα ἐς Πελο-

A accuſatione fletus Arcadis pueri, quẽ me noctu in partes cõcidiſſe dicunt: an verò ſomnium aliquod hoc fuerit, non ſatis ſcio. Narrãt autem hunc puerum honeſtis parentibus ortum fuiſſe; forma verò qua ſqualli di & macilenti Arcades pulchri putantur. Hunc aiunt ſupplicantẽ plorantẽmque à me fuiſſe iugulatũ, deinde ſanguine pueri me cõſperſum, pro veritate agnoſcenda Diis vota feciſſe, & B mei quidem hactenus protẽditur accuſatio. Nam quod reliquum eſt ad ipſos Deos ſpectare videtur. Aiunt enim illos me ita precãtem exaudiſſe, vt de cœlo ſigna mihi dederint præclara, nec me impia facientẽ interemerint. Quàm fœdum igitur, impurúmq; ſit, ô rex, de talibus audire, diceréve, non me latet: attamẽ huius criminis eſt afferenda defenſio. Primùm igitur ex te quæro accuſator, quiſnã is Arcas puer fuerit, ſi parenti- C bus non obſcuris, & forma (vt ais) nõ ſeruili fuit, cõgruum fuerat te interrogaſſe: quodnam parentib. eius nomen, quáve familia natus, & in qua Arcadiæ ciuitate fuerit educatus, & quibus ab altarib. ad ſacrificium huc deductus. Horum autem nihil abs te profertur, quamuis in mentiendo ſis peritiſſimus. Pro ſeruo igitur aliquo in iudicium vocor: cuius enim nec nomẽ habetur, nec quibus ſit ortus parentibus, conſtat, nec in qua ci- D uitate natus, aut educatus eſſet, inueniebatur; cuius præterea nullus extat heres, nónne hũc, pro Dij immortales, ſeruorum loco habẽdum omnes putarent? Illi enim innominati ſunt: quòd ſi ſeruum fuiſſe fateberis, dicas rurſus oportet, quis eum mango adduxerit, quis illum Arcas emerit. Si enim genus hoc puerorum vaticinationib. eſt accommodatũ, multis pecuniis emptum fuiſſe credẽdum eſt. Præterea neceſſe fuit aliquẽ in Pelo-

ponneſum nauigaſſe, vt illinc puerum Arcadẽ nobis abduceret. Ponticos enim aut Lydios ſeruos, aut Phrygios gregatim huc aduectos inuenire & emere hîc licet. Hæ namq; gentes, & ceteri Barbari ſemper aliis obedire conſueti, nequaquam turpẽ exiſtimant ſeruitutem. Phrygibus autem familiare eſt proprios etiam filios vendere: & ſi captiui in ſeruitutem ducantur, ne ad eos quidem reſpiciendos ſeſe conuertunt. Græci autem libertatis amatores adhuc ſunt, nec Græcus quiſquam extra fines in ſeruitutem venderetur. Quapropter nec ſeruorum prædonibus, nec eorundem mercatoribus apud ipſos locus permittitur. Hoc autem in Arcadia magis contigit. Ipſi enim non ſolùm in libertate degunt omnes, ſed multitudine ſeruorum egent. Eſt enim Arcadiæ magna pars ſylueſtris, nec montes ſolùm, verùm etiam campeſtria loca egent. Igitur multis agricolis, multis caprarum, ouium, armentorúmque paſtoribus, qui partim boues, partim equos curent, lignatoribus inſuper quàm plurimis indiget regio, atque in his à pueritia exercentur. Quod ſi Arcades tales non eſſent, ſed vt ceteri ſeruos ſuos venderent, quid ad diuulgatam ſapientiam conferret eſſe ex Arcadia, quod mactetur? Non enim ceteris Græcis ſapientiores ſunt Arcades, vt aliquid plus quàm alij in extis oſtendant, imò verò rudes ſunt atque agreſtes & ſuibus ſimillimi, cùm ob alia multa, tum quòd glandibus, vt plurimùm, turgent. Sed vereor ne defenſione artificioſa nimium videar vti, qui mores Arca-

A πόννησον, ἵν' ἐνθένδε ἡμῖν ἀναχθείη ὁ Ἀρκάς. ἀνδράποδα μὲν γὰρ Ποντικά, ἢ Λύδια, ἢ ἐκ Φρυγῶν, πρίαιτ' ἂν κἀνταῦθά τις, ὧν γε καὶ ἀγέλαις ἐντυχεῖν ἐστιν, ἅμα φοιτώσαις δεῦρο. ταυτὶ γὰρ τὰ ἔθνη, καὶ ὁπόσα βάρβαρα, πάντα τὸν χρόνον ἑτέρων ἀκροώμενοι, οὔπω τὸ δουλεύειν αἰσχρὸν ἡγοῦνται. Φρυξὶ γοῦν ἐπιχώριον, καὶ ἀποδίδοσθαι τοὺς αὑτῶν· καὶ ἀνδραποδι-

B σθέντων, μὴ ἐπιστρέφεσθαι. Ἕλληνες δὲ, ἐλευθερίας ἐρασταὶ ἔτι, καὶ οὐδὲ δοῦλον ἀνὴρ Ἕλλην πέρα ὅρων ἀποδώσεται. ὅθεν οὐδὲ ἀνδραποδισταῖς οὔτε ἀνδραπόδων καπήλοις, ἐς αὐτοὺς παριτητέα. ἐς δὲ Ἀρκαδίαν καὶ μᾶλλον. πρὸς γὰρ τῷ παρὰ πάντας ἐλευθεριάζειν Ἕλληνας, δέονται καὶ ὄχλου δούλων. ἔστι δὲ πολλὴ ἡ Ἀρκαδία, καὶ ὑλώδης, οὐ τὰ μετέωρα μόνον, ἀλλὰ καὶ τὰ ἐν ποσὶ

C πάντα. δεῖ δὴ αὐτοῖς πολλῶν μὲν γεωργῶν, πολλῶν δὲ αἰπόλων, συφορβῶν τε, καὶ ποιμένων, καὶ βουκόλων, τῶν μὲν, ἐπὶ βουσί. τῶν δὲ ἐφ' ἵπποις· δρυτόμων τε δεῖται πολλῶν ἡ χώρα· καὶ τοῦτο ἐκ παίδων γυμνάζονται. εἰ δὲ καὶ μὴ τοιάδε ἦν τὰ τῶν Ἀρκάδων, ἀλλ' εἶχον ὥσπερ ἕτεροι προσαποδίδοσθαι τοὺς αὑτῶν δού-

D λους, τί τῇ θρυλλουμένῃ σοφίᾳ ξυνεβάλλετο τὸ ἐξ Ἀρκαδίας εἶναι τὸ σφαττόμενον; οὐδὲ γὰρ σοφώτατοι τῶν Ἑλλήνων Ἀρκάδες, ἵν' ἑτέρου τι ἀνθρώπου πλέον περὶ τὰ λογικὰ τῶν σπλάγχνων φαίνωσιν, ἀλλὰ ἀγροικότατοι ἀνθρώπων εἰσὶ, καὶ συώδεις τά τε ἄλλα, καὶ τὸ γαστρίζεσθαι τῶν δρυῶν. ῥητορικώτερον ἴσως ἀπολελόγημαι τοὐμοῦ τρόπου· τὰ τῶν Ἀρκάδων

ἀφερμηνεύων ἤδη καὶ παριὼν ἐς Πελοπόννησον τῷ λόγῳ· ἡ γὰρ ἐμοὶ προσήκουσα ἀπολογία, τίς; οὐκ ἔθυσα· οὐ θύω· οὐ θιγγάνω αἵματος, οὐδ' εἰ βώμιον αὐτὸ εἴη· Πυθαγόρας τε γὰρ ὧδε ἐγίγνωσκεν, οἵ τε ἀπ' αὐτοῦ παραπλησίως, καὶ κατ' Αἴγυπτον δὲ οἱ γυμνοὶ, καὶ Ἰνδῶν οἱ σοφοί. παρ' ὧν καὶ τοῖς ἀμφὶ Πυθαγόραν, αἱ τῆς σοφίας ἀρχαὶ ἐφοίτησαν. καὶ κατὰ ταῦτα θύοντες, οὐ δοκοῦσιν ἀδικεῖν τοῖς θεοῖς, ἀλλὰ γηράσκειν τε αὐτοῖς ξυγχωροῦσιν, ἀρτίοις τὰ σώματα, καὶ ἀνόσοις, καὶ σοφωτέροις ἀεὶ δοκεῖν, μὴ τυραννεύεσθαι, μηδενὸς δεῖσθαι. καὶ οὐκ ἀπεικὸς οἶμαι ἀγαθῶν δεῖσθαι σφᾶς ὑπὲρ καθαρῶν θυμάτων. δοκῶ γάρ μοι καὶ τοὺς θεοὺς τὸν αὐτὸν ἐμοὶ νοῦν ὑπὲρ θυσιῶν ἔχοντας, τὰ λιβανοφόρα τῆς γῆς, ἐν καθαρῷ τῆς οἰκουμένης ἐκφυτεύειν, ἵν' ἀπ' αὐτῶν θύοιμεν, μὴ σιδηροφοροῦντες ἐν ἱεροῖς, μηδ' αἷμα ἐς βωμοὺς ῥαίνοντες. ἐγὼ δ' ὡς ἔοικεν, ἐμαυτοῦ, καὶ τῶν θεῶν ἐκλαθόμενος, ἔθυον τρόπον, ὃν μήτε αὐτὸς εἴωθα, μήτε τις ἀνθρώπων θύοι. ἀπαλλαττέτω με τῆς αἰτίας καὶ ὁ καιρὸς, ὃν εἴρηκεν ὁ κατήγορος. τὴν γὰρ ἡμέραν ἐκείνην, ἐν ᾗ ταῦτα εἰργάσθαι μοι, φησὶν, εἰ μὲν ἐγενόμην ἐν ἀγρῷ, ἔθυσα· εἰ δ' ἔθυσα, καὶ ἔφαγον. εἶτά με, ὦ βασιλεῦ, θαμινὰ ἐρωτᾷς, εἰ μὴ ἐπεχωρίαζον τῇ Ῥώμῃ τότε; καὶ σὺ βέλτιστε βασιλέων, ἐπεχωρίαζες· ἀλλ' οὐκ ἂν εἴποις θῦσαι τοιαῦτα· καὶ ὁ συκοφάντης· ἀλλ' οὐχ ὁμολογήσει τὰ τῶν ἀνδροφόνων πράττειν,

A dum exprimens in Peloponneſum oratione migrauerim, cùm abundè ſufficiens, mihíque accommodatior defenſio fuiſſet huiuſmodi, Ego nunquam ſacrificij cauſa quicquam mactaui, aut macto: neque ſanguinem tango, etiam ſi in altari ſit poſitus. Hoc enim modo Pythagoras ſenſit, & ceteri, qui eum ſecuti ſunt. Id ipſum etiam qui in Ægypto ſunt gymnoſophiſtis, & Indorum ſapientes, à quibus eius, B quam Pythagoras eſt ſecutus, ſapiētiæ principia manarunt. Qui autem ſecundum hæc inſtituta ſacrificant, nulla à Diis iniuria afficiuntur: ſed eos ſeneſcere Dij permittunt, & rectis, ſaníſque corporibus vti, ſempérque fieri ſapientiores: nec verò tyranni vnquam euadunt, nec rebus vllis indigent. Nec abſurdum profectò videtur illos à Diis immortalibus bona impetrare, qui purè, mundéque ſacrificant: idémque quod ego de ſacrificiis ſentio, Dij quoq; ſentire mihi videntur, qui C thuriferam terram in parte mundi puriſſima conſtituerunt; vt vel illinc ſacrificiorum materiam capiamus, nec ferrum templis inferamus, aut aras ſanguine maculemus. Ego autem (ſic enim viſum) & mei & Deorum oblitus, ita ſacrificaui: ſicut nec aliàs vnquam ſacrificare conſueui, nec hominum quiſquam omnino ſacrificat. Sed hoc me cri- D mine facilè tempus abſoluit, quo à me facta hæc fuiſſe dicit accuſator. Eo namque die, quo à me factũ id fuiſſe calumniatur, ſi in agro fui, ſacrificaui: ſi verò ſacrificaui, etiã comedi. Soles autem, ô rex, me interrogare an eo tempore Romæ fuerim, quòd profectò non inficior, & te quoque, regum optime, tunc Romæ fuiſſe dico: non tamẽ talia te ſacrificaſſe diceres, nec etiam ipſe calumniator dicere auderet. Non enim ſequitur homicidium feciſſe aliquem,

propterea quòd Romæ fuerit verſatus. Multa namque millia hominum tunc Romæ fuerunt, quibus exulare multò melius eſſet, quàm capitis iudicio ſubiici, propter hanc vnã duntaxat coniecturã, quòd tunc Romæ fuerint. Quinimò hoc ipſum quòd Romã venerim, ſuſpicionẽ omnem criminis videtur auferre, quódq. res nouas moliri non tentauerim. Quis enim talis criminis conſcius vellet in ciuitate viuere, vbi omnes oculi, innumerabiles exploratores, & non modò eorum, quæ ſunt, ſed eorum etiã, quæ non ſunt, indagatores acerrimi, non ſinunt quenquam res nouas meditari, niſi qui fortè mortis nimiũ cupidus fuerit: cauti enim, temperatíque viri tardius etiam ad illa deducũtur, quæ facere ſibi licet. Quid igitur, inquiet calumniator, ea nocte egiſti? quòd ſi me quaſi ſeipſum interrogat, dicam me controuerſias, accuſationéſque contra viros bonos paraſſe, vt etiã nihil iniuſtè agentes *purgarentur*; idque regi perſuaderẽ nihil veritatis ad eum loquens, vt ego ab ipſo prober, alius autem in ſuſpicionem adducatur. Sin tanquam philoſophũ interrogat, Democriti riſum laudabã, quo in res omnes humanas vtebatur: quòd ſi re vera ex me reſponſum quærit, vt ſeſe res habuit, narrabo. Philiſcus Melienſis, qui mecum annos quatuor philoſophatus fuerat, tunc ægrotabat: propterea apud ipſum pernoctabam: tam grauiter enim laborabat, vt nõ multò poſt ex tali morbo interierit, quãuis pro eius incolumitate multa ſim precatus: & certè quicunque ſunt Orpheo cãtus pro mortuis compoſiti eos me fateor non ignorare. quinetiam ſub terram eius cauſa profectus eſſem, ſi quis ad ea loca pateret acceſſus: adeò me ſibi charitate deuinxerat ob illa, quæ ex animi mei ſententia & ex

A εἰ κατὰ τὴν Ῥώμην διῃτᾶτο. καὶ μυριάδες ἀνθρώπων, αἷς βέλτιον ξενηλατεῖν, ἢ ὑπάγειν γραφαῖς, ἐν αἷς τεκμήριον ἀδικημάτων ἔσται, τὸ ἐνταῦθα εἶναι. καί τοι τὸ ἐς τὴν Ῥώμην ἥκειν, καὶ παραιτεῖται τάχα τοῦ τι νεώτερα πράττειν δοκεῖν αἰτίας. τὸ γὰρ ἐν πόλει ζῆν, ἐν ᾗ πάντες μὲν ὀφθαλμοί, πᾶσα δὲ ἀκρόασις ὄντων τε, καὶ οὐκ ὄντων, οὐ ξυγχωρεῖ νεωτέρων
B ἅπτεσθαι τοῖς γε μὴ λίαν θανατῶσι. τοὺς δὲ εὐλαβεστέρους τε, καὶ σώφρονας, βραδέως ἄγει, καὶ ἐφ' ἃ ἔξεστι. τί οὖν, ὦ συκοφάντα, κατὰ τὴν νύκτα ἐκείνην ἔπραττον; εἰ μὲν ὡς σαυτὸν ἐρωτᾷς, ἐπειδὴ καὶ σὺ ἐρωτᾶν ἥκεις, ἀγῶνας ἡτοίμαζον, καὶ κατηγορίας ἐπ' ἄνδρας χρηστούς, καὶ ἀπολογιάζεσθαι* τοὺς οὐκ ἀδικοῦντας, γ. ἀπολεῖσθαι τ.
C καὶ πείσειν τὸν βασιλέα, μὴ ἀληθῆ λέγων, ἵν' ἐγὼ μὲν εὐδοκιμοίην, μιαίνοιτο δὲ οὗτος. εἰ δὲ ὡς φιλοσόφου πυνθάνῃ, τὸν Δημοκρίτου ἐπῄνουν γέλωτα, ὃν ἐς πάντα τὰ τῶν ἀνθρώπων γελᾷ. εἰ δὲ ὡς ἐμοῦ, Φιλίσκος ὁ Μήλιος ἐτῶν ξυμφιλοσοφήσας ἐμοὶ πλέον, ἐνόσει τότε, καὶ παρ' αὐτῷ ἀπεκάθευδον, οὕτω διακειμένῳ χαλεπῶς, ὡς καὶ ἀποθανεῖν* ὑπὸ τῆς νόσου. καί τοι πολλὰς ἂν ηὐξάμην γ. πῶς οὐ περιίδοιμι φίλον τεθνεῶτα
D ὑγιείας* ὑπὲρ τῆς ἐκείνου ψυχῆς γενέσθαι μοι, καὶ νὴ Δί', εἴ τινες Ὀρφέως εἰσὶν ὑπὲρ τῶν ἀποθανόντων μελῳδίαι, μηδὲ ἐκείνας ἀγνοῆσαι. καὶ γὰρ ἄν μοι δοκῶ καὶ ὑπὸ τὴν γῆν πορευθῆναι δι' αὐτόν, εἰ ἐφικτὰ ἦν ταῦτα. οὕτω με ἀνήρτητο πᾶσιν οἷς γ. ἰᾶσθαι

φιλοσόφως τε, καὶ κατὰ τὸν ἐμὸν νοῦν ἔπραττε. ταῦτ' ἔστι μέν σοι, βασιλεῦ, καὶ Τελεσίνου ἀκοῦσαι τοῦ ὑπάτου. παρῆν γὰρ κἀκεῖνος τῷ Μηλιεῖ, θεραπεύων αὐτὸν νύκτωρ, ὁπόσα ἐγώ. εἰ δὲ Τελεσίνῳ ἀπιστεῖς, ἐπειδὴ τῶν φιλοσοφούντων ἐστί, καλῶ σοι τοὺς ἰατροὺς μάρτυρας. εἰσὶ δ' οὗτοι, Σέλευκός τε ὁ ἐκ Κυζίκου, καὶ Στρατοκλῆς ὁ Σιδώνιος, τούτους ἐρώτα εἰ ἀληθῆ λέγω. καὶ μαθηταὶ δ' αὐτοῖς ὑπὲρ τοὺς τριάκοντα εἵποντο, τῶν αὐτῶν δή που μάρτυρες. τὸ γὰρ προσκαλεῖσθαι δεῦρο τοὺς τῷ Φιλίσκῳ προσήκοντας, ἀναβολὰς ἴσως ἡγήσῃ τῆς δίκης· ἐπειδὴ αὐτίκα τῆς Ῥώμης ἀπῆραν ἐς τὰ Μηλιέων ἤθη, κατὰ ὁσίαν τοῦ νεκροῦ. ἴτε, ὦ μάρτυρες. καὶ γὰρ δὴ καὶ παρήγγελται ὑμῖν ὑπὲρ τούτου μάρτυρες. παρ' ὅσον μὲν τοίνυν τῆς ἀληθείας ἡ γραφὴ ξυνετέθη, δηλοῖ σαφῶς ἡ μαρτυρία τῶν ἀνδρῶν. οὐ γὰρ ἐν προαστείοις, ἀλλ' ἐν ἄστει· οὐκ ἔξω τείχους, ἀλλ' ἐπ' οἰκίας. οὐδὲ παρὰ Νερούᾳ, παρὰ Φιλίσκῳ δέ. οὐδὲ ἀποσφάττων, ἀλλ' ὑπὲρ ψυχῆς εὐχόμενος. οὐδ' ὑπὲρ βασιλείας, ἀλλ' ὑπὲρ φιλοσοφίας. οὐδ' ἀντὶ σοῦ χειροτονῶν νεώτερον, ἀλλ' ἄνδρα σώζων ἐμαυτῷ ὅμοιον. τί οὖν ὁ Ἀρκὰς ἐνταῦθα; τί δαὶ τῶν σφαγίων μῦθοι; τί δ' ἐστὶ τὸ τὰ τοιαῦτα πείθειν; ἔσται γάρ ποτε καὶ ὃ μὴ γέγονεν, ἂν ὡς γεγονὸς κριθῇ. τὸ δ' ἀπίθανον τῆς θυσίας, ὦ βασιλεῦ, ποῖ τάξεις; ἐγένοντο μὲν γὰρ καὶ πρότερον σφαγίων μάντεις, ἀγαθοὶ τὴν τέχνην, καὶ οἷοι ὀνομάσαι, Μεγιστίας, ἐξ Ἀκαρνανίας. Ἀρίστανδρος, ἐκ Λυκίας.

A philoſophiæ præceptis fuerat operatus. Hoc ipſum, ô rex, audire è Teleſino Conſule potes: nam & ipſe Philiſco inſeruiens, ea nocte nobiſcum permanſit. Quod ſi Teleſino minus adhibes fidei, quoniam ipſe inter philoſophantes numeratur, medicos ipſos teſtes adducam. Sunt autem Seleucus Cyzicenus, & Stratocles Sidonius: ex his an vera dicam, perquire. Sequebantur autem quos dixi medicos diſcipuli pluſquã triginta, qui huius rei teſtimo-
B nium afferre poſſunt. Quòd ſi Philiſci propinquos ad teſtimonium reddendum vocari dicerem, clamaret accuſator iudici dilationem à me quæri. Nam illi cadauer in patriam portantes quàm primum abiere. Vos igitur quos inuocaui teſtes, accedite. Nam afferendi teſtimonij cauſa, vobis huc accedere datum eſt. Quid igitur veritatis contineat accuſatio, horum teſtimonia declarant. Non enim in ſuburba-
C no, ſed in vrbe, non extra muros, ſed domi, non pro Nerua, ſed pro Philiſco, non iugulans, ſed pro vita precans; non pro regno, ſed pro philoſophia, non aduerſus te res nouas moliens, ſed hominem mihi ſimilem ſeruare nitens, eo tempore ſum inuentus. Quid igitur hic puer Arcas? quid de iugulatione fabulæ afferuntur? quid talia perſuadere tentat? ſic enim non minus quod factum eſt nunquam,
D quàm quod eſt factum in iudicium trahetur: huius autem ſacrificij incredibilitatem vbi collocabis, ô rex? Fuerunt enim priſcis temporibus vates permulti, qui peractis cædibus vaticinabantur; quíque in arte ſua peritiſſimi, & digni memoria ſunt habiti, ceu Megiſtias, Acarnan, Ariſtander Lycius,

Silianus Ambraciota. Sacrificabant A autem & vaticinabantur, Acarnan quidem Leonidæ, Spartano regi. Lycius autem Alexandro Macedoni, Silianus verò Cyro, qui regnum affectabat. Hi ſi quid hominum extis manifeſtius, aut ſapientius, aut promptius inſidere putaſſent, tali ſacrificio vti facillimè poterant, cùm ipſi apud reges verſarentur, qui *multos pincernas & captiuos* cōplures habebant; nullum autem iudicij periculum, nullúſque metus ac- B cuſationis impendebat, ſi quem occidiſſent. Sed eadem, quæ & mihi, talibus viris opinio inerat: quòd ratione carentia animalia conſentaneum eſt, cùm in diſcrimen mortis deducuntur, nihil omnino turbare inteſtina, cùm quid paſſura ſunt, non intelligant. Homo autem, ſi nondum inſtante morte timorem tantum animo conceperit, vt vehementius perturbetur. Quomodo conſentaneum eſt morte ipſa præ- C ſente, atque ante oculos poſita, poſſe per exta vaticinium oſtendere, aut aliquid omnino ſuo ordine diſpoſitum habere? Quod autem verè & ſecundum naturam talia exquiſierim, hoc modo conſiderari poteſt. Hepar, in quo vaticinij ſedem eſſe dicunt eius artis periti, ex non puro ſanguine conſtat. totum enim ſyncerum, purúmq; ſanguinem continet cor, cúmque per D venas in vniuerſum corpus diffundit. Choleram autem in hepate iacentem iracundia excitat; timor autem in concauas hepatis partes eandem ſubducit. Quòd ſi quis ipſam irritauerit, adeò efferuet, vt ſuo vaſe contineri, impotens ſupino hepati ſuperfundatur, atque ita partes omnes hepatis occupet, quæ antea politæ erant, & aliquid portendere idoneæ. In animalibus verò,

A Ἀμπρακία δὲ, Σιλιανὸν* ἤνεγκε. ἐκ [κ. Σιλανὸς] ἔθυόν τε, ὁ μὲν Ἀκαρνὰν, Λεωνίδᾳ βασιλεῖ Σπάρτης· ὁ δὲ Λύκιος, Ἀλεξάνδρῳ τῷ Μακεδόνι. Σιλιανὸς δὲ, Κύρῳ, βασιλείας ἐρῶντι. καὶ εἴ τι ἐν ἀνθρώπου σπλάγχνοις, ἢ σαφέστερον, ἢ σοφώτερον, ἢ ἐτυμώτερον ἀπέκειτο, οὐκ ἄπορος ἦν ἡ θυσία, βασιλέων γε περιεσταμένων αὐτοῖς, οἷς πολλοὶ μὲν ἦσαν οἰνοχόοι, πολλὰ δ᾽ αἰχμάλωτα, παρα- B νομίαι δ᾽ ἀκίνδυνοι, καὶ φόβος οὐδεὶς κατηγορίας, εἴ τι ἔσφαττον. ἀλλ᾽ οἶμαι παρέστατο τοῖς ἀνδράσιν, ὃ κἀμοὶ νῦν κινδυνεύοντι ὑπὲρ τοιούτων. ὅτι τὰ μὲν ἄλογα τῶν ζώων εἰκὸς, ἐπειδὴ ἐν ἀγνοίᾳ τοῦ θανάτου σφάττεται, μὴ θολοῦσθαί τι τῶν σπλάγχνων ὑπὸ ἀξυνεσίας, ὧν πείσονται. ἄνθρωπον δὲ ἀεί τι ἐν τῇ ψυχῇ ἔχοντα θανάτου, καὶ μή πω ἐφεστηκότος, δεῖμα· πῶς εἰκὸς παρόντος ἤδη, καὶ ἐν ὀφθαλ- C μοῖς ὄντος, δεῖξαί τι ἐπὶ τῶν σπλάγχνων μαντικὸν, ἢ ὅλως εὔθυτον; ὅτι δὲ ὀρθῶς τε, καὶ κατὰ φύσιν στοχάζομαι τούτων, σκόπει, βασιλεῦ, ὧδε. τὸ ἧπαρ, ἐν ᾧ φασι τὸν τῆς αὐτῶν μαντικῆς εἶναι τρίποδα οἱ δεινοὶ ταῦτα, ξύγκειται μὲν οὐ καθαροῦ αἵματος· πᾶν γὰρ ὅ, τι ἀκραιφνὲς, καρδία ἴσχει, δι᾽ αἱματηρῶν φλεβῶν D ἀποχετεύουσα ἐς πᾶν τὸ σῶμα· χολὴν δ᾽ ἐπὶ ἥπατι κειμένην, ὀργὴ μὲν ἀνίστησι, φόβοι δὲ ὑπάγουσιν ἐς τὰ κοῖλα τοῦ ἥπατος· ὑπὸ μὲν δὴ τῶν παροξυνόντων ζέουσα, καὶ μηδὲ τῷ ἑαυτῆς ἀγγείῳ φορητὸς οὖσα, ὑπτίῳ ἐπιχεῖται τῷ ἥπατι, καθ᾽ ὃ ἐπέχει χολὴ πᾶσα τὰ λεῖά τε, καὶ μαντικὰ τοῦ σπλάγχνου. ὑπὸ δὲ τῶν δειματούντων

ξυνιζάνουσα, ξυνεπάγεται καὶ τὸ ἐν τοῖς λείοις φῶς. ὑπονοστεῖ γὰρ τότε καὶ τὸ καθαρὸν τοῦ αἵματος, ὑφ' οὗ* σπληνοῦται τὸ ἧπαρ, ὑποστρέφοντος φύσει τοῦ περὶ αὐτὸ ὑμένα, καὶ τοῦ πηλώδους ἐπιπολάζοντος. τί οὖν, ὦ βασιλεῦ, τῆς μιαιφονίας ἔργον, εἰ ἄσημα τὰ ἱερὰ ἔσται; ἄσημα δ' αὐτὰ ἡ ἀνθρωπεία φύσις ἐργάζεται, ξυνιεῖσα τοῦ θανάτου. καὶ αὐτοὶ οἱ ἀποθνήσκοντες, οἱ μὲν γὰρ εὔψυχοι, ξὺν ὀργῇ τελευτῶσιν· οἱ δ' ἀθυμότεροι, ξὺν δέει. ὅθεν ἡ τέχνη παρὰ τοῖς οὐκ ἀνεπιστήμοσι βαρβάροις, χιμαίρας μὲν, καὶ ἄρνας ἐπαινεῖ σφάττειν, ἐπειδὴ εὐήθη τὰ ζῶα, καὶ οὐ πόρρω ἀναισθήτων. ἀλεκτρυόνας δὲ, καὶ σῦς, καὶ ταύρους, ἐπειδὴ θυμοειδῆ ταῦτα, οὐκ ἀξιοῖ τῶν ἑαυτῆς ἀπορρήτων. ξυνίημι, ὦ βασιλεῦ, παροξύνων τὸν κατήγορον, ἐπειδὴ σοφώτερόν σε ἀκροατὴν εἴργασμαι· καί μοι δοκεῖς καὶ προσέχειν τῷ λόγῳ. εἰ δὲ μὴ σαφῶς τι αὐτῶν φράζοιμι, ξυγχωρῶ σοι ἐρωτᾶν με. εἴρηταί μοι τὰ πρὸς τὴν τοῦ Αἰγυπτίου γραφήν· ἐπεὶ δ' οἶμαι χρὴ μηδὲ τὰς Εὐφράτου διαβολὰς ὑπερορᾶσθαι, σὺ, ὦ βασιλεῦ, δικάζοις ὁπότερος ἡμῶν φιλοσοφεῖ μᾶλλον. οὐκοῦν ὁ μὲν, ἀγωνίζεται μὴ τἀληθῆ περὶ ἐμοῦ λέγειν· ἐγὼ δ' οὐκ ἀξιῶ. καὶ ὁ μέν σε ἡγεῖται δεσπότην, ἐγὼ δ' ἄρχοντα. καὶ ὁ μὲν, ξίφος ἐπ' ἐμέ σοι δίδωσιν. ἐγὼ μὲν οὖν, ἀλλ' ὑπὲρ ὧν γε διαβέβληκεν, οἱ λόγοι εἰσὶν, οὓς ἐν Ἰωνίᾳ εἶπον. φησὶ δ' αὐτοὺς οὐκ

A quæ timore terrentur, ſubſidés cholera ſimul contrahit, quicquid lẽuibus hepatis partib. luminis inerat. Tunc enim introrſum cedit purioris ſanguinis pars, qua *iecur tanquam linteolo cingitur*, cùm naturâ *ſanguis ſub membranam* quæ circa ipſum eſt, *funditur*, & turbulentæ *luculentæque parti* ſupernatet. Quid igitur hominis iugulatione opus eſt, ô rex, ſi nihil veri portẽdere poteſt eiuſmodi ſacrificiũ? Quod autem nihil portendere poſſit, ab humana natura prouenit, quæ B imminentem mortem agnoſcit: ipſi etiam, qui morituri ſunt, varietatem plurimam inteſtinis afferunt. Qui enim animoſiores ſunt, cum quadam iracundia moriuntur: qui verò molliores ſunt, cum timore. Hic eſt quòd ars huiuſmodi apud non imperitos etiam barbaros, hœdos, aut agnos mactari laudat: quoniam amentia ſunt eiuſmodi animalia, nec multùm ab inſenſatis diſtantia. Gallos autem gallinaceos, & ſues, ac tauros, C quoniam animo abundant, ſuis arcanis non admittunt. Animaduerto autem, ô rex, accuſatorem à me irritari, quoniam te ſapientiorem efficio: videriſq. libenter orationi meæ aures præbere: quod ſi quid horum obſcurius à me dictum videtur, concedo tibi vt arbitratu tuo me interroges. Ego enim ad ea, quæ mihi ab accuſatore obiecta fuerunt, ſatis iam dixiſſe videor: & quoniam neque Euphratis calumnias cõtemnere deD cet, tu rex iam iudicare potes, vter noſtrûm verius philoſophetur. Ipſe enim de me falſa dicere laborabat; at ego falſum dicere indignor. Et ille quidem te dominum, ego verò principem puto. Ipſe tibi gladium contra me dedit, ego contra eum minimè: ſed pro quibus ipſe me calumniatur, ſermones ſunt, quos in Ionia ſum locutus. Ipſe enim contra

te dixiſſe me talia calumniatur. Ego autem de fatis tunc, & neceſſitate loquens, regum, ac principum afferebam exempla, quia res veſtræ in omnium hominum oculis maximè verſantur. Et de fatorum vi philoſophatus dixi illorum legem adeò immutabilem eſſe, vt ſi cui alienum regnum, aut imperium fata decreuerint, íſque ob ſuſpicionem ab eo, qui regnum tenet, interficiatur, fore vt mortuus etiam ſuſcitetur ab inferis, quò fatorum decreta effectum ſortiantur: iuuat autem exceſſu quodam orationis vti propter eos, qui probabilibus rationibus aſſentiri nolunt. Dicebam quoque ſicui fata deſtinauerint, vt faber lignarius euaderet; is manus amputaret: fore nihilominus, vt ſit faber. Eodem etiam modo ſi cui in Olympiis currendi victoria à fatis decreta ſit: hunc etiam ſi crus perfregerit, victoria potiturum: & cui in arte ſagittandi præſtantiam fata adnuerint, is ne ſi oculos quidem abiecerit, à ſigno aberrabit. De rebus autem loquebar ad Acriſium Laium, Aſtyagémq; Medum, & alios multos reſpiciens, qui regno ſuo bene cauiſſe opinabantur: cùm alij filios, alij nepotes interfeciſſe putarentur, à quibus poſtea regno ſpoliati fuerunt, cùm ex abdita fatorum opera in lucem repente editi eſſent. Quòd ſi adulationem ſectari vellem, dicerem fata etiam de tuis rebus cogitaſſe, quando huc Vitellio miſſus fuiſti, Iouíſque templum in oculis ciuitatis cõbuſtum eſt. Ille autem bene ſe rem habere dixit, ſi ab ipſo non aufugeres, quanquam adoleſcens admodũ tunc eſſes: imò nõdum. Sed quoniá

A ἐς τὸ ξυμφέρον ὑπ' ἐμοῦ εἰρῆσθαι. καίτοι τὰ μὲν λεχθέντα, ἦν ὑπὲρ μοιρῶν, καὶ ἀνάγκης. παράδειγμα δ' ἐγένετό μοι τοῦ λόγου τὰ τῶν βασιλέων πράγματα, ἐπειδὴ μέγιστα τῶν ἀνθρωπείων δοκεῖ τὰ ὑμέτερα. μοιρῶν τοίνυν ἰσχὺν ἐφιλοσόφουν, καὶ τὸ οὕτως ἄτρεπτα εἶναι, ἃ κλώθουσιν, ὡς εἰ καὶ βασιλείαν τῳ ψηφίσαιντο, ἑτέρου δὴ ὑπάρχουσαν, ὁ δ' ἀποκτείνειε B τοῦτον, ὡς μὴ ἀφαιρεθείη ποτὲ ὑπ' αὐτοῦ τὸ ἀρχήν, κἂν ἀναβιώη ὁ ἀποθανὼν ὑπὲρ τῶν δοξάντων ταῖς μοίραις. τὰς γὰρ ὑπερβολὰς τῶν λόγων εἰσαγόμεθα, διὰ τοὺς τοῖς πιθανοῖς ἀπειθοῦντας, ὥσπερ ἂν εἰ καὶ τοιόνδε ἔλεγον, ὅτῳ πέπρωται γενέσθαι τεκτονικῷ, οὗτος κἂν ἀποκοπείη τὼ χεῖρε, τεκτονικὸς ἔσται. καὶ ὅτῳ νίκην ἐν Ὀλυμπίᾳ δρόμου ἄρασθαι, οὗτος οὐδ' εἰ πηρωθείη τὸ σκέλος, ἁμαρτήσεται τῆς νίκης· καὶ ὅτῳ ἔνευσαν μοῖραι τὸ ἐν το- C ξείᾳ κράτος, οὗτος οὐδ' εἰ ἀποβάλοι τὰς ὄψεις, ἐκπεσεῖται τοῦ σκοποῦ. τὰ δὲ τῶν βασιλέων ἔλεγον, ἐς τοὺς Ἀκρισίους δή που ὁρῶν, καὶ τοὺς Λαΐους, Ἀστυάγη τε τὸν Μῆδον, καὶ πολλοὺς ἑτέρους εὖ τίθεσθαι τὰ αὐτῶν, τοιαῦτα ἐν ἀρχῇ δόξαντας. ὧν οἱ μὲν, παῖδες, οἱ δὲ, ἐκγόνους ἀποκτεῖναι οἰηθέντες, ἀφῃρέθησαν ὑπ' αὐτῶν τὸ βασιλεύειν, D ἀναφύντων ἐξ ἀφανοῦς ξὺν τῷ πεπρωμένῳ. καὶ εἰ μὲν ἠγάπουν κολακεύειν, εἶπον ἂν καὶ τὰ σὰ ἐντεθυμῆσθαι, ὅτε ἀπείληψο μὲν ὑπὸ τοῦ Βιτελίου ἐνταῦθα, κατεπίμπρατο δὲ ὁ νεὼς τοῦ Διὸς περὶ τὰς ὀφρῦς τοῦ ἄστεος. ὁ δ' εὖ κείσεσθαι τὸ ἑαυτοῦ ἔφασκεν, εἰ μὴ διαφύγοις αὐτόν. καίτοι μειράκιον ἱκανῶς ἦσθα, καὶ οὔπω οὗτος. ἀλλ' ὅμως

κ. ἀνθρώπεια δ.

ἐπειδὴ μοίραις ἐδόκει ἑτέρα, ὁ μὲν ἀπώλετο αὐταῖς βουλαῖς· σὺ δὲ, τἀκείνου νῦν ἔχεις. ἐπεὶ δ' ἁρμονίᾳ κολακευτικῇ ἄχθομαι, δοκεῖ γάρ μοι τ' ἐκρύθμων τε, καὶ οὐκ εὐφθόγγων εἶναι, τεμνέσθω μοι ἤδε ἡ νευρά· καὶ μηδὲν ἡγοῦ τῶν σῶν ἐντεθυμῆσθαί με, ἀλλὰ διειλέχθαι μόνα τὰ ὑπὲρ μοιρῶν, καὶ ἀνάγκης· ταυτὶ γάρ φησιν εἰρῆσθαί μοι ἐπὶ σέ. καίτοι τὸν λόγον τοῦτον ἀνέχονται μὲν καὶ οἱ πολλοὶ τῶν θεῶν. οὐκ ἄχθεται δὲ οὐδὲ ὁ Ζεὺς ἀκούων καὶ ταῦτα τῶν ποιητῶν ἐν τοῖς Λυκίοις λόγοις, ὤμοι ἐγὼν ὅτε μοι Σαρπηδόνα· καὶ τοιαῦτ' ἐς αὐτὸν ᾀδόντων, ἐν οἷς τοῦ υἱέως ἐξίστασθαί φησι ταῖς μοίραις. λεγόντων τε αὖ ἐν ψυχοστασίᾳ, ὅτι Μίνω τὸν ἀδελφὸν τοῦ Σαρπηδόνος ἀποθανόντα, χρυσῷ μὲν σκήπτρῳ ἐτίμησε, καὶ δικάζειν ἔταξεν ἐν τῇ τοῦ Αἰδωνέως ἀγορᾷ, μοιρῶν δ' οὐ παρῃτήσατο· σὺ δ', ὦ βασιλεῦ, τοῦ χάειν ἄχθῃ τῷ λόγῳ, θεῶν καρτερούντων αὐτὸν, οἷς πέπηγεν ἀεὶ τὰ πράγματα, καὶ μὴ ἀποκτενόντων τοὺς ποιητὰς ἐπ' αὐτῷ; προσήκει γὰρ ταῖς μοίραις ἕπεσθαι, καὶ πρὸς τὰς μεταβολὰς τῶν πραγμάτων μὴ χαλεποὺς εἶναι· Σοφοκλεῖ τε μὴ ἀπιστεῖν,
" –μόνοισιν οὐ γίγνεται
" Θεοῖσι γῆρας, οὐδὲ μὴν θανεῖν ποτε.
" Τὰ δ' ἄλλα ξυγχεῖ πάνθ' ὁ παγκρατὴς χρόνος·
ἄριστα δὴ ἀνθρώπων λέγοντι· εὐκύκλιοι γὰρ αἱ κατ' ἀνθρώπους εὐπραγίαι· καὶ ἐφήμερον, ὦ βασιλεῦ, τὸ τοῦ ὄλβου μῆκος, τἀμὰ, τοῦδε, καὶ τὰ τούτου, ἕτερος, καὶ ὁ δεῖνα, τὰ τοῦ δεῖνος ἔχων, οὐκ ἔχει. ταῦτ' ἐννοῶν, ὦ βασιλεῦ, παῦε μὲν φυγὰς, παῦε δ' αἷμα· καὶ φιλοσοφίᾳ μὲν ὅ, τι βούλει, χρῶ. ἀπαθὴς γὰρ ἥ γε ἀληθής.

A fatis aliter viſum fuerat, ille quidem *periit ſuis conſiliis*. tu autem quæ illius erant, nunc poſſides. Sed quoniam adulatoria harmonia me offendit, quòd malè ſonora, *& immodulata* videatur, amputabis à me tales chordas: nec exiſtimes velim de tuis rebus quicquam me cogitaſſe: ſed de fatis tantùm, neceſſitatéque diſſeruiſſe, quæ calumniator contra te dicta fuiſſe criminatur. quamuis huiuſmodi quædam de ſe dici etiam Dij patiantur. B nec indignatur Iuppiter poëtas audiens in Lyciis narrationibus talia dicere, *Heî mihi! Sarpedon perit.* & alia quædam in ipſum decantari, quibus filio ſe orbatum à fatis conqueritur. Et cùm alibi inducunt eundem Iouem animo anxium taliter ſe conſolari, quòd Minoem Sarpedonis fratrem mortuum aureo ſceptro decorauerit, inſtituerítque inferorum foro ius dicere, vbi fata euitare non potuit. C Tu igitur, rex, cur eos ſermones moleſtè feras, quos Dij *tolerant*, quibus *res fixæ ſunt*; nec poëtas talia dicentes interimunt. Oportet enim fata ſequi, & rerum permutationes patienter perferre, in quo Sophocli credendum eſt ſapienter dicenti,

—Diis ſeneſcere
Solis negatur, & mori extremũ diem.
Aſt cuncta miſcet alia tempus prapotens.

Volubiles enim ſunt proſperitates humanæ: & diurna pene, ô rex, diuitiarum duratio, & ille D meas, & iſte alterius, atq; alter alius opes habens, non habet. Talia tecũ, ô rex, cogitans, ſiſte exilia, ſiſte cædes, & philoſophia quacunque libet vtere. *nam vera quidem affectus expers eſt.*

existens,

exiſtens, lachrymas ab omnibus auſer, quæ nunc, vt ex me audire potes, partim ex mari, partim ex continenti accedunt, & earum quælibet *quod fletu dignum eſt* deplorant. Quæ autem mala hinc oriuntur, plura ſunt, quàm vt calumniatorum linguis poſſint enumerari: qui cùm omnia apud te calumnientur, omnibus te calumniabilem reddunt.

A δάκρυα δὲ ἀνθρώπων ἀφαιρεῖ, ὡς νῦν γε ἠχὼ μυρία μὲν ἐκ θαλάττης, πολλῷ δὲ πλείω ἐξ ἠπείρου φοιτᾷ, θρηνούντων, ὅτι ἑκάστῳ θρήνου ἄξιον. τὰ δὲ ἐντεῦθεν φυόμενα πλείω ὄντα, ἢ ἀριθμεῖσθαι, ταῖς τῶν συκοφαντῶν γλώτταις ἀνῆπται, διαβαλλόντων σοί τε πάντα, καὶ σέ, ὦ βασιλεῦ, πᾶσιν.

In orationis Apollonij calce hunc Homeri verſum fuiſſe:

Οὐ γάρ με κτενέεις, ἐπεὶ οὔτοι μόρσιμός εἰμι. hoc eſt,

Non me vnquam occides: nam non dant hoc tibi Parcæ.

Tum cùm eſſet ante Domitianum diſparuiſſe Apollonium, ac ſtupefactum tyrannum.

CAP. IIII.

TALIA ſunt quæ dicere præmeditatus fuerat Apollonius. In fine autem orationis inueni, quæ in priore ſermone vltimo loco poſita fuiſſe retulimus his verbis,

Non me vnquam interimes; namque id tibi fata negarunt. Poſtquam autem ex prætorio diſceſſit diuino quodam, & inenarrabili modo, haudquaquam ſicut plerique forſitan putabant, commotus eſt tyrannus. Opinabantur autem alij fore, vt clamore ſublato iuberet ſatellites virum perſequi, palámque per omnes regni partes edicere, ne quis eũ ſuſcipere auderet. Nec illum vſquã conſiſtere pateretur. Ipſe autem nihil horum fecit, ſiue vt opinionem multorum falleret, ſiue quòd agnoſceret ſibi nihil reliqui eſſe, quod aduerſum talem virum ſufficeret. Verum autem illum contempſerit, ex iis, quæ mox dicentur, coniicere poterimus. Videbatur enim potius eius diſceſſu fuiſſe conturbatus, quàm eundem neglexiſſe, aut contempſiſſe. Agebatur apud ipſum cauſa, vbi ciuitas quædam cum homine priuato de teſtamento quodã

ΩΔΕ μὲν δὴ τῷ ἀνδρὶ τὰ ἐκ παρασκευῆς εἶχεν· ἐπὶ τελευτῇ δὲ εὗρον τοῦ λόγου τὰ τελευταῖα τοῦ προτέρου, τὸ, „Οὐ γάρ με κτενέεις, ἐπεὶ οὔτοι μόρσιμός εἰμι. „ C καὶ τὰ πρὸ τούτου ἔτι, ἀφ' ὧν τοῦτο. ἐπεὶ δὲ ἀπῆλθε τοῦ δικαστηρίου, δαιμόνιόν τε, καὶ οὐ ῥᾴδιον εἰπεῖν τρόπον, οὐκ ἔπαθεν ὁ τύραννος, ὥσπερ* οἱ πολλοὶ ᾤοντο. οἱ μὲν γὰρ ᾤοντο αὐτὸν σχέτλια ὑπὲρ τούτου βοήσεσθαι, καὶ δίωξιν ποιήσεσθαι τοῦ ἀνδρός, κηρύξειν τε ἐς τὴν αὐτοῦ πᾶσαν, μηδαμοῦ παραιτητέα εἶναι οἱ. ὁ δὲ οὐδὲν τούτων· D ἀλλ' ὥσπερ ἀγωνιζόμενος πρὸς τὴν τῶν πολλῶν δόξαν, ἢ ξυνιεὶς λοιπὸν ὅτι μηδὲν ἐπὶ τὸν ἄνδρα οἱ αὐτάρκες. εἰ δὲ ὑπερεώρα, ξυμβαλώμεθα τοῖς ἐφεξῆς. φαίνεται γὰρ ἂν ξυνταραχθεὶς μᾶλλον, ἢ καταφρονήσας. ἠκροᾶτο μὲν γὰρ ἑτέρας ἐπ' ἐκείνῃ δίκης. πόλις δὲ ἦν ἀγωνιζομένη πρὸς ἄνδρα, ὑπὲρ διαθηκῶν

* κ. ἴσως

οἶμαι. διέφυγεν δ' αὐτὸν οὐ μόνον τὰ τῶν δικαζομένων ὀνόματα, ἀλλὰ καὶ ὁ νοῦς τῆς δίκης. ἀνόητοι μὲν γὰρ αἱ ἐρωτήσεις ἦσαν. αἱ δ' ἀποκρίσεις, οὐδ' ὑπὲρ ὧν ἡ κρίσις, ἃ σφόδρα ἤλεγχε τὸν τύραννον, ὡς ἐξεπέπληκτό τε, καὶ ἠπόρει, δι' αὐτὸ μάλιστα τὸ πεπεῖσθαι πρὸς τῶν κολακευόντων, ὅτι μηδὲν ἂν διαφύγοι αὐτόν. οὕτω τὸν τύραννον διαθεὶς, καὶ παίγνιον τῆς ἑαυτοῦ φιλοσοφίας ἀποφήνας τὸν Ἕλλησί τε, καὶ βαρβάροις φοβερὸν πᾶσι, περὶ μεσημβρίας μὲν ἀπῆλθε τοῦ δικαστηρίου, περὶ δείλην δ' ἐν Δικαιαρχίᾳ ἐφάνη Δημητρίῳ τε, καὶ Δάμιδι. καὶ τοῦτ' ἄρ' ἦν τὸ παρακελεύσασθαι αὐτὸν τῷ Δάμιδι, μὴ περιμεῖναι τὴν ἀπολογίαν, πλεῦσαι ἐς Δικαιαρχίαν. τὰ μὲν γὰρ βεβουλευμένα οὐ προὔλεγε· τὸν δ' ἑαυτῷ ἐπιτηδειότατον ἐκέλευε πράττειν, ἃ τοῖς βεβουλευμένοις εἵπετο. ἐτύγχανε μὲν δὴ ὁ Δάμις τῆς προτεραίας ἀφιγμένος, καὶ τῷ Δημητρίῳ ξυγγεγονὼς ὑπὲρ τῶν περὶ τῆς δίκης. ὁ δ' εὐλαβέστερον, ἢ τὸν ὑπὲρ Ἀπολλωνίου ἀκροώμενον εἰκὸς, διαπεθεὶς ἦν, ὑφ' ὧν ἤκουσε. καὶ πάλιν τῆς ὑστεραίας, ὑπὲρ τῶν αὐτῶν ἤρετο, ξυναλύων αὐτῷ παρὰ τὴν θάλατταν, ἐν ᾗ τὰ περὶ τὴν Καλυψὼ μυθεύματα. ἀπεγνώκει μὲν γὰρ ὡς οὐχ ἥξοντος, ἐπειδὴ τὰ τῆς τυραννίδος χαλεπὰ ἦν πᾶσι. τὰ δ' ὑπ' αὐτοῦ προστεταγμένα ἐτίμων, διὰ τὴν φύσιν τοῦ ἀνδρός. ἀπειπόντες οὖν, ἐκάθηντο ἐς τὸ νυμφαῖον, ἐν ᾧ ὁ πίθος.

A litigabat. Fugerant autem ipſum non modo litigantium nomina, ſed ipſius etiam cauſæ materia ídque præterea facilè apparuit, quòd *inſipienter* quædam interrogabat, & multa reſpondebat, quæ nihil omnino ad cauſam attinerent: quæ omnia arguebant ipſum ſtupefactum hæſitare, atq. eò magis, quòd ab aſſentatoribus audiebat ſe nihil vnquam eſſe oblitum. Hoc igitur modo tyrannum affectum linquens Apollonius, & ſuæ philoſophiæ quaſi

B ludum quendam oſtendens omnibus Græcis, Barbaríſque terribilem, ante meridiem è prætorio diſceſſit: non multùm verò poſt meridiem Puteolos Demetrio, Damidíque apparuit. Hæc enim cauſa fuerat, cur Damidi præciperet, vt non expectata defenſionis die Puteolos proficiſceretur. Nam quid facere inſtituiſſet non prædicebat, ſed quod ſibi commodiſſimum eſſet, facere illum iuſſit. Damis verò licet non intellecta cauſa, quæ man-

C dauerat Apollonius, exequebatur. Aduenerat autem pridie Damis Puteolos, & quæ ad accuſationem pertinebant, cum Demetrio contulerat: qui tardius quàm Apollonij auditorem deceret, credebat ea, quæ à Damide dicebantur. Itaque poſtridie eadem de cauſa ex Damide rurſus quærebat, ambóque deambulabant ſecus mare, vbi contigiſſe feruntur ea, quæ de Calypſo-

D ne narrantur in fabulis. Diffidebat autem omnino, illum vnquam eſſe euaſurum, quòd omnibus nota eſſet ſæuitia tyranni. Quæ tamen præceperat Apollonius, propter hominis venerationem peragebat. Ambulando autem vtrique iam defeſſi in templo Nympharum conſederunt, vbi quondam vaticinia quædam reſponderi ſolita fuerant.

Eſt autem templum albo lapide cõſtructũ, & in eo fons eſt aquæ nunquam ſumma labra fontis excedẽtis, nec rurſus quantacunque illinc aqua exhauſta decreſcentis. De natura igitur eius aquæ diſputabant non admodũ ſtudioſè propter mœrorem, quem ex Apollonij abſentia conceperant: itaque ſæpius orationem reuocabant ad ea quæ ante iudicium facta fuerant.

A λευκοῦ δὲ οὗτος ἐστὶ λίθου, ξυνέχων πηγὴν ὕδατος, οὔθ' ὑπερβάλλουσαν τοῦ στομίου, οὔτ' εἴ τις ἀπαντλοίη, ὑποδιδοῦσαν. διαλεχθέντες δὲ ὑπὲρ τῆς φύσεως τοῦ ὕδατος, οὐ μάλα ἐσπουδακότως διὰ τὴν ἐπὶ τῷ ἀνδρὶ ἀθυμίαν, ἐπανῆγον τὸν λόγον ἐς τὰ περὶ τῆς δίκης.

Apollonium apparuiſſe Puteolis Demetrio, & Damidi mæſtis, iiſque exiſtimantibus eum eſſe ſpiritum, præbuiſſe ſe tangendum, atque amplectendum. Hinc omnia narraſſe, quæ contigerant. Cap. V.

Qvvm igitur ingemiſceret Damis, & lachrymans talia diceret, ô Dij: nunquam ne videbimus probum & honeſtum amicum? Apollonius, qui & ipſe ſuperueniens ad Nympharum templum acceſſerat, *hoc audito,* Videbitis, inquit, vel potius iam *vidiſtis.* Viuentem, inquit Demetrius. *ſed ſi mortuum nunquam ſuper te flere* ceſſauerimus. Protendens itaq; manum Apollonius, Cape me, inquit, & ſi manus tuas effugero, idolum me eſſe arbitrator à Proſerpina huc adueniens, quale terreſtres Dij oſtendere plerunque ſolent hominibus, qui mœrori nimis indulgent. Sin verò tangenti reſiſtã, perſuadeto tibi; atq. huic etiam Damidi me adhuc viuere, neque corpus depoſuiſſe. Quibus verbis effecit, vt amplius illi nihil dubitarent. Aſſurgentes igitur, atque illum complexi, cùm ſalutauiſſent, quo pacto erga defenſionem ſeſe res habuiſſet, interrogabant. Demetrius enim nulla peracta defenſione, & omnino indicta cauſa interfectũ eum fuiſſe opinabatur. Damis autem peroratam quidẽ ab eo cauſã, ſed breuius fortiſtan quàm conſtituiſſet, arbitrabatur.

B Ἀνολοφυρομένου δὲ τοῦ Δάμιδος, καί τι καὶ τοιοῦτον εἰπόντος, ἆρ' ὀψόμεθά ποτε, ὦ θεοί, τὸν καλόν τε καὶ ἀγαθὸν ἑταῖρον; ἀκούσας ὁ Ἀπολλώνιος, καὶ γὰρ δὴ καὶ ἐφεστὼς ἤδη τῷ νυμφαίῳ ἐτύγχανεν, ὄψεσθε, εἶπε. μᾶλλον δὲ ἑωράκατε. ζῶντα, ἔφη ὁ Δημήτριος· εἰ δὲ τεθνεῶτα, οὔπω πεπαύμεθα ἐπὶ σοὶ κλάοντες· προτείνας οὖν ὁ C Ἀπολλώνιος τὴν χεῖρα, λαβοῦ μου, ἔφη· κἂν μὲν διαφύγω σε, εἴδωλον εἰμί σοι ἐκ Φερσεφάττης ἥκον, οἷα φαίνουσιν οἱ χθόνιοι θεοὶ τοῖς ἀθυμοτέροις τὰ πένθη. εἰ δὲ ὑπομείναιμι ἁπτόμενον, πεῖθε καὶ Δάμιν ζῆν τέ με, καὶ μὴ ἀποβεβληκέναι τὸ σῶμα. οὐκέθ' οἷοί τ' ἀπιστεῖν ἦσαν, ἀλλ' ἀ- D ναστάντες, ἐξεκρέμαντο τοῦ ἀνδρὸς, καὶ ἠσπάζοντο. ὑπέρ τε τῆς ἀπολογίας ἤροντο. ὁ μὲν γὰρ Δημήτριος οὐδὲ ἀπολελογῆσθαι αὐτὸν ἀπολέσθαι γὰρ ἂν καὶ μὴ ἀδικοῦντα. Δάμις δὲ ἀπολελογῆσθαι μὲν, θᾶττον δ' ἴσως.

οὐ γὰρ ἐπ᾽ ἐκείνης γε τῆς ἡμέρας ᾤετο. ὁ δ᾽ Ἀπολλώνιος, ἀπολελόγημαι, ἔφη, ὦ ἄνδρες, καὶ νικῶμεν. γέγονε δέ μοι τὰ τῆς ἀπολογίας τήμερον, οὐ πρὸ πολλοῦ τῆς ἡμέρας· προήει γὰρ ἤδη ἐς μεσημβρίαν. πῶς οὖν, ἔφη ὁ Δημήτριος, τοσαύτην ὁδὸν ἐν σμικρῷ τῆς ἡμέρας ἤνυσας; καὶ ὁ Ἀπολλώνιος, πλὴν κριοῦ,* ἔφη, καὶ πτερῶν κηροῦ ξυγκειμένων, πάντα οἴου θεὸν ἐπιγράφων τῇ πομπῇ ταύτῃ. πανταχοῦ μέν, ἦ δ᾽ ὁ Δημήτριος, τῶν σῶν ἔργων τε, καὶ λόγων, θεόν ἀεί τινα προορᾶν ἡγοῦμαι, παρ᾽ οὗ τὰ σὰ οὕτως ἔχει· τὴν δ᾽ ἀπολογίαν, ἥτις γέγονε, καὶ ἅττα ἡ κατηγορία εἶχε, καὶ τὸ τοῦ δικάζοντος ἦθος, καὶ ὅ, τι ἤρετο, καὶ ὅτῳ ξυγκατέθετο, ἢ ὅτῳ μή, λέγε ὁμοῦ πάντα, ἵνα καὶ Τελεσίνῳ ἕκαστα φράζοιμι· οὐ γὰρ ἀνήσει ἐρωτῶν τὰ σά. ὅς γε καὶ πρὸ πεντεκαίδεκα ἴσως ἡμερῶν ἐμοὶ ξυμπίνων ἐν Ἀντίῳ, κατέδαρθε μὲν ἐπὶ τῆς τραπέζης. μεσούσης δ᾽ αὐτῷ τῆς κύλικος, ἔδοξεν ὄναρ, πῦρ ἐν τῇ γῇ πελαγίσαι, τοὺς μὲν, ἀπολαμβάνειν τῶν ἀνθρώπων· τοὺς δὲ, φθάνειν ὑποφεύγοντας, καὶ γὰρ δὴ καὶ ῥεῖν αὐτὸ παραπλησίως τῷ ὕδατι. σὲ δ᾽ οὐχ ὅπερ οἱ πολλοὶ παθεῖν, ἀλλὰ διανεῦσαι* αὐτοῦ σχεθέντος. ἐπὶ δὲ τῷ ἐνυπνίῳ τούτῳ, θεοῖς εὐξυμβόλοις ἔσπεισεν ἐμοί τε παρεκελεύσατο ὑπὲρ σοῦ θαρρεῖν. καὶ ὁ Ἀπολλώνιος, οὐ θαυμάζω Τελεσῖνον, εἶπεν, ὑπερκαθεύδοντα· καὶ γὰρ δὴ καὶ ὑπερεγρήγορέ μου πάλαι. τὰ δ᾽ ὑπὲρ τῆς δίκης, πεύσεσθε μέν, οὐ μὴν ἐνταῦθα.

σχολ. κριοῦ δηλ. τοῦ Φρίξου. πτερῶν, δηλ. τοῦ Δαιδάλου

σχ. διακο-λυμβῆσαι ἢ διανῆξαι

A Neque enim exiſtimabat ea die tam multa ab eo diu dici potuiſſe. Quibus reſpondens Apollonius, Ego me, inquit, in iudicio defendi, & aduerſarium vici: & hoc ipſo die me defendens oraui, & ſermonem à diei ferme principio in meridiem vſque protraxi dicendo. Quomodo igitur, inquit Demetrius, tam longum iter breui diei parte peregiſti? Cui Apollonius, Sine ariete, inquit, & alis cera conglutinatis exiſtimare potes Deum quendã huic tranſ-B miſſioni præſtitiſſe auxilium? Ego verò, inquit Demetrius, operibus, ſermonibúſque tuis omnibus Deum aliquem intereſſe non dubito, cuiux auxilio proſperè ſuccedunt, & bene habent res tuæ. Rogo autem vt nobis dicas, quæ in accuſatione continebantur, & quis iudicantis mos, quis habitus fuerit; quid *interrogarit*; aut cui de te conſilia communicauerit; *aut cui non patefecerit*. Hæc enim omnia ſcire percupio, C vt ea Teleſino referam. Is enim de te per nuntios interrogare nunquam deſinet. Quandoquidem diebus ab hinc ferè quindecim, in conuiuio mecum accubans, in ipſa menſa dormitauit: cúmque dimidium ferè calicem ebibiſſet, ſomnium vidit eiuſmodi: Videbatur ignis terram inuadens, hominum alios comprehendere, alios fugientes præuenire: cùm perinde atque aqua paſſim fluens omnia inunda-D ret: tu autem (vt aiebat) non ſicut ceteri ab igne pati videbaris: nam tuo ſpiritu ſcindebatur ignis. Tali igitur ſomnio viſo cùm Diis bene conſulentibus libauiſſet, bono animo de te eſſe me iuſſit. Tunc Apollonius, Ego, inquit, Teleſinum profundè dormire non miror, iamdudum enim valde pro me vigilauit. Quæ verò in iudicio acta ſunt, audietis quidem, non autem hîc.

Iam enim multùm poſt meridiem temporis lapſum eſt, & in vrbem redeundi hora eſt. Iucundius enim ambulabimus, ſi nos confabulationes aliquę deduxerint Pergamus igitur de his colloquentes, quæ me interrogaſtis. Dicam autem, quæ hodie in iudicio acta ſunt. Nam quæ ante iudiciũ egerimus, ambo noſtis: cùm tu quidem Damis interfueris; tu autem non ſemel, (vt arbitror) ſed iterũ atq; iterum ex ipſo audieris, niſi fortè Demetrij ſum oblitus. Quæ igitur adhuc neſcitis, enarrabo. Atque ita incipiens à præfatione, qua vſus fuerat, & quo pacto nudus intrare prætorium iuſſus fuerat, ac ſingula deinceps expoſuit, vſque ad id, quod vltimo loco dixerat, *Non me interficies.* &c. & tandem quomodo ex prætorio diſceſſit. Tunc exclamans Demetrius, Ego, inquit, iudicio abſolutum ad nos veniſſe te arbitrabar: video autem hoc periculorum principium eſſe tibi. Tyrãnus enim poſtquam vbi ſis, ei denuntiatum fuerit, te comprehendet, & omni vinculorum genere coërcebit. Verùm Apollonius timorem omittere iubens, Vtinam, inquit, vos non facilius, quàm ego, poſſetis capi. Ego autem quo pacto ſeſe nunc habeat tyrannus, agnoſco. Cùm enim aſſentatorum ſermones iugiter audire conſueuerint, nunc obſtupeſcentium verba audit; atq; ob tales ſermones diſrumpitur, excandeſcitque tyranni natura: ſed mihi nunc quiete opus eſt. Nã poſtquam ex iudicio diſceſſi, nunquam propter quietẽ capiendam flexi genua. Tum Damis, inquit, Demetri, ita erga hunc virum ſum affectus, vt ab inſtituto, in quo nunc etiam perſeuerat, auertere ipſum tentauerim: præſertim, cùm tu idem mihi conſuluiſſes, ne ſponte ad grauiora, manifeſtáque pericula accederet.

Comes facundus in via, pro vehiculo eſt.

δείλη τε γὰρ ἱκανῶς ἤδη, καὶ βαδίζειν ὥρα ἐς ἄστυ. ἡδίους δ' ὁ καθ' ὁδὸν λόγοι παραπέμψαι βαδίζοντας. ἴωμεν οὖν διαλαλοῦντες, ὑπὲρ ὧν ἐρωτᾶτε. λέξω δὲ τὰ τήμερον δή που ἐν τῷ δικαστηρίῳ πραχθέντα. τὰ γὰρ πρὸ τῆς κρίσεως, ἄμφω ἴστε, σὺ μὲν, παρατυχών, σὺ δ' ἠκροαμένος οἶμαι τούτου· μὰ Δί' οὐχ ἅπαξ, ἀλλὰ καὶ πάλιν, εἰ μὴ ἐκλέλησμαι Δημητρίου. ἃ δ' οὔπω ἴστε, *δίειμι, διείρων ἀπὸ τῆς προρρήσεως καὶ τοῦ γυμνὸς ἐπελθεῖν. διῄει δὲ καὶ τοὺς ἑαυτοῦ λόγους, καὶ ἐπὶ πᾶσι, τὸ, οὐ γάρ με κτενεῖς· καὶ τὸ ἀπελθεῖν τῆς κρίσεως, ὡς ἀπῆλθε. τότε ἀναβοήσας Δημήτριος, ἐγὼ μὲν ᾤμην σεσωσμένου ἀφῖχθαί σε· σοὶ δ' ἀρχὴ κινδύνων ταῦτα. ξυλλήψεται γάρ σε καταστελλόμενος, καὶ πάσης ἀποστροφῆς εἰργόμενος. ὁ δ' ἐρρῶσθαι τῷ Δημητρίου δέει φράζων· εἰ γὰρ καὶ ὑμεῖς, εἶπεν, ὧδε αὐτῷ εὐάλωτοι ἦτε. ἀλλ' ὅπως μὲν τἀκείνου νῦν ἔχει, ἐγὼ οἶδα. κολακευόντων γὰρ ἀεὶ λόγων ἀκροατὴς γιγνόμενος, νῦν ἐπιπληττόντων ἀκροᾶται. ῥήγνυνται δ' ὑπὸ τῶν τοιούτων αἱ τύραννοι φύσεις, καὶ περὶ ταῦτα χολῶσιν. ἐμοὶ δὲ ἀναπαύλης δεῖ, γόνυ οὔπω κάμψαντι *ἐκ τοῦ ἄθλου. καὶ ὁ Δάμις, ἐγὼ, Δημήτριε, διεκείμην μὲν οὕτως, ἔφη, πρὸς τὰ τοῦδε τοῦ ἀνδρὸς πράγματα, ὡς καὶ τῆς ὁδοῦ ταύτης ἀπάγειν αὐτὸν, ἐφ' ἣν ἥκει· ξυνεβούλευες δέ που καὶ σὺ ταῦτα, ὡς μὴ ἐς κινδύνους ἑκουσίους τε, καὶ χαλεποὺς ἴοι.

x. τὸ δ. / Ισ. τὸ δὲ δ.

ἐπεὶ δ' ἐτύγχανε μὲν δεδεμένος, ὡς ἐμοὶ ἐφαίνετο, ἄπορα δ' ἡγουμένῳ τὰ περὶ αὐτὸν, ἐφ' ἑαυτῷ, ἔφη, τὸ λελύσθαι εἶναι, καὶ τὸ σκέλος ἐλευθερώσας τοῦ δεσμοῦ, ἔδειξε· τό τε πρῶτον κατενόησα τοῦ ἀνδρὸς, θεσπέσιόν τε εἶναι αὐτὸν, καὶ κρείσσω τῆς ἡμεδαπῆς σοφίας. ὅθεν εἰ καὶ χαλεπωτέροις τούτων ἐντύχοιμι, οὐδὲν ἂν δείσαιμι ὑπὸ τούτῳ, καὶ κινδυνεύων· ἀλλ' ἐπειδὴ πλησίον ἑσπέρα, βαδίζωμεν ἐς τὴν καταγωγὴν, ἐπιμέλειαν ποιησόμενοι τἀνδρός. καὶ ὁ Ἀπολλώνιος, ὕπνου, ἔφη, δέομαι μόνου· τὰ δ' ἄλλα, ἐν ἴσῳ τίθεμαι λόγῳ, κἂν παρῇ τι αὐτῶν, κἂν ἀπῇ. μετὰ ταῦτα εὐξάμενος Ἀπόλλωνι, καὶ ἐπὶ τῷ Ἡλίῳ, παρῆλθεν ἐς τὴν οἰκίαν, ἣν ᾤκει ὁ Δημήτριος· καὶ τὼ πόδε ἀπονιψάμενος, παρακελευσάμενός τε τοῖς ἀμφὶ τὸν Δάμιν δειπνεῖν, ἐπειδὴ ἄσιτοι αὐτῷ ἐφαίνοντο, ἔρριψεν ἐς τὴν κλίνην ἑαυτόν. καὶ ἐφυμνήσας τῷ ὕπνῳ τὸ Ὁμήρου ἔπος, ἐκάθευδεν, ὡς οὐκ ἐπ' ἀξίοις φροντίσαι τοῖς παροῦσι.

A Sed poſtquam ego vinctum ipſum vidi, mihíque de ſalute ſua grauius aliquid cogitanti dixit ſui eſſe arbitrij, vt ſolueretur, & exemptum compede crus oſtendit: tum primùm animaduerti diuinũ quendam virum ipſum eſſe, & noſtram hanc communem ſapientiam excedere: itaque licet *in acerbiores hiſce caſus incurrerem*, non vererer grauiſſima quæque *pericula ſub* illo ſubire. Sed quoniam multùm iam noctis proceſſit, B in diuerſorium pergamus, vt virum curemus. Tunc Apollonius, Ego, inquit, ſomno duntaxat indigeo. Nam reliqua omnia adſint ne, an abſint tantidem facio. Poſt hæc Apollonius Apollini & Soli votis peractis domum ingreſſus eſt, vbi Demetrius habitabat: lotíſque pedibus cùm Damidis ſocios, alióſque familiæ domus cœnare iuſſiſſet, quòd diutius iam tolerasse ieiunium videbantur, in lectulo procubuit: C Homeríque verſu ſomnum laudans dormitauit, oſtendens non nimium oportere de periculis, quæ illi imminere dicebant, eſſe ſolicitum.

Soluiſſe Puteolos à Demetrio Apollonium, & nauigaſſe in Græciam: quantúſque totius Græciæ ad eum viſendum factus fuerit concurſus. Cap. VI.

ΠΕΡΙ δὲ ὄρθρον ἐρομένου αὐτὸν τοῦ Δημητρίου ποῖ τῆς γῆς τρέψοιτο, καὶ κτυπεῖσθαι δοκοῦντος τὰ ὦτα ὑπὸ ἐννοίας ἱππέων, οὓς ᾤετο ἐπικείσεσθαι ἤδη τῷ Ἀπολλωνίῳ διὰ τὴν ὀργὴν τοῦ τυράννου, διώξεται μὲν, ἔφη, με οὐδὲ αὐτὸς, οὐδὲ ἕτερος, ἐμοὶ δὲ ἐς τὴν Ἑλλάδα ὁ πλοῦς ἔσται. σφαλερός γε, εἶπε· τὸ γὰρ χωρίον φανερώτατον·

D POSTRIDIE adueniente aurora, cùm Demetrius eum interrogaret, vbinam ſibi manendum cenſeret, cùm iam ſtrepitus equitum aures percutere videretur, quos ad eum inſectandum à tyranno miſſos opinabatur, reſpondit Apollonius, Nec ipſe, nec alius quiſquam me perſequetur: ego tamen in Græciam nauigabo. Et quidẽ tutò, inquit Demetrius: illius conſilium deridẽs (apertiſſima namque ea eſt regio)

quem verò in occulto etiam manens non fugiſti, quomodo in aperto degens latebis? Mihi latitatione non eſt opus, inquit Apollonius. Si enim (vt tu cenſes) tyranni eſt vniuerſa terra, melius cum iis agi putandum eſt, qui in aperto moriuntur, quàm cum iis, qui in occultis latebris viuunt. & ad Damidem conuerſus, Audiſti ne, inquit, in portu nauim eſſe vllam, quæ in Siciliam ſit nauigatura? Cúmque ille ſe audiuiſſe diceret iam antea, cùm apud mare cum illo eſſet, præconem id clamantem, tum verò paratam iam ad nauigandum, vt ex nautarum vocibus coniicere poterat, qui tollendis anchoris incumberent, Conſcendamus, inquit, hanc nauim Apollonius, & nunc quidem in Siciliam, poſtea verò in Peloponneſum nauigabimus. Aſſentior, inquit Damis. inde ſalutato Demetrio, cùm iuberent illum bono animo eſſe tanquam virum ceteris præſtantiorem, ſecundo vento in Siciliam nauigarunt. Meſſanámq; præteruecti tertio die Taurominium peruenêre: deinde Syracuſas delati in Pelopóneſum tranſierunt autumni principio iam inſtante, percurſóque pelago ſexta die ad Alphéi fluminis oſtia venerunt, vbi fluuius ille Adriatico Siculóque pelago dulcis, & potabilis immiſcetur: ibi cùm è naui deſcendiſſent, ante omnia dignum putauerunt, ad Iouis templum, quod in Olympiis eſt, diuertere: *nuſquam ſupra Scilluntem ſecedendo. Et iam fama celerrimè per omnem Græciam diuulgauerat viuere Apollonium, & in Olympia deueniſſe, & primò quidem parum fidei ſermonibus habebatur, quòd

A ὃν δὲ μηδ' ἂν ἐν τῷ ἀφανεῖ διαφύγοις, πῶς ἂν ἐν τῷ φανερῷ λάθοις; οὐ δέομαι, ἔφη, λανθάνειν. εἰ γὰρ ὡς σὺ οἴει, τοῦ τυράννου ἡ γῆ πᾶσα, βελτίους οἱ ἐν τῷ φανερῷ ἀποθνήσκοντες, τῶν ἐν τῷ ἀφανεῖ ζώντων. καὶ πρὸς τὸν Δάμιν αἰσθάνῃ, ἔφη, νεὼς ἀφιείσης ἐς Σικελίαν; αἰσθάνομαι, εἶπε. καὶ γὰρ ἐπὶ θαλάττῃ καταλυόμεθα. καὶ ὁ B κηρύττων, ἀγχοῦ θυρῶν· στέλλεταί τε ἡ ναῦς ἤδη· ξυμβάλλομαι δὲ αὐτὸ τῇ τῶν ἐμπλεόντων βοῇ, καὶ οἷς περὶ τὴν ἀναίρεσιν τῶν ἀγκυρῶν πράττουσιν. ἐπιβῶμεν, εἶπε, τῆς νεὼς ταύτης, ὦ Δάμι, πλευσούμενοι νῦν μὲν, ἐς Σικελίαν, ἐκεῖθεν δὲ ἐς Πελοπόννησον. ξυνδοκεῖ μοι, ἔφη, καὶ πλέωμεν· καὶ προσειπόντες τὸν Δημήτριον, ἀθύμως ἐπ' αὐτοῖς ἔχοντα, θαρρεῖν τε πείσαντες ὡς ἄνδρα ὑπὲρ ἀνδρῶν, ἔπλευσαν ἐπὶ Σι- C κελίας ἀνέμῳ ἐπιτηδείῳ. Μεσσήνην τε παραπλεύσαντες, ἐγένοντο ἐν Ταυρομενίῳ τριταῖοι. μετὰ ταῦτ' ἐπὶ Συρακουσῶν κομισθέντες, ἀνήγοντο ἐς Πελοπόννησον περὶ μετοπώρου ἀρχάς. ὑπεράραντες δὲ τοῦ πελάγους, ἀφίκοντο δι' ἡμέρας ἕκτης ἐπὶ τὰς τοῦ Ἀλφειοῦ ἐκβολὰς, ἀφ' ὧν ὁ ποταμὸς D οὗτος Ἀδρίᾳ καὶ Σικελικῷ πελάγει ἐπιχεῖται πότιμος. ἀποβάντες οὖν τῆς νεὼς, καὶ πολλοῦ ἄξιον ἡγούμενοι τὸ ἐς Ὀλυμπίαν ἥκειν, διῃτῶντο ἐν τῷ ἱερῷ τοῦ Διός, οὐδαμοῦ ὑπὲρ Σκιλλοῦντα ἀποφοιτῶντες. φήμης δὲ ἀθρόας τε, καὶ ξυντόνου, καταρρούσης τὸ Ἑλληνικὸν, ζῆν τὸν ἄνδρα, καὶ ἀφῖχθαι ἐς Ὀλυμπίαν, καταρχὰς μὲν ἐδόκει μὴ ἐρρῶσθαι ὁ λόγος· πρὸς

γὰρ τοῦ μὴ ἐλπίδος τι ἀνθρωπείας ἐπ' αὐτῷ ἔχειν· ἐπειδὴ δεδέσθαι αὐτὸν ἤκουσαν, οὐδὲ ἐκείνων ἀνήκοοι ἦσαν, ἀποθανεῖν καταφλεχθέντα. οἱ δ' ἐαθῆναι ζῶντα, καταπαγέντων ἐς τὰς κλεῖδας αὐτοῦ ἀγκίστρων· οἱ δ' ἐῶσθαι ἐς βάραθρον, οἱ δ' ἐς βυθόν. ἐπειδὴ δὲ ἥκειν ἐπιστεύθη, οὐδ' ἐπ' Ὀλυμπιάδα οὐδεμίαν μετέωρος οὕτω ξυνῄει ἡ Ἑλλὰς, ὡς ἐπ' ἐκεῖνον τότε. Ἦλις μὲν γὰρ, καὶ Σπάρτη, αὐτόθεν. Κόρινθος δὲ, ἀπὸ τῶν τοῦ Ἰσθμοῦ ὁρίων. Ἀθηναῖοι δὲ, εἰ καὶ Πελοποννήσου ἔξω, ἀλλ' οὐκ ἐλείποντο τῶν πόλεων, αἳ ἐπὶ θύραις εἰσὶ τῆς Πίσης. αὐτοὶ μάλιστα οἱ ἐπικυδέστατοι Ἀθηναίων, ἐς τὸ ἱερὸν στείχοντες, καὶ νεότης ἡ ἐκ ἁπάσης τῆς γῆς Ἀθήναζε φοιτῶσα· καὶ μὴν καὶ Μεγαρόθεν τινὲς ἐπεχωρίασαν τῇ Ὀλυμ-
γ. καὶ Β. πίᾳ τότε, καὶ * Βοιωτῶν πολλοὶ, καὶ Ἀργόθεν, Φωκέων τε, καὶ Θετταλῶν, ὅ,τι εὐδόκιμον. οἱ μὲν, ξυγγεγονότες ἤδη τῷ Ἀπολλωνίῳ, ἀνακτησόμενοι σοφίαν, ἐπειδὴ πλειόνων τε, καὶ θαυμασιωτέρων ἀκροάσασθαι ᾤοντο. οἱ δ' ἄπειροι αὐτοῦ, δεινὸν ἡγούμενοι τοιοῦδε ἀνδρὸς, ἀνήκοοι φαίνεσθαι. πρὸς μὲν δὴ τοὺς ἐρωτῶντας ὅπως ὅπῃ διαφύγοι τὸν τύραννον, οὐδὲν ᾤετο δεῖν φορτικὸν φράζειν, ἀλλ' ἀπολελογῆσθαι τε ἔφασκε, καὶ σεσῶσθαι. πολλῶν δ' ἐκ Ἰταλίας ἡκόντων, οἳ ἐκήρυττον τὰ ἐν τῷ δικαστηρίῳ, διέκειτο μὲν ἡ Ἑλλὰς οὐ πόρρω τοῦ προσκυνεῖν αὐτὸν, θεῖον ἡγούμενοι ἄνδρα, δι' αὐτὸ μάλιστα τὸ μηδὲ κόμπον μηδένα ὑπὲρ αὐτῶν καθίστασθαι.

A nulla de ipſo tanquam homine ſpes eſſe poterat. Alij namque ligatum, & viuentem fuiſſe combuſtum audierant: alij viuum relictum, ſed ceruicem clauis præfixam fuiſſe prædicabant: alij in barathrum, alij in puteum demerſum fuiſſe aſſerebant. Poſtquam verò ipſum adueniſſe conſtantior fama vulgauit, nulla vnquam Olympiade tam frequens totius Græciæ concurſus, quàm tunc hominis viſendi cauſa ab vniuerſis factus eſt: conuenerunt
B itaque ab Elide, & Sparta, & Corintho, & ab Iſthmi finibus homines innumeri. Athenienſes, licet extra Peloponneſum conſtituti, frequentes eodem venere: ex nulla verò *vicinarũ Piſæ* vrbium populus defuit: ſed præcipuè Athenienſiũ iuuenum innumerabilis penè multitudo concurrit. Megarenſes etiam aliquot, qui tum fortè in Olympiis verſabantur, interfuere: multi præterea Boëtiorum, & Argiuorum.
C Quicquid inſuper apud Phocenſes Theſſalóſque nobilitatis fuit, eodem confluxit: quorum alij quidem Apollonium iam antea nouerant: alij cùm antea non vidiſſent, indignum putabant virum talem ignorare. Ipſe autem interrogantibus quo pacto ex tyranni manibus euaſiſſet, nihil glorioſè de ſe iactans reſpondebat, ſed tantùm defenſione dicta liberatum iudicio ſe dicebat. Veniebant autem ex Ita-
D lia complures, qui eius res actas in iudicio prædicabant. quapropter non multum abfuit, quo minus ipſum Græcia tanquam Deum adoraret: propterea maximè illum admirantes, quòd ob ea quæ geſſerat, nihil ſupra ceteros elatus videbatur.

Adoleſcentis cuiuſdam Athenienſis coërcetur garrulitas. Deinde qui in Olympiis diſſeruerit Apollonius cum Iſagora quodam Theſſalo. CAP. VI.

QVVM adoleſcens quidam ex iis, qui Athenis venerant, maximè beneuolam Domitiano Palladem eſſe diceret: Deſine, inquit Apollonius, in Olympiis talia prædicare, Deámque coram patre calumniari. Cúmque ille *verbis acerbioribus indulgeret*, & iuſtè facere Deam affirmaret, quoniam rex cognominem Athenienſibus magiſtratum gerebat: Vtinam, inquit Apollonius, & Panathenæis ſacris intereſſet. talibúſque verbis adoleſcentis garrulitatem coërcuit. Et priore quidem reſponſo quaſi malè de Diis ſentientem redarguit, cùm beneuolos tyrannis eos eſſe diceret: altero autem oſtendebat *Athenienſes* minimè cõuenientia *ſtatuere iis qui in Harmodÿ & Ariſtogitonis honorem decreuerant*: *ſi quidem cum illos vt viros* ſtatuas in foro *erexiſſent*, ob ea quæ in Panathenæorum celebritate fecerant: *poſtea tyrannis gratificarentur, vt ſuffragiis admiſſi imperarent*. Cùm Damis de pecuniis Apolloniũ conſuleret, diceretque viatici parum admodum ſupereſſe, Cras, inquit Apollonius, id curabimus. Itaque poſtridie in templum veniens; Da mihi, inquit, ô ſacerdos, ex pecuniis Iouis mille drachmas, niſi moleſtè Iouem hoc laturum putas: tum ſacerdos, Minimè verò pro his indignabitur Iupiter, ſed potius, quòd non plures acceperis. Cùm Theſſalus quidam Iſagoras nomine ad eum alloquendum in Olympia veniſſet, Dic mihi, ô Iſagora, inquit Apollonius, putáſne aliquid eſſe panegyricam celebritatem? Certè per Iouem, inquit ille; imò verò

A Νεανίσκου δὲ τῶν ἡκόντων Ἀθήνηθεν, μάλα εὔνουν τὴν Ἀθηνᾶν εἶναι τῷ βασιλεῖ φήσαντος, πέπαυσο, εἶπεν, Ὀλυμπίασιν ὑπὲρ τούτων ἐρῶν, καὶ διαβάλλων τὴν θεὸν τῷ πατρί. ἐπιδιδόντος δὲ τοῦ νεανίσκου τῇ ἀχθηδόνι, καὶ δίκαια πράττειν τὴν θεὸν φήσαντος· ἐπειδὴ καὶ ὁ βασιλεὺς τὴν ἐπώνυμον Ἀθηναίοις ἦρξεν· εἴθε, ἔφη,
B καὶ ἐν Παναθηναίοις· ἐπιστομίζων αὐτὸν, τῇ μὲν προτέρᾳ τῶν ἀποκρίσεων, ὡς κακῶς εἰδότα περὶ τῶν θεῶν, εἰ τυράννοις αὐτοὺς εὔνους ἡγοῖτο· τῇ δὲ ἐφεξῆς, ὡς οὐκ ἀκόλουθα τοῖς ἐφ' Ἁρμοδίῳ, καὶ Ἀριστογείτονι ψηφιζομένων Ἀθηναίων, εἰ τοὺς ἄνδρας ἐκείνους ἐπ' ἀγορᾶς νομίζοντες, ὑπὲρ ὧν ἐν Παναθηναίοις ἔδρασαν, τυ-
C ράννοις λοιπὸν χαρίζονται, τὸ κεχειροτονημένους αὐτοὺς ἄρχειν. ξυμβουλεύοντος δὲ αὐτῷ τοῦ Δάμιδος ὑπὲρ χρημάτων, ἐπειδὴ τῶν ἐφοδίων σφίσι πάνυ σμικρὰ ἐλείπετο, αὔριον, ἔφη, τούτου ἐπιμελήσομαι. καὶ παρελθὼν τῇ ὑστεραίᾳ ἐς τὸ ἱερὸν, δὸς, εἶπεν, ὦ ἱερεῦ, χιλίας μοι δραχμὰς ἀπὸ τῶν τοῦ Διὸς χρημάτων, εἰ μὴ σφόδρα οἴει χαλεπαίνειν
D αὐτόν. καὶ ὁ ἱερεὺς, οὐχ ὑπὲρ τούτων, ἔφη, χαλεπανεῖ, ἀλλὰ μᾶλλον εἰ μὴ πλείω λήψῃ. Θετταλοῦ δὲ ἀνδρὸς, ᾧ ὄνομα Ἰσαγόρας, ξυνόντος αὐτῷ ἐν Ὀλυμπίᾳ, εἰπέ μοι, ἔφη, ὦ Ἰσαγόρα, ἔστι τι πανήγυρις; νὴ Δί', εἶπε, τό γε

ἥδιστον, καὶ θεοφιλέστατον τῶν κατ' ἀνθρώπους. τίς δὲ δὴ ὕλη τούτου; ὥσπερ ἂν εἰ ἐγὼ μὲν ἠρόμην ὑπὲρ ὕλης τοῦδε τοῦ ἀγάλματος· σὺ δ' ἀπεκρίνου χρυσοῦ, καὶ ἐλέφαντος ξυντεθῆναι αὐτό. καὶ τίς, ἔφη, ὕλη, Ἀπολλώνιε, τοῦ γε ἀσωμάτου; μεγίστη, εἶπε, καὶ ποικιλωτάτη. τεμένη τε γὰρ ἐν αὐτῇ, καὶ ἱερὰ, καὶ δρόμοι, καὶ σκηνὴ δή που· ἔθνη τε ἀνθρώπων. τὰ μὲν, ἐκ τῆς ὁμόρου τὰ δὲ, ἐκ τῶν ὑπὲρ ἱερῶν τε, καὶ ὑπὲρ θάλατταν. καὶ μὴν καὶ τεχνῶν πλείστων εἰκὸς αὐτὴν ξυγκεῖσθαι, καὶ σοφισμάτων· σοφίας τε ἀληθινῆς, καὶ ποιητῶν, καὶ ξυμβουλιῶν, καὶ διαλέξεων· γυμνῆς τε ἀγωνίας, καὶ μουσικῆς, ὡς Πυθοῖ πάτριον. ἔοικεν, ἔφη, Ἀπολλώνιε, οὐ μόνον σωματοειδὴς εἶναι ἡ πανήγυρις, ἀλλὰ καὶ θαυμασιωτέρας ὕλης, ἢ αἱ πόλεις. τὰ γὰρ τῶν σπουδαίων, σπουδαιότατα, καὶ τὰ τῶν ἐλλογίμων, ἐλλογιμώτατα ξυγκαλεῖ, καὶ ξυνοικίζει. ἄρ' οὖν εἶπεν, ὦ Ἰσαγόρα, καθάπερ ἔνιοι τείχη, καὶ ναῦς ἡγοῦνται, σὺ ἄνδρας ἡγησώμεθα, ἢ ἑτέρας ἐπ' αὐτοῖς δέοι δόξης; τελεία, ἔφη, ὦ Τυανεῦ, ἥδε ἡ δόξα, καὶ δίκαιον ἕπεσθαι αὐτῇ. καὶ μὴν ἀτελὴς, εἶπεν, ἐνθυμουμένῳ περὶ αὐτῆς, ὃν ἐγὼ τρόπον. δοκοῦσι γάρ μοι καὶ νῆες ἀνδρῶν δεῖσθαι, καὶ ἄνδρες νεῶν, καὶ μηδ' ἂν ἐνθυμηθῆναί ποτε ἀνθρώπους τὴν θάλατταν, εἰ μὴ ναῦς ἦν. σώζειν τε ἄνδρας μὲν τείχη, τείχη δὲ ἄνδρας· πανήγυριν δὲ κατὰ τὸν αὐτὸν λόγον εἶναι μὲν καὶ ἡ τῶν ἀνδρῶν ξύνοδος, εἶναι δὲ αὐτὸ τὸ χωρίον, ἐς ὃ χρὴ ξυνιέναι. καὶ τοσούτῳ μᾶλλον,

A rem iucundiſſimam, & eorum quæ ab hominibus fiant, Diis immortalibus gratiſſimam. Quæ igitur celebritatis huius eſt materia? Dico autem ceu ſi de huius ſtatuæ materia interrogarem reſponderes. Credo aurum & ebur ſtatuæ materiam eſſe, quoniam ex iis ſtatua ſit compoſita. Quæ autem, inquit Iſagoras, incorporeæ rei poteſt eſſe materia? Maxima, inquit Apollo-
B nius, multúmq; varia. Nam in panegyri templa ſunt, & delubra, & ſtadia ad currendum, tum verò ſcenæ; & gentes plurimæ partim & finitimis, partim ex tranſmarinis regionibus venientes. ex multis inſuper artibus & ſophiſmatibus panegyris; ex vera quoque ſapientia & poëtica; ex conſultatiuis etiam, & diſputatiuis orationibus, & muſicis cantibus. Videtur, inquit Iſagoras, non ſolùm corporea eſſe panegyris, ſed ex
C admirabiliore materia cõſtare, quàm ciuitates. Studioſorum enim ſtudioſiſſima quæque, & elegantium elegantiſſima in vnum cogit & cumulat panegyris. An igitur, ô Iſagora, ſicut plerique muros, aut naues exiſtiment, ita nos homines exiſtimabimus? An aliud quid de ipſis opinabimur? Perfecta, inquit ille, ô Tyanenſis, iſthæc eſt opinio, & hanc ſequi iuſtum eſt. Immò verò imperfecta, inquit Apollonius, ſi
D quis perinde atque ego de ipſa conſiderauit. Videtur enim mihi naues hominibus, & homines nauibus indigere: nec fuiſſe vnquam cenſeo, vt homines de mari aliquid cogitarent, niſi naues eſſent: pari modo etiam dicere poſſum muros ab hominibus conſeruari, & homines rurſus à muris. Eadem itaque ratione panegyrim dico eſſe quidem virorum conuentum, etiam eſſe locũ ipſum, vbi illos conuenire neceſſe eſt: atque eò magis,

A quò muri quidem, & naues factæ non fuiſſent, niſi propter hominum vtilitatem. Hi autem agri manibus hominum non facti, ſed potius corrupti ſunt naturali qualitate, propter culturam ipſis ablatam. Et quæ bene à natura perducebantur, conuentus faciendi cauſa remota ſunt: porticus namque & fontes & gymnaſia humana arte fabricata ſunt, ceu mœnia, atque naues. Alphéus autem iſte, & ſtadia atque hippodromi, tum etiam luci ante homi- B nes in his locis fuerunt: & his quidem potum lauacrúmque ſuppeditat: latitudo autem planiciei ad equorum certamen eſt idonea; puluerulentus autem ager curſoribus: & Athletis ſpatia ſubminiſtrat: cùm terminum quendam, & metas idoneas longitudo vallis præbeat: luci autem frondes exhibent, quibus victores coronentur; præbent etiam congruum locum, vbi Athletæ currendo ſe exerceant. Hæc igitur quō- C dam meditatus Hercules, & naturalem Olympiæ pulchritudinem amans, locum ipſum dignum ludis, qui hîc etiam hodie celebrantur, & aptiſſimum eſſe iudicauit.

ὅσῳ τείχη μὲν, καὶ νῆες, οὐδ᾽ ἂν ἐγένοντο, εἰ μὴ δι᾽ ἀνθρώπων *χρείας· κ. χρῆας· τὰ δὲ χωρία ταῦτα, ὑπὸ χειρῶν μὲν ἀνθρωπείων ἐφθάρη, τὸ αὐτοσχέδια μὴ εἶναι ἀφαιρεθέντα· φύσεως δὲ εὖ ἥκοντα, ἐπάξια τοῦ ξυμφοιτᾶν ἐς αὐτὰ ἐνομίσθη· γυμνάσια μὲν γὰρ, καὶ στοαὶ, καὶ κρῆναι, καὶ οἶκοι, τέχνῃ ταῦτα ἀνθρωπείᾳ εἰργάσθη, καθάπερ τὰ τείχη, καὶ αἱ νῆες· Ἀλφειὸς δὲ οὗτος, καὶ ἱππόδρομος, καὶ στάδιον, καὶ ἄλση, πρὸ ἀνθρώπων δήπου ἐγένετο· ὁ μὲν, ἀποχρῶν ποτὸν εἶναι, καὶ λουτρὸν, ὁ δ᾽ εὐρὺ πεδίον ἐναγωνίσασθαι τοῖς ἵπποις, ὁ δὲ ἐγκονίσασθαι, καὶ διαδραμεῖν ἀθληταῖς, διὰ τὸ παρέχεσθαί τινα ὅρον, αὐλῶνα, σταδίου μῆκος· τὰ δὲ ἄλση στεφανῶσαι τοὺς νικῶντας, καὶ τοὺς δρομικοὺς τῶν ἀθλητῶν γυμνάσαι. ταῦτα γάρ που καὶ Ἡρακλεῖ ἐνθυμηθέντι, καὶ τὸ αὐτοφυὲς τῆς Ὀλυμπίας ἀγασθέντι, ἐπάξιος ἐφάνη ὁ χῶρος τῶν ἔτι νῦν σπουδαζομένων ἐνταῦθα.

Ad Trophonium Apollinis filium ſub terram ingreſſum Apollonium, ac gratum id fuiſſe Trophonio. Tum de libello Antij ſuſpenſo, qui Apollonij fuerat. Quódque in Antio regiam habuerit Adrianus, quòd eam vrbem amaret præter ceteras (eſt autem Antium vrbs Italiæ, quam mare alluit, quæ nunc Neptunus dicitur. Stephanus ſcribit Ἄνθιον *per* θ *literam aſpiratam.) Deinde vndique ad Apollonium philoſophiæ gratia acceßiſſe diſcipulos.* CAP. *VIII.*

D CVM iam dies quadraginta fuiſſet in Olympiis verſatus Apollonius, ibíque multa ſapienter diſputaſſet, In ciuitatibus Græcis, inquit, ô viri, vobiſcum loquar in feſtis, in pompis, in myſteriis, in ſacrificiis, in libationibus. Vrbano

Ἡμερῶν δὲ τετταράκοντα διαλεχθεὶς ἐν Ὀλυμπίᾳ, καὶ πλεῖστα σπουδάσας, καὶ κατὰ πόλεις μὲν, ἔφη, διαλέξομαι ὑμῖν ἄνδρες Ἕλληνες, ἐν πανηγύρεσιν, ἐν πομπαῖς, ἐν μυστηρίοις, ἐν θυσίαις, ἐν σπουδαῖς. ἀστείου

δὲ ἀνδρὸς δέονται. νῦν δὲ ἐς Λεβάδειαν χρὴ καταβῆναί με, ἐπεὶ τῷ Τροφωνίῳ μή πω ξυγγέγονα. καί τοι ἐπιφοιτήσας ποτὲ τῷ ἱερῷ. καὶ εἰπὼν ταῦτα, ἐχώρει δὴ ἐπ' Ἀρκαδίας, οὐδενὸς λειπομένου τῶν θαυμαζόντων αὐτόν· τὸ δὲ ἐν Λεβαδείᾳ στόμιον, ἀνάκειται μὲν Τροφωνίῳ τῷ Ἀπόλλωνος, ἐσβατὸν* μόνοις τοῖς ὑπὲρ χρησμῶν φοιτῶσιν. ὁρᾶται δὲ οὐκ ἐν τῷ ἱερῷ, μικρὸν δὲ ἄνω τοῦ ἱεροῦ ἐν γηλόφῳ.* ξυγκλείουσι δὲ αὐτὸ σιδήρεοι ὀβελίσκοι, κύκλῳ περιβάλλοντες. ἡ δὲ κάθοδος, οἷα ἱζήσαντα ἐπισπᾶσθαι. λευκῇ δ' ἐσθῆτι ἐσταλμένοι πέμπονται, μελιτούτας ἐπάγοντες ἐν ταῖν χεροῖν, μειλίγματα ἑρπετῶν, ἃ τοῖς κατιοῦσιν ἐγχείπτει. ἀναδίδωσι δὲ ἡ γῆ τοὺς μέν, οὐ πόρρω· τοὺς δέ, πορρωτάτω. καὶ γὰρ ὑπὲρ Λοκροὺς ἀναπέμπονται, καὶ ὑπὲρ Φωκέας. οἱ δὲ πλεῖστοι, περὶ τὰ Βοιωτῶν ὅρια. παρελθὼν οὖν ἐς τὸ ἱερόν, βούλομαι, ἔφη, καταβῆναι ὑπὲρ φιλοσοφίας. ἀντιλεγόντων δὲ τῶν ἱερέων, καὶ πρὸς μὲν τοὺς πολλοὺς λεγόντων μὴ ἄν ποτε γόητι ἀνθρώπῳ παρασχεῖν ἔλεγχον τοῦ ἱεροῦ, πρὸς δὲ τὸν ἄνδρα, πλαττομένων* ἀποφράδας, καὶ οὐ καθαρὰς χρῆσαι, τὴν μὲν ἡμέραν ἐκείνην, διελέχθη περὶ τὰς πηγὰς τῆς Ἑρκύνης ὑπὲρ αἰτίας τοῦ μαντείου, καὶ τρόπου. μόνον γὰρ ἐκεῖνο δι' αὐτοῦ χρᾷ τοῦ χρωμένου. ἑσπέρας δὲ ὡς ἐγένετο, ἐλθὼν ἐπὶ τὸ στόμιον μετὰ τῶν ξυνακολουθούντων νέων, καὶ τέτταρας τῶν ὀβελίσκων ἀνασπάσας, οἳ ξυνέχουσι τὰς τῆς παρόδου κλεῖδας, ἐχώρει ὑποχθόνιος αὐτῷ τρίβωνι, καθάπερ ἐς διάλεξιν ἑαυτὸν στείλας. οὕτω τι

γρ. μόνον τ.

σχ. καθ' ὃν τόπον ἵδρυται ὁ ναὸς τοῦ ἁγίου Χειρωνίου τοῦ μάρτυρος.

σχ. ἀπηγορευμένας

A enim viro indigent. Nunc autem in Lebadeam deſcendere mihi neceſſe eſt, quia Trophonium adhuc non ſum affatus, licet aliquando illius templum intrauerim. His dictis in Arcadiam profectus eſt, neminem relinquens eorum, qui ipſum admirabantur. Lebadeæ autem anguſtiæ Trophonio Apollinis filio ſacratæ ſunt, ad quas iis ſolùm qui oracula petunt, aditus patet. Poſita autem eſt illius ſtatua, non in templo, ſed in tumulo, qui paulùm B templo ſupereminet: quem ferrei obeliſci vndique claudunt; deſcenſus autem adeò anguſtus eſt, vt non aliter quàm ſedendo ingredi quis poſſit. Demittuntur autem eò, qui intrare volunt albis veſtibus induti, & mellitas placentas manibus portantes, quibus reptilia demulceant, quæ intrantibus obuiam ſerpunt. Emittit autem terra hos quidem longè, illos verò longiſſimè. Quidam & vltra Locros Phocenſéſque emittuntur: plerique etiam C ad Bœoticorum fines. Ingreſſus igitur templum Apollonis, Volo, inquit, ad oraculi interiora penetrare philoſophiæ cauſa: id cùm prohiberent ſacerdotes, & populo palàm dicerent, ſe nunquam incantatori homini conceſſuros, vt oraculum polluat, ipſi Apollonio inualidas quaſdam afferebant excuſationes. Quapropter eo die Apollonius ab ingreſſu ſe continuit, atque D ſecus *Hercynæ* fontem conſidens, de cauſa modóque orandi diſputauit: cauſas afferens, cur ille ſolummodo petentibus reſponderet. Noctis autem principio, ad ſpeluncæ fauces veniens plurimis adoleſcentibus comitatus, quatuor obeliſcos, qui ſpeluncę aditũ claudebant reuellens, ſub terrã penetrauit *cum ſua lacerna, quaſi ad colloquiũ cõparatus*: quod ipſi

ipſi Deo tam valde gratum fuit, vt ſacerdotibus poſtmodum in ſomnis apparens illos in admirationem viri conuerterit, eiſque præceperit, vt ipſum in Aulidem proſequerentur, quòd illic miranda quædam ſigna eſſet oſtenſurus: permiſit autem, vt ibidem permaneret dies ſeptem, quod alij nunquam eorum, qui ad oraculum intraſſent, conceſſum fuerat. Detulit autem Apollonius libellum, vbi ea, quæ interrogauerat, ab oraculo perſcripſit. Cùm enim ingrederetur ſic Deum ille allocutus eſt. Quamnam, ô Trophoni, veram virtutem, & puriſſimam philoſophiam eſſe putas? Continebat autem libellus ille opiniones Pythagoræ, quas illius oraculi conſenſu probatas eſſe monſtrare voluit. Eſt autem is libellus Antij ſuſpenſus, & ob eam maximè cauſam is locus celebratur. Eſt autem Antium ciuitas Italiæ ſecus mare poſita. Hæc autem quæ de Trophonio ſcripſi multos eorum qui Lebadeã incolebant, audiſſe ſcio. De libello autem hoc mihi relatum eſt, fuiſſe libellum hunc poſt mortem Apollonij delatum ad Imperatorem Adrianum, & ſimul Apollonij epiſtolas aliquot. Non enim omnes colligere potuit, atque hæc omnia Adrianus in regia, quam Antij habebat, collocauit. Nam præter ceteras Italiæ ciuitates Antio maximè delectabatur Adrianus. Venerũt autem illuc ex Ionia familiares omnes Apollonij, quos Apollonienſes philoſophos Græci vocabant: ibi locorum indigenis permiſti iuuentutem effecerunt, cùm numero, tum amore, ſtudióque erga philoſophiam admirabilem. Negligebant autem penitus oratoriam facultatem, & eius diſciplinæ profeſſores aſpernabantur, quòd linguam duntaxat, non

A τῷ θεῷ φίλα πράττων, ὡς ἐπιστάντα τοῖς ἱερεῦσι τὸν Τροφώνιον, ἐς ἐπίπληξίν τε αὐτοῖς καταστῆναι ὑπὲρ τοῦ ἀνδρὸς, ἐς αὐλίδα τε ἕπεσθαι κελεῦσαι πάντας, ὡς ἐκεῖ ἀναδυσομένου θαυμασιώτατα ἀνθρώπων. ἀνέσχε γὰρ δι' ἡμερῶν ἑπτὰ, ὅσων μή πω τις τῶν ὑπελθόντων τὸ μαντεῖον, φέρων βιβλίον προσφορώτατον τῇ ἐρωτήσει. ὁ μὲν, γὰρ
B κατῆλθεν εἰπὼν, τίνα, ὦ Τροφώνιε, καὶ σὺ τὴν ἀρίστην, καὶ καθαρωτάτην φιλοσοφίαν ἡγῇ; τὸ δὲ βιβλίον, τὰς Πυθαγόρου εἶχε δόξας, ὡς καὶ τοῦ μαντείου τῇ σοφίᾳ ταύτῃ ξυντιθεμένου. ἀνάκειται τὸ βιβλίον τοῦτο ἐν Ἀνθίῳ, καὶ σπουδάζεται διὰ τὴν αἰτίαν. τὸ δὲ Ἄνθιον, Ἰταλῶν τῶν ἐν ἐπὶ θαλάττῃ. ταῦτα μὲν δὴ καὶ
C τῶν Λεβάδειαν οἰκούντων ξυγχωρῶ ἀκροάσασθαι. περὶ δὲ τοῦ βιβλίου τούτου, γνώμη ἀποπέφανται μοι, διακομισθῆναι μὲν αὐτὸ βασιλεῖ Ἀδριανῷ ὕστερον· ὅτι ἦ καὶ τινας τῶν τοῦ Ἀπολλωνίου ἐπιστολῶν, οὐ γὰρ δὴ πάσας γε, καταμεῖναι ἐς τὰ βασίλεια τὰ ἐν τῷ Ἀνθίῳ, οἷς μάλιστα δὴ τῶν περὶ τὴν Ἰταλίαν βασιλείων
D ἔχαιρεν. ἀφίκοντο δὲ αὐτῷ κἀξ Ἰωνίας οἱ ὁμιληταὶ πάντες, οὓς ὠνόμαζον Ἀπολλωνιακούς. καὶ ξυμμιχθέντες τοῖς αὐτόθεν, νεότης ἐγένοντο, θαυμάσαι ἄξιοι τοῦ πλήθους, καὶ τῆς ἐς τὸ φιλοσοφεῖν ὁρμῆς. ῥητορικὴ μὲν γὰρ ἀπέκειτο ἀμελουμένη. καὶ μικρὰ προσεῖχον τοῖς τὴν τέχνην ξυγκροτοῦσιν, ὡς μόνου δι-

διδασκάλου τῆς γλώττης. ὠθίζοντο δὲ ἐπὶ τὴν ἐκείνου φιλοσοφίαν πάντες. ὁ δ' ὥσπερ τὸν Γύγην φασὶ, καὶ τὸν Κροῖσον, ἀκλείστους περιέχειν τὰς τῶν θησαυρῶν θύρας, ἵν' ἀπαντλεῖν εἴη τοῖς δεομένοις, οὕτω παρεῖχε τὴν ἑαυτοῦ σοφίαν τοῖς ἐρωτῶσι, περὶ παντὸς ἐρωτᾶν ξυγχωρῶν. διαβαλλόντων δέ αὐτὸν ἐνίων ὅτι τὰς τῶν ἡγεμόνων ἐπιδημίας ἐκτρέποιτο, καὶ ἀπάγοι τοὺς ἀκροατὰς ἐς τὰς ἡσυχίας μᾶλλον, καί τινος ἀποσκώψαντος μετελαύνειν αὐτὸν τὰ πρόβατα, ἐπειδὰν τοὺς ἀγοραίους προσιόντας μάθῃ, νὴ Δί', εἶπεν, ἵνα μὴ ἐμπίπλωσι τῇ ποίμνῃ λύκοι. τί δ' ἐβούλετο αὐτῷ τοῦτο; τοὺς ἀγοραίους ὁρῶν ἀποβλεπομένους ὑπὸ τῶν πολλῶν, καὶ προϊόντας ἐκ πενίας ἐς πλοῦτον, ἀπεχθείας τε οὕτως ἀσπαζομένους, ὡς αὐτὸ τὸ ἀπέχθεσθαι πωλεῖν, ἀπῆγε τοὺς νέους τοῦ ξυνεῖναι σφίσι. καὶ τοὺς ξυγγινομένους αὐτῶν, ἐνουθέτει πικρότερον, οἷον ἀποπλύνων βαφῆς ἀτόπου. διεβέβλητο μὲν γὰρ πρὸς αὐτοὺς καὶ τὸν ἄλλον χρόνον. ὑπὸ δὲ τῶν ἐν Ῥώμῃ δεσμωτηρίων, καὶ τῶν δεδεμένων τε, καὶ ἀπολλυμένων,
χ. διετέθ. οὕτω διετέθη* πρὸς τὴν τέχνην, ὡς πάντα ταῦτα τῶν συκοφαντούντων, καὶ τῶν δεινότητι ἐπηρμένων ἡγεῖσθαι μᾶλλον, ἢ τοῦ τυράννου.

A autem mentem redderet eruditiorem. Properabant igitur vndique viri ad eius philoſophiam perdiſcendam. Ipſe autem (ſicut de Gyge quondam, & Crœſo perhibetur, apertas habuiſſe theſaurorum ſuorum fores, vt egentibus omnibus inde liceret accipere) ſic omnibus volentibus ſuam impertiebatur ſapientiam, cùm ſe quidam calumniarentur, quòd principum familiaritates vitaret, & auditores
B à rebus agendis ad nimiam quietem abduceret, redarguerent: etiam quòd venientibus ad ſe mercatoribus diſcipulos tanquam pecudes abigeret, Planè, inquit, ita facio, ne fortè lupi gregem inuadant. quid autem hæc verba ſibi voluerint, oſtendam. Cùm videret mercatores à pluribus cum admiratione quadam aſpici, quòd ex pauperib. diuites euaſiſſent, odiúmque ab iiſdem adeò contemni, vt lucri cauſa ab omnibus odio haberi parui facerent: adoleſcentes ab
C eorum congreſſu abducebat: & ſi qui ad eum alloquendum veniſſent, grauibus verbis caſtigabat, vt iniuſtam illis maculam deleret. Aliàs enim in eos grauiter fuerat inuectus. De carcere verò vbi Romæ incluſus fuerat, & de iis, qui cùm eò vnà, partim vincti, partim autem necati fuerunt, ita ſentiebat, vt calumniatorum, & eorum, qui
D dicendi facundia poſſent, id opus magis, quàm tyranni eſſe opinaretur.

De prodigio & oſtento, quod Græcè διοσημία dicitur, id verò fuiſſe aiunt coronam in cælo ſolem circundantem, quæ Græcè στέφανος appellatur: ſignificaſſéq; Domitianum à quodam, cui nomen Stephano, occiſum iri, vt mox euenit. Quódque compoſitis Græciæ moribus in Ioniam nauigarit Apollonius. CAP. IX.

DVM in Græcia ſtudiis intentus degebat Apollonius, in cœlo tale quoddam prodigium apparuit. Corona quædam Iridi ſimilis Solem circundedit: quæ radios eius, ac lumen obſcurabat. Putabant igitur omnes tali ſigno rerum nouitatem aliquam portendi. Græciæ verò præfectus Athenis in Bœotiam Apollonium accerſens, Audiui, inquit, Apolloni, te dæmonum quadam ſapientia præditum eſſe. An etiam, inquit Apollonius, humana me ſcire audiuiſti? Audiui, inquit ille, & auditis aſſentior. Quoniam igitur quod dixi confiteris, inquit Apollonius, noli de conſiliis Deorum eſſe curioſus. Hoc enim ipſum humana laudat ſapientia. Sed cùm ille mitioribus verbis Apollonium placaſſet, & quæ cogitarat proferre vſus eſſet, Vereor, inquit, ne cuncta vertantur in noctem. Cui Apollonius, Confide, inquit. Nam hac nocte lumen aliquod prodibit. Poſt hæc Apollonius vbi rectè diſpoſuiſſe cenſuit cuncta, quæ in Græcia componenda videbantur, & illic biennio manſiſſet, in Ioniam nauigauit: eúmque ſocij & familiares omnes ſunt ſecuti. Diutius autem apud Smyrnas & Epheſum philoſophatus eſt: quamuis & alias Ioniæ ciuitates peragrauerit, & ab omnibus cum ſumma lætitia, voluptatéque ſuſceptus eſt. Nam omnes magno illius deſiderio tenebantur. Itaque induſtrij permultum lucri feciſſe putabantur. quòd ad eos diuertiſſet.

A ΠΕΡΙ δὲ τὸν χρόνον, ὃν ἐν τῇ Ἑλλάδι ἐνεσπούδαζεν, ἐπεῖχε τὸν οὐρανὸν διοσημία τοιαύτη. τὸν τοῦ Ἡλίου κύκλον περιελθὼν στέφανος ἐοικὼς Ἴριδι, τὴν ἀκτῖνα ἠμαύρου. ὅτι μὲν δὴ ἐς νεώτερον ἡ διοσημία ἔφερε, δῆλα ἦν πᾶσιν. ὁ δὲ ἄρχων τῆς Ἑλλάδος καλέσας αὐτὸν ἐξ Ἀθηνῶν ἐς Βοιωτίαν, ἀκούω σε, B εἶπεν, Ἀπολλώνιε, σοφὸν εἶναι τὰ δαιμόνια. εἴ γε, ἔφη, ἀκούεις ὅτι καὶ τὰ ἀνθρώπεια. ἀκούω, εἶπε, καὶ ξύμφημι. ἐπεὶ τοίνυν, ἔφη, ξυνομολογεῖς, μὴ πολυπραγμόνει θεῶν βουλάς· τουτὶ γὰρ ἡ τῶν ἀνθρώπων σοφία ἐπαινεῖ. ἐπεὶ δὲ ἐλιπάρει τὸν Ἀπολλώνιον εἰπεῖν ὅποι διανοεῖται· δεδιέναι γὰρ μὴ ἐς νύκτα μεταστῇ πάντα, C θάρρει, ἔφη, ἔσται γάρ τι ἐκ τῆς νυκτὸς ταύτης φῶς. μετὰ ταῦθ' ὁ μὲν, ἐπειδὴ τῶν κατὰ τὴν Ἑλλάδα ἱκανῶς εἶχε, δυοῖν ἐνδιατρίψας ἐτοῖν, ἔπλει ἐς Ἰωνίαν, ξυνεπομένης αὐτῷ τῆς ἑταιρείας. καὶ τὸν μὲν πλείω χρόνον, ἐφιλοσόφει περὶ τὴν Σμύρναν τε· καὶ τὴν Ἔφεσον· ἐπιὼν δὲ τὰς ἄλλας, καὶ ἐν οὐδεμιᾷ τῶν πόλεων D ἀηδὴς δοκῶν, ἀλλὰ καὶ ποθεῖσθαι *ἄξιος καὶ κέρδος μέγα τοῖς δεξιοῖς. κινῆσαι.

De cauſa mortis, ac de cæde Domitiani, & quoto ſuæ ætatis anno interfectus fuerit: quódque Epheſi id prædixerit Apollonius ex ipſa hora, qua tyrannus à Stephano ſuæ ſororis liberto occidebatur. CAP. X.

A ΕΩΘΟΥΝ δὲ θεοὶ Δομετιανὸν ἤδη τῆς τῶν ἀνθρώπων προεδρίας. ἔτυχε μὲν γὰρ Κλήμεντα ἀπεκτονώς, ἄνδρα ὕπατον, ᾧ τὴν ἀδελφὴν τὴν ἑαυτοῦ ἐκδεδώκει. πρόσταγμα δ' ἐπεποίητο περὶ τρίτην, ἢ τετάρτην ἡμέραν τοῦ φόνου, κἀκείνην ἐς ἀνδρὸς φοιτᾶν· Στέφανος τοίνυν ἀπελεύθερος τῆς γυναικός, ὃν ἐδήλου τὸ τῆς διοσημίας σχῆμα. εἴτε τὸν B τεθνεῶτα ἐνθυμηθείς, εἴτε πάντας, ὥρμησε μὲν ἴσα τοῖς ἐλευθερωτάτοις ποτὲ Ἀθηναίοις ἐπὶ τὸν τύραννον. ξίφος δὲ ὑφείρας τῷ τῆς ἀριστερᾶς πήχει, καὶ τὴν χεῖρα ἐπιδέσμοις ἀναλαβὼν, ὡς κατεαγυῖαν, ἀπιόντι τοῦ δικαστηρίου προσελθὼν, δέομαί σου, ἔφη, βασιλεῦ, μόνου· C μεγάλα γὰρ ὑπὲρ ὧν ἀκροάσῃ. καὶ ἀπαξιώσαντος δὲ τοῦ τυράννου τὴν ἀκρόασιν, ἀπολαβὼν αὐτὸν ἐς τὸν ἀνδρῶνα, οὗ τὰ βασίλεια, Οὐ τέθνηκεν, εἶπεν, ὁ πολεμιώτατός σοι Κλήμης, ὡς σὺ οἴει· ἀλλ' ἔστιν, οὗ ἐγὼ οἶδα. καὶ ξυντάττει ἑαυτὸν ἐπὶ σέ· μέγα δὲ αὐτοῦ βοήσαντος περὶ ὧν ἤκουσε, τεταραγμένῳ D προσπεσὼν ὁ Στέφανος, καὶ τὸ ξίφος τῆς ἐσκευασμένης χειρὸς ἀνασπάσας, διῆκε τοῦ μηροῦ. πρὸς μὲν τὸν αὐτίκα θάνατον, οὐ καιρίαν· πρὸς δὲ τὸν μετὰ ταῦτα, καὶ ἄκαιρον. ὁ δ' ἐρρωμένος μὲν καὶ ἄλλως τὸ σῶμα, γεγονὼς δὲ περὶ τὰ πέντε

EXtrudebant Dij tunc temporis Domitianũ ab hominũ imperio: eiúſq; mortis cauſa in hunc maximè modum exorta eſt. Interfecerat Domitianus Clementé virum conſularé, cui propriam ſororem matrimonio deſponderat, palàm etiã dixerat, poſt tertiã, quartámve diem, ipſam quoque ad virum eſſe profecturam. Stephanus igitur mulieris libertus, cuius nomen figuram viſi pridem in cœlo *coronæ* portenti ſignificabat, ſiue de interfecto Clemente cogitans, ſiue omnium Romanorũ ciuium conditioné miſeratus, Tyrannum interficere perinde agreſſus eſt, atque olim Athenienſiũ liberrimi fecerãt. Is igitur breuem gladiũ in ſiniſtræ manus brachio collocãs, manum tanquam fractam multis faſciis circumligauit: inde tyranno à foro, vbi ius dixerat, redeunti obuiã procedens, Opus mihi eſt, inquit, ô rex, ſecretò quædã tibi referre: audies autem ex me res magnas, atq; mirabiles. Cúmq; tyrannus colloquium non abnueret, in porticum, quæ regiæ adiacebat, illum deduxit. Tunc Stephanus, Non eſt, inquit, mortuus, vt arbitraris, inimiciſſimus tibi Clemens, ſed viuit adhuc egóq. id optimè ſcio, & ipſe eſt, qui nunc aduerſus te irruit. Clamãtis autem regis, & ob ea, quæ audierat perturbati Stephanus ab alligato brachio gladiũ educens femur perfodit vulnere quidé ad ſubitam morté ferendam non ſufficiéti, ſed *non irrito, quippe quod* extinguere tandem poſſet, cùm nullis medicamentis eſſet curabile. Ille quidem alioquin robuſto corpore, ſed annos ætatis quinq;

ſupra quadraginta natus propter vulnus minimè deiectus eſt, apprehenſóque Stephano ſuperincumbens, eruere oculos conabatur, & faciem aureo calice, qui fortè ſacrorum cauſa aſtabat, pertundens, Palladem, vt ſibi ferret auxilium, inuocabat. Audientes autem clamorem corporis cuſtodes, aliquo modo illum opprimi cognouerunt. Vniuerſi igitur accurrentes, cùm iam pœne exanimatum offendiſſent, aliquot illatis vulneribus interfecere. Et hæc quidem Romæ agebantur: Epheſi autem Apollonius eadem ipſa quaſi ante oculos poſita conſpexit. Dum enim hæc Romæ in regia agerentur, ipſe fortè in xyſti luco meridie diſputabat: & primò quidem velut repentino pauore perculſus vocem demiſit; deinde cōciſè magis, quàm conſueuerat, verba proferre cœpit; vt facere ſolent, quibus in media oratione nouum aliquod, & incredibile occurrit: tandem verò quaſi eorum, quæ dicere vellet oblitus, conticuit toruis oculis in terram aſpiciens: tres inde, aut quatuor paſſus è loco vbi conſtiterat, progreſſus, Percute tyrannum, percute, clamabat; non vt qui è ſpeculo veritatis imaginem traheret, ſed qui res ipſas ante ipſas fieri videret, & auxilium afferre conaretur. Cùm ſtuperēt Epheſij, qui frequentes aderāt, ſubſiſtens Apollonius, ſicut facere ſolent, qui rem aliquam, dum fit, videntes, quo tandem euaſura ſit, expectant: tandem, confidite, inquit, ô viri: tyrannus namque occiſus eſt hodie: quid autem dixi hodie? immo potius hoc ipſo temporis momēto, ita me Pallas adiuuet. Id enim eo ipſo tempore geſtum eſt, quo me cōticentem vidiſtis. Cúmq. inſanire

A καὶ τετταράκοντα ἔτη, ξυνεπλάκη τρωθείς. καὶ καταβαλὼν τὸν Στέφανον, ἐπέκειτο τοὺς ὀφθαλμοὺς ὀρύττων, καὶ τὰς παρειὰς ξυντρίβων, πυθμένι χρυσῆς κύλικος αὐτοῦ κειμένης περὶ τὰ ἱερά. ἐκάλει δὲ καὶ τὴν Ἀθηνᾶν ἀρωγόν. Συνέντες οὖν οἱ δορυφόροι κακῶς πράττοντος, εἰσῆλθον ἀθρόοι, καὶ B τὸν τύραννον ἀπέκτειναν, λειποθυμοῦντα ἤδη. ταῦτ' ἐπράττετο μὲν κατὰ τὴν Ῥώμην. ἑωρᾶτο δὲ Ἀπολλωνίῳ κατὰ τὴν Ἔφεσον. διαλεγόμενος γὰρ περὶ τὰ τῶν ξυστῶν ἄλση κατὰ μεσημβρίαν, ὅτε δὴ καὶ τὰ ἐν τοῖς βασιλείοις ἐγίγνετο, πρῶτον μὲν ὑφῆκε τῆς φωνῆς, οἷον δείσας· εἶτ' ἐλλιπέστερον, ἢ κατὰ τὴν ἑαυτοῦ δύναμιν, ἡρμήνευσεν ἴσα τοῖς C μεταξὺ λόγων διορῶσί τι ἕτερον. εἶτα ἐσιώπησεν, ὥσπερ οἱ τῶν λόγων ἐκπεσόντες· βλέψας τε δεινὸν ἐς τὴν γῆν, καὶ προβὰς τρία, ἢ τέτταρα τῶν βημάτων, παῖε τὸν τύραννον, παῖε ἐβόα· οὐχ ὥσπερ ἐκ κατόπτρου τινὸς εἴδωλον ἀληθείας ἕλκων, ἀλλ' αὐτὰ ὁρῶν, καὶ ξυλλαμβάνειν* τὰ δρώμενα. ἐκπεπληγμένης δὲ τῆς Ἐφέσου, παρῆν γὰρ διαλε- D γομένῳ πᾶσα, ἐπισχὼν ὅσον οἱ διορῶντες ἔστ' ἂν γένηταί τι τῶν ἀμφιβόλων τέλος· θαρρεῖτε, εἶπεν, ὦ ἄνδρες· ὁ γὰρ τύραννος ἀπέσφακται τήμερον. τί λέγω τήμερον; ἄρτι νὴ τὴν Ἀθηνᾶν, ἄρτι περὶ τὸν καιρὸν τῶν ῥημάτων, οἷς ἐπεσιώπησα. μανίας γ

*ἴσ. ξυλλαμ[illegible] τ.

ταῦθ' ἡγουμένων τὴν κατὰ τὴν Ἔφεσον, καὶ βουλομένων ἀληθεύειν αὐτὸν, δεδιότων δὲ τὸν τῆς ἀκροάσεως κίνδυνον, οὐ θαυμάζω, ἔφη, τὴν μή πω προσδεχομένων τὸν λόγον, ὃν μηδ' ἡ Ῥώμη γιγνώσκει πᾶσα, ἀλλ' ἰδοὺ γιγνώσκει. διαφοιτᾷ γάρ· καὶ πιστεύουσι μὲν ἤδη μύριοι, πηδῶσι δ' ὑφ' ἡδονῆς δὶς τόσοι, καὶ διπλάσιοι τούτων, καὶ τετραπλάσιοι, καὶ πάντες οἱ ἐκεῖ δῆμοι. ἀφίξεται πού τι τὸ ῥῆμα καὶ δεῦρο. καὶ τὸ μὲν μὴ θύειν ὑμᾶς ἐπ' αὐτοῖς, ἀναβεβλήσθω ἐς καιρὸν, ὃν ἀπαγγελθήσεται ταῦτα. ἐγὼ δὲ εἶμι προσευξόμενος τοῖς θεοῖς, ὑπὲρ ὧν εἶδον.

A illum putarent Epheſij, cuperent tamen vera eſſe, quæ diceret: ſed propter periculi magnitudinem talibus verbis aures præbere metuerent, Non miror, inquit Apollonius, vos mihi non habere fidem, iam nunc ea narranti apud vos, quæ nondum omnes qui Romæ ſunt, cognouere. Sed iam ecce cognoſcunt. Concurrunt enim vndique & fidem habent, multíque iam ob gaudium ſaliunt, immò verò populus B vniuerſus exultat: nec ita multò pòſt nuntius hoc ipſum ſignificans aderit: propterea ſacra facere vos euſque differte, quoad certiores hac de re facti fueritis. Ego autem pro iis quæ vidi, Deos adoratum proficiſcor.

Neruam poſt mortem Domitiani creatum Imperatorem ſcripſiſſe ad Apollonium, vt ad ſe accederet, quidque ille reſponderit. hinc Apollonium quandiu vixit dicere frequenter conſueuiſſe, λάθε βιώσας. εἰ δὲ μὴ δύναιο, λάθε ἀποβιώσας. *hoc eſt*, Ignoreris vixiſſe: at ſi id non queas, neſciaris interiiſſe. Cᴀᴘ. *XI.*

ΕΤ' ἀπιστουμένων τούτων, ἦλθον οἱ τῶν εὐαγγελίων δρόμοι, μάρτυρες τῆς σοφίας τοῦ ἀνδρός. καὶ γὰρ ἡ τοῦ τυράννου σφαγὴ, καὶ ἡ τοῦτο ἐνεγκοῦσα ἡμέρα; καὶ ἡ μεσημβρία, καὶ οἱ κτείνοντες, πρὸς οὓς ἡ παρακέλευσις, οὕτως εἶχεν, ὡς οἱ θεοὶ τούτων ἕκαστα διαλεγομένῳ τῷ ἀνδρὶ ἀνέφαινον. τριάκοντα δ' ἡμέραις μετὰ ταῦτα, ἐπιστείλαντος αὐτῷ τοῦ Νερούα, τὴν μὲν ἀρχὴν ἤδη τὴν Ῥωμαίων ἔχειν, θεῶν τε βουλαῖς, κἀκείνου, κατασχεῖν δ' ἂν αὐτὴν ῥᾷον, εἰ ξύμβουλος αὐτῷ ἔλθοι, τὸ μὲν αὐτίκα, ἐκεῖνο γράφει πρὸς αὐτὸν αἴνιγμα, ξυνεσόμεθα, ὦ βα-

C Cᴠᴍ adhuc illi, quæ dicebantur, non ſatis crederent, feſtinantes tabellarij cum literis talia ſignificantibus ſuperuenere, quæ etiam Apollonij ſapientiam teſtabantur. Nam tyranni interfectio quo die facta fuerat, & qua diei parte meridie ſcilicet, & ab interfectoribus, quos ille fuerat adhortatus, ita facta fuiſſe nuntiabatur, ſicut diſputanti Apollonio Dij præmonſtrauerant. Poſt dies triginta, à Nerua D literas accepit, nuntiantes ſe Romanorum imperio potitum eſſe: ídque cùm Deorum numini, tum Apollonij conſiliis acceptum referre, ſperare autem ſe facilius illud gubernaturũ, ſi conſiliario Apollonio vti poſſit. Adeum igitur Apollonius hoc ænigma reſcripſit: Nos quidẽ, ô

rex, & quidem diu ſimul erimus: vbi neque nos aliis, neque alij nobis imperabunt. Iam enim (vt arbitror) agnoſcebat ſibi citò è vita migrandum eſſe, & Neruam breui tempore imperare debere. Annũ enim, & menſes quatuor duntaxat imperauit, cùm optimus rex & modeſtiſſimus haberetur. Poſt hæc autem ne dilectiſſimum amicum præſertim in imperio conſtitutum negligere videretur, epiſtolam ad eum ſcripſit, nonnulla monentem eorum quæ in imperio acturus eſſet, tum Damidem ad ſe vocans, Tuam, inquit, operam res præſentes expoſcunt, cùm enim arcana quædam in epiſtola contineantur, tum alia quædam ſunt, quæ meo nomine regi nuntiari abs te velim. Serò autem viri calliditatem ſe percepiſſe ſcribit Damis. Epiſtolam enim optimè compoſitam, & res maximas continuiſſe refert: potuiſſet tamen ab alio etiam deferri: quæ igitur hac in re viri calliditas fuerit, oſtendam. Conſueuerat enim in omni vita Apollonius frequenter hanc ſententiam proferre, Late cùm vixeris: ſin minus id potes, late cùm ſis è vita diſceſſurus. Vt igitur à ſe Damidem amoueret, & ne coram teſtibus moreretur, occaſionem epiſtolæ meditatus eſt, qua illum Romam mitteret. Et Damis quidem cùm ab eo diſcederet, vehementer ſe turbatum dicit, quamuis futurorum ignarus eſſet. Apollonius autem quamuis optimè ſciret, quid euenturum eſſet, nihil tamen abeunti dixit, quale dicere ſolent, qui ſe nunquam amplius mutuò ſint viſuri, adeò perſuadendi cupidus erat ſe ſemper eſſe victurum. Diſcedentem tamen his verbis admonuit: O Damis quanquam ſatis in te ipſo habeas philoſophiæ, me tamen reſpice.

A σιλεῦ, χρόνον ἀλλήλοις πλεῖστον, ὃν μήτε ἡμεῖς ἑτέρου, μήτ᾽ ἄλλος ἡμῶν ἄρξοι, ξυνιεὶς ἴσως ἑαυτοῦ τε ὡς μετ᾽ οὐ πολὺ μεταστησομένου ἀνθρώπων, Νερούα τε, ὡς χρόνον βραχὺν ἄρξοντος. ἐς ἐνιαυτὸν γάρ, καὶ μῆνας τέτταρας, τὰ τῆς βασιλείας αὐτῷ προὔβη, σωφρονεστάτῳ δόξαντι. ἵνα δὲ μὴ ἀμελῶν φαίνοιτο, φίλου τε ἀγαθοῦ, καὶ ἄρχοντος, ξυνέθηκε μετὰ ταῦτα

B πρὸς αὐτὸν ἐπιστολήν, ξύμβουλον τῶν ἀρχικῶν. καὶ καλέσας τὸν Δάμιν, σοῦ, ἔφη, δεῖται ταῦτα· τὰ γὰρ ἀπόρρητα τῆς ἐπιστολῆς, γέγραπται μὲν πρὸς τὸν βασιλέα· ἔστι δὲ οἷα ἢ ὑπ᾽ ἐμοῦ λέγεσθαι, ἢ διὰ σοῦ. καὶ ὀψὲ ὁ Δάμις ξυνεῖναί φησι τῆς τέχνης. τὴν μὲν γὰρ ἐπιστολὴν ἄριστά τε αὐτῷ, καὶ ὑπὲρ μεγάλων ξυγγεγράφθαι. πεμφθῆναι δ᾽ ἂν καὶ δι᾽ ἑτέρου. τίς

C οὖν ἡ τέχνη τἀνδρός; πάντα τὸν χρόνον, ὃν ἐβίω, λέγεται θαμὰ ἐπιφθέγγεσθαι, λάθε βιώσας· εἰ δὲ μὴ δύναιο, λάθε ἀποβιώσας. ἀπάγων οὖν ἑαυτοῦ τὸν Δάμιν, ἵνα μὴ ὑπὸ μάρτυσι καταλύοι, τὴν ἐπιστολὴν ἐσκέψατο, καὶ τὸ ἀναφοιτῆσαι αὐτὸν ἐς τὴν Ῥώμην. αὐτὸς μὲν δὴ παθεῖν τι ἀπιὼν αὐτός φησιν, οὐδὲ εἰδὼς τὰ μέλλοντα· τὸν δὲ εὖ εἰδότα, μηδὲν μέν οἱ

D εἰπεῖν, ὥσπερ εἰώθασιν οἱ μηκέτ᾽ ἀλλήλοις ὀψόμενοι. τοσοῦτον αὐτῷ περιεῖναι τοῦ πεπεῖσθαι ὅ, τι ἂν ἔσται. παρεγγυῆσαι δὲ ὧδε, ὦ Δάμι, κἂν ἐπὶ σεαυτοῦ φιλοσοφῇς, ἐμὲ ὅρα.

De morte Apollonij, & quot annos vixerit. Hinc ligato à Dictynnæ templi cuſtodibus ſponte ſua vincula decidiſſe, atque ingreſſo eo in templum, canentium virginum auditum hoc canticum, στεῖχε γᾶς, στεῖχε ἐς οὐρανὸν, στεῖχε. *boc eſt,* Veni à terra, veni in cœlum, veni.

Cap. XII.

A Τὰ μὲν δὴ ἐς Ἀπολλώνιον τὸν Τυανέα Δάμιδι τῷ Ἀσσυρίῳ ἀναγεγραμμένα, ἐς τόνδε τὸν λόγον τελευτᾷ· εἴγε ἐτελεύτα. περὶ γὰρ τρόπου, καθ' ὃν ἐτελεύτα, πλείους μὲν λόγοι, Δάμιδι δὲ οὐδεὶς εἴρηται. ἐμοὶ δὲ, οὐδὲ τοῦτο χρὴ παραλελεῖφθαι. δεῖ γάρ που τὸν λόγον ἔχειν τὸ ἑαυτοῦ πέρας. οὐδ' ὑπὲρ ἡλικίας τἀνδρὸς εἴρηται οὐδὲν τῷ Δάμιδι, ἀλλὰ τοῖς μὲν, ὀγδοήκοντα, B τοῖς δ' ὑπὲρ τὰ ἐνενήκοντα. τοῖς δὲ, καὶ πρόσω τὴν ἑκατὸν ἐλθεῖν, γηράσκων πᾶν τὸ σῶμα, καὶ ἄρτιος νεότητος ἥδιον. ἔστι γάρ τις ὥρα καὶ περὶ ῥυτίσιν, ἣ μάλιστα περὶ ἐκεῖνον ἐξήνθησεν, ὡς εἰκόνες τε δηλοῦσι τἀνδρὸς ἐν τῷ Τυάνα δ' ἱερῷ, καὶ λόγοι μᾶλλον ὑμνοῦντες τὸ Ἀπολλωνίου γῆρας, ἢ τὴν Ἀλκιβιάδου ποτὲ νεότητα. C τελευτῆσαι δ' αὐτὸν, οἱ μὲν, Ἐφέσῳ θεραπευόμενον ὑπὸ δυοῖν δμωαῖν. τεθνάναι γὰρ ἤδη τοὺς ἀπελευθέρους, περὶ ὧν κατ' ἀρχὰς εἶπον. ἐλευθερώσαντα δὲ τὴν ἑτέραν, αἰτίαν πρὸς τῆς ἑτέρας ἔχειν, ἐπεὶ μὴ τὴν αὐτὴν ἠξίωτο. τὸν δ' Ἀπολλώνιον, καὶ δουλεῦσαι φάναι προσήκει σε D αὐτῇ. τουτὶ γάρ σοι ἀγαθοῦ ἀρχή. τελευτήσαντος οὖν, ἡ μὲν, δουλεύειν ἐκείνῃ. ἡ δ' ἐκ μικρᾶς αἰτίας, ἀποδόσθαι αὐτὴν καπήλῳ, παρ' οὗ

Et de Apollonio quidẽ Tyanenſi hactenus ab Aſſyrio Damide ſcriptũ eſt. Nam de mortis genere, ſi modò mortuus eſt, nihil eſt à Damide ſcriptũ. Sermones autẽ multi, variiq. circunferuntur, quos ego penitus omittendos non putaui, vt congruum finẽ noſtra contineret oratio. Nam quo tempore ætatis mortuus fuerit, nihil à Damide ſcribitur. Aliorum verò quidã octogeſimũ, alij nonageſimum, pleriq. etiam centeſimũ ætatis annum exceſſiſſe perhibent, & corpus habuiſſe ſenio quidem cõfectum, rectũ tamen, & ad omnes vitæ vſus idoneum, ita vt aſpectu penè iucundior eſſet, quàm in iuuẽta fuerat. Ineſt enim & ſenib. propter reuerentiã pulchritudo ſua, quæ in illo maximè vigebat, ídq. ex eius imaginib. quæ Tyanis in tẽplo cõſtitutæ ſunt, licet intueri. Hoc ipſum & orationes à quibuſdã editæ oſtendunt, quæ Apollonij ſenectã laudabiliorẽ adoleſcentia Alcibiadis fuiſſe teſtãtur. Traditur autẽ à quibuſdam ipſum Epheſi deceſſiſſe, vbi duarũ ancillarũ miniſterio vtens degebat, vt illi dicunt. Iam enim liberti eius omnes, de quibus in principio diximus, deceſſerãt. Cúmq. ipſe alteram ancillarũ libertate donaſſet, accuſabatur ab altera; quòd non ſe quoq; ſicuti comitẽ iuberet liberam eſſe. Cui Apollonius, Ne me perturbes, inquit, tibi enim magis expedit ſeruire, quàm liberam fieri. Illinc enim bonorũ, quę habitura es, principiũ tibi proueniet. Mortuo igitur Apollonio, cùm illa quæ in ſeruitute relicta fuerat, alteri ſeruiret, ob paruã quandã indignationẽ, mercatori cuidã vendita fuit, & quamuis

formoſa nimiùm non eſſet, ab ipſo vehementius amabatur. Cúmque diuitiis abundaret mercator, vxorem ſibi illam aſciuit, & ex illa filios procreauit. Alij in Lindo mortuum aſſerunt Apollonium, cùm Palladis templum ingreſſus repente ex hominum conſpectu diſparuiſſet. Alij in Creta mirabiliori etiam modo interiiſſe narrant. Manſiſſe autem tunc temporis in Creta Apolloniū, *quòd* magis quàm antea *admirationi eſſet*: Ferunt etiam ipſum in Dictææ matris templum intempeſtiuis horis quibuſdam venire conſueuiſſe; vbi templi cuſtodes propter maximas quæ illic erant, diuitias, canum vigilias complures præfecerant; qui vt à Cretenſibus fertur, vrſos etiam, & eiuſmodi alias beluas vincerent. Venienti tamen Apollonio non adlatrabant, ſed demiſſa cauda accedentes illi blandiebantur magis etiam quàm iis, quibus dudum iam erant aſſuefacti. Templi igitur antiſtes tanquam incantatorem & ſacrilegum comprehenſum ligauerunt accuſantes: quòd canibus placandis eſcam aliquam obieciſſet. Ipſe verò media ferè nocte ſeſe vinculis eximens, cuſtodibus, qui eum vinxerant, nominatim appellatis: ne diſcedens velle latere videretur, ad templi fores acceſſit, quæ ei vltro patuerunt. Cúmq; ipſe templum intraſſet, fores iterum vt erant antea, ſeſe clauſerunt, & vox quaſi cantantium virginum in templo eſt audita. Erant verò cantantiū verba huiuſmodi, *Veni de terra: veni. in cælum, aſcende*: nimirum, *veni è terra ſurſum.*

πρίασθαί τις οὐδ' εὐπρεπῆ οὖσαν. ἀλλ' ἐρῶν σφόδρα, καὶ χρηματιστὴς ἱκανὸς ὤν, γυναῖκά τε ἀγαγεῖν, καὶ παῖδας ἐξ αὐτῆς ἐκθρέψαι. οἱ δ' ἐν Λίνδῳ, τελευτῆσαι αὐτὸν παρελθόντα ἐς τὸ ἱερὸν τῆς Ἀθηνᾶς, καὶ εἴσω ἀφανισθέντα. οἱ δ' ἐν Κρήτῃ, φασὶ θαυμασιώτερον, ἢ οἱ ἐν Λίνδῳ. διατρίβειν μὲν ἐν τῇ Κρήτῃ τὸν Ἀπολλώνιον μᾶλλον, ἢ πρὸ τούτου θαυμαζόμενον. ἀφικέσθαι δ' ἐς τὸ ἱερὸν τῆς Δικτύννης ἀωρί. φυλακὴ δὲ τῷ ἱερῷ κυνῶν ἐπιτέτακται, φρουροὶ τοῦ ἐν αὐτῷ πλούτου. καὶ ἀξιοῦσιν αὐτοὺς οἱ Κρῆτες μήτε τῶν ἄρκτων, μήτε τῶν ὧδε ἀγρίων λείπεσθαι. οἱ δ' οὐθ' ὑλακτεῖν ἥκοντα, σαίνειν τε αὐτὸν προσιόντες, ὡς μηδὲ τοὺς ἄγαν ἐθάδας. οἱ μὲν δὴ τοῦ ἱεροῦ περιϊστάμενοι, ξυλλαβόντες αὐτὸν ὡς γόητα, καὶ λῃστὴν, δῆσαι, μείλιγμα τοῖς κυσὶ προβεβλῆσθαί τι ὑπ' αὐτοῦ φάσκοντες· ὁ δ' ἀμφὶ μέσας νύκτας ἑαυτὸν λῦσαι. καλέσας δὲ τοὺς δήσαντας, ὡς μὴ λάθοι, δραμεῖν ἐπὶ τὰς τοῦ ἱεροῦ θύρας. αἱ δ' ἀνεπετάσθησαν. παρελθόντος δ' εἴσω τὰς μὲν θύρας ξυνελθεῖν, ὥσπερ ἐκέκλειντο· βοὴν δὲ ᾀδουσῶν παρθένων, ἐκπεσεῖν. τὸ δὲ ᾆσμα ἦν, στεῖχε γᾶς· στεῖχε. ἐς οὐρανὸν, στεῖχε. οἷον, ἴθι ἐκ τῆς γῆς ἄνω.

De immortalitate animorum adoleſcenti cuidam Apollonium poſt obitum prædixiſſe. Cap. XIII.

ΠΕΡΙ ψυχῆς δὲ ὡς ἀθάνατος εἴη, ἐφιλοσόφει ἔτι, διδάσκων μὲν ὅτι ἀληθὴς ὁ ὑπὲρ αὐτῆς λόγος, πολυπραγμονεῖν δὲ, καὶ ξυγχωρεῖν τὰ ὧδε μεγάλα. ἀφίκετο μὲν γὰρ ἐς τὰ Τύανα μειράκιον, θρασὺ περὶ τὰς ἔριδας, καὶ μὴ ξυντιθέμενον ἀληθεῖ λόγῳ· τοῦ δὲ Ἀπολλωνίου ἐξ ἀνθρώπων μὲν ἤδη ὄντος, θαυμαζομένου δ' ἐπὶ τῇ μεταβολῇ, καὶ μηδ' ἀντιλέξαι θαρροῦντος μηδενὸς, ὡς οὐκ ἀθάνατος εἴη, λόγοι μὲν οἱ πλείοις ὑπὲρ ψυχῆς ἐγίγνοντο. καὶ γὰρ νεότης τις ἦν αὐτόθι, σοφίας ἐρῶντες· τὸ δὲ μειράκιον, οὐδαμῶς τῇ τῆς ψυχῆς ἀθανασίᾳ ξυντιθέμενον, ἐγὼ, ἔφη, ὦ παρόντες, τουτονὶ μῆνα δέκατον Ἀπολλωνίῳ διατελῶ εὐχόμενος, ἀναφῆναί μοι τὸν ὑπὲρ ψυχῆς λόγον. ὁ δ' οὕτω τέθναιη, ὡς μηδ' ἐφίστασθαι δεομένῳ, μηδ' ὡς ἀθάνατος εἴη πείθειν. τοιαῦτα μὲν τὸ μειράκιον τότε. πέμπτῃ δὲ ἀπ' ἐκείνης ἡμέρᾳ περιασπουδασάντων, καταδαρθὼν μὲν οὗ διελέγετο· τῶν δὲ * ξὺν σπουδαζόντων νέων, οἱ μὲν, πρὸς βιβλίοις ἦσαν· οἱ δ' ἐσπούδαζον, γεωμετρικοὺς ἐπιχαράττοντες τόπους τῇ γῇ. τὸ δ' ὥσπερ ἐμμανὲς ἀναπηδήσαν, ὡμόϋπνον, ἱδρῶτι τε πολλῷ ἐρρεῖτό τε, καὶ ἐβόα, πείθομαί σοι. ἐρομένων δ' αὐτὸ τῶν παρόντων ὅ, τι πέπονθεν, οὐχ ὁρᾶτε,

ἴσ. οἱ ξὺ ὁ μεταξὺ

A DE anima verò, quòd ſit immortalis, viſus eſt etiam poſt mortem philoſophari, & docere vera eſſe, quæ de illius immortalitate tradantur: cùm tamen non ſineret homines curioſius de re tam magna perſcrutari. Venit enim Tyana adoleſcens quidam in diſputando acutiſſimus, & qui non facilè veritati etiam cederet. Cúmque iam è vi- B ta migraſſet Apollonius, magna erat opinionis eius facta mutatio: & licet apertè contradicere nemo auderet: aut mortalem animam eſſe palam aſſerere, varij tamen ſermones habebantur. Multi namque illic iuuenes erant ſapientiæ ſtudiis deditι. Adoleſcens itaque opinioni de immortalitate animæ non conſentiens, Ego, inquit, ô viri Tyanenſes menſem iam decimum ſum pre- C catus Apollonium, vt mihi quid eſſet de anima ſentiendum, reuelaret: ipſe verò vſqueadeò mortuus mihi videtur, vt orãtium voces non audiat, nedum immortalem eſſe animam perſuadeat. Hæc quidem coram populo adoleſcens eſt locutus. Poſt quintum verò diem, cùm apud populum identidem philoſopharetur in eodem loco, vbi diſputans conſtiterat, obdormiuit. Ceteri verò iuuenes, qui ſtudia literarũ D ſectabantur, partim libris legendis incumbebant, partim geometricas quaſdam figuras deſignabant in puluere. Ille verò tanquam furore quodam correptus exiliens, multóque ſudore manans, clamabat, Ego tibi fidem habeo, Apolloni. cúmque adſtantes interrogarent, quidnã paſſus ita exclamaret, Nónne videtis,

qui, ſapientem Apollonium vobis A ſuperſtare, & omnia quæ dicuntur audire, cùm ipſe etiam rationes admirabiles de anima proferat. Cúmque illi vbinam eſſet, interrogarent: à nullo enim ipſorum conſpiciebatur, quanquam id multò magis optare ſe dicerent, quàm omnium hominum bonis potiri; Mihi ſoli, inquit, viſibilis aduenit adoleſcens, de iis mecum locuturus, quæ antea non credebam. Audite igitur quæ tanquam oraculum quoddam me- B cum diuinitus eſt locutus:

Eſt anima immortalis, & incorrupta manebit,
Non tua res, verùm quæ prouidet omnia diua,
Quæ velut acer equus corrupto corpore vinclis
Proſilit, & tenui miſcetur flamine cœli.
Cui graue ſeruitium eſt, atq; in- C *tolerabile viſum.*
Aſt tibi quidnam operæ eſt pretiũ hæc cognoſcere, quantum
Talibus haudquaquã credas dum corpore viuis.

Sic manifeſtè Apollonij oraculum arcana protulit de ipſa anima, vt periti homines ſuam naturam cognoſcentes, eò proficiſcantur, quo fata iubent. Sepulchrum autem tanti viri, aut ſepulchrale nuſquam vi- D di, quamuis magnam habitabilis terræ partem peragrauerim. Omnium autem ſermonibus tanquam Deus colitur. At Tyanenſes regiis illum honoribus proſequuntur. Nec immeritò, neque enim reges dedignati ſunt iiſdem honoribus illum honorare, quibus ſe ipſos dignos eſſe arbitrabantur.

A ἔφη, ὑμεῖς Ἀπολλώνιον τὸν σοφόν, ὡς περιτυγχάνει τι ἡμῖν ἐπακροώμενος τοῦ λόγου, καὶ περὶ ψυχῆς ῥαψῳδεῖ θαυμάσια; ποῦ δὴ οὗτος ἔφασαν, ὡς ἡμῖν γε οὐδαμοῦ φαίνεται· καίτοι βουλομένοις ἂν τοῦτο μᾶλλον, ἢ τὰ πάντων ἀνθρώπων ἀγαθὰ ἔχειν; καὶ τὸ μειράκιον, ἔοικεν ἐμοὶ μόνῳ διαλεξόμενος ἥκειν, ὑπὲρ ὧν μὴ ἐπίστευον. ἀκούετ' οὖν οἷα B τῷ λόγῳ ἐπιθειάζοι.

Ἀθάνατος ψυχὴ, κ' οὐ χρῆμα σὸν, ἀλλὰ προνοίης.
Ἣ μετὰ σῶμα μαρανθὲν, ἅτ' ἐκ δεσμῶν θοὸς ἵππος,
Ῥηϊδίως προθοροῦσα, κεράννυται ἠέρι κούφῳ,
Δεινὴν, καὶ πολύτλητον ἀποστέργουσα λατρείην·
C Σοὶ δὲ τί τοῦδ' ὄφελος, ὁπότ' οὐκέτ' ἐὼν τότε, δόξεις;
Ἢ τί μετὰ ζωοῖσιν ἐὼν, περὶ τῶνδε ματεύεις;

Καὶ σαφὴς οὗτος Ἀπολλωνίου τρίπους ἕστηκεν ὑπὲρ τῶν τῆς ψυχῆς ἀπορρήτων, ἵν' εὔθυμοί τε, καὶ τὴν αὐτῶν φύσιν εἰδότες, οἷ τάττουσι μοῖραι, D πορευώμεθα. τάφῳ μὲν οὖν, ἢ ψευδοταφίῳ τἀνδρὸς, οὐδαμοῦ προστυχὼν οἶδα, καίτοι τῆς γῆς, ὁπόση ἐστὶν, ἐπελθὼν πλείστην· λόγοις δὲ πανταχοῦ δαιμονίοις*, καὶ ἱερά. Τύανα δὲ βασιλείοις ἐκπεποιημένα τέλεσιν, οὐδὲ βασιλεῖς ἀπηξίουν αὐτοῦ, ὧν αὐτοὶ ἠξιοῦντο.

FINIS.

ΕΥΣΕΒΙΟΥ ΚΑΙΣΑΡΕΙΑΣ ΤΟΥ ΠΑΜΦΙΛΟΥ, ΑΝΤΙΡΡΗΤΙΚΟΣ *ΠΡΟΣ ΤΑ ΙΕΡΟΚΛΕΟΥΣ, Ἀπολλώνιον τὸν Τυανέα τῷ σωτῆρι Χριστῷ παραβάλλοντος.

γ. πρὸς τὰ ὑπὸ Φιλοστράτου, διὰ τὴν Ἱεροκλεῖ παραληφθεῖσαν αὐτοῦ τε καὶ τοῦ Χριστοῦ σύγκρισιν.

EVSEBII CAESARIENSIS EPISCOPI LIBER CONTRA HIEROCLEM, QVI EX PHILOSTRATI hiſtoria comparauit Apollonium Tyaneum Saluatori noſtro IESV CHRISTO.

ZENOBIO ACCIOLO FLORENTINO *INTERPRETE.*

TEN' amice illa quoque ſuſpicere dignũ eſt, quæ modò hic Hierocles paradoxe iactabat magiſtro, ac Saluatori noſtro Tyaneum componens? Nam ſi reliqua ipſius Philalethis deliria contemplemur (pulchrè enim veritatis inſcriptione ceſſurum putat ſuis contra nos libris) haud ita magnum operæ nunc pretium fuerit, in eo duntaxat verſari me, vt oſtendam, quæ illius feruntur ſcripta, non eſſe quidem ſua ipſius, ſed ex aliorum non ſententiis modò, verùm dictionibus quoque ipſis ac pene ſyllabis impudenter ſubducta; non indigna nimirum quæ & ipſa ſua quandoque refutatione damnentur. Tametſi re quidem ipſa iampridem, licet non deſtinato contra ſe ſtilo, ſatis illa euerſa videantur, voluminibus octo ab Origene conſcriptis in Celſi orationem, quæ vera

A Ἆρ' οὖν, ὦ φιλότης, κᾀκεῖνά σε τοῦ ξυγγραφέως ἄξιον ἀποθαυμάζειν, ἃ τῷ ἡμετέρῳ σωτῆρί τε, καὶ διδασκάλῳ τὸν Τυανέα ξυγκρίνων, παραδοξολογεῖ; πρὸς μὲν γὰρ τὰ λοιπὰ τῶν ἐν τῷ Φιλαλήθει· οὕτω γὰρ ἂν ἔχειν αὐτῷ τῶν καθ' ἡμῶν
B ἐπιγράφειν ἐδόκει λόγον· οὐδὲν ἂν εἴη σπουδαῖον ἐπὶ τοῦ παρόντος*, γ. ἴσαιεν μὴ αὐτοῦ ἴδια τυγχάνοντα. σφόδρα δὲ ἀναιδῶς ἐξ ἑτέρων οὐχ αὐτοῖς μονονουχὶ νοήμασιν, ἀλλὰ καὶ ῥήμασι, καὶ συλλαβαῖς ἀποσεσυλημένα, τύχοιμεν ἂν καὶ αὐτὰ τῆς
C προσηκούσης κατὰ καιρὸν ἀπελέγξεως. δυνάμει δ' ἤδη καὶ πρὸς τῆς ἰδίας κατ' αὐτὸν γραφῆς ἀνατέτραπται, καὶ προαπελήλεγκται, ἐν ὅλοις ὀκτὼ ξυγγράμμασι, τοῖς Ὠριγένει

γραφεῖσι, πρὸς τὸν ἀλαζονικώτερον τοῦ Φιλαλήθους ἐπιγεγραμμένον Κέλσου ἀληθῆ λόγον, ᾧ τὰς εὐθύνας ἀπαραλείπτως, ἐν ὅσοις εἰρήκαμεν, ὁ δεδηλωμένος παραγαγὼν ξυλλήβδην ὅσα ἐς τὴν αὐτὴν ὑπόθεσιν, πάντη τῷ, εἴρηταί τε, καὶ εἰρήσεται, προλαβὼν διελύσατο· ἐφ' ἃ τοὺς ἐπ' ἀκριβὲς τὰ καθ' ἡμᾶς διαγνῶναι ἔχοντας, φιλαλήθως ἀναπέμψαντες, φέρε μόνην ἐπὶ τοῦ παρόντος τὴν κατὰ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τοῦ Φιλαλήθους τουτουὶ λόγου παράθεσιν ἐπισκεψώμεθα· μηδέν τι σπουδαῖον ἡγούμενοι πρὸς τὰ λοιπὰ τῶν ἑτέρωθεν ὑποσεσυλημένων αὐτῷ διαμάχεσθαι. μόνα δὲ εἰκότως νυνὶ τὰ περὶ τὸν Ἀπολλώνιον ἐποψόμεθα· ἐπεὶ καὶ μόνῳ περὶ τοὺς πώποτε καθ' ἡμῶν γεγραφότας, ἐξαίρετος νῦν τούτῳ γέγονεν ἡ τοῦδε πρὸς τὸν ἡμέτερον σωτῆρα παράθεσίς τε, καὶ σύγκρισις. θαυμάζει οὖν καὶ ἀποδέχεται θείᾳ τινὶ, καὶ ἀῤῥήτῳ σοφίᾳ, οὐχὶ δὲ γοητείᾳ σοφίσμασι τε θαυματουργηκέναι φάσκων αὐτὸν, καὶ ταῦτα, ἀληθῶς οὕτως ἔχειν πιστεύων, καὶ ἀναποδείκτως ἀπισχυριζόμενος. ἄκουε δ' οὖν ἅ φησιν αὐταῖς συλλαβαῖς, ἄνω, καὶ κάτω θρυλλοῦσι, σεμνύνοντες τὸν Ἰησοῦν, ὡς τυφλοῖς ἀναβλέψαι τε παρασχόντα, καί τινα τοιαῦτα δράσαντα θαυμάσια. εἶτά τινα μεταξὺ εἰπὼν, ἐπιλέγει, σκεψώμεθά γε μὴν καὶ θεοῖς φίλου πράξεις βουλόμενοι λαθεῖν. ταῦτα ῥήμασιν αὐτοῖς Ἱεροκλεῖ τῷ τὸν καθ' ἡμῶν ἐπιγεγραφότι λόγον, εἴρηται. Δάμις μὲν οὖν ὁ τὰ πολλὰ ξυνδιατρίψας τῷ Ἀπολλωνίῳ, ἀπὸ τῆς Ἀσσυρίων γῆς ὁρμώμενος,

A inſcribitur, vel Philalethe ipſo arrogantiorem multò iactantioremque. Ibi enim rationes ille omnes abundè complexus, quicquid in eam rem cuiquam vel diſſertum eſt vnquam, vel diſſeretur omnino, quaſi præoccupatione diſſoluit. Eò nos igitur ablegantes, ſi qui paulò maiore ſtudio detinentur noſtra ex fide noſcendi: age ſolùm hoc tempore contemplemur, ex philalethe ipſo dominum noſtrum Ieſum Chriſtum Apollonio comparatum; inu-
B tilem prorſus operam deputantes, ſi de iis cum eo digladiemur, quæ aliunde is compilauit. Meritò enim quæ ad Apollonium ſpectant primam à nobis, ac totam operam poſtulare videntur. Quod vnus hic omnino, præter ceteros omnis, qui contra nos ſtili aciem diſtrinxerunt, ſingulare malum inuexit, impuri ſcilicet hominis ad Saluatorem noſtrum commiſſionem. Admiratur ergo hîc
C & confitetur Apollonium Tyaneũ, non veneficiis quidem vllis, magicíſve præſtigiis, ſed arcana quadam ſapientia diuinarum rerum, mirabilium operum effectorem, temeraria quadam fide, nulla tamen demonſtratione in hanc ſententiã demerſus & confirmatus. Audi verò quibus inſtrepat verbis. Súſque déque nugantur, inquit, Ieſum tollentes, vt qui cæcis videndi reddiderit facultatem, & alia id genus admiranda præſtiterit. Tum & paulo mox ita rationibus
D colligit. Videndũ porro ne Diis gratiſſimi hominis facta latêre Chriſtiani contendant. Hæc ipſius Hieroclis verba ſunt in oratione cõtra nos ſcripta, cui titulus philalethes. Damis igitur qui cum Tyaneo plurimũ vixit peregrè eũ de Aſſyria comitatus,

vbi & illi primùm congreſſus eſt, ex illó captam inter ſe amicitiam in hiſtoriam confert. Nam Maximus quidem particularia quædam hominis huius facta parcè admodum, breuitérque perſtringit. Athenienſis verò Philoſtratus, & vtrumque complexus, & aliorum quoque ſe ſcripta collegiſſe affirmans, exactiſſimam ſanè ab incunabulis inde orſus, obitu quoque tenus hiſtoriam texit. Si quando igitur licet noſtram, quæſo (vt iſti aiunt) leuem ſimplicitatem, contráque philalethis acre illuc comparandis rebus omnibus, firmúmque iudicium diſquiramus. Non id quidem hoc loco inſpicientes vter maiore præſtet diuinitate, pluráve miracula, & illuſtriora effecerit, neque quod de vno tantùm redemptore noſtro, ac domino Ieſu Chriſto in humanitatem venturo diuinitus inſpiraſti prophetæ à ſeculo vetuſtatis Hebraicæ prædixerunt: non quòd multò plures idem Ieſus cœleſtis doctrinæ verbo ad ſe conuertit: non quòd ingenuis, ac legitimis diſcipulis clarè paratis vltro pro illius doctrina mortem ſubire: non quòd frugalis vitæ ludum ſolus aperuit futuris quoque ſeculis fructuoſum: non quòd virtute ſuæ diuinitatis orbi terrarum ſalutaris affulſit, hodiéque multa hominum millia vndique ad hauſtum diuinæ ſapientiæ ſuæ trahit: non quòd vnus ab hominum genere tot iam ſeculis oppugnatus, contra tamen hoſtiliter impellentes, ſiue illi gentium reges, ſiue ſubiecti, inuictus, ac inexpugnabilis

A αὐτόθι τὸ πρῶτον ἐπὶ τῆς ἰδίας χώρας αὐτῷ ξυμμίξας, τὴν δὲ ἐκείνου μετὰ τοῦ ἀνδρὸς αὐτῷ γενομένην ξυνουσίαν ἱστόρησεν. ὁ μὲν Μάξιμος, κομιδῇ βραχέα τῶν κατὰ μέρος αὐτῷ πεπραγμένων ἀνεγράψατο· ὁ γε μὴν Ἀθηναῖος Φιλόστρατος, τὰ φερόμενα πάντα ὁμοῦ, ἀπό τε τοῦ Μαξίμου, καὶ αὐτοῦ Δάμιδος, καὶ ἄλλων ξυναγαγεῖν ἑαυτὸν φήσας, πάντων μάλιστα ἐντελῆ τὴν ἀπὸ γενέσεως, καὶ B μέχρι τελευτῆς ἱστορίαν τοῦ κατὰ τὸν ἄνδρα βίου πεποίηται. εἰ δὴ οὖν ἐξὸν τὴν ἐπικατηγορουμένην ἡμῶν εὐχέρειάν τε, καὶ κουφότητα, καὶ τὴν τοῦ φιλαλήθους ἀκριβῆ, καὶ βεβαίαν ἐφ᾽ ἑκάστῳ παραθεῖναι κρίσιν, φέρε διαπυθώμεθα, οὐχ ὅς τις θειότερος γεγόνοι, οὐδ᾽ ὁποῖος θαυμασιώτερός τε, καὶ πλείω διεπράξατο παράδοξα, οὐδ᾽ ὡς μόνος παρὰ τοῖς ἀνέκαθεν C πρὸ μυρίων ὅσων γενομένων Ἑβραίων σοφοῖς, ὁ σωτὴρ ἡμῶν, καὶ κύριος Ἰησοῦς Χριστὸς ἥξειν ἐς ἀνθρώπους κατὰ θείαν ἐπίπνοιαν προπεφήτευτο, οὐδ᾽ ὡς πλείους ἐπὶ τὴν τῆς θείας διδασκαλίας αὐτοῦ λόγον προὐτρέψατο, οὐδ᾽ ὡς γνησίους, καὶ ὄντως ἀληθεῖς ἐκτήσατο φοιτητάς, μονονουχὶ καὶ ὑπεραποθνήσκειν ἑτοίμως D τῶν λόγων αὐτοῦ παρεσκευασμένους, οὐδ᾽ ὡς μόνος σώφρονος βίου διδασκαλεῖον, καὶ ἐς τὸν μετέπειτα χρόνον ξυνεστήσατο, οὐδ᾽ ὡς τῇ ἰδίᾳ θειότητί τε, καὶ ἀρετῇ, πᾶσαν ἔσωσε τὴν οἰκουμένην, καὶ εἰσέτι καὶ νῦν μυρία πλήθη πανταχόθεν ἐπὶ τὴν θείαν ἑαυτοῦ διδασκαλίαν ἐπαγόμενος. οὐδ᾽ ὡς τῶν πώποτε μόνος πρὸς ἁπάντων σχεδὸν εἰπεῖν ἀνθρώπων, ἀρχόντων τε, καὶ ἀρχομένων, πλείστοις ἔτεσιν ἤδη πολεμούμενος, κρείττων, καὶ πολὺ δυνατώτερος τῶν πικρῶς* ἐλαυνόντων

ἁπάντων ἀποδέδεικται, θείᾳ καὶ ἀρρήτῳ
δυνάμει, τοῖς μὲν κατὰ καιρὸν ἐπανισταμένοις αὐτοῦ, τῇ θείᾳ διδασκαλίᾳ μεπιὼν ῥᾳδίως τῶν δὲ παγέντα πρὸς αὐτὸν, καὶ παραδοθέντα θεῖον λόγον, ἐς ἄπειρον αἰῶνα καθ' ὅλης κρατύνων οἰκουμένης, οὐδὲ ὡς εἰσέτι καὶ νῦν τῆς ἐνθέου δυνάμεως τῆς ἀρετῆς ἐπιδείκνυται, μοχθηρούς τινας, καὶ φαύλους δαίμονας ψυχαῖς ἀνθρώπων, καὶ σώμασιν ἐφεδρεύοντας ἀπελαύνων διὰ μόνης τῆς ἀρρήτου προσηγορίας αὐτοῦ, ὡς αὐτῇ πείρᾳ κατειλήφαμεν. ταῦτα γὰρ περὶ τοῦ *Ἀπολλωνίου ζητεῖν, μὴ καὶ τὸ ἐρωτᾶν ἀνόητον· μόνην δὲ ἐπισκεψώμεθα τὴν τοῦ Φιλοστράτου γραφὴν, δι' ἧς εὐθυνοῦμεν, ὡς οὐχ ὅπη γε ἐν φιλοσόφοις, ἀλλ' οὐδὲ ἐν ἐπιεικέσι, καὶ μετρίοις ἀνδράσιν ἄξιον ἐγκρίνειν, οὐχ ὅπως τῷ σωτῆρι ἡμῶν Χριστῷ παραθεῖναι τὸν Ἀπολλώνιον, ὅσον ἐπὶ τῇ γραφῇ τοῦ παρὰ τῷ Φιλαλήθει παιδεύσεως μὲν ἐπὶ πλεῖστον ἥκοντος, τὸ δὲ ἀληθὲς μὴ τιμῶντος ξυγγραφέως. τοιοῦτος γὰρ ἦν *μετὰ τῶν ἄλλων καὶ ὁ Ἀθηναῖος Φιλόστρατος ἐξ οὗ ῥᾳδίως ἂν καταμάθοιμεν καὶ τῶν λοιπῶν τῶν κατ' αὐτὸν, παιδεύσεως μὲν ἐπὶ πλεῖστον ἡκόντων, αὐτὸ δὲ τὸ ἐξητασμένως μὴ ἀπηκριβωμένων τῆς κατὰ τὸν Ἀπολλώνιον ἱστορίας. τούτων γὰρ ἡμῖν διευκρινηθέντων, ὁμοῦ τοῦ τε Φιλαλήθους τὰ ἀνωτάτω τε καθ' ὅλων δικαστήρια διειληφότος, ἡ κατὰ χριστιανῶν βεβαία, καὶ ὡς αὐτὸς ἑαυτῷ δοκεῖ ἀκριβὴς ἐφ' ἑκάστῳ κρίσις, φανερὰ καταστήσεται. ἡμῶν τε αὖ οἱ μωροὶ, καὶ βεβουκολημένοι, νενομίσμεθα παρ' αὐτοῖς;

χ. τὸν Ἀπολλώνιον

χ. ἀνὴρ μ.

A durat, robore quodam diuinitatis occulto, ſacræ reluctantib. doctrinæ *tempeſtiuè* ſeſe inſinuans. Quam verò ſemel ipſe verbi ſapientiam pectoribus inſeuit, atque transfudit, per immenſa ſecula terræ ambitus ditione magna conſeruans, non denique quod virtutis entheæ vim nunc quoque planè teſtatur impuros dæmonas vel corporibus hominum vel animis inſidentes, ſacroſancta duntaxat nominis ſui compellatione extrudens. Hæc enim

B ſecum de Apollonio cogitare ſummæ cuiuſdam ſit, ne dum alios ſciſcitari, dementiæ. Quæ nos omnia poſthabentes, vnam modò Philoſtrati penſitemus hiſtoriam. Ex hac enim certis rationibus conuincemus Apollonium non inter philoſophos locum, ac ne inter mediocris quidem, ac vſitatæ probitatis viros, dignum ſortiri, ne dum ſit ille Saluatori noſtro ratione aliqua conferendus, quatenus, inquam, colligere eſt de ipſo Phila-

C lethis autore, eruditione quidem magna referto, veritatem ipſam probro afficiente. Huius enim notæ Philoſtratus ipſe eſt cum aliis omnibus apud illum ſcriptoribus. Ex quo nobis planè conſtare poteſt, ceteros quoque, quos ille autores habet, cognitione quidem multa rerum magnáque fuiſſe, minus tamen in eo laboraſſe, vt Apollonij vitam fideli hiſtoriæ com-

D mendarent. His itaque ad diſquiſitionem collectis ſatis puto conſtabit, & Philalethis huius indicia ſimul cuncta, teſtimoniáque complexi, acre illud in Chriſtianos, rerúmque omnium, vt de ſe ipſe ait iudicium conſultiſſimum, noſtráque viciſſim quos ille pro tardis, ac deceptis habet (vt eiuſdem

verbis vtar) inepta leuitas, & ſtoliditas pateſiat. Neque verò me latet alium quidem audacter ſtatim à maledictis ſcribendi initium fuiſſe ſumpturum velut hoſti inſultantem, contra quem ſcripturum ſe noſſet. Ego verò, amice, alia mihi ratione agendum cenſeo. Nam Tyaneum quidem magna olim rerum humanarum ſapientia fuiſſe hominé credidi, velímque nunc etiam, modò liceat, eadem in ſententia permanere. Denique ſi de Tyaneo quid ſentiam planè me rogas, ego ſic ſtatuo. Si quis hunc in philoſophorum albo repoſitum velit, ita ſanè vt fabularum figmentis æquos naturæ fines minus conturbet, nullam fore à nobis inuidiam, quin magnificè de illo & ſentiat & loquatur. Sin verò quis terminos euagari, ſupráque philoſophiam ſe ferre auſit, ſiue ille Aſſyrius Damis, Atheniensíſve Philoſtratus, ſiue hiſtoricus, oratórve ille ſit, verbis quidem veneficia diffitens, re tamen ipſa magis hominem deprimens, quàm oratione attollat, hic ſanè velut egregiè perſonatus, Pythagoræ diſciplinam fronte effingens, ſe quidem nobis philoſophũ oſtentabit, aſinus tamen erit leonis pellem ſuperindutus, neque aliud planè quàm ciuitatum ſpectabilis circulator, ac clamoſus ſophiſta, magúſque pro philoſopho, ac veneficus deprehendetur. Vnde vero in hanc ſententiam ducar, quæſo, attende. Naturales termini quidam ſunt ſubſtantiæ vniuerſæ, principia, medium, finéſque circumplexi, modos ſcilicet rerum omnium, legéſq;, quibus ex rebus quantacunque hæc mundi machina & ſtructura perficitur. Hi vero termini ſolidis legibus diſponuntur: nexibúſque firmiſſimis cohærentes, prouidentiæ

A ἡ πρὸς αὐτῶν ἐπικαλουμένη ἀχρειά τε, καὶ κουφότης. ἄλλος μὲν οὖν ὁμόσε χωρῶν, αὐτόθεν διέβαλλεν ἂν βλασφημῶν, ὡς ἐχθρὸν αὐτοῦ, καὶ πολέμιον, τὸν καθ' οὗ τὸν λόγον ἐποιεῖτο. ἐγὼ δὲ, ὦ ἑταῖρε, σοφόν τινα τὰ ἀνθρώπινα τὸν Τυανέα γεγονέναι ἡγούμενος, καὶ ἔτι γε αὐτῆς ἔχεσθαι διανοίας ἑκὼν εἶναι βουλοίμην, καὶ σοὶ τὴν αὐτὸς ἐμαυτοῦ περὶ αὐτοῦ δόξαν
B ἐκθεῖναι δὴ ἐρωτῶντι, φιλοσόφων μὲν οὕτω τις βούλοιτο καταλέγειν τὸν ἄνδρα, παρὰ μηδὲν διενοχλοῦντα ταῖς περὶ αὐτοῦ μυθολογίαις, ἔστω. εἰ δ' ὑπερπηδῶν τοὺς ὅρους, καὶ φιλοσοφίας ὑπέρτερα φρονεῖν, εἴ τις Δάμις Ἀσσύριος, εἴτε Φιλόστρατος, εἴτε τις ξυγγραφεὺς, ἢ λογογράφος θρασύνοιτο, λόγῳ μὲν ἐκτρεπόμενος γοητείαν, ἔργοις δὲ πλέον, ἢ ῥήμασιν ἐπι-
C φορτίζων τὸν ἄνδρα, προσωπείου δίκην τὴν Πυθαγόρειον ἐπιμορφαζόμενος ἀγωγὴν, οἰχήσεται μὲν ἡμῖν ὁ φιλόσοφος, ὄνος δὲ τῇ τοῦ λέοντος ἐπικρυπτόμενος δορᾷ, σοφιστής τις ἀληθῶς ἀγείρων κατὰ τὰς πόλεις, αὐτό τε τοῦτο, γόης ἀτεχνῶς ἀντὶ φιλοσόφου φωραθήσεται. πῶς δὲ τοῦτό φημι, καὶ πόθεν ὁρμώμενος ἐρωτᾷς, μάνθανε.
D ὅροι φύσεως, ἀρχὰς, καὶ μέσα, καὶ τέλη τῆς τῶν ὅλων οὐσίας περιειληφότες, μέτρα, καὶ θεσμοὺς ἅπασι, δι' ὧν τόδε τὸ πᾶν μηχάνημά τε, καὶ ἀρχιτεκτόνημα τοῦ παντὸς κόσμου τελεσιουργεῖται· διαπεπήγασί τε νόμοις ἀλύτοις, καὶ δεσμοῖς ἀρρήκτοις, τῆς τὰ πάντα οἰκονομούσης προνοίας τοῦ πανσόφου

βούλημα διαφυλάττοντες. οὔκουν κινήσαι τι, ἢ μεταθεῖν τῆς τάξεως τῶν ἅπαξ διατεθειμένων. κεκράτηται δ᾽ οὖν θεσμῷ φύσεως τὸν θεῖον ὑπεραναβαίνειν νόμον πᾶς, ὅτῳ τις θρασύτερος τῆς ἐπέκεινα βαίνειν ἔνεστι πόθος. οὔτ᾽ οὖν παρὰ φύσιν ὁ ἔνυδρος ἐπὶ τῆς χέρσου μεταβὰς βιῶναι δυνήσεται ἰχθύς, οὐ τὸ ἐν χέρσῳ τραφὲν, τοῖς ὕδασι καταδύσεται, τὴν ἐκεῖσε διηνεκῆ μονὴν ἀσπαζόμενος· οὐ μέγα πηδήσας μετέωρός τις τῆς ἐπὶ γῆς, ἀρθήσεται πρὸς ἀέρα, ξυμπαραπολεῖν ἀετοῖς ἐπιθυμῶν· ἢ μὴν κεῖνοί γε, κἂν ἐπὶ γῆς ἔλθοιεν, βρίσαντες ἐπὶ τὸ κάτω τὴν δύναμιν, ἢ τὸ πτεροῦ χαλάσαντες, ἢ ἀνέντες τὴν φύσιν. ἐπεὶ καὶ τοῦτο θείοις ὥρισται νόμοις τὸ ὕψοις τὸ μετέωρον ὑποκαταβαίνειν δύνασθαι. οὐ μὴν καὶ ἔμπαλιν τὸ ταπεινὸν, καὶ γεῶδες ἐπὶ τὸ μετέωρον αἴρεσθαι. ταύτῃ δὴ καὶ τὸ θνητὸν ἀνθρώπων γένος ψυχῆς μετέχον, καὶ σώματος, ὅροις περιγέγραπται θείοις. οὔτ᾽ οὖν τῷ σώματι δι᾽ ἀέρος ἔλθοι ποτὲ τῶν ἐπὶ γῆς καταφρονήσας διατριβῶν, μὴ οὐχὶ τοὐπιτίμιον αὐτίκα τῆς ἀνοίας παρασχών, οὐ τὴν ψυχὴν ἀρθεὶς φρονήματι καθίξεται τῶν ἀνεφίκτων, ἢ μελαγχολίας νοσήματα ἂν περιπέσοι· σωφρονοῖ δ᾽ ἂν ὀρθῶς μὲν τὸ σῶμα ποσὶν ἐπὶ γῆς φερόμενος· τὴν δὲ ψυχὴν παιδείᾳ, καὶ φιλοσοφίᾳ σκηρίπτων.* δέξαιτο δὲ καί τινα ξυνεργὸν ἄνωθέν ποθεν ἐκ τῆς κατ᾽ οὐρανὸν διατριβῶν ἐλθεῖν, καὶ τὸν ἐκεῖσε διδάσκαλον αὐτῷ φανῆναι σωτηρίας. ἐρρωμένῳ γάρ τοι παραδείγματι, νοσοῦντι μὲν τὸν ἰατρὸν ἐπιφοιτᾶν θέμις, καὶ τὸν διδάσκαλον εἰσαγομένῳ

A gubernãtis ſapientiſſima decreta cuſtodiunt & aſſeruant. Haud igitur vnquam temerè loco moueat, ordinémve commutet eorum quicquã, quæ ita ſemel diſpoſita atque inſtituta ſunt. Omnis enim, quem cupido paulo audentior ſubit, vltra naturæ leges ſe ferre, quo minus id facere poſſit, iiſdem legibus coërcetur. Neque enim eſt aquatilem piſcem degere in terras tralatum, neque terris innutritum animal ſic vrinabit, vt B aſſiduam ſub aquis diligat moram. Non exultim ita ſolo tolletur, vt cœlo penſilis (quanquam id valde appetat) queat aquilis intereſſe: Cùm tamen volatilium ſit ad terram deſcenſus, alarum præpetem illam vim curſúmque ſiſtentium. Ita enim diuinis legibus ſanctum eſt, vt ſumma imis per deſcenſum communicent: non tamen quod humile ac terrenum eſt, in ſublimè continuo ſeſe tollat. Eadem ratione mortalis homo C cùm ſit ex anima & corpore conſtitutus, iiſdem quoq; terminis coërcetur: ita vt nec aërem graui corpore peragrare quiſquam contendat, ceu terreſtres ſemitas aſpernatus: quin ad terram continuo deuolutus, meritas inſaniæ pœnas exoluat; neque vana opinione mentem ſuffectus, inacceſſas vias animo peragrabit, niſi qui atræ bilis morbo corripiatur. Sapientius ergo fecerit, ac modeſtiùs multo, ſi congruentib. veſtigiis terra in-D cedat, animúmque doctrina, ac philoſophia ſubnixus, votis expoſcat, de ſupernis domiciliis adiutorē ſibi aliquem, columénque adeſſe, à quo de cœleſti felicitate inſtrui edocerique poſſit. Vt enim exemplo iam cõſtat, par eſt ægrotis medicum adhiberi, præceptorémq; diſciplina ſua

imbutis præſto eſſe diſcipulis: neque minus eos qui ſupernas incolunt ſedes, congreſſus hominum quamuis infimos non dedignari, viciſſim verò fieri nullo modo. Ex quo intelligi nobis datur rationem nullam aduerſari, quin natura ipſa diuina cùm benefica ſalutaríſque ſit, rerum præſertim omnium curam gerens, in commercium ſeſe hominum, familiaritatémque demittat, diuinæ prouidentiæ lege ita maximè permittente. Bonus eſt enim Deus, vt inquit Plato: bonum *In Timæo.* verò nulla rei cuiuſquam ſubit aliquando inuidia. Non igitur bonus ille, cùm ſit omnium rerum gubernator, ac pater, vnius modò corporis curam geret: quin multò & animarum magis, vt pote quibus æternitatis munus, ac liberæ voluntatis arbitrium cõtulit: hic inquam vniuerſæ diſpoſitionis autor & magiſter, habiles ſuaptè natura animas conſpicatus, ad ea bona percipienda, quorum ipſe bonorum vim illis gratificatur, eiſdem quaſi luminis ſui radios vbertim infundet. Angelum quempiam de maximè ſibi adiunctis ad eorum qui in terris degunt, ſalutem quandoque, vſúmque demittens. Quòd ſi quem tanto munere fortunari contingat, tam ille mentem animúmque purgatus, mortalitatis labe omni depulſa, diuinitati facilè tranſcribetur: ac veluti magni cuiuſdam imaginem Dei anima circumplexus, tantus iam erit, vt vniuerſum hominum genus in ſe moueat & conuertat: Mundúmque Sole ipſo ſplendidius illuſtrabit, monimenta ſibi inſitæ diuinitatis poſteris quoque ſuis de ſe relinquens, neque minus opificiis vllis quæ ex inanimi materia conſtat, entheæ naturæ præferet argumentum. Atque hac demum

A τοῖς μαθήμασι ξυμφέρεσθαι, καὶ τὸν ἄνω που, καὶ ἐν ὕψει ξυγκατιέναι τοῖς ταπεινοῖς· οὐ μὴν καὶ ἀνάπαλιν. ὅθεν δὴ θείαν μὲν φύσιν εὐεργέτιν οὖσαν, καὶ σώτειραν, καὶ προνοητικὴν τῶν ὄντων, ἀνθρώποις ποτὲ ἐς ὁμιλίαν ἐλθεῖν, οὐδεὶς ἂν ἀπείργοι λόγος ὅρῳ θείας προνοίας, καὶ τούτου ξυγκεχωρημένου. ἀγαθὸς γὰρ ἦν κατὰ τὸν Πλά- B τωνα· ἀγαθῷ δὲ οὐδεὶς περὶ οὐδενὸς ἐγγίνεται φθόνος. οὐκοῦν σωμάτων μόνον ἀγαθὸς ὤν, ὁ τὸ δὲ τὸ πᾶν διακυβερνῶν ἐπιμελήσεται, πολὺ πλέον δὲ ψυχῶν, αἷς τὸ ἀθάνατόν τε, καὶ αὐτοκρατορικὸν κεχάρισται γέρας· ταύταις δῆτα, οἷα τῆς οἰκονομίας ἁπάσης κύριος ὤν, καὶ χαρίτων, ὧν δὴ δωρούμενος αὐταῖς, εὐεργετοῖ τὴν φύσιν, οὔσαις ἀντιληπτικαῖς, ἀκτῖνας ὥσπερ τοῦ παρ' C ἑαυτοῦ φωτὸς δωρήσεται ἀφθόνως· τῶν ἀμφ' αὐτὸν, ἔστιν ὅτε τὸν μάλιστα προσεχεῖς ἐς τὴν τῶν ἐπὶ τὰ τῇδε σωτηρίου τε, καὶ ἀντίληψιν ἐκπέμπων. ὧν εἴ τῳ εὐτυχῆσαι γένοιτο τὴν διάνοιαν, ὅσος ἀποκαθαρθεὶς, καὶ τὴν τῆς θνητότητος ἀποσκεδάσας ἀχλὺν, θεῖος ἀληθῶς ἀναγραφήσεται, μέγαν τινὰ θεὸν ἀγαλματοφο- D ρῶν τῇ ψυχῇ. κινήσειε δῆτα οἷα τηλικοῦτος τὸ πάντων ἀνθρώπων γένος. καὶ μᾶλλον Ἡλίου τὴν οἰκουμένην καταλάμψει, τοὔργον τῆς ἀϊδίου θεότητος, καὶ ἐς τὸν ἐπιόντα ξυνορᾶσθαι καταλείπων χρόνον, οὐ μεῖον τῶν ἐξ ἀψύχου ὕλης δημιουργημάτων, τὸ τῆς ἐνθέου παράδειγμα φύσεως παρεχόμενος. καὶ ταύτῃ μὲν

ἀνθρωπεία φύσις τῇ ὑπὲρ ἀνθρώπων κοινωνήσαι ἄν. ἄλλως δ' οὐ θέμις τοὺς ὅρους ὑπερβαίνειν, οὐδ' ἄπτερον ἔχοντα τὸ σῶμα, τὰ τῶν πτηνῶν ἐπιτηδεύειν, οὐδ' ἄνθρωπον ὄντα, τὰ τῶν δαιμόνων πολυπραγμονεῖν. τί δῆτα ἡμῖν ἐπὶ τούτοις τὸν Ἀπολλώνιον εἰσάγεις, ὦ ξυγγραφεῦ; εἰ μὲν δὴ θεῖον, καὶ φιλοσόφου κρείττονα, τήν τε φύσιν, ἁπλῶς εἰπεῖν, ὑπὲρ ἄνθρωπον, τήρει μοι δι' ὅλης τῆς ἱστορίας τὴν ὑπόθεσιν, καὶ τοὔργον εἴ σέ τι νῦν ἐπιδείκνυθι τῆς θεότητος. ἦ γὰρ οὐκ ἀτοπώτατον τεκτόνων μὲν, καὶ οἰκοδόμων, καὶ μετὰ τὴν τῶν δημιουργῶν τελευτὴν ἐπιμήκιστον τοὔργον διαρκεῖν, ἀθάνατόν που σχεδὸν τῶν συστησαμένων τὴν μνήμην στηλιτεῦον· θείαν δ' ἄρα φύσιν ἀνθρώποις ἐπιλάμψασαν, σκότιόν που, καὶ μινυνθάδιον ἀποτελεῖν, οὐχὶ δὲ ἐς αἰῶνα τὴν ἀρετὴν ἐπιδείκνυσθαι, μὴ ἐς ἕνα τινὰ Δάμιν, ἢ καὶ ἄλλους βραχεῖς πτωχεύουσαν τῶν ἀνθρώπων, ἀλλ' ἐς μυρίων ὅσων ὠφελείας· οὐ τῶν καθ' ὧν ἐγνωρίζετο μόνον, ἀλλὰ καὶ τῶν μετὰ ταῦτα γενησομένων τὴν πάροδον ποιουμένην; ταύτῃ τοίνυν καὶ τοὺς πάλαι σοφοὺς ζηλωτάς τε, καὶ διαδόχους ποιήσασθαι τῆς ἀρετῆς, ἀθάνατον ὡς ἀληθῶς ἀνθρώποις παραδεδειγμένοις τὸ κατόρθωμα. εἰ δὲ θνητὴν θ' ὑπογράφεις τἀνδρὸς τὴν φύσιν, ὅρα μὴ πλέον, ἢ προσῆκε ταύτῃ χαριζόμενος, δίκην ἀποτίσῃς παραλογίας. ἀλλὰ μὴν εἰσῆκται αὐτῷ θεῖος ἄνθρωπος, καὶ θαλαττίου δαί-

A ratione particeps homo fiet naturæ ſublimioris. Secus verò imbutum nequaquam fas ſit metas fineſque tranſire. Non inuolucri, inquam, corpore vias auium affectare, neque humanæ conditionis oblitum, quæ ad dæmonas ſpectant curioſius indagare. Quæ cùm ita ſe habeant, quid tantopere nobis Apollonium circumducis ſcriptor egregie? Si quidem hunc diuinum cenſeri fas eſt, philoſophóque maiorem, &c, vt ſemel dicatur, excel-
B lentis cuiuſdam ſupra hominem facultatis, inſpiciatur ſanè totius quæ de illo ſcribitur, hiſtoriæ argumentum. Tum ſi quod ex illo supereſt opus diuinitatis, age depromito. An non quæſo abſurdum maximè eſt, architectorum quidem opera & fabrorum, vel iis ipſis vita perfunctis in longinquum ſanè tempus extare, vnde illorum nomen æternitati mandetur: diuinam verò naturam inter homines ſplendeſcentem, ita anguſti temporis in-
C teruallo obſcuram euanuiſſe, neque in ſeculum virtutis ſuæ monimenta teſtari: non Damidis quidem neſcio cuius, aliorúmque breui dilabentiū hominum teſtimonia mendicantem, ſed vtilitate ipſa, in multa hominum millia, neque horum modò, à quibus dignoſceretur, ſed ad poſteros pertinente, longè latéque diffuſam? Hoc procul dubio
D pactò conſtat veteres ſapientes, virtutis ſuæ imitatores quàm plurimos, ſucceſſoréſque reliquiſſe ſtabili ad bene viuendum tradita illis norma. Quòd ſi hominem hunc mortalitati adſcribis, caue ne plus illi ad gratiam tribuens quàm par ſit, pœnas violatæ rationis expendas. Atque diuinus quidam homo à Philoſtrato nobis adducitur ſub ipſius genituræ dies marini dæmo-

nis figuram, faciémque indutus. Matri enim adhuc ventrem ferenti ſpecies marini Dei eſt ante oculos obuerſata, Proteus ipſe ſcilicet verſilis apud Homerum in figuras omnigenas Deus. Ea verò nihil perterrita, quid paritura eſſet eum interrogauit. Me ipſum paries, inquit ille. Quid tu autem? Proteus ille, inquit, Ægyptius ſum. Tum florido in prato Cycnos ait neſcio quos parienti illi pro obſtetricibus affuiſſe. Nullo tamen vnde hoc hauſit, citato autore. Neque enim puto fabulæ huius narratorem ſcribet Aſſyrium Damin. Tametſi haud multò poſt eadem in hiſtoria ſcribat Apollonium quaſi diuinitate iam præditũ ſeſe Damidi adiũxiſſe, his fermè verbis illi congreſſum: Ego, amice, vocum omnium & linguarum cõſcius ſum, licet nullas didicerim. Quóq; minus mirere, potis ego ſum latentes cogitatus, captúſque deprehendere. Cultum quoq; Apolloniũ ſcribit in Æſculapij templo, Deo id maximè approbante, neque verò doctum fuiſſe, ſed ab infantia præditum naturali quadam rerum præſenſione. Denique ab ipſa protinus genitura Apolloniũ ſine artis impendio velut homine potiorem tota hiſtoria nobis effingit. Sed tùm præcipuè cùm in cuſtodia aliquãdo detentus, ſe ſua ſponte pedicis exoluiſſet: planè ſe aduertiſſe Damis affirmat Apollonium ſupra communem hominum ſortem diuinitate quadã præditum eſſe. Neque enim tunc ſacrorũ miniſterio vllo adiutum (quomodo id enim in cuſtodia potuiſſet?) ſed ne ſupplicantẽ quidem aut immurmurantem, vincula tamen & cõpedes pro ridiculo habuiſſe. Cùm verò de illius extremo die mentionẽ facit, nuſquam gentium ſcribit ac locorum ſepulchrum eius aliquod,

A μονος σχήματί τι, καὶ προσωπεῖον ἀπὸ γενέσεως ἀναλαμβάνων. κυούσῃ γὰρ ὥς φησι τῇ αὐτοῦ μητρὶ, φάσμα ἦλθε θαλαττίου δαίμονος, Πρωτεὺς ὁ παρὰ τῷ Ὁμήρῳ ἐξαλλάττων. ἡ δὲ, οὐδὲν δείσασα, ἤρετο αὐτὸν τί ἀποκυήσοι. ὁ δὲ, ἐμὲ, εἶπε· σὺ δὲ τίς εἰπούσης; Πρωτεὺς, ἔφη, ὁ Αἰγύπτιος. εἶτα δὴ λειμῶνά τινα,
B καὶ Κύκνους, τὴν γυναῖκα μαιεύεσθαι γράφει, ὁπόθεν αὐτὸ τοῦτ' εἰληφθὲν μὴ εἰπών· οὐ γὰρ δὴ καὶ τούτου ὑφηγητὴν Δάμιν τὸν Ἀσσύριον ὑπογράφεται, ἀλλὰ καὶ οὐκ ἐς μακρὸν τῆς αὐτῆς ἱστορίας αὐτῷ Δάμιδι, οἷα δὴ θείας ὄντα φύσεως τὸν Ἀπολλώνιον εἰσάγει· αὐτὰ δὴ ταῦτα λέγοντα, Ἐγὼ, ὦ ἑταῖρε, πασῶν τῶν
C φωνῶν ξυνίημι, μαθὼν οὐδεμίαν· καὶ μὴ θαυμάσῃς. οἶδα γὰρ καὶ ἃ σιωπῶσιν οἱ ἄνθρωποι. καὶ πάλιν ἐν Ἀσκληπιοῦ τιμώμενον πρὸς τοῦ δαίμονος, καὶ πρόγνωσίν τινα, καὶ ἀδίδακτον ἔχειν ἐκ παιδὸς, κρείττονά τε ἀτεχνῶς ἀνθρώπου φῦναι αὐτὸν, ἐξ αὐτῆς γενέσεως, καὶ δι' ὅλης ἡμῖν τῆς ἱστορίας ὑπογράφει. λύσαντος
D γοῦν ἑαυτὸν ποτε ἀπὸ τῶν δεσμῶν, ἐπιφέρει, λέγων, τότε πρῶτον ὁ Δάμις φησὶν, ἀκριβῶς ξυνεῖναι τῆς Ἀπολλωνίου φύσεως, ὅτι θεία τε εἴη, καὶ κρείττων ἀνθρώπου. μὴ γὰρ θύσαντά γε· πῶς γὰρ ἐν δεσμωτηρίῳ; μὴ δὲ εὐξάμενον, μηδὲ εἰπόντα τι, καταγελάσαι τοῦ δεσμοῦ. ἐπὶ τελευτῇ δὲ, τάφον μὲν αὐτοῦ μηδόλως ποι γῆς εὑρίσκεσθαι, χωρῆσαι

A χωρῆσαι δὲ ἐς οὐρανὸν αὐτοῦ σῶμα ἔτι μεθ' ὕμνων, καὶ χορείας λέγει. εἰκότως δὴ οὖν, οἷα τὸν τοσοῦτον θειότερον, ἢ Πυθαγόρας, Ἐμπεδοκλῆς τε, καὶ Πλάτων φιλοσοφίᾳ τὸν ἄνδρα προσεληλυθέναι φησίν· ἐκ τοῦ ἐν θεοῖς ἡμῖν ἀναγεγράφθω ὁ ἄνθρωπος. καὶ ὁ φθόνος ἀπέστω τῆς τῶν φωνῶν ἁπασῶν αὐτοφυοῦς, καὶ αὐτοδιδάκτου ξυνέσεως· τί δῆτα οὖν ἐς διδασκάλου ἄγει αὐτόν, καὶ τὸν μηδεμίαν φωνὴν μεμαθηκότα διαβάλλει, ὡς ἂν ἐξ ἀσκήσεως, καὶ μελέτης· ἀλλ' οὐκ ἐκ φύσεως Ἀττικὸν γενόμενον τὴν γλῶτταν; φησὶ γὰρ *ὡς προϊὼν ἐς ἡλικίαν, γράμματά τε, καὶ μνήμης ἰσχὺν ἐδήλου, καὶ μελέτης κράτος. καὶ ἡ γλῶττα αὐτοῦ, Ἀττικῶς εἶχε. καὶ γεγονότα δὲ αὐτὸν ἔτη τεσσαρεσκαίδεκα, ἄγει ἐς Ταρσοὺς ὁ πατὴρ, παρ' Εὐθύδημον τὸν ἐκ Φοινίκης. ὃς ῥήτωρ τε ἀγαθὸς ἦν. καὶ ἐπαίδευε τοῦτον. ὁ δὲ, τοῦ διδασκάλου εἴχετο. εἶτα ξυνεφιλοσόφουν αὐτῷ, Πλατώνειοί τε, καὶ Χρισίππειοι, καὶ οἱ ἀπὸ τοῦ περιπάτου. διήκουε δὲ καὶ τῶν Ἐπικούρου λόγων. οὐδὲ γὰρ τούτους ἀπεσπούδαζε. τοὺς δὲ Πυθαγορείους, ἀρρήτῳ τινὶ σοφίᾳ ξυνελάμβανε· τοσαῦτα ὁ μηδεμίαν μαθὼν φωνὴν, θείᾳ τε δυνάμει, ἃ καὶ σιωπῶσιν ἄνθρωποι περιλαβών, ἐξεπαιδεύετο· ὁ δὲ, διαλιπὼν αὖθις αὐτὸν, θαυμάσαι ἐν ὅσοις ξυνέσεως τῆς τῶν ζώων φωνῆς ἦλθε. καὶ ἐπιφέρει λέγων, καὶ ἐς ξύνεσιν δὲ τῆς τῶν ζώων φωνῆς ἦλθε. καὶ ἔμαθε δὲ τοῦτο, διὰ τῶν Ἀραβ-

*γρ. προϊὼν

veſtigiúmque extare, ſed viuentem ad ſuperos aſcendiſſe, non ſine choris hymníſq. nympharum. Meritò igitur talem ac tantum virum affirmare poteſt, multò quàm Pythagoras & Empedocles, ac Plato fuerit, ex philoſophia diuiniorem effectũ. Reponatur itaq; ex tam claris operibus inter Deos. Neq; inuidia proſequamur illam vocum omnium & linguarum naturalem, ac ſine præceptoris opera cognitionem. Sed enim B cur illum quæſo ad præceptoris ludum adducit illius partes attenuans, quem nullá paulò ante didiciſſe vocem oſtendit, quaſi Atticam eloquẽtiam non natura quidẽ duce, ſed vſu magiſtro, ac exercitatione percepe-rit? Inquit enim cùm primùm ad ætatem proceſſit literarum in illo profectus, memoriæ quoque vis, ac exercitationis ſtudiũ viguit, lingua verò Attica vtebatur. Natus porrò annos quatuordecim à parente Tarſos de-C ductus eſt ad Euthydemũ Phœnicẽ, qui præcellẽs ætatis illius rhetor eum in eloquentia erudiret. Fuit itaque apud hunc dicendi artificẽ Tyaneus: vnáque cum illo philoſophiæ vacabât Platonis & Chryſippi ſectatores, peripateticíq; nonnulli. Fuit etiam & Epicurei dogmatis auditor: neque enim penitus ab illius ſecta abhorruit. Nam Pythagoricã quidem ineffabili quadã mentis vi comprehẽdit. Hæc itaque omnia per magiſtros edoctus D eſt ille, qui creditur vocem nullã vnquam didiciſſe, tacitóſq. hominum cõceptus ſolitus præſentire. Ceterùm Philoſtratus quaſi per interualla reſpirans in admirationẽ rurſus erumpit ſapientiam laudans Tyanei, vel in ipſis animantium vocibus dignoſcendis. Ait ergo ad ſcientiam quoque Apollonius venit, qua brutorum intelligeret animalium voces: Id verò ipſum didicit, cùm per Ara-

biæ populos iter faceret, interpretationis huius, ſicuti re ipſa videre eſt, bene conſultos. Etenim ex cygnis Arabes auibúſque ceteris diuinationem vt ex oraculis colligunt, brutorúmq. callere ſenſa exiſtimantur hepar draconum, ſiue, vt alij putant, cor ipſum depaſti. Ergo Pythagoræ ſectatorem illum ab eſu carnium penitus abhorrentẽ, nec Diis quidem ipſis per cædem, ac ſanguinem litare auſum, veſci draconum corde, hepatéve oportuit, vt per hæc Arabum ſapientiæ particeps fieret. Cùm enim ſub iis magiſtris hác doceretur, quanam alia ratione proficere potuiſſet? Ergo ad enumeratos Apollonij præceptores Arabũ quoque ſapientes in augurandi facultate accedent. Ex hac enim fertur paſſerem ſubinde intellexiſſe, crebro pipillatu reliquas ſuæ ſpeciei aues ad paſtum concire, magnámque ea de re admirationem aſtantib. præbuiſſe. Eadem ratione cùm in Aſſyriam proficiſcens moribundam media in via leænam offendiſſet, catulis ſimul octo iuxta porrectis, illico ex diſciplina coniectans ſpatium temporis intellexit, quo ſibi apud Perſas commorandum eſſet. Sed & Philoſtratus idem narrat, quædam illum in Perſide aggreſſum, nõ multùm ſanè ab iis diſſidentia, quæ in Arabia prius effecerat. Nam cùm Damis acceſſurum ſe ad magos negaret, qui vnus alioqui diſcipulus illi erat coméſque fidiſſimus, ad eos tamen incomitatus ſe contulit, ne magicæ myſteria facultatis aſpernanti ea ſocio patefierent. Magis itaque Tyaneus die medio, ac nocte intempeſta operam dabat.

A βίων πορευόμενος, ἄριστα γιγνωσκόντων τε, καὶ πραττόντων αὐτό. ἔστι γὰρ τῶν Ἀραβίων κύκνων ἤδη, καὶ ὀρνίθων μαντευομένων ἀκούειν, ὁπόσα οἱ χρησμοί. ξυμβάλλονται δὲ τῶν ἀλόγων, σιτούμενοι τῶν δρακόντων, οἱ μὲν, καρδίαν φασὶν, οἱ δὲ, ἧπαρ. ἐνταῦθα πάντως που δρακόντων καρδίας δή που, καὶ ἥπατος τὸν Πυθαγόρειον ἐμψύχων τε B τροφῆς ἀπεχόμενον, καὶ μηδὲ θύειν δαίμοσιν ἐπιτολμῶντα, εἰκὸς ἦν ἀπογεύσασθαι, ὡς ἂν καὶ τῆς παρὰ τούτοις κοινωνήσοι σοφίας. πρὸς γὰρ τοιῶνδε διδασκομένων, πῶς ἂν ἄλλως μὴ οὐχὶ τὰ ὅμοια τοῖς διδασκάλοις ζηλώσαντι, κατωρθοῦτο τὸ ἐπιτήδευμα; ἐχόμενα δὴ οὖν πρὸς τοῖς καταλελεγμένοις καὶ τοὺς Ἀράβων σοφοὺς, διδασκάλους τῆς κατὰ τὴν οἰωνιστικὴν τἀνδρὸς ἐπιστήC μης· ἀφ' ἧς εἰκότως ὁρμώμενος, ὕστερόν ποτε τὸν στρουθὸν ὅ,τι καὶ βούλοιτο ξυγκαλῶν, τοὺς ἑταίρους ἐπὶ τροφὴν προτρέπων, θαῦμα μέγιστον παρέχειν ἔδοξε τοῖς παροῦσι· ταύτῃ δὴ καὶ τὴν ἀπεσφαγμένην ὅσον οὔπω λέαιναν ἅμα τοῖς ὀκτὼ σκύμνοις κατὰ τὴν Ἀσσυρίων ὁδὸν θεασάμενος, αὐτίκα τῷ μαθήματι ξυμβαλὼν, τῆς ἐσομένης αὐτῷ παρὰ Πέρσαις διατριβῆς τὸν χρόD νον ἐμαντεύσατο· ἀκόλουθα δὲ τῇ παρὰ τοῖς Ἀραβίοις φοιτήσει, ἐγχειρεῖν αὐτὸν καὶ παρὰ Πέρσαις ὁ αὐτὸς ξυγγραφεὺς ἱστορεῖ. τῷ γάρ τοι Δάμιδι, ὃς μόνος φοιτητὴς ἦν αὐτῷ, καὶ ἑταῖρος, ἀπαγορευσάντι παρὰ τοὺς μάγους ἰέναι, μόνος αὐτὸς, ὡς ἂν μὴ μετ' ἀγνώμονος δηλαδὴ τὰ τῆς μαγείας μανθάνοι, μεσημβρίας τε, ὡς ἀμφὶ μέσας νύκτας τὰς μετ' αὐτῶν ἐποιεῖτο σχολάς·

ἐπὶ δὲ Οὐαρδάνῃ Βαβυλωνίων ἐς λόγους ἐλθόντα βασιλεῖ, ὧδέ πως λέγειν αὐτὸν παρατίθεται· Σοφία δέ μοι Πυθαγόρου, Σαμίου ἀνδρός, ὃς θεούς τε θεραπεύειν ὧδε ἐμὲ ἐδιδάξατο, ὡς ξυνιέναι σφῶν ὁρωμένων τε, καὶ οὐχ ὁρωμένων, φοιτᾶν τε ἐς διαλέξεις θεῶν· τίς δ᾽ αὐτῷ ταῦτα ξυγχωρήσειεν, ὅτι Πυθαγόρᾳ μὲν οὐδεμία τις τοιαύτη καταλέλειπται γραφή, οὐδ᾽ ἀπόρρητά τινα ξυγγράμματα, ὡς κἂν ὑπονοῆσαι αὐτὸν ἐξ ἐκείνων ὁρμᾶσθαι. ὁ δέ γε διδάσκαλος αὐτῷ τῆς κατὰ Πυθαγόραν φιλοσοφίας, οὐδέν τι διαφέρειν τῶν Ἐπικουρείων, πρὸς αὐτοῦ μεμαρτύρηται τοῦ Φιλοστράτου, ὧδέ πως εἰρηκότος, Διδάσκαλος μὲν ἦν αὐτῷ τῶν Πυθαγόρου λόγων, οὐ πάνυ σπουδαῖος, οὐδ᾽ ἐνεργῷ τῇ φιλοσοφίᾳ χρώμενος, γαστρός τε ἥττων, καὶ ἀφροδισίων· καὶ κατὰ τὸν Ἐπίκουρον ἐσχημάτιστο. ἦν δὲ οὗτος Εὔξενος ὁ Ἡρακλείας τοῦ Πόντου. τὰς δὲ Πυθαγόρου γνώμας ἐγίγνωσκεν, ὥσπερ οἱ ὄρνιθες ἃ μανθάνουσι παρὰ τῶν ἀνθρώπων. φεῦ τῆς ἀτοπίας, εἰ παρὰ τούτου λέγοι τις τῆς πρὸς τοὺς θεοὺς διαλέξεως τὴν ξύνεσιν αὐτὸν εἰληφέναι. ἀλλὰ δὴ ξυγκεχωρήσθω καὶ ἑτέρων ὑφηγητῶν αὐτὸν ἀκηκοέναι· καίτοι γε τοῦ ξυγγραφέως τοῦτο μηδαμῶς ἐπισημηναμένου. τίς δὴ οὖν τούτων ξύνεσίν τε, καὶ φοίτησιν θεῶν ὁρωμένων, καὶ οὐχ ὁρωμένων, αὐτός τε ὡς ὑπὸ Πυθαγόρου εἰδέναι διδάσκεσθαί τε ἑτέρους ἐπηγγέλλετο; καὶ μὴν οὐδ᾽ ὁ περιβόητος Πλάτων πάντων γε μᾶλλον τῆς Πυθαγόρου κεκοινωνηκὼς φιλοσοφίας, οὔτ᾽ Ἀρχύτας, οὔτ᾽ αὐτὸς ἐκεῖνος ὁ τὰς Πυθαγόρου γραφῇ παραδοὺς ὁμιλίας

A Bardani verò Babyloniorum regi
congreſſus, his ferè verbis vſus perhibetur. Samij Pythagoræ ſapientia
mihi eſt. Is me Deûm colendorum
ritus edocuit, & quinam ſint ex iis
viſibiles, inuiſibiléſque cognoſcere, neque minus eorum colloquiis
perfrui. Sed enim quis hoc illi concedat? Cùm Pythagoras hac de re
nullum prorſus reliquerit monimētum, non abſtruſè quidem, myſticéque conſcriptum, cuius iſte do-
B ctrinam ſequi potuerit: ad hæc qui
illum in Pythagoricis erudiuit, nihil ab Epicureis diſſidebat, vt Philoſtratus ipſe meminit. Præceptorem enim in Pythagoricis, inquit, habuit, hominem parum ſanè officioſum, minimúmque reipſa philoſophantem, vt pote qui gulæ, ac Veneri deſeruiret, magiſque ad Epicuri vitam formatus eſſet. Is porrò Euxenus erat ab Heraclia Ponti ciuitate, Pythagoræ dogmata non
C ſecus tenens, quam ſciunt aues ea
referre, quæ ab hominibus didicerunt. O rem fatuam & inſulſam Tyaneum dicere ab eiuſmodi præceptore Deos alloquendi rationem edoctum! Sed concedamus ab aliis ea præceptorib. accepiſſe, tametſi noſter hiſtoricus hoc ne innuit quidem. Sed quis horum promiſſi tam grandis autor extabit, vt & ipſe Deorum viſibilium & qui inuiſibiles ſunt congreſſum, velut à Pytha-
D gora edoctus tenere ſe dicat, & facultate præditus ſit, rem eandem ceteros edocendi. Neque enim puto clariſſimus ille hominum Plato, qui Pythagoricæ præter ceteros omnis diſciplinæ particeps factus eſt, neque Tarentinus Archytas, neque qui Pythagoræ dogma conſcripſit

Philolaus,

Philolaus, neque ſi qui alij ſunt ex
A eadem ſecta illuſtres, qui ſenſa illius, opinionéſque literarum monimentis mandarunt, tali vnquam ſapientia viguere. Apollonius ergo noſter aliunde quidem, non autem ab ipſo Pythagora his edoctus, nomen tamen titulúmque Pythagoræ ad autoritatis ſpeciem ſibi aſcribit. Vt autem manifeſtum quis illi mendacium pro vero concedat, haud tamen ſcio quo pacto hæc de Samio præceptore acceperit, cùm Pythagoram conſtet
B infinitis ante annis vita perfunctũ. Ergo ad Arabas Apollonij præceptores Samius ne quæſo Pythagoras ipſe accedet, vnde ſcientiam hauſerit diuinarum rerum? At qui ſi is diuino præditus ingenio fuit, hiſtoria de magiſtris planè mentitur. Sin hiſtoria verax eſt, falluntur ſanè qui de illius diuinitate & loquuntur, & ſcribunt. Neque verò mihi eſt animus diligentius nunc quicquam de Proteo indagari, vl-
C lámve ſuper hoc portento quæſtionem habere, neque ad Cygnorum quantus comprobandos, quos ridiculè nimium parienti Philoſtratum matri obſtetricatos affirmat. Multóque magis etiam indignum puto ſuper fabulam demiſſi cœlo fulminis eodémque regreſſi, citare teſtes. Neque enim Damis, vt ante dixi, harum ſe rerum conſcium dixerit longo poſt tempore ex quo
D hæc acta dicuntur in Nino Aſſyriæ vrbe Tyaneo adiunctus. Equidem modò certa ſigna non deſint; vnde probabilis fiat fides, planè adducar, vt pro veris admittam, ſi qua etiam per excuſſum paulò maiora in boni viri laudem dicantur, monſtris tamen exemptis, & quæ

A Φιλόλαος, οὐδ' εἴ τινες ἄλλοι γνώριμοι τἀνδρὸς γεγονότες, οἳ δόξας τε αὐτοῦ, καὶ γνώμας γραφῇ τοῖς μετ' αὐτοὺς παραδεδώκασιν, ἐπὶ τοιαύτῃ τινὶ ἐσεμνύναντο σοφίᾳ. οὐκοῦν ἑτέρωθεν, ἀλλ' οὐκ ἀπὸ Πυθαγόρου τὰ τοιάδε μαθὼν, προσχήματι σεμνολογῶν, ἐπιγράφεται τὴν τοῦ φιλοσόφου πρόσρησιν· ἵνα δὲ καὶ παραλογώτατα τὸ ψεῦδος ὡς ἀληθές τις γεγονέναι ξυγχωρήσειεν, οὐκ οἶδ' ὅ-
B πως ἐξ αὐτοῦ λέγων ἐκείνου τοῦ Σαμίου, περὶ μυρίων ὅσων ἐτῶν ἐξ ἀνθρώπων γενομένου, τὰ περὶ τούτων αὐτὸν μεμαθηκέναι. οὐκοῦν πρὸς τοῖς Ἀραβίοις, καὶ τοῦτον διδάσκαλον αὐτοῦ τῆς δὴ νομιζομένης ἀπορρήτου περὶ θεῶν ἐπιστήμης ἐπιγραπτέον. εἰ δὴ οὖν θείας ἦν φύσεως, κατέψευσται αὐτοῦ τῶν διδασκάλοις ὁ λόγος· εἰ δ' ἀληθὴς ἦν οὗτος, ψευδὴς ἦν ὁ μῦθος, καὶ οὐκ ἀληθὴς ἡ
C περὶ τοῦ θεῖον γεγονέναι αὐτὸν γραφή. οὔπω μοι τοῦ Πρωτέως τὸ φάσμα πολυπραγμονεῖν ἔπεισι, οὐδὲ τὴν περὶ τούτου πίστιν αἰτεῖν, οὐδὲ τὰς παρ' αὐτῷ Κύκνων τὰς ἀποδείξεις, οὓς γελοίως τίκτουσαν αὐτὸν τὴν μητέρα, καὶ μαιοῦσθαι ἱστορεῖ. ἀλλ' οὐδὲ περὶ τοὺς κήπους μυθολογίας, τὸν μάρτυρα παρέχειν ἀξιῶ· οὐ γὰρ δὴ καὶ τούτων ὡς ἔφη Δάμις ἡμῖν ξυν-
D ίστωρ ἀφίξεται, μακρῷ ὕστερον ἐν Νίνῳ τῆς Ἀσσυρίας τἀνδρὶ ξυνάψας. ἐγὼ μὲν οὖν εὖ μάλα προθύμως τοῖς εἰκόσι τε, καὶ ἀληθείας ἐχομένοις πειθόμενος, εἰ δὲ μείζονά τινα καθ' ὑπερβολὴν ἐς ἔπαινον ἀνδρὸς ἀγαθοῦ λέγοιτ' ἂν, πιστὰ, καὶ παραδεκτέα εἶναί μοι δοκῶ, ὅτι μὴ μόνα τὰ τερατώδη, καὶ

λήρου πλέα. οὐκοῦν φθονείην, εἴ φησιν ὁ ξυγγραφεὺς γένος τε ἀρχαῖον, καὶ τῶν οἰκιστῶν ἀνημμένον τῷ ἀνδρὶ γεγονέναι· καὶ πλουτεῖν εἰ οὕτως ἔτυχεν ὑπὲρ τοὺς ἐγχωρίους ἅπαντας. διδασκάλων τε νέον ὄντα, οὐ μόνων τῶν δεδηλωμένων τυχεῖν, ἀλλ' εἰ δοκεῖ, καὶ τούτων* αὐτὸν διδάσκαλον, καὶ καθηγητὴν γεγονέναι. ἔστω δ' ἐπὶ τούτοις εὐτρεχὴς καὶ τὰ κοινά, ὡς τὸν ἐς Ἀσκληπιοῦ θεραπείας χάριν ἀφιγμένον διὰ γνώμης ἀρίστης, ἀπαλλάξαι τῆς ἀῤῥωστίας. νοσοῦντι γὰρ δὴ ὑδέρου πάθει, κατάλληλον ἐγκρατείας ὑποθέσθαι δίαιταν τῷ κάμνοντι, καὶ ταύτῃ αὐτὸν ὑγιᾶ καταστῆσαι. καὶ τούτῳ γε τῆς φρονήσεως ἀποδεκτὸν τὸ μειράκιον. καὶ ὡς τὸν πολυτελῶς θύειν παρεσκευασμένον εἶρξεν, οἷα εἰκὸς ἐπὶ κακίᾳ διαβεβοημένον· καὶ γὰρ δὴ καὶ τῶν ἐγχωρίων ἁπάντων πλουσιώτατόν τε, καὶ περιφανέστατον αὐτὸν ὑποτίθεται. καὶ ἐν σώφροσι δ' αὐτὸν φθόνος οὐδεὶς ἀναγράφειν, ὅτι τε πρὸς τὸν ἐραστὴν πειρώμενον αὐτοῦ τῆς ὥρας, διελοιδορήσατο, καὶ γυναικείας ὅτι καθαρὸν ἑαυτὸν μίξεως διὰ τέλους, ὡς ὁ λόγος φησίν, ἤγαγε. πιστὰ δ' ἔστω καὶ τὰ τῆς πενταετοῦς κατὰ Πυθαγόραν σιωπῆς αὐτοῦ, καὶ τὰ ὅπως ταύτην διήνυσεν, ἐπαίνου ἄξια· ταῦτα δή, καὶ ὅσα τοιαῦτα ἀνθρώπινα, καὶ ὡς ἀληθῶς φιλοσοφίας, καὶ ἀληθείας οὐ πόρρω, δέχοιμι ἂν περὶ πολλοῦ, τὸ εὔγνωμόν τε, καὶ φιλάληθες τιμώμενος.

A ſcatentia nugis deprehenduntur. Non igitur inuidebo, ſi prodat hiſtoricus genus eſſe Apollonij nobile & antiquum, & quod in conditores patriæ referatur. Diuitem fuiſſe concedam ſupra incolas regionis ſuæ. Ab adoleſcentia eruditum fatebor ſub iis præceptoribus, quos antea memoraui: neque hoc tantùm, ſed magiſtrum aliis ipſum præceptorémque fuiſſe. Eſto autem, in his omnibus acer plurimùm ſagáxque fuerit. B Ita ſanè vt eum qui ad Æſculapij curandus acceſſerat, per prudentiæ ſuæ vim ægritudine liberarit. Fertur enim aqua intercute laboranti ſalubrem continétiæ normam indixiſſe, eúmque ita in ſanitatem priſtinam reuocaſſe. Tanta verò prudentia adoleſcentem fuiſſe planè admitti poteſt: tum & inhibuiſſe diuitem quendam ne luxurioſè nimium atque affluenter ſacrificaret, vt pote minus Æſculapio litaturum, qui ex famoſa vita turpiſſimus haberetur. C Huius autem mores Apollonium latere non poterant, quòd erat homo regionis illius maximè diues maximéq. conſpicuus. Caſtitatis quoque laude Tyaneum ornari inuidia nulla ſit, quódque pulchritudinis ſuæ nefarium amatorem grauiter obiurgatum repûlerit, ſéq. à muliebri contagione impollutum vſq; ſeruarit. Credatur quoque ex Pythagoræ diſci- D plina luſtro illum perpetuo tacuiſſe; neque merita laude fraudentur quæcunque opera per ſilentij tempus effecit. Hæc enim, & quæ huiuſmodi ſunt, humana omnia, & vt verè dicam, neque à philoſophia, neque ab ipſa porro veritate ſeiuncta, quæque ego non inuitus admiſerim; magni ſanè, quicquid ingenuè, ac verè ſcribitur faciendum putans.

A At verò humanitate ſublimius quenquam efferre, argumentíque prioris oblitum ſibi penitus non conſtare: hæc qui faciat ſcriptor, meritam puto eum & ſibi ipſi & multò illi magis, de quo ſcribat, calumniam comparare. Atq. hæc fermè ſunt quæ volumine primo refellenda occurrunt.

CONFVTATIO LIB. II.

B AGE verò ſecundum quoque aggrediamur. Iter enim Apollonij de Perſide in Indiam vſque factum narrat hiſtoricus. Hoc autem in itinere inſolens ſibi quiddam paradoxúmque contigit, dæmonis ſcilicet occurſus, quam Empuſam vocant. Quam tamen multis conuitiis imperitam procul à ſe & Apollonius, & comites abegerunt. Tum verò permiſiſſe Damidi fertur, ac reliquo comitatu appoſitis vt carnibus veſcerentur. C Neque enim videre ſe ait, quidnam illis prodeſſet carnibus abſtinere. Sibi verò profore hoc aiebat ob eam quam vel à pueris profiteretur; philoſophiam. Sed quis hoc loco non iure optimo admiretur, cum Apollonium videat ne illi quidem, quem vnum imitatorem ſui delegerat, Pythagoricíſque decretis imbuendum ſuſceperat damnatas Pythagoræ animalium carnes vt dilectiſſimo inhiberet, D tum neſcio quàm ſanis rationibus colligentem, ſibi quidem veſci animatis fore pernicioſum, non tamen ſe videre quare iis comitibus quoque ſuis interdictum oporteat. Sed vide quæſo quæ præterea veritatis exempla nobis Philoſtratus prodat. Ille, inquam, Philoſtratus, quem Philalethes ſtudioſum veritatis appellat. Apollo-

A τό γέ τοι κρεῖττον ἀνθρώπου τὴν φύσιν ὑποτίθεσθαι, καὶ παραδόξως ἐναντιολογεῖν, τῆς τε δοθείσης ἀμνημονεῖν ὑποθέσεως, ἔχειν ψόγον ἄν, καὶ διαβολὴν αὐτῷ τε τῷ γράφοντι, καὶ πολὺ πρότερον τῷ γραφομένῳ περιάψειν ἡγοῦμαι· καὶ ταῦτα μὲν ἀπὸ τοῦ πρώτου ξυγγράμματος.

ΕΚ ΤΩΝ ΤΟΥ ΔΕΥΤΕΡΟΥ.

B Ἐπίωμεν δὲ τὰ ἐκ τοῦ δευτέρου. τὴν ἀπὸ Περσίδος ἐπ' Ἰνδοὺς πορείαν ἄγει, παραλαβὼν αὐτὸν ὁ λόγος. εἶτά τι πεπονθότ' ἀπειρόκαλον; ὥσπερ γε παράδοξον δαιμόνιόν τι, ὃ καὶ ἔμπουσαν ὀνομάζει, κατὰ τὴν ὁδὸν ἰδόντα, λοιδορίαις ἅμα τοῖς ἀμφ' αὐτὸν ἀπελάσαι φησί. καὶ ζώων δὲ αὐτοῖς ἐς τροφὴν προσαχθέντων, εἰρηκέναι αὐτὸν τῷ Δάμιδι, ὡς ἄρα ξυγχωροίη αὐτῷ τε, C καὶ τοῖς ἑτέροις σιτεῖσθαι τῶν κρεῶν· τὸ γὰρ ἀπέχεσθαι αὐτῶν, αὐτοῖς μὲν ἐς οὐδὲν ὁρᾶν προβαῖνον, ἑαυτῷ δὲ ἐς ἃ ὡμολόγηται πρὸς φιλοσοφίαν ἐκ παιδός. καί τοι τίς οὐκ ἂν ἀπορήσειεν, ὅτι μηδὲ αὐτὸν, ὃν μόνον ἐδόκει τοῦ βίου ζηλωτὴν κεκτῆσθαι, καὶ προὔτρεπεν ἐπὶ φιλοσοφίαν, εἶργέ τε οἷα φίλτατον τῆς τῶν ἐμψύχων, D ὡς ἂν οὐχ ὁσίας κατὰ Πυθαγόραν τροφῆς. ὅδε οὐκ οἶδ' ὁποίῳ λόγῳ, λόγῳ μὲν οὐ ξυνοίσειν ἑαυτῷ, κείνοις δὲ οὐδὲν ὁρᾶν ἀπὸ τῆς ἀποχῆς προβαῖνον ὡμολόγει. ἐπὶ τούτοις ὁ Φιλόστρατος, ὅτ' ἀληθὲς τιμᾶν πρὸς τοῦ φιλαλήθους μεμαρτυρημένος, ὁρᾷ τῆς

ἀληθείας ὁποῖα δείγματα εὑρίσκοι. γενόμενος παρ' Ἰνδοῖς τὸν Ἀπολλώνιον, παραστήσασθαί φησιν ἑρμηνέα, καὶ δι' αὐτοῦ προσδιαλέγεσθαι Φραώτῃ. τοῦτο δ' εἶναι τῷ βασιλεῖ τῶν Ἰνδῶν ὄνομα. καὶ ὁ μικρῷ πρόσθεν κατ' αὐτὸν, πασῶν γλωττῶν ξυνεὶς, νῦν αὖ κατὰ τὸν αὐτὸν, ἑρμηνέως δεῖται. καὶ πάλιν ὁ κατὰ διάνοιαν ἀνθρώπων εἰδὼς, καὶ μόνον οὐχὶ κατὰ τὸν παρ' αὐτοῖς θεὸν, κωφοῦ τε ξυνιεὶς, καὶ οὐ λαλοῦντος ἀκούων, ὁποία τις εἴη τῷ βασιλεῖ δι' ἑρμηνέως ἐρωτᾷ δίαιτα, ἡγεμόνα τε ἀξιοῖ τῆς ἐς Βραχμᾶνας πορείας γενέσθαι τὴν αὐτῷ. καὶ μεταξὺ ὁ μὲν τῶν Ἰνδῶν βασιλεὺς, καὶ ταῦτα Βάρβαρος ὢν τὴν φύσιν, τὸν ἑρμηνέα ἐκποδὼν μεταστησάμενος, Ἑλλάδι χρῆται πρὸς αὐτὸν τῇ ὁμιλίᾳ, παιδείαν, καὶ πολυμάθειαν ἐνδεικνύμενος. ὁ δὲ, οὐδ' ὡς ὅτι δὴ καὶ αὐτὸς τῆς παρ' αὐτοῖς οὐκ ἀμαθῶς ἔχοι φωνῆς, δέον ἀντιφιλοτιμήσασθαι, ἀλλὰ καὶ λαλοῦντος Ἑλλάδι γλώττῃ τοῦ Ἰνδοῦ, ἐκπλήττεται, ᾗ φησιν ὁ Φιλόστρατος, ἀκόλουθα ὡς ἔοικεν ἑαυτῷ γράφων. πῶς γὰρ ἂν ἐξεπλάγη, μὴ οὐχὶ Βάρβαρον οἰηθεὶς, καὶ θαυμάσας, καὶ ὅτι δὴ τὸ τοιοῦτον οὔ ποτ' ἂν Ἑλληνίσαι προσεδόκησεν; εἶθ' ὥσπερ τι παράδοξον καταπλαγεὶς, καὶ τὸ τούτου εἴτ' ἀγνοῶν αἴτιον, εἰπέ μοι, ἔφη ὁ Ἀπολλώνιος, ὦ βασιλεῦ, πόθεν οὕτως ἔχεις φωνῆς Ἑλλάδος; φιλοσοφία τε ἡ περὶ σὲ, πόθεν ἐνταῦθα; οὐδὲ γὰρ ἐς διδασκάλους οἶμαί γε ἀναφέρῃς, ἐπεὶ μὴ εἶναι Ἰνδοῖς διδασκάλους τούτου. αὗται αἱ παράδοξοι τοῦ πάντα προεγνωκότος διειληφότος φωναὶ, ἃς ὁ βασιλεὺς ἀμειβόμενος, ὅτι τε χροίη διδασκάλοις, καὶ

A nium ſiquidem ſcribit, cùm iam in Indiam penetraſſet, interpretem ſibi hominem aſciuiſſe, per quem Phraotem Indiæ regem alloqueretur. Hoc enim is nomine vocabatur. Ergo quem paulò ſuperius linguarum omnium conſcium facit, eundem interpretis indignum nunc oſtendit, & qui mentes hominum quaſi Deus illis inſitus deprehendebat, ſurdi concipiens animum, pariterque tacentis, nunc per inter- B pretem ſciſcitatur, quæ nam ſit regis Phraotæ vita. Ducémque inde ſibi aliquem petit ad Brachmanas dari. Rex verò ipſe, licet in Barbaria ſumma natus, interprete ſummoto Græcè Apollonium compellauit, multum doctrinæ, ſcientiæque teſtatur. At verò noſter hic non modo ſe Indicæ linguæ minus ignarum fuiſſe (quod oportuit) non oſtendit, ſed & Indo Græcè lo- C quente obſtupuit, vt Philoſtratus ipſe teſtatur, qui pulchrè ſibi hoc pacto per hiſtoriam conſtat. Vnde enim tantopere ſtupuiſſet, niſi ante Barbarum lingua regem opinatus eſſet? eundémque Græcè mox ſcire præter expectationem percepiſſet? ideóque veluti noui quidpiam rex afferret, obſtupuit. Cauſam præterea nondum tenens, vnde ait, rex Græcè didiciſti? Vnde D vero & hoc ſapientiæ tibi eſt? Neque enim puto hanc magiſtris acceptam refers, cùm nullos Indi magiſtros ſapientiæ habeatis. Dignæ nimirum voces, quæ ab homine proferantur præſenſionem rerum omnium profitente. Cui rex & habuiſſe præceptores ſe ait, & qui

nam illi fuiſſent, aperuit, & de rebus Indicis particulatim edocuit. Cúmque idem rex de theſauro in agro quodam reperto ſententiam laturus eſſet, veri ſcilicet adiudicandus emptorine, an venditori prius; hic philoſophus ille omnium rerum ſolers, ac Diis ipſis homo gratiſſimus, ſententiam interrogatus theſaurum emptori addixit, ratione hac vſus, quod nequaquam diu venditorem ipſum, & agri poſſeſſione & theſauro priuatum pariter voluiſſent niſi homo flagitioſus, ac nequam eſſet, neque rurſus emptori boni tantùm impenſuros fuiſſe, niſi vendente meliorem ſciuiſſent. Vt ex illius verbis colligi poſſit, qui cæteros diuitiis præſtant, quanquam fœdiſſimis morib. iidem ſint, habere ſe eos tamen pro maximè beatis, Deóque dilectiſſimis, infelices autem eos eſſe duntaxat, qui pauperrimi ſunt. Vel ſi Socratem, ac Diogenem, ipſúmque etiam Pythagoram in his eſſe contingat, quempiámve eorum, qui frugaliſſimi viri, & egregiæ probitatis cenſentur, hanc qui ſequatur rationem, paulatim eò deducetur, vt dicat: Deos quidem ipſos egenis illis, ſed claris tamen virtute, ac ſapientia viris nequaquã vel neceſſaria quandoque ad victum adempturos fuiſſe, niſi eoſdem flagitiis obrutos iudicaſſent. Neque fuiſſe licentioſis, ac perditis hominib. ſuperflua congeſturos, niſi priorib. meliores ſciuiſſent. Quam inſulſam eſſe ac fatuam deductionem facilè conſtare omnibus poteſt. His de ſecundo libro ad examen depromptis, tertium quoque verſemus in eo de celeberrimis Brachmanib. inſpecturi.

A οἵτινες οὗτοι, ἕκαστά τε παρεξῆς τῶν περὶ αὐτὸν ξυμβεβηκότων φράζει. εἶτα καί ποτε τοῦ Ἰνδοῦ δικάζοντος, περὶ θησαυροῦ φανερωθέντος ἐν ἀγρῷ, πότερα τῷ πριαμένῳ, ἢ τῷ τὸ χωρίον ἀποδομένῳ, δέον οἶμαι τοῦτον, ὁ πάντως φιλόσοφος, καὶ θεοῖς κεχαρισμένος, ἐρωτηθεὶς, ἐπικεῖναι τῷ πριαμένῳ, λογισμὸν δὴ αὐτοῖς ῥήμασιν ἐπειπὼν, ὡς οὐκ ἂν οἱ θεοὶ B τὸν μὲν, ἀφεῖλον καὶ κατὰ τὴν γῆν, εἰ μὴ φαῦλος ἦν, τῷ δ᾽ αὖ, καὶ τὰ ὑπὸ γῆν δοῦναι, εἰ μὴ βελτίων ἦν τοῦ ἀποδομένου, ὡς κατ᾽ αὐτὸν δὴ ξυνάγεσθαι, τοὺς μὲν εὐπόρους, καὶ πλούτῳ διαφέροντας, κἂν αἴσχιστοι, καὶ πανωλέστατοι τυγχάνοιεν, τελεσιοδαίμονας, καὶ θεοφιλεῖς ἡγεῖσθαι, μόνους δ᾽ ἄρα κακοδαίμονάς C τε, καὶ ἀθλίους, τοὺς πενεστάτους, κἂν Σωκράτης, κἂν Διογένης, κἂν αὐτὸς ἐκεῖνος Πυθαγόρας τυγχάνῃ*, κἂν ἄλλος, οἱ πάντων ἀνδρῶν σωφρονέστατοί τε, καὶ ἐπιεικέστατοι. εἴ ποι γὰρ ἄν τις ἑπόμενος τῷ λόγῳ μὴ ἂν κατ᾽ αὐτὸν τοὺς θεοὺς, τοὺς μὲν πένητας, τούτους δὴ αὐτοὺς, οἳ κατὰ φιλοσοφίαν διήνεγκαν, ἀφελέσθαι D καὶ τὰ πρὸς τὴν ἀναγκαίαν τροφὴν, μὴ οὐχὶ πάντως φαύλους ὄντας τὸν τρόπον. τοῖς δὲ τὸ ἦθος ἀκολαστοτέροις, ἄφθονα καὶ τὰ μὴ ἀναγκαῖα παρασχεῖν, εἰ μὴ βελτίοις ἐτύγχανον τῶν προτέρων. ἐξ ὧν παντί γε καταφανὴς ἡ τοῦ ξυμπεράσματος ἀτοπία.

*κ. τυγχάνῃ

A

ΕΚ ΤΩΝ ΤΟΥ ΤΡΙΤΟΥ.

Ταῦτα δὲ ἀπὸ τοῦ δευτέρου παραθέμενοι, ἴωμεν ἐπὶ τὸ τρίτον, τὰ κατὰ τοὺς βεβοημένους ἐποψόμενοι Βραχμᾶνας· ἔνθα δὴ τὰ ὑπὲρ θούλην ἄπιστα, καὶ εἴ τι περ ἄλλο τερατῶδές ποτε μυθολόγοις τισὶν ἀναπέπλασται, εὖ μάλα πιστὰ, καὶ ἀληθέστατα, ὡς ἐν παραθέσει τούτων ἀναφανήσεται. οἷς καὶ τὸν νοῦν ἐπιστῆσαι ἄξιον τῆς τοῦ Φιλαλήθους ἕνεκεν αὐθαδείας· ἡμῖν μὲν εὐχέρειαν, καὶ κουφότητα τρόπου περιάπτοντος, αὐτῷ δὲ, καὶ τοῖς αὐτῷ παραπλησίοις, τὴν ἀκριβῆ, καὶ βεβαίαν μετὰ ξυνέσεως κρίσιν. ὅρα γοῦν ἐφ᾽ οἷς σεμνύνεται παραδόξοις, τῶν ἡμετέρων θείων εὐαγγελιστῶν προκρίνων τὸν Φιλόστρατον, ὡς μὴ μόνον παιδείας ἐπὶ πλεῖστον ἥκοντα, ἀλλὰ καὶ ἀληθείας ἐπιμεμελημένον. πρόσεστι μὲν οὖν ἐν τῇ πρὸς τοὺς Βραχμᾶνας πορείᾳ τοῦ Ἀπολλωνίου, γυνή τις αὐτῷ τὴν χροίαν εἰσάγεται ἀπὸ τῆς κεφαλῆς ἐς ὀσφὺν λευκοτάτη· τὸ δὲ ἕτερον μέρος τοῦ σώματος, μέλαινα· τὰ δὲ, προϊόντων τῶν ἐπὶ τοὺς Βραχμᾶνας ὁδοῦ, ὄρη, καταπεφυτευμένα τῷ πεπέρει, καὶ τούτου πίθηκοι γεωργοὶ, καὶ παράδοξοί τινες τὸ μέγεθος δράκοντες, ὧν ἀπὸ κεφαλῆς λαμπάδες ἀπορριπτοῦνται πυρὸς, οὓς εἴ τις ἀνέλοι, εὕροι ἂν φησι παραδόξοις λίθοις ἐπὶ τῆς κεφαλῆς, τῷ τοῦ Γύγου τοῦ παρὰ τῷ Πλάτωνι παραπλησίοις. καὶ ταῦτα μὲν τὰ περὶ τοῦ τῶν Βραχμάνων λόφου. ὡς δὲ καὶ εἰς αὐτὸν ἀφίκοντο Σανδαράκινον, ἐνταῦθα φρέαρ ὕδατος ἰδεῖν παραδόξου, καὶ κρατῆρα πλησίον

CONFVTATIO LIB. III.

Primvm quidem ſic ſtatuo, ſi quæ de Thyle inſula præter fidẽ narrantur, quæque multa portentorum plena poëtæ nobis finxerunt, his prodigiis comparentur, iam quaſi pro certiſſimis habeantur; harum magnitudine, ac ſplendore nugarũ velut obducta penitus euaneſcent. Quibus ſanè adhibenda mens eſt, B vt inſolentia præſertim Philalethis eluceat. Quando hic nobis fatuam vbique leuitatem obiectat, ſibi verò ac ſuis mentis ſanitatem vendicat, diligénſque iudicium. Vide igitur qua ſibi rerum nouitate hic placeat. Præponit enim Philoſtratum ſacris Euangeliſtis, vt qui non eruditionis modò plus habeat, ſed veritatis maiore ſtudio teneatur. Ac primùm quidem Apollonio iter ad Brachmanas faciente, mulierem co- C lore ſpectabilem Philoſtratus inducit, à ſummo vertice ilium tenus albentem, reliquum verò corpus nigerrimam. Tunc eadem via magis progreſſi, montes inuenerunt piper ferentes, cuius veluti cuſtodes, atque agricolæ, ſimiæ ſunt, dracонéſque magnitudine imméſa terribiles, quorum de capitib. ignei fulgores ſcintillant. Hos ſi quis dracones peri- D mat, admirandos in eorum capite inueniat calculos, qualis Gygæ illius fuiſſe lapis narratur: de quo Gyge Plato mentionem facit. Et hæc quidem antè quàm ad Brachmanum tumulum peruenirent. Vt verò & hunc attigerunt, Sandaracinus illis puteus eſt oblatus, qui aquam viſu mirabilem contineret: Iuxta verò puteum vorago ignem

eructans, ex qua plumbei coloris flamma emitteretur. Tum & dolia duo lapidis nigricant, alterum imbrium, alterúmque ventorum: vnde Brachmanes indigenis amicis ſuis ventos, ac pluuiam impertirent. Statuas præterea ſcribit apud eoſdem eſſe Poliadis Mineruæ, Pythij Apollinis, & Bacchi Delij, aliorúmque quorundam Deorum, quos Græci colunt. Ibi qui omnium magiſter eſſet, Iarcham dici, cuius reſidentis ſpecies Satrapæ magis eſſet, quàm philoſophi. Altiſſimus illi thronus ex ære nigro, quem aureæ ſtatuæ exornabant, quales fabrorum more par eſt ſapientes Brachmanas igni, ferróque excudere, aut præſtigiatorum ritu ſponte ſua, ac repente conſummata oſtendere. Ceterorum item Brachmanum ſedes æreæ quoque erant, ſignis tamen carentes, minúſque elatæ. Oportuit enim ſacræ philoſophiæ magiſtrum tyrannico quodam habitu, ſtatuarum ſcilicet prærogatiua atque auro inſigniri. Sed Iarcham, Philoſtratus inquit, vbi Apollonium primum conſpexit, nominatim ac Græcè illum ſalutaſſe, petiiſſéque reddi ſibi epiſtolam, quam de Phraote afferre mira quadam præſenſione rem omnem edoctum, qua ſcire etiam potuerit epiſtolæ ſcriptionem literæ vnius defectu hoc eſt, D, peccare. In primo autem ſtatim congreſſu faſtuoſè nimium ac inſolenter Iarchas, vt facere diuitiarum oſtentatores ſolent, diuinationis ſuæ vim patefecit, vtrumque Apollonij parentem nominans, & eiuſdem genus, educationem, diſciplinámque recenſens: tum peregrinationum tempora &

A πυρός· οὗ φλόγα ἀναπέμπεσθαι μολιβδώδη· δύο τε πίθους λίθου μέλανος· τὸν μὲν, ὄμβρων· τὸν δὲ, ἀνέμων. ἀφ' ὧν τοὺς Βραχμᾶνας, οἷς ἂν * εἶεν, ἵλεω τῆς χώρας χορηγεῖν· ἀλλά γε καὶ ἀγάλματα παρ' αὐτοῖς Ἀθηνᾶς Πολιάδος, καὶ Ἀπόλλωνος Πυθίου, καὶ Διονύσου Δηλίου, καὶ ἄλλων τινῶν Ἑλληνικῶν θεῶν. Ἰάρχαν δὲ, τὸν ἐπὶ πάντων διδάσκαλον καλεῖσθαι. ὃν καὶ ἰδεῖν καθεζόμενον, πολλοῦ γε δεῖ φιλοσοφικῶς, σατραπικῶς B δ' ἂν μᾶλλον σχήματι, ἐφ' ὑψηλοτάτου δίφρου. χαλκοῦ δὲ μέλανος οὗτος ἦν. καὶ πεποίκιλτο χρυσέοις ἀγάλμασιν, οἷα δὴ εἰκὸς τεχνουργῶν βαναύσων τρόπον, πυρὶ, καὶ σιδήρῳ μοχθοῦντας τοὺς φιλοσόφους τεχνουργεῖν, ἢ καὶ θαυματοποιῶν δίκην αὐτόματον ἀποτελεῖν τὸ δημιούργημα. τῶν δὲ τῶν ἄλλων τῶν μετ' αὐτὸν διδασκάλων δίφροι, χαλκοῖ μέν C φησιν, ἄσημοι δ' ἦσαν, καὶ ἧττον ὑψηλοί. ἔδει γάρ που τύραννον πάντως σχήματι προνομίας τῆς ἐν ἀγάλμασι, καὶ χρυσῷ, τὸν τῆς θείας φιλοσοφίας διδάσκαλον ἀξιοῦσθαι. πρῶτον δὲ τὸν Ἰάρχαν ἰδόντα φησὶ τὸν Ἀπολλώνιον, ἐξ ὀνόματός τε προσειπεῖν Ἑλλάδι τῇ φωνῇ, καὶ τὴν αὐτῷ παρὰ Φραώτου κομίζειν ἐπιστολὴν αἰτῆσαι, κατὰ πρόγνω- D σιν ἤδη ταῦτα προειληφότα, ἐνδείξασθαί τε τὸ ἔνθεον τῆς προγνώσεως, προειρηκότα, ὡς ἄρα ἐν γράμματι τῷ δέλτα λείποι ἡ ἐπιστολή, ἄρξασθαί τε ἀπειροκάλως εὐθὺς ἀπὸ πρώτης ὁμιλίας, ἀπειροπλούτου δίκην ἐνεπιδείκνυσθαι τὸ τῆς προγνώσεως πλεονέκτημα, πατέρα, καὶ μητέρα καταλέγοντα τοῦ Ἀπολλωνίου, γένος τε, καὶ τροφὴν, καὶ παιδείαν, καὶ τὰς κατὰ χρόνους

* χ. ἵλεω, τ. χ. ἵλ.

ἀποδημίας, καὶ τὴν ἐς αὐτὸν πορείαν, καὶ τὰ κατ' αὐτὴν πεπραγμένα αὐτῷ, καὶ ὡμιλημένα. εἶτα δέ φησιν οὗτος ὁ θαυμάσιος συγγραφεὺς, τοὺς Βραχμᾶνας ἅμα τῷ Ἀπολλωνίῳ χρησαμένους ἠλεκτρίνῳ φαρμάκῳ λούσασθαί τε καὶ περιστάντας ὡς ἐν χορῷ, τὴν γῆν τύψαι ταῖς ῥάβδοις. τὴν δὲ, κυρτωθεῖσαν, ἀναπέμψαι αὐτοὺς ἐς δίπηχυ τοῦ ἀέρος, ἑστάναι τε αὐτοῖς μετεώροις ἐν αὐτῷ ἀέρει ἐπί τι χρόνου διάστημα, ἕλκειν δὲ καὶ πῦρ ἀπὸ τοῦ Ἡλίου ὅτε βούλοιντο αὐτομάτως. τούτοις δ' ἐπιφέρει παράδοξον ὁ θαυματολόγος, ὡς ἄρα τρίποδες Πυθικοὶ τέτταρες ἐξεκυκλήθησαν, αὐτόματοι φοιτῶντες. καὶ εἰκάζει δὴ οὖν αὐτοὺς τοῖς Ὁμηρείοις οἰνοχόοις τοῖς ἐπὶ τούτοις ἐν χαλκοῦ διακόνοις τῆς ὕλης ἴσησι τέτταρας· ἐπιλέγει δὲ ὡς ἄρα καὶ ἡ γῆ αὐτομάτως ὑπεστρώννυτο αὐτοῖς πόας. τῶν δὲ τριπόδων οἱ μὲν δύο φησὶν, οἴνου ἀπέρρεον. τῶν δὲ ἕτεροι δύο, ὁ μὲν ὕδατος θερμοῦ κρᾶσιν παρεῖχεν, ὁ δ' αὖ ψυχροῦ· τοὺς δὲ οἰνοχόους τοὺς χαλκοῦς, ἀρύεσθαι μὲν μέτρως τοῦ τε οἴνου, καὶ τοῦ ὕδατος, περιελαύνειν γε κύκλῳ τὰς κύλικας, ὥσπερ ἐν τοῖς ποταμοῖς. ταῦτα Ἱεροκλεῖ τὰ ἀνωτάτω, καὶ καθόλου δικαστήρια πεπιστευμένῳ, μετὰ πολλῆς ἀνεξετάσεως ἀληθῆ, καὶ πιστὰ εἶναι δοκεῖ. καὶ ἡ μὲν μὲν εὐχέρεια, καὶ κουφότης πλείστη, ὅση κατέγνωσται παρ' αὐτοῦ. αὐτὸς δὲ, τοιαῦτα Φιλοστράτῳ πιστεύων, αὐτοῖς δὴ ῥήμασι σεμνύνεται λέγων· σκεψώμεθα γοῦν ὅσῳ βέλτιον, καὶ ξυνετώτερον ἡμεῖς ἐκδεχόμεθα τὰ τοιαῦτα, καὶ ἣν περὶ τῶν ἐναρέτων ἀνδρῶν ἔχομεν γνώμην. ἐπὶ τοιούτῳ δὴ τῷ συμποσίῳ

A euentus, ac poſtremò illius ad ſe profecti ſermones per viam habitos, factáque omnia, refert etiam egregius ſcriptor Brachmanas cum Tyaneo, pharmaco prius helectrino delibutos, lotóſque, in orbem ac chorum conſtitiſſe, terram ipſam ſcipionibus ſuccuſſantes, eam verò ad huiuſmodi ictus in gibbum reſilientem, Brachmanas altitudine bicubita vanum in aërem extuliſſe, B penſiléſque eos aliquandiu viſos eſſe. Sed illos quoq; affirmat ignem ſibi de Solis orbe vtcunque libitum ſit, non reluctantem ſubducere. Ad quæ portenta & alia complura fabulator adducit, vt ſcilicet Pythij tripodes quatuor ſponte ſua mouentes in mediũ proceſſerint, quos Homericis perſimiles eſſe ait. Pincernas inſuper æreos quatuor, qui pocula miniſtrarent, terram verò ſponte ſua diſcumbentibus gramina ſubſtrauiſſe. Nam tripodes qui- C dem duo, vina fundebant, reliqui duo aquam, gelidam ſcilicet alter, alter verò calidam. Ex quibus ærei pincernæ vinum conuiuis, aquámque ſumebant, ſed & calices actos in gyrum quaſi vorticoſo flumine impellebant. Hæc ſunt quæ Hierocles pro veris habet ille ſolertiſſimus in iudiciis ſupra adductis, ac vndecunque in nos legendis excuſſor, cui facilitas Chriſtiana ſeu leuitatem dici hanc mauult, quam D maximè aſpernabilis eſt. Is itaque Philoſtrato fidem habens, verbis huiuſmodi ſeſe iactat. Videamus, inquit, quanto nos melius hæc atque prudentius admutamus, & quæ de præclaris virtute viris ſententia noſtra ſit. Tam celebri itaq. conuiuio

narrat Philoſtratus interfuiſſe Indiæ regem, ipſiſque Brachmanib. compotaſſe, ſed contumeliis, ac furore vinolento in philoſophiam inuectum, meróque apud eos largè incaluiſſe, ac inſolentia magna, vel in ipſum quoque Solem inſurrexiſſe. Apollonium verò per interpretem quædam ab eodem rege accepiſſe, quem ipſe contra allocutus ſit Iarcha vicem interpretis exhibente. Quis autem non admiretur, hoc à Philoſtrato vt concinnè factum admitti, vt iniurius homo, maximéque inſulſus inter tantos viros mentem vino alienarit, quem non philoſophorum quidem, nedum & ſemideum conuiuio intereſſe oportuit? Quò enim pertinet ſemideos appellare, ſi dignitatem magis onere, quàm honore afficias? Etenim Tyaneo interrogante quos nam ſe ipſos eſſe dicerent, Dij ſumus, Iarchas inquit. Idem verò conuiuis præſidens non digno quidem philoſophis ritu, multóque Diis magis indigno, quorum ſe in numero ponebat Phiala concrepans, compotationem incepit. Phiala verò ipſa ſicut hiſtoricus narrat, vbi cunctis Brachmanibus potum ſatis exhibuit, mirabilium fontium more aquam haurientibus iugem ſufficiebat. Deinceps verò ſermones inter ſe habiti, ſeriéque philoſophorum diſputationes narrantur, docente Iarcha quo pacto ſua ipſius anima fuerit aliud quandoque regiæ fortunæ corpus induta, quæque tunc opera demum egerit, explicante Apollonio ſe nauis Ægyptiæ gubernatorem fuiſſe, neque minus & ipſo illius temporis facta narrante. Cùm verò multi vtrinque interrogata, reſponſáque fuerint, dignum eſt tam ſapientium dictorum memoriam non extingui.

A κατὰ τὸν αὐτὸν Φιλόστρατον, βασιλεὺς ἐγχωριάζων Ἰνδοῖς εἰσάγεται, συμπίνων τοῖς φιλοσόφοις. τοῦτον δὲ ἐνυβρίζειν, καὶ ἐμπαροινεῖν φιλοσοφίᾳ, μεθύσκεσθαί τε παρ᾽ αὐτοῖς, καὶ ἀντιπαρεξάγειν τῷ Ἡλίῳ, καὶ ἀλαζονεύεσθαι ἱστορεῖ. καὶ πάλιν τὸν Ἀπολλώνιον δι᾽ ἑρμηνέως τὰ παρὰ τούτου μανθάνειν. καὶ αὖ πάλιν πρὸς αὐτὸν διαλέγεσθαι, ὑφερμηνεύοντος τοῦ Ἰάρχα· καὶ πῶς οὐ θαυμάζειν
B ἄξιον, ὅπως τὸν οὕτως ὑβριστὴν, καὶ ἀτοπώτατον παροινεῖν, καὶ μεθύσκεσθαι παρὰ τηλικούτοις εἰκὸς ἦν, ὃν οὐδὲ παριστάναι ἄξιον ἐν φιλοσόφων, μή τί γε καὶ ἰσοθέων ἑστίᾳ. τί δέ μοι ἰσοθέοις τούτοις καλεῖν, καὶ τῆς ἀξίας ἐνυβρίζειν τοὺς ἄνδρας, ὁπότε πυθομένου τοῦ Ἀπολλωνίου τίνας ἑαυτοὺς ἡγοῦνται θεοὺς, ἔφη ὁ Ἰάρχας, ὃς καὶ τοῖς συμπόταις
C οἷα δὴ θεός. φιλοσόφου μὲν ἥκιστα τρόπῳ πολλοῦ γε δεῖ, μή τί γε μᾶλλον οὐ ἔφησε θεοῦ ἀξίως, τὴν φιάλην ἐπικτυπῶν ἐξῆρχεν. ἡ δέ, φησὶν ὁ συγγραφεὺς, ὡς ἄρα ἐπίνιζε* ἱκανῶς πάντας, ἐπεδίδου, καθάπερ αἱ ἀπόρρητοι πηγαὶ τοῖς ἀνιμωμένοις. μετὰ ταῦτα κοιναὶ λόγων ὁμιλίαι, καὶ σπουδαιολογίαι τῶν φιλοσόφων, τοῦ μὲν Ἰάρχα διδάσκοντος ὡς ἄρα ποτὲ αὐτοῦ ἡ
D ψυχὴ ἐν ἑτέρῳ ἀνθρώπου βασιλέως γένοιτο σώματι, καὶ τοιαδή τινα αὐτοῦ πεπραγμένα εἴη· τοῦ Ἀπολλωνίου δὲ, ὡς νηὸς Αἰγυπτίας ποτὲ γένοιτο κυβερνήτης, καὶ τοσαῦτα διαπράξοιτο, πεύσεις τε, καὶ ἀποκρίσεις ἑκάστου, ὧν καὶ τῆς σοφίας ἄξιον μηδαμῶς παρεκθέσθαι τὴν μνήμην.

* γρ. ἐπίνιζε καὶ ἱκ.

ἐρέσθαι δέ φησι τὸν Ἀπολλώνιον εἰ ἔστι παρ' αὐτοῖς χρύσεον ὕδωρ. ὢ τῆς σοφῆς, καὶ παραδόξου πύσματος. καὶ περὶ ἀνθρώπων τῶν ὑπὸ γῆν οἰκούντων, καὶ Πυγμαίων ἄλλων, καὶ σκιαπόδων ἀνερωτᾶν. καὶ εἰ γίγνοιτο παρ' αὐτοῖς ζώων τετράπουν, ὃ λέγεται μαντιχόρα, ὃ τὴν κεφαλὴν ἀνθρώπῳ εἰκάσθαι, λέοντι δὲ ὁμοιοῦσθαι τὸ μέγεθος, τὴν δὲ οὐρὰν ἐκφέρειν πηχυαίας ἀκανθώδεις, ἃς βάλλειν ὥσπερ τοξεύματα ἐς τοὺς θηρῶντας. καὶ τοιαῦτα μὲν τὸν Ἀπολλώνιον ἀνερωτᾶν. τὸν δὲ Ἰάρχαν διδάσκειν αὐτὸν, περὶ μὲν τῶν Πυγμαίων, ὡς ἄρα εἶεν οἰκοῦντες μὲν ὑπόγειοι, διαβιοῦντες δὲ ὑπὸ τὸν Γάγγην ποταμὸν ζῶντες· περὶ δὲ τῶν ἄλλων, ὡς ἀνύπαρκτα εἴη, ἔριον ἐπὶ τούτοις φυόμενον αὐτοῖς ἀπὸ γῆς ἐς ἐσθῆτος ὕλην ὁ Φιλόστρατος ἀναγράφει, πάντως δή που τῶν φιλοσόφων ἱστὸν ἐποιχομένων, καὶ ταλασιουργίαις ἐς ἐσθῆτος κατεργασίαν ἐκπονουμένων. οὐδὲ γὰρ εἰσῆκται παρ' αὐτοῖς γυναικεῖον φῦλον, εἰ μὴ καὶ τοῦτο φήσειεν αὐτόματον αὐτοῖς παραδόξως δι' ἱερέας ἐς ἐσθῆτα μεταφύεσθαι. φέρειν δ' ἕκαστον αὐτῶν ῥάβδον, καὶ δακτύλιον, ἀπόρρητον ἔχοντα ἰσχύν. εἶτα παραδοξοποιΐας τῶν Βραχμάνος, ὡς δαιμονῶντα δι' ἐπιστολῆς ἀνακαλέσοιτο, ὡς χωλεύοντα καταψήσας τὸν γλουτὸν θεραπεύσειεν, ὡς τυφλῷ τὸ βλέπειν, καὶ ἀδρανεῖ τινι τὴν χεῖρα σῶαν χαρίζοιτο. πολλὰ κἀγαθὰ γένοιτο τῶν πραγμάτων ἡμᾶς ἀπολύσαντι τῷ συγγραφεῖ. δῆλα γὰρ ὡς ἀληθῆ καὶ ταῦτα, ὅτε βροντάς τε, καὶ ἀνέμους ἐν πίθοις, τρίποδάς τε ἐκ λίθου φοιτῶντας αὐτομάτως, καὶ οἰνοχόους ἀπὸ χαλκοῦ περιε-

A Interrogaſſe ergo Apollonium refert aureáne apud Indos aqua inueniretur. ô admirabilem! ô plenam ſapientiæ quæſtionem! Tum de Troglodytis & Pygmæis quæſiſſe, déque iis hominibus qui vmbripedes appellantur. Numquid etiam apud eos Mantichora quadrupes animal naſceretur, quod humano eſſet capite, corpore leonino, caudámque haberet cubitalib. ſpinoſis ſetis hor-B rentem, quas veluti ſagittas in venantes iacularetur. Ad hæc Apollonij quæſita reſpondit Iarchas Pygmæos quidem ſubterraneas ſpecus inhabitare ad Gangem fluuium, cetera verò, quæ ille quæſiſſet, irrita prorſus, ac nulla eſſe. Sed lanam tamen Philoſtratus narrat terra apud illos prouenire, quæ ſit veſtibus conficiendis accommoda, ipſis ſibi philoſophis telam inde ad veſtiendi vſum concinnantibus. Neque e-C nim muliebrem ſexum admittunt. Niſi iam & lanam dicat ſponte ſua transformari in veſtes, atque tranſire. Scipionem verò ſingulis refert, anulúmque, virtutis occultæ, atque admirandæ geſtari. Narrat etiam Brachmanis Iarchæ miracula, qui dæmone malo correptum miſſa ad eum epiſtola liberarit, claudóque cuidam ſolo attactu luxatam vertebram confirmarit, captum oculis videre fecerit, valentem alij ma-D num pro torpida repoſuerit. Ingentia verò bona ſcriptori egregio comprecemur, qui nos iſta commentus magno ambiguitatis modo exoluit. Quis enim dubitet quantæ veritatis & illa ſint, quæ præterea multa affert? Nam qui fulmina & ventos ſcribit apud Brachmanas in doliis aſſeruari, tripodéſq. lapideos ſponte ſua motantes, & ab æreis pin-

cernis calices in gyrum agri, ſatis puto ex iis, quæ vt veriſſima recenſentur, ceterarum quoque rerum nobis ipſe arguit, ac patefecit figmenta. Idem ſcribit Philoſtratus Damin teſtari ſe quidem minus admiſſo Tyaneum cum Iarcha ſecretò philoſophatum eſſe, munúſque ab eo tuliſſe annulos ſeptem, totidem planetarum nominibus dictos: quos ſingulos geſtaret per ſubiectos planetis dies. Hæc modò cùm Philoſtratus dicat: ille apud Philalethem veritatis aſſertor: paulò tamen pòſt, vt qui magicam Brachmanum non probet, ſtatuátq. hoc crimine Apollonium liberare, hæc ipſa verba ſubnectit: Videns itaque Apollonius tripodas apud Indos, pincernáſque illos, & quæ præterea ſponte ſua mouentia diſſeruimus, neque interrogauit, neque edoceri dignum duxit, quibus illa præſtigiis fierent. Laudauit, hæc, inquit, ſed tamen æmulari duxit indignum. Sed heus tu, quomodo hæc ſcire contempſit? qui Damide excluſo fecit magni cum Brachmanibus diuerſari? An qui fidiſſimum ſibi hominem celandum putauit? num, & illa fecit permagni? cùm & annulos planetarios tulerit, religione quadam aſtrictus, ſingulatim eos dum viueret per planetarum dies geſtandi: & erant illi quidem, vt ſcribis, arcanæ cuiuſdam reconditæque virtutis. Quod ſi tibi concedatur, non illa Tyaneum imitanda duxiſſe; nimirum non imitatum dicam quia* miſeros eſſe cognouit. Quomodo igitur eoſdem laudauit, aut ſi tanquam diuina operantes laudauit, qui non & imitatu, quos & laude dignos exiſtimauit? Sed enim poſt factam apud

v. non bene agere, vel, haud bene rem gerere c.

A λαμών ἐν κύκλῳ τὰς κύλικας περιϊστορήσας, διὰ τὸ περὶ τούτων ὡς ἀληθῶν ἀφηγήσεων, καὶ τῶν λοιπῶν ἁπάντων ἐξεφηνέ τε, καὶ διήλεγξε τὴν μυθολογίαν. εἰρηκέναι δέ φησιν ὁ Φιλόστρατος τὸν Δάμιν, δίχα τῆς αὐτοῦ παρουσίας, καὶ τῷ Ἰάρχᾳ συμφιλοσοφῆσαι τὸν Ἀπολλώνιον, εἰληφέναι τε παρ᾽ αὐτοῦ δακτυλίους ἑπτὰ ἐπωνύμους ἀστέρων, οὓς καὶ φορεῖν αὐτὸν καθ᾽ ἕνα πρὸς B τὰ ὀνόματα τῶν ἡμερῶν. ταῦτα δὲ νῦν εἰπών, ὁ τ᾽ ἀληθὲς τιμᾶν παρὰ τῷ Φιλαλήθει νενομισμένος, μεθ᾽ ἕτερα τῆς γραφῆς, ὡς ἂν δὴ γοητείαν τῶν Βραχμάνων καταγνούς, καὶ ταύτης ἐλεύθερον καταστῆσαι τὸν Ἀπολλώνιον φροντίσας, ἐπιφέρει, φάσκων κατὰ λέξιν· ἰδὼν δὲ παρὰ τοῖς Ἰνδοῖς τοὺς τρίποδας, καὶ τοὺς οἰνοχόους, καὶ ὅσα αὐτόματα ἐφοιτᾶν εἶπον, οὔθ᾽ ὅπως σοφίζοιντο C αὐτὰ οὔτε ἤρετο, οὔτε ἐδεήθη μαθεῖν· ἀλλ᾽ ἐπῄνει μέν, ζηλοῦν δὲ οὐκ ἠξίου. καὶ πῶς ὦ οὗτος, οὐκ ἠξίου ζηλοῦν, ὁ δίχα τοῦ Δάμιδος σπουδὴν ποιούμενος συμφιλοσοφεῖν αὐτοῖς, καὶ τὸν μόνον ὅ,τι καὶ πρὸς ἄλλους λανθάνειν δέον, ἑταῖρον ἡγούμενος. πῶς δὲ οὐκ ἠξίου ζηλοῦν, ὁ τοὺς τῶν ἀστέρων ἐπωνύμους καταδεχόμενος δακτυλίους, καὶ τούτους ἀναγ- D καῖον τιθέμενος διὰ παντὸς τοῦ βίου φέρειν πρὸς τὰ ὀνόματα τῶν ἡμερῶν καίτοι γε ἀπορρήτων ὡς φῂς αὐτὸς ἔχοντας ἰσχύν; εἰ δὲ καὶ δοθείη τὸ μὴ ζηλοῦν ἠξιωκέναι αὐτόν, ὡς μὴ εὖ πράττοντας, οὐκ ἐζήλου δηλονότι· πῶς οὖν ἐπῄνει, ἐφ᾽ οἷς μὴ ἠξίου ζηλοῦν; εἰ δ᾽ ὡς θείως ἐνεργοῦντας ἐπῄνει, πῶς οὐκ ἐζήλου τὰ ἐπαίνων ἄξια; ἀλλὰ γὰρ μετὰ τὴν παρὰ

τούτοις διατρίβων παλινοστοῦντα αὐτὸν ἅμα τοῖς ἑταίροις, ἐληλυθέναι φησὶν ἐς τὴν τῶν ὠρειτῶν χώραν, ἔνθα χαλκαῖ μὲν αὐτοῖς αἱ πέτραι, χαλκῆ δὲ ἡ ψάμμος, χαλκοῦ δὲ ψῆγμα οἱ ποταμοὶ ἄγουσι. καὶ τοσαῦτα μὲν τὰ κατὰ τὸ τρίτον σύγγραμμα.

ΕΚ ΤΩΝ ΤΟΥ ΤΕΤΑΡΤΟΥ.

Ἐπίωμεν δὲ ἤδη τὰ ἑξῆς. ἐπανελθόντα φησὶν αὐτὸν τῆς Ἰνδῶν χώρας ἐπὶ τὴν Ἑλλάδα, κοινωνὸν τῶν θεῶν πρὸς αὐτῶν τῶν θεῶν ἀνακεκηρύχθαι, οἳ καὶ τοὺς κάμνοντας ὡς αὐτὸν ἐφ᾽ ὑγείᾳ παρέπεμπον. καὶ δῆτα ὡς ἐξ Ἀράβων, καὶ μάγων, καὶ Ἰνδῶν παράδοξόν τινα, καὶ θεῖον αὐτὸν ἡμῖν ἀγαγὼν, παραδόξων ἐντεῦθεν ἀφηγημάτων κατάρχεται. καίτοι ἄν τις εἴποι εὐλόγως, ὅτι δὴ εἰ θειοτέρας, ἢ κατ᾽ ἄνθρωπον φύσεως ἦν πάλαι, ἀλλ᾽ οὐ νῦν ἔδει περὶ τῶν ἑτέρων μεταλήψεως τῶν θαυμασίων κατάρχεσθαι. περιττὴ δ᾽ ἂν καὶ ἡ ἐξ Ἀράβων αὐτῷ, μάγων τε, καὶ Ἰνδῶν διὰ σπουδῆς ἐπεχρεῖτο πολυμάθεια, εἰ δή τις κατὰ τὴν δοθεῖσαν ὑπῆρχεν ὑπόθεσιν. ἀλλ᾽ ὅμως κατὰ τὸν ἀληθῆ συγγραφέα, νῦν δὴ πάρεστι μετὰ τοσούτους διδασκάλους τὴν σοφίαν ἐνδεικνύμενος· καὶ πρῶτα μὲν οἷα ἐξ Ἀράβων, τῆς παρ᾽ αὐτοῖς οἰωνιστικῆς ὁρμώμενος, τὸν στρουθὸν ὅ, τι βούλοιτο τοὺς ἑτέρους ἐπὶ τροφὴν παρακαλῶν, ἑρμηνεύει τοῖς παροῦσιν. εἶτα δὲ λοιμοῦ προαισθόμενος, προμαντεύεται τοῖς πολίταις. τὴν δ᾽ αἰτίαν, καὶ τούτου ἐν τῇ πρὸς Δομετιανὸν ἀπολογίᾳ αὐτὸς παρατίθεται. ἐρομένου γάρ τοι αὐτὸν,

A Indos moram, narrat Philoſtratus reuertentem Apollonium cum comitatu omni ad Oritarum regionem veniſſe, quibus æreæ petræ, arena ærea, fluuij quoque ipſi ramenta æris deuoluerent. Hæc de volumine tertio ſumpta ſunt. Nos autem quo cœpimus ordine ad reliqua inſpicienda pergamus.

CONFVTATIO LIB. IV.

B REGRESSVM ab Indis in Græciam refert quaſi Deorum conſortem quendam vel ipſorum teſtimonio declaratum. Variis enim morbis affectos illi curandos potiſſimum deſtinabant. Iámque vt auguſtum ac diuinum hominem de Arabia, de Magis, déque Indis venientem nobis oſtenſurus, nouis quoque miraculis ſcatentem hiſtoriam exorditur. Hic autem rectò quis illud obiiciat, ſi diuiniore hic C natura, ſupráque humanam præditus erat, multò antè quàm ab aliis doceretur, mirabilia per ſe aggreſſum oportuit. Superflua enim diuino homini fuerit illa Arabum, Magorúmque & Indorum magno ſtudio conquiſita doctrina. Quòd ſi erat huic aliqua prius tantarum rerum cognitio, pro vt tota in hiſtoria traditur, Philalethe tamen autore, nonniſi tot exhauſtis magiſtris ſapientiam patefecit. Ac pri- D mò quidem veluti qui augurandi vim ex Arabia detuliſſet, aſtantibus multis expoſuit pipilantem paſſerculum ceteras ſui generis aues ad paſtum concire. Tum verò cùm appetentem peſtilentiam præſentiret, ciuibus illa Epheſiis ante prædixit, huiúſque præſenſionis cauſam, mox ipſemet apud Domitianum reus, ſua in apologia expoſuit. Rogante enim Domitiano, vnde

vnde is peſtilentiam præſenſiſſet, Diæta, inquit, magis tenui, magiſque ſobria quàm ceteri mortales vſus, ita primus omnium qualitatem aëris vitiúmque deprehendi.

Tertium porrò miraculum narrat remedium fuiſſe, quo is peſtem Epheſiis cauit. Quòd factum tametſi minus exponit Philoſtratus in fine ipſo accuſationis, cùm tamen exponi maximè oportuerit, quia fortaſſe non ſibi potis videbatur tantùm criminis apologia purgare, nos tamen ipſi factum hoc explicantes iudicio hominum proponamus, ad rectè rationis examen ſicut reliqua prouocantes. Si cui enim minus conſtet figmentum hîc quoque impoſturæ plenum adduci, magicíſque nimirum obductum præſtigiis, ipſa totius facti ratio modúſque manifeſtè oſtendet. Peſtilentiam narrat in figura medici ſenis, laceri ac pannoſi, ſe ſpectabilem præbuiſſe. Quem quidem ſenem cùm Tyaneus iuſſiſſet lapidibus cædi, primùm ait peſtilenti obtutu flammam luminibus eiaculatum, tum verò, coniectis obrutum ſaxis in effigiem obſcœni canis ſe transformaſſe, cui etiam rabidorum more, tetræ circa rictum ſpumæ vndarent. De hoc autem ſene intelligere Apollonium ſua apud Domitianum apologia ſcribit Philoſtratus. Peſtilentia enim, inquit, ſub habitu mendici ſenis Epheſum peragrabat: hanc ego conſpicatus, comprehendi, luem ciuitati non modò ſiſtens, verùm penitus tollens. Quis non igitur liberè cachinnetur ad præſtigiatoris miracula? Cùm peſtilentiæ vim, quæ, vt tradit ratio medicinæ, nihil aliud plane eſt, quàm corruptio circumfuſi aëris, vitiúmq. ex putrido vaporatu in morboſam qualitatem vergentis:

A ὁπόθεν ὁρμώμενος τοῦτο προείποι, λεπτοτέρᾳ, ἔφη, χρώμενος, ὦ βασιλεῦ, διαίτῃ, πρῶτος τοῦ δεινοῦ ᾐσθόμην· καὶ τρίτον δ' αὐτῷ θαῦμα γεγονὸς ἱστορεῖ, ὡς δὴ ἀλεξήσαντος τὸν λοιμὸν ὅπερ εἰ καὶ τὰ μάλιστα ἐν ταῖς ἐπὶ τέλει κατ' αὐτοῦ κατηγορίαις οὐ τέθεικεν ὁ συγγραφεύς, ὅτι μὴ παρῆλθεν ὡς εἰκὸς αὐτῷ δι' ἀπολογίας ἀπολύσασθαι τὸ ἔγκλημα; φέρε δὴ οὖν ὅμως αὐτοὶ τὴν ἱστορίαν B ἐς φανερὸν ὑποθώμεθα, οὕτω δὴ καὶ ταύτην εὐθύνοντες· εἴ τινι γὰρ οὐκ ἂν εἴη σαφὲς ὅτι δὴ πολὺ τὸ πλάσμα, καὶ ἀπατηλὸν, γοητείας τε ὡς ἀληθῶς ἔμπλεον, αὐτὸς ὁ τρόπος ἀπελέγχει τῆς ἱστορίας. τὸν γάρ τοι λοιμὸν ὑποτίθεται ἐν εἴδει πτωχεύοντος, καὶ ῥάκεσιν ἠμφιεσμένου πρεσβύτου ἀνδρὸς ἑωρᾶσθαι. ὃν καταλεύειν ἐπικελευσαμένου τοῦ Ἀ- C πολλωνίου, πρότερον μὲν πῦρ βάλλειν τῶν ὀφθαλμῶν, εἶθ' ὕστερον βληθέντα λίθοις, κύνα συντετριμμένον, καὶ παραπτύοντα ἀφρὸν ὡς οἱ λυττῶντες, φανῆναι· εἰρηκέναι δ' αὐτὸν περὶ τούτου. καὶ ἐν τῇ πρὸς αὐτοκράτορα Δομετιανὸν ἀπολογίᾳ, ταῦτα γράφει. τὸ γὰρ λοιμοῦ εἶδος, πτωχῷ ὧδε ἀγείροντι εἴκαστο. καὶ εἶδον, καὶ ἰδὼν, εἷλον, οὐ παύσας νόσον; D ἀλλ' ἐξελών. τίς δὴ οὖν ἐπὶ τούτοις οὐ μέγα τὴν τοῦ θαυματοποιοῦ θαυμάσεται παραδοξοποιΐαν, ζώων ὀφθαλμοῖς; καὶ λίθων ὑποπίπτοντα βολαῖς, ξυντετριμμένον τε πρὸς ἀνθρώπων, καὶ ἀφρὸν παραπτύοντα, τὴν τοῦ λοιμοῦ φύσιν ἀκούων, ὡς οὐδ' ἄλλ' ὁποίαν τυγχάνει, ἢ φθορὰ, καὶ κάκωσις ἀέρος, ἐπὶ τὸ νοσῶδες τρεπομένου τοῦ περιέχοντος;

ἐν πονηρῷ τε, καὶ φαύλων ἀναθυμιάσεων, ἣ λόγος ἰατρικὸς παραδίδωσι ξυνισταμένου; καὶ ἄλλως δ᾽ ἂν τὸ φάσμα διελεγχθείη, ἐπείπερ μόνῃ τῇ τῶν Ἐφεσίων πόλει, ἀλλ᾽ οὐχὶ καὶ τοῖς ὁμόροις τὸν λοιμὸν ἐπισκῆψαί φησιν ὁ λόγος. ὅπερ οὐκ ἂν γεγόνοι, κἀκώσιν τοῦ περιέχοντος πεπονθότος. οὐ γὰρ δὴ καταχλεισθὲν, μόνῳ ἂν ἐφήδρευσε τῷ περὶ τὴν Ἔφεσον ἀέρι τὸ νόσημα. τέταρτον αὐτῷ παράδοξον, Ἀχιλλέως ἡ ψυχὴ, πρότερον μὲν ἐν χλαμύδι πεντάπηχυς, εἶτα δωδεκάπηχυς τὸ μέγεθος παρὰ τῷ ἰδίῳ αὐτοῦ μνήματι φαινομένη, Θετταλούς τε καταμεμφομένη, ὅτι δὴ τὰ ἐναγίσματα αὐτῷ ὡς ἔθος ἦν, οὐκ ἐπετέλουν, μηνιῶσά τε εἰσέτι Τρωσὶ τῶν ἐς αὐτὸν πεπλημμελημένων, καὶ προστάξασα τῷ Ἀπολλωνίῳ πέντε λόγοις, οὓς ἂν αὐτός τε βούλοιτο, καὶ αἱ μοῖραι ξυγχωροῖεν ἀνέρεσθαι. εἶθ᾽ ὁ πάντα εἰδὼς, καὶ τὴν μελλόντων πρόγνωσιν αὐχῶν, ἔτι ἀγνοεῖ εἰ τάφου τύχοι Ἀχιλλεὺς, καὶ εἰ Μουσῶν θρῆνοι, καὶ Νηρηΐδων ἐπ᾽ αὐτῷ γεγόνασι. καὶ περὶ τούτων αὐτὸν ἀνερωτᾷ, καὶ διαπυνθάνεται, εἰ Πολυξένη ἐπεσφάγη αὐτῷ, καὶ εἰ Ἑλένη ἐς Τροίαν ἐληλύθει. ὡς σεμνά γε, καὶ κατεπείγοντα ἐς τὸν φιλόσοφον βίον τοῦ Διὸς τὰ σπουδῆς ἄξια ἐρωτήματα. θαυμάζει δ᾽ ἐπὶ τούτοις, εἰ τοσοῦτοι ἥρωες παρὰ τοῖς Ἕλλησιν ἐν ἑνὶ χρόνῳ γεγόνασι, καὶ εἰ ἀφίκοιτο ἐς Τροίαν Παλαμήδης. τὸν δὴ θεῶν ὁρωμένων τε, καὶ οὐχ ὁρωμένων ὁμιλητὴν τοιαῦτα ἀγνοεῖν, καὶ περὶ τούτων ἀνερωτᾶν,

A nunc tamen audiat oculis intuentium, ac ſaxorum iactibus obnoxiã eſſe, protritámq; mortalium manu, ſpumas etiam rictu effundere? Alio quoque argumento monſtrum hoc magicúmque præſtigium diſcuti ac perpendi poterit. Quoniam ſcilicet vnam modò Epheſiorum vrbẽ non autem & finitimas ab eo peſtilentia affectas narrat hiſtoria. Quod nequaquam ita ceſſiſſet, ſi circumfuſus aër ac proximus vitium contra- B xiſſet: neque enim lues illa anguſtis ita ſpatiis coarctata, ſolis Epheſiis incubuiſſet. Quartum porro miraculum eſt Achillis vmbra, cubitorum primo quinque, mox & duodecim ſuo de buſto chlamydata aſſurgens. Quæ continuo Theſſalos accuſauit, quod ſibi aſſoliti ritus ſacra facere ac iuſta deſiuiſſent. Videbatúrque etiam tunc ira in Teucros efferuere ob ea, quæ in ſe admiſerant. Quinque vero tantùmodo quæſtionum C Apollonio facultatẽ præbuit ex ſua videlicet, parcarúmque ſententia. Hic Tyaneus ille rerum omniũ ſolers, & in futurorum præſenſione ſe iactans, ignorare deprehenditur, funeratúſne ſepulchro Achilles fuerit, Muſæve illi, ac Nereides lamenta profuderint: déque his illum rebus percunctatur, neque minus an Polyxena illius ad tumulũ cæſa fuerit, Troiámve Helena adnauigarit. Sunt enim eiuſmodi quæſtiones ſa- D nè quàm graues, ad philoſophi inſtituta maximè pertinentes, dignæ ſtudio ac diligentia ſingulari. Admiratur præterea, qui tot numero Græci heroës ætate eadem eſſe potuerint. Sciſcitatúrque num ſimul cum iis Troiã Palamedes adnauigarit. Hæccine ignorare hominem, qui Deorum colloquio viſibilium fruatur, inuiſibiliúmque? De iiſdem vero etiam rebus interrogare,

quomodo non turpiſſimum cen-
ſeatur? Niſi fortè, quia res illi cum
mortuis eſſet, idcirco frigere eius
quæſita, ac ineptire Philoſtratus fa-
cit, vt hac commoditate ſuſpicio-
ni occurrat, quæ oriri meritò po-
terat; illum ſcilicet vltra licitum
bono viro ſuperſtitioſum videri.
Cùm eundem faciat in apologia
pro ſe affirmantem, nulla ſe ad A-
chillis congreſſum necromantiæ o-
pera vſum eſſe. Neque enim, in-
quit, Vlyſſis more ſcrobe defoſſa,
aut cæſis agnis Achillem euocans,
in eius colloquium veniat Tyaneus,
ſed ea precatus, quæ Indi cenſent
precari heroas oportere, & in hu-
iuſmodi cærimoniis Damidi ſeſe ia-
ctat, qui Philoſtrato autore nihil
ab Indis penitus didiciſſe, paruí-
que eorum ſapientiam feciſſe cre-
dendus eſt. Sed heus paucis ego
te. Niſi in hoc Achillis congreſſu,
praua ineſſet ac deteſtabilis ſuper-
ſtitio, cur tu in participatum mi-
rabilis huius ſpectaculi ac ſermo-
nis, ne fidiſſimum quidem tibi co-
mitem illum legitimúmque vel ſo-
lum Damidem aſciuiſti? Cur verò
non & interdiu factum hoc licuit,
ſed nocte intempeſta, ſed abs te
ſolo? Cur ad ipſos etiam gallorum
cantus Achillis vmbra euanuit? A-
biit Achilles, inquit, modicè ful-
gurans. Tum enim galli primos
dederant cantus. Erit itaque hæc
hora malo dæmoni ad nefarios ſer-
mones euocando, conueniens ma-
gis, quàm heroinæ animæ. Illam ſi-
quidem vt immunem craſſæ huius
corporeæque compagis, candidam
prorſus eſſe & liuore omni care-
re oportuit. At verò dæmon hic,
qui Tyaneo ſe obtulit, inuidus ira-
cundúſque deſcribitur, ceteríſque
viliſſimis eius generis morbis ob-
noxius. An non enim talis habendus

A ποίας οὐχὶ γένοιτ' ἂν αἰσχύνης, εἰ μὴ
ἄρ' ἐπειδὴ νεκροῖς ὁμιλῶν εἰσῆκται, ἐπὶ
τὸ ψυχρότερον μεταποιεῖ τὰς πεύσεις ὁ
συγγραφεύς, ὡς ἂν ὑπεκλύσῃ τὴν ὑπό-
νοιαν τοῦ πέρα τῶν προσηκόντων αὐτὸν
περιειργάσθαι δοκεῖν. καὶ γὰρ δὴ καὶ ἀ-
πολογούμενον αὐτὸν ὑπογράφει. ὅτι
μὴ κατὰ νεκρομαντείαν ὁ τρόπος αὐτῷ
τῆς φανείσης ὄψεως γένοιτο, οὔτε γὰρ
B βόθρον, εἶπεν, Ὀδυσσέως ὀρυξάμενος,
οὐδὲ ἀρνῶν αἵμασι ψυχαγωγήσας,
ἐς διάλεξιν τοῦ Ἀχιλλέως ἔλθοι; ἀλλ'
εὐξάμενος ὁπόσα τοῖς ἥρωσιν Ἰνδοί
φασιν εὔξασθαι δεῖν, καὶ ταῦτα νῦν
πρὸς τὸν ἑταῖρον ἀποσεμνύνεται, ὁ
μηδὲν μαθεῖν παρ' Ἰνδῶν, μηδὲ ζηλῶ-
σαι τὴν παρ' αὐτοῖς σοφίαν πρὸς τοῦ συγ-
γραφέως μεμαρτυρημένος. τί δῆτ' οὖν,
ὦ οὗτος, εἰ μή τις ἦν κακοήθης περιερ-
C γία, μηδὲ τὸν ἕνα σοι, καὶ γνήσιον, καὶ μό-
νον ἑταῖρον Δάμιν κοινὸν ἐποιοῦ τῆς θαυ-
μαστῆς ταύτης ὄψεώς τε, καὶ ὁμιλίας;
τί δ' οὐχὶ καὶ δι' ἡμέρας τοῦτο ἠξίου
ποιεῖν, ἀλλὰ τῶν νυκτῶν ἀωρί, καὶ μόνος;
τί δὲ καὶ ἤλαυνον τὴν τοῦ ἥρωος ψυχὴν
ἀλεκτρυόνων βοαί; ἀπῆλθε γάρ φησι
ξὺν ἀστραπῇ μετρίᾳ· καὶ γὰρ δὴ καὶ
ἀλεκτρυόνες ἤδη ᾠδῆς ἥπτοντο. δαίμοσι
μὲν οὖν πονηροῖς γένοιτ' ἂν ἴσως ὁ τῆς
D ὥρας ἐπιτήδειος ἐς περιέργους ὁμιλίας
καιρός, ἀλλ' οὐχὶ ἡρωΐδι ψυχῇ, ἣν τῆς
παχείας τοῦ σώματος ἐλευθερωθεῖσαν
ὕλης, ἀγαθὴν, καὶ πανάρετον εἶναι χρεών·
ὅ γε μὴν εἰσηγμένος ἐνταῦθα δαίμων
βάσκανος, καὶ φθονερὸς τὸν τρόπον, ὀρ-
γίλος τε, καὶ ταπεινὸς τὴν διάθεσιν,
ὑποτετύπωται. ἢ οὐχὶ τοιοῦτος ὁ τὸν

A ὁ τὸν Ἀντισθένην μειράκιόν τι σπουδαῖον, ὡς ἂν δὴ φιλοσόφῳ ξυνέπεσθαι τῷ Ἀπολλωνίῳ πειρώμενον ἀπείργων; προστάττει γὰρ τὸ μὴ ποιεῖσθαι αὐτὸν ξυνέμπορον τῆς ἑαυτοῦ φιλοσοφίας, ἐπιλέγων τὴν αἰτίαν· Πριαμίδης τε γάρ, φησιν, ἱκανῶς ἐστι, καὶ τὸν Ἕκτορα ὑμνῶν οὐ παύεται. πῶς δὲ οὐκ ὀργίλος, καὶ ταπεινός, ὁ Θετταλοῖς, ὅτι μὴ θύοιεν αὐτῷ θυμούμενος, καὶ B Τρωσίν, ὅτι δὴ περὶ μυρίων ὅσων ἐτῶν ἐς αὐτὸν ἡμαρτήκασι μὴ καταλλαττόμενος, καὶ ταῦτα, θύουσι, καὶ ξυνεχῶς σπενδομένοις· ἀλλὰ καὶ τὸν Παλαμήδους τάφον αὐτῷ ἀγάλματι φαύλως ἐρριμμένον, ἀναλαβεῖν ἐπικελευόμενος;

A ſit, qui Antiſthenem officioſum adoleſcentem ſeſe Apollonio vt philoſopho adiungere cogitantem, quo minus id faceret, impediuit? cuius rei cauſam adducens, Iuſſit, inquit, Apollonio ne Antiſthenem in participatum ſuæ diſciplinæ admitteret, propterea quòd is quaſi Priamides foret, à canendo Hectore nunquam ceſſabat. Sed cur non etiam iracundi ac puſilli ingenij conuincatur, qui Theſſalis ſuis ſuccenſet B non ſibi legitimè operatis, & qui ne tot quidem annorum ſpatio deuoluto, Troianis odium belli, offenſarúmque remiſit, quanquam libantibus illis, & ad eius tumulum rem diuinã continuè facientibus? Contra verò Palamedis ſepulchrum vnà cum illius ſtatua negligenter diſiectum reponi inſtaurariq. mandarit.

ΤΟ ΠΕΜΠΤΟΝ, ΚΑΙ ΕΚΤΟΝ.

C Τὸ μέν τοι πέμπτον, καὶ ἕκτον θαῦμα, οὐ πολλῆς δέοιτο τοῦ λόγου διατριβῆς, ἐς ἔνδειξιν τῆς τοῦ πραχθέντος δυσχερείας· δαίμονας γὰρ ἀπελαύνει ἄλλῳ ἄλλον ἤ φασι δαίμονι. τὸν μὲν, γὰρ ἐξ ἀκολάστου μειρακίου· τὸν δὲ ἐπιπλάστως ἐς γυναικείαν μορφὴν σχηματιζόμενον, τουτονὶ δὲ τὸν δαίμονα, ἔμπουσαν, καὶ Λάμιαν αὐτοῖς ὀνόμασιν ὁ σοφώτατος ἀποκαλεῖ. τό γε μὴν D ἐπὶ τῆς Ῥωμαίων πόλεως μετὰ ταῦτα κόρειον, ὅτι δὴ μετὰ θάνατον ἐπὶ δευτέραν ζωὴν ἤγαγεν, ἀπιστοτάτην καὶ αὐτῷ δόξαν τῷ Φιλοστράτῳ παραιτητέον. ἐν δισταγμῷ μέν τοι ἀμφιβάλλει, μὴ ἄρα σπινθῆρ τῆς ψυχῆς ἐνυπάρχων τῇ παιδὶ, τοὺς θεραπεύοντας ἐλελήθει. λέγεται γάρ φησιν ὡς ψεκάζοι

IN V. ET VI.

QVINTVM porrò ſextúmque miraculum haud ita magna opera indigebunt, ad facultatem, qua effecta ſunt, arguendam. Pellebat enim dæmonas (vti ferunt) aliò alium. Nam ex adoleſcente laſciuo dæmonem pepulit, alium quoque fugauit muliebri forma effigiatum, quem Lamiam & Empuſam ſapientiſſimus autor appellat. Nam quòd præterea puellam Romæ defunctam ab obitu reuocarit, cùm ſit factum hoc vel ipſi Philoſtrato incredibile, nos quoque à nobis penitus excludamus. Ratiocinatur enim dubitando Philoſtratus, num vitalis auræ ſcintilla intra puellam compreſſa, medicos delituerit, quæ mox pluuia ingruente reuiuiſcens atque excitata, in vultu reſpirantis puellæ prodita ſit. Aiunt enim cùm puella ad ſe rediret,

cœlo pluuio leniter irroraſſe. Neque enim ſi verè puellam hanc Apollonius vitæ reſtituiſſet, tam egregiũ facinus non imperatori primùm ipſi innotuiſſet, aliiſque ſubinde primoribus apud illum diuerſantibus viris, præſertim verò philoſopho Euphrati qui ea tempeſtate Romæ agebat, móxque Apollonio infenſus, eundem magiæ accuſaſſe narratur. Quinetiam factum hoc ſi modò planè conſtitiſſet, ceteris quoque calumniis, quibus Apollonium vrgebant, procul dubiò adiunxiſſent accuſatores, & hæc quidem dicere occurrebat, quæ particulatim Apollonio, ſpeciatímq. geſta ſunt. Infinita verò & alia erant, quæ ad prædictiones rerum diuinationéſq. pertinent. Fertur enim Athenis quondam initiaturus Eleuſinis ſacris à Cereris ſacerdote prohibitus affirmante nefas initiari magũm hominem, pateréque illi Eleuſinia ſacra qui dæmonum conſortio impurus eſſet, quíq; Romæ inhoneſtus circulator venali voce Neronis carmina ad lyram decantaſſet, eiuſdémque Neronis metu, ſodalibus ceteris dari pretium ſuaderet, qui eodem canendi ſtudio tenerentur. Atque hæc quidem ſunt, quæ volumine quarto Philoſtrati continentur.

CONFVTATIO LIB. V.

QVINTO autem libro, vbi quædam de Tyanei præſenſionib. attulit in admirationem hominis
" verſus, ita fermè concludit: Præſen-
" ſiſſe autem hæc Apollonium diui-
" na quadam virtute, planéque fal-
" li eos qui magum fuiſſe illum opi-
" nantur, ſatis arbitror conſtat per
" ea, quæ dicta ſuperius nobis ſunt.
" Sed hæc tamen amplius afferantur.

A μὲν ὁ Ζεύς, ἡ δέ, ἀτμίζοι ἀπὸ τοῦ προσώπου. καὶ γὰρ δὴ εἰ ἀληθῶς αὐτὸ τοιόνδε ἐπ' αὐτῆς Ῥώμης ἐπέπρακτο, οὐκ ἂν ἐλελήθει βασιλέα τε πρῶτον, καὶ τοὺς μετ' αὐτὸν ἅπαντας ὑπάρχους, μάλιστα δὲ τὸν φιλόσοφον Εὐφράτην ἐγχωριάζοντα κατ' ἐκεῖνο καιροῦ, καὶ ἐπὶ τῆς Ῥώμης διατρίβοντα, ὃς δὴ ἐς ὕστερον τὴν κατ' αὐτοῦ κατηγορίαν, ὡς δὴ κατὰ γόητος ὑποβάλλειν ἱστόρηται. πάντως B γὰρ ἂν καὶ τοῦτο, εἰ δὴ τοῦτο γεγονὸς ἦν, ταῖς ἄλλαις κατ' αὐτοῦ διαβολαῖς πρὸς τοῦ κατηγόρου συγκατεπέπλεκτο. καὶ τὰ μὲν ἐν μέρει, καὶ κατ' εἶδος αὐτῷ πεπραγμένα, τοσαῦτα. μυρία δὲ καὶ ἄλλα, καὶ κατὰ πρόγνωσιν αὐτοῦ λέγειν, προμαντεύσασθαί τι, καὶ προειρηκέναι γράφει. καὶ ὡς Ἀθήνησι βουληθέντα μυηθῆναι τὰ Ἐλευσίνια, ὁ τῇδε εἶρξεν ὁ ἱερεύς, μὴ ἄν ποτε φήσας μυῆσαι ἄνδρα C γόητα, μηδὲ τὰ Ἐλευσίνια ἀνοῖξαι ἀνθρώπῳ μὴ καθαρῷ τὰ δαιμόνια, ἀλλὰ καὶ τῷ ἀσελγῶς ἀγείροντι κατὰ τὴν Ῥώμην, καὶ τὰς Νέρωνος μετὰ κιθάρας ἐπὶ μισθῷ διεξιόντι ᾠδάς, μισθὸν ἐπιδοῦναι τοῖς ἑταίροις τῆς σοφῆς ταύτης ἐπιτηδεύσεως, ὁ φιλοσοφώτατος διὰ τὸν Νέρωνος φόβον προσέταττε. ἐν τούτοις, καὶ τοῦ τετάρτου περιγραφέντος.* Τὰ τοῦ πέμπτου βιβλίου.
D ἐν τῷ πέμπτῳ τῆς περὶ αὐτοῦ γραφῆς, εἰπών τινα περὶ γνώσεως αὐτοῦ, καὶ ἀποθαυμάσας ὁ συγγραφεύς, ἐπιλέγει ταῦτα κατὰ λέξιν. ὅτι μὲν δὴ τὰ τοιαῦτα δαιμονίᾳ κινήσει προὔλεγε, καὶ ὅτι τοῖς γόητα ἡγουμένοις τὸν ἄνδρα οὐχ ὑγιαίνει ὁ λόγος, δηλοῖ μὲν καὶ τὰ εἰρημένα. σκεψώμεθα δὲ κἀκεῖνα.

τοὺς γόητας, ἡγοῦμαι δὲ αὐτοὺς ἐγὼ κακοδαιμονεστάτους ἀνθρώπων, τοὺς μὲν, ἐς βασάνους εἰδώλων χωροῦντας, τοὺς δὲ, ἐς θυσίας βαρβάρους, τοὺς δὲ, ἐς τὸ ἐπᾶσαί τε, ἢ ἀλεῖψαι, μεταποιεῖν φασι τὰ εἱρημένα. ὁ δὲ, εἵπετο μὲν τοῖς ἐκ μοιρῶν, καὶ προὔλεγεν ὡς ἀνάγκη ἔσεσθαι αὐτά. προὔλεγε δὲ οὐ γοητεύων, ἀλλ' ἐξ ὧν οἱ θεοὶ ἔφαινον. ἰδών τε παρὰ τοῖς Ἰνδοῖς τοὺς τρίποδας, καὶ τοὺς οἰνοχόους, καὶ ὅσα αὐτόματα ἐσφοιτᾶν εἶπον, οὐδ' ὅπως σοφίζοιτο αὐτὰ ἤρετο, οὔτε ἐδεήθη μαθεῖν, ἀλλ' ἐπῄνει μὲν, ζηλοῦν δὲ οὐκ ἠξίου. ταῦτα δὲ λέγων, δῆλός ἐστι τοὺς περιβοήτους Ἰνδῶν φιλοσόφους γόητας ἀποφαίνων. περὶ γάρ τοι γοήτων ποιούμενος τὸν λόγον, μνημονεύει καὶ τούτων σοφίζεσθαι. τὰ δὴ παράδοξα λέγων αὐτοὺς, καὶ τὸν περὶ οὗ ὁ λόγος τῆς τοιᾶς δ' αὐτῶν σοφιστείας, ὡς ἂν μὴ ἀστείας ἀλλότριον ὑποτιθέμενος. οὐκοῦν εἰ φαίνοιτο τούτους θεοὺς ἀποκαλῶν, καὶ διδασκάλους ἐπιγραφόμενος αὐτοὺς ὁ Ἀπολλώνιος, ὅρα τοῖς κατὰ τῶν διδασκάλων, καὶ αὐτὸν ὑπάγειν διαβολαῖς. εἰσῆκται δὴ οὖν παρ' οἷς φησι γυμνοῖς Αἰγυπτίων ῥήμασιν αὐτοῖς ταῦτα φάσκων, οὐκ ἀπεικός τι παθεῖν μοι δοκῶ, φιλοσοφίας ἡττηθεὶς εὖ κεκοσμημένης, ἣν ἐς τὸ πρόσφορον Ἰνδοὶ στείλαντες, ἐφ' ὑψηλῆς τε, καὶ θείας μηχανῆς ἐκκυκλοῦσιν. οὓς δὴ ἐν δίκῃ μὲν ἠγάσθην, ἐν δίκῃ δὲ ἡγοῦμαι σοφούς τε, καὶ μακαρίους. ὥρα δὲ μανθάνειν καὶ ἃ* μετὰ βραχέα φησίν. οὗτοι μὲν γὰρ θεοί τε εἰσι, καὶ κεκόσμηνται κατὰ τὴν Πυθίαν. καὶ Δομετιανῷ δὲ εἰσῆκται λέγων,

A Magi ipſi, quos equidem miſerrimos eſſe hominum puto, aut idolorum tormentis aut barbaris ſacris, aut cantando, aut corpus vngendo operari dicuntur. At verò noſter hic parcarum ordinem ſequens, prædicebat quæ neceſſariò ventura erant, nihil magicè operatus, ſed ex iis diuinans quæ Dij perſanctè ſibi ſignificabant. Cúmque apud Indos vidiſſet, tripodas illos, ac pincernas B ſponte ſua mouentes, ne interrogauit illos quidem, quo id pacto efficerent, nedum edoceri voluerit. Laudauit quidem, ſed imitatu tamen illa digna non cenſuit. Hæc itaque cùm Philoſtratus dicat, planè deprehenditur, celebres Indorum philoſophos inter magos, veneficósq. reponere. Nam quo loco de magis, eodem & de Indis mentionem facit, peroſum Apollonium narrans, quæ ſuperius miracula recenſuimus, quaſi illiberale quoddam genus præſti- C giorum. Si ergo quos paulò antè deteſtatus eſt: eos tamen idem Apollonius alibi deprehenditur Deorum nomine, ac præceptorũ dignari, nihil aliud planè ſupereſt, quàm vt eiſdem quoque, quibus & præceptores ſui criminibus ſit obnoxius. Inducitur ergo apud Gymnoſophiſtas Ægyptiorum philoſophos, verba hæc loqui. Nihil indecorum mihi arbitror contigiſſe philoſophiæ D ſtudia admirato liberalis ac permodeſtæ, quam ſcilicet Indi ad vtilitatem ipſam contrahentes in diuina ac ſublimi materia complectuntur. Hos igitur iure ſum admiratus, eóſque ſapientes eſſe, ac beatos exiſtimo. Sed ad rem fuerit ea nunc inſpexiſſe quæ paulò mox dicit. Hi enim Dij ſunt, inquit, & Pythiæ teſtimonio exornantur. Domitianum quoque imperatorem huiuſmodi verbis inducitur allocutus.

Quæ nam tibi contentio eſt cum Indis, Iarcha & Phraote, quos ego ſolos hominum dignos puto, qui Dij & vocentur, & habeantur? Aliis item locis eoſdem Brachmanas Apollonij præceptores ac Deos cùm dicat, & cùm faciat Planetarios inde annulos ſeptem tuliſſe, nunc porrò ſuperiorum oblitus, non ſentit ſtolidus, cum diſcipulo præceptores quoque ipſos in calumniam à ſe protrahi. Procedente verò hiſtoria Tibicinem quendam inducit: tum & Apollonium ſcribit de facultatis eius modis ac nomis omnibus, vt de maxima ac grauiſſima re, oratione longa diſſeruiſſe. Veſpaſianum quoque Cæſarem narrat Apollonio perinde ac Deo cuidam ſupplicaſſe, quaſique precariò petiiſſe, vti ſe imperatorem faceret. Apollonium verò reſpondiſſe, Iam feci. Et quis non iuſto odio proſequatur inſolentiæ plenam proximámque inſaniæ vocem? ſi hic iam quaſi Deus, imperatorúmque creator, ſibi placet, ac fremit, olim nauis Ægyptiæ gubernator? (hoc enim ſe fuiſſe paulò ſuperius in ſermone cum Indis habito Apollonius ipſe aſſeruit) Cúmque ab eo quæreret imperator, quos nam philoſophos in gerendarum rerum conſilium adhibendos putaret, Boni, inquit, conſultores ad hæc erunt hi viri: Dionem, Euphratémque ſignificans. Nondum enim cum Euphrate in diſceptationem venerat: paulóque mox idem Cæſari inquit, Notiſſimi tibi homines imperator, rerúmque tuarum ſoliciti, Dion & Euphrates ad fores præſtolantur admitti. Iube & illos quæſo huic noſtro intereſſe ſermoni. Viri enim

A καὶ τίς πρὸς Ἰάρχαν σοι πόλεμος, καὶ Φραώτην, τὸν Ἰνδοὺς, οὓς ἐγὼ μόνους ἀνθρώπων θεούς τε ἡγοῦμαι, καὶ ἀξίους τῆς ἐπωνυμίας ταύτης; καὶ ἐν ἄλλαις δὲ ὁμοίως θεούς τε, καὶ διδασκάλους τἀνδρὸς ἐπιγράψαι ὁ λόγος τοὺς δεδηλωμένους, δακτυλίους τε παρ' αὐτῶν εἰληφέναι ὁμολογήσας αὐτὸν, ἐπιλέλησται νῦν. καὶ συνδιαβάλλων τοῖς διδασκάλοις τὸν μαθητὴν, οὐκ ἐπαισθάνεται. ὑποβὰς δὲ ἐν τῇ
B γραφῇ, αὐλητὴν ὑποτίθεται, καὶ τὸν Ἀπολλώνιον ὥσπερ τινὸς οὔσης μεγίστης, καὶ σοφωτάτης ἐπιστήμης, τρόπους αὐλήσεως μάλα σπουδαίως μακροῖς τοῖς διηγήμασιν εἴροντα διεξέρχεται, καὶ αὐτοκράτορα Οὐεσπασιανὸν, οἷα δὴ θεῷ προσεύξασθαι αὐτῷ ἱστορεῖ· καὶ τοῦτο μὲν, ὡς εὐχῇ εἰρηκέναι Οὐεσπασιανὸν, ποίησόν με βασιλέα. τὸν δὲ, ἀποκρί-
C νασθαι, ἐποίησα. καὶ τίς οὐκ ἂν μισήσειεν εὐλόγως τῆς ἀλαζονείας τὴν φωνὴν, μανίας τὸ μηδὲν ἀποδέουσαν, ὅτε γε ἤδη αὐτὸς θεὸς, καὶ βασιλέων ποιητὴς εἶναι φρυάττεται, ὁ τῆς Αἰγυπτίας κυβερνήτης νεώς; τοῦτο γὰρ αὐτὸς ἑαυτὸν ὁ Ἀπολλώνιος γεγονέναι τὴν ψυχὴν ἐν ταῖς πρὸς τὸν Ἰνδὸν ὁμιλίαις, μικρῷ πρόσθεν ἡμῖν δεδήλωκε. τῷ δ' αὐτῷ βασιλεῖ, οὓς ἂν αὐτὸς δοκιμάζοι τῶν φιλοσόφων,
D συμβούλους τῶν πρακτέων γνωρίσαι αὐτῷ ἀξιοῦντι, κατὰ λέξιν φησὶν ἀγαθοὶ δὲ τούτων σύμβουλοι καὶ οἵδε τοι ἄνδρες, τὸν Δίωνα δείξας, καὶ τὸν Εὐφράτην, μήπω αὐτῷ ἐς διαφορὰν ἥκοντα. καὶ αὖθις, ὦ βασιλεῦ, εἶπεν, Εὐφράτης, καὶ Δίων πάλαι σοι γνώριμοι ὄντες, πρὸς θύραις εἰσὶν οὐκ ἀφρόντιδες τῶν σῶν. κάλει δὴ κἀκείνους ἐς κοινὸν λόγον. σοφὼ γὰρ

τὼ ἄνδρε. πρὸς ἃ Οὐεσπασιανός, ἀκλείστους, ἔφη, θύρας παρέξω σοφοῖς ἀνδράσιν. εὖγε τῆς προγνώσεως τοῦ ἥρωος. Εὐφράτης νῦν ἀγαθός ἐστι, καὶ σοφός, ἐπεὶ μὴ ἐς διαφορὰν πω αὐτῷ ἐλήλυθε. εἰ δ' ἔλθοι, ὅσον οὔπω δὲ τοῦτ' ἔσται, ὅρα οἷα περὶ αὐτοῦ ὁ αὐτὸς πρὸς Δομετιανὸν γράφει, καὶ μὴν ὁπόσα γίνεται φιλοσόφῳ ἀνδρὶ κολακεύοντι τοὺς δυνατοὺς, δηλοῖ τὰ Εὐφράτου. τούτῳ γὰρ ἐντεῦθεν ἄπληστα* χρήματα. πηγαὶ μὲν οὖν εἰσι πλούτου. καὶ περὶ τῶν τραπεζῶν ἤδη διαλέγεται, κάπηλος, ὑποκάπηλος, τελώνης, ὀβολοστάτης, πάντα γινόμενος τὰ πωλούμενά τε, καὶ πωλοῦντα. ἐντετύπωται δὲ ἀεὶ ἐν ταῖς τῶν δυνατῶν θύραις, καὶ προσέστηκεν αὐταῖς πλείω καιρὸν, ἢ οἱ θυρωροί. ἀπειλήφθη δὲ καὶ ὑπὸ τῶν θυρωρῶν πολλάκις, ὥσπερ τῶν κυνῶν οἱ λίχνοι. δραχμὴν δὲ οὐδὲ φιλοσόφῳ ἀνδρί ποτε προέμενος, ἐπιτειχίζει νῦν τὸν ἑαυτοῦ πλοῦτον ἑτέροις, τὸν Αἰγύπτιον τουτονὶ βόσκων χρήμασι, καὶ ὀξύνων ἐπ' ἐμὲ γλῶτταν ἀξίαν ἐκτετμῆσθαι. Εὐφράτην μὲν δὴ καταλείπω σοι. σὺ γὰρ ἢν μὴ κόλακας ἐπαινῇς, εὑρήσεις τὸν ἄνθρωπον κακίω, ἢ ἑρμηνεύω. ὁ δὴ πρὸς τὸν πατέρα τὸν Οὐεσπασιανὸν σοφὸν, καὶ ἀγαθὸν τὸν Εὐφράτην μαρτυρόμενος, πρὸς δὲ τὸν υἱὸν ταῦτα περὶ αὐτοῦ δεξιῶν δῆλος ἂν εἴη τὸν αὐτὸν ἐπαινῶν τε, καὶ ψέγων. ἆρ' οὖν ὁ τὴν τῶν μελλόντων περιειληφὼς γνῶσιν, ἠγνόει ὃ, ἦν τε, καὶ ἔσται* ὁ Εὐφράτης; καὶ γὰρ οὐ νῦν πρῶτον, ἀλλὰ καὶ ἐπ' αὐτοῦ Οὐεσπασιανοῦ διαβάλλειν αὐτὸν ὡς δὴ τὸ ἦθος μοχθη-

κ.ἄ λί- μν χ.

A ſapientes ſunt. Ad hæc Veſpaſianus, Sapientibus, inquit, viris noſtræ ſemper fores patuerunt. ô miram ſemidei præſenſionem! ſapiens illi eſt, ac vir bonus Euphrates, quia nulladũ inter eos orta contentio. Sin verò aliqua oriatur (iamiam verò id fiet) vide quæſo, quibus illum illum apud Domitianum verbis accuſet: Quæcunque, inquit, philoſophi potentium virorum adulatores conſequi ſolent, ea nunc ſtatum fortunámq. indicant Euphra- B tis.* Plurimus illi de numulariorum trapezis eſt ſermo: caupo eſt, cupedinarius, publicanus ac fœnerator homo, ad mercatum venditionémque promiſcuè factus, ſemper foribus potentiorum affixus: diutius ibidem quam ipſi commorans ianitores: quin illis ſæpe cuſtodiendi quaſi lucernarius quidam canis à ianitoribus ipſis relictus. Neque verò drachmam ſaltem philoſopho vnquam cuiquam erogauit. Et nunc quod Ægyptium hunc ſumptibus C ſuis paſcit contráque me ſolicita: linguæ vires acuere, opes ſuas huiuſmodi amicis circumuallat ac munit. Ac de Euphrate quidem integrum tibi eſto, qua re dignus ſit, iudicare. Niſi enim tibi adulatores ſunt cordi, multo peiorem illum teſtimonio noſtro inuenies. Qui ergo apud Veſpaſianum patrem laudauit Euphratem, vt philoſophum, D vt virum bonum teſtatus, & nunc apud Domitianum filium eundem accuſat, planè arguitur, eiuſdem viri, & laudator eſſe, & reprehenſor. Illéne igitur qui præſenſione tanta rerum præditus eſt, ignorabat, qualis tunc eſſet, qualíſve in poſterum Euphrates futurus? Neque vero nunc primùm, quin & apud ipſum quoque Veſpaſianum carpere Euphratem vt ſceleſtum

*huic enim inde innumeræ pecuniæ, imò fontes ſunt opũ.

hominem voluit. Quæ verò leuitas atque inconſtantia rerum hæc eſt, cùm idem commendatione ſua apud Veſpaſianum Imperatorem egerit, auguſtas fores Euphrati philoſopho reſerari? Sed enim vt cæcis iam perſpicuum ſit, quod ad diuinationem ſpectat, probro magis à Philoſtrato Tyaneum quàm honore vllo affectum eſſe: in ceteris autem officiis laude digniſſimus inuenitur. Antiquum enim illi erga amicos liberalem ſe præbere: vbi ſcilicet nullum ſui periculum facerent. Euphratem quoque intra auguſtale admitti curauit. Mox tamen contra eundem diſceptationis gratia, quæ ſuperius dicta ſunt oblocutus. Sed hæc obiter dicta ſint. Neque enim id mea nunc agit oratio, vt Apollonium ex hac potiſſimum re accuſet, quod philoſophum tempeſtatis ſuæ celeberrimũ Euphratem, & quem hodie quoque laudant, qui philoſophiæ ſtudio detinentur, criminatus ſit. Tametſi magna hæc eſſe occaſio cuiuis poſſit Apollonium accuſandi. ſi enim Euphrates omnium iudicio philoſophus excellens habetur, non leuis occaſio datur probitatis eius laudandæ, qui Apollonij malè facta damnarit: Neque viciſſim leuior Apollonij deteſtandi, propterea quòd illius mores tali ac tanto philoſopho diſplicerent.

A ρότατον βούλεται, πῶς δὴ οὖν τοιόνδε συνίστη βασιλεῖ, ὡς καὶ ἀκλείστους αὐτῷ διὰ τὰς παρ' αὐτοῦ συστάσεις τῶν βασιλείων ἀναπεπετάσθαι τὰς πύλας; ἀλλὰ γὰρ καὶ τυφλῷ φασι δῆλον, ὡς ἄρα πρόγνωσιν μὲν συκοφαντεῖται πρὸς τοῦ συγγραφέως ὁ ἄνθρωπος, εἴη δ' ἂν ἄλλως γενναῖος, πάλαι μὲν περὶ πεῖρας ἑταίροις. ἀτὰρ καὶ τῷ Εὐφράτῃ ἐς τὰ βασίλεια πρόσοδον B κοινωνῶν. ὕστερον δὲ τῆς διαφορᾶς ἕνεκα τοιαῦτα περὶ αὐτοῦ λέγων, οὔπω μοι διαβάλλειν ὁ λόγος βούλεται τὸν ἄνδρα, ὡς ἂν τὸν Εὐφράτην συκοφαντοῦντα φιλοσόφων γενομένων τῶν καθ' ἑαυτὸν ἐπιδοξότατον, ὡς καὶ ἐς δεῦρο οἷς μέτεστι φιλοσοφίας ᾄδεσθαι. ὃ καὶ μέγιστον λάβοι ἄν τις εἰ βούλοιτο, παράδειγμα τῆς κατὰ τοῦ Ἀπολλωνίου διαβολῆς. εἰ γὰρ ὁ Εὐφράτης C παρὰ τοῖς πᾶσι φιλοσοφίᾳ διαπρέψαι ὁμολογηθείη, ὥρα μισοπονηρίαν μὲν ἐκείνου κατηγορεῖν, ἐπεξιόντος τοῖς ἀτόπως ὑπὸ τοῦδε δρωμένοις· τουτονὶ δὲ πρὸς ἐκείνου κατηγορούμενον, φαύλην περιβάλλεσθαι δόξαν, ὅτι δὴ μὴ τὸν ἀρέσκοντα τῷ φιλοσόφῳ μετῄει βίον.

CONFVTATIO LIB. VI. D

IDEM Philoſtratus ſexto volumine fabulas & portenta adducit: inquit enim Apollonium camelis inuectum vnà cum comitatu ad gymnoſophiſtas Ægyptios perueniſſe. Quo in loco, iubente, inquit, vno ex ſapientibus Nudis, vlmus Apollonium voce articulata & muliebri

ΤΟ ΕΚΤΟΝ.

ΠΑλιν ἐν τῷ ἕκτῳ παραδοξολογῶν ὁ μυθολόγος, ἄγει μὲν αὐτὸν ἅμα τοῖς ἑταίροις καμήλῳ ὀχούμενον, ἐφ' οὓς φησιν Αἰγυπτίων γυμνοὺς φιλοσόφους. ἔνθα δὴ προστάξαντος τοῦ γυμνοῦ πτελέα φησὶ τὸ δένδρον, προσαγορεῦσαι τὸν Ἀπολλώνιον ἐνάρθρῳ

καὶ θηλείᾳ τῇ φωνῇ. καὶ τούτοις γε ἡμᾶς ὁ Φιλαλήθης πιστεύειν ἀξιοῖ. εἶτα Πυγμαίους ἄνδρας ὑπὲρ τὴν τούτων ἱστορεῖ χώραν, καὶ ἀνθρωποφάγους, καὶ σκιάποδας. σάτυρόν τε πρὸς τοῦ Ἀπολλωνίου μεθυσκόμενον. ἐξ ἐκείνων αὖθις ἐπάνεισιν ἐπὶ τὴν Ἑλλάδα. ὁμιλίαι τε πάλιν αὐτῷ, καὶ προγνώσεις ἀνακοινοῦνται πρὸς Τίτον. καὶ δηχθέντα ἔφηβον ὑπὸ λυττῶντος κυνὸς, ὃν δὴ καὶ ἐμαντεύσατο ὅστις εἴη τὴν ψυχὴν, ὅτι ὁ τῆς Αἰγύπτου ποτὲ βασιλεὺς Ἄμασις, τῆς συμφορᾶς ἀπαλλάττει, μέχρι καὶ τοῦ κυνὸς ἐπιτείνας τὸ φιλάνθρωπον. ταυτὶ μὲν οὖν τὰ περὶ τῆς κατηγορίας αὐτῷ πεπραγμένα. ἐπιστῆσαι δ' ἄξιον δι' ὅλης τῆς πραγματείας, ὡς ὅτι κἂν ἀληθεύειν δοθῇ τῷ συγγραφεῖ τὰ παράδοξα, συνεργείᾳ δαίμονος ἕκαστον αὐτῷ διαπεπρᾶχθαι, τούτων σαφῶς δείκνυται. τότε γὰρ τοῦ λοιμοῦ προαισθέσθαι ἴσως μὲν οὐκ ἀπερίεργον δόξειεν εἰ καθὼς αὐτὸς ἀπὸ λεπτοτάτης, καὶ καθαρᾶς διαίτης κατείληπτο, ὡς αὐτὸς ἔφησεν· ἴσως δὲ καὶ αὐτὸ ἐξ ὁμιλίας δαίμονος αὐτῷ προμεμήνυτο. καὶ γὰρ δὴ καὶ τὰ λοιπὰ, ὅσα κατὰ πρόγνωσιν εἰληφώς τε, καὶ προειρηκὼς εἴσηκται, εἰ καὶ μυρίοις ἐλέγχοις ἐξ αὐτῆς πάρεστι τῆς τοῦ Φιλοστράτου γραφῆς εὐθύνειν, ὅμως ἵνα συγχωρηθείη καὶ ταῦτ' εἶναι ἀληθὲς κατὰ περίεργον μηχανὴν, εἴποιμ' ἂν πρὸς δαίμονος αὐτῷ παρέδρου τινὰ τῶν μελλόντων. οὐδὲ γὰρ πάντα κατειλῆφθαι. τοῦτο δὲ παρίστησι

A affata eſt. Hiſce nugis Philalethes æquum putat haberi à nobis fidem. Vltra verò Gymnoſophiſtas Pygmæos eſſe ait Anthropophagóſque & vmbripedes, Satyrúmque iiſdem in locis iuſſu Apollonij ebrium eſſe redditum. Inde autem Apollonius in Græciam rediit, vbi prædictiones quædam, ſermonéſque cum Imperatore Tito habiti referuntur, & quo pacto adoleſcens quidam à rabidi canis morſu curatus ſit, cui
B quidē cani, Amaſis Ægyptij quondam regis ineſſet anima, naturalémque adeò ſibi humanitatē, regiámque beneficentiam in canina quoque effigie retineret: quando quidem iuuenem à ſe demorſum, leniter lambendo curaturus eſſet. Hæc ab Apollonio geſta ſunt prius quàm dies illi ab accuſatoribus diceretur. Acri verò diligentia ſingulis hiſtoriæ partibus inhærendum. Nam ſi maximè vera eſſe quæ Philoſtratus
C narrat, miracula concedamus, non alia tamen ratione, quàm dæmonis auxilio, atque opera facta eſſe conſtabit. Quod enim peſtem Epheſi appetentem primus Apollonius deprehendit, ne hoc quidem fortaſſe maleficæ ſuperſtitionis erit immune. Si quemadmodum ipſe ait, ex pura, ac tenui qua vtebatur, diæta præſentire hanc potuit. Fortaſſe autem, & hoc ipſum Dæmon illi prædixit. Nam cætera ſa-
D nè omnia quæcunque ab illo diuinata, ac præuiſa ſunt, etſi refelli, ac redargui ex Philoſtrati verbis abundè poſſint, vt ea quoque eueniſſe concedam: dixerim tamen non credi quidem omnia oportere, ſed eorum nonnulla, quæ magis admittenda videantur, aſſiſtente illum dæmone prædixiſſe. Hoc autem planè hinc conſtat: propterea quòd

Apollonius non vbique perpetua diuinatione vſus deprehenditur. Nam plurimis de reb. ipſe *præ ignorantia* dubius pendet, alióſque interrogat. Quod neutiquam faciat homo futurorum maximè conſcius. Satis verò oſtenſum puto, quo in actu fabulæ reponenda ſit compreſſa ab illo peſtis Epheſiorum, cùm nihil aliud à dæmonis præſtigio fuerit. Sed enim cur & Achillis vmbra relictis beatorum inſulis ad proprium tumulum diuerſari maluerit, non intelligo. Niſi verè & hæc impuri dæmonis vmbra cenſenda ſit. Item ſentio, qui ab incontinente, ac laſciuo adoleſcente depulſus eſt, dæmonem proculdubio fuiſſe. Neque minus & Lamiam illam ſiue Empuſam dici malis, quæ Menippum inſano amore torquebat, dæmonem affirmarim maiori alteri, ac potentiori dæmoni conceſſiſſe, fortè etiam hoc pacto, & adoleſcenté de rabidi canis morſu, mente alienatum curauit, canémque nihilo ſecius ipſum dæmone malo imbutum. Patet itaque, quod ſæpe à nobis eſt dictum, cuncta illius miracula, dæmonis miniſteria eſſe. Nam quod ad puellam ſpectat ab inferis reuocatam, ſiue ad ſemianimem potius, quod & Philoſtratus ſentit, quæ conſopitam vitalis auræ ſcintillam, dum efferretur, in ſe haberet, irrorante mox pluuia excitatam: totum ſanè eſt de illius miraculis amouendum. Non enim ſicut & antè dixi, tam grande facinus, ſi modò verum fuiſſet, ita preſſum ſilentio euanuiſſet, cùm præſertim Romæ, vbi tunc Imperator agebat, factum dicatur. Infinita verò generis eiuſdem colligi de Philoſtrato queant, faciléque omnia vt fabuloſa parúmque ſibi conſtantia refutari. Verùm quia haud ita

A σαφὲς, τὸ μὴ δι' ὅλου καὶ περὶ πάντων τὴν πρόγνωσιν αὐτὸν ἀποσώζειν ἀπορεῖν δὲ ἐν πλείστοις, καὶ πυνθάνεσθαι δι' ἄγνοιαν, ὅπερ οὐκ ἂν, εἰ θείας ἀρετῆς μετῆν αὐτῷ, πεπόνθοι. καὶ αὐτὸ δὲ τὸ παῦσαι τὸν λοιμὸν, ὁποῖον εἴληχε τὸ δρᾶμα, ὅτι φάσμα, καὶ οὐδέν τι πλέον ἦν, προδεδήλωται, ἀλλὰ καὶ ὅτι ἡ ψυχὴ Ἀχιλλέως παρὰ

B τῷ αὐτοῦ μνήματι, τί ἂν διατρίβοι, τὰς ἐν μακάρων νήσοις ὡς ἂν φήσαιέ τις ἀπολειποῦσα διαγωγὰς, εἰ μὴ καὶ τοῦτο δαίμονος ἦν ἐπιφανείας παρουσία, καὶ τὸν ἀσελγοῦς δὲ μειρακίου σαφῶς ἔνοικον δαίμονα; καὶ πάλιν ἣν ἔφησεν ἔμπουσάν τε, καὶ λαμίαν ἐμπεπαρῳνηκέναι τῷ Μενίππῳ, μείζονι τάχ' ἴσως ἐξήλακε δαίμονι, ὁ-

C μοίως τε αὖ καὶ τὸν τὰς φρένας παρατραπέντα νεανίαν ὑπὸ τοῦ λυττῶντος κυνὸς, αὐτόν τε τὸν δαιμονῶντα κύνα τῇ αὐτῇ μετήλλαξε μεθόδῳ. ὥρα δὴ οὖν ὡς ἔφην, τὴν πᾶσαν αὐτῷ παραδοξοποιΐαν, ὡς διὰ δαιμονικῆς ἀπετελεῖτο ὑπουργείας. τὸ γὰρ τῆς ἀναβιωσάσης κόρης, εἴτ' ἔμπνους ὑπῆρχε, σπινθῆρα ψυχῆς κατὰ τὸν συγγραφέα, καὶ ἰκμάδα ἐπὶ τοῦ προσώπου φέρου-

D σαν, περιαιρετέον τῆς θαυματοποιΐας. οὐ γὰρ ἂν ὡς καὶ πρόσθεν ἔφην, σιωπῇ τὸ τηλικοῦτον παρεδόθη, ἐπ' αὐτῆς Ῥώμης βασιλέως ἐπὶ παρόντος γεγενημένον. μυρία μὲν οὖν καὶ ἄλλα πάρεστιν ἐκ τῶν αὐτῶν ἀναλέξασθαι συγγραμμάτων, τό, τε ἐν αὐτοῖς εὐέλεγκτον, καὶ ἀσύστατον, μυθῶδές τε, καὶ τερατῶδες ἀπευθύνειν. ὅμως ἐπεί γε οὐδὲ

πολλῆς τὰ κατὰ τὸν ἄνδρα δεῖται σπουδαιολογίας, οὐχ ὅτι γε ἐν θεοῖς, καὶ παραδόξοις, καὶ θαυμασίοις, ἀλλ' οὐδ' ἐν φιλοσόφοις παρά τισι τῆς νῦν μνήμης ὑπαρχούσης αὐτοῦ. τοῖς εἰρημένοις ἀρκεσθέντες. μετίωμεν καὶ ἐπὶ τὸ ἕβδομον περὶ αὐτοῦ σύγγραμμα.

ΤΟ ΕΒΔΟΜΟΝ.

Κατηγορεῖται δῆτα γοητείαν ὁ ἀνήρ. εἶτα Δημητρίῳ φιλοσόφῳ ἀποτρέποντι αὐτὸν τῆς ἐπὶ τὴν Ῥώμην παρόδου, μὴ πειθόμενος, ἐπαχθῆ τινα, καὶ φορτικὰ περὶ ἑαυτοῦ ὧδέ πως λέγει, ἐγὼ δὲ γινώσκω μὲν πλεῖστα ἀνθρώπων, ἅτε δὴ εἰδὼς πάντα. οἶδα δὲ ὧν οἶδα, τὰ μὲν, σπουδαίοις, τὰ δὲ, σοφοῖς, τὰ δὲ, ἐμαυτῷ, τὰ δὲ, θεοῖς. καὶ δὴ ὁ ἐν τούτοις πάντα εἰδέναι μεγαλαυχούμενος, προϊὼν, ἄγνοιάν τινων πρὸς τοῦ λόγου κατηγορεῖται. εἶτα Δάμις αὐτῷ μεταπλάττεται διὰ θανάτου φόβον, τὸν φιλόσοφον ἐπικρυπτόμενος. ἄκουε δή οὖν τοῦ συγγραφέως, ἃ περὶ αὐτοῦ φησιν ἀπολογούμενος, αἰτία μὲν ἤδη τοῦ μεταβαλεῖν Δάμιν, τὸ τῶν Πυθαγορείων σχῆμα. οὐ γὰρ κακίας γε αὐτὸ μετεῖναί φησιν, οὐδὲ μεταγνοὺς, τέχνην δὲ ἐπαινέσας, ἣν ὑπῆλθεν ἐς τὸ συμφέρον τοῦ καιροῦ. ἐπὶ τούτοις ὁ Φιλόστρατος τέσσαρας αἰτίας, τὰς δὴ δυσχερεῖς αὐτῷ πρὸς ἀπολογίαν νομισθείσας ἐκτίθησιν, ἀπὸ πλείστων ὁμολογῶν καὶ ἄλλων αὐτὰς ἀνειλέχθαι. ὧν ἡ μὲν τίς ἦν, τί δῆτα μαθὼν, οὐ τὴν αὐτὴν ἅπασιν ἔχοι στολήν. ἡ δὲ,

A magno ſtudio opus eſt profligare hominem hunc volenti, cùm non modò inter Deos admirandóſque viros locum non habeat, ſed ne inter philoſophos quidem ab aliquo viuentium reponatur. Idcirco iis contenti quæ dicta ſunt ad examen libri ſeptimi accedamus.

CONFVTATIO LIB. VII.

B VENEFICII Tyaneus, ac magiæ inſimulatur. Dehortanti verò Demetrio philoſopho Romam proficiſci, non auſcultans ille, inſolenter, ac ſuperbè ita de ſe locutus narratur. Ego mortalium cunctorum ſcio plurimum, atque ſapio: Scio enim omnia, quorum alia ſtudioſis accepta refero, ſapientibus alia, mihi alia, Diíſque ipſis immortalibus alia. Sed enim qui magnificè ita ſe iactat, hiſtoria pro- C cedente ignorare permulta conuincitur. Subinde autem Damis ipſe apud Philoſtratum mortis metum diſſimulat, quaſi Apollonium leto ſurripere atque occulere ſtudens. Sed audi quibus Hierocles verbis partes Damidis tueatur. Probabilis, inquit, ratio fuit: cur Damis à Pythagoreorum ritu deflexerit. Neque enim malitiam illi ineſſe ait, aut de Damide ſententiam mutat, ſed prudentis viri potius artem collaudat: quæ ſubeunda illi fuit, D vt ſeſe ad vtilitatem temporis accommodaret. Ad hæc Philoſtratus quatuor crimina teſtatur Apollonio fuiſſe obiecta: quæ facilè per apologiam ſolui poſſe exiſtimat, totidem ab aliis quoque collecta & enumerata affirmans. Horum primùm erat: Qua tandem diſciplina non communi veſte ceteris mortalibus vteretur: Alterum porrò, vnde

vnde hoc eſſet: vt paſſim Deus ab hominibus putaretur. Tertium, quanam ratione peſtem Epheſiis imminentem prædixerit. præterea cuius ergo in agrum noctu profectus, Arcadem ibi puerum in fruſta diſcerpſerit. Contra huiuſmodi quæſtiones ait Philoſtratus Apollonium ſeſe egregiè defendiſſe. Primùm verò tradit in vincula coniectum, ne ibi quidem ſine miraculis ſe geſſiſſe. Nam cùm Damis grauiter angeretur, vt præceptore in diſcrimen adducto, Apollonium narrat leuandi doloris gratia, ſponte ſua vinculis exemptum crus Damidi oſtendiſſe, cuius lenito dolore, rurſus idem crus vinclis inſeruiſſe. Poſt hæc à Domitiano Imperatore accerſitum eſſe in iudicium Apollonium ſcribit: obiectíſq. demum criminibus abſolutum, cùm adhuc tamen in iudicio eſſet: neſcio ſanè quo pacto, ſed importunè nimirum in huiuſmodi voces proclamaſſe, „Da & mihi ſi libet imperator abeundi locum. Sin hoc minus concedis, immitte qui corpus vinciant meum, quandoquidem colligari animam eſt impoſſibile. Imò verò ne corpus quidem meum comprehendes.
„*Nec tibi fas lati exortẽ me perdere Cæſar.*
Quibus dictis repente eundem ait è conſpectu hominum euanuiſſe, magnámque fabulæ ſuæ partem circa hæc portenta conſumit. Vbi verò de miraculo agitur exempti pedica cruris: cui nimirum per præſentiam dæmonis geſto, Damis ipſe interfuit, ait Philoſtratus. Tum denique primùm Damis perſenſit diuina Tyaneum natura ſupra hominis facultatem præditum eſſe. Neque enim tunc illum veneficè operatum. (Quomodo id enim in vinculis potuiſſet?)

A τοῦ, χάριν τοῦ ἄνθρωποι θεὸν αὐτὸν νενομίκασι. τρίτην, πόθεν προείποι Ἐφεσίοις τὸν λοιμόν. ἐπὶ ταύταις, τίνι βαδίσας, ἐς ἀγρὸν* ἀνατέμνει τὸν παῖδα τὸν Ἀρκάδα. πρὸς ταύτας δέ φησι καὶ τὴν ἀπολογίαν αὐτὸν γεγραφέναι· πρότερον δ᾽ ἱστορεῖ δεσμοῖς αὐτὸν παραδοθῆναι, καί τι θαυμαστὸν ἐνταῦθα κατεργάσασθαι· τῷ γάρ τοι Δά-
B μιδι μάλα λυπηρῷ, ὡς ἂν ἐπὶ συμφορᾷ τοῦ διδασκάλου διακειμένῳ, αὐτόματον ἐπιδεῖξαι λελυμένον τοῦ δεσμοῦ τὸ σκέλος. εἶτα πάλιν ἀναλαβόντ᾽ αὐτὸν τῆς λύπης, ἐνθεῖναι ἐς τὸ πρότερον σχῆμα τὸν πόδα. μετὰ τοῦτο, κρινόμενον αὐτὸν ἐπὶ βασιλέως Δομετιανοῦ, γράφει. εἶτα δὴ τῶν ἐγκλημάτων ἀπολυθῆναι. καὶ μετὰ τὴν τῶν ἐγκλημάτων λύσιν, οὐκ οἶδ᾽ ὅπως ἀκαίρως
C μοι δοκεῖ ἐν τῷ δικαστηρίῳ αὐτὰ δὴ ταῦτα ἀναφωνῆσαι, δὸς εἰ βούλει κἀμοὶ τόπον. εἰ δὲ μή, πέμπε τὸν ληψόμενόν μου τὸ σῶμα. τὴν γὰρ ψυχὴν ἀδύνατον, μᾶλλον δὲ οὐδ᾽ ἂν τὸ σῶμα τοὐμὸν λάβοις. οὐ γάρ με κτενεῖς, ἐπεὶ οὔτοι μόρσιμός εἰμι. καὶ δὴ ἐπὶ τούτῳ τῷ περιβοήτῳ ῥήματι ἀφανισθῆναι τοῦ δικαστηρίου φησὶν αὐτόν. καὶ ἐν τούτοις, τὸ περὶ αὐτοῦ καταστρέφει δρᾶμα. ὁ μὲν
D οὖν συγγραφεὺς ἐπὶ τοῦ κατὰ τὸ δεσμωτήριον θαύματος, κατὰ φαντασίαν ὡς ἔοικεν, ὑπὸ τοῦ παρέδρου δαίμονος τῷ Δάμιδι ἑωραμένου ἐπιφέρει λέγων, τότε πρῶτον ὁ Δάμις φησὶν ἀκριβῶς συνεῖναι τῆς Ἀπολλωνίου φύσεως, ὅτι θεία τε εἴη καὶ κρείττων ἀνθρώπου. μὴ γὰρ θύσαντά τι; πῶς γὰρ ἐν δεσμωτηρίῳ;

* χ. ἰδὼν.

A μηδὲ εὐξάμενος, μηδὲ εἰπόντα τι, καταγελάσαι τοῦ δεσμοῦ, καὶ ἐναρμόσαντα αὐτῷ τὸ σκέλος τὰ τοῦ δεδεμένου πράττειν. ἐγὼ δὲ, οὔποτ' ἂν καταγνοίην βραδυτῆτα* τοῦ φοιτητοῦ, εἰ τὸν πάντα βίον συνὼν αὐτῷ, καὶ διά τινων περιέργων ὁρῶν αὐτὸν ἀποτελοῦντα τὰ παράδοξα, οὐδέν τι διαφέρειν αὐτὸν ἡγεῖτο τῆς θνητῆς φύσεως· ἀλλ' ἔτι καὶ νῦν μετὰ τοσαύτην θαυματουργίαν τὰ B καθ' αὐτὸν ἀγνοεῖ. εἰκότως δὲ* ἀγωνιᾷ, καὶ δέδιε ὡς ὑπὲρ ἀνθρώπου μή τι πάθοι παρὰ προαίρεσιν. εἰ δὲ δὴ πρῶτον ἄρτι μετὰ τὴν τοσαύτην διατριβὴν, ὅτι δὴ θεῖος εἴη, καὶ κρείττονος ἀνθρώπου φύσεως, ξυνίησι τὴν τούτου ξυνιδεῖν ἄξιον αἰτίαν, ἣν αὐτὸς ὁ συγγραφεὺς δηλοῖ λέγων, μὴ γὰρ θύσαντά τι, μηδὲ ἐπευξάμενον, μηδέ τι τῶν ἀπορρήτων εἰρηκότα, τὸ παράδοξον C ἰδεῖν αὐτὸν πεποιηκότα. οὐκοῦν τὰ πρότερον διὰ περιέργου μηχανῆς ἐπετελεῖτο τῷ ἀνδρί. διὸ μηδὲ καταπλήττεσθαι αὐτὰ μηδὲ θαυμάζειν τὸν Δάμιν. εἰκότως δὲ νῦν τοῦτο πρῶτον πέπονθεν, ὡς ξένου τινὸς ὑπ' αὐτοῦ παρὰ τὰ συνήθη διαπεπραγμένου. πρὸς τὸ λεχθὲν δὲ τοῦ δεσμοῦ φάσμα, καὶ τὴν ἀπὸ D τοῦ δικαστηρίου ἀναχώρησιν, τὰς πρὸς Δομετιανὸν αὐτοῦ τοῦ Ἀπολλωνίου φωνὰς παραθείμην ἄν. δεσμοῖς γάρ τοι αὐτὸν παραδοθῆναι προστάξαντος βασιλέως, πάνυ γε ἀκολούθως ὁ Ἀπολλώνιος συνελογίσατο ὧδέ πως, εἰ μὲν γόητά με ἡγῇ, πῶς δήσεις; εἰ δὲ δήσεις, πῶς γόητα εἶναι φήσεις;

γρ. μεταβάλλειν ἀπὸ τῆς θνητῆς εἰς τὴν αἰωνίαν.

γρ. δ' αὖ ἀ.

A Sed ne immurmurantem quidem aliquid, aut loquentem, pedicas tamen contemptui habuiſſe: rurſúſque crure illis inſerto, colligatorum habitum ſtatúmque reſumpſiſſe: mea verò ſententia nunquam ſanè tarditatis accuſandus Damis, ſi plurimum vitæ cum Tyaneo verſatus, quia non niſi per maleficia ſuperſtitionéſq. miracula eundem perpetraſſe cognouerat: idcirco nihil eum à mortali putabat ſorte differ- B re. Sed nunc quoque poſt tantam portentorum vim, quid de illo ſentiendũ ſit, neſcit. Iure ergo optimo angitur Damis, ac timet præceptori ſuo, vt vni, ſcilicet hominum permultorum, ne quid illi aduerſi præter voluntatem contingat. Quòd ſi tamen nunc primùm Damis poſt tantum conſuetudinis diuinum eſſe Apollonium ſenſit, atque homine potiorem, inſpiciendum ſanè eſt, quanam ratione id perſentire po- C tuerit. Neq. enim reticet hanc Philoſtratus. Vidit, inquit, Tyaneum crus pedicis exoluiſſe non ſacrificiis peractis, non precibus, non arcanis myſteriis vllis prolatis. Ergo quæ prætereа multa prius effecit, malefica ſuperſtitione ſunt facta, propteréaque dum illa fierent, neque expauit, neq. admiratus eſt Damis: nunc autem iure primũ exhorruit, vt qui hoſpes intereſſet rei præter conſuetum illi ritum morémque effectæ. D Sed enim cùm hoc Tyanei præſtigio, quod ad pedicas totum ſpectat: cúmq. euanida illa de conſpectu hominũ fuga, ſermones eiuſdẽ cum Domitiano habitos libens ſanè cõtulerim. Nam cùm illum Imperator colligari iuſſiſſet, perargutè quidem atq. ad rem ita ratiocinatus narratur: Si me arbitraris magum, quanam ratione deuincies? Sin vincere me quibis, quomodo eſſe magum putabis?

Attamen ex iis quæ poſita ſunt, ita retundi viciſſim queat. Si tu magus non es, quomodo tibi crus eſt ſolutum? At ſi ſolutum, hoc eſt, quomodo non es magus? Præterea ſi vincla perpeſſus magus non eſt, at eadem egreſſus eſt magus. Ad hæc dici & illud poteſt: Si non eſt magus, quia iudicium ſubiit, at quia, & iudicium, & Imperatorem, & circumfuſos illi ſpeculatores effugit, eſt Magus. His rationibus mea quidem ſententia, ſanius accipietur; quod ad prodigium pertinet nullis cantationibus præuiis, ſacrificiíſque effectum. Sed vt Philoſtratus garrit, diuina quadam ſupra hominem facultate. verùm non ita multò pòſt, iterum merus homo arguitur. Illico enim quodam renuntiante: ſoluit te, Apolloni, vinculis Imperator, permittítque liberius quàm antea, caueam inambulare. Hic ille hominum ſorte, ſuperiorúmque futurorúmque præſenſor, *Surdi concipiens animum; ſenſúſque tacentis*, præ nimio fortaſſe, vt par eſt gaudio, præſenſionis oblitus nuntium rogat, Quis me hinc vero exoluet? Idem ego te ſoluo, inquit, Ducem me ſequere. Eſt verò operæ pretium inſpexiſſe, quàm prudenter hic noſter vates apologeticum pro ſe ſcripſerit. Vbi ignoraſſe primùm conuincitur inanem ſeſe operam deſumpturum. Putabat enim ſe ab Imperatore audiendum: eámque ob rem ſummo ſtudio concionem inſtruxerat. Cæſar tamen hanc audire non pertulit, irritámque hoc pacto Tyanei lucubrationem caſſámq. reddidit. Audi verò quo modo ſe Philoſtratus ipſum redarguat.

Orat.

A ἀντικρούσει γοῦν αὐτῷ τις ὡδέπως, ἐκ τούτων ὁρμώμενος, εἰ μὲν οὐ γόης, πῶς λέλυταί σου τὸ σκέλος; εἰ δὲ λέλυται, πῶς οὐ γόης; καὶ εἰ τῷ ὑπομεῖναι τὸν δεσμὸν οὐ γόης, τῷ μὴ ὑπομεῖναι κατ' αὐτὸν ὡμολόγηται γόης. καὶ αὖ πάλιν, εἰ ὑπομείνας τὸ δικαστήριον οὐκ γόης, τῷ δὲ διαδρᾶναι τοῦτο; καὶ τὸν ἀμφ' αὐτὸν βασιλέα λέγω, B καὶ τοὺς ἐν κύκλῳ δορυφόρους, σαφῶς ἀναπέφηνεν ὁ γόης. ὅθεν μοι δοκῶ, συνηθημένος ὁ λόγος, θεραπεύει τὸ γεγονὸς, ὡς δὴ ἄνευ θυσιῶν, καὶ ἐπῳδῶν ἀρρήτῳ τινὶ, καὶ ὑπὲρ ἄνθρωπον δυνάμει τοῦ παραδόξου πεφηνότος. ἀλλὰ γὰρ οὐκ ἐς μακρὰν αὖθις ὁ τῆς φύσεως παραθήσεται ἔλεγχος. αὐτίκα γάρ τινος ἐπιστάντος αὐτῷ, καὶ φήσαντος, ἀφίησί σε, ὦ Ἀπολλώνιε, τουτωνὶ τῶν δεσμῶν ὁ βασιλεὺς, καὶ C ἐλεύθερον δεσμωτήριον συγχωρεῖ οἰκεῖν ὁ κρείττων, ἢ ἄνθρωπος. καὶ τῶν μελλόντων προγνώστης. κωφοῦ τε ξυνιεὶς, καὶ οὐ λαλέοντος ἀκούων, ὑπὸ τῆς ἄγαν ὡς εἰκὸς περιχαρείας ἀποπεσὼν τῆς προγνώσεως, πυνθάνεται λέγων, τίς οὖν ὁ μετασκευάσων με ἐντεῦθεν; ὁ δὲ, ἐγώ ἔφη, καὶ ἕπου. εἶτα D τὸν λόγον ἀπολογίας ὁ θεόπατος μάλα γε συντάττει πεφροντισμένως, ἀγνοῶν ὅτι δῆτα ἐς μάτην αὐτῷ σπουδασθήσεται ἡ γραφή. οἴεται μὲν γὰρ ἀκουσθήσεσθαι αὐτοῦ ἀπολογουμένου βασιλέως. καὶ ὡς ἀκουσομένου γε σφόδρα πιθανῶς, παρασκευάζεται τὴν ἀπολογίαν· ὁ δὲ, ταύτην μὴ ἀναμείνας, ἐς οὐδὲν αὐτοῦ τὴν σπουδὴν κατεστήσατο. ἄκουε δὴ οὖν καὶ περὶ τούτων οἷα φησὶν ὁ ἔλεγχος.

ἐπειδὴ δὲ ὁ λόγος αὐτῷ συνεγράφη τις, ὥσπερ ὕδωρ τὴν ἀπολογίαν ἀφήσοντι, ξυνεῖλε δὲ αὐτὸν ὁ τύραννος ἐς ἃς εἴρηκα ἐρωτήσεις, ἀναγεγράφθω καὶ ὁ λόγος.

A Quando, inquit, orationem Tyaneus conſcripſit, quaſi ad aquæ tempus dicturus, compulítque eum tyrannus ad quatuor poſitas quæſtiones reſpondere, explicetur & hæc à nobis oratio.

ΤΑ ΤΟΥ ΟΓΔΟΟΥ.

ΟΡΑ δὴ πῶς τῶν μελλόντων πορρωτάτω τυγχάνων ὁ πάντα θειότατος, μετὰ πλείστης ὅσης φροντίδος, ὡς πρὸς ὕδωρ τὴν ἀπολογίαν ποιησόμενος ἐσπούδαζεν. ἀλλὰ γὰρ διεξιτητέον καὶ τὴν ἐς μάτην αὐτῷ πεποιημένην ἀπολογίαν, ἃ πολλὰ καὶ ἄλλα ἐν ταύτῃ Δομετιανῷ προσφωνῶν, ἀπαυθαδίζεται λέγων. ὡς ἄρα Οὐεσπασιανὸς σὲ μὲν βασιλέα ἐποίησεν, ὑπ' ἐμοῦ δὲ ἐγένετο. βαβαὶ τῆς ἀλαζονείας, ἣν οὔτι γε ὁ τυχὼν, ἀλλ' οὐδὲ εἰ φιλόσοφός τις ἀληθῶς, καὶ κατὰ ἀνθρωπείαν ὑπεραίρων ἐγεγόνει φύσιν, ἐθρασύνατο ἄν, μὴ οὐχὶ δίκην ἀνοίας παρὰ τοῖς ἔμφροσιν ὑποσχών. εἶτα δὲ τῆς κατ' αὐτὸν ὑποψίας ἑαυτὸν ἀπολυόμενον, ταῦτα περὶ γοήτων φησίν, ἀλλὰ τοὺς γόητας ψευδοσόφους φημί. τὰ γὰρ οὐκ ὄντα, εἶναι παρ' αὐτοῖς, καὶ τὰ ὄντα, ἄπιστα. καταμάθοι δή τις οὖν ἐκ τῆς ὅλης πραγματείας, καὶ τῶν ἐν μέρει δεδηλωμένων, πότερα ἐν θείοις, καὶ φιλοσόφοις, ἢ ἐν γόησιν αὐτὸν καταλεκτέον, πιστώσας οἷς τε αὐτὸς περὶ γοήτων, καὶ ψευδοσόφων εἴρηκε, καὶ οἷς δεδήλωκεν ἡ κατ' αὐτὸν ἱστορία; δρύες τε γὰρ, καὶ πτελέαι, ἐνάρθρῳ, καὶ θηλείᾳ φωνῇ λαλοῦσαι, καὶ τρίποδες αὐτόματοι φοιτῶντες, καὶ χαλ-

CONFVTATIO LIB. VIII.

VIDE quæſo, quid ille ſapiat futurorum longè ante præcognitor. Ille vir vſquequaque diuinus, quanta maxima potuit cura velut ad aquam dicturus apologiam
B conſcripſit. Sed accedamus ad hanc quoque diſcutiendam, quam & fruſtra iam elaboratam fuiſſe oſtendimus. Nam cùm multis per eam locis Domitianum compellet, etiam in id arrogantiæ procedit, vt dicat, Te quidem Veſpaſianus pater, ego verò illum Imperatorem feci. ô arrogantiſſimam vocem! quam ne vulgaris quidem, ac gregarius quiſquam, nedum verè philoſophus, humanámq. excedens naturam pro-
C ferre auſit, non meritas inſaniæ pœnas, prudentibus expenſurus. Subinde verò Apollonius ita expurgat ſubortam de ſe magiæ ſuſpicionem. Equidem magos, inquit, Pſeudoſophos cenſeo eſſe. Nam & quæ non ſunt, vt videantur eſſe efficiunt, & quæ ſunt, fallaci arte obducunt. Planè igitur conſtare cuiuis poteſt tum ex hiſtoria vniuerſa, tum ex iis, quæ in ea particulatim narrantur, vtrum hic in diuinos, ac ſa-
D pientes viros an inter magos prius, ac deceptores locandus ſit, vel ad ipſa quoque animum referendo, quæ ſentire is de magis videtur, vel ad ea non minus, quæ à Philoſtrato explicantur. Nam quercus, vlmíque, articulata, ac muliebri voce Tyaneum affatæ, tripodes etiam illi ſponte ſua mouentes, æreíque

pincernæ diſcumbentib. miniſtrantes, imbrium quoque dolia, ac ventorum, aquæ præterea Sandaracinæ puteus, & quæ ſunt fabulæ generis eiuſdem apud Deos Brachmanas, quos non veretur Apollonius præceptores vocare, quid demum nobis indicare videntur? An non illos quæſo, qui ea, quæ non ſunt, mentiuntur, & ea quæ ſunt, præſtigioſè ſubducũt? Hos autem cùm idem magos appellet, pſeudoſophos ac planos manifeſtè conſtituit. Aut igitur ex tot numero rationibus diuinus hic, omníque virtute excultus, ipſiſque Diis homo gratiſſimus, quippe cui licuerit ſapientiæ brauium coronare, cenſendus erit, ipſo quoq. Pythagora, & qui poſtea fuerunt, diuinior multò, ac ſapientior: aut contra pſeudoſophiæ damnatus, miſerorum multò erit miſerrimus. Diſputaſſe & illum, cùm in Ionia verſaretur, de Parcarum potentia ſcribit Philoſtratus; ita fermè cenſentem, quicquid illæ, ſcilicet, ſemel neuiſſent; adeò ſtabile eſſe, certúmque futurum, vt ſi cui imperium decreuiſſent, quod tamen ipſum penes alium cerneretur, nunquam ſic is aboleri atque interimi poterit, quin debitam ſibi poteſtatem planè arripiat. Vel vita enim functus reuiuiſcet Parcarum decreto. Quam ſententiam his ferme verbis concludit: Cui fato decretum eſt architecto eſſe, vel ſi manus ambas truncetur, euadet in architectum. Si quem etiam currendo vincere Olympia ſanctum eſt, ne ſi abſciſſo quidem is claudicet crure, victoria fraudabitur. Cui rurſus in ſagittandi arte palmam Parcæ decreuerint, hic vel captus oculis ſagittam in ſcopum deſtinabit. His præmiſſis rationibus imperatori adulans, & hæc ſubnectit:

A κεοι θεράποντες διακονούμενοι, πίθοι τε, ὄμβρων, καὶ ἀνέμων, καὶ Σανδαρακινον ὕδωρ. καὶ ὅσα ἄλλα εἰσῆκται, παρ' οἷς ἡγεῖτο θεοῖς, οὓς οὐκ ὤκνει διδασκάλους ἐπιγράφεσθαι, τίνος ἂν εἶεν παραστατικὰ, ἢ τῶν τὰ οὐκ ὄντα εἶναι, καὶ τὰ ὄντα ἄπιστα παραδεικνύντων; οὓς αὐτὸς γόητας ὀνομάζων; ψευδοσόφους ὑπάρχειν ἀποφαίνεται. ἤτοι οὖν ἐπὶ τούτοις ὁ θεῖος, καὶ ἐν-
B άρετος, καὶ θεοῖς κεχαρισμένος, τὸ σοφίας ἀναδησάμενος βραβεῖον, αὐτοῦ Πυθαγόρου, καὶ τῶν ὅσοι μετ' ἐκεῖνον, θειότερος ἀληθῶς, καὶ μακρῷ εὐδαιμονέστερος κριθείη, ἢ ἔμπαλιν, ψευδοσοφίας ἁλοὺς, κακοδαιμόνων ἀποίσεται τὰ πρωτεῖα. πάλιν δὲ τῇ γραφῇ περὶ μοιρῶν ἰσχύος φιλοσοφῆσαι αὐτὸν ἐν Ἰωνίᾳ φησὶ, διδάσκοντα οὕτως ἄτρεπτα εἶναι, ἃ κλώ-
C θουσιν, ὡς εἰ καὶ βασιλείας τούτῳ ψηφίσαιντο ἑτέρου ἤδη ὑπαρχούσης, κἂν ἀποκτείνειέ τις τοῦτον, ὡς μὴ ἀφαιρεθείη ποτὲ ὑπ' αὐτοῦ τὸ ἄρχειν, ἀλλὰ καὶ ἀναβιῶναι ἀποθανὼν, ὑπὲρ τῶν δοξάντων ταῖς μοίραις. καὶ τούτοις ἐπιλέγει αὐταῖς συλλαβαῖς, ὅτῳ πέπρωται γενέσθαι τεκτονικῷ, οὗτος κἂν ἀποκοπῇ τὼ χεῖρε, τεκτο-
D νικὸς ἔσται. καὶ ὅτῳ νίκην ἐν Ὀλυμπίᾳ δρόμου ἄρασθαι, οὗτος δ' οὐδ' εἰ πηρωθείη τὸ σκέλος, ἁμαρτήσεται τῆς νίκης. καὶ ὅτῳ ἐκλώσαν μοῖραι τὸ ἐν τοξικῇ κράτος, οὗτος οὐδ' εἰ *ἀποβάλλει τὰς ὄψεις, ἐκπεσεῖται τοῦ σκοποῦ. τούτοις τῶν ἀρχόντων κολακεύων; ἐπιφέρει, λέγων·

*γρ. ἀποβάλοι τ.

τὰ δὲ τῶν βασιλέων ἔλεγον, ἐς τοὺς Ἀκρισίους δήπου ὁρῶν, καὶ τοὺς Λαΐους, Ἀστυάγην τε τὸν Μῆδον, καὶ πολλοὺς ἄλλους * εὖ τίθεσθαι τὰ τοιαῦτα δόξαντας· ὧν οἱ μὲν, παῖδας, οἱ δὲ, ἐγγόνους ἀποκτείνειν οἰηθέντες, ἀφῃρέθησαν ἀπ' αὐτῶν τὴν βασιλείαν, ἀναφυέντων ἐπ' αὐτοὺς ἐξ ἀφανοῦς σὺν τῷ πεπρωμένῳ. καὶ εἰ μὲν ἠγάπων, κολακευτικὸν εἶπον ἄν, καὶ τάδε ἐντεθυμῆσθαι, ὅτε ἀπείληπτο μὲν ὑπὸ Βιτελλίου, κατεμπίπρατο δὲ ὁ ναὸς, τοῦ Διὸς περὶ τὰς ὀφρῦς τοῦ ἄστεος. ὁ δ' εὖ κείσεσθαι τὰ ἑαυτοῦ ἔφασκεν, εἰ μὴ διαφύγοις αὐτόν. καίτοι μειράκιον ἱκανῶς ἦσθα, καὶ οὔπω τοῦτο· ἀλλ' ὅμως ἐπὶ μοίραις ἐδόκει ἕτερα. ὁ μὲν, ἀπώλετο αὐταῖς βουλαῖς. σὺ δὲ, τὰ ἐκείνου νῦν ἔχεις. ἐπεὶ δὲ ἁρμονίᾳ κολακευτικῇ ἄχθομαι, δοκεῖ γάρ μοι τὴν ἐκρύθμον τε, καὶ οὐκ ἀφθόγγων εἶναι, τετμήσθω μοι ἥδε ἡ νευρὰ, καὶ μηδὲν ἡγοῦ τῶν σῶν ἐντεθυμῆσθαί με. διὰ τούτων γὰρ ὁμοῦ τὸν ἄνδρα κόλακα, καὶ ψεύστην, καὶ πάντα μᾶλλον, ἢ φιλόσοφον ὁ ὑπὲρ τῆς ἀληθείας περιίστησι λόγος· τοσαῦτα γὰρ πρότερον εἰπὼν κατὰ τοῦ Δομετιανοῦ, κολακεύει νῦν ὁ γεννάδας, καὶ καθυποκρίνεται, ὡς οὐδέν τι κατ' αὐτοῦ, μᾶλλον δὲ ὑπὲρ αὐτοῦ, τῶν περὶ μοιρῶν αὐτῷ, καὶ ἀνάγκης ἐν Ἰωνίᾳ κεκινημένων. ἀνάλαβε δῆτα τὴν ἱστορίαν, ὦ συγγραφεῦ. καὶ τῆς ἀληθείας διανήψας τὰ πρότερόν σοι γραφέντα λαμπρᾷ, καὶ φιλαλήθει,

γ. ἱππικ

A Quæcunque à me de imperatoribus dicta ſunt, omnia protuli in Acriſios & Laïos, Aſtyagémque Medũ & complures alios reges animum referens, qui videbantur ſublatis de medio, à quibus ſibi metuebant: ita rebus ſuis bene conſuluiſſe. Namque horum alij filios, nepotes alij peremptos eſſe, ſicuti ipſi mandauerant, opinantes, ab iiſdem illis quaſi renatis, fatalíque mox lege de improuiſo aſſurgentibus, regno deB iecti ſunt. Quòd ſi adulandi ſtudio detinerer: dicerem vtique iam tum inde futurum te Cæſarem præſenſiſſe, cùm te captum Vitellius detineret, templúmque Iouis optimi in ſupercilio vrbis conflagraret. Ille verò ſe rem bene geſturum diceret, niſi tu eius manus euaſiſſes. Atque adoleſcens tunc planè eras: neque dum talis, vt in te vlla imperij veſtigia apparerent. Verùm quia Parcis C aliter viſum eſt, Vitellius quidem ſuis conſiliis malè periit. Tu verò in illius ſorte fortunatus ceſſiſti. Sed quoniá adulatorius mihi ſomnus ingratus ſemper fuit, ac permoleſtus. (videtur enim mihi diſſonus eſſe, ac diſcors) Idcirco miſſa hæc quæſo faciamus, chordáq. hæc nobis ne malè perſtrepat, ſuccidatur. Neq; verò me arbitrare de tuo iſto ſublimi ſtatu ac potentia vnquam aliàs cogitaſſe. Ex his autem maximè verbis & adulator & D mendax, & quiduis aliud à philoſopho, ipſa hiſtoriæ fide conuincitur. nã qui olim in Ionia tam multa cõtra Domitianũ effudit: nunc eidẽ generoſus, ac fortis vir adulatur, planéque diſſimulat, quaſi ea quæ quondam apud Ionas de Parcis, & neceſſitate tractauit, minus quidẽ contra Domitianũ: ſed pro illo potius habenda ſint. Tuam hîc hiſtoriá, Philoſtrate, compellamus. Age veritatis fonte dilutá repete hanc clara & ingenua voce,

nihil eorum inde ſubducens, quæ fecit Apollonius, dixítque cùm Epheſios à Domitiano auertens, pro communi omnium ſalute inualeſcebat. Neque tutum putabat, quæ contra Domitianum per epiſtolas agenda ſuſceperat, Epheſiis omnino committi. Sed ex aliis vt ingenuum quemque, ac modeſtiſſimum nactus erat, alias alium ſeuerè ad colloquium diducens, Magni te, inquit, ſecreti miniſtrum facio. Oportet Romam ad hunc & illum proficiſcare, hæc atque illa dicturus. Déq; Parcis ac fati neceſſitate multa illos in hanc ſententiam edocebat. Quod videlicet ne domini quidem rerum Parcarum ſeriem cogere, ac immutare valeant. Quin ad æream Domitiani ſtatuam, quæ ad Meletem fluuium ſita erat, auditores conuertens, Inſane, inquit, ô quanta Parcarum fatíque ignoratione detineris! Vel ſi enim interfici iubeas eum, regnaturus qui poſt te eſt, reuiuiſcet hic tamen. Qui ergo poſt tam magniloqua verba adulator inuenitur, negátque tale quicquam à ſe imperatori dictum eſſe, quo is pacto non omnis nequitiæ illiberalitatíſque damnetur? Niſi iam planè mendaces ſunt, magíſque Apollonij reprehenſores, quàm ſtudioſi veritatis: qui hæc de illo monimentis literarum mandarunt. Vbi ſunt ergo illi Philalethis autores, eruditione magna rerum referti, veritatíſque aſſertores, Damis, inquam, Philoſophus Apollonij comes aſſiduus, Athenienſiſque Philoſtratus? Quorum hic de teſtimonio comparationis librum conſcripſit: Quos planè ſibi inuicem repugnantes, ampulloſáq; vanitatis plenos, mendaces, ineruditos,

A διηγεῖται τῇ φωνῇ, μηδὲν ὑποστειλάμενος, ὡς ἐν Ἐφέσῳ διατρίβων, ἀφίστη Δομετιανοῦ ἄνδρας, καὶ ὑπὲρ ἁπάντων ἐρρώννυε σωτηρίας. καὶ τὰς μὲν ἐπιπολαίους ὁμιλίας, οὐκ ἀσφαλεῖς αὐτοῖς ᾤετο. τὴν δὲ ἑταιρείαν τοὺς σωφρονεστάτους, ἄλλοτε ἄλλον ἀπολαμβάνων, διάκονον ἔλεγε ποιοῦμαί σε ἀπορρήτου λαμπροῦ. βαδίσαι δέ σε χρὴ

B ἐς Ῥώμην παρὰ τὸν δεῖνα, καὶ τὸν δεῖνα, καὶ διαλεχθῆναί τι. καὶ διηγεῖτο μὲν ὑπὲρ μοιρῶν, καὶ ἀνάγκης, καὶ τὸν λόγον διῄει, ὅτι μηδὲ οἱ τύραννοι τὰ μοιρῶν οἷοι βιάζεσθαι. καὶ ὡς χαλκῆς εἰκόνος ἱδρυμένης Δομετιανοῦ πρὸς τῷ Μέλητι, ἐπιστρέψας ἐς αὐτὴν τοὺς παρόντας, ἀνόητε, εἶπεν, ὡς πολὺ διαμαρτάνεις μοιρῶν, καὶ ἀνάγκης· ὃς γὰρ μετὰ σὲ τυραννεῦσαι πέπρωται, τοῦτον καὶ εἰ ἀπο-

C κτείνας, ἀναβιώσεται. ὁ δὴ μετὰ τοὺς τοιούτους διαλόγους κολακεύων τὸν τύραννον, καὶ μηδέν τι τούτων ὡς πρὸς αὐτὸν εἰρῆσθαι αὐτῷ κατιρνούμενος, πῶς οὐ μοχθηρίας ἁπάσης, καὶ ἀνελευθερίας κριθείη, εἰ μὴ ἄρα ψευδηγόρους τινὰς, καὶ κατηγόρους τοῦ ἀνδρὸς, οὐχὶ δὲ ἀληθεῖς συγγραφέας θετέον τοὺς ταῦτα μνήμῃ παραδεδωκότας, καὶ ποῦ τῆς φιλαλήθους, οἱ παιδεύσεως μὲν

D ἐπὶ πλεῖστον ἥκοντες, τὰ δι' ἀληθὲς τιμῶντες συγγραφεῖς. Δάμις τε ὁ φιλόσοφος, ὁ καὶ συνδιατρίψας τῷ δηλουμένῳ, καὶ Φιλόστρατος ὁ Ἀθηναῖος, ἀφ' ὧν ταῦτα παρατίθεται, οὓς σαφῶς οὕτως ἐναντιολογοῦντας, κομπάζοντάς τε ἀληθῶς, καὶ τοῖς μαχομένοις παρισταμένοις ψευδέσιν ἐναργῶς, καὶ ἀπαιδεύτοις, καὶ γόητας

τῆς ἀληθείας, τὸ φέγγος διήλεγξεν; ἐπὶ πᾶσι τὸν Ἀπολλώνιον ἀπαλλαγέντα τοῦ δικαστηρίου, ἐν Λεβαδείᾳ ἐλθεῖν ἱστορεῖ, βουλόμενόν τε ἐς Τροφωνίου κατελθεῖν, μὴ ἐπιτρέπεσθαι πρὸς τῶν ἐπιχωρίων, γόητα καὶ τοῦτον ἡγουμένων αὐτόν. καίτοι ἄξιον ἀπορῆσαι παραθέμενον τὰς ἐν ἀρχῇ τοῦ Φιλοστράτου λέξεις, ἐν αἷς ἀπορῶν ὅ, τι δὴ γόητα αὐτὸν ὑπειλήφασιν, αὐτὰ δὴ ταῦτα θαυμάζει λέγων, Ἐμπεδοκλέα μὲν, καὶ Πυθαγόραν, καὶ Δημόκριτον. τοῖς αὐτοῖς μάγοις ὡμιληκότας, οὔπω ὑπῆχθαι* τέχνῃ, Πλάτωνά τε παρὰ τῶν ἐν Αἰγύπτῳ ἱερέων τε, καὶ προφητῶν, πολλὰ παρειληφότα, καὶ ταῦτα τοῖς ἰδίοις ἀναμίξαντα λόγοις, οὐδαμῶς δόξαι τισὶ μαγεύειν, τουτονὶ δὲ οὔπω γινώσκεσθαι παρ' ἀνθρώποις, ὅτι δὴ ἀπὸ τῆς ἀληθινῆς ὥρματο σοφίας, μάγον δὲ αὐτὸν νενομίσθαι, τῷ μάγοις Βαβυλωνίων, Ἰνδῶν τε Βραχμᾶσι, καὶ τοῖς Αἰγυπτίων γυμνοῖς ὡμιληκέναι. τί δῆτα οὖν εἰρήσεται πρὸς αὐτὸν ὦ ἑταῖρε; πῶς δὲ τῷ ἀνδρὶ τηλικοῦτον ἐπεχαρεῖτο, ὡς μόνον γόητα πάλαι τε, καὶ νῦν νενομίσθαι εἴσετι παρὰ σοῦ τηλικούτοις ἄνδρας, οἳ τῶν αὐτῶν ὡς φὴς διδασκάλων πεπειρασμένοι, διέπρεψαν μὲν καὶ καθ' οὓς ἐγνωρίζοντο χρόνους, καὶ ἐς τοὺς μετέπειτα δὲ τῆς σφῶν φιλοσοφίας ἀοίδιμον καταλελοίπασι τὴν ἀρετὴν, εἰ μὴ ἄρα παρὰ τῶν προσηκόντων ἐχθρῶν τοῖς εὖ φρονοῦσι, φανερὸς καθεστήκει, αὐτίκα τῶν νῦν εἰσιν, οἳ περιέργοις

* χ. τέχναις,

A maleficos ipſius veritatis lumen coarguit. Poſt omnia verò quæ de illo ſcribuntur ad iudicium pertinentia, Apollonium ſcribit inde abſolutū ſeſe in Lebadiam recepiſſe. Cúmque in Trophonij ſpecum deſcendere affectaret, prohibitum ab incolis eſſe ne id facere poſſet, magum iis quoque eum eſſe cenſentibus. Hoc autem loco iure addubitet, qui ea repetat, quæ initiò ſtatim hiſtoriæ à Philoſtrato referun-
B tur. Vbi is admirans ſuſpitionem oriri potuiſſe qua magus Apollonius haberetur, ratione hac vtitur. Empedoclem, inquit, atque Pythagoram Democritúmque præterea cum iiſdem magis diuerſatos, nondum tamen technarū, maleficiiq. in opinionem vllam ſuſpitionémq. veniſſe, Platonem quoque tametſi ab Ægyptiis ſacerdotibus prophetíſq. multa deſumpſerit, quæ mox ſuis libris inſeruit, minus tamen eſſe ma-
C gum exiſtimatum. De Tyaneo autem ipſo non planè ſuis meritis digna homines opinari, neque intelligi quod ingenuæ ſapientiæ vi ad ea perpetranda ſit ductus, cauſamque eſſe huius ſiniſtræ opinionis, quòd cum Babyloniorū magis Brachmanibúſque Indorum, ac Ægyptiis Nudis ſit diuerſatus. Quid igitur Philoſtrato reſponderi amice conueniat? Nempe hoc puto. Hunccine quæſo virum tantum calumniæ
D contraxiſſe: vt magus duntaxat vna omniū voce habitus ſit præceptorib. iiſdē cum illo eruditi & clari ſuis tēporibus viguerunt, & in deciduum ſapientiæ ſuæ lumen poſteris reliquerunt, niſi prudentibus viris compertum planè fuiſſet eundē non permiſſa virtuti via nomen ſibi, autoritatémq; quæſiſſe? Neq. verò hodie quoque deſunt, qui expertos ſe dicant eius nomini inuocato magicas

ineſſe virtutes ad ſuperſtitioſa quæpiam peragenda, quibus equidem non facilè adducor vt credam.

DE MORTE APOLLONII.

SED Philoſtratus mortem Apollonij narraturus, æqua ſuperioribus hiſtoriæ locis hîc quoque ſubnectens, nihil ſe certi ſcire profeſſus eſt. Inquit enim referre alios quidem Epheſi Apollonium deceſſiſſe, alios autem in Mineruæ templo Lindiæ ciuitatis, alios in Creta inſula. Et cùm tantum caliginis de illius morte nobis offundat, vult tamen eundem viuum ad ſuperos conſcendiſſe. Nam cùm templum, inquit, ingreſſus eſſet, valuis repente occluſis, admirandi virginum cantus in hanc ſententiam exauditi ſunt. Veni, veni in cœlum, veni. Idem Philoſtratus ait non vſpiam ſe terrarum Tyanei ſepulchrum, cœnotaphiúmve ſaltem vidiſſe, cùm tamen ipſe vniuerſum orbem peragrarit. Deniq; ſentire videtur mortis immunem Apollonium eſſe. Nam & de mortis genere nihil antea certi adducit, & mox in cœlum cõſcendiſſe manifeſtè affirmat. Neq. verò mirandum iam eſt, ſi huiuſmodi virum Philoſtratus vel initio ſtatim libri totius, vt Pythagora, atque Empedocle longè maiorem, magnis ſpatiis prætergreſſum in philoſophia contendat.

CONTRA FATI NECESSITATEM.

SED quoniam circa hæc ſatis iam noſtra eſt oratio peruagata, age nunc de fato, déque Parcis ipſis pauca proferentes: videamus quid tandem ſibi is velit, cum toto opere quæ iuris noſtri ſunt tollere videatur, fatíque neceſſitatem rebus ipſis conſtituat. Nos igitur & fati & Parcarum vires articulatim tractemus. Hac enim ratione corrigi poterit, ſi qua ineſt illius do-

A μηχανὰς τῇ τοῦ ἀνδρὸς ἀνακειμένας προσηγορίᾳ καταληφθεῖσαι λέγουσιν. ἀλλ' οὐκ ἔμοιγε φίλον τούτοις προσέχειν τὸν νοῦν. ἀλλὰ γὰρ καὶ περὶ τῆς τελευτῆς τοῦ ἀνδρὸς ἀκόλουθα τοῖς προτέροις συντάττων, οὐδὲν ἀληθὲς ἐξέφηνεν εἰδέναι. τοὺς μὲν γὰρ ἐν Ἐφέσῳ τελευτῆσαι αὐτὸν ἱστορεῖ, τοὺς δὲ ἐν Λίνδῳ ἐς τὸ ἱερὸν τῆς Ἀθηνᾶς, ἄλ-
B λους δὲ ἐν Κρήτῃ. καὶ τοσαύτην ἄγνοιαν τῆς περὶ αὐτὸν τέλους καταςκεδάσας, βούλεται αὐτὸν ἐς οὐρανὸν αὐτῷ σώματι χωρῆσαι. ἐσδραμόντος γὰρ ἐς ἱερόν φησι, κλεισθῆναι τὰς πύλας, καί τινα ᾠδὴν ἀδόντων παρθένων ἐκπεσεῖν. τὸ δὲ ᾆσμα εἶναι, στεῖχε, στεῖχε ἐς οὐρανὸν, στεῖχε. λέγει δὲ ὡς μήτε κενοταφίῳ τοῦ ἀνδρός που περιτυχεῖν καίτοι τῆς γῆς ὁπόση ἐστὶν, ἑαυτὸν ἐπελ-
C θόντα. καὶ βούλεται αὐτῷ ἡ διάνοια μηδ'* ὅλως θανάτου τὸν ἄνδρα θιγεῖν. γρ. μηδέ. πρότερον μὲν γὰρ ἀμφιβάλλων περὶ τοῦ τρόπου, καθ' ὃν ἐτελεύτα, ὕστερον δὲ διαῤῥήδην καὶ ἐς οὐρανὸν αὐτὸν χωρῆσαι φάσκει. ὅθεν ὡς δὴ τοιοῦτον ὄντα, καὶ κατὰ τὸ * προοίμιον, καὶ καθ' ὅλην τὴν γραφὴν, Πυθαγόρου, καὶ γρ. τοῦ δ' ὅλης γραφῆς, Ἐμπεδοκλέους θειότερόν φησι, καὶ παρεληλυθέναι φιλοσοφίᾳ. ἀλλὰ γὰρ ἐν
D τούτοις περιγεγραμμένου τοῦ λόγου, βραχέα ἄττα περὶ μοιρῶν, καὶ εἱμαρμένης φέρε διαλάβωμεν ὅ, τι καὶ βούλεται δι' ὅλης αὐτῷ τῆς ὑποθέσεως ὁ λόγος, τὸ μὲν ἐφ' ἡμῖν ἀναιρῶν, ἀνάγκην δὲ εἰσάγων, καὶ εἱμαρμένην, καὶ μοίρας διαθρυλῶντος. ταύτῃ γὰρ ἡμῖν ἐντελῶς, καὶ ἡ ἐν δό-

γμασι ψευδοδοξία ταὐδρὸς διελεγχθήσεται. εἰ δὴ οὖν κατὰ τὸν ἀληθοῦς φιλοσοφίας λόγον, ψυχὴ πᾶσα ἀθάνατος, τὸ γὰρ ἀεικίνητον, ἀθάνατον, τὸ δ' ὑφ' ἑτέρου κινούμενον παῦλαν ἔχον κινήσεως, παῦλαν ἔχει ζωῆς· καὶ αἰτία ἑλομένου, θεὸς ἀναίτιος, τίς αἱροῖτο λόγος ἀκούειν, οὐχὶ δὲ κατὰ προαίρεσιν, ἀψύχου δίκην σώματος ἔξωθέν ποθεν κινουμένην, καὶ ὥσπερεὶ νευροσπαστουμένην ὧδε κἀκεῖσε τὴν ἀεικίνητον ἄγεσθαι φύσιν, μηδὲν μηδαμῶς ἐξ ἰδίας ὁρμῆς καὶ κινήσεως ἐνεργοῦσαν, μηδὲ εἰς ἑαυτὴν τὴν τῶν δρωμένων ἀναφέρουσαν αἰτίαν, ταύτῃ τε μήτε φιλοσοφοῦσαν ἐπαινετὴν τυγχάνειν, μήτ' αὖ ψεκτήν, κακίας ἔμπλεων καὶ πονηρίας; τί δῆτα οὖν Εὐφράτῃ λοιδορούμενος καταμέμφῃ ὦ οὗτος, εἰ μὴ παρ' ἑαυτόν, ἀλλ' ἐξ εἱμαρμένης ἐπὶ τὸ κέρδος ἐνδούς, ὡς αὐτὸς ἀξιοῖς, ὀλιγωρεῖ φιλοσοφίας; τί δὲ γόησιν ἐνυβρίζεις, ψευδοσόφους ἀποκαλῶν, ὑπὸ μοιρῶν ὡς ἤδη καθελκομένοις ἐπὶ τὸν κακοδαίμονα βίον; τί δὲ κακίαν ἁπλῶς ὀνομάζεις· καὶ πονηρός τις ἀνθρώπων οὐκ ἐν δίκῃ κρίνεται παρὰ σοὶ τὸν ἐξ ἀνάγκης εἱμαρμένον ἀποπληρῶν ὅρον. ὡς ἔμπαλιν τὸν λόγῳ Πυθαγόραν σεμνολογῶν, θαυμαστὸν ἐπιγράφῃ διδάσκαλον, τὸν μοιρῶν παίγνιον, ἀλλ' οὐκ ἐραστὴν ὄντα φιλοσοφίας, οὐκ ἀπολείπεις ἐπαινῶν; Φραώτης δὲ καὶ Ἰάρχας, Ἰνδῶν φιλόσοφοι, τί μᾶλλον παρὰ σοὶ θεῶν ἀπηνέγκαντο, δόξαν μηδέν τι παιδείας ἰδίας, μηδὲ ἀρετῆς ἀπενεγκάμενοι κλέος;

gmatis falſa ſententia : ſed eſt igitur (vt veræ philoſophiæ ratio tradit) anima immortalis. Nam quod ſemper mouetur, eſt immortale: quod autem aliud mouet, & mouetur aliunde motus quietem habens, habet & quietem vitæ, culpáque omnis & cauſa in eligentem refertur, Deus ipſe culpæ immunis. Si hæc inquam ita ſe habeant, quænam ratio obtinebit, non ex arbitrio quidem ſuo, ſed magis inuitam, veluti inanimum corpus extrinſecus, agitata filo quodam huc & illuc trahatur: perpetuo motu vigentem naturam duci, nihil vi propria motúque agentem, neque in ſe ipſam geſtorum cauſas ſuas referentem? Quis, inquam, concedat, neque maximè philoſophantem animam laudari poſſe, neque malitiæ, ac delictorum plenam culpari? Quid igitur, Apolloni, Euphratem accuſas? Quando hic, vt ſentire videris, non electione liberæ voluntatis, ſed fato impulſus eſt, vt philoſophia poſthabita, quæſtuoſus euaſerit? Cur autem vel magos ipſos conuitiis inſectaris, planos, ac pſeudoſophos appellans, ſi fato trahuntur ad miſerum & infelix viuendi genus? Quid ita mentio vlla ſceleris apud te eſt? Neque enim malus quiſquam iure damnandus, ſi quando perperam agens finem compleuit, qui ſibi ex fati neceſſitate pendebat. Sicut contra de bonis quæri etiam poteſt. Cur tu Pythagoram veneraris, vt admirabilem præceptorem? Cur hominem, inquam, Parcarum ludo magis inſignem, quàm ſapientiæ amatorem laudare non ceſſas? Quídve Indi ſapientes illi Phraotes Iarcháſque diuinis abs te honoribus digni cenſentur, ſi nullum iis propriæ doctrinæ decus aut virtutis ineſt?

Plato in Phædo.

Ariſt. de mundo.

A Cúmq; humanum genus omni culpa & peccato liberum eſſe conſtituas, cur non & Neronis, ac Domitiani fœdam inſolentiam in Parcas & fati refers neceſſitatem? Quod ſi cui fato tributum eſt, vt curſor ſit, vt ſagittarius, vt architectus: eadémque alius ratione magus, præſtigiator, ſicarius, nequam, licentioſus, proculdubio ex fati neceſſitate in hæc genera euadent. Quid igitur tantopere ambis & circumcurſas, virtutem illis prædicans, qui B emendari, corrigíque non poſſunt? Aut quid eos contra accuſas, qui non ſententia quidem ſua ac voluntate, ſed fortunæ magis arbitrio inſulſi ſunt? Age verò vt te ipſum quoque diſcutiamus. Si tibi diuinum ſatis ingenium conſecuto datum erat imperatoris gloriam ſuperare; cur quæſo ad præceptorum ludos, philoſophorúmque accedebas? Quídve apud Arabas, Babyloniorúmque magos, & Indorum C Brachmanas curioſius verſabare? Etenim vel citra vllam eorum conſuetudinem fatorum dono cuncta ſe tibi facilè ingeſſiſſent. Quid verò & iis litando, qui abs te Dei cenſentur, mellitas nequicquam placentas thuráque profundis? Cur religionem prætendens, ſocios quoque ad vota concipienda precéſque hortaris? Aut ipſe precabundus quicquam Deos expoſcis, ſi il- D los quoque fato eſſe inferiores exiſtimas? Atque magis te decuit ceteris Dijs omiſſis vni tantùm Neceſſitati, Parciſque ipſis rem diuinam facere, ſupráque Iouem ipſum has venerari. Iam verò hac ratione Dij penitus ipſi abs te tollentur: tanquam ſcilicet nulli ſint, qui prodeſſe nihil hominibus queant. Quòd ſi peſtilentiæ vis fato Epheſiis imminebat, cur tu fato aduerſa reme-

A Νέρωνος δ' ὡσαύτως, καὶ Δομετιανοῦ, τί οὐχὶ μοίραις, καὶ ἀνάγκῃ, τὴν ἀκόλαστον περιάπτεις ἀγερωχίαν, πάσης αἰτίας, καὶ παντὸς ἐγκλήματος ἐλευθερῶν τοὺς ἄνδρας; ἀλλὰ καὶ εἴ τῳ πέπρωται ὡς φὴς δρομικῷ, καὶ τοξικῷ, καὶ τεκτονικῷ. οὕτω δὴ γοῦν γόητι τὸν τρόπον ὄντι, μάγον ἀναφανῆναι, μιαιφόνῳ τέ, καὶ πονηρῷ, καὶ ἀκολάστῳ, πάντως που ἐξ ἀνάγκης τοιόσ- B δέ τις ἀποβήσεται. τί δῆτα οὖν περινοστῶν, τοῖς μὴ οἵοις τε τυχεῖν διορθώσεως, ἀρετὴν περικηρύττοις; ἢ τί καταμέμφῃ τοῖς τὴν μοῖραν, ἀλλ' οὐ τὴν προαίρεσιν ἀτοπωτάτοις; τί δὲ καὶ εἰ αὐτῷ σοι πέπρωτο θείῳ ὄντι τὴν φύσιν, ὑπερᾶραι βασιλέως δόξης, ἐς διδασκάλων ἐφοίτας; καὶ φιλοσόφων, Ἀραβίοις* τέ, καὶ Βαβυλωνίων μάγοις, κ. Ἀραβίαν C καὶ σοφοῖς Ἰνδῶν ἐπολυπραγμόνεις; πάντα* γάρ που καὶ τῶν τούτων δίχα κοινω- κ. πάντως νίας τὰ ἐκ μοιρῶν ἐτελεῖτό σοι· τί δὲ καὶ οἷς νομίζεις θεοῖς, τὰ μελιτοῦττα, καὶ τὸν λιβανωτὸν ἐς μάτην ῥίπτεις, εὐσέβειάν τε ἐπιμορφαζόμενος, ἐπ' εὐχὰς τρέπεσθαι τοὺς ἑταίρους παρορμᾷς; αὐτός τε εὐχόμενος, τί παρὰ θεῶν αἰτεῖς, ὁπότε καὶ τούτων τὴν εἱμαρμέ- D νην ὁμολογεῖς κρατεῖν; καὶ μὴν ἔδει τοὺς ἄλλους θεοὺς παραμειψάμενον, Ἀνάγκῃ μόνον, καὶ μοίραις θύειν, καὶ τοῦ Διὸς αὐτοῦ μᾶλλον τὴν εἱμαρμένην προτιμᾶν. οὕτω δ' ἂν σοι θεοὶ μὲν οὐκ ἔτ' ἂν ἦσαν, καὶ εἰκότως, ἅτε μηδὲ ἀνθρώποις οἷοί τε ὠφελεῖν. ἀλλὰ καὶ εἰ ἐπέπρωτο τοὺς Ἐφεσίους ἁλῶναι λοιμῷ πολίτας, τί τἀναντία

νομοθέτην, παρακρούεις τὴν εἱμαρμένην; μᾶλλον δὲ πῶς ὑπερῆρας τὴν μοῖραν, τρόπαιον ὥσπερ κατ' αὐτῆς ἀράμενος; εἰ δὲ καὶ τῆς Κλωθοῦς ἐπὶ τῇ κόρῃ τὸ νῆμα πέρας εἰλήχει, πόθεν ἐξ ὑπαρχῆς μετὰ θάνατον ἀναδησάμενος τῷ μίτῳ τὸν ἄτρακτον, ζωοποιὸς αὐτῇ παραπέφηνας; ἀλλ' ἴσως μοῖραι καὶ σεαυτὸν ἐπὶ ταῦτ' ἦγον. οὔτι πω φήσεις κατ' ἀξίαν, πολλοῦ γε καὶ δεῖ, ὃς περὶ τῆς ἐς τουτὶ τὸ σῶμα παρόδου, τὴν ἐν θαλάττῃ, καὶ κύμασι διατελούντων γεγονέναι σεαυτὸν λέγεις, ἀλλ' ἐξ ἀνάγκης ὡς εἰκὸς καὶ τοῦτο, οὔκουν θαυμάσιος, οὔτε τῆς περὶ σὲ τῆς γενέσεως, καὶ τροφῆς, οὔτε τῆς ἐγκυκλίου παιδείας, οὔτε τῆς ἐν ἀκμῇ σώφρονος ἀγωγῆς, οὐκ ἀσκήσεως τῆς ἐν φιλοσοφίᾳ. ἦν δ' ἄρα τις μοιρῶν ἀνάγκη καὶ ἐς Βαβυλωνίους ἐλαύνουσα· ὠθούμενος δ' ὥσπερ καὶ τὴν Ἰνδῶν ὡμίλεις σοφοῖς, καὶ ἐπὶ τοὺς Αἰγυπτίων δὲ γυμνούς, οὐχ ἡ προαίρεσις, οὐδ' ὁ φιλοσοφίας πόθος· μοῖραι δὲ ἦγον ἄγχουσαι καὶ ἐπὶ τὰ Γάδειρα, καὶ τὰς Ἡρακλείους στήλας, ἑῶόν τε, καὶ ἑσπέριον Ὠκεανὸν ἀλᾶσθαι, καὶ αὐταῖς ἀτράκτοις ἐς μάτην ἐξεβιάζετο περιστρέφεσθαι. εἰ δὲ δὴ μετειληφέναι τι σοφίας αὐτὸν ἐκ τούτων εἴποι τις, μοῖραι καὶ τούτων αἰτία, καὶ οὐκ ἔτ' ἂν ἐν φιλομαθέσιν ὁ ἀνὴρ καταλεχθείη, οὐδ' ἂν εὐλόγως θαυμασθείη, τῷ οὐ κατὰ γνώμην, ἀλλὰ κατ' ἀνάγκην αὐτῷ προσελθούσης φιλοσοφίας. ἐν ἴσῳ δ' ἂν συγκρινόμενος εἴη κατ' αὐτὸν Πυθαγόραν αὐτός· καί τι στρατιῶδες, καὶ ἀπερριμμένον ἀνδράποδον· Σωκρά-

A dia proferens, fatum repellebas? Aut qui potius in amouenda peſte, Parcas ipſas mortémque viciſti, quaſique trophæum aliquod de illius victoria ſuſtuliſti? Si & in defuncta puella Clothus erant iam ſtamina prorſus abſumpta, quo tu pacto fuſum nouo iterum filo ambire, illique eſſe viuificus potuiſti? Sed te fortaſſis eædem Parcæ ad hæc agenda ducebant. Non puto hæc ad tuam facere dignitatem concedes. Longè enim abeſſent à B præſtantiæ tuæ laude, & tamen antequam in corporis huius molem membráque redires, fuiſſe te olim dicis ex eo genere hominum, qui in mari & nauigatione verſantur. Sed hoc quoque veriſimile eſt neceſſitate domina factum eſſe. Nihil ergo quod admiremur adducet educatio illa tua, natalis dies, circularis doctrina, frugalis diæta, ſummum philoſophiæ ſtudium. Neceſſitas ergo te, non amor ſapientiæ, C non voluntas in Babylonios egit: fatóque impulſus magis, quàm diſcendi cupiditate ad Indorum, Brachmanas & Ægyptiorũ Nudos appuliſti. Parcis etiam tribuendũ quòd Gades, Herculeáſq. columnas quòd Eoum Oceanum, quòd heſperium permeaſti, quaſi te illæ ſtamine ſuo implicitum ad hæc loca deuoluerint. Quòd ſi quis eum dicat per huiuſmodi errores ad ſapientiæ participatum aliquem perueniſſe, in D fortunam ſcientia referetur, neq. ſtudioſis Tyaneus accedet. Meritóque admirari illum deſinemus, cùm ſapientia illi non ſtudio, ſed neceſſitate aduenerit. In eadem trutina collocari & Pythagoras ipſe poterit, & fœdiſſimum, quódque viliſſimúmque mancipium. Nihil etiam

à Socrate ipſo diſtabunt, qui Socratem capitali iudicio condemnarunt, quanquam Socrates mortem pro philoſophia pertulerit. Non Diogenes ab Attica iuuentute, non vt ſemel dicam, ſtultus à ſapiente, iuſtus ab iniuſto, laſciuus à continente, timidus à forti viro diſtabunt, ſi horum omnium mores Parcarum ludo, fatíque proueniunt: ſed enim contra hæc præco veritatis clamauit. Heus homines mortale & pollutum genus, quonam vos incontinentiæ ducit vini meri potatio? deſinite demum ebrietatis, merúmque diluite, rectámque mentis aciem intendentes veritatis auguſtam faciem contemplamini. Fas enim non eſt ſibi ipſi repugnare veritatem, ac diſſentire: neque duobus inter ſe maximè contrariis datis, eandem vtriuſque cauſam eſſe. Dei certò prouidentia omnia complectitur, ac continet; legibúſque diuinis machina totius mundi diſponitur: viſque animæ rationalis, ac finis hominem ſui ducem ipſius, dominum, iudicémque conſtituit: docéntque nos naturæ leges, ac ſapientum dogmata philoſophorum, rerum alias penes nos eſſe, alias verò non eſſe. Penes itaque nos illa eſſe cenſentur, quæ ex electione actúque proueniunt, quæque natura libera ſunt, vt impediri, ac inhiberi non queant. Quæcunque igitur iuris noſtri non ſunt, infirma dixeris, ſeruientia, prohiberi facilia, aliena, cuius generis ea, quæ circa corpus ſe habent, externáque ſunt, animæ ſimul & rationis expertia, & quæ demum ſubſtantiam habent, à peculiari hominum, propriáque natura longè ſeiunctam, rurſus autem, & ad ea quæ noſtri ſunt iuris propria nobis ineſt voluntas, ad alterutram partem

Plato de legib.

A τῆς αὐτῆς φιλοσοφίας ὑπεραποθνήσκων, καὶ οἱ τοῦτον θανάτου ἄξιον γραψάμενοι, Διογένης τε, καὶ τὰ Ἀθηναίων μειράκια, καὶ ἁπλῶς εἰπεῖν, ὁ σοφώτατος, οὐκ ἂν διαφέροι τοῦ ἀφρονεστάτου, καὶ ὁ ἀδικώτατος, τοῦ δικαιοτάτου, ὅ, τε ἀκόλαστος, τοῦ σωφρονεστάτου, καὶ ὁ δειλότατος, τοῦ ἀνδρειοτάτου, εἱμαρμένης, καὶ μοιρῶν, B παιγνίων τούτων ἁπάντων ἀναδεδειγμένων; ἀλλὰ γὰρ πρὸς ταῦτα ὁ κῆρυξ τῆς ἀληθείας βοήσεται, λέγων, ὦ ἄνθρωποι, θνητὸν, καὶ ἐπίκαιρον γένος, ποῖ δὴ φέρεσθε, τῇ τῆς ἀκρασίας ἄκρατον ἐμπόντες; λήξατέ ποτε, καὶ διανήψατε τῆς μέθης, καὶ διανοίας ὀρθοῖς ὄμμασι τὸ σεμνὸν τῆς ἀληθείας ἐνοπτεύσασθε πρόσωπον. οὐ θέμις ἀλήθειαν πολεμεῖν ἑαυτῇ, καὶ μάχεσθαι, οὐδὲ δυοῖν ἐναντιωτάτοιν μίαν ὑφεστάναι καὶ C τὴν αὐτὴν αἰτίαν, τῆς τοῦ θεοῦ προνοίας τὰ πάντα κρατούσης. θείοις νόμοις διατέτακται τὸ πᾶν. ἀνθρώπων τε ψυχῆς ὅρος, αὐτοκράτορά τε κριτὴν, ἡγεμόνα τε, καὶ κύριον αὐτὴν ἑαυτῆς καθίστησι, φυσικοῖς νόμοις, καὶ φιλοσόφων δόγμασιν ἐκδιδάσκων, ὡς ἄρα τῶν ὄντων τὰ μὲν ἐστὶν ἐφ' ἡμῖν, τὰ δὲ, οὐκ ἐφ' ἡμῖν· καὶ ἐφ' ἡμῖν μὲν ὅσα γένοιτ' ἂν κατὰ προαίρε- D σίν τε, καὶ πρᾶξιν, ἃ καὶ φύσει ἐλεύθερα, ἀκώλυτα, ἀπαρεμπόδιστα τυγχάνει. τὰ δὲ οὐκ ἐφ' ἡμῖν, ἀσθενῆ, δοῦλα, κωλυτὰ, ἀλλότρια, ἃ καὶ περὶ τὸ σῶμα, καὶ τὰ ἐκτὸς, ἄψυχά τε ὄντα, καὶ ἄλογα, καὶ πάντῃ τῆς ἰδίας τοῦ λογικοῦ ζώου φύσεως ἀλλοτρίαν τὴν ὑπόστασιν ἔχει· τῶν δὲ ἐφ' ἡμῖν, τὴν ἐπὶ θάτερα ὁρμὴν ἀρετῆς τε, καὶ κακίας,

ἕκαστος ἐν αὑτῇ κέκτηται προαιρέσει. καὶ τὸ μὲν τῶν ὅλων δεσπόζον τε, καὶ ἡγεμονοῦν, εὐθέως περαίνει κατὰ φύσιν περιπορευόμενον. τῷ δ' ἀεὶ συνέπεται δίκη τῶν ἀπολειπομένων τοῦ θείου νόμου τιμωρός. τῶν δ' ἐπὶ τὰς πράξεις ὁρμῶν, οὐ μοίρας, οὐδὲ εἱμαρμένης, οὐδ' ἀνάγκης, αἰτία ἑλομένου, θεὸς ἀναίτιος. εἰ δὴ θρασύνοιτό τις τὴν ἐφ' ἡμῖν ἀρετὴν πολεμῶν, μὴ παρακαλυπτέσθω. ὅσος ἀθεότητα ἀναφανδὸν ἐξαγορευέτω, μὴ πρόνοιαν, μὴ θεόν, μηδέ τι ἄλλο, πλὴν μοιρῶν, καὶ ἀνάγκης ὁμολογῶν. καὶ τὰ ἀκόλουθα τούτοις γυμνῇ προσκαταλεγέτω κεφαλῇ, μὴ σοφόν, μὴ ἄφρονα, μὴ δίκαιον, μὴ ἄδικον, μὴ ἐνάρετον, μὴ φαῦλον, μὴ γόητα, *θεῖον ἄνθρωπον γίνεσθαι φύσει, μὴ φιλοσοφίαν εἶναι, μὴ παιδείαν, μηδ' ὅλως, τέχνην τινά, μηδ' ἐπιστήμην, μήτ' ἄλλον τὴν φύσιν ἀγαθόν, ἢ πονηρὸν ἀποκαλείτω· πάντα δὲ συλλήβδην ἀνάγκῃ, καὶ μοιρῶν ἀτράκτοις περιδινεῖσθαι. ἄθεος δῆτα, καὶ δυσσεβὴς ὅσος ἐν εὐσεβῶν, καὶ φιλοσόφων ἀπογεγράφθω κριτηρίῳ. εἰ δ' ἐπικαλυπτόμενος ἕτερα, δοξάζειν ἐπιχειρεῖ πρόνοιαν, καὶ θεούς, μοῖραν δ' ἐπὶ τούτοις, καὶ εἱμαρμένην, τοῖς ἀνακηρύττοι, μαχομένοις, καὶ ἐναντίοις παριστάμενος δόγμασιν ἐνάγεσι, *δίκην ἀνοίας παρασχών, καταγεγράφθω. ταῦτα μὲν οὖν ταύτῃ. εἰ δ' ἐπὶ τούτοις ἐν φιλοσόφων διατριβαῖς ἀξιοῖεν ἔτι καταλέγειν τινὲς τὸν ἄνδρα, λέξεται* ὡς ἂν εἰ ἀποκαθήροι ἑαυτὸν τῆς ἔξωθεν λύμης, καὶ τῆς ἀπὸ τῆσδε τῆς γραφῆς ἐπεισκυκλου-

χ. μὴ τὸν ὂν ἄνθρωπον γ.

χ. ἐν αἰτίλοις.

χ. κινήξεται

A ſcilicet vel virtutẽ vel vitium delectu libero declinãdi. Deus porrò dominus rerum omnium princepſq. recta ratione ſingula tranſigit, ſecundum naturam per omnia circumcurrens. Hunc iuſta ſemper vltio comitatur, graui eos qui à diuina lege diſceſſerint, ſupplicio punitura, motus verò ipſos, quibus ad agendas res incitamur, non Parcarum fatíve neceſſitas parit, culpa certè omnis ab electione eſt noſtra, Deus ipſe culpæ immunis. B Quod ſi quis huic ſentẽtiæ aduerſus, quæ iuris noſtri ſunt, tollere auſit, iã hic pudore nullo detentus, ſuam manifeſtè fateatur impietatẽ: paſſimq; prædicet non prouidentiã eſſe, non Deum nec quicquã aliud præter fati neceſſitatem, & quæ huic proxima ſunt, nuda fronte pronuntiet, id eſt, non ſapientẽ dari, non ſtultum, non æquum, non iniquum, non officioſum, non prauum, non magum hominem, non diuinum ad hominis in- C geniũ naturámq. pertinere: neq. verò philoſophiã eſſe aut doctrinã vllam, non artem penitus, non ſcientiam, non mali boníve diſcrimen à natura cõſtitui, ſed confusè omnia circumuolui neceſſitate domina, & Parcarũ fuſis. Nihilq. ſit iam rei, quin Atheus hic, prophanúſq. in ſapientũ numero, ac piorum hominum reponatur. Si quis autem cetera quidẽ diſſimulet, prouidentiam verò diuinam fateatur, & colat: ita tamen vt Parcas D quoque ac fati neceſſitatem vnà admittat; is cum pugnantibus, ac maximè contrariis dogmatis flagitioſiſq. teneatur meritas inſaniæ pœnas expendat. Atq; hæc quidem ita vt tradidi, accipienda ſunt. Si quis igitur cùm hæc ita ſe habeant inter philoſophos Tyaneum reponat, hoc ſibi prædictũ ſciat, ſi quidem illi adimat ſuperfluum laudis apparatum, quali ſcilicet hunc Philoſtrati hiſtoria

amiciuit, nullam fore prorſus à nobis inuidiam: ſi autem quis eum inſumat, veritatis metas egreſſus, ſupra facultatem philoſophi Deum aſſerere, is per imprudentiam magiæ nota hominem infamabit. Sicut & hæc ipſa, quæ de illius vita, ac moribus fabuloſè ſcribuntur, non aliud ſanè à prudentibus viris, quàm calumniæ argumenta, cenſenda ſunt.

A μένης αὐτῷ σκευῆς, φθόνος πᾶς αὐτῆς ἐκποδὼν ἂν εἴη. ὅρους δὲ εἰ ἀληθείας περιϊών τις, ὑπὲρ φιλοσόφους ἐκθειάζειν αὐτὸν πειρῷτο, λάθοι ἂν αὐτῷ γόητος ἀτεχνῶς διαβολὴν ἐπεντρίβων, ὡς ταυτὶ τὰ συγγράμματα σοφιστικοῖς ἀναπεπλασμένα, οὐ πλέον ἐλέγχου, καὶ δεινῆς τἀνδρὸς διαβολῆς, παρὰ τοῖς νοῦν ἔχουσιν ἔμοιγε δοκεῖ περιέχειν.

FINIS.

Scholium Græc. in Cod. Reg. adſcriptum ad hæc verba, θαυμάζω οὖν *&c. p.* 434. C.

ὅσῳ βέλτιον καὶ συνετώτερον ἡμεῖς ἐκδεχόμεθα τὰ τοιαῦτα, καὶ ἃ * περὶ τῶν ἐναρέτων ἐγχαινίων γενόμενα ἀνδρῶν, καὶ ἐπὶ τούτοις * τῶν προσηκοντισίοι, Ἀριστέα, καὶ Πυθαγόρα, καὶ αὖ ἀρχαιοτέρους παρῆχθαι, ἐπιφέρει λέγων. ἀλλ' ἐπὶ τῶν προσγενῶν ἡμῖν κατὰ τὴν Νέρωνος βασιλείαν, Ἀπολλώνιος ἤκμασεν ὁ Τυανεὺς, ὃς ἐκ παιδὸς κομιδῇ νέου, καὶ ἀφ' οὗπερ ἐν Αἰγαῖς τῆς Κιλικίας ἱερὰ*, τά τε τῶν φιλανθρώπων Ἀσκληπιοῦ, πολλὰ καὶ θαυμαστὰ διεπράξατο, ὧν τὰ πλείω παρεὶς, ἡμῶν ποιήσομαι μνήμην· εἶτα καταλέγει ἀπὸ πρώτου ἀρξάμενος τὰ παράδοξα· μεθ' ἃ καὶ ἐπιλέγει ταῦτα κατὰ λέξιν. τίνος οὖν ἕνεκα τούτων ἐμνήσθην· ἵνα ἐξῇ συγκρίνειν τὴν ἡμετέραν ἀκριβῆ καὶ βεβαίαν ἐφ' ἑκάστῳ κρίσιν, καὶ τὴν τῶν χριστιανῶν κουφότητα. εἴπερ ἡμεῖς μὲν τὸν τοιαῦτα πεποιηκότα, οὐ θεόν· ἀλλὰ θεοῖς κεχαρισμένον ἄνδρα ἡγούμεθα. οἱ δὲ δι' ὀλίγας τερατείας τινὰς τὸν Ἰησοῦν θεὸν ἀναγορεύουσι. τούτῳ ἐπιφέρει μεθ' ἕτερα φάσκων· κἀκεῖνο λογίσασθαι ἄξιον. ὅτι τὰ μὲν τοῦ Ἰησοῦ, Πέτρος καὶ Παῦλος, καί τινες τούτων παραπλήσιοι κεκομπάκασιν ἄνθρωποι, ψεῦσται καὶ ἀπαίδευτοι καὶ γόητες. τὰ δὲ Ἀπολλώνιος Μάξιμος ὁ καὶ Δάμις ὁ φιλόσοφος ὁ συνδιατρίψας αὐτῷ· καὶ Φιλόστρατος ὁ ἕνεκα παιδεύσεως μὲν, ἐπὶ πλεῖστον ἥκοντες· τὸ δ' ἀληθὲς τιμῶντες διὰ φιλανθρωπίαν ἀνδρὸς γενναίου.

ΦΛ. ΦΙΛΟΣΤΡΑΤΟΥ
ΒΙΟΙ ΣΟΦΙΣΤΩΝ.

FLAVII PHILOSTRATI
VITÆ SOPHISTARVM.

FED. MORELLVS PROFESS. REG. ANT. BONFINII INTERPRETATIONEM PARTIM SEXCENTIS NAEVIS mendiſque purgauit; partim eius loca ſuam appoſuit.

A

In epiſt. Pauo. inf. p. 495.

AD ILLVSTRISSIMVM Conſulem Antonium.

EOS qui ſub Sophiſtarum nomine, philoſophiæ incubuerunt; & propriè Sophiſtas appellatos in duos libros tibi retuli: cùm ſcirem cognationem, cum hac arte tibi eſſe; quippe cuius genus ad Herodem refertur. Neque etiam earum rerum immemor, quas Antiochiæ ſummo ſtudio quandoque à Sophiſtis accepimus. Parentes herclè non omnium deſcripſimus, ſed eorum tantùm; qui à claris parentibus nati ſunt. Scio enim Critiam Sophiſtam non de parentibus, ſed Homeri tantùm cum patre feciſſe mentionem. Quando miraculum editurus erat, dum Homeri patrem fluuium eſſe diceret. Alioquin haud operæ prætium eſt multa ſcire volenti, patrem alicuius noſcere, eius verò virtutes & vitia ignorare. *& in quod hic rectè feceris, & in quo lapſus fueris aut caſu, aut conſultò. Hæc verò ſcripſi ad te, Conſul, optime; vt iſta lucubrat.*

ΤΩι ΛΑΜΠΡΟΤΑΤΩι ὑπάτῳ Ἀντωνίῳ, Φιλόστρατος.

ΤΟΥΣ ἐν δόξῃ τοῦ * φιλοσοφῆσαι σοφιστεύσαντας, καὶ τοὺς οὕτω κυρίως προσρηθέντας σοφιστάς, ἐς δύο βιβλίους ἀνέγραψά σοι γινώσκων μὲν, ὅτι καὶ γένος ἐστί σοι πρὸς τὴν τέχνην, ἐς Ἡρώδην τὸν σοφιστὴν ἀναφέροντι· μεμνημένος δὲ καὶ τῶν κατὰ τὴν Ἀντιόχειαν σπουδασθέντων ποτὲ ἡμῖν ὑπὲρ σοφιστῶν. πατέρας δὲ προσέγραψα μὰ Δί' οὐ πᾶσιν, ἀλλὰ τοῖς ἀπ' εὐδοκίμων. οἶδα γὰρ καὶ Κριτίαν τὸν σοφιστὴν οὐκ ἐκ πατέρων, ἀλλ' Ὁμήρου δὴ μόνου σὺν τῷ πατρὶ ἐπιμνησθέντα· ἐπειδὴ θαῦμα δηλώσειν ἔμελλε πατέρα Ὁμήρου ποταμὸν εἶναι. καὶ ἄλλως, οὐκ εὐτυχὲς βουλομένῳ πολλὰ εἰδέναι, πατέρα μὲν τοῦ δεῖνος ἐξεπίστασθαι, καὶ μητέρα, τὰς δὲ περὶ αὐτὸν ἀρετάς τε, καὶ κακίας οὐ γινώσκειν. μηδ' ὅ τι κατώρθωσέ τε οὗτος, ἢ ἐσφάλη ἢ τύχῃ;

* ἐν. τῷ σοφίσαι φιλοσοφήσαντας.

B

C

ἡ γνώμη. τὸ δὲ φρόντισμα τοῦτο, ἄριστε ὑπάτων, καὶ τὰ ἄχθη σοι κουφιεῖ τῆς γνώμης, ὥσπερ ὁ κρατὴρ τῆς Ἑλένης τοῖς Αἰγυπτίοις φαρμάκοις. Ἔρρωσο Μουσηγέτα.

ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

ΤΗΝ ἀρχαίαν σοφιστικὴν, ῥητορικὴν ἡγεῖσθαι χρὴ φιλοσοφοῦσαν. διαλέγεται μὲν γὰρ ὑπὲρ ὧν οἱ φιλοσοφοῦντες. ἃ δὲ ἐκεῖνοι τὰς ἐρωτήσεις ὑποκαθήμενοι, καὶ τὰ σμικρὰ τῶν ζητουμένων προβιβάζοντες, οὔπω φασὶ γινώσκειν· ταῦτα ὁ παλαιὸς σοφιστὴς, ὡς εἰδὼς λέγει. προοίμια γοῦν ποιεῖται τῶν λόγων· τὸ οἶδα, καὶ τὸ γινώσκω· καὶ πάλαι διέσκεμμαι· καὶ βέβαιον ἀνθρώπῳ οὐδέν. ἡ δὲ τοιαύτη ἰδέα τῶν προοιμίων, εὐγένειάν τε προηχεῖ τῶν λόγων, καὶ φρόνημα, καὶ κατάληψιν σαφῆ τοῦ ὄντος. ἥρμοσται δὲ ἡ μὲν, τῇ ἀνθρωπίνῃ μαντικῇ, ἣν Αἰγύπτιοί τε, καὶ Χαλδαῖοι, καὶ πρὸ τούτων, Ἰνδοὶ ξυνέθεσαν, μορίοις ἀστέρων στοχαζόμενοι τοῦ ὄντος. ἡ δὲ, τῇ θεσπιῳδῷ τε καὶ χρηστηριώδει. καὶ γὰρ δὴ καὶ τοῦ Πυθίου, ἀκούειν ἔστιν, Οἶδα δ' ἐγὼ ψάμμου τ' ἀριθμὸν, καὶ μέτρα θαλάσσης. καὶ, τεῖχος Τριτογενεῖ ξύλινον διδοῖ, Εὐρύοπα Ζεύς. καὶ, Νέρων, Ὀρέστης, Ἀλκμαίων, μητροκτόνοι. καὶ πολλὰ τοιαῦτα, ὥσπερ σοφιστοῦ λέγοντος. ἡ μὲν δὴ ἀρχαία σοφιστικὴ, καὶ τὰ φιλοσοφούμενα ὑποτιθεμένη διῄει αὐτὴ ἀποτάδην, καὶ ἐς μῆκος. διελέγετο μὲν γὰρ περὶ ἀνδρίας· διελέγετο δὲ, περὶ δικαιότητος, ἡρώων τε πέρι, καὶ θεῶν, καὶ ὅπη ἀπεσχημάτισται ἡ ἰδέα τοῦ κόσμου. ἡ δὲ μετ' ἐκείνην, ἣν οὐχὶ νέαν, ἀρχαία γὰρ, δευτέραν δὲ μᾶλλον προσρητέον,

A neque mente deciperes: ſed vt iſta lucubratio grauiſſimos animi labores, veluti Helenæ crater *medicamentis* Ægyptiis, tibi quandoque leuaret. Vale Muſarum princeps.

LIBER PRIMVS.

PRISCAM Sophiſtarum artem, eſſe Rhetoricā philoſophiæ deditam putandum eſt. Nam & de his, de quibus philoſophi, diſputat. Nam quæ illi per interrogationes ſupponunt, & breuiter in quæſtionem adB ducunt, ea ſe ignorare dicentes, hæc antiquus ipſe Sophiſta, tanquam ſi nouerit, eloquetur. Proœmia igitur hoc modo fiebant. Scio equidem, & cognoſco: ac rurſus, *Perpendi.* itémque, Nihil homini firmum. Hoc proœmiorum genus, orationum generoſitatem *præ ſe ferebat*, præter faſtum & manifeſtam rei *perceptionem*. *Ex his porrò aliud quidem congruis humanæ vaticinationi, quā Ægyptij & Chaldæi, atque ante hos Indi conſtituerant, C dum ex partibus ſtellarum id quod eſſet coniicerent. Aliud, diuinationi per afflatum & oracula. Enimuerò ex Pythio audire licet,*

Menſuram teneo maris, & numerum ſcio arenæ. &,

Mœnia lignea det Pallas tibi Iuppiter almus. item, *Matrem Nero Alcmæon Oreſtéſque enecant.*

Item multa alia Sophiſtæ more Apollo locutus eſt. Primáque Sophiſtarum ars philoſophica ſibi ſubii-D ciens, ea longius & prolixius proſecuta eſt. Diſputat enim de fortitudine, de iuſtitia heroum & Deorum, & quodcumque denique effinxerit Idea mundi. Hæc quæ poſt illam eſt, quam non nouam, quia antiqua fuit, ſed ſecundam potius appellare

debemus, pauperes finxit & diui- A
tes: itémq; optimates & tyrannos, & quas cauſas finitas appellamus: de quibus etiam tractat hiſtoria. Verùm Gorgias Leontinus in Theſſalis huiuſce antiquioris principatum obtinuit. Secundæ verò Æſchines Atrometi filius, qui è republica Athenienſium eiectus, in Caria & Rhodo verſatus eſt. Cauſas ſecundum artes egerunt, partim qui ab Æſchine, partim qui à Gorgia profecti ſunt. Promptæ autem orationis fontes è Pericle primùm B
nonnulli promanaſſe dicunt. Quapropter Lingua magnus Pericles cognominatus eſt. Sed aliqui à Byzantio quodam Pythone: cuius audacem & nimirum exuberantem orationem ſolus Athenienſium Demoſthenes toleraſſe fertur. Alij verò *extemporaneam orationem inuentum Æſchinis fuiſſe aſſerunt*. Quippe qui cùm Rhodum nauigaſſet, apud Mauſolũ Carium extemporali carmine ceciniſſe dicitur. Atque *is om-* C
nium maximè in legatione, foro & concione, extempore egiſſe mihi videtur Æſchines: & tantùm orationes reliquiſſe conſcriptas, ne lucubrationibus Demoſthenis multò inferior haberetur. In prompta oratione Gorgias principatum obtinuit. Nam cùm Athenienſium prodiſſet in theatrum, Proponite quodcunque libuerit, dicere auſus eſt. Atque primus tale periculum ſe ſubiturum profeſſus eſt, oſtendens ſe D
omnia ſcire, & de quaque re compoſitè ſe extempore poſſe dicere. Hoc Gorgiæ aduenisse ideò dicitur, quia à Prodico Cio quædã oratio hæc haud iniucunda conſcripta fuerat: Virtus & voluptas muliebri habitu exornatæ Herculẽ adierunt:

A τοὺς πένητας, ὑπετυπώσατο, καὶ τοὺς πλουσίους, καὶ τοὺς ἀριστέας, καὶ τοὺς τυράννους, καὶ τὰς ἐς ὄνομα ὑποθέσεις, ἐφ' ἃς ἡ ἱστορία ἄγει. ἦρξε δὲ τῆς μὲν ἀρχαιοτέρας, Γοργίας ὁ Λεοντῖνος ἐν Θετταλοῖς· τῆς δὲ δευτέρας, Αἰσχίνης ὁ Ἀτρομήτου, τῶν μὲν Ἀθήνησι πολιτικῶν ἐκπεσών; Καρίᾳ δὲ ἐνομιλήσας, καὶ Ῥόδῳ. καὶ μετεχειρίζοντο τὰς ὑποθέσεις κατὰ τὴν τέχνην, οἱ μὲν, ἀπὸ Αἰσχίνου· οἱ δὲ, ἀπὸ
B Γοργίου κατὰ τὸ δόξαν. σχεδίων δὲ πηγὰς λόγων, οἱ μὲν, ἐκ Περικλέους πρώτου ῥυῆναί φασιν· ὅθεν καὶ μέγας ὁ Περικλῆς ἐνομίσθη τὴν γλῶτταν. οἱ δὲ ἀπὸ τοῦ Βυζαντίου Πύθωνος, ὃν Δημοσθένης μόνος Ἀθηναίων ἀναχαιτίσαι φασὶ θρασυνόμενον, καὶ πολὺ ῥέοντα. οἱ δὲ Αἰσχίνου φασὶ τὸ σχεδιάζειν εὕρημα. τοῦτον γὰρ πλεύσαντα ἐς Ῥόδον παρὰ τὸν Κᾶρα Μαύσωλον, σχεδίῳ αὐτὸν λόγῳ ᾆσαι. ἐμοὶ δὲ, πλεῖστα μὲν ἀνθρώπων Αἰσχίνης δο-
C κεῖ σχεδιάσαι πρεσβεύων τε, καὶ ἀποπρεσβεύων, συνηγορῶν τε, καὶ δημηγορῶν. καταλιπεῖν δὲ μόνους τοὺς συγγεγραμμένους τῶν λόγων ἵνα τῶν Δημοσθένους φροντισμάτων μὴ πολλῷ λίποιτο. σχεδίου δὲ λόγου, Γοργίας ἄρξαι. παρελθὼν γὰρ οὗτος ἐς τὸ Ἀθηναίων θέατρον, ἐθάρρησεν εἰπεῖν, προβάλλετε. καὶ
D τὸ κινδύνευμα τοῦτο, πρῶτον ἀνεφθέγξατο, ἐνδεικνύμενος δή που πάντα μὲν εἰδέναι, περὶ παντὸς δ' ἂν εἰπεῖν, ἐφιεὶς τῷ καιρῷ. τοῦτο δὲ ἐπελθεῖν τῷ Γοργίᾳ, διὰ τόδε. Προδίκῳ τῷ Κείῳ συνεγέγραπτό τις οὐκ ἀηδὴς λόγος, ἡ ἀρετὴ, καὶ ἡ κακία, φοιτῶσαι παρὰ τὸν Ἡρακλέα, ἐν εἴδει γυναικῶν ἐσταλμέναι

ἡ μὲν, ἀπατηλῷ τε, καὶ ποικίλῳ, ἡ δὲ ὡς ἔτυχε· καὶ προτείνουσαι τῷ Ἡρακλεῖ νέῳ ἔτι, ἡ μὲν, ἀργίαν, καὶ τρυφὴν, ἡ δὲ, αὐχμὸν, καὶ πόνους. καὶ τὸ ἐπὶ πᾶσι, τοῦ λόγου διὰ πλειόνων συντεθέντος, ἔμμισθον ἐπίδειξιν ἐποιεῖτο Πρόδικος, περιφοιτῶν τὰ ἄστη, καὶ θέλγων αὐτὰ τοῦ Ὀρφέως τε, καὶ Θαμύριδος τρόπον. ἐφ' οἷς μεγάλων μὲν ἠξιοῦτο παρὰ Θηβαίοις, πλειόνων δὲ ἐν Λακεδαίμονι, ὡς ἐς τὸ συμφέρον τῶν νέων ἀναδιδάσκων ταῦτα. ὁ δὲ Γοργίας ἐπικόπτων τὸν Πρόδικον, ὡς ἕωλά τε, καὶ πολλάκις εἰρημένα ἀγορεύοντα, ἐπαφῆκεν ἑαυτὸν τῷ καιρῷ· οὐ μὴν φθόνου γε ἤμαρτεν. ἦν γάρ τις Χαιρεφῶν Ἀθήνησιν· οὐχ ὃν ἡ κωμῳδία Πύξινον ἐκάλει· ἐκεῖνος μὲν γὰρ ὑπὸ φροντισμάτων ἐνόσει τὸ αἷμα. ὃν δὲ νῦν λέγω, ὕβριν ἤσκει, καὶ ἀναιδῶς ἐτώθαζεν. οὗτος ὁ Χαιρεφῶν τὴν σπουδὴν τοῦ Γοργίου διαμασώμενος, διὰ τί ἔφη, ὦ Γοργία, οἱ κύαμοι τὴν μὲν γαστέρα φυσῶσι, τὸ δὲ πῦρ οὐ φυσῶσιν; ὁ δὲ, οὐδὲν ταραχθεὶς ὑπὸ τοῦ ἐρωτήματος, τουτὶ μὲν, ἔφη, σοὶ καταλείπω σκοπεῖν. ἐγὼ δὲ, ἐκεῖνο πάλαι οἶδα, ὅτι ἡ γῆ τοὺς νάρθηκας ἐπὶ τοὺς τοιούτους φύει. δεινότητα δὲ οἱ Ἀθηναῖοι περὶ τοὺς σοφιστὰς ὁρῶντες, ἐξεῖργον αὐτοὺς τῶν δικαστηρίων, ὡς ἀδίκῳ λόγῳ τοῦ δικαίου κρατοῦντας, καὶ ἰσχύοντας παρὰ τὸ εὐθύ. ὅθεν Αἰσχίνης, καὶ Δημοσθένης, προὔφερον μὲν αὐτὸ ἀλλήλοις, οὐχ ὡς ὄνειδος δὲ, ἀλλ' ὡς διαβεβλημένοι τοῖς δικάζουσιν. ἰδίᾳ γὰρ ἠξίουν ἀπ' αὐτοῦ θαυμάζεσθαι. καὶ Δημοσθένης μὲν ἐπὶ τῷ Αἰσχίνῃ πρὸς τοὺς γνωρίμους ἐκόμπαζεν, ὡς

A hæc ſimplici & fallaci & vario, illa verò inculto; Herculi adhuc adoleſcenti ſe offerunt, altera ocium & delicias, altera ſquallorem & labores. *Et in genere, luculentius compoſita* oratione Prodicus *ſpecimen edebat mercenarium*; luſtratis ciuitatibus, allectíſque ad hæc Orphei & Thamyridis more hominibus. *ob quæ, quaſi ad* vtilitatem adoleſcentum iſta docere, magnis *honoribus* à Thebanis eſt affectus; & à Lacedæmonibus, longè maioribus. Gorgias au-B tem in Prodicum cauillatus, tanquam vetera & ſæpe dicta *iterantem, permiſit ipſum occaſioni.* Nec ab inuidia vtique ab errauit. Erat enim Athenis quidam Chærephon: non quem Comœdia Buxeum appellabat. ille enim lucubratione nimia, ſanguine laborauit. Sed quem dico, hic iniurius homo fuit, impudentiſſiméque momordit. Iſte igitur Chærephon, vt Gorgiæ ſtudium *diſcerperet.* Cur, inquit, ô Gorgia, fabæ ventrem inflant, ignem verò mi-C nimè. At ille interrogatione nequaquam commotus, hæc reſpondit, tibi conſiderandum relinquo: Ego verò illud iamdiu ſciui. Terram ideo in tales homines edere ferulas. Cùm Athenienſes magnam Sophiſtis dicendi *calliditatem & argutiam* ineſſe viderent, eos iudiciis continuò prohibuerunt, quòd *ius iniqua oratione vincerent,* & iuſtitiam ſæpè violarent. Quare Æſchines & D Demoſthenes *id ſibi inuicem obijciebant,* non tanquam vituperationem, ſed tanquam *calumnia affecti à* iudicibus. *Nam ob id admirationẽ ſui excitare ſtudebant. ac* Demoſthenes in Æſchinem hæc apud familiares ſæpe *iactabat*, tanquam iudicum ſuffra-

gia, ad id quod ipſi videbatur, tranſferens: *Æſchines verò* ad Rhodios ſuper his rebus quas *nondum noſſet*, *legationem ſuſcepturus* fuiſſe mihi non videtur, niſi Athenis diligenter *his operam dediſſet*. Veteres igitur non modò nobiles claróſque Rhetores, ſed Philoſophos *etiam facundè ſe explicantes* Sophiſtas appellarunt. De quib. prius dicere neceſſe eſt, quamuis non fuerunt reuera Sophiſtæ, ſed *opinione tantùm* hanc appellationem *obtinuerint*.

EVDOXVS.

Eudoxus Cnidius ſatis orationes in Academia commentatus, inter Sophiſtas annumeratus eſt, partim ob *profeſſionis* ornatum, partim *quod ad ſubito dicendũ pulchrè ſe accingeret*. Quare in Helleſponto, Propontide, Memphi & Ægypto, quæ ſupra Memphin, quam Æthiopia terminat, Sophiſtarum cognomine dignus eſt habitus: & eorum quoque iudicio ſapientum, qui ibi Nudi *philoſophantur*.

LEO.

Leo Byzantius adhuc iuuenis Platonem adiuit: *is cùm ad virilem ætatem perueniſſet*, varietate orationis, & reſponſorum concinnitate Sophiſtæ appellationem adeptus eſt. Philippo enim in Byzantios expeditionem parante: Dic mihi (inquit) ô Philippe, quo impulſus hoc bellum iniuiſti? At illo reſpondente, quòd illius patriæ amore duceretur, quæ cæterarum erat pulcherrima ciuitatum, & propterea ad deliciarum ſuarum portas *accederet*. Continuò Leo ſuſcipiens, ita reſpondit: Quicunque redamari digni ſunt, non cum gladiis deliciarum portas accedũt. Non enim bellicis inſtrumentis, ſed muſicis opus

A τὴν τῶν δικαστῶν ψῆφον πρὸς τὸ δοκοῦν ἑαυτῷ μετάγων. Αἰσχίνης δὲ οὐκ ἄν μοι δοκεῖ πρεσβεῦσαι παρὰ Ροδίοις ἃ μή πω ἐγίγνωσκεν, εἰ μὴ καὶ Ἀθήνησιν αὐτὰ ἐσπουδάκει. σοφιστὰς δὲ οἱ παλαιοὶ ἐπωνόμαζον, οὐ μόνον τῶν ῥητόρων τοὺς ὑπερφωνοῦντάς τε, καὶ λαμπρούς, ἀλλὰ καὶ τῶν φιλοσόφων τοὺς ξὺν εὐροίᾳ ἑρμηνεύοντας, ὑπὲρ ὧν ἀνάγκη προτέρων λέγειν· ἐπειδὴ οὐκ ὄντες B σοφισταὶ, δοκοῦντες δὲ, παρῆλθον ἐς τὴν ἐπωνυμίαν ταύτην.

ΕΥΔΟΞΟΣ.

Εὔδοξος μὲν γὰρ ὁ Κνίδιος, τοὺς ἐν Ἀκαδημίᾳ λόγους ἱκανῶς ἐκφροντίσας, ὅμως ἐνεγράφη τοῖς σοφισταῖς, ἐπὶ τῷ κόσμῳ τῆς ἀπαγγελίας, καὶ τῷ σχεδιάζειν εὖ. καὶ ἠξιοῦτο τῆς τῶν σοφιστῶν ἐπωνυμίας καθ' Ἑλλήσποντον, καὶ Προποντίδα, C κατά τε Μέμφιν, καὶ τὴν ὑπὲρ Μέμφιν Αἴγυπτον, ἣν Αἰθιοπία τε ὁρίζει, καὶ τῶν ἐκείνῃ σοφῶν οἱ γυμνοί.

ΛΕΩΝ.

Λέων δὲ ὁ Βυζάντιος, νέος μὲν ὤν, ἐφοίτα Πλάτωνι. ἐς δὲ ἄνδρας ἥκων, σοφιστὴς προσερρήθη, πολυειδῶς ἔχων τοῦ λόγου, καὶ πιθανῶς τῶν ἀποκρίσεων. Φιλίππῳ μὲν γὰρ στρατεύοντι ἐπὶ Βυζαντίους D προαπαντήσας, εἰπέ μοι, ὦ Φίλιππε, ἔφη, τί παθὼν, πολέμου ἄρχεις. τοῦ δὲ εἰπόντος ὡς ἡ πατρὶς ἡ σὴ καλλίστη πόλεων οὖσα, ὑπηγάγετό με ἐρᾶν αὐτῆς, καὶ διὰ τοῦτο ἐπὶ θύρας ἐμαυτοῦ παιδικῶν ἥκω. ὑπολαβὼν ὁ Λέων, οὐ φοιτῶσιν, ἔφη, μετὰ ξιφῶν ἐπὶ τὰς τῶν παιδικῶν θύρας οἱ ἄξιοι τοῦ ἀντερᾶσθαι. οὐ γὰρ πολεμικῶν ὀργάνων, ἀλλὰ μουσικῶν οἱ

ἐρῶντες δέονται. καὶ ἠλευθέρου τὸ Βυζάντιον. Δημοσθένους μὲν πολλὰ πρὸς Ἀθηναίους εἰπόντος, Λέοντος δ' ὀλίγα πρὸς αὐτὸν Φίλιππον. καὶ πρεσβεύων δὲ παρ' Ἀθηναίοις ὁ Λέων οὗτος, ἐστασίαζε μὲν πολὺν ἤδη χρόνον ἡ πόλις, καὶ παρὰ τὰ ἤθη ἐπολιτεύετο· παρελθὼν δὲ ἐς τὴν ἐκκλησίαν, προσέβαλεν αὐτοῖς ἀθρόον γέλωτα ἐπὶ τῷ εἴδει, ἐπειδὴ πίων ἐφαίνετο, καὶ περιττὸς τὴν γαστέρα· ταραχθεὶς δὲ οὐδὲν ὑπὸ τοῦ γέλωτος, τί, ἔφη, ὦ Ἀθηναῖοι, γελᾶτε; ἢ ὅτι παχὺς ἐγώ, καὶ τοσοῦτος; ἔστι μοι καὶ γυνὴ πολλῷ παχυτέρα. καὶ ὁμονοοῦντας μὲν ἡμᾶς, χωρεῖ ἡ κλίνη· διαφερομένους δὲ, οὐδὲ ἡ οἰκία. καὶ ἐς ἓν ἦλθεν ὁ τῶν Ἀθηναίων δῆμος, ἁρμοσθεὶς ὑπὸ τοῦ Λέοντος, σοφῶς ἐπισχεδιάσαντος τῷ καιρῷ.

ΔΙΑΣ.

Δίας δὲ ὁ Ἐφέσιος, τὸ μὲν πεῖσμα τῆς ἑαυτοῦ φιλοσοφίας, ἐξ Ἀκαδημίας ἐβέβλητο. σοφιστὴς δ' ἐνομίσθη, διὰ τόδε. τὸν Φίλιππον ὁρῶν χαλεπὸν ὄντα τοῖς Ἕλλησιν, ἐπὶ τὴν Ἀσίαν στρατεύειν ἐποίησε. καὶ πρὸς τοὺς Ἕλληνας διεξῆλθε λόγον, ὡς δέον ἀκολουθεῖν στρατεύοντι· καλὸν γὰρ εἶναι καὶ τὸ ἔξω δουλεύειν, ἐπὶ τῷ οἴκοι ἐλευθεροῦσθαι.

ΚΑΡΝΕΑΔΗΣ.

Καὶ Καρνεάδης δὲ ὁ Ἀθηναῖος, ἐν σοφισταῖς ἐγράφετο. φιλοσόφως μὲν γὰρ κατεσκεύαστο τὴν γνώμην. τὴν δὲ ἰσχὺν τῶν λόγων, ἐς τὴν ἄγαν ἤλαυνε δεινότητα.

ΦΙΛΟΣΤΡΑΤΟΣ.

Οἶδα καὶ Φιλόστρατον τὸν Αἰγύπτιον, Κλεοπάτρᾳ μὲν συμφιλοσοφήσαντα τῇ βασιλίδι, σοφιστὴν δὲ προσρηθέντα,

A eſt amantibus. Atq; ita Byzantium liberatum eſt: cùm Demoſthenes multa verba apud Athenienſes feciſſet, pauca verò Leo apud Philippum. Et cùm hic ipſe ad Athenienſes orator mitteretur, & ciuitas multo tempore ciuili ſeditione laboraret, & *præter instituta* reſpublica gereretur: accerſitus *ad concionem*, hoc modo, (quia pinguis hic erat, & prominenti ventre) concitate *profuſum*, Athenienſibus riB ſum *forma ſua* concitauit. At hic riſu nequaquam perturbatus, Quid, inquit, ridetis Athenienſes? fortaſſe quia pinguis ego, & craſſus: at eſt mihi mulier longè pinguior, & nos conſentientes vnicus capit lectus, diſſentientes verò nec ipſa domus quidem. Quare in vnum Athenienſis populus hoc dicto conuenit, à Leone reconciliatus, qui eos extempore ſapienter erudiuit.

C

DIAS.

Dias Epheſius, philoſophiæ quidē ſuæ fundamentum ex Academia *iecerat*: atpropter hoc Sophiſta *habitus eſt*. Nam cùm Philippum videret Græcis eſſe *moleſtum*, in Aſiaticam eum expeditionem conuertit, & *apud* Græcos hæc verba *protulit*: Opus eſſe præſtare obſequium militanti: quandoquidē pulchrum eſſet ſeruire foris, & domi eſſe liberum.

D

CARNEADES.

Carneades Athenienſis inter Sophiſtas ſcribitur. Philoſophica enim mentem præditus fuit, & orationis vim ad ſummam euexit grauitatem.

PHILOSTRATVS.

Ægyptium Philoſtratū cum Cleopatra regina philoſophantem, & Sophiſtam appellatum, ego quoq. vidi.

Poſtquam Panegyricum, ac varium dicendi genus *concinnaſſet*, cum mulieribus verſabatur. Quia ipſe, orationis amorem in deliciis habebat. Quare nonnulli in eum hoc Elegiacum concinunt,

Parodia diſtichi Theogn. interpr. F. Morello.

Docti corda Philoſtrati habe: namque hic Cleopatræ
Conuerſans, talis viſus adeſſe ſuis.

THEOMNESTVS.

Theomneſtum quoque Naucratitem publice philoſophantem, cōprehenſio in Sophiſtas euexit.

DION.

Dio verò Pruſæus quonam potiſſimum nomine ſit appellandus neſcio, ob ſingularem eius in omnibus rebus dexteritatem: fuit enim (quod aiunt) Amalthea cornu; ac quod ad dicendi quidem attinet facultate cum eloquentiſſimis quibúſque comparandus: Platonis enim ac Demoſthenis dicendi morem imitatus eſt, cui quidẽ in proprio eloquẽdi genere candore quodam, ac contorta ſimplicitate reſpondet, non minus quã muſicis inſtrumẽtis aſſonant ſonorum retinacula. Optima verò, ac laudatiſſima eſt in Dionis orationib. affectuũ temperatio. quoties enim impotẽtes, ac inſolentes reſpub. increpat, neq; contumelioſus, neq; importunus videtur, ſed perinde earum, ac equorum ferociam fræno potius, quàm flagello cõpeſcere. Sin ab optimis legibus inſtitutas ciuitates laudandas ſe cõferat, non tam erigere, aut ad ſuperbiam excitare, quàm continere videtur, quaſi citius interituras ſi alium in ſtatum degenerauerint. Sed & reliquo quoque philoſophandi inſtituto fuit non omnib. expoſito aut ſimulatorio, ſed eiuſmodi vt grauitate quadam inſtaret, non ſecus ac condimento inſita ſibi humanitate temperata. Quam porrò hiſtoriæ ſcribendæ aptus fuerit, argumento ſunt ab eo ſcripta Getica: *Getas enim tunc cum errando circumiret, peruenit. Quod autem ad*

A ἐπειδὴ λόγου ἰδέαν πανηγυρικὴν ἥρμοστο, καὶ ποικίλην, γυναιξὶ συνῶν· ἢ καὶ αὐτὸς τὸ φιλολογεῖν τρυφὴν εἶχεν. ὅθεν καὶ παρῴδουν τινὲς ἐπ' αὐτῷ τόδε τὸ ἐλεγεῖον,

Πανσόφου ὀργὴν ἴσχε* Φιλοστράτου, ὃς κ. ἴχε
Κλεοπάτρᾳ (φαίνη.
Νῦν προσομιλήσας, τοῖος ἰδεῖν *ἐ- κ. τέρπε.

ΘΕΟΜΝΗΣΤΟΣ.

B Καὶ Θεόμνηστον δὲ τὸν Ναυκρατίτην ἐπιδήλως φιλοσοφήσαντα ἡ περιβολὴ τῶν λόγων ἐς τοὺς σοφιστὰς ἀπήνεγκε.

ΔΙΩΝ.

Δίωνα δὲ τὸν Προυσαῖον, οὐκ οἶδ' ὅ,τι χρὴ προσειπεῖν, διὰ τὴν ἐς πάντα ἀρετήν. Ἀμαλθείας γὰρ κέρας ἦν τὸ τοῦ λόγου· ξυγκείμενος μὲν τῶν ἄριστα εἰρημένων τοῖς ἀρίστοις· βλέπων δὲ πρὸς τὴν Δημοσθένους ἠχὼ, καὶ Πλάτωνος, ᾗ C καθάπερ αἱ μαγάδες τοῖς ὀργάνοις, προσηχεῖ ὁ Δίων τὸ ἑαυτοῦ ἴδιον ξὺν ἀφελείᾳ ἐπεστραμμένῃ. ἀρίστη δὲ ἐν τοῖς Δίωνος λόγοις καὶ ἡ τοῦ ἤθους κρᾶσις. ὑβριζούσαις τε γὰρ πόλεσι πλεῖστα ἐπιπλήξας, οὐ φιλολοίδορος, οὐδὲ ἀηδὴς ἔδοξεν, ἀλλ' οἷον ἵππων ὕβριν χαλινῷ καταρτύων μᾶλλον, ἢ μάστιγι. πόλεών τε εὐνομουμένων ἐς ἐπαίνους καταστὰς, οὐκ ἐπαίρειν αὐτὰς ἔδοξεν, ἀλλ' D ἐπιστρέφειν μᾶλλον, ὡς ἀπολουμένας, εἰ μεταβάλοιντο. ἦν δὲ αὐτῷ καὶ τὸ τῆς ἄλλης φιλοσοφίας ἦθος, οὐ κοινὸν, οὐδ' εἰρωνίζον, καὶ ἐμβριθῶς μὲν ἐγκείμενον, κεχρωσμένον δὲ οἷον ἡδύσματι, τῇ πρᾳότητι. ὡς δὲ καὶ ἱστορίαν ἱκανὸς ἦν συγγράφειν, δηλοῖ τὰ Γετικά. καὶ γὰρ δὴ καὶ ἐς Γέτας ἦλθεν ὁπότε ἠλᾶτο. τὸ δὲ

Εὔβοια, καὶ τὸ τοῦ Ψιττακοῦ ἔπαινον, καὶ ὁπόσα οὐχ ὑπὲρ μεγάλων ἐσπούδασται τῷ Δίωνι, μὴ μικρὰ ἡγώμεθα, ἀλλὰ σοφιστικά· σοφιστοῦ γὰρ τὸ καὶ ὑπὲρ τοιούτων σπουδάζειν. γενόμενος δὲ κατὰ χρόνοις, οἷς Ἀπολλώνιός τε ὁ Τυανεὺς, καὶ Εὐφράτης ὁ Τύριος ἐφιλοσόφουν, ἀμφοτέροις μὲν ἐπιτηδείως εἶχε, καίτοι διαφερομένοις πρὸς ἀλλήλους, ἔξω τοῦ φιλοσοφίας ἤθους. τὴν δὲ ἐς τὰ Γετικὰ ἔθνη πάροδον τοῦ ἀνδρὸς, φυγὴν μὲν οὐκ ἀξιῶ ὀνομάζειν, ἐπεὶ μὴ προσετάχθη αὐτῷ φυγεῖν, οὐδὲ ἀποδημίαν. ἐπὶ τοῦ φανεροῦ ἐξέστη, κλέπτων ἑαυτὸν ὀφθαλμῶν τε, καὶ ὤτων, καὶ ἄλλα ἐν ἄλλῃ γῇ πράττων, δέει τῶν κατὰ τὴν Ῥωμαίων τυραννίδα, ὑφ' ὧν ἠλαύνετο φιλοσοφία πᾶσα. φυτεύων δὲ, καὶ σκάπτων, καὶ ἐπαντλῶν βαλανείοις, καὶ κήποις, καὶ πολλὰ τοιαῦτα ὑπὲρ τροφῆς ἐργαζόμενος, οὐδὲ τοῦ σπουδάζειν ἠμέλει, ἀλλ' ἀπὸ δυοῖν βιβλίοιν ἑαυτὸν ξυνεῖχε· ταυτὶ δὲ ἤστην ὅ, τε Φαίδων ὁ τοῦ Πλάτωνος, καὶ Δημοσθένης ὁ κατὰ τῆς πρεσβείας. θαμίζων δὲ ἐς στρατόπεδα, ἐν οἷς περ εἰώθει τρύχεσθαι, καὶ τοὺς στρατιώτας ὁρῶν ἐς νεώτερα ὁρμῶντας ἐπὶ Δομετιανῷ ἀπεσφαγμένῳ, οὐκ ἐφείσατο, ἀταξίαν ἰδὼν ἐκραγεῖσαν, ἀλλὰ γυμνὸς ἀναπηδήσας ἐπὶ βωμὸν ὑψηλὸν, ἤρξατο τοῦ λόγου ὧδε.

Αὐτὰρ ὁ γυμνώθη ῥακέων πολύμητις Ὀδυσσεύς·

καὶ εἰπὼν ταῦτα, καὶ δηλώσας ἑαυτὸν ὅτι μὴ πτωχὸς, μηδὲ ὃν ᾤοντο, Δίων δὲ εἴη ὁ σοφὸς ἐπὶ μὲν τὴν κατηγορίαν τοῦ τυράννου πολὺς ἔπνευσε, τοὺς δὲ

A *Euboicum, & Pſittaci encomium attinet, ceteráque quæ de minus ſeriis rebus ſunt à Dione conſcripta, ne quis leuia hæc aut parua cenſeat, ſed Sophiſtæ potius propoſito accommodata: Sophiſtæ ſi quidem ea quoque ſtudioſè tractanda ſunt. Atque cùm in ea tempora incidiſſet quibus Apollonius Tyaneus, & Euphrates Tyrius philoſophiam profiterentur; vtroque familiariter vſus eſt, præterquam in philoſophiæ ratione, cùm ij à ſe inuicem diſſiderent:* B *nec verò illius ad Getas profectionem exilium fuiſſe crediderim, cùm Imperatoris iuſſu non fuerit deportatus: neque item peregrinationem, quando is ex hominum conſuetudine ſummotus eſt, ſeſéque omnium oculis, atque auribus ſubduxit, alia in aliis regionibus agens, quod Romanorum tyrannidem pertimeſceret, à qua omnis erat expulſa philoſophia. Ceterùm cùm aut ſerendis arboribus aut fodiendo ſolo, aut haurienda ad balnea aut hor-* C *tos aqua, aut aliis eiuſmodi victus gratia operam ſuam locaret, ſtudiorum interim nequaquam ſecurus fuit, ſed duobus libellis per totum illud tempus ſeſe ſuſtentauit: hi erant Platonis Phædon, & Demoſthenis oratio de falſa legatione. Tandem cùm in caſtra ventitaret, in quibus laboribus atteri ſolebat, ac milites animaduerteret ob tyranni cædem nouas res molientes, non id negligendum ſibi duxit, tanta præſertim conſternatione ac perturbatione ſuborta; ſed in ſublimem aram ex im-* D *prouiſo inſiliens, orationem hunc in modum exorſus eſt,*

Depoſuit laceras veſtes facundus Vlyſſes.

Quæ cùm dixiſſet, palámque feciſſet, ſe non mendicum aut eiuſmodi hominem, qualem ij exiſtimauerant, ſed Dionem ſe eſſe ſapientem, acerrimè in tyrannum inuectus eſt, militéſque docuit

conſultius agendum, ac Romanis morem gerendum. Etenim vis ea hominis ad perſuadendum fuit, vt eos quoque, qui Græcas literas accuratè non callerent, ſuauiſſimè demulceret. Sanè Traianus imperator Romæ illum in aureum currum aſſumens, quo inuecti imperatores de confectis bellis triumphabant, ſæpiſſimè ad Dionem conuerſus: Quidnam (aiebat) dicas neſcio: te verò ego non minus quàm meipſum diligo. Porrò inter ea quæ in Dionis orationibus artificioſa, & ſophiſtica reperiuntur, præcipuè ſunt rerum in loquendo expreſſæ ſimilitudines: quibus quamuis frequenter vtatur, at efficax validúſque eſt, & rerum quas ſibi proponit, naturæ haud diſſimilis.

PHAVORINVS.

Phauorinum philoſophum eloquentia inter Sophiſtas prædicauit. Ex Arelatenſi Gallorum Heſperiæ ciuitate fuit, quæ Eridano fluuio imminet. Hermaphroditus natus eſt, & vtriuſque ſexus compos, quòd ſua ſpecies præferebat, quando etiã ſeneſcens imberbem faciem gerebat. Oſtendebat idem voce acuta, tenui ac ſtridula, quemadmodum Eunuchos natura compoſuit. Item in rebus amatoriis vſque adeò callidus, vt adulteri *crimen* è conſule viro ſubiret. Orta ſibi controuerſia apud Adrianum imperatorem, nihil incommodi paſſus eſt. Quare tanquam admirabilia, hæc tria de vita ſua vaticinatus eſt: Quòd Gallus Græcè loqueretur: quòd Eunuchus adulterij cauſam ageret, quòd cum Imperatore *contenderet*, & viueret. Maiori enim laudi erat Adriano, ſi Imperator *cùm eſſet ex æquo diſceptaret cum eo,* quẽ interficere licebat. Nam tunc princeps ſuperior eſt, cùm homini *ſucceſſet* inferiori, quã

A στρατιώτας ἐδίδαξεν ἄμεινον φρονεῖν τὰ δοκοῦντα Ῥωμαίοις πράττοντας. ἦν γὰρ ἡ πειθὼ τοῦ ἀνδρὸς, οἵα καταθέλξαι καὶ τοὺς μὴ τὰ Ἑλλήνων ἀκριβοῦντας. Τραϊανὸς γοῦν αὐτοκράτωρ ἀναθέμενος αὐτὸν ἐπὶ τῆς Ῥώμης ἐς τὴν χρυσῆν ἅμαξαν, ἐφ' ἧς οἱ βασιλεῖς τὰς ἐκ τῶν πολέμων πομπὰς πομπεύουσιν, ἔλεγε, θαμὰ ἐπιστρεφόμενος
B πρὸς τὸν Δίωνα, τί μὲν λέγεις, οὐκ οἶδα, φιλῶ δέ σε ὡς ἐμαυτόν. σοφιστικώταται δὲ τοῦ Δίωνος αἱ τῶν λόγων εἰκόνες· ἐν αἷς εἰ καὶ πολὺς, ἀλλὰ καὶ ἐναργὴς, καὶ τοῖς ὑποκειμένοις ὅμοιος.

ΦΑΒΩΡΙΝΟΣ.

Καὶ Φαβωρῖνον τὸν φιλόσοφον, ἡ εὐγλωττία ἐν σοφισταῖς ἐκήρυττεν. ἦν μὲν γὰρ τῶν Ἑσπερίων Γαλατῶν οὗτος, Ἀρελάτου πόλεως, ἣ ἐπ' Ἠριδανῷ
C ποταμῷ ᾤκισται. διφυὴς δὲ ἐτέχθη, καὶ ἀνδρόθηλυς· καὶ τοῦτο ἐδηλοῦτο μὲν καὶ παρὰ τοῦ εἴδους. ἀγενείως γὰρ τοῦ προσώπου, καὶ γηράσκων εἶχεν. ἐδηλοῦτο δὲ καὶ τῷ φθέγματι· ὀξυηχὲς γὰρ ἠκούετο, καὶ λεπτὸν, καὶ ἐπίτονον, ὥσπερ ἡ φύσις τοὺς εὐνούχους ἥρμοκε. θερμὸς δὲ οὕτω τις ἦν τὰ ἐρωτικὰ, ὡς καὶ μοιχοῦ λαβεῖν αἰτίαν ἐξ ἀνδρὸς ὑπάτου. διαφορᾶς δὲ αὐτῷ πρὸς Ἀδριανὸν βασι-
D λέα γενομένης, οὐδὲν ἔπαθεν. ὅθεν ὡς παράδοξα ἐπεχρησμῴδει τῷ ἑαυτοῦ βίῳ, τρία ταῦτα, Γαλάτης ὢν, ἑλληνίζειν, εὐνοῦχος ὢν, μοιχείας κρίνεσθαι· βασιλεῖ διαφέρεσθαι, καὶ ζῆν. ὁ δὲ Ἀδριανοῦ ἔπαινος ἂν εἴη μᾶλλον, εἰ βασιλεὺς ὢν, διεφέρετο ἀπὸ τοῦ ἴσου πρὸς ὃν ἐξῆν ἀποκτεῖναι. βασιλεὺς δὲ κρείττων ὅτε χώσεται ἀνδρὶ χέρηϊ, ἦν

ὀργῆς κρατῇ. καὶ, θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέος βασιλῆος, ἢν μὴ λογισμῷ κολάζηται. βέλτιον γὰρ ταῦτα ταῖς τῶν ποιητῶν δόξαις προσγράφειν, τῶν δ᾽ ἐπιθεμένων τὰ τῶν βασιλέων ἤθη. ἀρχιερεὺς δὲ ἀναρρηθεὶς ἐς τὰ οἴκοι πάτρια, ἐφῆκε μὲν κατὰ τοὺς ὑπὲρ τῶν τοιούτων νόμοις, ὡς ἀφειμένος τοῦ λειτουργεῖν, ἐπειδὴ ἐφιλοσόφει. τὸν δὲ αὐτοκράτορα ὁρῶν ἐναντίαν αὐτῷ θέσθαι διανοούμενον, ὡς μὴ φιλοσοφοῦντι, ὑπετέμετο αὐτὸν ὧδε· ἐνύπνιόν μοι, ἔφη, ὦ βασιλεῦ, γέγονεν, ὃ καὶ πρὸς σὲ χρὴ εἰρῆσθαι. ἐπιστὰς γάρ μοι Δίων ὁ διδάσκαλος, ἐνουθέτει με ὑπὲρ τῆς δίκης, λέγων, ὅτι μὴ ἑαυτοῖς μόνον, ἀλλὰ καὶ ταῖς πατρίσι γεγόναμεν. ὑποδέχομαι δὲ, ὦ βασιλεῦ, τὴν λειτουργίαν, καὶ τῷ διδασκάλῳ πείθομαι. ταῦτα ὁ μὲν αὐτοκράτωρ, διατριβὴν ἐπεποίητο, καὶ διῆγε τὰς βασιλείους φροντίδας, ἀπονεύων ἐς σοφιστάς τε, καὶ φιλοσόφους. Ἀθηναίοις δὲ δεινὰ ἐφαίνετο. καὶ συνδραμόντες αὐτοὶ μάλιστα οἱ ἐν τέλει Ἀθηναῖοι, χαλκῆν εἰκόνα κατέβαλον τοῦ ἀνδρὸς, ὡς πολεμιωτάτου τῷ αὐτοκράτορι. ὁ δὲ, ὡς ἤκουσεν, οὐδὲν σχετλιάσας, οὐδὲ ἀγελάσας ὑπὲρ ὧν ὕβριστο, ὤνητ᾽ ἂν, ἔφη, καὶ Σωκράτης, εἰκόνα χαλκῆν, ὑπ᾽ Ἀθηναίων ἀφαιρεθεὶς μᾶλλον, ἢ πιὼν κώνειον. ἐπιτηδειότατος μὲν οὖν Ἡρώδης τῷ σοφιστῇ ἐγένετο, διδάσκαλόν τε ἡγουμένῳ, καὶ πατέρα, καὶ πρὸς αὐτὸν γράφοντι, πότε σε ἴδω, καὶ πότε σου περιλείξω τὸ στόμα; ὅθεν καὶ τελευτῶν, κληρονόμον Ἡρώδην ἀπέφηνε τῶν τε βιβλίων, καὶ τῆς ἐπὶ ῥώμῃ οἰκίας, καὶ τοῦ

A *cùm iram vincerit.* Etenim maior eſt *Iouis alumni Regis* animus, *niſi ratione caſtigetur.* melius namque eſt iſta *adſcribere*, poëtarum opinionibus, qui imperatorum mores benè *compoſuerunt.* Pontifex autem domi *renunciatus ad ritus patrios prouocauit* ſecundum leges *his de rebus latas*: tanquam ſitum ſe publica dignitate abdicaſſet, *cùm philoſophari aggreſſus eſt.* Videns tamen imperatorem de ſe infeſtando aliquando B cogitantem, eo quòd minimè philoſopharetur, hoc modo præuenit: Quod mihi, inquit, in ſomnis occurrit, Imperator, hoc tibi dicere opus eſt. Dion præceptor adſtare mihi videbatur, & iudicij me admonuit, dicens, Nos non ſolùm nobis ipſis, ſed patriæ quoque eſſe natos. Suſcipio miniſterium, imperator, & meo pareo præceptori. Quare hoc accepto conſilio, Sophiſtas & philoſophos frequentans C imperator, imperatorias ſæpè curas illis exponebat. Athenienſibus cùm grauis videretur, concurrentes *in eum magiſtratus Athenienſes potiſſimùm*, æneam viri ſtatuam diruerunt, tanquam *infeſtiſſimi hoſtis* principi. Quòd vbi ille cognouit, neque moleſtè tulit, neque in eos irritatus eſt, à quibus tam graui iniuria fuerat affectus. *Atenim, aiebat, Melius ceſſiſſet Socrati, ſi Athenienſi æream potius ſtatuam ipſi ademiſſent,* D *quàm ſi ſorbitionem cicutæ porrigerent.* Herodi Sophiſtę valde familiaris iſte fuit, à quo ſæpe magiſtri ac patris loco reputatus eſt. Et cùm ad ipſum ille ſcriberet, hæc dicere ſolebat; Vbi ego te videbo? & quando os tuum oſculabor? Quare moriens Herodem reliquit heredem, & librorum, & domus quam Romæ habuit,

Sup. lin. dele τὸ quam. Iliad. α.

Plat. ep. 9

atque ſcurræ cuiuſpiam, qui & Indus erat, mirúmque in modum niger, in Herodis atque Phauorini iocis habitus. Quippe qui conuiuantes eos referebat Indicis Attica miſcens, & erranti lingua, ridiculos ædens barbariſmos. Orta Phauorino cum Polemone controuerſia, Epheſiis ipſi fauentibus, in Ionia cœpit: quoniam Polemonem Smyrna admirabatur. Romæ *verò incrementum accepit. nam Conſules & Conſulum* filij, partim hunc, partim illum efferentes, ambitionis vtriuſque fuerunt autores: qua magnum certamen inter ſapientes quoque viros ſuſcitari ſolet, quæque humanam naturam in ſenij expertem introducit gloriæ cupiditatem. Quare ambitionis ratione venia digni ſunt: Altercatiorum autem culpa minimè carent, cùm verbis inter ſe contenderunt. Petulans enim ipſa mordacitas, quamuis fortè vera ſit, *ne illum quoque qui de eiuſmodi verba fecit, dedecore liberat. Phauorinũ ergo Sophiſtã appellantibus, ſatis eſt ad hoc probandũ quòd cum aliquo Sophiſta certauerit.* Quoniam ambitio, cuius ipſe memini, eiuſdem artis æmulatores inuadit. At remiſsè, liberè, ſapienter & alacriter ad dicendum linguam accommodauerat. Nam cùm facili copia dicendi, extemporali oratione vſus eſſe dicitur. Quæ autem ad Proxenum ſpectant, ea ne cogitaſſe quidem Phauorinum, neque conſcripſiſſe putamus: ſed temulenti, imò *furentis potius eſſe. *Sermonem verò quem ſuper adoleſcente inſtituit, qui ante diem obierat, & orationem quam pro gladiatoribus & balneu ſuſcepit, legitima, germana & elegantia illius eſſe ſcriptas nunciamus: ac multò magis morales & philoſophicas eiuſdem diſſertationes*. Ex quibus optimæ fuere Pyrrhoniæ diſputationes,

al. amentis

A αὐτοληκύθου· ἦν δὲ οὗτος, Ἰνδὸς μὲν, καὶ ἱκανῶς μέλας· ἄθυρμα δὲ Ἡρώδου τε, καὶ Φαβωρίνου. ξυμπίνοντας γὰρ αὐτοὺς διῆγεν, ἐγκαταμιγνὺς Ἰνδικοῖς Ἀττικὰ, καὶ πεπλανημένη τῇ γλώττῃ βαρβαρίζων. ἡ δὲ γενομένη πρὸς τὸν Πολέμωνα τῷ Φαβωρίνῳ διαφορὰ, ἤρξατο μὲν ἐν Ἰωνίᾳ, προσθεμένων αὐτῷ τῶν Ἐφεσίων ἐπεὶ τὸν Πολέμωνα ἡ Σμύρνα ἐθαύμαζεν. ἐπέδωκε δ' ἐν τῇ

B Ῥώμῃ. ὕπατοι γὰρ, καὶ παῖδες ὑπάτων, οἱ μὲν, τὸν ἐπαινοῦντες, οἱ δὲ, τὸν, ἦρξαν αὐτοῖς φιλοτιμίας. ἣ πολὺ ἐκκαίει καὶ σοφοῖς ἀνδράσι τὸν πόλεμον, τῆς ἀνθρωπείας φύσεως τὸ φιλότιμον ἀγήρων ἡγουμένης. ξυγγνωστοὶ μὲν οὖν τῆς φιλοτιμίας· μεμπτοὶ δὲ τῶν λόγων, οὓς ἐπ' ἀλλήλοις ξυνέθεσαν. ἀσελγὴς γὰρ λοιδο-

C ρία, κἂν ἀληθὴς τύχῃ, οὐκ ἀφίησιν αἰσχύνης, οὐδὲ τὸν ὑπὲρ τοιούτων εἰπόντα. τοῖς μὲν οὖν σοφιστὴν τὸν Φαβωρῖνον καλοῦσιν, ἀπόχρη ἐς ἀπόδειξιν καὶ αὐτὸ σοφιστῇ διενεχθῆναι αὐτόν. τὸ γὰρ φιλότιμον, οὗ ἐπεμνήσθην, ἐπὶ τοὺς ἀντιτέχνους φοιτᾷ. ἥρμοστο δὲ τὴν γλῶτταν ἀνειμένως μὲν, σοφῶς δὲ, καὶ προθύμως. ἐλέγετο δὲ καὶ σὺν εὐροίᾳ σχεδιάσαι. τὰ μὲν δὴ ἐς Πρόξενον, μήτ' ἂν ἐνθυμηθῆναι τὸν Φα-

D βωρῖνον ἡγούμεθα, μήτ' ἂν ξυνθεῖναι· ἀλλ' εἶναι αὐτὰ μειρακίου φροντίσματα μεθύοντος. μᾶλλον δὲ ἐμοῦντος.* τὸν δὲ ἐπὶ τῷ ἀώρῳ, καὶ τὸν ὑπὲρ τῶν μονομάχων, καὶ τὸν ὑπὲρ τῶν βαλανείων, γνησίους τε ἀποφαινόμεθα, καὶ εὖ ξυγκειμένους, καὶ πολλῷ μᾶλλον τοὺς φιλοσοφουμένους αὐτῷ τῶν λόγων, ὧν ἄριστοι οἱ Πυρρώνειοι. τοὺς γὰρ Πυρρωνείους

* al. μαινομένου

ἐφεκτικοὺς ὄντας, οὐκ ἀφαιρεῖται καὶ τὸ δικάζειν δύνασθαι. διαλεγομένου δὲ αὐτοῦ κατὰ τὴν Ῥώμην, μεστὰ ἦν σπουδῆς πάντα. καὶ γὰρ δὴ καὶ ὅσοι τῆς Ἑλλήνων φωνῆς ἀξύνετοι ἦσαν, οὐδὲ τούτοις ἀφ' ἡδονῆς ἡ ἀκρόασις ἦν· ἀλλὰ κἀκείνους ἔθελγε τῇ τε ἠχοῖ τοῦ φθέγματος, καὶ τῷ σημαίνοντι τοῦ βλέμματος, καὶ τῷ ῥυθμῷ τῆς γλώττης. ἔθελγε δὲ αὐτοὺς καὶ τῇ ἐπιτάσει τοῦ λόγου. ὃ ἐκεῖνοι μὲν, ᾠδὴν ἐκάλουν, ἐγὼ δὲ, φιλοτιμίαν. ἐπειδὴ τοῖς ἀποδεδειγμένοις ἐφυμνεῖται. Δίωνος μὲν οὖν ἀκοῦσαι λέγεται. τοσοῦτον δὲ ἀφέστηκεν, ὅσον οἱ μὴ ἀκούσαντες. καὶ τοσαῦτα μὲν ὑπὲρ τῶν φιλοσοφησάντων ἐν δόξῃ τοῦ σοφιστεῦσαι. οἱ δὲ κυρίως προσρηθέντες σοφισταὶ, ἐγένοντο οἵδε.

A *Nam Pyrrhonii qui aſſenſionem coërcebant, iudicio diſceptandi facultatem non ſuſtulit.* Phauorino igitur Romæ *diſſerente, omnium ſtudia feruebant. Etenim ne ab iis quidem etiam qui Græcanicæ linguæ ignari erant, abſque voluptate auſcultabatur. Si quidem horum animos* optima vocalitate, *deſignante intuitu*, ac linguæ *modulatione* oblectabat. Alliciebat etiam eos *intentione* orationis, quam illi *cantionem* appellant, ego verò ambitio-B nem, *quia ſuper* demonſtratis *accinitur.* Dionem igitur audiuiſſe dicitur, ſed ab eo tantùm defecit, quantum qui nunquam audiuerunt. Hæc igitur hactenus de his, qui in Sophiſtarum opinione philoſophati ſunt. Qui verò propriè ac verè Sophiſtæ nominandi ſunt, hi profecto fuêre.

ΓΟΡΓΙΑΣ.

Σικελία Γοργίαν ἐν Λεοντίνοις ἤνεγκεν, ἐς ὃν ἀναφέρειν ἡγώμεθα ὥσπερ ἐς πατέρα τὴν τῶν σοφιστῶν τέχνην. εἰ γὰρ τὸν Αἰσχύλον ἐνθυμηθείημεν, ὡς πολλὰ τῇ τραγῳδίᾳ ξυνεβάλετο, ἐσθῆτί τε αὐτὴν κατασκευάσας, καὶ ὀκρίβαντι ὑψηλῷ, καὶ ἡρώων εἴδεσιν, ἀγγέλοις τε, καὶ ἐξαγγέλοις, καὶ οἷς ἐπὶ σκηνῆς τε, καὶ ὑπὸ σκηνῆς χρὴ πράττειν. τοῦτο ἂν εἴη καὶ ἐν τοῖς ὁμοτέχνοις ὁ Γοργίας. ὁρμῆς τε γὰρ τοῖς σοφισταῖς ἦρξε, καὶ παραδοξολογίας, καὶ πνεύματος, καὶ τοῦ τὰ μεγάλα μεγάλως ἑρμηνεύειν, ἀποστάσεών τε, καὶ προσβολῶν· ὑφ' ὧν ὁ λόγος ἡδίων ἑαυτοῦ, καὶ σοβαρώτερος. περιεβάλετο δὲ καὶ ποιητικὰ ὀνόματα ὑπὲρ κόσμου, καὶ σεμνότητος. ὅπως μὲν οὖν καὶ ῥᾷστα ἀπεσχεδίαζεν, εἴρηταί μοι

GORGIAS.

C Sicilia Gorgiam Leontinis protulit, in quem tanquam in patrem, Sophiſtarum artem referendam eſſe cenſemus. Si enim Æſchylum conſideremus, & quantum tragœdiæ contulerit, ac veſte Syrmatica pulpitóq. excelſo, & Heroica ſpecie, nunciiſq. iteratis, illam inſtruerit, ceteris denique rebus quæ ſupra ſcenam, & ſub ſcena agi debent: idipſum de Gorgia inter profeſſores e-D iuſdē artis dicere poſſumus. quippe qui concitatæ orationis, admirabilis diſſertationis, & ſpiritus Sophiſtis autor fuit: item magna magnificè interpretandi, demiſſiones, & exaggerationes faciendi; ex quibus ſanè rebus ſuauior & elatior redditur oratio. Præterea poëtica verba ad venuſtatem & grauitatem adiecit. Quemadmodum igitur facillimè ſubita dictione vteretur, à principio nobis dictum eſt. Porrò nihil

Fed. Morelli interpres.

nihil mirum eſt quòd apud Athenienſes iam ſeneſcens diſſerendo multis fuerit admirationi: hic autem eloquentiſſimos quoſque, vt opinor, ſuſpenſos ab ore tenere potuiſſet, vt puta Critiam & Alcibiadem adoleſcentes, & Thucydidem ac Periclem ad ſenium declinantes. Agathon verò poëta tragicus, quem Comœdia ſapientem & elegantem eſſe non ignorat, Iambicis plerumque Gorgiacis vtitur. In Græcorum Panegyricis vſque adeò venuſtus eſt & decens, vt Pythicam orationem ex ara enunciauerit: in qua aureus in Pythij templo erectus eſt. Olympica verò oratio, maxima de cauſa ab ipſo elaborata eſt. Diſſidentem quippe Græciam conſpicatus, reconciliauit, reconciliatámque conuertit in Barbaros; & Græcis, vt armorum præmia non vrbes ſuas ſibi inuicem conſtituerent, ſed barbarorum terram, perſuaſit. Funebrem orationem quam Athenis habuit, de his qui bello ceciderant; quóſque Athenienſes publica cum laudibus ſepultura honorarant; præſtanti arte induſtriáque compoſuit. In Medos enim & Perſas irritaturus Athenienſes, & ſuam mentem in Olympicis exercitaturus, de Græcorum concordia nihil ipſe diſſeruit. quia apud Athenienſes verſabatur principatus appetentes, quem comparare non poterant, niſi ſtrenuo quodam facinore edito. In laudandis Medorũ trophæis, aliquantum immoratus eſt, vt illis oſtenderet, quòd Græcorum trophæa à barbaricis gentibus reportata, laudes mererẽtur: à Græcis verò lamenta repoſcerent. Vltra centeſimum & octauum annũ Gorgias vitam produxiſſe dicitur, corpore à ſenectute nequaquam ſolu-

A κατάρξας τοῦ λόγου. διαλεχθεὶς δὲ Ἀθήνησιν ἤδη γηράσκων, εἰ μὲν ὑπὸ τῶν πολλῶν ἐθαυμάσθη, οὔπω θαῦμα. ὁ δὲ, οἶμαι, καὶ τοὺς ἐλλογιμωτάτους ἀνηρτήσατο, Κριτίαν μὲν, καὶ Ἀλκιβιάδην, νέω ὄντε, Θουκυδίδην δὲ, καὶ Περικλέα, ἤδη γηράσκοντε, καὶ Ἀγάθων δὲ ὁ τῆς τραγῳδίας ποιητὴς, ὃν ἡ κωμῳδία σοφόν τε, καὶ καλλιεπῆ οἶδε, πολλαχοῦ τῶν Ἰαμβείων γοργιάζει. ἐμπρέπων δὲ καὶ ταῖς τῶν Ἑλ- B λήνων πανηγύρεσι, τὸν μὲν λόγον τὸν Πυθικὸν, ἀπὸ τοῦ βωμοῦ ἤχησεν, ἐφ' οὗ καὶ χρυσοῦς ἀνετέθη ἐν τῷ τοῦ Πυθίου ἱερῷ. ὁ δὲ Ὀλυμπικὸς λόγος, ὑπὲρ τοῦ μεγίστου αὐτῷ ἐπολιτεύθη. στασιάζουσαν γὰρ τὴν Ἑλλάδα ὁρῶν, ὁμονοίας ξύμβουλος αὐτοῖς ἐγένετο, τρέπων ἐπὶ τοὺς βαρβάρους, καὶ πείθων ἆθλα ποιεῖσθαι τῶν ὅπλων μὴ τὰς ἀλλήλων πόλεις, ἀλλὰ τὴν τῶν βαρ- C βάρων χώραν. ὁ δὲ ἐπιτάφιος, ὃν διῆλθεν Ἀθήνησιν, εἴρηται μὲν ἐπὶ τοῖς ἐκ τῶν πολέμων πεσοῦσιν, οὓς οἱ Ἀθηναῖοι δημοσίᾳ ξὺν ἐπαίνοις ἔθαψαν. σοφίᾳ δὲ ὑπερβαλλούσῃ ξύγκειται. παροξύνων τε γὰρ τοὺς Ἀθηναίους, ἐπὶ Μήδους τε, καὶ Πέρσας, καὶ τὸν αὐτὸν νοῦν τῷ Ὀλυμπικῷ ἀγωνιζόμενος, ὑπὲρ ὁμονοίας μὲν τῆς πρὸς τοὺς Ἕλληνας, οὐδὲν διῆλθεν, D ἐπειδὴ πρὸς Ἀθηναίους ἦν ἀρχῆς ἐρῶντας, ἣν οὐκ ἦν κτήσασθαι, μὴ τὸ δραστήριον αἱρουμένους. ἐνδιέτριψε δὲ τοῖς τῶν Μηδικῶν τροπαίων ἐπαίνοις, ἐνδεικνύμενος αὐτοῖς, ὅτι τὰ μὲν κατὰ τῶν βαρβάρων τρόπαια, ὕμνους ἀπαιτεῖ. τὰ δὲ κατὰ τῶν Ἑλλήνων, θρήνους. λέγεται δὲ ὁ Γοργίας ἐς ὀκτὼ, καὶ ἑκατὸν ἐλάσας ἔτη, μὴ καταλυθῆναι τὸ σῶμα ὑπὸ

γήρως, ἀλλ' ὀρθὸς καταβιῶναι, καὶ τὰς αἰσθήσεις ἡβῶν.

ΠΡΩΤΑΓΟΡΑΣ.

Πρωταγόρας δὲ ὁ Ἀβδηρίτης, σοφιστὴς μὲν, καὶ Δημοκρίτου ἀκροατὴς οἴκοι ἐγένετο. ὡμίλησε δὲ καὶ τοῖς ἐκ Περσῶν μάγοις, κατὰ τὴν τοῦ Ξέρξου ἐπὶ τὴν Ἑλλάδα ἔλασιν. πατὴρ μὲν γὰρ ἦν αὐτῷ, Μαίανδρος, πλούτῳ κατεσκευασμένος παρὰ πολλοὺς τῶν ἐν τῇ Θράκῃ. δεξάμενος δὲ τὸν Ξέρξην οἰκίᾳ τε, καὶ δώροις, τὴν ξυνουσίαν τῶν μάγων τῷ παιδὶ παρ' αὐτοῦ εὕρετο. οὐ γὰρ παιδεύουσι τοὺς μὴ Πέρσας Πέρσαι μάγοι, ἢν μὴ ὁ βασιλεὺς ἐφῇ. τὸ δὲ ἀπορεῖν φάσκειν. εἴτε εἰσὶ θεοὶ, εἴτε οὐκ εἰσὶ, δοκεῖ μοι Πρωταγόρας ἐκ τῆς Περσικῆς παιδεύσεως παρανομῆσαι. μάγοι γὰρ ἐπιθειάζουσι μὲν, οἷς ἀφανῶς δρῶσι τὴν δὲ ἐκ φανεροῦ δόξαν τοῦ θείου, καταλύουσιν, οὐ βουλόμενοι δοκεῖν παρ' αὐτοῦ δύνασθαι. διὰ μὲν δὴ τοῦτο, πάσης γῆς ὑπὸ Ἀθηναίων ἠλάθη, ὡς μέν τινες, κριθείς· ὡς δὲ ἐνίοις δοκεῖ, ψήφου ἐνεχθείσης μὴ κριθέντι. νήσους δὲ ἐξ ἠπείρου ἀμείβων, καὶ τὰς Ἀθηναίων τριήρεις φυλαττόμενος, πάσαις θαλάτταις ἐνεσπαρμένας, κατέδυ πλέων ἐν ἀκατίῳ μικρῷ. τὸ δὲ μισθοῦ διαλέγεσθαι, πρῶτος μὲν εὗρε· πρῶτος δὲ παρέδωκεν Ἕλλησι πρᾶγμα οὐ μεμπτόν. ἃ γὰρ σὺν δαπάνῃ σπουδάζομεν, μᾶλλον ἀσπαζόμεθα τῶν προῖκα. γνοὺς δὲ τὸν Πρωταγόραν ὁ Πλάτων σεμνῶς μὲν ἑρμηνεύοντα, ὑπτιάζοντα δὲ τῇ σεμνότητι, καί που καὶ μακρολογώτερον τοῦ συμμέτρου, τὴν ἰδέαν αὐτοῦ, μύθῳ μακρῷ ἐχαρακτήρισεν.

A to: ſed integris artibus & ſenſibus vigentibus.

PROTAGORAS.

Protagoras Abderites Democriti auditor, Sophiſta domi factus eſt: poſtquàm Xerxes in Græciam traiecit, cùm Perſarum Magis verſatus eſt. Pater ei Mæander fuit, qui diuitiis maioribus inſtructus, quàm plerique qui in Thracia degebant. Cùm Xerxem domo ac mu-
B neribus excepiſſet, eius beneficio familiaritaté cum Magis filio comparauit. Non enim Perſarum Magi inſtituunt eos qui Perſæ non ſunt, niſi rex permiſerit. Quòd autem dictitaret Protagoras ſe dubitare, ſiue Dei eſſent, ſiue non, mihi videtur ex Perſica diſciplina peruerſè profanéque locutus. Magi enim numen celebrant, vbi occultè operantur: ſed palàm numinis opinionem diſſoluunt, cùm videri no-
C lint ab eo quicquam pollere. Propterea certè omni ſolo ab Athenienſibus expulſus; cùm iudicio, vt quidam volunt, condemnatus fuiſſet: vt verò aliis videtur, cùm ſententia indicta cauſa, data eſſet. Ex Epiro in inſulas tranſmiſſurus, cùm Athenienſium triremes toto mari diſperſas caueret, ſubterfugiens parua cymba nauigauit. Primus de diſſerendo mercedis cauſa cogitauit: ac proinde primus ne-
D gocium nequaquam reprehenſibile Græcis tradidit. Nam ea ſtudia quæ ſumptu comparamus, longè cupidius complectimur, quàm ea quæ gratis exequimur. Ceterû cùm Protagoram Plato noſceret grauiter enunciantem, ſed in grauitate ſua ſupinum, & quandoque plus æquo orationi indulgentem, eius dicendi genus longæ fabulæ imagine inſigniuit.

A

HIPPIAS.

Hippias Eléus Sophiſta, memoriæ vi etiam ſeneſcens adeò firma fuit, vt audita ſemel quinquaginta nomina, eodem modo quo audiuerat, omnino commemoraret. In diſputationes, Geometriam, Aſtronomiam, Muſicen & modulos introductiones parauit. De pictura & ſtatuaria arte diſputauit: atque hæc alibi. In Lacedæmone, ſtatus ciuitatum, colonias, operáque diſcendo percurrit. quoniam Lacedæmonij, quòd rerum potiri vellent, tali genere gaudebant. Troicum etiam dialogum edidit, cuius hæc ſumma fuit: Neſtor in excidio Troiano, Neoptolemo Achillis filio ea præcipit, quæ exerceri opus eſt, vt vir bonus & fortis aliquis videatur. Cùm legatione, ſæpiùs quàm alij Græci, functus fuerit: nullibi tamen ſui gloriam, neque concionando, neque diſputando diminuit. Plurimùm pecuniarum collegit, & in paruarum magnarúmque ciuitatum tribubus inſcriptus eſt. reliquo omni tempore celebris ac probatus, varia benéque lucubrata oratione, Græciam in Olympicis demulſit. in expoſitionibus non ieiunus, ſed nimis excultus ac ſuperuacaneus fuit, & naturæ atque ingenio indulgens: in paucis quædam poëtica vocabula affectabat.

PRODICVS.

Tantùm ſapientiæ nomen Prodicus Chius adeptus eſt, vt Xenophō, Grylli filius, in Bœotia carcere detentus, differenté auſcultarit, corporis vade conſtituto. Cùm legatus eſſet Athenas, profectus in ſenatum,

ΙΠΠΙΑΣ.

Ἱππίας δὲ ὁ σοφιστὴς ὁ Ἠλεῖος, τὸ μὲν μνημονικὸν, οὕτω τι καὶ γηράσκων ἔρρωτο, ὡς καὶ πεντήκοντα ὀνομάτων ἀκούσας ἅπαξ, ἀπομνημονεύειν αὐτὰ, καθ' ἣν ἤκουσε τάξιν. εἰσήγετο δὲ ἐς τὰς διαλέξεις, γεωμετρίαν, ἀστρονομίαν, μουσικὴν, ῥυθμούς. διελέγετο δὲ καὶ περὶ B ζωγραφίας καὶ ἀγαλματοποιίας. ταῦτα, ἑτέρωθι. ἐν Λακεδαίμονι δὲ, γένη τε διῄει πόλεων, καὶ ἀποικίας, καὶ ἔργα, ἐπεὶ οἱ Λακεδαιμόνιοι διὰ τὸ βούλεσθαι ἄρχειν, τῇ ἰδέᾳ ταύτῃ ἔχαιρον. ἔστι δὲ αὐτῷ καὶ Τρωϊκὸς διάλογος, οὐ λόγος. ὁ Νέστωρ ἐν Τροίᾳ ἁλούσῃ, ὑποτίθεται Νεοπτολέμῳ, τὸν Ἀχιλλέα χρὴ ἐπιτηδεύοντ' ἀνδρ' ἀγαθὸν φαίνεσθαι. πλεῖστα δὲ Ἑλλήνων πρεσβεύσας, οὐδαμοῦ κατέλυσε τὴν ἑαυτοῦ δόξαν δημηγορῶν C τε, καὶ διαλεγόμενος· ἀλλὰ χρήματα πλεῖστα ἐξέλεξε, καὶ φυλαῖς ἐνεγράφη πόλεων μικρῶν τε, καὶ μειζόνων. εὐδοκίμει δὲ, καὶ τὸν ἄλλον χρόνον ἔθελγε τὴν Ἑλλάδα ἐν Ὀλυμπίᾳ λόγοις ποικίλοις, καὶ πεφροντισμένοις εὖ. ἡρμήνευε δὲ οὐκ ἐλλιπῶς, ἀλλὰ περιττῶς, καὶ κατὰ φύσιν, ἐς ὀλίγα καὶ καταφεύγων τῶν D ἐκ ποιητικῆς ὀνομάτων.

ΠΡΟΔΙΚΟΣ.

Προδίκου δὲ τοῦ Κίου, ὄνομα τοσοῦτον ἐπὶ σοφίᾳ ἐγένετο, ὡς καὶ τὸν Γρύλλου Ξενοφῶντα ἐν Βοιωτοῖς δεθέντα, ἀκροᾶσθαι διαλεγομένου, καθιστάντα ἐγγυητὴν τοῦ σώματος. πρεσβεύων δὲ παρὰ Ἀθηναίοις, παρελθὼν ἐς τὸ βουλευτήριον,

ἐρῶντες δέονται. καὶ ἠλευθέρου τὸ Βυζάντιον. Δημοσθένους μὲν πολλὰ πρὸς Ἀθηναίους εἰπόντος, Λέοντος δὲ ὀλίγα πρὸς αὐτὸν Φίλιππον. καὶ πρεσβεύων δὲ παρ' Ἀθηναίοις ὁ Λέων ὅδε, ἐστασίαζε μὲν πολὺν ἤδη χρόνον ἡ πόλις, καὶ παρὰ τὰ ἤθη ἐπολιτεύετο· παρελθὼν δὲ ἐς τὴν ἐκκλησίαν, προσέβαλεν αὐτοῖς ἀθρόον γέλωτα ἐπὶ τῷ εἴδει, ἐπειδὴ πίων ἐφαίνετο, καὶ περίπλεως τὴν γαστέρα· ταραχθεὶς δὲ οὐδὲν ὑπὸ τοῦ γέλωτος, τί, ἔφη, ὦ Ἀθηναῖοι, γελᾶτε; ἢ ὅτι παχὺς ἐγώ, καὶ τοσοῦτος; ἔστι μοι καὶ γυνὴ πολλῷ παχυτέρα. καὶ ὁμονοοῦντας μὲν ἡμᾶς, χωρεῖ ἡ κλίνη· διαφερομένους δὲ, οὐδὲ ἡ οἰκία. καὶ ἐς ἓν ἦλθεν ὁ τῶν Ἀθηναίων δῆμος, ἁρμοσθεὶς ὑπὸ τοῦ Λέοντος, σοφῶς ἐπισχεδιάσαντος τῷ καιρῷ.

A eſt amantibus. Atq; ita Byzantium liberatum eſt : cùm Demoſthenes multa verba apud Athenienſes feciſſet, pauca verò Leo apud Philippum. Et cùm hic ipſe ad Athenienſes orator mitteretur, & ciuitas multo tempore ciuili ſeditione laboraret, & *præter instituta* reſpublica gereretur : accerſitus *ad concionem*, hoc modo, (quia pinguis hic erat, & prominenti ventre) concitate *profuſum*, Athenienſibus riſum *forma ſua* concitauit. B At hic riſu nequaquam perturbatus, Quid, inquit, ridetis Athenienſes? fortaſſe quia pinguis ego, & craſſus : at eſt mihi mulier longè pinguior, & nos conſentientes vnicus capit lectus, diſſentientes verò nec ipſa domus quidem. Quare in vnum Athenienſis populus hoc dicto conuenit, à Leone reconciliatus, qui eos extempore ſapienter erudiuit.

ΔΙΑΣ.

Δίας δὲ ὁ Ἐφέσιος, τὸ μὲν πεῖσμα τῆς ἑαυτοῦ φιλοσοφίας, ἐξ Ἀκαδημίας ἐβέβλητο. σοφιστὴς δ' ἐνομίσθη, διὰ τόδε. τὸν Φίλιππον ὁρῶν χαλεπὸν ὄντα τοῖς Ἕλλησιν, ἐπὶ τὴν Ἀσίαν στρατεύειν ἐποίησε. καὶ πρὸς τοὺς Ἕλληνας διεξῆλθε λόγον, ὡς δέον ἀκολουθεῖν στρατεύοντι· καλὸν γὰρ εἶναι καὶ τὸ ἔξω δουλεύειν, ἐπὶ τῷ οἴκοι ἐλευθεροῦσθαι.

C *DIAS.*

Dias Epheſius, philoſophiæ quidē ſuæ fundamentum ex Academia *iecerat* : atpropter hoc Sophiſta *habitus eſt*. Nam cùm Philippum videret Græcis eſſe *moleſtum*, in Aſiaticam eum expeditionem conuertit, & *apud* Græcos hæc verba *protulit* : Opus eſſe præſtare obſequium militanti : quandoquidē pulchrum eſſet ſeruire foris, & domi eſſe liberum.

ΚΑΡΝΕΑΔΗΣ.

Καὶ Καρνεάδης δὲ Ἀθηναῖος, ἐν σοφισταῖς ἐγράφετο. φιλοσόφως μὲν γὰρ κατεσκεύαστο τὴν γνώμην. τὴν δὲ ἰσχὺν τῶν λόγων, ἐς τὴν ἄγαν ἤλαυνε δεινότητα.

D *CARNEADES.*

Carneades Athenienſis inter Sophiſtas ſcribitur. Philoſophica enim mentem præditus fuit, & orationis vim ad ſummam euexit grauitatem.

ΦΙΛΟΣΤΡΑΤΟΣ.

Οἶδα καὶ Φιλόστρατον τὸν Αἰγύπτιον, Κλεοπάτρᾳ μὲν συμφιλοσοφήσαντα τῇ βασιλίδι, σοφιστὴν δὲ προσρηθέντα,

PHILOSTRATVS.

Ægyptium Philoſtratū cum Cleopatra regina philoſophantem, & Sophiſtam appellatum, ego quoq. vidi.

Poſtquam Panegyricum, ac varium dicendi genus *concinnaſſet*, cum mulieribus verſabatur. Quia ipſe, orationis amorem in deliciis habebat. Quare nonnulli in eum hoc Elegiacum concinunt,

Parodia diſtichi Theogn. interpr. F. Morello.

Docti corda Philoſtrati habe: namque hic Cleopatræ
Conuerſans, talis viſus adeſſe ſuis.

THEOMNESTVS.

Theomneſtum quoque Naucratitem publice philoſophantem, cõprehenſio in Sophiſtas euexit.

DION.

ἐπέτεινε δ' αὐτοῖς τὴν διαφοράν, ὁ ὑπὲρ Ἀμφιπόλεως ἐπὶ τοῦ Φιλίππου λόγος· ὅτε δὴ ἐξέπεσε μὲν τοῦ λόγου ὁ Δημοσθένης· ὁ δ' Αἰσχίνης, οὐδὲ τῶν ἀποβεβληκότων ποτὲ ἀσπίδα. ἀλλ' ἐνθυμούμενος τὸ ἐν Ταμύναις ἔργον, ἐν ᾧ Βοιωτοὺς ἐνίκων Ἀθηναῖοι, ἀριστεῖα τούτου δημοσίᾳ ἐστεφανοῦτο, τά τε ἄλλα, καὶ χρησάμενος ἀμηχάνῳ τάχει, περὶ τὰ εὐαγγέλια τῆς νίκης. διαβάλλοντος δὲ αὐτὸν Δημοσθένους ὡς αἴτιον τοῦ Φωκικοῦ πάθους, ἀπέγνωσαν Ἀθηναῖοι τὴν αἰτίαν. ἐπὶ δὲ τῷ καταψηφισθέντι Ἀντιφῶντι, ἥλω κριθεὶς καὶ ἀφείλοντο αὐτὸν οἱ ἐξ Ἀρείου πάγου, τὸ μὴ συνειπεῖν σφίσιν ὑπὲρ τοῦ ἱεροῦ τοῦ ἐν Δήλῳ. καὶ μὴν καὶ Πυλαγόρας ἀνακριθεὶς, οὔπω παρὰ τοῖς πολλοῖς διαπέφευγε, τὸ μὴ οὐκ αὐτὸς Ἐλατείᾳ ἐπιστῆσαι τὸν Φίλιππον, τὴν Πυλαΐδα συνταράξας εὐπροσώποις λόγοις, καὶ μύθοις. Ἀθηνῶν δ' ὑπεξῆλθεν, οὐχὶ φυγὴν προσαχθεὶς, ἀλλ' ἀτιμίᾳ ἐξιστάμενος, ᾗ ὑπήγετο ὑπὸ Δημοσθένους, καὶ Κτησιφῶντος, ἐκπεσὼν τῶν ψήφων. ἡ μὲν δὴ ὁρμὴ τῆς ἀποδημίας αὐτοῦ, παρὰ τὸν Ἀλέξανδρον ἦν, ὡς αὐτίκα ἥξοντα ἐς Βαβυλῶνά τε, καὶ Σοῦσα. καθορμισθεὶς δ' ἐς* αὐτὴν Ἔφεσον, καὶ τὸν μὲν, τεθνάναι ἀκούων, τὰ δὲ τῆς Ἀσίας αὐτοῦ ξυγκεκλεισμένα πράγματα, Ῥόδου εἴχετο. ἡ δὲ νῆσος ἀγαθὴ ἐνσπουδάσαι, καὶ σοφιστῶν φροντιστήριον ἀποφήνας τὴν Ῥόδον αὐτοῦ διῃτᾶτο, θύων ἡσυχίᾳ, καὶ μούσαις, καὶ δωρίοις ἤθεσιν ἐγκαταμιγνὺς Ἀττικά. τὸν δὲ αὐτοσχέδιον λόγον ξὺν εὐροίᾳ, καὶ θείως διαθέμενος, τὸν ἔπαινον τοῦτον πρῶτος ἠνέγκατο:

*γρ. τῶν ε.

A τὸ γὰρ θείως λέγειν, οὔπω μὲν ἐπεχωρίασε σοφιστῶν σπουδαῖς, ἀπ' Αἰσχίνου δὲ ἤρξατο, θεοφορήτῳ ὁρμῇ ἀποσχεδιάζοντος ὥσπερ οἱ τοὺς χρησμοὺς ἀναπνέοντες, ἀκροατὴς δὲ Πλάτωνός τε, καὶ Ἰσοκράτους γενόμενος, πολλὰ καὶ παρὰ τῆς ἑαυτοῦ φύσεως ἤγετο. σαφηνείας τε γὰρ φῶς ἐν τῷ λόγῳ, καὶ ἁβρὰ σεμνολογία, καὶ τὸ ἐπίχαρι σὺν δεινότητι. καὶ καθάπαξ ἡ ἰδέα τοῦ λόγου, B κρείττων ἢ μιμήσασθαι ὑπαχθῆναι. λόγοι δὲ Αἰσχίνου κατ' ἐνίους μὲν, καὶ τέταρτός τις Δηλιακὸς, καταψευδόμενος τῆς ἐκείνου γλώττης. οὐ γὰρ ἄν ποτε τοὺς μὲν περὶ τὴν Ἄμφισσαν λόγους, ὑφ' ὧν ἡ Κιρραία χώρα καθιερώθη, διαπρεπῶς τε, καὶ ξὺν ὥρᾳ διέθετο, κακὰ βουλεύων Ἀθηναίοις, ὥς φησι Δημοσθένης. ἐπὶ δὲ τοὺς Δηλιακοὺς, ἐν οἷς θεολογία τε, καὶ θεογονία, καὶ ἀρχαιολογία, C φαύλως οὕτως ὥρμησε. καὶ ταῦτα προσαγωνιζόμενος Ἀθηναίων, οὐ μικρὸν ἡγουμένων τὸ μὴ ἐκπεσεῖν τοῦ ἐν Δήλῳ ἱεροῦ. τρισὶ δὲ λόγοις περιορίζεται ἡ Αἰσχίνου γλῶττα, τῷ τε κατὰ Τιμάρχου καὶ τῇ ἀπολογίᾳ τῆς πρεσβείας, καὶ τῇ τοῦ Κτησιφῶντος κατηγορίᾳ. ἔστι δὲ καὶ τέταρτον αὐτοῦ φρόντισμα, ἐπιστολαὶ οὐ πολλαὶ μὲν ἀπαιδευσίας δὲ μεσταὶ, D καὶ ἤθους. τοῦ δὲ ἠθικοῦ, καὶ Ῥοδίοις καλλίστην ἐπίδειξιν ἐποιήσατο. ἀναγνοὺς γάρ ποτε δημοσίᾳ τὸν κατὰ Κτησιφῶντος, οἱ μὲν, ἐθαύμαζον ὅπως ἐπὶ τοιούτῳ λόγῳ ἡττήθη, καὶ καθήπτοντο τῶν Ἀθηναίων ὡς παρανομούντων. ὁ δὲ, οὐκ ἂν, ἔφη, ἐθαυμάζετε, εἰ Δημοσθένους λέγοντος πρὸς ταῦτα ἠκούσατε.

A Diuina enim oratio in Sophiſtarum gymnaſio nondum vſitata fuerat. Ab Æſchine igitur diuini numinis afflatu pronunciante, perinde atque ab his qui cœleſti ſpiritu perciti oracula reddunt, talis oratio ſumpſit initium. Platonis & Iſocratis factus auditor, ex ingenio quoque multa adiecit. Etenim dilucidítatis lux in ſermone: & delicata venuſtas, & magna cum grauitate iocunditas: denique dicendi genus eiuſmodi in eo fuit, vt B id imitatione aſſequi nemo poſſet. Ex orationibus Æſchinis, vt plerique opinantur, quarta oratio, quæ Deliaca inſcribitur, eius linguá omnino mentitur. Nam haudquaquam orationes circa Amphiſſam, quibus Cirrhæa regio dedicatur, venuſtè, elegantérque diſpoſuiſſet; Athenienſibus, vt Demoſthenes inquit, malè conſulens. in orationibus autem Deliacis, in C quibus de ſermone diuino, de genere Deorum, déque antiquitate tractatur, ita prauè rem egit, etiamſi coram Athenienſibus decertaret, qui non parui momenti eſſe cenſebāt, à Deli templo excidere. In tribus verò orationib. Æſchinis lingua definitur: in ea contra Timarchum, in defenſione legationis, & in accuſatione Cteſiphontis. Quarta eius lucubratio ſunt epiſtolæ, non multæ quidem procacitatis, tamen D linguæ moralis ingeniíque pleniſſimæ. In morali oratione ſe Rhodiis pulcherrimè oſtentauit. Nam cùm orationem in Cteſiphontem publicè quandoque legeret, & admirarentur illi quomodo in tali oratione ſuccubuiſſet, Athenienſéſq; carperent, ille tunc, Nulla vos (inquit) admiratio teneret, ſi Demoſthenem contra orantē audiuiſſetis.

Vbi non modò inimici laudē conſtituit, ſed iudices quoque accuſatione liberauit.

NICETES.

Nos Aribarzane Cilice & Xenophrone Siculo; item Pythagora Cyrenaico prætermiſſis, qui neque rectè ſentire, neq; ea quæ ſenſerant, edite eloqui poſſe viſi ſunt: ſed nobilium Sophiſtarum inopia, ſub eis Græci ſtudere adigebantur. quomodo ſæpè fame laborantibus erui ſunt viſui: ad Nicetem Smyrnæum accedamus. Hic enim cùm ſcientiam in anguſtum redactam accepiſſet, ei aditus longè clariores dedit, quam illi erant quibus ipſe Smyrnam ædificarat, connexa vrbe portis quæ ad Epheſum ducebant: & magnitudine facta verbis adæquarat: hic autem orator forenſia tractantibus melior videbatur in forenſibus, ſophiſtica verò profitentibus in ſophiſticis, propterea quòd mira dexteritate & certatim vtraq; ad ſe compararat. Iudiciale namque genus ſophiſtico quodam amictu exornauit. contrà verò Sophiſticum, iudiciali aculeo corroborauit. Eius autem dicendi genus ab antiquo ciuilique receſſit, & ad Bacchicum ac Dithyrambicum acceſſit. Sententias autem proprias & admirabiles, non ſecus atque bacchantium Thyrſi mel, & examina lactis, edit. Cùm honoribus magnis decoraretur, ac Smyrna de ipſo nihil non prædicaret, vt de viro admirabili, rhetorémque præſtanti, populares tamen cœtus non frequentabat; verùm à vulgo accuſatus: Timeo, inquit, magis populum extollentem, quàm

A οὐ μόνον ἐς ἔπαινον ἐχθροῦ καθιστάμενος, ἀλλὰ καὶ τοὺς δικάσας ἀφιεὶς αἰτίας.

ΝΙΚΗΤΗΣ.

Ὑπερβάντες Ἀριβαρζάνην τὸν Κίλικα, καὶ Ξενόφρονα τὸν Σικελιώτην, καὶ Πυθαγόραν τὸν ἐκ Κυρήνης, οἳ μήτε γνῶναι ἱκανοὶ ἔδοξαν, μήθ' ἑρμηνεῦσαι τὰ γνωσθέντα· ἀλλ' ἀπορίᾳ τῶν γενναίων σοφιστῶν, ἐθαυμάσθησαν τοῖς ἐφ' ἑαυτῶν Ἕλλησιν, ὥσπερ ποτὲ τοῖς σίτου ἀποροῦσιν οἱ ὄροβοι, ἐπὶ Νικήτην ἴωμεν τὸν Σμυρναῖον. οὗτος γὰρ παραλαβὼν τὴν ἐπιστήμην ἐς στενὸν ἀπειλημμένην, ἔδωκεν αὐτῇ παρόδους πολλῷ λαμπροτέρας, ὧν αὐτὸς τῇ Σμύρνῃ ἐδείματο, συνάψας τὴν πόλιν ταῖς ἐπὶ τὴν Ἔφεσον πύλαις, καὶ διὰ μέγεθος ἀντεξάρας λόγοις ἔργα. ὁ δὲ ἀνὴρ οὗτος, τοῖς μὲν δικανικοῖς, ἀμείνων ἐδόκει τὰ δικανικά· τοῖς δὲ σοφιστικοῖς, τὰ σοφιστικά, ὑπὸ τοῦ περιδεξίως τε, καὶ πρὸς ἅμιλλαν ἐς ἄμφω ἡρμόσθαι. τὸ μὲν γὰρ δικανικὸν, σοφιστικῇ τινι περιβολῇ ἐκόσμησε· τὸ δὲ σοφιστικὸν, κέντρῳ δικανικῷ ἐπέρρωσεν. ἡ δὲ ἰδέα τῶν λόγων, τοῦ μὲν ἀρχαίου, καὶ πολιτικοῦ, ἀποβέβηκεν· ὑπόβακχος δὲ, καὶ διθυραμβώδης. τὰς δὲ ἐννοίας ἰδίας τε, καὶ παραδόξους ἐκδίδωσιν, ὥσπερ οἱ βακχεῖοι θύρσοι τὸ μέλι, καὶ τοὺς ἐσμοὺς τοῦ γάλακτος. μεγάλων δὲ ἀξιούμενος, καὶ τῆς Σμύρνης τί οὐκ ἐπ' αὐτῷ βοώσης, ὡς ἐπ' ἀνδρὶ θαυμαστῷ, καὶ ῥήτορι, οὐκ ἐθάμιζεν ἐς τὸν δῆμον, ἀλλ' αἰτίαν παρὰ τοῖς πολλοῖς ἔχων, φοβοῦμαι, ἔφη, δῆμον ἐπαίροντα μᾶλλον, ἢ

λοιδορούμενον. Τελώνου δὲ ποτε θρασυνομένου πρὸς αὐτὸν ἐν δικαστηρίῳ, καὶ εἰπόντος, παῦσαι ὑλακτῶν με, μάλα ἀστείως ὁ Νικήτης, ἔφη, ἢν καὶ σὺ παύσῃ δάκνων. ἡ δὲ ὑπὲρ Ἄλπεις τε, καὶ Ῥῆνον ἀποδημία τοῦ ἀνδρὸς, ἐγένετο μὲν ἐκ βασιλείου προστάγματος, αἰτία δὲ αὐτῆς, ἥδε. ἀνὴρ ὕπατος, ᾧ ὄνομα Ῥοῦφος, τὴν Σμυρναίοις ἐλογίστευε πικρῶς, καὶ δυστρόπως. τούτῳ δὲ προσκρούσας ὁ Νικήτης. ἔρρωσο, εἶπε. καὶ οὐκέτι προσῄει δικάζοντι. τὸν μὲν δὴ χρόνον, ὃν μιᾶς πόλεως ἦρξεν, οὔπω δεινὰ πεπονθέναι ᾤετο· ἐπιτραπεὶς δὲ τὰ Κελτικὰ στρατόπεδα, ὀργῆς ἀνεμνήσθη. αἱ γὰρ εὐπραγίαι, τά τε ἄλλα τοὺς ἀνθρώποις ἐπαίρουσι, καὶ τὸ μηκέτι καρτερεῖν, ἃ πρὶν εὖ πράττειν ἀνθρωπίνῳ λογισμῷ ἐκαρτέρουν. καὶ γράφει πρὸς αὐτοκράτορα Νερούαν, πολλὰ ἐπὶ τὸν Νικήτην, καὶ σχέτλια. καὶ ὁ αὐτοκράτωρ, αὐτὸς, εἶπεν, ἀκροάσῃ ἀπολογουμένου· κἂν ἀδικοῦντα εὕρῃς, ἐπίθες δίκην. ταυτὶ δὲ ἔγραφεν, οὐ τὸν Νικήτην ἐκδιδοὺς, ἀλλὰ τὸν Ῥοῦφον ἐς συγγνώμην ἑτοιμάζων. οὐ γὰρ ἄν ποτε ἄνδρα τοιοῦτον ἐφ' ἑαυτῷ γεγονότα, οὔτ' ἂν ἀποκτεῖναι ὁ Ῥοῦφος, οὔτ' ἂν ἕτερον ζημιῶσαι οὐδὲν, ὡς μὴ φανείη βαρὺς τῷ καθιστάντι αὐτὸν δικαστὴν ἐχθροῦ. διὰ μὲν δὴ ταῦτα, ἐπὶ Ῥῆνόν τε, καὶ Κελτοὺς ἦλθε. παρελθὼν δ' ἐπὶ τὴν ἀπολογίαν, οὕτω τι κατέπληξε τὸν Ῥοῦφον, ὡς πλείω μὲν ἀφεῖναι ἐπὶ τῷ Νικήτῃ δάκρυα, οὗ διεμέτρησεν αὐτῷ ὕδατος. ἀποπέμψαι δὲ οὐκ ἄτρωτον μόνον, ἀλλὰ καὶ περίβλεπτον ἐν τοῖς ζηλωτοῖς Σμυρναίων.

A conuiciantem. Cùm Telonus aduerſus eum in iudicio aliquid quádoque auderet, & ſubinde diceret, vt oblatrare deſineret, vrbanè & ſalsè admodum reſpondit, Tu quoque mordere deſine. Imperatorio iuſſu Alpes & Rhenum peregrinatus eſt. Cuius quidem peregrinationis hæc cauſa fuit. Conſul cui nomen Ruffus erat, Smyrnæos aſperè moroſéq; regebat. Huic Nicetes quandoque aduerſatus, Valeas, inquit. neque amplius ius di- B centem adiuit. Ille autem eo tempore quo vni ciuitati præfuit, nullo modo ſe grauia & iniqua perpeſſum putauit: ſed Celticis exercitibus præfectus, priſtinæ iracundiæ recordatus eſt. Quando ſucceſſus & res proſperæ tùm homines efferunt, tum efficiunt, vt ea non amplius tolerent, quæ ante felicitatem, humana ratiocinatione perferebant. Ergo ad Neruam Imperatorem multa grauiter & per- C niciosè de Nicete ſcribit. Cui Imperator reſpondit: Reum ſe defendentem audi: quòd ſi nocentem inueneris, ſupplicio afficito. Hæc Nerua ſcribebat, non vt Nicetem hoſti traderet, ſed vt Ruffũ ad dandam veniã pararet. Enimuerò Ruffus talem virum poteſtati ſuæ ſubditum, neque interficere, neque vllam ei multam imponere auſus eſſet, ne Imperatori à quo inimici iudex conſtitutus fuerat, impor- D tunus videretur. Propter hæc igitur ad Rhenum & Celtas Nicetes profectus, ad ſe defendendum acceſſit, ac tanto ſtupore Ruffum affecit, vt maiorem ſupra Nicetem lachrymarum vim effuderit, quàm aqua illa, quam ei ad dicendum conceſſerat. Quare eum non modò illæſum, ſed & inter beatos illuſtréſq; Smyrnęos conſpicuũ dimiſit.

Heraclides Lycius Sophiſta nonnullis poſt temporibus hunc oratorem emendans, Nicetem perpurgatum inſcripſit. Sed ſe Pygmæa ſpolia coloſſo impoſuiſſe neſciuit.

ISÆVS.

Iſæus Sophiſta Aſſyrius adoleſcentiæ tempus voluptatibus impenderat. Sedenim à ventre & ebrietate ſuperabatur. Tenuia veſtimenta induebat, & ſubinde amori ludum dabat, ac palam laſciuiebat. Sed cùm virilem ætatem attigit, tantùm mutatus eſt, vt iam alter ab illo cenſeretur: nam cùm riſum excitandi ſtudium redundare in ipſo videretur, id à vultu & animi ſenſu ſuſtulit: ac citharæ ſtrepitum, & tibiarum ſonitum, ne in ſcena quidem amplius audiuit: exuit etiam Lydia indumenta, & amiculorum infecturas. & menſas coërcuit, & amare intermiſit, tanquam ſi priores oculos amiſiſſet. Rhetore igitur Ardio eum interrogante, ſi certa quædam mulier ipſi pulchra videretur: Iſæus admodum modeſtè reſpondit, ſe oculorum morbo iam laboraſſe deſiiſſe. Interrogante ipſum altero, quis optimus piſcium alituúmque inter obſonia foret: Hæc, inquit Iſæus, diligenter expendere deſij. namque intellexi me Tantali hortos vindemiare: hæc vtique percontanti, oſtendens, omnes voluptates vmbras eſſe & ſomnia. Cùm Dionyſius Mileſius eius eſſet auditor, & cantillando declamaret, increpans Iſæus, Adoleſcens, inquit, Ionice; ego te canere minimè docui. Cùm Ionicus apud ipſum adoleſcentulus admiraretur, quòd de Xerxe à Niceta magnificè dictum fuerat, A regia

A τὸν δ' ἄνδρα τοῦτον χρόνοις ὕστερον Ἡρακλείδης ὁ Λύκιος σοφιστὴς διορθούμενος, ἐπέγραψε Νικήτην τὸν κεκαθαρμένον. ἠγνόησε δὲ, ἀκροθίνια Πυγμαῖα κολοσσῷ ἐφαρμόζων.

ΙΣΑΙΟΣ.

Ἰσαῖος δ' ὁ σοφιστὴς ὁ Ἀσσύριος, τὸν μὲν ἐν μειρακίῳ χρόνον, ἡδοναῖς ἐδεδώκει. γαστρὸς γὰρ καὶ φιλοποσίας ἥττητο, καὶ λεπτὰ ἠμπίσχετο, καὶ θαμὰ ἤρα, B καὶ ἀπαρακαλύπτως ἐκώμαζεν. ἐς δὲ ἄνδρας ἥκων, οὕτω τι μετέβαλεν, ὡς ἕτερος ἐξ ἑτέρου νομισθῆναι. τὸ μὲν γὰρ φιλόγελων ἐπιπολάζειν αὐτῷ δοκοῦν, ἀφεῖλε καὶ προσώπου, καὶ γνώμης λυρῶν τε, καὶ αὐλῶν κτύποις οὐδ' ἐπὶ σκηνῆς ἔτι παρετύγχανεν. ἀπέδυ δὲ καὶ τὰ Λύδια, καὶ τὰς τῶν ἐφεστρίδων βαφάς. καὶ τράπεζαν ἐκόλασε, καὶ τὸ ἐρᾶν μεθῆκεν, ὥσπερ τοὺς προτέρους ὀφθαλ- C μοὺς ἀποβαλών. Ἀρδύος γοῦν ῥήτορος ἐρομένου αὐτὸν, εἰ ἡ δεῖνα αὐτῷ καλὴ φαίνοιτο, μάλα σωφρόνως ὁ Ἰσαῖος, πέπαυμαι, εἶπεν, ὀφθαλμιῶν. ἐρομένου δὲ αὐτὸν ἑτέρου, τίς ἄριστος τῶν ἰχθύων, καὶ τῶν ὀρνίθων ἐς βρῶσιν, πέπαυμαι, ἔφη ὁ Ἰσαῖος, ταῦτα σπουδάζων. ξυνῆκα γὰρ τοὺς Ταντάλου κήπους τρυγῶν. ἐνδεικνύμενος δή που τῷ ἐρομένῳ ταῦ- D τα, ὅτι σκιὰ, καὶ ὀνείρατα αἱ ἡδοναὶ πᾶσαι. τῷ δὲ Μιλησίῳ Διονυσίῳ ἀκροατῇ ὄντι, τὰς μελέτας ξὺν ᾠδῇ ποιουμένῳ, ἐπιπλήττων ὁ Ἰσαῖος, μειράκιον, ἔφη, Ἰωνικὸν, ἐγὼ δέ σε ᾄδειν οὐκ ἐπαίδευσα. νεανίσκου δὲ Ἰωνικοῦ θαυμάζοντος πρὸς αὐτὸν τὸ Νικήτη μεγαλοφώνως ἐπὶ τοῦ Ξέρξου εἰρημένον, ἐν τῆς βασιλείου

πρὸς Αἴγιναν ἀναδησώμεθα. καταγελάσας πλατὺ ὁ Ἰσαῖος, ἀνόητε, εἰπὲ καὶ πῶς ἀναχθήσῃ. τὰς δὲ μελέτας, οὐκ αὐτοσχεδίους ἐποιεῖτο, ἀλλ' ἐπεσκεμμένας τὸν ἐξ ἕω ἐς μεσημβρίαν καιρόν. ἰδέαν δ' ἐπήσκησε λόγου, οὔτ' ἐπιβεβλημένην, οὔτ' αὖον, ἀλλ' ἀπέριττον, καὶ κατὰ φύσιν, καὶ ἀποχρῶσαν τοῖς πράγμασι, καὶ τὸ βραχέως ἑρμηνεύειν. καὶ πᾶσαν τὴν ὑπόθεσιν συνάγειν ἐς βραχὺ Ἰσαίου εὕρημα. ὡς ἐν πλείοσι μὲν ἑτέροις, μάλιστα δὲ ἐν τοῖσδε ἐδηλώθη. τοὺς μὲν γὰρ Λακεδαιμονίους ἀγωνιζόμενος, τοὺς βουλομένους περὶ τοῦ τείχους, ἀπὸ τῶν Ὁμήρου ἐβραχυλόγησε τοσοῦτον, Ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ. οὕτω στῆτέ μοι Λακεδαιμόνιοι, καὶ τετειχίσμεθα. κατηγορῶν δὲ τοῦ Βυζαντίου Πύθωνος ὡς δεθέντος μὲν ἐκ χρησμῶν ἐπὶ προδοσίᾳ, κεκριμένης δὲ τῆς προδοσίας, ὡς ἀνέζευξεν ὁ Φίλιππος, ξυνέλαβε τὸν ἀγῶνα πάντα ἐς τρεῖς ἐννοίας. ἔστι γὰρ τὰ εἰρημένα ἐν τρισὶ τούτοις, ἐλέγξω Πύθωνα προδεδωκότα τῷ χρήσαντι θεῷ, τῷ δήσαντι δήμῳ, τῷ ἀναζεύξαντι Φιλίππῳ. ὁ μὲν γὰρ, οὐκ ἂν ἔχρησεν, εἰ μή τις ἦν. ὁ δὲ, οὐκ ἂν ἔδησεν, εἰ μὴ τοιοῦτος ἦν. ὁ δ' οὐκ ἂν ἀνέζευξεν, εἰ μὴ δι' ὃν ἦλθεν, οὐχ εὗρεν.

ΣΚΟΠΕΛΙΑΝΟΣ.

Ὑπὲρ Σκοπελιανοῦ τοῦ σοφιστοῦ διαλέξομαι, καθαψάμενος πρότερον τῶν κακίζειν αὐτὸν πειρωμένων. ἀπαξιοῦσι γὰρ δὴ τὸν ἄνδρα τοῦ τῶν σοφιστῶν κύκλου· διθυραμβώδη καλοῦντες, καὶ ἀκόλαστον, καὶ πεπαχυσμένον. καὶ

A videlicet, naui, Æginam alligemus.
Tunc Iſæus in riſum latè profu-
ſus, Stultè (inquit) quónam modo
renauigabis? Hic extemporales qui-
dem declamationes non egit, ſed
ab aurora in meridiem vſque ex-
cogitatas. Genus orationis exer-
cuit, neque apprimè exaggera-
tum, neque aridum: ſed in quo
nihil redundaret, atque vt natura
poſtulat, & quos rebus ſatisface-
ret. ac breuiter exponere, ac vni-
B uerſam paucis cauſam, compre-
hendere, Iſæi inuentum fuit: quem-
admodum in pluribus aliis, atque
in his maximè apparet. Nam La-
cedæmonios contentioſè inducens
de muro decernentes, Homeri car-
mine, ſic breuiter locutus eſt:

Scutum haret ſcuto, galea galea, atque
viro vir.

Ita inſtate Lacedæmonij, & mu-
ro muniemur. Cùm Pythona By-
zantium accuſaret, tanquam ex o-
raculo ob proditionem in vincula
coniiciendum: quaquidem prodi-
C tione iudicata Philippus caſtra mo-
uit: totam cõtrouerſiam tribus ſen-
tentiis complexus eſt. In his enim
tribus ab eo dicta cõſiſtunt: Pytho-
nem proditorem arguam, Deo vati-
cinanti, populo ligante, & Philippo
caſtra mouente: alteri enim ora-
culum non dediſſet, niſi quis eſſet.
Alter non ligaſſet, niſi talis eſſet.
Tertius non caſtra mouiſſet, niſi
D per quem venerat, non inueniſſet.

SCOPELIANVS.

De Scopeliano Sophiſta diſſere-
mus, ſi prius illos perſtrinxerimus,
qui ei detrahere conantur. Sophi-
ſtarum namque circulo eum indi-
gnum eſſe reputant. Quem dithy-
rambicum, incaſtigatum & craſſum

appellant. Hæc de iſto dicunt, qui in dicendo graciles ſunt, & languidi, atque nihil extempore pronunciantes. Homines enim ſuaptè natura inuident. Magnos enim parui calumniantur, formoſóſque deformes, item leues & veloces, tardi & loripedes: præterea audaces timidi, & lyricos à Muſis alieni, pugiles & palæſtritas inexercitati. Neque mirari opus eſt, ſi qui lingua impediti, eámque ſilentij boue oneratam habent, & nihil magni ſentientes, neque alij meditato conſentientes, hominem Græcorum omniũ ſui temporis promptiſſimè, audaciſſimè, magnificentiſſiméque exponentem reſpuunt, improbántque. Quemadmodum igitur virum ignorauerint, & qualis ipſi domuíque forma fuerit, oſtendam. Pontifex Aſiæ fuit ipſe, ſuíque progenitores, & omnes à patre nati, & corona hæc non mediocris, multis opibus præpollens. Ecce gemini naſcuntur, & ambo in faſciis & cunabulis inuoluti erant; quinto autem ab eorum ortu die, alter fulmine concuſſus eſt: alter verò vnà cum proſtrato iacens, ne vllo quidem in ſenſu noxa mutilatus eſt. & tamen fulguris ignis ita acer & ſulfureus eſt; vt ex iis qui propè ſunt, alios quidem præ ſtupore interficiat: alios verò auribus & oculis mulctet: nonnullorum mentes pertentet. Sed nihil horum Scopelianus paſſus eſt: in profundam enim ſenectutem incolumis & integer peruenit. Hoc autem vnde mirer, tibi oſtendere velim. In Lemno ſub maxima quercu, meſſores octo cœnabant, qui

A ταυτὶ δὲ περὶ αὐτοῦ λέγουσιν οἱ λεπτολόγοι, καὶ νωθροί, καὶ μηδὲν ὑπ' αὐτοσχεδίου γλώττης ἀναπνέοντες. φύσει μὲν γὰρ ἐπίφθονον χρῆμα ἄνθρωποι. διαβάλλουσι γοῦν τοὺς μὲν εὐμήκεις, οἱ μικροί· τοὺς δὲ εὐειδεῖς, οἱ πονηροὶ τὸ εἶδος; τοὺς κούφους τε, καὶ δρομικούς, οἱ βραδεῖς, καὶ ἑτερόποδες; τοὺς θαρσαλέους, οἱ δειλοί; καὶ οἱ ἄμουσοι, τοὺς λυρικούς; καὶ τοὺς ἀμφὶ παλαίστραν, οἱ B ἀγύμναστοι. καὶ οὐ χρὴ θαυμάζειν, εἰ πεπεδημένοι τὴν γλῶτταν τινες, καὶ βοῦν ἀφωνίας, ἐπ' αὐτὴν βεβλημένοι, καὶ μήτ' ἂν αὐτοί τι ἐνθυμηθέντες μέγα, μήτ' ἂν ἐνθυμηθέντος ἑτέρου ξυμφήσαντες, διαπτύοιέν τε, καὶ κακίζοιεν τὸν ἑτοιμότατά τε, καὶ θαρραλεώτατα, καὶ μεγαλειότατα τῶν ἐφ' ἑαυτοῦ Ἑλλήνων ἑρμηνεύσαντα. ὡς δὲ ἠγνοήκασι τὸν ἄνδρα, ἐγὼ δηλώσω, καὶ ὁποῖον αὐτῷ καὶ τὸ C τοῦ οἴκου χρῆμα. ἀρχιερεὺς μὲν γὰρ ἐγένετο τῆς Ἀσίας αὐτός τε, καὶ οἱ πρόγονοι αὐτοῦ, παῖς ἐκ παιδὸς πάντες. ὁ δὲ στέφανος οὗτος, πολύς, καὶ ὑπὲρ πολλῶν χρημάτων. δίδυμος ἀποτεχθείς, ἄμφω μὲν ἤστην ἐν σπαργάνοις. πεμπταίων δὲ ὄντων, κεραυνῷ μὲν ἐβλήθη ὁ ἕτερος. ὁ δ' οὐδεμίαν ἐπηρεάσθη τῶν αἰσθήσεων, ξυγκατακείμενος τῷ βληθέντι. καίτοι D τό γε τῶν σκηπτῶν πῦρ, οὕτω δριμύ, καὶ θειῶδες, ὡς τῶν ἀγχοῦ τοὺς μέν, ἀποκτείνειν κατ' ἔκπληξιν. τοὺς δέ, ἀκοάς τε, καὶ ὀφθαλμοὺς σίνεσθαι τῶν δέ, ἐς τοὺς νοῦς ἀποσκήπτειν. ἀλλ' οὐδενὶ τούτων ὁ Σκοπελιανὸς ἥλω. διετέλεσε γὰρ δὴ καὶ ἐς γῆρας βαθύ, ἀκέραιος, καὶ ἄρτιος. τουτὶ δὲ ὁπόθεν θαυμάζω, δηλῶσαί σοι βούλομαι. ἐδείπνουν μὲν κατὰ τὴν Λῆμνον ὑπὸ δρυῒ μεγάλῃ θερισταὶ ὀκτώ, περὶ

τὸ καλούμενον κέρας τῆς νήσου. τὸ δὲ χωρίον τοῦτο, λιμήν ἐστιν, ἐς κεραίας ἐπιστρέφων λεπτάς. νέφους δὲ τινὸς δρυῒ περισχόντος, καὶ σκηπτοῦ ἐς αὐτὴν ἐνδοθέντος, ἡ μὲν, ἐβέβλητο ἐκ θεοῦ· θερισταὶ δὲ, ἐκπλήξεως αὐτοῖς ἐμπεσούσης, ἐφ' οὗ περ ἕκαστος ἔτυχε πράττων, οὕτως ἀπέθανεν. ὁ μὲν γὰρ κύλικα ἀναιρούμενος, ὁ δὲ, πίνων, ὁ δὲ, βάπτων, ὁ δ' ἐσθίων, τὰς ψυχὰς ἀφῆκαν, ἐπιτεθυμμένοι, καὶ μέλανες, ὥσπερ οἱ χαλκοὶ τῶν ἀνδριάντων περὶ τὰς ἐμπύροις τῶν πηγῶν. ὁ δὲ, οὕτω τι οὐκ ἀθεεὶ ἐτρέφετο, ὡς διαφυγεῖν μὲν τὸν ἐκ τοῦ σκηπτοῦ θάνατον, ὃν μηδὲ οἱ σκληρότατοι τῶν ἀγροίκων διέφυγον, ἄτρωτος δὲ μεῖναι τὰς αἰσθήσεις, καὶ τὸν νοῦν ἕτοιμος, καὶ ὕπνου κρείττων· καὶ γὰρ δὴ καὶ τὸ νωθρὸν αὐτοῦ ἀπῆν. ἐφοίτησε δὲ τοὺς ῥητορικοὺς τῶν λόγων, παρὰ τὸν Σμυρναῖον Νικήτην μελετήσαντα μὲν ἐπιφανῶς, πολλῷ δὲ μεῖζον ἐν δικαστηρίοις πνεύσαντα. δεομένων δὲ τῶν Κλαζομενίων τὰς μελέτας αὐτὸν οἴκοι ποιεῖσθαι, καὶ προβήσεσθαι τὰς Κλαζομενὰς ἐπὶ μέγα ἡγουμένων, εἰ τοιόσδε ἀνὴρ ἐμπεδώσοι σφίσι, τουτὶ μὲν, οὐκ ἀμούσως παρῃτήσατο, τὴν ἀηδόνα φήσας ἐν οἰκίσκῳ μὴ ᾄδειν· ὥσπερ δὲ ἄλσος τι τῆς ἑαυτοῦ εὐφωνίας, τὴν Σμύρνην ἐσκέψατο, καὶ τὴν ἠχὼ τὴν ἐκεῖ, πλείστου ἀξίαν ᾠήθη. πάσης γὰρ τῆς Ἰωνίας οἷον Μουσείου πεπολισμένης, ὀρθοτάτην ἐπέχει τάξιν ἡ Σμύρνα, καθάπερ ἐν τοῖς ὀργάνοις ἡ μαγάς. αἱ δ' αἰτίαι, δι' ἃς ὁ πατὴρ ἐξ ἡμέρου τε, καὶ πρᾴου χαλεπῶς αὐτῷ ἐγένετο, λέγονται μὲν ἐπὶ πολλά. καὶ γὰρ ἡ δεῖνα, καὶ ἡ δεῖνα, καὶ

A quidem locus inſulæ cornu appellatur: vbi portus eſt, qui in cornua tenuia inflectitur. Cùm ergo quercus à nube magna circumuecta fuiſſet, continuò demiſſo fulgure, illa de cœlo tangitur. Meſſores ſtupore perciti, prout quiſque fortè operabatur, ita occubuit. Hic enim poculum efferens, hic verò bibens, hic lauans, hic autem comedens, ſiderati, mactati, & nigri omnes, non ſecus atque ſtatuarum æra
B in lacu feruentiſſimæ fornacis, animas egerunt. Hic autem adeò non ſine numine nutriebatur, vt mortem è fulmine imminentem, quàm duri agricolæ euitare nequiuerunt, ipſe fugeret, illæſiſque ſenſibus & mente promptus, & ſomno potentior maneret. omnis enim torpor procul ab ipſo aberat. Ad oratoriam facultatem conſequendam, Nicetem Smyrnæum in declamando illuſtrem,
C multóque plus ſpiritus in iudiciis emittentem, adiuit. Cùm autem Clazomenij rogarent, vt declamationes domi ſuæ faceret, & vrbem ſuam in magnum prouectum iri, putarent, ſi vir talis apud eos ſedem figeret: hoc certè haud inconcinnè recuſauit, dicens: In cauea minimè canere Philomelam. At verò tanquam nemus vocalitatis ſuæ Smyrnam reputauit, & ſonoritatem ibi quàm digniſſimam iudicauit. Nam cùm Ionia tota ve-
D lut Muſéum adminiſtrata ſit, eius Smyrna, vt inter inſtrumenta muſica Magadis, ordinem continet integriorem. Cauſæ, quibus pater ex leni & manſueto difficilis ipſi factus eſt: alio atque alio modo, & multiplici varietate quãplures nar-

rantur. Ego verò quòd veriſſimum eſt, referam. Poſt Scopeliani matrem, alteram mulierem coniugio ſolemni & legitimo, ſenex ille duxit. Hic autem talia videns admonuit, dehortatúſque eſt. Quod quidem exitæ ætatis viris iniucundum eſt. Hæc rurſus aduerſus eum commentum finxit, quòd eam amaret, & repulſam minimè toleraret. Quinetiam & coquus ſenis famulus, cui Cythero cognomen erat, calumnias nouercæ auxit, vt tanquam in comico actu hero aſſentaretur: atque his verbis vſus eſt, Here, filius tuus iam te vult interficere, neque vltrò venientem, & paulò poſt futuram mortem ſenectuti tuæ cōcedit, ſed ipſemet autor tendit inſidias: imò manus meas ad patrandum facinus conducit. atenim venena in te exitioſa cōmparauit: eorúmque præſentiſſimum iubet me in aliquod ex eduliis tuis conii cere: libertatem, agros, domum, pecunias, & quidquid domi tuæ habere velim, obtemperanti mihi pollicetur: abnuenti verò, verbera, tormenta, craſſas compedes, graue piſtrinum. His autem aſſentationibus dominum circumuenit, qui propediem moriturus cùm ſua diſponeret, ab eo ſcribitur hæres, & filius, & oculi, & omnis anima appellatur. neque id admirari opus eſt, quòd ſenem amantem pellexerit; qui & per ætatem, & per amorem æquè delirabat. (Nam ex iunioribus quoq; amantibus nemo eſt ſuæ mentis compos) ſed quòd Scopeliani iuuentute, forenſique vigore potentior viſus ſit, cùm de teſtamenti tabulis cum eo certaſſet, & aduerſus illius vehementiam,

A πλείους. ἀλλ' ἐγὼ τὴν ἀληθεστάτην δηλώσω. μετὰ γὰρ τὴν τοῦ Σκοπελιανοῦ μητέρα, γυναῖκα ὁ πρεσβύτης ἠγάγετο ἡμίγαμόν τι, καὶ * κατὰ νόμους. ὁ δὲ ὁρῶν ταῦτα, ἐνουθέτει, ἀπῆγε. τουτὶ δὲ, τοῖς ἐξώροις ἀηδές. ἡ δ' αὖ, ξυνετίθει καθ' αὐτοῦ λόγον, ὡς ἐρῶντος μὲν αὐτῆς, τὴν διαμαρτίαν δὲ μὴ καρτεροῦντος. ξυνελάμβανε δὲ αὐτῇ τὴν διαβολὴν, καὶ οἰκέτης τοῦ πρεσβύτου μάγειρος, ᾧ ἐπωνυμία

B Κύθηρος, ὑποθωπεύων ὥσπερ ἐν δράματι τὸν δεσπότην, καὶ τοιαῦτα λέγων, ὦ δέσποτα, βούλεταί σε ὁ υἱὸς, ἤδη τεθνάναι· οὐδὲ τὸν αὐτόματόν τε καὶ μετ' οὐ πολὺ θάνατον ἐνδιδοὺς τῷ σῷ γήρᾳ, ἀλλ' αὐτουργεῖν μὲν τὴν ἐπιβολὴν, μεθούμενος δὲ καὶ τὰς ἐμὰς χεῖρας. ἔστι γὰρ αὐτῷ φάρμακα ἀνδροφόνα ἐπὶ σὲ,

C ὧν τὸ καιριώτατον κελεύει με ἐμβαλεῖν ἐς ἕν τι τῶν ὄψων, ἐλευθερίαν τε ὁμολογοῦν, καὶ ἀγροὺς, καὶ οἰκίας, καὶ χρήματα, καὶ πᾶν, ὅ,τι βουλοίμην ἔχειν τοῦ σοῦ οἴκου· καὶ ταῦτα μὲν, πειθομένῳ εἶναι· ἀπειθοῦντι δὲ, μάστιγάς τε, καὶ στρέβλωσιν, καὶ παχείας πέδας, καὶ κύφωνα βα-

D ρύν. τοιοῖσδε θωπεύμασι περιελθὼν τὸν δεσπότην, πλουτῶντος μετ' οὐ πολὺ, καὶ πρὸς διαθήκαις ὄντος, γράφεται κληρονόμος, υἱός τε προσρηθεὶς, καὶ ὀφθαλμοὶ, καὶ ψυχὴ πᾶσα. καὶ οὐχὶ τουτὶ χρὴ θαυμάζειν, ἐπεὶ πρεσβύτην ἐρῶντα ἔθελξεν, ἴσως που καὶ παραπαίοντα ὑπὸ ἡλικίας καὶ αὐτοῦ τοῦ ἔρωτος. καὶ γὰρ δὴ καὶ νέοι ἐρῶντες, οὐκ ἔστιν ὅς τις αὐτῶν ἑαυτοῦ νοῦν ἔχει. ἀλλ' ὅτι καὶ τῆς τοῦ Σκοπελιανοῦ νεότητός τε, καὶ τῆς ἐν δικαστηρίοις ἀκμῆς κρείττων ἔδοξεν, ἀγωνισάμενος μὲν περὶ τῶν διαθηκῶν πρὸς αὐτὸν,

ἀντικτείνας δὲ τῇ ἐκείνου δεινότητι τὸν ἐκείνου πλοῦτον. ἀπαντλῶν γὰρ τῆς οὐσίας, καὶ μισθούμενος ὑπερβολαῖς χρημάτων γλώττας ὁμοῦ πάσας, καὶ δικαστῶν ψήφους, πανταχοῦ τὴν νικῶσαν ἀπηνέγκατο. ὅθεν ὁ Σκοπελιανὸς, τὰ μὲν, Ἀναξαγόρου μηλόβοτα εἶναι, τὰ δὲ, αὐτοῦ δουλόβοτα ἔλεγεν. ἐπιφανὴς δὲ καὶ τὰ πολιτικὰ ὁ Κύθηρος γενόμενος, γηράσκων ἤδη, καὶ τὴν οὐσίαν ὁρῶν ὑποδιδοῦσαν, καταφρονούμενός τε ἱκανῶς, καί που καὶ πληγὰς λαβὼν πρὸς ἀνδρὸς, ὃν χρήματα ἀπαιτῶν ἐτύγχανεν, ἱκέτης τοῦ Σκοπελιανοῦ γίγνεται, ἀμνησικακίαν τε αὐτῷ παρεῖναι, καὶ ὀργὴν, ἀπολαβεῖν τε τὸν τοῦ πατρὸς οἶκον, ἀνέντα μὲν αὐτῷ μέρος τῆς οἰκίας, πολλῆς οὔσης, ὡς μὴ ἀγελαιότερος ἐν διαιτήσηται. συγχωρήσαντα δὲ ἀγροὺς δύο τοὺς ἐπὶ θαλάττῃ. καὶ Κυθήρου οἶκος ἐπωνόμασται νῦν ἔτι τὸ μέρος, ἐν ᾧ κατεβίω. ταυτὶ μὲν, ὡς μὴ ἀγνοεῖν αὐτά. * συνιέναι δὲ κἀκ τούτων, ὅτι οἱ ἄνθρωποι μὴ θεοῦ μόνον, ἀλλὰ καὶ ἀλλήλων παίγνια. Σκοπελιανοῦ δὲ σπουδάζοντος ἐν τῇ Σμύρνῃ, ξυμφοιτᾶν μὲν ἐς αὐτὴν Ἴωνάς τε, καὶ Λυδοὺς, καὶ Κᾶρας, καὶ Μαίονας, Αἰολέας τε, καὶ τοὺς ἐκ Μυσῶν, καὶ Φρυγῶν Ἕλληνας, οὔπω μέγα. ἀγχίθυρος γὰρ τοῖς ἔθνεσι τούτοις ἡ Σμύρνα, καὶ καιρίας ἔχουσα τῆς γῆς καὶ θαλάττης πυλῶν. ὁ δὲ ἦγε μὲν Καππαδόκας τε, καὶ Ἀσυρίους, ἦγε δὲ Αἰγυπτίους, καὶ Φοίνικας· Ἀχαιῶν τε τοὺς εὐδοκιμωτέρους, καὶ νεότητα τὴν ἐξ Ἀθηνῶν πᾶσαν. δόξαν μὲν οὖν ἐς τοὺς πολλοὺς παρεδεδώκει ῥᾳστώνης τε, καὶ ἀμελείας, ἐπεὶ τὸν πρὸ τῆς μελέτης καιρὸν ξυνῆν ὡς ἐπὶ πολὺ τοῖς ἐν

A illius quoque diuitias oppoſuiſſet. Namque ex bonis eius hauriendo, atque ingenti pecuniarum vi omnes ſimul linguas, iudiciúmque ſuffragia mercando, cauſa ſuperior vſquequaque euaſit. Quare Scopelianus, quæ Anaxagoræ erant, pecudum, quæ verò ſua, ſeruorum paſcua eſſe dicebat. Ceterùm Cytherus illuſtris in ciuitate factus, iam conſeneſcens, vidénſque rem familiarem deteri, admodum deſpectus, B & à quodam viro plagis affectus, à quo creditas pecunias repetebat, ſuplex Scopelianum obſecrauit, vt obliuionem iniuriarum apud ſe exerceret, & ab ira temperaret, recepta domo paterna, & parte domus, quæ ampla erat, ſibi relicta, ne ipſe ſordidè in vrbe verſaretur, & agris duobus ad mare vergentibus conceſſis. Atque ad hunc vſque diem pars domus, vbi vitam exegit, Cytheri ædes appellatur. Hæc autem ne ignorentur, idcirco dicta ſunt, vt omnibus C conſtet, homines non ſolùm Dei, ſed & ſui inuicem eſſe pilas. Scopeliano in Smyrna ſtudente, non magnum quidem fuit in eam Ionas, Lydos, Cares, Mæonas, Æoliósque; itémque ex Myſia & Phrygia Græcos conueniſſe: quádoquidem iſtis gentibus citima fuit Smyrna: quippe quæ opportunas maris & terræ portas habebat. Atqui hic D Cappadocas, Aſſyrios, Ægyptios, Phœnices: item Achiuorum probatiſſimos, & vniuerſam Athenienſium iuuentutem induxit. Negligentiæ, incuriæ & ſocordiæ opinionem apud multos reliquerat, quia ante tempus exercitationis, vt plurimùm, cum magiſtratibus

A Smyrnæorum, de republica diſſerens, conuerſabatur. Egregio quoque, & magnanimo ingenio abutebatur; ac parum quidem interdiu ſtudebat. Vigilantiſſimus autem hominum factus, Nox (aiebat) tu duntaxat plurimum diuinæ particeps es ſapientiæ. Eam enim ſuarum lucubrationum cooperatricem effecerat. Nam à veſpere ad diluculum, ſtudium intendebat. Cùm in omni poëmatum genere operam dedit: tum Tragœdiæ ſtudio correptus erat, cum præceptoris ſonoritate decertans. Hinc quippe ſummæ admirationi Nicetes fuit. eouſque porrò vocalitatis laude euectus eſt, vt etiam Gigantum prælia componeret; atque Homeri recitatoribus anſam ſermocinandi daret. è Sophiſtis maximè cum Gorgia Leontino verſatus eſt. Et cum his quoque rhetoribus, qui ſplendorem haberent. Gratiam natura potius quàm exercitatione obtinuit. Ionicis enim à natura inſitum eſt vrbanitate vti. quinetiam ridiculis orationes farcire ſolebat. Seuerum enim & mœſtum, coniectura imperuium, & iniucundum cenſebat. Sæpè in populum ſoluta facie prodibat, & præſertim cùm iratus erat, concionem habiturus: audientes vultus tranquillitate relaxans, mitigabat. In forenſibus erat indole, neque pecuniam amante, neque maledicentiam. Primùm enim ſui copiam faciebat iis quibus vitæ periculum creabatur. Homines mordaces & conuiciatores, qui maledicendo animum ſe oſtentare arbitrantur, temulentas vetulas, rabidáſque vocabat. Declamationes quæſtu agitauit. atque alíus alia merces fuit

Σμυρναίων τέλεσιν, ὑπὲρ τῶν πολιτικῶν. ὁ δὲ, ἀπεχρῆτο μὲν καὶ τῇ φύσει λαμπρᾷ τε οὔσῃ, καὶ μεγαλογνώμονι. καὶ τὸν μεθ' ἡμέραν καιρὸν ἧττον ἐσπούδαζεν, ἀϋπνότατος δ' ἀνθρώπων γενόμενος, ὦ νὺξ ἔλεγε, σὺ γὰρ δὴ πλεῖστον σοφίας μετέχεις μέρος θεῶν. ξυνεργὸν δὲ αὐτὴν ἐποιεῖτο τῶν ἑαυτοῦ φροντισμάτων. λέγεται γοῦν καὶ ἐς ὄρθρον ἀποτεῖναι, σπουδάζων ἀπὸ ἑσπέρας. προσέκειτο B μὲν οὖν ἅπασι ποιήμασι. τραγῳδίας δὲ καὶ ἐνεφορεῖτο, ἀγωνιζόμενος πρὸς τὴν τοῦ διδασκάλου μεγαλοφωνίαν. ἀπὸ γὰρ τούτου σφόδρα τοῦ μέρους, ὁ Νικήτης ἐθαυμάζετο. ὁ δὲ, οὕτω τι μεγαλοφωνίας ἐπὶ μεῖζον ἤλασεν, ὡς καὶ γιγαντίαν ξυνθεῖναι, παραδοῦναί τε Ομηρείδαις ἀφορμὰς ἐς τὸν λόγον. ὡμίλει δὲ σοφιστῶν μὲν μάλιστα, Γορ- C γίᾳ τῷ Λεοντίνῳ. ῥητόρων δὲ, τοῖς λαμπρὸν ἠχοῦσι. τὸ δὲ ἐπίχαρι, φύσει μᾶλλον εἶχεν, ἢ μελέτῃ. προσφυὲς μὲν γὰρ τοῖς Ἰωνικοῖς τὸ ἀστεΐζεσθαι. τῷ δ' αὖ, καὶ ἐπὶ τῶν λόγων τὸ φιλόγελων περιῆν. τὸ γὰρ κατηφὲς, δυσξύμβολόν τε, καὶ ἀηδὲς ἡγεῖτο. παρῄει δὲ ἐς τοὺς δήμους ἀνειμένῳ τῷ προσώπῳ· καὶ πολλῷ πλέον, ὅτε ξὺν ὀργῇ ἐκκλησιάζοιεν, ἀνιεὶς αὐτοὺς, καὶ διαπραΰνων τῇ τοῦ εἴδους εὐ- D θυμίᾳ. τὸ δὲ ἐν τοῖς δικαστηρίοις ἦθος, οὔτε φιλοχρήματος, οὔτε φιλολοίδορος. προῖκα μὲν γὰρ συνετάττεν ἑαυτὸν τοῖς ὑπὲρ ψυχῆς κινδυνεύουσι. τοὺς δὲ λοιδορουμένους ἐν τοῖς λόγοις, καὶ θυμοῦ ἐπίδειξιν ἡγουμένους ποιεῖσθαι, γραΐδια ἐκάλει μεθύοντά τε, καὶ λυττῶντα. τὰς δὲ μελέτας, μισθοῦ μὲν ἐποιεῖτο. ὁ δὲ μισθὸς, ἦν ἄλλος ἄλλου,

καὶ ὡς ἕκαστος οἴκου εἶχε. παρῄει δὲ ἐς αὐτοὺς οὔθ' ὑπερφρονῶν, καὶ σεσοβημένος, οὔθ' ὥσπερ οἱ δεδιότες, ἀλλ' ὡς εἰκὸς ἦν τὸν ἀγωνιῶντα μὲν ὑπὲρ τῆς ἑαυτοῦ δόξης, θαρροῦντα δὲ τῷ μὴ ἂν σφαλῆναι. διελέγετο δὲ ἀπὸ μὲν τοῦ θρόνου, ξὺν ἁβρότητι· ὅτε δὲ ὀρθὸς διελέγετο, ἐπιστροφὴν τὸ εἶχεν ὁ λόγος, καὶ ἔρρωτο· καὶ ἐπεσκοπεῖτο οὐκ ἔνδον, οὐδ' ἐν τῷ ὁμίλῳ· ἀλλ' ὑπεξιὼν ἐν βραχεῖ τοῦ καιροῦ, διεώρα πάντα. περιῆν δὲ αὐτῷ καὶ εὐφωνίας. καὶ τὸ φθέγμα ἡδονὴν εἶχε. τὸν δὲ μηρὸν θαμὰ ἔπληττεν, ἑαυτόν τε ὑπεγείρων, καὶ τοὺς ἀκροωμένους. ἄριστος μὲν οὖν καὶ σχηματίσαι λόγον, καὶ ἐπαμφοτέρως εἰπεῖν. θαυμασιώτερος δὲ περὶ τὰς ἀκμαιοτέρας τῶν ὑποθέσεων· καὶ πολλῷ πλέον περὶ τὰς Μηδικάς. ἐν αἷς οἱ Δαρεῖοί τε εἰσι, καὶ οἱ Ξέρξαι. ταύτας γὰρ αὐτός τέ μοι δοκεῖ ἄριστα σοφιστῶν ἑρμηνεῦσαι, παραδοῦναί τε τοῖς ἐπιγιγνομένοις ἑρμηνεύειν. καὶ γὰρ φρόνημα ἐν αὐταῖς ὑπεκρίνετο, καὶ κουφότητα τὴν ἐν τοῖς βαρβάροις ἤθεσιν. ἐλέγετο δὲ σείεσθαι μᾶλλον ἐν ταύταις, ὥσπερ βακχεύων. καί τινος τῶν ἀμφὶ Πολέμωνα τυμπανίζειν αὐτὸν φήσαντος, λαβόμενος ὁ Σκοπελιανὸς τοῦ σκώμματος, τυμπανίζω μὲν, εἶπεν, ἀλλὰ τῇ τοῦ Αἴαντος ἀσπίδι. βασίλειοι δὲ αὐτοῦ πρεσβεῖαι, πολλαὶ μὲν, καὶ γάρ τι καὶ ἀγαθὴ τύχη ξυνηκολούθει πρεσβεύοντι, ἀρίστη δὲ ἡ ὑπὲρ τῶν ἀμπέλων. οὐ γὰρ ὑπὲρ Σμυρναίων μόνον, ὥσπερ αἱ πλείους, ἀλλ' ὑπὲρ τῆς Ἀσίας ὁμοῦ πάσης ἐπρεσβεύθη. τὸν δὲ νοῦν τῆς πρεσβείας, ἐγὼ δηλώσω. ἐδόκει τῷ βασιλεῖ μὴ εἶναι τῇ Ἀσίᾳ ἀμπέλους, ἐπειδὴ ἐν οἴνῳ στασιάζειν ἔδοξαν, ἀλλ'

A pro ratione domus cuiuſque: prodibat in publicũ non vt ſuperbus, vel faſtu fremens, neque vt timidus, ſed vt pro ſua gloria certantẽ, & ſe errare minimè timẽtem prodire par eſt. A ſubſellio delicatè diſſerebat: quãdo autem rectus dicebat, cõuerſionis acumine & robore pollebat oratio: neque intus, neque in turbam inſpiciebat, ſed tanquam ad breue tempus ſe ſubducens, cuncta perluſtrabat. Eximia fuit in eo vocalitas, & eloquutio admodum iu-
B cunda. Et vt ſeſe atque auditores ſuſcitaret, ſibi femur ſubinde plectebat. Ad exornandum coloribus orationem, & ad dicendum in vtramque partem, optimus erat. Idem multò admirabilior in præclarioribus argumentis cauſarum; & longè magis ſi Medorum cauſas, quibus Darij & Xerxes inerant, declamaret. Has enim iſte præ ceteris Sophiſtis optimè egiſſe, & exponendas poſteris tradidiſſe mihi
C videtur. In illis enim magnos ſpiritus effinxit, & barbaris moribus inſitam leuitatem. quinetiam in iiſdem cauſis tanquam bacchatus, concuti dicebatur. Et dicente quodam è Polemonis ſociis, ipſum tympanizare, Scopelianus tali cauillatione perſtrictus, Tympanizo, inquit, ſed Aiacis ſcuto. Regales eius legationes multæ (atenim quædam bona fortuna hunc legationem agentẽ ſecuta eſt) optima ve-
D rò eſt ea quæ de vitibus. Hæc enim non pro Smyrnæis tantùm, vt pleræque aliæ, ſed pro vniuerſa ſimul Aſia ſuſcepta fuerat. Legationis ſententiam oſtendam. Vineas in Aſia non eſſe habendas regi placuerat; quinetiam quæ plantatæ erant, euellendas eſſe: neque in poſterum

de vitibus

de vitibus quicquam eſſe plantandum ſtatuerat, quòd in vino ſeditionem agitare viſi fuerant. Legatione publica, & viro opus erat; qui tanquam Orpheus, Thamyríſque pro ipſis demulceret aures. Scopelianum igitur omnes eligunt. Hic autem ita ex ſuperabundantia legationis munus exequutus eſt, vt rediret non hoc ſolùm impetrato, quo vites plãtare liceret, ſed vt mulcta quoque non plantantibus imponeretur. Quàm igitur celebris & clarus fuerit in controuerſia de vitibus, ex his quæ dicta ſunt patet. oratio ipſa inter maximè admirandas cenſetur. Id quoque conſtat ex iis quæ contigerunt, poſtquam illam habuit. Dona enim ob eam aſſecutus eſt, quæ à rege tribui ſolent. itémque acclamationes, ſalutationéſque multas, & laudes. Iuuenum cohors præclara & ſapientiæ cupida eum in Ioniam ſecuta eſt. Pòſt vbi venit Athenas Atticus Herodis Sophiſtæ pater, ipſum hoſpitio accepit. Quippe qui magis hunc in arte rhetorica, admirabatur quàm Gorgiam quandoque Theſſali. Quicunque ergo Rhetorum antiquorum Hermæ in curriculis domus erant, non ſecus ac ſi filium ſibi contemeraſſent, lapidibus peti iuſſit. Adoleſcens tunc erat Herodes, & adhuc ſub patris poteſtate viuebat: atque hoc ſolùm expetebat, vt ex tempore declamaret: ſed id nequaquam audebat, neque enim ad id vſque tempus cum Scopeliano verſatus fuerat; nec dum quiſnam eſſet ſubitæ orationis impetus nouerat. Quare ipſi ex animi ſententia viri aduentus fuit: poſtquàm eum docentem audiuit, & extempore ſua verba & ſenſa diſponentem, ab eo non parum inſtructus & confirmatus eſt.

A ἐπεὶ ἐν οἴνῳ στασιάζειν ἔδοξαν, ἀλλ' ἐξαιρεῖσθαι μὲν τὰς ἤδη πεφυτευμένας, ἄλλας δὲ μὴ φυτεύειν ἔτι. ἔδει δὴ πρεσβείας ἀπὸ τοῦ κοινοῦ, καὶ ἀνδρὸς ὃς ἔμελλεν, ὥσπερ Ὀρφεύς τις, ἢ Θάμυρις ὑπὲρ αὐτῶν θέλξειν. αἱροῦνται τοίνυν Σκοπελιανὸν πάντες. ὁ δὲ οὕτω τι ἐκ περιουσίας ἐκράτει τῆς πρεσβείας, ὡς μὴ μόνον τὸ ἐξεῖναι φυτεύειν ἐπανελθεῖν ἔχων, ἀλλὰ καὶ ἐπιτίμια κατὰ τῶν

B μὴ φυτευόντων. ὡς δὲ ηὐδοκίμησε τὸν ἀγῶνα τὸν ὑπὲρ τῶν ἀμπέλων, δηλοῖ μὲν καὶ τὰ εἰρημένα. ὁ δὲ λόγος, ἐν τοῖς θαυμασιωτάτοις. δηλοῖ δὲ καὶ τὰ ἐπὶ τῷ λόγῳ· δωρεῶν τε γὰρ ἐπ' αὐτῷ ἔτυχεν, ἃ νομίζεται παρὰ βασιλεῖ, πολλῶν τε προσρήσεων, καὶ ἐπαίνων. νεότης τε αὐτῷ λαμπρὰ ξυνηκολούθησεν ἐς Ἰωνίαν, σοφίας ἐρῶντες. ἐπειδὴ

C δὲ Ἀθήνησιν ἐγένετο, ποιεῖται αὐτὸν ξένον ὁ Ἡρώδου τοῦ σοφιστοῦ πατὴρ Ἀττικός, θαυμάζων ἐπὶ ῥητορικῇ μᾶλλον, ὡς καὶ τὸν Γοργίαν ποτὲ Θετταλοί. ὁπόσοι γοῦν τῶν πάλαι ῥητόρων ἑρμαῖ ἦσαν ἐν τοῖς τῆς οἰκίας δρόμοις, ἐκέλευσε τούτους βάλλεσθαι λίθοις, ὡς διεφθορότας αὐτῷ τὸν υἱόν. μειράκιον μὲν δὴ ἐτύγχανεν ὢν ὁ Ἡρώδης τότε, καὶ

D ὑπὸ τῷ πατρὶ ἔτι. τοῦ δ' αὐτοσχεδιάζειν ἤρα μόνου, οὐ μὴν ἐθάρρει γε αὐτοῦ. οὐδὲ γὰρ Σκοπελιανῷ ξυγγεγονὼς ἦν ἐς ἐκεῖνό γε τοῦ χρόνου, οὐδέ τι ἤ τις ἡ τῶν αὐτοσχεδίων ὁρμὴ γιγνώσκων. ὅθεν ἀσμένῳ αὐτῷ ἐγένετο ἡ ἐπιδημία τοῦ ἀνδρός. ἐπεὶ γὰρ λέγοντος ἤκουσε, καὶ διαπλέκοντος τὸν αὐτοσχέδιον, ἐπερρώσθη ὑπ' αὐτοῦ, καὶ ἡτοιμάσθη.

A καὶ τὸν πατέρα δὲ ἄσαι διανοηθεὶς, ἀπαγγέλλειν οἱ μελέτην ἐς τὴν ἰδέαν τοῦ ξένου. ὁ πατὴρ δὲ ἠγάσθη τι αὐτὸν τῆς μιμήσεως, καὶ πεντακόσια ἔδωκεν αὐτῷ τάλαντα. ἔδωκε δὲ καὶ αὐτῷ Σκοπελιανῷ δεκαπέντε. ὁ δὲ, ὅσα ὁ πατὴρ, τοσαῦτα ἀπὸ τῆς ἑαυτοῦ δωρεᾶς προσεπέδωκεν αὐτῷ, καὶ ἔτι διδάσκαλον ἑαυτοῦ προσεῖπεν· τουτὶ δὲ συνιέντι Ἡρώδου, καὶ τῶν τοῦ Πακτωλοῦ πηγῶν ἥδιον. τὴν δὲ εὐτυχίαν, ᾗ περὶ τὰς πρεσβείας ἐχρῆτο, ξυμβάλλειν δεῖ καὶ τοῖσδε. ἔδει μὲν γὰρ τοῖς Σμυρναίοις τοῦ πρεσβεύσοντος ὑπὲρ αὐτῶν ἀνδρός. ἡ πρεσβεία δὲ ἦν ὑπὲρ τῶν μεγίστων. ὁ μὲν δὴ ἐγήρασκεν ἤδη, καὶ τοῦ ἀποδημεῖν ἔξωρος εἶχεν. ἐχειροτονεῖτο δὲ ὁ Πολέμων, οὔπω πεπρεσβευκὼς πρότερον. εὐξάμενος οὖν ὑπὲρ τῆς ἀγαθῆς τύχης, ἐδεῖτο γενέσθαι οἱ τὴν τοῦ Σκοπελιανοῦ πειθώ. καὶ περιβαλὼν αὐτὸν ἐπὶ τῆς ἐκκλησίας, Δός δέ μοι ὤμοιιν τὰ σὰ τεύχεα θωρηχθῆναι· αἴ κέν πως εἴσκωσι, μάλιστα ἀστείως ὁ Πολέμων τὰ τοῦ Πατρόκλου ἐπειπὼν τῷ ἀνδρί. καὶ Ἀπολλώνιος δὲ ὁ Τυανεύς, ὑπερενεγκὼν σοφίᾳ τὴν ἀνθρωπίνην φύσιν, τὸν Σκοπελιανὸν ἐν θαυμασίοις τάττει.

ΔΙΟΝΥΣΙΟΣ.

D Διονύσιος δὲ ὁ Μιλήσιος, εἴθ' ὥς ἔνιοί φασι πατέρων ἐπιφανεστάτων ἐγένετο, εἴθ' ὥς τινες αὐτὸ τοῦτο ἐλευθέρων, ἀφείσθω τούτου τοῦ μέρους. ἐπὶ τῆς οἰκείας ἀρετῆς ἐλαμπρύνετο· τὸ γὰρ καταφεύγειν ἐς τοὺς ἄνω, ἀποβεβληκότων ἐστὶ τὸν ἐφ' ἑαυτῶν ἔπαινον. Ἰσαίου δὲ

Itaque vt patrem ſibi conciliaret, enuntiauit coram eo declamationem ad hoſpitis ideam eloqui. Pater imitandi ſolertiam admiratus in filio, quingenta ipſi talenta, & quindecim Scopeliano dedit. Herodes quot pater ei dederat, ex dono ſuo totidem Scopeliano ſuperaddidit: ac præceptorem ſuum appellauit. Hoc autem intelligenti Herodis patri, fontibus ipſis Pactoli fuit longè ſuauius. Quàm igitur hic in legationib. fortunatus fuit, hinc

B etiam coniectare licet. Smyrnæi enim pro rebus ſuis legato indigebant, & de maximi momenti rebus erat ipſa legatio. Conſenuerat iſte, neque peregrinationis tædium amplius tolerare poterat: electus verò fuerat Polemo, qui nondum tale munus obierat: quare pro bona fortuna precatus Scopeliani ſuadelam ſibi adeſſe poſcebat. Eúmque in concione amplexatus, ait,

Prebe tuis humeros armis circundare noſtros,

C *Si fortè an ſimilis fuero tibi.* —

Perurbanè quidem à Palæmone Patrocli verba ſunt vſurpata. Ceterùm Apollonius Tyaneus, qui humanum genus ſapiẽtia ſuperauit, Scopelianum inter viros admirabiles ſtatuit.

DIONYSIVS.

Dionyſius Mileſius, ſiue vt plerique dicunt ex nobiliſſimis parentibus natus fuerit, ſiue vt nonnulli ex liberis tantùm & ingenuis, dimittatur quòd ad hanc partem attinet: quandoquidem virtute propria claruit. Nam ad maiorum gloriam confugere, eorum profectò eſt, qui propriæ laudis iacturam fecerunt. Cùm Iſæi auditor eſ-

auditot eſſet, viri (vt dixi) ſuaptè natura eloquentis, hoc ſatis expreſſit, & præter hoc ſenſorum animi concinnitaté: enimuerò hoc etiam Iſæi peculiare fuit. iam verò cùm in notionibus inuentíſque ſuauiſſimus eſſet, non vt plerique Sophiſtarum, voluptatum delinimentis indulgebat, ſed delicias moderabatur, aiebátque ad familiares, mel ſummo digito & non concaua manu prælibare opus eſſe. Quemadmodum in omnibus quæ dicta ſunt, declaratum eſt à Dionyſio in diſſertationibus dialecticis, moralibus & legitimis concertationibus, maximè verò in Chæroneæ cladis lamentatione. Nam cùm enarraſſet Demoſthené ad ſenatum poſt Chæroneæ cladis lamentationem acceſſiſſe, in hanc lugubré orationis monodiam ipſe deſiit, O *Chæronea pernicioſus ager*! Et rurſus, O *transfuga ad Barbaros Bœotia*! *ſuſpiria ducite vos qui ſub terra eſtis Heroes. Prope Platæas victi ſumus*. Et rurſus, *Condemnatis Arcadibus, quòd mererent ſtipendia, concio belli propoſita eſt: & Græcorum mala regionem Arcadum nutriunt, & bellum nullam cauſam habens nos circumuenit*. Talis certè in vniuerſum orationis Dionyſij erat Idea, iuxta quam conſideranti opportunitatem, quantum Iſæus ſolebat, declamationis opera ei ſuccedebat. Rumor de Dionyſio ſparſus, quòd Chaldæorum artibus diſcipulos memoriæ facultatem edoceret; vnde percrebuerit, oſtendam. Memoriæ artes neque ſunt, neque vnquam fuerint. Artes enim memoria dedit: ipſa verò, ne vlla quidem arte comprehendi poteſt. Siquidem eſt peculiare naturæ donum, vel immortalis animæ pars. Non enim vnquam mortalia repu-

A ἀκροατὴς γενόμενος, ἀνδρὸς ὡς ἔφην κατὰ φύσιν ἑρμηνεύοντος, τουτὶ μὲν ἱκανῶς ἀπεμάξατο. καὶ πρὸς τούτῳ, τὴν εὐταξίαν τῶν νοημάτων. καὶ γὰρ δὴ καὶ τοῦτο Ἰσαίου. μελιχρώτατος δὲ περὶ τὰς ἐννοίας γενόμενος, οὐκ ἐμέθυε περὶ τὰς ἡδονάς, ὥσπερ ἔνιοι τῶν σοφιστῶν, ἀλλ' ἐταμιεύετο, λέγων, πρὸς τοὺς γνωρίμους, ὅτι χρὴ τοῦ μέλιτος ἄκρῳ δακτύλῳ, ἀλλὰ μὴ χειρὶ γεύεσθαι, B ὡς ἐν ἅπασι μὲν τοῖς εἰρημένοις δεδήλωται τῷ Διονυσίῳ, λογικοῖς τε, καὶ νομικοῖς, καὶ ἠθικοῖς ἀγῶσι. μάλιστα δ' ἐν τῷ περὶ Χαιρώνειαν θρήνῳ. διεξιὼν γὰρ τὸν Δημοσθένην, τὸν μετὰ Χαιρώνειαν θρῆνον προσαγαγόντα τῇ βουλῇ ἑαυτόν, ἐς τήνδε τὴν μονῳδίαν τοῦ λόγου ἐτελεύτησεν, ὦ Χαιρώνεια πονηρὸν χωρίον. καὶ πάλιν, αὐτομολήσασα C πρὸς βαρβάρους Βοιωτία. στενάξατε οἱ κατὰ γῆς ἥρωες. ἐστὶ Πλαταιῶν νενικήμεθα. καὶ πάλιν, τοῖς κρινομένοις ἐπὶ τῷ μισθοφορεῖν Ἀρκάσιν ἀγορὰ πολέμου πρόκειται. καὶ τὰ τῶν Ἑλλήνων κακὰ τὴν Ἀρκάδων τρέφει, καὶ περιέρχεται πόλεμος αἰτίαν οὐκ ἔχων. Τοιάδε μὲν ἡ ἐπίπαν ἰδέα τοῦ Διονυσίου, κατὰ τὰ τῆς μελέτης αὐτῷ περιέβαινεν, ἐπισκοπουμένῳ καιρόν, ὅσονπερ ὁ Ἰσαῖος. ὁ δὲ λόγος D ὁ περὶ τοῦ Διονυσίου λεγόμενος, ὡς Χαλδαίων τέχναις τοὺς ὁμιλητὰς τὸ μνημονικὸν ἀναπαιδεύοντος, ἐγὼ δηλώσω πόθεν εἴρηται. τέχναι μνήμης οὔτε εἰσίν, οὔτ' ἂν γένοιντο. μνήμη μὲν γάρ, δίδωσι τέχνας· αὐτὴ δὲ ἀδύνατος, οὐδὲ μιᾷ τέχνῃ ἁλωτός. * ἔστι γὰρ πλεονέκτημα φύσεως, ἢ τῆς ἀθανάτου ψυχῆς μοῖρα. οὐ γὰρ ἄν ποτε θνητὰ νομισθείη

A τὰ ἀνθρώπινα. οὔτ᾽ ἂν διδακτὰ ἐμάθομεν, εἰ μνήμη συνεπολιτεύετο ἀνθρώποις. ἣν εἴτε μητέρα δεῖ καλεῖν, εἴτε παῖδα, μὴ διαφερώμεθα πρὸς τοὺς ποιητὰς, ἀλλ᾽ ἔστω ὅ, τι βούληται. πρὸς δὲ τούτοις, τίς οὕτως εὐήθης καὶ τῆς ἑαυτοῦ δόξης, ἐν σοφοῖς γραφόμενος, ὡς γοητεύων* ἐν μειρακίοις διαβάλλειν, καὶ ἃ ὀρθῶς ἐπαιδεύθη; πόθεν οὖν τὸ μνημονικὸν τοῖς ἀκροωμένοις; ἄπληστον

B τὴν ἡδονὴν ἐδόκει τὰ τοῦ Διονυσίου, καὶ πολλάκις ἐπαναλαμβάνειν αὐτὰ ἠναγκάζετο· ἐπεὶ ξυνίει σφῶν χαιρόντων τῇ ἀκροάσει. οἱ δὲ εὐμαθέστεροι τῶν νέων, ἐνετυποῦντο αὐτὰ ταῖς γνώμαις, καὶ ἀπήγγελλον ἑτέροις μελέτῃ μᾶλλον, ἢ μνήμῃ ξυνειληχότες. ὅθεν μνημονικοί τε ὠνομάζοντο, καὶ τέχνῃ αὐτὸ πεπαιδευμένοι. ἔνθεν ὁρμώμε-

C νοί τινες, τὰς τοῦ Διονυσίου μελέτας ἐσπερματολογεῖσθαί φασιν, ὡς δὴ ἄλλο ἄλλου ξυνενεγκόντων ἐς αὐτὰς, ἐν ᾧ ἐβραχυλόγησε. μεγάλων μὲν οὖν ἠξιοῦτο κἀκ τῶν πόλεων, ὁπόσαι αὐτὸν ἐπὶ σοφίᾳ ἐθαύμαζον· μεγίστων δὲ ἐκ βασιλέως. Ἀδριανὸς γὰρ, σατράπην μὲν αὐτὸν ἀπέφηνεν οὐκ ἀφανῶν ἐθνῶν. κατέλεξε δὲ τοῖς δημοσίᾳ ἱππεύ-

D ουσι, καὶ τοῖς ἐν τῷ Μουσείῳ σιτουμένοις. τὸ δὲ Μουσεῖον, τράπεζα Αἰγυπτία, ξυγκαλοῦσα τοὺς ἐν πάσῃ τῇ γῇ ἐλλογίμους. πλείστας δὲ ἐπελθὼν πόλεις, καὶ πλείστοις ἐνομιλήσας ἤθεσιν, οὔτε ἐρωτικήν ποτ᾽ αἰτίαν ἔλαβεν, οὔτε ἀλαζόνα, ὑπὸ τοῦ σωφρονέστατός τε φαίνεσθαι, καὶ ἐφεστηκώς. οἱ δὲ ἀναπιθέντες Διονυσίῳ τὸν Ἀράσπαν, τὸν τῆς Πανθίας, ἐρῶντα,

A tantur humana, neque edocta diſceremus, ſi memoria cum hominibus ipſa conuerſaretur. Quam ſiue matrem, ſiue filiam [temporis] appellare opus eſt, ne contendamus cum poëtis: ſed eſto vt libitum fuerit. Quis porrò ita minimè malus, & gloriæ ſuæ aduerſarius inter doctos adſcriptus, vt tanquam præſtigiator inter adoleſcentes ea criminetur, quæ rectè edoctus fuerit? Vnde igitur audien-

B tibus hæc memoriæ vis propoſita eſt? Dionyſij enunciata inexplebilem afferre voluptatem videbantur, & ſæpe eadem iterare cogebatur, cùm perciperet auditores auſcultatione exhilarari. Qui autem ex iuuenibus dociliores erant ingenio, eius ſententias imprimebant animo, atq; exercitatione potius quàm memoria comprehenſa aliis recitabant. Vnde memores nuncupabantur, tanquam id arte didiciſſent.

C hinc plerique impulſi, Dionyſij declamationes, centonũ inſtar textas eſſe dicunt, quaſi alius aliud in eas contulerit; vbi breuiter locutus eſt. Magnis igitur honoribus ab illis ciuitatibus affectus eſt, quæcunque ſapientiam eius admirabantur: maximis autem ab Imperatore decoratus. Adrianus enim cum non humilium gentium ſatrapam deſignauit. Item inter viros equeſtris ordinis cenſeri voluit, & eos qui in

D Muſæo alebantur. Muſæum autem Ægyptia menſa erat, quæ ex omni terrarũ orbe eloquentiſſimos quoſque viros conuocabat. Cùm plurimas ciuitates adiiſſet, & cum gentibus diuerſorũ morum verſaretur, neque crimen vnquam ob amores, neque ob ſuperbiã ſubiit, eo quòd temperantiſſimus & modeſtiſſimus videretur. Qui autem Dionyſio imponunt Araſpam Panthiæ amatorẽ,

Dionyſij profectò numeros ignorant, ignorántque aliam interpretandi induſtriam, & artis enthymematum inſcij imperitíque ſunt. Non enim Dionyſij eſt lucubratio iſta, ſed Celeris artium ſcriptoris. Celer enim iſte, imperatoriarum epiſtolarum ſcitus magiſter fuit: in declamando autem non ſatis exercitatus: ceterùm adoleſcentiæ tempore Dionyſio aduerſatus eſt. Neque illa mihi prætermittenda ſunt, quippe quæ Ariſtæus Græcorum antiquiſſimus eorum qui æuo meo vixerunt, audiuerit, qui de Sophiſtis plurima nouerat. Dionyſius in magno gloriæ ſplendore iam conſeneſcebat: Polemon verò ipſo celebritatis flore vigebat, Dionyſio nondum notus. hic Sardis peregrinabatur, vt in centumuirali iudicio, quo Lydia defendebatur, cauſam ageret. Cùm Dionyſius Sardis veſperi aduentaſſet, Dorionem Cretenſem hoſpitem ſuum rogauit: Dic mihi (inquit) Dorion, éſtne hic Polemon. At Dorion, Vir (inquit) Lydorum ditiſſimus de facultatibus ſuis periclitans, patronum è Smyrna duûm talentorum mercede Polemonem conduxit, & cras cauſam aget. Ad hæc Dionyſius, Quale, inquit, lucrum dixiſti? ſi mihi Polemonem auſcultare licuerit: cùm nondum eius experimentum habuerim. Videtur, inquit, te percellere Dorion, adoleſcens magnum iam nomen adeptus. Imò ne dormire quidem per Mineruam permittit, (inquit Dionyſius) ſed in ſaltum cor, mentémque ducit; dum cogito quammulti laudatores eius ſint: atque hi quidem os ipſius duodecim canalibus ſcaturire putant: alij etiam linguam vlnis, veluti Nili aſcen-

A ἀνήκοοι μὲν τῶν τοῦ Διονυσίου ῥυθμῶν, ἀνήκοοι δὲ τῆς ἄλλης ἑρμηνείας, ἄπειροι δὲ τῆς τῶν ἐνθυμημάτων τέχνης. οὐ γὰρ Διονυσίου τὸ φρόντισμα τοῦτο, ἀλλὰ Κέλερος τοῦ τεχνογράφου. ὁ δὲ Κέλερος, βασιλικῶν μὲν ἐπιστολῶν ἀγαθὸς προστάτης, μελέτῃ δὲ οὐκ ἀποχρῶν, Διονυσίῳ δὲ τὸν ἐν μειρακίου χρόνον διάφορος. μὴ δὲ ἐκεῖνα παρείσθω μοι, Ἀρισταίου γε ἀκροασαμένῳ αὐτὰ πρεσβυτάτου τῶν

B καθ᾽ ἐμὲ Ἑλλήνων, καὶ πλεῖστα ὑπὲρ τῶν σοφιστῶν εἰδότος, ἐγήρασκε μὲν ὁ Διονύσιος ἐν δόξῃ λαμπρᾷ, παρῄει δὲ ἐς ἀκμὴν ὁ Πολέμων, οὔπω γιγνωσκόμενος τῷ Διονυσίῳ. καὶ ἐπεδήμει ταῖς Σάρδεσι, ἀγορεύων δίκην ἐν τοῖς ἑκατὸν ἀνδράσιν, ὑφ᾽ ὧν ἐδικαιοῦτο ἡ Λυδία. ἑσπέρας οὖν τὰς Σάρδεις ἥκων ὁ Διονύσιος, ἤρετο Δωρίωνα τὸν Κλητικὸν, ξένον ἑαυτοῦ. εἰπέ μοι, ἔφη ὁ Δωρίων, ἔστι

C Πολέμων ἐνταῦθα; καὶ ὁ Δωρίων, ἀνὴρ ἔφη, πλουσιώτατος τῶν ἐν Λυδίᾳ, κινδυνεύων περὶ τῆς οὐσίας, ἄγει συνήγορον τὸν Πολέμωνα ἀπὸ Σμύρνης, πείσας διταλάντῳ μισθῷ, καὶ ἀγωνιεῖται τὴν δίκην αὔριον. καὶ ὁ Διονύσιος, οἷον, ἔφη, ἕρμαιον εἴρηκας, εἰ ἀκοῦσαί μοι ἔσται Πολέμωνος, οὔπω ἐς πεῖραν αὐτοῦ ἀφιγμένῳ. ἔοικεν, εἶπεν, ὁ Δωρίων στρέφειν σε ὁ

D νεανίας, ἐς ὄνομα ἤδη προβαίνων μέγα. καὶ καθεύδειν γε οὐκ ἐᾷ νὴ τὴν Ἀθηνᾶν, ἦ δ᾽ ὁ Διονύσιος. ἀλλ᾽ ἐς πήδησιν ἄγει τὴν καρδίαν, καὶ τὴν γνώμην, ἐνθυμουμένῳ ὡς πολλοὶ ἐπαινέται αὐτοῦ. καὶ τοῖς μὲν, δωδεκάκρουνον δοκεῖ τὸ στόμα, οἱ δὲ, καὶ πήχεσι διαμετροῦσι τὴν γλῶτταν, ὥσπερ τὰς τοῦ Νείλου ἀνα-

βάσεις. σὺ δὲ ταύτην ἰάσαιό μοι τὴν φροντίδα, εἰπὼν τί μὲν πλέον, τί δὲ ἧττον ἐν ἐμοί τε, κἀκείνῳ καθεώρακας. καὶ ὁ Δωρίων μάλα σωφρόνως, αὐτός, εἶπεν, ὦ Διονύσιε, σαυτῷ τε, κἀκείνῳ δικάσαις ἄμεινον. σὺ γὰρ ὑπὸ σοφίας, οἷος σαυτόν τε γιγνώσκειν, ἕτερόν τε μὴ ἀγνοῆσαι. ἤκουσεν ὁ Διονύσιος ἀγωνιζομένου τὴν δίκην. καὶ ἀπιὼν τοῦ δικαστηρίου, ἰσχὺν, ἔφη, ἀθλητὴς ἔχει· ἀλλ' οὐκ ἐκ παλαίστρας. ταῦτα ὡς ἤκουσεν ὁ Πολέμων, ἦλθε μὲν ἐπὶ θύρας τοῦ Διονυσίου, μελέτην αὐτῷ ἐπαγγέλλων. ἀφικομένου δὲ διαπρεπῶς, ἀγωνιζόμενος, προσῆλθε τῷ Διονυσίῳ καὶ ἀντερείσας τὸν ὦμον, ὥσπερ οἱ τῆς σταδιαίας πάλης ἐμβιβάζοντες, μάλα ἀστείως ἀπετώθασεν, εἰπών, ἦσάν ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι. ἀνδρῶν μὲν οὖν ἐπιφανῶν, πᾶσα γῆ τάφος. Διονυσίου δὲ σῆμα, ἐν τῇ ἐπιφανεστάτῃ Ἐφέσῳ. τέθαπται γὰρ ἐν τῇ ἀγορᾷ κατὰ τὸ κυριώτατον τῆς Ἐφέσου, ἐν ᾗ κατεβίω, παιδεύσας τὸν πρῶτον βίον ἐν Λέσβῳ.

ΛΟΛΛΙΑΝΟΣ.

Λολλιανὸς δὲ ὁ Ἐφέσιος, προὔστη μὲν τοῦ Ἀθήνησι θρόνου πρῶτος· προὔστη δὲ καὶ τοῦ Ἀθηναίων δήμου, στρατηγήσας αὐτοῖς τὴν ἐπὶ τῶν ὅπλων. ἡ δὲ ἀρχὴ αὕτη, πάλαι μὲν κατέλεγέ τε, καὶ ἐξῆγεν ἐς τὰ πολέμια· νυνὶ δὲ τροφῶν ἐπιμελεῖται, καὶ σίτου ἀγορᾶς. θορύβου δὲ καθεστηκότος ἐπὶ τὰ ἀρτοπώλια, καὶ τῶν Ἀθηναίων βάλλειν αὐτὸν ὡρμηκότων, Παγκράτιος ὁ κύων ὁ μετὰ ταῦτα ἐν Ἰσθμῷ φιλοσοφήσας, παρελθὼν ἐς τοὺς Ἀθηναίους, καὶ εἰπὼν Λολλιανὸς, οὐκ ἔστιν ἀρτοπώλης, ἀλλὰ λογοπώλης, διέχεεν οὕτω τοὺς Α-

A ſus., dimetiuntur. Tu autem mihi hanc deme ſollicitudinem, ſi quid plus minúſve in me & in illo perſpexeris. Tum Dorion modeſtiſſimè reſpondens: Id ipſe (inquit) Dionyſi tibi atque illi melius diſceptabis. Tu enim ea ſapientia præditus es, vt teipſum noſcas, & alium non ignores. Dionyſius eum in iudicio diſceptantem audiuit. & inde abiens: Robur (inquit) habet Athleta iſte, ſed non à palæ-
B ſtra. Hæc vt Polemon accepit, ad Dionyſij continuò ianuam properauit, vt ei declamationem indiceret: & cùm magnificè decertaturus veniſſet, humeris innitens, non ſecus atque illi, qui palæſtram in ſtadio inituri ſunt, perurbanè iocatus ait, Olim fuere ſtrenui Mileſij. Virorum certè illuſtrium omnis terra ſepulchrum. Dionyſij tumulus in nobiliſſima Epheſo ſitus eſt:
C namque in foro iuxta Epheſi præcipuum locum, vbi ætatem degerat, ſepultus eſt. Inſtitutus porrò primo tempore adoleſcẽtiæ in Leſbo fuerat.

LOLLIANVS.

Lollianus Epheſius, primus Athenis in ſubſellio præſedit: & Athenienſi populo in expeditione præfuit. Hæc verò præfectura olim
D quidem cenſum faciebat, & ad bellum educebat. nunc annonã & fori cibaria curat. Cùm verò tumultus vbi vendebantur panes ortus eſſet, & Athenienſes ad eum percutiendum irruiſſent; Pancratius Cynicus, qui poſt hæc in Iſthmo philoſophatus eſt, cùm ad Atheniẽſes veniſſet, Non eſt Lollianus (inquit) panis venditor, ſed verborum. hoc dicto, ita Athenienſes exhilarauit & placauit,

vt lapides qui præ manibus erant, laxarét. Annona ex Theſſalia aduecta, cùm pecuniæ publicæ non extarent, ſuis familiaribus vt collectam erogarét autor fuit: hinc magna pecuniæ vis eſt collecta. atq; illud quidem viri fuit perquàm induſtrij, & in ciuili adminiſtratione ſolertis. Hoc autem iuſti, probi, & beneuoli. Nam pecunias, mercede auſcultationis remiſſa, collatoribus reddidit. Artificioſiſſimus, prudentiſſimúſque hic videbatur eſſe Sophiſta; cùm Epichirematicum argumétum in artificioſa excogitatione ſitum cumulatè elaboraret, ſeque commodè explicaret: in ſentiendo verò & ſententiis ordinandis minime ſuperuacuus fuit. Eius porrò orationis ſplendores interlucent, quæ fulgetri coruſcantis inſtar, repentè micando, deſinunt. Quòd cùm in omnibus quidem pateat, in his certè maximè. Nam cùm Leptinem ob legem accuſaret, quia ex Ponto frumentum Athenienſibus non deuehebatur, cum hoc vigore egit: *Os Ponti lege clauſum eſt, & Athenienſium annonam pauca prohibent notæ. Idémque Lyſander nauali bello potens, Leptinéſque legiſlator præſtare poteſt.* Cùm Athenienſibus pecuniarum inopia de vendendis inſulis decernentibus intercederet, ſic ſpiritum ſumpſit: *Solue (ô Neptune) gratiam ſupra Delo debitam, & illi venditæ concede fugam.* Subitam promptámque orationem adhibebat, Iſæi more, cuius olim fuerat auditor. Mercedes generoſas exigebat; cùm congreſſus non declamatorios tantùm, ſed etiam præceptorios exhiberet. Duas enim ſtatuas ſortitus eſt, alteram in foro, in bre-

Ἀθηναίοις, ὡς μηθεῖναι τοὺς λίθους, διὰ χειρῶν αὐτοῖς ὄντας. σίτου δὲ ἐκ Θετταλίας ἐσπεπλευκότος, καὶ χρημάτων δημοσίᾳ οὐκ ὄντων, ἐπέτρεψεν ὁ Λολλιανὸς ἔρανον τοῖς αὐτοῦ γνωρίμοις, καὶ χρήματα συχνὰ ἠθροίσθη. καὶ τοῦτο μὲν, ἀνδρὸς εὐμηχάνου δόξει, καὶ σοφοῦ τὰ πολιτικά· ἐκεῖνο δὲ, δικαίου τε, καὶ εὐγνώμονος. τὰ γὰρ χρήματα, ταῦτα τοῖς ξυμβαλλομένοις ἀπέδωκεν, ἐπανεὶς τὸν μισθὸν τῆς ἀκροάσεως. ἔδοξε δὲ ὁ σοφιστὴς οὗτος, τεχνικώτατός τε, καὶ φρονιμώτατος, τὸ ἐπιχειρηματικὸν ἐν ἐπινοίᾳ τεχνικῇ κείμενον ἱκανῶς ἐκπονῆσαι, καὶ ἑρμηνεῦσαι μὲν ἀποχρῶν. νοῆσαί τε, καὶ τὰ νοηθέντα τάξαι, ἀπέριττος. διαφαίνονται δὲ τοῦ λόγου καὶ λαμπρότητες λήγουσαι ταχέως, ὥσπερ τὸ τῆς ἀστραπῆς σέλας· δηλοῦται δὲ τοῦτο, ἐν πᾶσι μὲν, μάλιστα δὲ ἐν τοῖσδε· κατηγορῶν μὲν γὰρ τοῦ Λεπτίνου διὰ τὸν νόμον, ἐπεὶ μὴ ἐφοίτα τοῖς Ἀθηναίοις ἐκ τοῦ Πόντου σῖτος, ὧδε ἤκμασε· κέκλεισται τὸ στόμα τοῦ Πόντου νόμῳ· καὶ τὰς Ἀθηναίων τροφὰς, ὀλίγαι κωλύουσι συμβολαί· καὶ ταὐτὸν δύναται Λύσανδρος ναυμαχῶν, καὶ Λεπτίνης νομοθετῶν. ἀντιλέγων δὲ τοῖς Ἀθηναίοις ἀπορίᾳ χρημάτων βουλομένοις πωλεῖν τὰς νήσους, ὧδε ἐπνευσε· λῦσον, ὦ Πόσειδον τὴν ἐπὶ Δήλῳ χάριν, συγχώρησον αὐτῇ πωλουμένῃ φυγεῖν. ἐσχεδίαζε μὲν οὖν κατὰ τὸν Ἰσαῖον. οὗ δὴ καὶ ἠκροάσατο. μισθοὺς δὲ γενναίους ἐπράττετο, τὰς συνουσίας οὐ μελετηρὰς μόνον, ἀλλὰ καὶ διδασκαλικὰς παρέχων. εἰκόνες δὲ αὐτοῦ Ἀθήνησι, μία μὲν, ἐπ᾽ ἀγορᾶς, ἑτέρα

δὲ ἐν τῷ ἄλσει τῷ μικρῷ, ὃ αὐτὸς λέγεται ἐκφυτεῦσαι.

ΜΑΡΚΟΣ.

Οὐδὲ τὸν Βυζάντιον σοφιστὴν παραλείψω Μάρκον, ὑπὲρ οὗ κἂν ἐπιπλήξαιμι τοῖς Ἕλλησιν, εἰ τοιόσδε γενόμενος, ὁποῖον δηλώσω, μήπω τυγχάνει τῆς ἑαυτοῦ δόξης. Μάρκῳ τοίνυν ἡ ἀναφορὰ τοῦ γένους, ἐς τὸν ἀρχαῖον Βύζαντα. πατὴρ δὲ ὁμώνυμος, ἔχων θαλαττουργοὺς οἰκέτας ἐφ' ἱερῷ. τὸ δὲ ἱερὸν, παρὰ τὰς ἐκβολὰς τοῦ Πόντου. διδάσκαλος δὲ αὐτοῦ, Ἰσαῖος ἐγένετο. παρ' οὗ καὶ τὸ κατὰ φύσιν ἑρμηνεύειν μαθὼν, ἐπεκόσμησεν αὐτὸ ὡραϊσμένῃ πραότητι. καὶ παράδειγμα ἱκανώτατον τῆς Μάρκου ἰδέας, ὁ Σπαρτιάτης ὁ ξυμβουλεύων τοῖς Λακεδαιμονίοις μὴ δέχεσθαι τοὺς ἀπὸ σφακτηρίας γυμνοὺς ἥκοντας. τῆς δὲ γὰρ τῆς ὑποθέσεως, ἤρξατο ὧδε. ἀνὴρ Λακεδαιμόνιος μέχρι γήρως φυλάξας τὴν ἀσπίδα, ἡδέως μὲν ἂν τοὺς γυμνοὺς τούτους ἀπέκτεινεν. ὅστις δὲ καὶ τὰς διαλέξεις ὅδε ἀνὴρ ἐγένετο, ξυμβαλεῖν ἐστιν ἐκ τῶνδε. διδάσκων γὰρ περὶ τῆς τῶν σοφιστῶν τέχνης, ὡς πολλὴ, καὶ ποικίλη, παράδειγμα τοῦ λόγου τὴν Ἶριν ἐποιήσατο καὶ ἤρξατο τῆς διαλέξεως ὧδε. ὁ τὴν Ἶριν ἰδὼν ὡς ἓν χρῶμα, οὐκ εἶδεν ὡς χρὴ θαυμάσαι. ὁ δὲ ὅσα χρώματα, μᾶλλον ἐθαύμασεν. οἱ δὲ τὴν διάλεξιν ταύτην Ἀλκινόῳ τῷ Στωϊκῷ ἀνατιθέντες, διαμαρτάνουσι μὲν ἰδέας λόγου, διαμαρτάνουσι δὲ ἀληθείας, ἀδικώτατοι δ' ἀνθρώπων εἰσὶ, προσαφαιρούμενοι τὸν σοφιστὴν, καὶ τὰ οἰκεῖα. τὸ δὲ τῶν ὀφρύων ἦθος, καὶ ἡ τοῦ προσ-

A ui nemore alteram, quod quidem ipſe plantaſſe dicitur.

MARCVS.

Ne Byzantium quidem Sophiſtam Marcum omiſerim, cuius gratia, etiam Græcos increparim, ſi cùm talis extiterit, qualem fuiſſe docebo, haudquaquam ſua fruatur gloria. Marci profectò genus, ad priſcum Byzantem refertur. Pater
B eodem nomine appellatus, multos per mare negociantes apud ſacellum famulos habuit; quod quidem eſt iuxta Ponti oſtia. Præceptor eius Iſæus fuerat: à quo etiam natura duce eloquentiam edoctus, eam pereleganti manſuetudine exornauit. Ideæ Marci Spartiates accommodatiſſimum exhibuit exemplum, qui, ne nudos à Sphacteria venientes reciperent, Lacedæmoniis conſuluit. In hac enim cauſa ſic eſt exorſus, *Vir Lacedæmonius, qui ad ſenectutem vſque ſcutum ſeruauit, lu-*
C *benter certè hoſce nudos interfeciſſet.* Quis autem hic vir in diſputationibus fuerit, ex his coniicere licet. Nam cùm de Sophiſtarum arte diſpiceret, & quàm multa & varia ſit, edoceret, pro exemplo orationis, Irim propoſuit; & hinc diſputationis ſumpſit initium: *Qui Irim vidit, vt colorem vnum, non nouit vt par eſt mirari: qui autem multis colo-*
D *ribus inſignem intuetur, longè magis admiratur.* Verumenimuero qui Alcinoo Stoïco diſputationem iſtam tribuunt, à genere orationis aberrant, imò ſunt à veritate penitus alieni: quando hominum ſunt iniuſtiſſimi, qui Sophiſtæ etiam propria auferunt. Superciliorum verò modus, & perſonæ cogitabundæ

ſtatus Marcum Sophiſtam oſtendit. Semper enim mente aliquid cogitabat, & ſe in iis quæ ad promptè dicendum iuuarent, exercebat. Hoc oculorum ſtatu patuit, qui in arcanis notionibus perſæpe infixi erant: ídq; ab ipſo quoque aſſenſum eſt. Interrogante enim quodam è ſociis, quomodo ſe heri exercuiſſet: Apud me quidem, inquit, ſatis pro dignitate: apud familiares autem minus. Cùm ille reſponſum admiraretur, Ego (inquit Marcus) etiam operoſa vtor taciturnitate: ac duæ aut tres cauſæ me ſollicitant ſuper vnam, quam in communi certamine agito. Barbam & comam ſordidam habuit, quare aggreſtior quàm vir catus & conſultus multis eſſe videbatur. Hoc etiam Polemoni Sophiſtæ contigit, vt ita de Marco ſentiret. Nam cùm iam clarus eſſet, atque Polemonis ſcholam adiſſet; conſidentibus iis qui ad auditoriũ conuenerant, quidam eum agnoſcens vicino oſtendit; & alius alteri: tum Sophiſtam Byzantium eſſe, omnibus patefactum eſt. quare Polemone controuerſias petente, omnes in Marcum vt aliquid proponeret, conuerſi ſunt. Hic cùm Polemon diceret, quid in ruſticum intuemini? nullam enim iſte dabit cauſam. Marcus ſublata voce, vt ſolebat, cum toruo intuitu, Proponam (inquit) & declamabo. vnde Polemon arrepta anſa, & Dorica eius oratione percepta, multa & magna in virum diſſeruit, & mirabilia, prout tempus poſtulabat, protulit. Cùm igitur declamaſſet, declamantémque hominem audiuiſſet, & admiratus eſt ipſe, & aliis quoque admirationem mouit. Poſt hæc cùm Marcus Megaram

σώπῃ σύννοια, σοφιστὴν ἐδήλου τὸν Μάρκον. καὶ γὰρ ἐτύγχανεν ἀεί τι ἐπισκοπῶν τῇ γνώμῃ, καὶ ἀναπαιδεύων ἑαυτὸν τοῖς ἐς τὸ σχεδιάζειν ἄγουσι. καὶ τοῦτο ἐδηλοῦτο μὲν τῇ τῶν ὀφθαλμῶν στάσει πεπηγότων τὰ πολλὰ ἐς ἀπορρήτους ἐννοίας. ὡμολογήθη δὲ καὶ ὑπὸ τοῦ ἀνδρός. ἐρομένου γάρ τινος αὐτὸν τῶν ἐπιτηδείων, ὅπως χθὲς ἐμελέτα, ἐπ' ἐμαυτοῦ μὲν ἔφη, λόγου ἀξίως, ἐπὶ δὲ τῶν γνωρίμων, ἧττον. θαυμάζοντος δὲ τὴν ἀπόκρισιν, ἐγώ, ἔφη ὁ Μάρκος, καὶ τῇ σιωπῇ ἐνεργῷ χρῶμαι, καὶ γυμνάζουσί με δύο, καὶ τρεῖς ὑποθέσεις ἐπὶ τὴν μίαν, ἣν ἐς τὸ κοινὸν ἀγωνίζομαι. γενειάδος δὲ, καὶ κόμης, αὐχμηρῶς εἶχεν. ὅθεν ἀγροικότερος ἀνδρὸς πεπνυμένου ἐδόκει τοῖς πολλοῖς. τουτὶ δὲ καὶ Πολέμων ὁ σοφιστὴς πρὸς αὐτὸν ἔπαθε. παρῆλθε μὲν γὰρ ἐς τὴν τοῦ Πολέμωνος διατριβὴν, ὀνομαστὸς ἤδη ὤν. ξυγκαθημένων δὲ τῶν ἐς τὴν ἀκρόασιν ἀπηντηκότων, ἀναγνούς τις αὐτὸν διεμήνυσε τῷ πέλας, ὁ δὲ τῷ πλησίον. καὶ διεδόθη ἐς πάντας ὅτι ὁ Βυζάντιος εἴη σοφιστής. ὅθεν τοῦ Πολέμωνος αἰτοῦντος τὰς ὑποθέσεις, ἐπεστρέφοντο πάντες ἐς τὸν Μάρκον, ἵνα προβάλοι. τοῦ δὲ Πολέμωνος εἰπόντος, τί ἐς τὸν ἄγροικον ὁρᾶτε; οὐ γὰρ δώσει γε οὗτος ὑπόθεσιν· ὁ Μάρκος ἐπάρας τὴν φωνὴν ὥσπερ εἰώθει, καὶ τραχὺ βλέψας, καὶ προβαλοῦμαι, ἔφη, καὶ μελετήσομαι. ὅθεν ἑλὼν ὁ Πολέμων, καὶ ξυνεὶς δωριάζοντος, διελέχθη ἐς τὸν ἄνδρα πολλά τε, καὶ μεγάλα, καὶ θαυμάσια ἐφιεὶς τῷ καιρῷ. μελετήσας δὲ, καὶ μελετῶντος ἀκροασάμενος, καὶ ἐθαυμάσθη, καὶ ἐθαύμασε. μετὰ ταῦτα γὰρ ἥκων ὁ Μάρκος

ἐς τὰ Μέγαρα (οἰκισταὶ δὲ Βυζαντίων) ἐστασίαζον μὲν οἱ Μεγαρεῖς πρὸς τοὺς Ἀθηναίους ἀκμαζούσαις ταῖς γνώμαις, ὥσπερ ἄρτι τοῦ πινακίου ἐπ' αὐτοὺς γεγραμμένου, καὶ οὐκ ἐδέχοντο σφᾶς ἐς τὰ Πύθια τὰ μικρὰ ἥκοντας· παρελθὼν δὲ ἐς μέσους ὁ Μάρκος, οὕτω τοι μεθήρμοσε τοὺς Μεγαρέας, ὡς ἀνοῖξαι πεῖσαι τὰς οἰκίας, καὶ δέξασθαι τοὺς Ἀθηναίους ἐπὶ γυναῖκάς τε, καὶ παῖδας. ἠγάσθη αὐτὸν καὶ Ἀδριανὸς ὁ αὐτοκράτωρ πρεσβεύοντα ὑπὲρ Βυζαντίων, ἐπιτηδειότατος τῶν πάλαι βασιλέων γενόμενος ἀρετὰς αὐξῆσαι.

ΠΟΛΕΜΩΝ.

Πολέμων δὲ ὁ σοφιστὴς, οὔθ' ὡς οἱ πολλοὶ δοκοῦσιν, Σμυρναῖος, οὔθ' ὡς τινες ἐκ Φρυγῶν, ἀλλ' ἤνεγκεν αὐτὸν Λαοδίκεια ἡ ἐν Καρίᾳ. ποταμῷ πρόσοικος Λύκῳ· μεσογεία μὲν, δυνατωτέρα δὲ τῶν ἐπὶ θαλάττῃ. ἡ μὲν δὴ τοῦ Πολέμωνος οἰκία. πολλοὶ ὕπατοι, καὶ ἔτι ἐρασταὶ αὐτοῦ, πολλαὶς* μὲν πόλεις, διαφερόντως δὲ ἡ Σμύρνα. οὗτοι γὰρ ἐκ μειρακίου κατιδόντες τι ἐν αὐτῷ μέγα, πάντας τοὺς οἴκοι στεφάνους ἐπὶ τὴν τοῦ Πολέμωνος κεφαλὴν συνήνεγκαν, αὐτῷ τε ψηφισάμενοι, καὶ γένει, τὰ οἴκοι ζηλωτά. προκαθῆσθαι γὰρ τῶν Ἀδριανοῦ Ὀλυμπίων ἔδωσαν τῷ ἀνδρὶ, καὶ* ἐγγόνοις, καὶ τῆς ἱερᾶς τριήρους ἐπιβατεύειν. πέμπεται γάρ τις μηνὶ ἀνθεστηριῶνι μετάρσια τριήρης ἐς ἀγορὰν· ἣν ὁ τοῦ Διονυσίου ἱερεὺς οἷα κυβερνήτης εὐθύνει, πείσματα ἐκ θαλάττης λύουσαν. ἐνσπουδάζων τῇ Σμύρνῃ, τάδε αὐτὴν ὤνησε. πρῶτον μὲν, τὴν πόλιν πολυανθρωποτάτην αὐ-

γρ. πολλαί
γρ. ἐκγόνοις.

veniſſet, Megarenſes, (qui Byzantiorum conditores fuere) aduerſus Athenienſes acerrimis ſententiis ſæuiebant, quaſi tabella recens in ipſos ſcripta: eóſque ad parua Pythia venientes non admittebant. Vbi cùm in medium Marcus veniſſet, ita Megarenſium animum compoſuit, vt aperiendas domos, & Athenienſes cum liberis & vxoribus recipiendos eſſe perſuaſerit. Hunc Adrianus Imperator, ad augendas virtutes, omnium imperatorũ maximè idoneus ac propẽſus, pro Byzantinis legatione fungentem admiratione proſequutus eſt.

POLEMON.

Polemon Sophiſta, neque Smyrnæus (vt multi opinantur) neque Phryx fuit, vt nonnulli putant: ſed Laodicéa, Cartiæ ciuitas, eum tulit Lyco fluuio vicina: Mediterranea, & maritimarum ciuitatum potentiſſima fuit. Hæc igitur domus eſt Polemonis, multíque eum ſummi viri, multæque ciuitates amarunt, præſertim Smyrna. Nam cùm Smyrnæi ab adoleſcentia aliquid in eo magnum inſpicerent, omnes quas domi coronas habebant, in Polemonis caput congerebant, & ipſi vltrò contribuentes, & generi, quæ domi præclara & expetenda eſſe ſolent. Viro huic & poſteris datum eſt in Adriani Olympiis præſidere: & ſacram triremem conſcendere. Nouendinali namque menſe triremis elata in forũ mittebatur, quam Dionyſij ſacerdos tanquam gubernator, cùm funem erat è littore ſolutura, regebat. Cùm Smyrnæ ſtudiis incumberet, in hiſce vrbi profuit. Primùm quidem vt ciuitas longè populoſior quàm antea

A videretur, vndique ex continenti & inſulis ad ipſam confluente iuuentute non incaſtigata & tralatitia, ſed electa atque pura: deinde concordem & à ſeditionibus liberam fecerit rempublicam. Nam ante hac inteſtina factione Smyrna laborauerat, & montani cum maritimis diſſidebant. quare maximo in pretio ciuitati fuit, & legationum munere ab ea exornatus, ad reges ſæpè profectus eſt, & de morib. ſpecimen edidit. Itaque Adrianum erga B Epheſios propenſum, ad Smyrnæorum fauorem vſque adeò pellexit, vt vno die mille myriadas in illorum ciuitatẽ impenderit. Ex quibus emporia annonæ, & gymnaſium omnium quæ in Aſia ſunt præſtantiſſimum, constructa ſunt: item templũ in promontorio ſitum longiſſimi proſpectus, quod quidem contra Mimanta ſtare videtur. Hic præterea errantes publicè obiurgabat, & prudentiæ præcepta quamplurima tradens iuuabat. C Iniuriam ſimiliter, omnémque ſuperbiam, eò magis extirpabat, quo magis ab Ionicis morib. videretur aliena. Quinetiam illud perutile inſtituit. Lites inuicem exortas pecuniarum cauſa non exilio mulctandas, ſed domi dirimendas cenſuit. Adulterorum verò crimina & ſacrilegorum. Item homicidarum, quibus neglectis piacula naſcuntur, non tantùm exigi, ſed à Smyrna extirpa- D ri iuſſit. Iudicis enim hæc egent gladium tenentis. Cauſæ quas ex pluribus habebat, ſunt, quòd impedimenta multa iter peragentem, ſequerentur. Multi nimirum equi, multíque clientes, & multa denique ac varia canum multitudo diuerſos venatus inueſtigantium. Ipſe autem in bigis argenteo freno

τῆς φαίνεσθαι, νεότητος αὐτῇ ἐπιρρεούσης ἐξ ἠπείρων τε, καὶ νήσων, οὐκ ἀκολάστου, καὶ ξύγκλυδος, ἀλλ' ἐξειλεγμένης τε, καὶ καθαρᾶς· ἔπειτα ὁμονοοῦσαν, καὶ ἀστασίαστον πολιτεύειν. τὸν γὰρ πρὸ τοῦ χρόνον, ἐστασίαζεν ἡ Σμύρνα, καὶ διεστήκεσαν οἱ ἄνω πρὸς τοὺς ἐπὶ θαλάττῃ. πλείστου δὲ ἄξιος τῇ πόλει καὶ τὰ πρεσβευτικὰ ἐγένετο, φοιτῶν τε παρὰ τοὺς αὐτοκράτορας, καὶ προαγωνιζόμενος τῶν ἠθῶν. Ἀδριανὸν γοῦν προσκείμενον τοῖς Ἐφεσίοις, οὕτω τι μετεποίησε τοῖς Σμυρναίοις, ὡς ἐν ἡμέρᾳ μιᾷ χιλίας μυριάδας ἐπαντλῆσαι αὐτὸν τῇ πόλει. ἀφ' ὧν τάτε τοῦ σίτου ἐμπόρεια ἐξεποιήθη, καὶ γυμνάσιον τῶν κατὰ τὴν Ἀσίαν μεγαλοπρεπέστατον, καὶ νεὼς τηλεφανὴς ὁ ἐπὶ τῆς ἄκρας, ἀντικεῖσθαι δοκῶν τῷ Μίμαντι, καὶ μὴν τοῖς ἁμαρτανομένοις δημοσίᾳ ἐπιπλήττων, καὶ κατὰ σοφίαν πλεῖστα νουθετῶν, ὠφέλει. ὕβριν τε ὁμοίως ἐξῄρει, καὶ ἀγερωχίαν πᾶσαν, τοσούτῳ πλέον, ὅσῳ μηδὲ τοῦ Ἰωνικοῦ ἀπῴδειν. ὠφέλει δὲ κἀκεῖνα δή που, τὰς δίκας τὰς πρὸς ἀλλήλους οὐκ ἄλλοσέ πη* ἐνφοιτᾶν, ἀλλ' οἴκοι ἔπαυε. λέγω δὲ τὰς ὑπὲρ χρημάτων. τὰς γὰρ ἐπὶ μοιχοῖς, καὶ ἱεροσύλοις, καὶ σφαγέας, ὧν ἀμελουμένων ἄγη φύεται, οὐκ ἐξάγειν παρεκελεύετο μόνον, ἀλλὰ καὶ ἐξωθεῖν τῆς Σμύρνης· δικαστοῦ γὰρ δεῖσθαι αὐτὰς, ξίφος ἔχοντος. καὶ ἡ αἰτία δὲ, ἣν ἐν τῶν πολλῶν εἶχεν, ὡς ὁδοιποροῦντι αὐτῷ πολλὰ μὲν σκευοφόρα ἕποιτο. πολλοὶ δὲ ἵπποι, πολλοὶ δὲ οἰκέται, πολλὰ δὲ ἔθνη κυνῶν, ἄλλα ἐς ἄλλην θήραν. αὐτὸς δὲ ἐπὶ ζεύγους ἀργυροχα-

*ἴσ. ἐκφοιτᾶν

λίνης Φρυγίας τινός, ἢ Κελτικοῦ πορεύοιτο, εὔκλειαν τῇ Σμύρνῃ ἔπραττε. πόλιν γὰρ δὴ λαμπρύνει μὲν ἀγορά, καὶ κατασκευὴ μεγαλοπρεπὴς οἰκοδομημάτων· λαμπρύνει δὲ οἰκία εὖ πράττουσα. οὐ γὰρ μόνον δίδωσι πόλις ἀνδρὶ ὄνομα, ἀλλὰ καὶ αὐτὴ δέχεται ἐξ ἀνδρός. ἐπεσκοπεῖτο δὲ καὶ τὴν Λαοδίκειαν ὁ Πολέμων, θαμίζων ἐς τὸν αὐτοῦ οἶκον, καὶ δημοσίᾳ ὠφελῶν ὅ,τι ἠδύνατο. τὰ δὲ ἐκ βασιλέων αὐτῷ, τοιαῦτα. Τραϊανὸς μὲν αὐτοκράτωρ, ἀτελῆ πορεύεσθαι διὰ γῆς, καὶ θαλάττης. Ἀδριανὸς δέ, καὶ τοῖς ἀπ' αὐτοῦ πᾶσι. κατέλεξε δὲ αὐτὸν καὶ τῷ τοῦ Μουσείου κύκλῳ ἐς τὴν Αἰγυπτίαν σίτησιν. ἐπὶ δὲ τῆς Ῥώμης ἀπαιτουμένους πέντε, καὶ εἴκοσι μυριάδας, ὑπεραπέδωκε πάντα χρήματα, οὔτε εἰπόντος ὡς δέοιτο, οὔτε προσειπὼν ὡς δώσοι.* αἰτιωμένης δὲ αὐτὸν τῆς Σμύρνης, * * ἐς τὸ αὐτὸ ἡδὺ καταθέμενον, ἔπεμψεν ὁ αὐτοκράτωρ ἐπιστολὴν ὧδε ξυγκειμένην, Ἀντωνῖνος Πολέμων. τῶν ἐπιδοθέντων ὑπ' ἐμοῦ χρημάτων, ἐμοὶ τοὺς λογισμοὺς ἔδωκε. ταῦτα δὲ εἰ καὶ συγγνώμην ἐρεῖ τις, οὐκ ἂν δή που συγγνώμην αὐτὸν τὴν ἐπὶ τοῖς χρήμασι, μὴ οὐκ ἐς τὸ πρεῦχον τῆς ἄλλης ἀρετῆς εὕραιτο. τὸ δὲ Ἀθήνησιν Ὀλύμπιον, δι' ἑξήκοντα, καὶ πεντακοσίων ἐτῶν ἀποτελεσθέν, καθιερώσας ὁ αὐτοκράτωρ ὡς χρόνου μέγα ἀγώνισμα, ἐκέλευσε καὶ τὸν Πολέμωνα ἐφυμνῆσαι τῇ θυσίᾳ. ὁ δέ, ὥσπερ εἰώθει, στήσας τοὺς ὀφθαλμοὺς ἐπὶ τὰς ἤδη παρισταμένας ἐννοίας, ἐπαφῆκεν ἑαυτὸν τῷ λόγῳ· καὶ ἀπὸ τῆς κρηπῖδος τοῦ νεὼ διελέχθη πολλά, καὶ θαυμάσια, προοίμιον ποιούμενος τοῦ λόγου, μὴ ἀθεεὶ τὴν περὶ αὐτοῦ ὁρ-

A ornatis, Phrygiis Celticíſve quibuſdam veheretur: ita Smyrnæ famam præſtitit. Ciuitatē enim forum illuſtrat, & magnifica ædificantiū ſtructurā. Item excultiſſimæ ædes illuſtrāt. Neq; ſolùm ciuitas viro nomen affert, verumetiā à viro ſæpe nomen accipit. Inuiſit etiam Laodicēā Polemo, domum ſuam frequentans, & quacuncumque in re potuit, reipublicæ fuit adiumento. Hæc ab imperatoribus ipſi conceſſa ſunt. A Traiano imperatore tranſitus terra, maríque immunis. Ab Adria- B no idem omnibus quoque illius poſteris datum eſt: quinetiam in Muſæi circulo, ab eo annumeratus, & ad teſſeram frumenti Ægyptiacam admiſſus eſt. Cùm Romæ quinque & viginti myriadas repoſceret, inſuper omnem pecuniam dedit, cùm neque dixiſſet vt opus haberet, neque affatus eſſet, vt daret. Expoſtulante de ipſo Smyrna * * * ob ſuaue depoſitū? Antoninus Im- C perator, epiſtolam ita compoſitam miſit: *Polemon pecuniarum à me vobis traditarum mihi rationem reddidit.* hæc ſi quis veniam dixerit, ne ipſe quidem veniam ob pecunias, neque ob ceterarum virtutum præſtantiam prorſus inueniet. Cùm Athenis Olympicum conſecraſſet annorum penè quingentorum curriculo peractum, Imperator, tanquam magnum temporis certamen Polemonem etiam ſacrorum hym- D nos celebrare iuſſit. Hic autem, vt ſolebat, in ſententias, quæ ſuccurrebant, oculos intendens, orationem aggreſſus eſt, & à templi crepidine, multa & admiratione digna diſſeruit: hinc ducto exordio, *Non ſine numine hunc de ſe im-*

petum

petum ipſi contigiſſe. ſibimet ipſi filium ſuum Antoninum conciliauit Imperatorem in ſceptri traditione; *Deus è mortali factus*. Hoc autem quale fuerit, declarare opus eſt. Imperauit ſimul Aſiæ Antoninus, & domi Polemonis deſedit, quippe quæ Smyrnenſium optima, & optimi quoque viri domicilium eſſet. Polemon verò noctu à peregrinatione rediens, apud fores exclamat, quòd rebus ſuis inhibitus, grauia pateretur: & Antoninum in aliam domum migrare coëgit. Quæ cùm Imperator cognouiſſet, de his nihil interrogauit, ne qua ſæuitia vteretur; ſed poſt hæc ſecum reputans manſueta ſæpe ingenia ab vrgentibus & inſtigantibus irritari, ſuper Polemone timuit, hinc factum eſt, vt in conſtitutionibus imperialibus diceret; *Polemon Sophiſta, conſiliarius meus, huius mihi ſententiæ autor fuit: dum benignè vt benefico faciens, veniã eum corollario compararet.* Ad hæc Antoninus de iis quæ acciderant cum Polemone, (ſubindicãs vtique ſe minimè excluſionis oblitum eſſe) perurbanè iocatus eſt: & conceſſis ſubinde honoribus in altum extulit, quaſi ſponderet ſe factum eſſe iniuriarum immemorem. Id quoque eſt ab eo non inſulſe dictum. Nam Polemonem Romam profectum conueniens, complexúſque Antoninus: Date (inquit) Polemoni domicilium, néve quis inde eum eiiciat. cùm mimus tragœdiæ ab Olympiis, quæ in Aſia celebrabãtur, quibus Polemon præfuerat, ſed

A μὴν γενέσθαι τοῦτο. διήλλαξεν αὐτῷ καὶ τὸν ἑαυτοῦ παῖδα Ἀντωνῖνον ὁ αὐτοκράτωρ, ἐν τῇ τοῦ σκήπτρου παραδόσει θεὸς ἐκ θνητοῦ γενόμενος. τουτὶ δὲ ὁποῖον, ἀνάγκη δηλῶσαι. ἦρξε μὲν γὰρ πάσης ὁμοῦ Ἀσίας ὁ Ἀντωνῖνος, καὶ κατέλυσεν ἐν τῇ τοῦ Πολέμωνος οἰκίᾳ ὡς ἀρίστῃ τῶν κατὰ τὴν Σμύρναν, καὶ ἀρίστου ἀνδρός. νύκτωρ δὲ ἐξ ἀποδημίας ἥκων ὁ Πολέμων, ἐβόα
B ἐπὶ θύραις, ὡς δεινὰ πάσχων, τῶν ἑαυτοῦ εἰργόμενος· εἶτα συνηνάγκασε τὸν Ἀντωνῖνον ὡς ἑτέραν οἰκίαν μετασκευάσασθαι. ταῦτα ἐγίγνωσκε μὲν ὁ αὐτοκράτωρ. ἠρέτο δὲ ὑπὲρ αὐτῶν οὐδὲν, ὡς μὴ ἀναδέροιτο· ἀλλ᾽ ἐνθυμηθεὶς τὰ μετ᾽ αὐτὸν, καὶ ὅτι πολλάκις καὶ τὰς ἡμέρους ἐκκαλοῦνται φύσεις οἱ προσκείμενοί τε, καὶ πα-
C ροξύνοντες, ἔδεισε περὶ τῷ Πολέμωνι. ὅθεν ἐν ταῖς ὑπὲρ τῆς βασιλείας διαθήκαις, καὶ Πολέμων ὁ σοφιστὴς, ἔφη, ξύμβουλος τῆς διανοίας ἐμοὶ ταύτης ἐγένετο, τῷ κατὰ χάριν ὡς εὐεργέτῃ πράττειν, τὴν συγγνώμην ἐκ περιουσίας ἑτοιμάζων. καὶ ὁ Ἀντωνῖνος ἠστεΐζετο μὲν πρὸς τὸν Πολέμωνα περὶ τῶν κατὰ τὴν Σμύρναν,
D ἐνδεικνύμενός που τὸ μὴ ἐκλελῆσθαι. ταῖς δὲ ἑκάστοτε τιμαῖς, ἐπὶ μέγα ἦρεν, ἐγγυώμενός που τὸ μὴ μεμνῆσθαι. ἠστεΐζετο δὲ τὰ μὲν, ἐς τὴν Ῥώμην, ἥκοντος τοῦ Πολέμωνος· περιβάλλων αὐτὸν ὁ Ἀντωνῖνος, δότε; ἔφη, Πολέμωνι καταγωγὴν, καὶ μηδεὶς αὐτὸν ἐκβάλλῃ. ὑποκριτοῦ δὲ τραγῳδίας ἀπὸ τῶν κατὰ τὴν Ἀσίαν Ὀλυμπίων, οἷς ἐπεστάτει ὁ Πολέμων, ἐφιέναι

φήσαντος, ἐξελαθῆναι γὰρ ὑπ' αὐτοῦ κατ' ἀρχὰς τοῦ δράματος. ἤρετο ὁ αὐτοκράτωρ τὸν ὑποκριτὴν, πηνίκα εἴη ὅτε τῆς σκηνῆς ἠλάθη; τοῦ δ' εἰπόντος ὡς μεσημβρία τυχαίη οὖσα· μάλα ἀστείως ὁ αὐτοκράτωρ, ἐμὲ δ' εἶπεν, ἀμφὶ μέσας νύκτας, καὶ οὐκ ἐφῆκα. ἐχέτω μοι καὶ ταῦτα δήλωσιν ὡς βασιλέως τε πράου, καὶ ἀνδρὸς ὑπέρφρονος. ὑπέρφρων γὰρ δὴ οὕτως ὁ Πολέμων, ὡς πόλεσι μὲν ἀπὸ τοῦ προὔχοντος, δυνασταῖς δὲ ἀπὸ τοῦ μὴ ὑφειμένου, θεοῖς δὲ ἀπὸ τοῦ ἴσου διαλέγεσθαι. Ἀθηναίοις μὲν γὰρ ἐπιδεικνύμενος αὐτοσχεδίους λόγους, ὅτε καὶ πρῶτον Ἀθήναζε ἀφίκετο, οὐκ ἐς ἐγκώμια κατέστησεν ἑαυτὸν τοῦ ἄστεως· τοσούτων ὄντων, ἅ τις ὑπὲρ Ἀθηναίων εἴποι, οὐδ' ὑπὲρ τῆς ἑαυτοῦ δόξης ἐμακρηγόρησε· καί τοι ἐς τῆς τοιᾶσδε ἰδέας ὠφελούσης τοὺς σοφιστὰς ἐν ταῖς ἐπιδείξεσιν· ἀλλ' εὖ γιγνώσκων ὅτι τὰς Ἀθηναίων φύσεις ἐπικόπτειν χρὴ μᾶλλον, ἢ ἐπαίρειν, διελέχθη ὧδε. φασὶν ὑμᾶς, ὦ Ἀθηναῖοι, σοφοὺς εἶναι ἀκροατὰς λόγων, εἴσομαι. ἀνδρὸς δὲ, ὃς ἦρχε μὲν Βοσπόρου, πᾶσαν δὲ Ἑλληνικὴν παίδευσιν ἥρμοστο, καθ' ἱστορίαν τῆς Ἰωνίας ἐς τὴν Σμύρναν ἥκοντος, οὐ μόνον οὐκ ἔταξεν ἑαυτὸν ἐν τοῖς θεραπεύουσιν, ἀλλὰ καὶ δεομένου ξυνεῖναί οἱ θαμὰ, ἀνεβάλλετο ἕως ἠνάγκασε τὸν βασιλέα ἐπὶ θύραις ἀφικέσθαι, ἀπάγοντα μισθὸν δέκα τάλαντα. ἥκων δὲ ἐς τὸ Πέργαμον, ὅτε δὴ τὰ ἄρθρα ἐνόσει, κατέδαρθε μὲν ἐν τῷ ἱερῷ. ἐπιστάντος δὲ αὐτῷ τοῦ Ἀσκλη-

A prouocare eſſe diceret, quòd ab eo ſuæ fabulæ initio exploſus eſſet: continuò Imperator hiſtrionē percontabatur, quónam tempore è ſcena fuiſſet eiectus. ac reſpondente illo, ſub meridie. vrbaniſſimè Imperator ſubiecit: Et ego quoque ſub mediam noctem, & tamen non prouocaui. Imperatoris iſta quidem manſueti, & viri contumacis argumentum habent. Polemon enim tanta contumacia vtebatur, vt cum ciuibus, tanquam præſtans:
B cum principibus, vt nequaquam inferior: cum Diis, vt æqualis colloqui videretur. Nam cùm Athenienſibus extemporalē dicendi copiam oſtentare vellet, quando primùm venit Athenas, non ab vrbis laudibus fecit initium, cùm tot ac tanta ſint, quæ pro Athenis quis enarrauerit: neque de fama ſua amplè locutus eſt, tametſi hic ſermo Sophiſtis in ſpeciminibus edendis admodum opituletur. Sed
C quia bene nouerat Athenienſium ingenia magis retundi, quàm efferri oportere, ita diſſeruit: *Vos fama eſt Athenienſes, ſapientes eſſe orationum auditores. id verò ſciam.* Cùm vir qui præfuerat Boſphoro, & vniuerſis Græcorum diſciplinis ornatus erat, ad perluſtrationem Ioniæ Smyrnam veniſſet, non ſolùm non inter cultores ſe conſtituit, ſed cùm ille enixè flagitaret, vt ſe fre-
D quentaret, rem euſque diſtulit, quouſque principem adegit, ad fores ſuas venire, decem talentis pro mercede datis. Et profectus Pergamum cùm articulari morbo ægrotaret, & in ſacello requieuiſſet; atque eò loci ipſi apparuiſſet Æſcu-

lapius, & admonuiſſet, vt frigido potu abſtineret, Optime, Polemo inquit, quid ſi bouem curares? Hic autem magnanimitatis & prudentiæ laudem, à Philoſopho Timocrate contraxit, cui quatuor annis in Ioniam eunti, comitatum præſtitit. Neque abſurdum eſt quis Timocrates fuerit, oſtendere. Fuit enim ex Ponto vir iſte, patria verò Heraclienſis, Græcorum inſtituta laudans: à principio medicinam profeſſus eſt: cùm Hippocratis & Democriti opiniones probè noſſet: ſed poſtquam Euphratem Tyrium audiuit, plenis velis ſe ad illius philoſophiam contulit. Ita autem plus æquo ſubiracundus erat, vt diſputanti ſibi in barba pili, & in capite crines, more leonis concitati, aſſurgerent. Item lingua huic erat volubilis, vehemens & prompta. Quare hic apud Polemonem maximo fuit in pretio, qui eiuſmodi orationis vehementiam amabat. Timocrati igitur controuerſia cum Scopeliano orta, quòd is ſe ipſum pici & vuoſellis tradidiſſet: & Smyrnea iuuétute quæ ſcholas frequentabat diſſidente, Polemon vtroque audito, Timocratis partes ſectatus eſt, eúmque ſuæ linguæ patrem appellauit. Cùm ſe de orationibus in Phauorinum habitis excuſaret, puerorum more, quando in aliquo deliquerint, præceptorũ flagra reformidantiũ, ſe verecundè, abiectéq; ſubmiſit. Hac eadem ſubmiſſione apud Scopelianum vſus eſt: aliquãto poſt, cùm vt pro Smyrnæis legationem obiret ſuffragiis electus eſt: ac ſibi tanquam Achillis arma

A ποδί, καὶ προειπόντος ἀπέχεσθαι ψυχροῦ ποτοῦ, ὁ Πολέμων, βέλτιστε, εἶπεν, εἰ δὲ βοῦν ἐθεράπευες; τὸ δὲ μεγαλόγνωμον, καὶ φρονηματῶδες, ἐκ Τιμοκράτους ἔσπασε τοῦ φιλοσόφου, συγγενόμενος αὐτῷ ἥκοντι ἐς Ἰωνίαν ἐτῶν τεττάρων. οὐ χεῖρον δὲ καὶ τὸν Τιμοκράτην δηλῶσαι. ἦν μὲν γὰρ ἐκ τοῦ Πόντου ὁ ἀνὴρ οὗτος· καὶ ἦν αὐτῷ πατρὶς Ἡράκλεια, τὰ Ἑλλήνων *ἐπαι- B νῶν. ἐφιλοσόφει δὲ κατ' ἀρχὰς μὲν σὺν ἰατρικοῖς τῶν λόγων, εἰδὼς εὖ τὰς Ἱπποκράτους τε, καὶ Δημοκρίτου δόξας. ἐπεὶ δὲ ἤκουσεν Εὐφράτου τοῦ Τυρίου, πλήρεσιν ἱστίοις ἐς τὴν ἐκείνου φιλοσοφίαν ἀφῆκεν. ἐπιχολώτερος δὲ οὕτω τι ἦν τοῦ ξυμμέτρου, ὡς ὑπανίστασθαι αὐτῷ διαλεγομένῳ τήν τε *γενειάδα, καὶ τὰς ἐν τῇ κεφαλῇ χαίτας, ὥσπερ τῶν λεόντων ἐν ταῖς ὁρμαῖς. τῆς δὲ C γλώττης, εὐφόρως εἶχε, καὶ σφοδρῶς, καὶ ἑτοίμως. διὸ καὶ τῷ Πολέμωνι πλείστου ἦν ἄξιος, ἀσπαζομένῳ τὴν τοιάνδε ἐπιφορὰν τοῦ λόγου. διαφορᾶς γοῦν τῷ Τιμοκράτει πρὸς τὸν Σκοπελιανὸν γενομένης, ὡς ἐνδεδωκότα ἑαυτὸν πίττῃ, καὶ παρατιλτρείαις, διέστη μὲν ἡ ἐνομιλοῦσα νεότης τῇ Σμύρνῃ· ὁ δὲ Πολέμων ἀμφοῖν ἀ- D κροώμενος, τῶν τοῦ Τιμοκράτους στασιωτῶν ἐγένετο, πατέρα καλῶν αὐτὸν τῆς ἑαυτοῦ γλώττης. ἀπολογούμενος δὲ αὐτῷ καὶ ὑπὲρ τῶν πρὸς Φαβωρῖνον λόγων, εὐλαβῶς ὑπέστειλε, καὶ ὑφειμένως, ὥσπερ τῶν παίδων οἱ τὰς ἐκ τῶν διδασκάλων πληγὰς εἴπι ἀπακτήσειν, δεδιότες. τῷ δὲ ὑφειμένῳ τούτῳ, καὶ πρὸς τὸν Σκοπελιανὸν ἐχρήσατο χρόνῳ ὕστερον, χειροτονηθεὶς μὲν πρεσβεύειν ὑπὲρ τῶν Σμυρναίων, ὡς ὅπλα δὲ Ἀχίλλεια

γρ. χ. ἐπαινοῦντος

γρ. χ. τὴν δὲ

Io. αἰτήσαντος. τὴν ἐκείνου πειθὼ* αἰτήσας. Ἡρώδη δὲ τῷ Ἀθηναίῳ, πῇ μὲν, ἀπὸ τοῦ ὑφειμένου, πῇ δὲ, ἀπὸ τοῦ ὑπεραίροντος ξυνεγένετο. ὅπως δὲ καὶ ταῦτα ἔσχε, δηλῶσαι βούλομαι. καλά γὰρ, καὶ μεμνῆσθαι ἄξια. ἤρα μὲν γὰρ τοῦ αὐτοσχεδιάζειν μᾶλλον ὁ Ἡρώδης, ἢ τοῦ ὕπατός τε, καὶ ἐξ ὑπάτων δοκεῖν. τὸν Πολέμωνα δὲ οὔπω γιγνώσκων, ἀφίκετο μὲν ἐς τὴν Σμύρναν, ἐς τὴν ἐξουσίαν τοῦ ἀνδρὸς, κατὰ χρόνους, οὓς τὰς ἐλευθέρας τῶν πόλεων αὐτὸς διωρθοῦτο. περιβαλὼν δὲ, καὶ ὑπερασπασάμενος, ὁμοῦ τῷ τὸ στόμα ἀφελεῖν τοῦ στόματος· πότε, εἶπεν, ὦ πάτερ, ἀκροασόμεθά σου; καὶ ὁ μὲν δὴ, ᾤετο ἀναβαλεῖσθαι αὐτὸν τὴν ἀκρόασιν, ὀκνεῖν φήσαντα ἐπ' ἀνδρὸς τοιούτου ἀποκινδυνεύειν. ὁ δὲ, οὐδὲν πλασάμενος· τήμερον, ἔφη, ἀκροῶ, καὶ ἴωμεν. τοῦτο ἀκούσας ὁ Ἡρώδης, ἐκπλαγῆναι ἔφησε τὸν ἄνδρα, ὡς τὴν γλῶτταν αὐτοσχέδιον, καὶ τὴν γνώμην. ταῦτα μὲν οὖν, φρόνημα ἐνδείκνυται τοῦ ἀνδρὸς, καὶ νὴ Δία σοφίαν, ᾗ ἐς τὴν ἔκπληξιν ἐχρήσατο· ἐκεῖνα δὲ, σωφροσύνην τε, καὶ κόσμον. ἀφικόμενον γὰρ ἐς τὴν ἐπίδειξιν, ἐδέξατο ἐπαίνῳ μακρῷ, καὶ ἐπαξίῳ τῶν Ἡρώδου λόγων τε, καὶ ἔργων. τὴν δὲ σκηνὴν τοῦ ἀνδρὸς, ᾗ ἐς τὰς μελέτας ἐχρήσατο, ἔστι μὲν καὶ Ἡρώδου μαθεῖν ἐν μιᾷ τῶν πρὸς τὸν Βάρβαρον ἐπιστολῶν εἰρημένων. δηλώσω δὲ κἀγὼ ἐκεῖθεν. παρῄει μὲν ἐς τὰς ἐπιδείξεις διακεχυμένῳ τῷ προσώπῳ, καὶ τεθαρρηκότι. φοράδην* δὲ ἐσεφοίτα, διεφθορότων αὐτῷ ἤδη τῶν ἄρθρων. καὶ τὰς ὑποθέσεις οὐκ ἐς τὸ κοινὸν ἐσκοπεῖτο, ἀλλ' ἐξιὼν τοῦ ὁμίλου βραχὺν καιρόν.

A huius quoque ſuadelam expoſceret. Herodis Athenienſis partim in ſubmiſſo genere, partim in elato conſuetudini ſe adiunxit. Quæ quidem omnia quomodo ſeſe habuerint, mox aperire conſtitui: quando pulchra ſunt & commemoratione digna. Extemporalem orationem Herodes magis amauit, quàm aut Conſul eſſe, aut à Conſulibus originem ducere videri. Cùm Polemonem nondum cogno-

B ſceret, Smyrnam venit. ob autoritatem viri, iis temporibus, quibus liberas ciuitates moderabatur. Mox ruit in hominis amplexus, eúmque identidem exoſculatus: Ecquando te pater audiemus? inquit. proinde eum auſcultationem dilaturum arbitrabatur, quòd diceret ſe cunctari coram tali viro facere periculum. at hic nihil fingens nec differens, Hodie, inquit, audies, & eamus. Quod cùm audiuiſſet Herodes, ſe obſtupuiſſe confeſſus eſt, ob extemporaneam viri linguam

C & ſententiam ingenioſam. Illa igitur magnos hominis ſpiritus, ſapientiámque oſtendunt, qua quidem ad ſtuporem vſus eſt. Hæc verò modeſtiam & ornatum. Venientem enim ad ſpecimen Herodem, cum ſatis longa laude eloquentiæ, & dictis & factis illius digna, excepit. Viri ſcenam, qua ad declamationes vtebatur, ex vna He-

D rodis epiſtolarum, quæ ad Barbarũ inſcribuntur, diſcere licet. Et hinc ipſe oſtendã. diffuſo hilaríq; vultu, ad conciones accedebat, & promiſcuè vẽtitabat corruptis iam ipſi articulis. Cauſas in publico nõ expẽdebat, ſed è cœtu breui tẽpore egreſſus.

Vox erat ei tenuis & laborioſa, plauſus mirabilis, prout lingua ſtrepebat: è ſede in cauſarum vigore eum exiluiſſe dicebat Herodes. tantùm ei concitationis aderat: in tornanda quaq; periodo, vbique membrum cum riſu proferebat; abſque triſtitia loqui præſeferens. vt non ſecus ac Heroicus equus, in certis cauſarum locis quaſi greſſus glomerare videretur. Idem primam eius cauſam vt iudicantes; ſecundã, vt amantes ſe audiuiſſe ait: tribus enim diebus conuerſatum eſſe cum eo, & ipſe cauſas quibus interfuit, deſcribit Herodes. Fuit igitur prima, qua Demoſthenes eiurat talentorum quinquaginta corruptelam: quam Demades in ipſum inuexit, quaſi Alexander hoc Athenienſibus ex Darij rationibus mandaſſet. *Altera verò de dirutis Græcorum trophæis, pacato Peloponneſiaco bello.* Tertia denique cauſarum; Athenienſes poſt prœlium ad Capræ flumina diſſoluit; pro quo Herodes ait ſe miſiſſe quindecim myriadas, cùm hæc mercedem auſcultationis appellaret. hoc verò non admiſſo ipſe ſe deſpectum eſſe arbitrari. Munatium autem Creticum, qui è Trallibus erat, conuiuam ſuum: O Herodes, inquit, videtur hercle mihi Polemon quinque & viginti myriadas ſomniaſſe, & ob id reputare ſe minus habere quòd non tot miſeris. decem addidiſſe ſe, inquit Herodes, & Polemonem recuperantis more promptè cepiſſe. Polemoni Herodes conceſſit etiam ad eloquentiæ oſtentationem minimè acceſſiſſe, neque vt cum ipſo con-

A φθέγμα δὲ ἦν αὐτῷ λεπτὸν, καὶ ἐπίτονον, καὶ κρότος θαυμάσιος, οἷος ἀπεκτύπει τῆς γλώττης. φησὶ δὲ αὐτὸν ὁ Ἡρώδης ἀναπηδᾶν τοῦ θρόνου παρὰ τὰς ἀκμὰς τῶν ὑποθέσεων· τοσοῦτον αὐτῷ περιεῖναι ὁρμῆς· καὶ ὅτε ἀποτορνεύοιτο περίοδον, τὸ ἐπὶ πάσῃ αὐτῇ κῶλον σὺν μειδιάματι φέρειν, ἐνδεικνύμενον πολὺ τὸ ἀλύπως φράζειν, καὶ κροαίνειν ἐν τοῖς τῶν ὑποθέσεων χωρίοις, οὐδὲν μεῖον τοῦ ἡρωϊκοῦ ἵππου. B ἀκροᾶσθαι δὲ αὐτοῦ, τὴν μὲν πρώτην, ὡς οἱ δικάζοντες. τὴν δὲ ἐφεξῆς, ὡς οἱ ἐρῶντες· καὶ γὰρ δὴ καὶ τριῶν ἡμερῶν ξυνεσχέσθαι οἱ ἀναγράφει, καὶ τὰς ὑποθέσεις Ἡρώδης, ἐφ᾽ αἷς ξυνεγένετο. ἣν τοίνυν ἡμῖν πρώτη, Δημοσθένης ἐξομνύμενος ταλάντων πεντήκοντα δωροδοκίαν, ἣν ἦγεν ἐπ᾽ αὐτὸν Δημάδης, ὡς Ἀλεξάνδρου ταῦτα Ἀθη- C ναίοις ἐκ τῶν Δαρείου λογισμῶν ἐπεσταλκότος. * * * *

ἡ δὲ τρίτη τῶν ὑποθέσεων, τοὺς Ἀθηναίους μετὰ τὰ ἐν Αἰγὸς ποταμοῖς ἐς τοὺς δήμους ἀνεσκεύαζεν, ὑπὲρ οὗ φησιν ὁ Ἡρώδης πέμψαι οἱ δεκαπέντε μυριάδας, προσειπὼν αὐτὰ μισθὸν τῆς ἀκροάσεως· μὴ προσιεμένου δὲ, αὐτὸς μὲν ὑπερῶφθαι οἴεσθαι. ξυμπίνοντα δὲ αὐτῷ Μουνάτιον D τὸν Κρητικὸν, ὁ δὲ ἀνὴρ οὗτος, ἐκ Τραλλέων, ὦ Ἡρώδης φάναι δοκεῖ μοι Πολέμων ὀνηροπολήσας πέντε, καὶ εἴκοσι μυριάδας, παρὰ τοῦτ᾽ ἔλαττον ἔχειν ἡγεῖσθαι, παρ᾽ ὃ μὴ τοσαύτας ἔπεμψας· προσθεῖναί φησιν ὁ Ἡρώδης τὰς δέκα· καὶ τὸν Πολέμωνα προθύμως λαβεῖν, ὥσπερ ἀπολαμβάνοντα. ἔδωκε τῷ Πολέμωνι ὁ Ἡρώδης, καὶ τὸ μὴ παρηχθῆναι ἐπ᾽ αὐτῷ ἐς λόγων ἐπίδειξιν, μηδ᾽ ἐπαγω-

νίσασθαί ποτε. νύκτωρ δὲ ἐξελάσαι τῆς Σμύρνης, ὡς μὴ βιασθείη. θρασὺ γὰρ καὶ τὸ βιασθῆναι ᾤετο. διετέλει δὲ, καὶ τὸν ἄλλον χρόνον ἐπαινῶν τὸν Πολέμωνα, καὶ ὑπὲρ θαῦμα ἄγων. Ἀθήνησι μὲν γὰρ διαπρεπῶς ἀγωνισάμενος τὸν περὶ τῶν τροπαίων ἀγῶνα, καὶ θαυμαζόμενος ἐπὶ τῇ φορᾷ τοῦ λόγου, τοῦ Πολέμωνος, ἔφη, μελέτην ἀνάγνωτε, καὶ εἴσεσθε ἄνδρα. Ὀλυμπίασι δὲ βοησάσης ἐπ' αὐτῷ τῆς Ἑλλαδικῆς, εἷς ὡς Δημοσθένης· ἤδη γὰρ, ἔφη, ὡς ὁ Φρύξ. τὸν Πολέμωνα ὧδε ἐπονομάζων ἐπειδὴ τότε ἡ Λαοδίκεια τῇ Φρυγίᾳ συνετέλει. Μάρκου δὲ αὐτοῦ τοῦ αὐτοκράτορος πρὸς αὐτὸν εἰπόντος, πόσοι δοκεῖ ὁ Πολέμων; στήσας σφοδρὸν ὀφθαλμοὺς ὁ Ἡρώδης, Ἵππων μ' (ἔφη) ὠκυπόδων ἀμφὶ κτύπος οὔατα βάλλει· ἐνδεικνύμενος δὴ τὸ ἐπίκροτον, καὶ τὸ ὑψηχὲς τοῦ λόγου. ἐρομένου δὲ αὐτὸν καὶ Βαρβάρου τοῦ ὑπάτου, τίσι διδασκάλοις ἐχρήσατο· τῷ δεῖνι μὲν, καὶ τῷ δεῖνι, ἔφη, παιδευόμενος· Πολέμωνι δὲ ἤδη παιδεύων. Φησὶν ὁ Πολέμων ἠκροᾶσθαι καὶ Δίωνος, καὶ ἀποδημίαν ὑπὲρ τούτου στείλας ἐς τὸ Βιθυνῶν ἔθνος. ἔλεγε δὲ ὁ Πολέμων, τὰ μὲν τῶν καταλογάδην, ὤμοις δεῖν ἐκφέρειν· τὰ δὲ τῶν ποιητῶν, ἁμάξαις. κἀκεῖνα τῶν Πολέμωνι τιμὴν νεμόντων. ἤριζεν ἡ Σμύρνα ὑπὲρ τῶν ναῶν, καὶ τῶν ἐπ' αὐτοῖς δικαίων, ξύνδικον πεποιημένη τὸν Πολέμωνα, ἐς τέρμα ἤδη τοῦ βίου ἥκοντα· ἐπεὶ δὲ ἐν ὁρμῇ τῇ ὑπὲρ τῶν δικαίων ἀποδημίας ἐτελεύτησεν, ἐχρήσατο μὲν ἐπ' ἄλλοις ξυνδίκοις ἡ πόλις, πονηρῶς δὲ αὐτῶν ἐν τῷ βασιλείῳ δικαστηρίῳ διαπεθεμένων

ἴσ. Πολέμωνα

ἴσ. ἀποδημίας

A certaret. Itē Smyrna noctu exegiſſe, ne vi adigeretur. Temerarium enim, vim inferre exiſtimabat. In reliquo certè tempore, Polemonem laudare perſeuerauit, & ſuper omnem admirationem celebraret. Nam cùm apud Athenienſes de trophæis eximiè cauſam egiſſet, & ob concitatæ orationis vehementiam in admirationem veniſſet: Polemonis, inquit, declamationem recognoſcite, & noſcetis virum. Cùm in B Olympiis Græcia ſuper ipſo exclamaſſet: *Alter es Demoſthenes*: Enimuerò iam (inquit) Phryx alter: Polemonem ita cognominans: quoniam tunc Phrygiæ Laodicéa adiuncta fuerat. Porrò interrogante Imperatore Marco: Quid tibi videtur Polemon? Herodes oculis ſtabilitis inquit:

Quadrupedū ſtrepitus mihi aures perculſit equorū. Per hoc plaudentem, & C altam orationis ſonoritatem oſtendens. Cùm à Barbaro Conſule rogaretur, quibuſnam præceptoribus vſus eſſet? Ab alio atque alio (inquit) eruditus ſum. iam verò Polemonē inſtituo. Is ſe Dionem quoque audiuiſſe dicebat; & propterea in Bithyniam peregrè fuiſſe profectū. idem quæ proſæ ſunt orationis, humeris: quæ verò poëticæ, ea plauſtris efferri oportere dicebat. Atque hæc etiam ex iis ſunt D quæ Polemoni honorem conferunt. De templorum, eorúmque iuribus Smyrna contēdebat; communi quidem arbitro Polemone ad vitæ finem iam inclinantem deſignato. Sed quoniam hic in aggreſſione pro iure fanorum diſceptationis, vita functus eſt, ciuitas ad alios communes arbitros peruenit. Qui cùm in regio prætorio, orationem malè diſpoſuiſſent, in

Smyrnæos cauſidicos Imperator ipſe intuitus: Nónne Polemon (inquit) communis arbiter huius certaminis vobis conſtitutus erat? Næ (inquiunt) ſiquidē de Sophiſta loqueris. Ad hæc Imperator, Fortaſſe igitur (inquit) & orationem aliquam de iuribus conſcripſiſſet, & certè, vt pro me acturus, ac pro tot ac tantis rebus. Fortaſſe, reſponderunt, Imperator, non tamen nobis videre ac ſcire contigit. Tum iudicio dilationem Imperator conceſſit, donec adferretur ſermo. hoc ergo lecto in Senatu, ipſe Imperarator ſecundum orationem decreuit. tum receſſit Smyrna primas adepta: ac Polemonem è mortuis excitatum prædicans. Quandoquidem* eloquentiſſimorum virorum non ſolùm ſerio ſtudioſeque dicta, memoria digna ſunt, ſed etiam ea quæ per iocum ab iis dicta ſunt: nunc vrbanos quoque ſales Polemonis ſcribendos eſſe cenſuimus, ne hi quoque prætermiſſi eſſe videantur. Adoleſcens Ionicus Smyrnæ deliciis diffluebat, ſupra mores Ionum, quem ampla opulentia profligabat, quæ incaſtigati ingenij exitioſa magiſtra eſt. Adoleſcenti nomen Varus erat. Hic ab aſſentatoribus deprauatus, vt pulchrorum foret pulcherrimus, & maximus procerorum: item & Athletarum generoſiſſimus, artificioſiſſimúſque: neque, ſi quando ad cantū ſe conuertiſſet, Muſas quidem ipſas ſe iucundius carmen ordiri; ipſe ſibi perſuaſerat. his quoque ſimilia de Sophiſtis etiam reputauit: ſe nimirum eorum linguam ſuperare, ſi quandoque declamaret: atenim interdum certè declamabat, & plerique mutuati ab eo pecunias, vſuræ quoque adſcribebant, quòd ipſum de-

Xenophon in conu.

A τὸν λόγον, βλέψας ὁ αὐτοκράτωρ ἐς τοὺς τῶν Σμυρναίων συνηγόρους, οὐ Πολέμων, εἶπε, τουτουὶ τοῦ ἀγῶνος σύνδικος ὑμῖν ἀποδέδεικται; ναί, ἔφασαν, εἴγε τὸν σοφιστὴν λέγεις. καὶ ὁ αὐτοκράτωρ, ἴσως οὖν, ἔφη, καὶ λόγον τινὰ συνέγραψεν ὑπὲρ τῶν δικαίων, οἷα δὴ ἐπ' ἐμοῦ τε ἀγωνιούμενος, καὶ ὑπὲρ τηλικούτων. ἴσως, ἔφασαν, ὦ βασιλεῦ, οὐ μὴν ὑμῖν γε εἰδέναι. καὶ ἔδωκεν ἀναβολὰς ὁ αὐτοκράτωρ B τῇ δίκῃ, ἔστ' ἂν διακομισθῇ ὁ λόγος. ἀναγνωσθέντος δὲ ἐν τῷ δικαστηρίῳ, κατ' αὐτὸν ἐψηφίσατο βασιλεύς. καὶ ἀπῆλθεν ἡ Σμύρνα, τὰ πρωτεῖα νικῶσα· καὶ τὸν Πολέμωνα αὐτοῖς ἀναβεβιωκότα φάσκοντες. ἐπεὶ δὲ ἀνδρῶν ἐλλογίμων ἀξιομνημόνευτα οὐ μόνον τὰ μετὰ σπουδῆς λεχθέντα, ἀλλὰ καὶ τὰ ἐν ταῖς παιδιαῖς, ἀναγράψω καὶ τοὺς ἀστεϊσμοὺς τοῦ C Πολέμωνος, ὡς μηδὲ οὗτοι παραλελειμμένοι φαίνοιντο. μειράκιον Ἰωνικὸν ἐτρύφα κατὰ τὴν Σμύρναν ὑπὲρ τὰ Ἰώνων ἤθη, καὶ ἀπώλλυ αὐτὸ πλοῦτος βαθύς, ὅσπερ ἐστὶ διδάσκαλος πονηρὸς τῶν ἀκολάστων φύσεων. ὄνομα μὲν δὴ τῷ μειρακίῳ Οὔαρος. διέφθορος δὲ ὑπὸ κολάκων, ἐπεπείκει αὐτὸ ἑαυτό, ὡς καλῶν τε εἴη ὁ κάλλιστος, καὶ μέγας ὑπὲρ D τοὺς εὐμήκεις, καὶ τῶν ἀμφὶ παλαίστραν γενναιότατός τε, καὶ τεχνικώτατος, καὶ μηδ' αἱ Μοῦσαι ἀναβάλλεσθαι αὐτοῦ ἥδιον, ὁπότε ᾄδειν ἅπτοιτο. παραπλήσια δὲ τούτοις καὶ περὶ τῶν σοφιστῶν ᾤετο· περιπτεῦσαι γὰρ καὶ τὰς ἐκείνων γλώττας, ὁπότε μελετῴη· καὶ γὰρ δὴ καὶ ἐμελέτα· καὶ οἱ δανειζόμενοι παρ' αὐτοῦ χρήματα, τὸ καὶ μελετῶντος ἀκροάσασθαι, προσέγραφον

Lege sup. lin. antepen. δυσ-ζόμενοι

A τῷ τόκῳ. ὑπήγετο καὶ ὁ Πολέμων τῷ δασμῷ τούτῳ νέος ὢν ἔτι, καὶ οὔπω νοσῶν. δεδάνειστο γὰρ παρ' αὐτοῦ χρήματα. καὶ ἐπεὶ μὴ ἐθεράπευε, μηδὲ ἐς τὰς ἀκροάσεις ἐφοίτα, χαλεπὸν ἦν τὸ μειράκιον, καὶ ὑπείλει τύποις. οἱ δὲ τύποι, γράμμα εἰσὶν ἀγορᾶς ἐρήμην ἐπαγγέλλον τῷ οὐκ ἀποδιδόντι. αἰτιωμένων οὖν τὸν Πολέμωνα ὡς ἀναιδῆ, καὶ δύστροπον, εἰ παρὸν αὐτῷ μὴ ἀπαιτεῖσθαι, καὶ τὸ μειράκιον
B ἐκκαρποῦσθαι, περιέχοντα αὐτῷ νεῦμα εὔνουν, μὴ ποιεῖ τοῦτο· ἀλλ' ἐκκαλεῖται αὐτὸν, καὶ παροξύνει. τοιαῦτα ἀκούων, ἀπήντησε μὲν ἐπὶ τὴν ἀκρόασιν. ἐπεὶ δὲ ἐς δείλην ἤδη ὀψίαν τὰ τῆς μελέτης αὐτῷ προὔβαινε, καὶ οὐδεὶς ὅρμος ἐφαίνετο τοῦ λόγου, σολοικισμῶν τε, καὶ βαρβαρισμῶν, καὶ ἐναντιώσεων πλέα ἦν πάντα, ἀναπηδήσας ὁ Πολέμων, καὶ ὑποσχὼν τὼ χεῖρε, Οὔαρε, εἶπε, φέρε
C τοὺς τύπους. λῃστὴν δὲ πολλαῖς αἰτίαις ἑαλωκότα στρεβλοῦντος ἀνθυπάτου, καὶ ἀπορεῖν φάσκοντος τίς γένοιτ' ἂν ἐπ' αὐτῷ τιμωρία τῶν εἰργασμένων ἀξία, παρατυχὼν ὁ Πολέμων, κέλευσον, ἔφη, αὐτὸν ἀρχαῖα ἐκμανθάνειν. καίτοι γὰρ πλεῖστα ἐκμαθὼν ὁ σοφιστὴς οὗτος, ὅμως ἐπιπονώτατον ἡγεῖτο τῶν ἐν ἀσκήσει τὸ ἐκμανθάνειν. ἰδὼν δὲ μονο-
D μάχον ἱδρῶτι ῥεόμενον, καὶ δεδιότα τὸν ὑπὲρ ψυχῆς ἀγῶνα, οὕτως, εἶπεν, ἀγωνιᾷς, ὡς μελετᾶν μέλλων. σοφιστῇ δὲ ἐντυχὼν ἀλλᾶντας ὠνουμένῳ, καὶ μαινίδας, καὶ τὰ εὐτελῆ ὄψα· ὦ λῷστε, εἶπεν, οὐκ ἔστι τὸ Δαρείου, καὶ Ξέρξου φρόνημα καλῶς ὑποκρίνασθαι, ταῦτα σιτουμένῳ. Τιμοκράτους δὲ τοῦ φιλοσόφου πρὸς αὐτὸν

clamantem audiſſent. ſubigebatur etiam huic tributo Polemon iuuenis adhuc, & nondum ægrotans: pecunias enim ab ipſo fœnore acceperat, & quia non eum colebat, neque auditoriũ frequentabat, moleſtus fuit ei adoleſcens, & minitabatur Notas: notæ autem erant, ſcriptum denuntians vadimonium deſertũ ei qui non reddebat. Quare cùm Polemonem accuſarent, tanquam moroſum & inuerecundum, quòd cùm liceret ipſi non repoſci ab adoleſcente, & ab eo fructum percipere, beneuolo nutu ſe illi exhibendo; illud tamen minimè præſtaret; imò excitaret eum, & prouocaret. Polemon hæc audiens, venit ad auſcultationem. Ac vbi in crepuſculum & ſerum vſque tempus ipſi declamatio prorogaretur, & nullus orationis portus appareret, quando ſolœciſmorum & barbariſmorum contrarietatúmq; plena erant omnia, & ſubmiſſis manibus, Polemon exiluit, Age, Vare (inquit) fer typos, ſeu fori literas. Prædonem multis criminibus conuictum torquente Proconſule, & ſe dubitare fatente quæ fuerit digna facinorum pœna: fortè adueniens Polemon, Iube (inquit) ipſum antiqua dediſcere. etenim iſte Sophiſta quàm plurima edoctus. tamen laborioſiſſimum eorum quæ in exercitatione ſunt, dediſcere reputabat. Intuitus gladiatorem ſudore perfuſum, & in certamine de vita formidantem: Ita (inquit) ſolicitaris, & trepidas, vt declamaturus orator. Cùm in Sophiſtam lucanicas & Mænidas, viliáque obſonia coëmentem incidiſſet: O vir optime (inquit) neque Darij, neque Xerxis animos pulcrè imitari licet hæc ementi. Dicente apud eum Timocrate Philoſopho loquaciſſi-

mum quid eſſe Phauorinum. Vrbaniſſime Polemon & omnis (inquit) anus; eius ſpeciem Eunucho conſimilem cauillatus. Cùm tragœdiæ actor in Olympiis, quæ apud Smyrnam agebantur: *O Iupiter*, exclamaſſet, manu terram oſtendens: &, *ô terra*, vultu in cœlum erecto: præſidens in Olympiis Polemon, eum exigit dicens: Hic manu ſolœciſmum fecit. plura non addam ex hoc genere. ſed enim ſatis hæc viri gratiam & leporem oſtendunt. In oratione Polemonis Idea calida eſt & ſolicita, atque Olympicæ tubis modo clarè ſonans. Demoſthenicæ hanc addecent ſententiæ, & grauitas non ſupina, quæ ſplendida eſt, & Apollinis quaſi è tripode inſpirata. aberrant ab ingenio viri, qui eum intentiones optimè ſapientum; depulſiones verò minus rectè tractaſſe aſſerunt. Arguunt hunc ſermonem mendacij, aliquammultæ cauſæ in quibus ipſe purgat ſe: in primis tamen quæ Demoſthenes dicitur, eiurans quinquaginta talenta. Nam cùm defenſionem ita difficilem diſponeret, orationem aſcitis ornamentis, artéque perfecit. Eundem errorem in illis inuenio, qui in figuratis cauſis illum extra ferri putant, inſtar equi ob difficultatem loci ſtrigantis: & quod ſe excuſando, Homericas ſententias adhibeat.

Non minus ille mihi eſt hoſtis, quàm
ianua Auerni,
Qui dum ore effundet verba, haud ea
mente recumbit.

Hæc enim fortaſſe dicebat, ſe ſubobſcurè indicans difficultatem cauſarum eiuſmodi. In apertis cauſis,

A εἰπόντος ὡς λάλον χρῆμα ὁ Φαβωρῖ-
νος γένοιτο, ἀστειότατα ὁ Πολέμων, καὶ
πᾶσα, ἔφη, γραῖς· τὸ εὐνουχῶδες αὐτοῦ
διασκώπτων. ἀγωνιζομένου δὲ τραγῳδίας ἐν
τοῖς κατὰ τὴν Σμύρνην Ὀλυμπίοις, τὸ
ὦ Ζεῦ, εἰς τὴν γῆν δείξαντος· τὸ δὲ,
ὦ γᾶ, ἐς τὸν οὐρανὸν ἀνασχόντος, προ-
καθήμενος τῶν Ὀλυμπίων ὁ Πολέμων,
ἐξέωσεν αὐτὸν τῶν ἄθλων, εἰπὼν, οὗτος
τῇ χειρὶ ἐσολοίκισε. μὴ πλείω ὑπὲρ τού-
B των. ἀπέχρη γὰρ καὶ ταῦτα τὸ ἐπίχαρι τοῦ
ἀνδρὸς δηλῶσαι. ἡ δὲ ἰδέα τῶν Πολέ-
μωνος λόγων, θερμὴ, καὶ ἐναγώνιος, καὶ
τορὸν ἠχοῦσα, ὥσπερ ἡ Ὀλυμπικὴ σάλ-
πιγξ. ἐπιπρέπει δὲ αὐτῇ, καὶ τὸ Δημο-
σθενικὸν τῆς γνώμης. καὶ ἡ σεμνολογία, οὐχ
ὑπτία, λαμπρὰ δὲ, καὶ ἔμπνους, ὥσπερ
ἐκ τρίποδος. διαμαρτάνουσι μὲν οὖν τοῦ ἀν-
δρὸς, φάσκοντες αὐτὸν τὰς μὲν ἐπι-
φορὰς, ἄριστα σοφῶν μεταχειρίσασθαι,
C τὰς δὲ ἀπολογίας ἧττον. ἐλέγχει γὰρ
τὸν λόγον τοῦτον ὡς οὐκ ἀληθῆ, καὶ ἡ δεῖ-
να μὲν, καὶ ἡ δεῖνα τῶν ὑποθέσεων, ἐν
αἷς ἀπολογεῖται. μάλιστα δὲ ὁ Δημο-
σθένης, ὁ τὰ πεντήκοντα τάλαντα ἐξο-
μνύμενος· ἀπολογίαν γὰρ οὕτω χαλε-
πὴν διαθέμενος, ἤρκεσε τῷ λόγῳ ξὺν
περιβολῇ, καὶ τέχνῃ. τὴν αὐτὴν ὁρῶ
διαμαρτίαν καὶ περὶ τοὺς ἡγουμένους αὐ-
D τὸν ἐκφέρεσθαι τῶν ἐσχηματισμένων ὑπο-
θέσεων, εἰργόμενον τοῦ δρόμου, καθάπερ
ἐν δυσχωρίᾳ ἵππου, παραιτούμενόν τε
αὐτὰς τὰς Ὁμηρείους γνώμας εἰπεῖν

Ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐ-
δαο πύλῃσιν,
Ὥς χ' ἕτερον μὲν κεύθει ἐνὶ φρεσὶν, ἄλλο δὲ βάζῃ.

ταῦτα γὰρ ἴσως ἔλεγεν, αἰνιττόμενος, καὶ παραδηλῶν τὸ δύστροπον τῶν τοιούτων ὑποθέσεων. ἀρίστα

ἠ κἀκεῖνα ἠγωνίσατο, ὡς δηλοῦσιν ὅ, τε μοιχὸς ὁ ἐγκεκαλυμμένος, ὁ ἀξιῶν ἀποθνήσκειν ἐπὶ Σωκράτει, καὶ ὁ Σόλων ὁ αἰτῶν ἀπαλείφειν τοὺς νόμους, λαβόντος τὴν φρουρὰν τοῦ Πεισιστράτου· καὶ ὁ Δημοσθένης ὁ μετὰ Χαιρώνειαν τοῦ προσάγων ἑαυτὸν, καὶ δοκῶν θανάτου ἑαυτοῦ τιμᾶσθαι ἐπὶ τοῖς Ἀρπαλείοις· καὶ ὁ ξυμβουλεύων ἐπὶ τῶν τριηρῶν φεύγειν, ἐπιόντος μὲν Φιλίππου, νόμον δὲ Αἰσχίνου κεκυρωκότος, ἀποθνήσκειν τὸν πολέμου μνημονεύσαντα. ἐν γὰρ ταύταις μάλιστα τῶν ὑπ' αὐτοῦ κατὰ σχῆμα προηγμένων, ἡνία τε ἐμβέβληται τῷ λόγῳ, καὶ τὸ ἐπαμφότερον αἱ διάνοιαι σώζουσιν. ἰατροῖς δὲ θαμὰ ὑποκείμενος, λιθιώντων αὐτῷ τῶν ἄρθρων, παρεκελεύετο αὐτοῖς ὀρύττειν, καὶ τέμνειν τὰς Πολέμωνος λιθοτομίας. Ἡρώδης δὲ ἐπιστέλλων ὑπὲρ τῆς νόσου ταύτης, ὧδε ἐπέστειλε. δεῖ ἐσθίειν, χεῖρας οὐκ ἔχω. δεῖ βαδίζειν, πόδες οὐκ εἰσί μοι. δεῖ ἀλγεῖν, τότε καὶ πόδες εἰσί μοι, καὶ χεῖρες. ἐτελεύτα μὲν περὶ τὰ ἕξ, καὶ πεντήκοντα ἔτη. τὸ δὲ μέτρον τῆς ἡλικίας τοῦτο, ταῖς μὲν ἄλλαις ἐπιστήμαις, γῆρας ἀρχή· σοφιστῇ δὲ, νεότης ἔτι. γηράσκουσα γὰρ ἤδε ἡ ἐπιστήμη, σοφίαν ἀρτύνει. τάφος δὲ αὐτοῦ κατὰ τὴν Σμύρναν οὐδεὶς, εἰ καὶ πλείους λέγονται. οἱ μὲν γὰρ ἐν τῷ κήπῳ τοῦ τῆς ἀρετῆς ἱεροῦ, ταφῆναι αὐτόν· οἱ δὲ, οὐ πόρρω τούτου ἐπὶ θαλάττῃ. νεὼς δέ τις ἐστὶ βραχὺς, καὶ ἄγαλμα ἐν αὐτῷ Πολέμωνος ἐσταλμένος, ὡς ἐπὶ τῆς τριήρους ὀργιάζειν ὑφ' ᾧ κεῖσθαι τὸν ἄνδρα. οἱ δὲ ἐν τῇ τῆς οἰκίας αὐλῇ, ὑπὸ τοῖς

A quaſdam optimè egit: in quibus ſunt, Adulter abditus: Accuſatus, qui ſuper Socrate mori poſtulat. & quæ vocatur Solon, qui à Piſiſtrato arce occupata, petit, vt leges deleantur. Item quæ Demoſthenes inſcribitur, qui poſt Chæronéam ſeipſum dedit; ſeque morte dignum putat poſt Harpalea facinora: & qui triremibus fugiendum eſſe conſulit, inſtante Philippo, & Æſchinis lege ab ipſo firmata, qua morte dignus cenſetur, quiſquis
B aliquam de bello faceret mentionem. Atenim in his maximè, ex earum numero, quæ figuratè ab eo productæ ſunt, orationi habenæ ſunt iniectæ, & quod in vtramque partē vergit, ſententiæ ſeruant. Medicis igitur frequēter obnoxius, cùm lapidis inſtar articuli obſtupeſcerent, eos Polemonis lapidicinas fodere & incidere hortabatur. De qua quidem ægritudine, cùm ſcriberet Herodes, hanc mi-
C ſit epiſtolam: *Cùm eſſe oportet, manus non habeo. Oportet progredi, non ſunt mihi pedes. Oportet dolere, tunc & pedes mihi ſunt, & manus.* Polemon ſexto & quinquageſimo ſuæ ætatis anno vita functus eſt. atque hæc ætatis menſura, in aliis quidem ſcientiis principium ſenectutis: Sophiſtæ verò iuuentus adhuc: nam conſeneſcens iam hæc ſcientia, ſapientiæ condimentum eſt. Sepulchrum eius Smyrnæ nullum eſt,
D etſi plura dicuntur. Aliqui in horto, qui iuxta templum Virtutis eſt, eum ſepultum eſſe referunt. Plerique verò non procul ab eo fano, verſus mare. templum autem quoddā eſt exiguum, & in eo ſignum Polemonis ornatum, vt cùm in triremi ſacris operaretur: ſub quo ſimulachro ſitum eſſe virum volunt. nonnulli in atrio domus ſuæ, ſub æneis

ſtatuis. Sed nihil eorum verum eſt. Nam ſi Smyrnæ è fato functus eſſet, nullo ex admirabilibus templis, quæ apud Smyrnẽſes ſunt indignus habitus eſſet, quominus in aliquo iaceret. At illa ſanè veriora ſunt, eum Laodiceæ ad Syriæ portas eſſe ſepultum, vbi maiorum quoque monumenta ſunt: præterea ipſum adhuc viuentem fuiſſe humatum: hoc enim amiciſſimis enixè ab eo mandatum fuerat: atque iam ſitum in tumulo iis qui claudebant monimentum dixiſſe: *Inducite, inducite, ne me Sol videat tacentem.* At deflentes ipſum autem familiares conuerſus, *Date mihi corpus* (inquit) *& ad illud migrabo.* Ad Polemonem vſque, Polemonis laudes. Etenim poſteri eius, conſanguinei quidem fuerunt, non tamen tales, qui cum illius virtute expendi poſſint, præter vnum, de quo mox pauca dicam.

SECVNDVS.

Ne Secundi quidem Athenienſis nobis obliuiſcendum eſt, quem Epithyron*, quaſi fabri puerum, plerique vocabant. in rectè ſentiendo eximius, in animis ſenſis exprimendis impar. Cùm Herodem edocuiſſet, in controuerſiam cum diſcipulo ipſo, iam docente alios, deſcendit. Vnde Herodes ipſum cauillabatur, illud dicens Heſiodi:

Inuidet & figulus figulo, & fabro faber alter.

Sed mortuo funebrem orationem habuit, ac defuncto ſeni lachrymas effudit. ac plura quidem ſunt huius viri ſcripta memoria. Maximè autem hæc controuerſia, *Autor ſeditionis moriatur.* &, *Qui ſeditionem compeſcuit, munus habeto.* idem qui ſeditionem mouerat, & compeſ-

A χαλκοῖς ἀνδριάσιν. ἔστι δὲ οὐδὲν τούτων ἀληθές. εἰ μὲν γὰρ ἐτελεύτα κατὰ τὴν Σμύρναν, οὐδενὸς ἂν τῶν θαυμασίων ἱερῶν παρ' αὐτοῖς ἀπηξιώθη, τὸ μὴ οὐκ ἐν αὐτῷ κεῖσθαι. ἀλλ' ἐκεῖνά γε ἀληθέστερα, κεῖσθαι μὲν αὐτὸν ἐν τῇ Λαοδικείᾳ παρὰ τὰς Συρίας πύλας, οὗ δὴ καὶ τῶν προγόνων θῆκαι. ταφῆναι δὲ αὐτὸν ζῶντα· ἐπὶ τουτὶ γὰρ τοῖς φιλτάτοις ἐπισκῆψαι. κείμενόν τε ἐν τῷ σήματι, B παρακελεύεσθαι τοῖς συγκλείουσι τὸν τάφον, ἔπαγε, ἔπαγε, μὴ γὰρ ἴδοι με σιωπῶντα ἥλιος. πρὸς δὲ τοὺς οἰκείους ὀλοφυρομένους αὐτόν, ἀνεβόησε, δότε μοι σῶμα, καὶ μετεμβήσομαι. μέχρι Πολέμωνος, τὰ Πολέμωνος. οἱ γὰρ ἐπ' αὐτῷ γενόμενοι, ξυγγενεῖς μέν, οὐ μὴν οἷοι πρὸς τὴν ἐκείνου ἀρετὴν ἐξετάζεσθαι, C πλὴν ἑνὸς ἀνδρός, περὶ οὗ ὕστερον λέξω μικρόν.

ΣΕΚΟΥΝΔΟΣ.

Μὴ δὲ Σεκούνδου τοῦ Ἀθηναίου ἀμνημονῶμεν, ὃν ἐκάλουν Ἐπίθυρόν τινες, ὡς τέκτονος παῖδα. Σεκοῦνδος τοίνυν ὁ σοφιστής, γνῶναι μέν, περιττός, ἑρμηνεῦσαι δὲ ἀπέριττος. Ἡρώδην δὲ ἐκπαιδεύσας, ἐς διαφορὰν αὐτῷ ἀφίκετο παιδεύοντι ἤδη, ὅθεν Ἡρώδης διετώ- D θαζεν αὐτόν, ἐκεῖνο λέγων, Καὶ κεραμεὺς κεραμεῖ κοτέει, καὶ τέκτονι τέκτων. ἀλλ' ἀποθανόντι, καὶ λόγον ἐπεφθέγξατο, καὶ δάκρυα ἐπέδωκε, καὶ τοι γηραιῷ τελευτήσαντι. μνήμης δὲ ἄξια τοῦ ἀνδρὸς τούτου, καὶ πλείω μέν, μάλιστα δὲ, ἥδε ἡ ὑπόθεσις· ὁ ἄρξας στάσεως, ἀποθνησκέτω. καὶ ὁ παύσας στάσιν, ἐχέτω δωρεάν. ὁ αὐτὸς καὶ ἄρξας, καὶ

παύσας, αἰτεῖ τὴν δωρεάν. τὴν δὲ ὑπόθεσιν, ὧδε ἐβραχυλόγησεν. οὐκοῦν, ἔφη, τὶ πρότερον τὸ κινῆσαι στάσιν, τὶ δεύτερον τὸ παῦσαι. δοὺς οὖν ἐφ' οἷς ἠδίκεις τιμωρίαν, τὴν ἐφ' οἷς εὖ* πεποίηκας, εἰ δύνασαι, λάβε. τοιόσδε μὲν ὁ ἀνὴρ οὗτος. τέθαπται δὲ πρὸς τῇ Ἐλευσῖνι τῆς Μεγάραδε ὁδοῦ.

χ. ποιήσας,

A cuerat, petit munus. Hanc cauſam ſic breuiter perorauit. Igitur eſt (inquit) quid primùm ſeditionem ſuſcitaſſe, neque quid ſecundum ſedauiſſe. Proinde cùm pœnas dederis, ob iniuriam quæ intuliſti: præmium autem ob ea quæ rectè feciſti, ſi potes, accipe. Talis vir iſte fuit, atque in via, quæ Megaram tendit, iuxta Eleuſina ſepultus eſt.

ΦΛ. ΦΙΛΟ-

ΦΛ. ΦΙΛΟΣΤΡΑΤΟΥ
ΒΙΟΙ ΣΟΦΙΣΤΩΝ.
ΒΙΒΛΊΟΝ ΔΕΥΤΕΡΟΝ.

FLAVII PHILOSTRATI
VITÆ SOPHISTARVM.
LIBER SECVNDVS.

EX FEDERICI MORELLI PROFESSORIS REGII
INTERPRETATIONE.

A

HERODES.

DE Herode Atheniẽſi hæc ſcire opus eſt. Herodes Sophiſta, (vt & maiores eius) inter Biconſules recenſebatur: atque in Æacidas genus referebat, quos ſocios quandoque Græcia aduerſus Perſam adſciuerat. Neq; Miltiadẽ, neque Cimonem proauos dedignabatur, vt optimos viros, & magno in pretio Athenienſibus, ceteriſque Græcis in bello aduerſus Medos. Ille enim trophæa è Medis erigere inſtituit; hic à Barbaris pœnas exegit, ob iniurias quas poſtea intulerant. Ceterùm hic optimè omnium hominum diuitiis vſus eſt. Hoc autẽ non facillimum expeditiſſimúmque, ſed omnino arduum, ac perquàm difficile exiſtit. Nam qui diuitiis temulenti fiunt, hinc contumeliam in homines exhauriunt; atque Opulentiam vt cæcam inſuper calumniantur. atqui, ſi quo alio tempore viſa eſt cæcutire; certè ſub He-

ΗΡΩΔΗΣ.

ΠΕΡΙ δὲ Ἡρώδου τοῦ Ἀθηναίου, τάδε χρὴ εἰδέναι. ὁ σοφιστὴς Ἡρώδης, ἐτέλει μὲν ἐκ πατέρων ἐς τοὺς* δισυπάτους, ἀνέφερε δὲ ἐς τὰ τῶν Αἰακιδῶν, οὓς ξυμμάχους ποτὲ ἡ Ἑλλὰς ἐπὶ τὸν Πέρσην ἐποιεῖτο. γρ. χ. δι-σοτ.
B ἀπηξίου δὲ οὐδὲ τὸν Μιλτιάδην, οὐδὲ τὸν Κίμωνα, ὡς ἄνδρε ἀρίστω, καὶ πολλοῦ ἀξίω Ἀθηναίοις τε, καὶ τοῖς ἄλλοις Ἕλλησι περὶ τὰ Μηδικά. ὁ μὲν γὰρ ἦρξε τροπαίων Μηδικῶν· ὁ δὲ, ἀπῄτησε δίκας τοὺς Βαρβάροις, ὧν μετὰ ταῦτα ὕβρισαν. ἀρίστῳ δὲ ἀνθρώπων πλούτῳ ἐχρήσατο. τουτὶ δὲ, μὴ τῶν εὐμεταχειρίστων, ἀλλὰ τῶν
C πάνυ χαλεπῶν τε, καὶ δυσκόλων. οἱ γὰρ πλούτῳ μεθύοντες, ὕβριν τοῖς ἀνθρώποις ἐπαντλοῦσι· προσδιαβάλλουσι δὲ ὡς καὶ τυφλὸν τὸν πλοῦτον· ὃς εἰ καὶ τὸν ἄλλον χρόνον ἐδόκει τυφλὸς, ἀλλ᾽ ἐπὶ

Ἡρώδου γε ἀνέβλεψεν. ἔβλεψε μὲν γὰρ ἐς φίλους, ἔβλεψε δὲ ἐς πόλεις, ἔβλεψε δὲ ἐς ἔθνη, πάντων περιοπὴν ἔχοντος τοῦ ἀνδρὸς, καὶ θησαυρίζοντος τὸν πλοῦτον ἐν ταῖς τῶν μετεχόντων αὐτοῦ γνώμαις. ἔλεγε γὰρ δὴ, ὡς προσήκοι τῷ ὀρθῶς πλούτῳ χρωμένῳ, τοῖς μὲν δεομένοις ἐπαρκεῖν, ἵνα μὴ δέωνται, τοῖς δὲ μὴ δεομένοις, ἵνα μὴ δεηθῶσιν. ἐκάλει δὲ τὸν μὲν ἀσύμβουλον πλοῦτον, καὶ φειδοῖ κεκολασμένον, νεκρὸν πλοῦτον. τοὺς δὲ θησαυροὺς, ἐς οὓς ἀποτίθενται τὰ χρήματα ἔνιοι, πλούτου δεσμωτήρια· τοὺς δὲ καὶ θύειν ἀξιοῦντας ἀποθέτοις χρήμασιν, Ἀλωάδας ἐπωνόμαζε θύοντας Ἄρει μετὰ τὸ δῆσαι αὐτόν. πηγαὶ δὲ αὐτῷ τοῦ πλούτου, πολλαὶ μὲν, κἀκ πολλῶν οἴκων. μέγισται δὲ, ἥ τε πατρῴα, καὶ ἡ μητρόθεν. ὁ μὲν γὰρ πάππος αὐτοῦ Ἵππαρχος, ἐδημεύθη τὴν οὐσίαν ἐπὶ τυραννικαῖς αἰτίαις, ἃς Ἀθηναῖοι μὲν οὐκ ἐπῆγον, ὁ δὲ αὐτοκράτωρ οὐκ ἠγνόησεν. Ἀττικὸν δὲ τὸν ἐκείνου παῖδα, Ἡρώδου δὲ πατέρα, οὐ περιεῖδεν ἡ τύχη πένητα ἐκ πλουσίου γενόμενον, ἀλλ' ἀνέδειξεν αὐτῷ θησαυροῦ χρῆμα ἀμύθητον ἐν μιᾷ τῶν οἰκιῶν, ἃς πρὸς τῷ θεάτρῳ ἐκέκτητο. οὗ διὰ μέγεθος εὐλαβὴς μᾶλλον ἢ περιχαρὴς γενόμενος, ἔγραψε πρὸς τὸν αὐτοκράτορα ἐπιστολὴν ὧδε ξυγκειμένην, θησαυρὸν, ὦ βασιλεῦ, ἐπὶ τῆς ἐμαυτοῦ οἰκίας εὕρηκα. τί οὖν περὶ αὐτοῦ κελεύεις; καὶ ὁ αὐτοκράτωρ, Νερούας δὲ ἦρχε τότε, χρῶ, ἔφη, οἷς εὗρες. τοῦ δὲ Ἀττικοῦ ἐπὶ τῆς αὐτῆς εὐλαβείας μείναντος, καὶ γράψαντος ὑπὲρ ἑαυτὸν εἶναι τὰ τοῦ θησαυροῦ μέτρα· καὶ παραχρῶ, ἔφη, τῷ

A rode ſaltem oculata fuit. Atenim amicos reſpexit, ciuitates reſpexit; reſpexit nationes: cùm in omnes vir iſte circunſpiceret, theſauróſque in mentibus hominum ſecum vnà communicantium collocaret. Enimuerò decere aiebat, rectè opibus vtentem, egentibus quidem ſuggerere, ne egeant; non indigentibus etiam, ne fortè veniant in egeſtatem. Opes verò opem non ferentes, & parſimonia coercitas,
B mortuas appellabat. Theſauros vbi quidam pecunias recondunt, diuitiarum carceres nuncupabat. Eos autem qui reconditis pecuniis eſſe ſacrificandum cenſent, Aloadas cognominabat, qui poſtquam Martem in vincula côieciſſent, ei ſacrificarent. Diuitiarũ fontes huic multi profectò fuêre, & à multis familiis conflati. Maximi autem ab vtroque parente. Nam aui quidem ipſius Hipparchi, bona ob tyran-
C nicas accuſationes ſubhaſtata publicatáque ſunt, quas neque Athenienſes induxerunt, neque Imperatores ignorarunt. Atticum verò illius filium, & Herodis patrem, ne è diuite quidem pauperem factum fortuna deſpexit: quin theſaurum immenſum in vna domo reconditum ipſi patefecit, ex iis quas prope theatrum poſſidebat. Cuius quidem magnitudine, magis cautus ac religioſus, quàm lætabundus
D factus eſt. Quare ad Imperatorem epiſtolam miſit, his verbis contextam: *Theſaurum, Imperator, domi meæ inueni; quid de eo faciendum eſſe iubes?* At Nerua Imperator qui eo tempore regnabat: *Vtere* (inquit) *iis quæ inueniſti*. Et cùm Atticus in eadem cautione perſiſteret, ſcriberétque ſe theſauri magnitudine ſuperari: *Abutere* (inquit ille) *inuento*

lucro, quando tuum eſt. Hinc magnus effectus eſt Atticus, & longè maior Herodes; cuius paternis opibus maternæ aduenerant; quæ non multò minus affluebant. Accedebat etiam magnanimitas illuſtris, paterna longè maior. Liberis enim Aſiæ ciuitatibus Herodes præfuit. Cùm Troadem incommoda balnea habentem, eiúſque incolas à puteis terreſtrem vndam haurientes, effodientéſque aquæ pluuiæ reconditoria videret, ad Imperatorem Adrianum ſcripſit, ne antiquã ciuitatem, & ad mare commodè ſitam ariditáte deſtrui pateretur: imò trecentas illi myriadas in aquam concederet, cùm iam pagis quoque multo plura porrexiſſet. Laudauit hæc ſcripta Imperator, vtputa quæ à ſuo more nequaquam eſſent aliena; & Herodem ipſum aquæ præfecit. At vbi in ſeptingentas myriadas ſumptus iſte proceſſiſſet, & ad Imperatorem ſcripſiſſent qui Aſiæ moderatores erant, rem longe grauiſſimam eſſe, quingentarum vectigalia ciuitatum, in fontem vnius vrbis erogari: de hoc apud Atticum Imperator ipſe conqueſtus eſt. Atticus verò, magnificentiſſima oratione: *Imperator* (inquit) *ne minimis nunc, quæſo, iriteris. Nam quòd ſupra trecentas myriadas impenſum eſt, ego quidem filio largitus ſum, & filius ciuitati.* Teſtamentum autem, quo Athenienſi populo quotannis minam cuique diſtribuendam reliquit; eius animi magnitudinem arguit, quam in aliis etiam vſus eſt. Sæpe enim vna die centum Deæ boues mactauit, & Athenienſi populo per tribus & familias epulum dedit: & cum Dio-

A ἑρμαίῳ· σὸν γάρ ἐστιν. ἐντεῦθεν μέγας
μὲν ὁ Ἀττικὸς, μείζων δὲ Ἡρώδης· πρὸς
γὰρ τῷ πατρῴῳ πλούτῳ, καὶ ὁ μητρῷος
αὐτῷ πλοῦτος, οὐ παρὰ πολὺ τούτου ἐ-
περρύη. μεγαλοψυχία δὲ λαμπρὰ καὶ
παρὰ τὸν Ἀττικὸν τοῦτον. ἦρχε μὲν γὰρ
τῶν κατὰ τὴν Ἀσίαν ἐλευθέρων πόλεων
ὁ Ἡρώδης. ἰδὼν δὲ τὴν Τρῳάδα βα-
λανείων τε πονήρως ἔχουσαν, καὶ γεῶδες
B ὕδωρ ἐκ φρεάτων ἀνιμῶντας, ὀμβρίων
τε ὑδάτων θήκας ὀρύττοντας, ἐπέστειλεν
Ἀδριανῷ τῷ αὐτοκράτορι μὴ ὑπερι-
δεῖν πόλιν ἀρχαίαν, καὶ εὐθάλαττον
αὐχμῷ φθαρεῖσαν, ἀλλ' ἐπιδοῦναι
σφίσι τριακοσίας μυριάδας ἐς ὕδωρ
ὧν πολλαπλασίας ἤδη καὶ κώμαις ἐπι-
δεδώκει, ἐπῄνεσεν ὁ αὐτοκράτωρ τὰ
ἐπεσταλμένα, ὡς πρὸς τρόπου ἑαυτῷ
ὄντα, καὶ τὸν Ἡρώδην αὐτὸν ἐπέταξε
τῷ ὕδατι. ἐπεὶ δὲ ἐς ἑπτακοσίας μυριά-
C δας ἡ δαπάνη προὔβαινεν, ἐπέστελλόν
τε τῷ αὐτοκράτορι οἱ τῆς Ἀσίας ἐπι-
τροπεύοντες, ὡς δεινὸν πεντακοσίων πό-
λεων φόρον, ἐς μιᾶς πόλεως δαπανᾶ-
σθαι κρήνην· ἐμέμψατο πρὸς τὸν Ατ-
τικὸν ὁ αὐτοκράτωρ ταῦτα. καὶ ὁ Ἀττικὸς
μεγαλοφρονέστατα ἀνθρώπων, ὦ βα-
σιλεῦ, εἶπεν, ὑπὲρ μικρῶν μὴ παροξύ-
D νου. τὸ γὰρ ὑπὲρ τὰς τριακοσίας μυριά-
δας ἀναλωθὲν, ἐγὼ μὲν, τῷ υἱῷ ἐπι-
δίδωμι. ὁ δὲ, υἱὸς, τῇ πόλει. καὶ αἱ διαθῆ-
και δὲ, ἐν αἷς τῷ τῶν Ἀθηναίων δήμῳ
κατέλιπε καθ' ἕκαστον ἔτος μνᾶν καθ'
ἕνα, μεγαλοφροσύνην κατηγοροῦσι
τοῦ ἀνδρὸς, ᾗ καὶ ἐς τὰ ἄλλα ἐχρῆτο, ἑκα-
τὸν μὲν βοῦς τῇ θεῷ θύων ἐν ἡμέρᾳ μιᾷ
πολλάκις, ἑστιῶν δὲ τῇ θυσίᾳ τὸν Ἀθηναίων δῆμον κατὰ φυλὰς, καὶ γένη. ὁπότε δὲ

ἥκοι Διονύσια, καὶ κατίοι ἐς ἀκαδημίαν τὸ τοῦ Διονύσου ἕδος, ἐν Κεραμεικῷ, ποτίζων ἀστοὺς ὁμοίως, καὶ ξένους κατακειμένους ἐπὶ σιβάδων κιτοῦ. ἐπεὶ δὲ τῆς Ἀττικοῦ διαθηκῶν ἐπεμνήσθην, ἀνάγκη καὶ τὰς αἰτίας ἀναγράψαι, δι' ἃς προσέκρουσεν Ἡρώδης Ἀθηναίοις. εἶχον μὲν γὰρ αἱ διαθῆκαι ὡς εἶπον. ἔγραψε δὲ αὐτὰς ξυμβουλίᾳ τῶν ἀμφ' ἑαυτὸν ἀπελευθέρων· οἱ χαλεπὴν ὁρῶντες τὴν Ἡρώδου φύσιν ἀπελευθέροις τε, καὶ δούλοις, ἀποστροφὴν ἐποιοῦντο τοῦ Ἀθηναίων δήμου, ὡς τῆς δωρεᾶς αὐτοὶ αἴτιοι. καὶ ὁποῖα μὲν τῶν ἀπελευθέρων τὰ πρὸς τὸν Ἡρώδην, δηλούτω ἡ κατηγορεία, ἣν πεποίηται σφῶν πᾶν κέντρον ἡρμένον* τῆς ἑαυτοῦ γλώττης. ἀναγνωσθεισῶν δὲ τῶν διαθηκῶν, ξυνέβησαν οἱ Ἀθηναῖοι πρὸς τὸν Ἡρώδην, πέντε μνᾶς αὐτῶν ἐσάπαξ ἑκάστῳ καταβαλόντα, πρίασθαι παρ' αὐτῶν τὸ μὴ ἀεὶ διδόναι. ἀλλ' ἐπεὶ προσῄεσαν μὲν ταῖς τραπέζαις ὑπὲρ τῶν ὁμολογημένων, ἐπανεγινώσκετο δὲ αὐτοῖς ξυμβόλαια πατέρων τε καὶ πάππων, ὡς ὀφειλόντων τοῖς Ἡρώδου γονεῦσιν, ἀντιλογισμοῖς τε ὑπήγοντο· καὶ οἱ μὲν, μικρὰ ἠριθμοῦντο· οἱ δὲ, οὐδέν· οἱ δὲ, συνείχοντο ἐπ' ἀγορᾶς, ὡς καὶ ἀποδώσοντες. ταῦτα παρώξυνε τοὺς Ἀθηναίους, ὡς ἡρπασμένους τὴν δωρεάν· καὶ οὐκ ἐπαύσαντο μισοῦντες, οὐδ' ὁπότε τὰ μέγιστα εὐεργετεῖν ᾤετο. τὸ οὖν στάδιον ἔφασαν ἐπωνομάσθαι Παναθηναϊκόν. κατεσκευάσθαι γὰρ αὐτὸ, ἐξ ὧν ἀπεστεροῦντο Ἀθηναῖοι πάντες. καὶ μὴν καὶ ἐλειτούργησαν Ἀθηναῖοι τήν τε ἐπώνυμον, καὶ τὴν τῶν Πανελληνίων.

A nyſia veniſſent, & in Academiam Dionyſij ſimulachrum deſcenderet; in Ceramico ciuibus ſimul & hoſpitibus in hederaceo thoro accubantibus, propinabat. At quoniam de Attici teſtamento mentio facta eſt, nunc res ipſa poſtulat, vt cauſas quibus Herodes Athenienſibus infeſtus actus eſt, ſubiungamus. Ita enim teſtamenti tabulæ ſe habebant, vt diximus: eas autem & ex libertorū ſuorum conſilio ſcri-
B pſit. qui cùm aſperum & libertis & ſeruis, Herodis ingenium intelligerent, tanquam largitionis autores, Athenienſis populi defectionē ab illo moliebantur. Quales certè erga Herodē liberti fuerint, accuſatio in eos facta demonſtrat, qua criminator omne ſuæ linguæ ſpiculeum & virus depromit. Recognito teſtamento, ad Herodem quinque minas viritim ſemel ſoluentem, vt
C ab his ſe beneficentia redimeret, ne quotannis dare deberet, Athenienſes conuenere. Sed poſtquàm ad menſas peruētum eſt, ad dignoſcenda debita ex pactis conuentis, atque ſuorum parentum & auorum ſyngraphas contractúſque Herodis parentibus olim debentium recognouerunt; aduerſis rationibus defraudabāt: & aliqui pauca numerabāt, alij verò nihil: reliqui, vt tandem ſoluerēt, in foro continebātur.
D Hæc Athenienſiū animos, veluti populatorū largitione irritarunt, neq; ab odiis deſtiterunt, ne tum quidem cum ille ſe mereri optimè putabat. Stadiū igitur Panathenaicū cognominatū fuiſſe perhibēt, quod his rebus conſtructum foret, quibus omnes Athenienſes carebant. Quicquid ſit Athenienſes publicè miniſtrabant, in celebritate vrbis tutelaris numinis: & Panellenaïcō quoq. nominarūt, quaſi totius Græciæ capax.

Cùm corona in cœtu Panathenæorum donatus fuiſſet, Vos (inquit) Atheniẽſes, & Græcos qui acceſſuri ſunt principes, & athletas certaturos, in ſtadio ex albo lapide ſtructo excipiam. Hæc pollicitus, ſtadium quod Iliſſo flumini imminet, quatuor circiter annis perfecit; opus ita compoſitum, vt cetera mirabilia ſuperet. Nullum enim theatrũ cum eo decertat. Illa de Panathenæis audiui, velum è naui eſſe ſuſpẽſum, iucundius pictura cùm ſinu proſpero, nauímq; nullis trahentib. iumentis cucurriſſe, ſed ſubterraneis fabricis proceſſiſſe, & mille ramis ex Ceramico ſublatam, ad Eleuſinium perueniſſe, eôque circundato præteriiſſe Pelaſgicon, ad Pythion præteruectam, in portum in quo nunc conſiſtit, appuliſſe. alterum ſtadij latus fanum Fortunæ, veluti omnia gubernantis occupat, & ſignum eius eburneum. Athenienſium Ephebrum habitum priſcum, in hodiernum ornatum tranſtulit. Chlamydes albas primus induit. Nam antehac atris induti conciones circunſidebant, & ſupplicationes obibant, lugẽtibus publicè Athenienſibus præconem Copream, quem ab ara Heraclidas euellentem, ipſi olim interfecerant. Porrò theatrum Athenienſibus ſuper Regilla, cum laquearib. ex cedro confectis, Herodes ſtatuit. hæc verò materia fingendas ſtatuas apprimè idonea & congrua videtur. Iſta igitur duo apud Athenienſes talia fuere, qualia nuſquam in vlla regione Romanis ſubdita. Theatrũ ſublaqueatum quod Corinthiis ædificauit, Athenienſi, longè inferius eſt, ſed inter pauca apud alios laudatorũ, ne mentione quidem indignũ eſſe duxerim.

A στεφανωθεὶς δὲ τὴν τῶν Παναθηναίων, καὶ ὑμᾶς, εἶπεν, ὦ Ἀθηναῖοι, καὶ τῶν Ἑλλήνων τοὺς ἥξοντας, καὶ τῶν ἀθλητῶν τοὺς ἀγωνιουμένους, ὑποδέξομαι σταδίῳ λευκοῦ λίθου. καὶ εἰπὼν ταῦτα, τὸ στάδιον, τὸ ὑπὲρ τὸν Ἰλισσὸν εἴσω τεττάρων ἐτῶν ἐπετέλεσεν, ἔργον ξυνθεὶς ὑπὲρ πάντα τὰ θαυμάσια. οὐδὲν γὰρ θέατρον αὐτῷ ἁμιλλᾶται. κἀκεῖνα περὶ τῶν Παναθηναίων τούτων ἤκουον, πέ- B πλον μὲν ἀνῆφθαι τῆς νεὼς ἡδίω γραφῆς ξὺν οὐρίῳ τῷ κόλπῳ. δραμεῖν δὲ τὴν ναῦν οὐχ ὑποζυγίων ἀγόντων, ἀλλ' ὑπογείοις μηχαναῖς ἐπολισθάνουσαν. ἐκ Κεραμεικοῦ δὲ ἄρασαν χιλίᾳ κώπῃ, ἀφεῖναι ἐπὶ τὸ Ἐλευσίνιον. καὶ περιβαλοῦσαν αὐτό, παραμεῖψαι τὸ πελασγικόν, κομιζομένην τε παρὰ τὸ Πύθιον ἐλθεῖν, οἷ νῦν ὥρμισται. τὸ δὲ ἐπὶ θάτερα C τοῦ σταδίου νεὼς ἐπέχει τύχης, καὶ ἄγαλμα ἐλεφάντινον, ὡς κυβερνώσης πάντα. μετεκόσμησε δὲ καὶ τοὺς Ἀθηναίους Ἐφήβους ἐς τὸ νῦν σχῆμα, χλαμύδας πρῶτον ἀμφιέσας λευκάς. τέως γὰρ δὴ μελαίνας ἐνημμένοι, τὰς ἐκκλησίας περιεκάθηντο, καὶ τὰς πομπὰς ἔπεμπον, πενθούντων δημοσίᾳ τῶν Ἀθηναίων τὸν κήρυκα, τὸν κοπρέα, ὃν αὐτοὶ ἀπέκτειναν, τοὺς Ἡρακλείδας τοῦ βωμοῦ ἀ- D ποσπῶντας. ἀνέθηκε δὲ Ἡρώδης Ἀθηναίοις καὶ τὸ ἐπὶ Ῥηγίλλῃ θέατρον, κέδρου ξυνθεὶς τὸν ὄροφον· ἡ δὲ ὕλη, καὶ ἐν ἀγαλματοποιίαις σπουδαία. δύο μὲν δὴ ταῦτα Ἀθήνησιν, οἷα οὐχ ἑτέρωθι τῆς ὑπὸ Ῥωμαίοις. ἀξιούσθω δὲ λόγου, καὶ τὸ ὑπωρόφιον θέατρον, ὃ ἐδείματο Κορινθίοις, παραπολὺ μὲν τοῦ Ἀθήνησιν, ἐν ὀλίγοις δὲ τῶν παρ' ἄλλοις ἐπαινουμένων.

καὶ τὰ Ἰσθμοῖ ἀγάλματα, ὅ, τε τῆς Ἰσθ-
μίας Κολοσσὸς, καὶ ὁ τῆς Ἀμφιτρίτης, καὶ
τὰ τῶν ἄλλων, τὸ ἱερὸν ἐνέπλησεν· οὐδὲ
τὸν τοῦ Μελικέρτου παρελθὼν δελφῖνα.
ἀνέθηκε δὲ καὶ τῷ Πυθίῳ, τὸ Πυθοῖ στά-
διον, καὶ τῷ Διῒ, τὸ ἐν Ὀλυμπίᾳ ὕδωρ.
Θετταλοῖς τε, καὶ τοῖς περὶ Μηλίδα κόλ-
πον Ἕλλησι, τὰς ἐν Θερμοπύλαις κο-
λυμβήθρας τοῖς νοσοῦσι Παιωνείους. ᾤ-
κισε δὲ καὶ τὸ ἐν τῇ Ἰταλίᾳ Κανύσιον,
ἡμερώσας ὕδατι, μάλα τούτου δεόμε-
νον. ᾤκισε δὲ καὶ τὰς ἐν Εὐβοίᾳ, καὶ Πελο-
ποννήσῳ, καὶ Βοιωτίᾳ πόλεις, ἄλλοθι ἄλ-
λην. ᾤκισε δὲ καὶ τὸ ἐν τῇ ἠπείρῳ Ὠρι-
κον, ὑποδεδωκὸς ἤδη, καὶ ἕτερα πολλά. καὶ
τοσοῦτος ὢν μεγαλουργίᾳ, μέγα οὐδὲν
εἰργάσθαι ᾤετο, ἐπεὶ μὴ τὸν Ἰσθμὸν ἔτεμε·
λαμπρὸν ἡγούμενος, ἤπειρον ἀποτε-
μεῖν, καὶ πελάγη συνάψαι δύο, καὶ πε-
ρίπλους σταδίων ἑξακισχιλίων, καὶ εἴκοσι,
θαλάττης ξυνελεῖν μήκει. καὶ τούτου ἤρα
μὲν, οὐκ ἐθάρρει δὲ αἰτεῖν αὐτὸ ἐκ βασι-
λέως, ὡς μὴ διαβληθείη, διανοίας δο-
κῶν ἅπτεσθαι, ἣ μηδὲ Νέρων ἤρκεσεν.
ἐξήγγελλε δὲ αὐτὸ ὧδε, ἅπερ ἐγὼ Κτη-
σιδήμου Ἀθηναίου ἤκουον. ἤλαυνε μὲν
τὴν ἐπὶ Κόρινθον ὁ Ἡρώδης, ξυγκαθη-
μένου τοῦ Κτησιδήμου. γενόμενος δὲ κατὰ τὸν
Ἰσθμὸν, Πόσειδον, εἶπε, βούλομαι μὲν,
ξυγχωρήσει δὲ οὐδείς. θαυμάσας οὖν ὁ
Κτησίδημος τὸ εἰρημένον, ἤρετο τὴν αἰτίαν
τοῦ λόγου. καὶ ὁ Ἡρώδης, ἐγὼ, ἔφη, πολὺν
ἤδη χρόνον ἀγωνίζομαι σημεῖον ὑπο-
λιπέσθαι τοῖς μετ᾽ ἐμὲ ἀνθρώποις διανοίας
δηλούσης ἄνδρα· καὶ οὔπω δοκεῖ μοι τῆς
δόξης ταύτης τυγχάνειν. ὁ μὲν δὴ Κτη-
σίδημος, ἐν ἐπαίνῳ διῄει, τῶν τε λόγων

A Item Iſthmi ſigna, Coloſſum Iſth-
mium & Amphitrites, ceteráque
ſimulachra, quibus templum ipſe
repleuit: neque Melicertæ Delphi-
na prætererim. Pythio quoque Py-
thij ſtadium dicauit, & aquam ad
Olympia Ioui. Præterea Theſſalis
& Græcis Melide ſinus accolis, in
Thermopylis, Pæonia balnea ægro-
tantibus conſtruxit. Canuſium in
Italia, inducta dulci aqua, cuius ve-
hementer indigebat, habitabile red-
didit. Quinetiam in Eubœa & Pe-
B loponneſo, & Bœotia, pleraſque ci-
uitates inſtaurauit. Item Oricum in
Epiro, quod iam ditioni ſuæ ſubdi-
derat: aliáque oppida. Et quamuis
tanta rerum magnificentia celebra-
retur, nihil magnum feciſſe ſibi vi-
debatur, quòd Iſthmum non per-
foderat: quia præclarum facinus
fore arbitrabatur, ſi continentem
abſcidiſſet, geminúmque pelagus
copulaſſet, ſicque nauigantibus ſta-
diorum ſex millium & viginti ma-
C ris longitudinem corripuiſſet. atque
hoc quidem appetebat, ſed ab Im-
peratore id petere non audebat, ne
calumnia afficeretur, ſi id facinus
aggreſſus videretur, cui ipſe Nero
impar fuerat. Enunciauit hoc ita vt à
Cteſidemo Athenienſi olim accepi.
Conſidente namq; Cteſidemo Co-
rinthum Herodes tendebat; cúmq;
ad Iſthmum veniſſet: Dic, Neptu-
ne, (inquit) volo equidem, at ne-
mo concedet. Cùm hoc dictũ Cte-
D ſidemus admiraretur, eius cauſam
Herodem rogauit. At Herodes:
Ego, inquit, iamdiu mortalibus
poſt me futuris aliquid animi viri-
lis monumentum relinquere, con-
tendi: nequedum hanc gloriam aſ-
ſequi mihi poſſe videor. Ad hæc
Cteſidemus orationum rerúmque
ab eo geſtarum laudes perſequu-

A tus eſt, quippe quæ tales ſunt, vt à nemine ſuperentur. Cui Herodes: Res caducas & fragiles narras, inquit: hæc enim tempore capi & carpi queunt: & eloquentiæ noſtræ plerique detrahent: hic aliquid, aliquid ille arguet. Verùm Iſthmi effoſſio opus eſt immortale, & ipſi quoque naturæ incredibile. Enimuero ad effodiendum Iſthmum, aut Neptuno, aut viro quem Herodis Herculem multi nominarunt, mihi opus eſſe videtur. adoleſcens quidam erat primæ lanuginis, magno Celtæ ſimilis, octo quidem pedum magnitudine. (de quo in quadam epiſtola ad Iulianum ſcripſit Herodes.) cui modica coma, denſa ſupercilia, adeò vt inter ſe contingerent: ac gratioſum quendam ex oculis radium emittebat, indolem impetus portendentem: item aquilino naſo, & obeſa ceruice, quòd è laboribus* magis quàm cibo accidebat: pectus erat compactum, & cum pulchritudine rigidum, tibiæ paruæ, extráque curuatæ, & facilem inceſſum pedibus exhibentes. Addebat eum veſte lupina pelle cõſuta, indui. atque cum apris, lycopantheris*, lupis, toruis, ſæuíſque tauris, immania ſubire certamina, oſtentare certaminum cicatrices. Hunc nonnulli Herculem, & in populo Bœotio fuiſſe è terra natum, plerique dicebant. Aſſerebat etiam Herodes, ſe audiuiſſe dicentem, huic matrem fuiſſe Buculam, idcirco ſic cognominatam, quia vt robuſta boues pauiſſet: patrem verò Marathonem, cuius in Marathone ſtatua. Ruſticus autem eſt heros. Cùm hunc Herculem Herodes percontaretur, an ne immmortalis eſſet?

αὐχὴ, καὶ τὰ ἔργα, ὡς οὐκ ἐχόντων ὑπερβολὴν ἑτέρῳ. ὁ δὲ Ἡρώδης, Φθαρτὰ, ἔφη, λέγεις ταῦτα, καὶ γάρ ἐστι χρόνῳ ἁλωτὰ, καὶ τοὺς λόγους ἡμῶν τοιχωρυχοῦσιν ἕτεροι, ὁ μὲν, τὸ, μεμφόμενος, ὁ δὲ, τό. ἡ δὲ τοῦ Ἰσθμοῦ τομὴ, ἔργον ἀθάνατον, καὶ ἀπιστούμενον τῇ φύσει. δοκεῖ γάρ μοι τὸ ῥῆξαι τὸν Ἰσθμὸν, Ποσειδῶνος δεῖσθαι, ἢ ἀνδρὸς, ὃν ἐκάλουν οἱ πολλοὶ Ἡρώδου Ἡρακλέα. νεανίας ἦν ἐν ὑπήνῃ πρώ-
B τῃ, Κελτῷ μεγάλῳ ἴσος, καὶ ἐς ὀκτὼ πόδας τὸ μέγεθος. διαγράφει δὲ αὐτὸν ὁ Ἡρώδης ἐν μιᾷ τῶν πρὸς τὸν Ἰουλιανὸν ἐπιστολῶν, κομᾶν τε συμμέτρως, καὶ τῶν ὀφρύων λασίως ἔχειν, ὡς καὶ ξυμβάλλειν ἀλλήλαις, οἷον μίαν χαροπήν τε ἀκτῖνα ἐκ τῶν ὀμμάτων ἐκδίδοσθαι, παρεχομένην τι ὁρμῆς ἦθος, καὶ γρυπὸν εἶναι, καὶ εὐτραφῶς ἔχοντα τοῦ αὐχένος. τουτὶ δὲ, ἐκ πόνων ἥκειν αὐτῷ,
C * ἢ σίτου. εἶναι δὲ αὐτῷ καὶ στέρνα εὐπαγῆ, ἴσ. μᾶλλον ἢ ε.
καὶ ξὺν ὥρᾳ κατεσκληκότα· καὶ κνήμην μικρὰν ἐς τὰ ἔξω κυρτουμένην, καὶ παρέχουσαν τῇ βάσει τὸ εὖ βεβηκέναι. ἐνῆφθαι δὲ αὐτὸν καὶ δορὰς λύκων, ῥαπτὸν ἔσθημα· ἄθλους τε ποιεῖσθαι τούς τε ἀγρίους τῶν συῶν, καὶ τοὺς θῶας, καὶ τοὺς λύκους, καὶ τῶν ταύρων τοὺς ὑβρίζοντας· καὶ ὠτειλὰς δὲ δεικνύναι τούτων τῶν
D ἀγώνων. γενέσθαι δὲ τὸν Ἡρακλέα τοῦτον οἱ μὲν, γηγενῆ φασιν ἐν τῷ Βοιωτίῳ δήμῳ. Ἡρώδης δὲ ἀκοῦσαι λέγοντά φησιν, ὡς μήτηρ μὲν αὐτῷ γένοιτο γυνὴ βουκόλος, οὕτω τι ἐπερρωμένη*, ὡς βουκολεῖν. πατὴρ δὲ, Μαραθών. γρ. ἐπιρρωμένη.
οὗ τὸ ἐν Μαραθῶνι ἄγαλμα. ἔστι δὲ ἥρως γεωργός. ἤρετο τὸν Ἡρακλέα τοῦτον Ἡρώδης, εἰ καὶ ἀθάνατος εἴη.

ὁ δὲ, θνητοῦ, ἔφη, μακροβιώτερος. ἤρετο A αὐτὸν καὶ ὅ,τι σιτοῖτο. ὁ δὲ, γαλακτοφαγῶ, ἔφη, τὸ πλέον τοῦ χρόνου· καί με βόσκοισιν αἶγές τε, καὶ ποιμένες, τῶν τε βοῶν, καὶ τῶν ἵππων αἱ τοκάδες. ἐνδίδοται* δέ τι καὶ θηλῆς ὄνου γάλα εὔποτόν τε, καὶ κοῦφον· ἐπειδὰν δὲ ἀλφίτοις προσβάλω, δέκα σιτοῦμαι χοίνικας. καὶ ξυμφέροισί μοι τὸν ἔρανον τοῦτον, γεωργοὶ Μαραθώνιοί τε, καὶ Βοιώτιοι. οἶμαι καὶ Ἀγαθίωνα ἐπονομάζοισιν, B ἐπειδὴ καὶ εὐξύμβολος αὐτοῖς φαίνομαι. τὴν δὲ δὴ γλῶτταν, ἔφη ὁ Ἡρώδης, πῶς ἐπαιδεύθης; ὑπὸ τίνων; οὐ γάρ μοι τῶν ἀπαιδεύτων φαίνῃ. καὶ ὁ Ἀγαθίων, ἡ μεσόγεια, ἔφη, τῆς Ἀττικῆς, ἀγαθὸν διδασκαλεῖον ἀνδρὶ βουλομένῳ διαλέγεσθαι. οἱ μὲν ἐν τῷ ἄστει Ἀθηναῖοι, μισθοῦ δεχόμενοι Θρᾴκια, καὶ Ποντικὰ μειράκια, κἀξ ἄλλων ἐθνῶν C βαρβάρων ξυνερρυηκότα, παραφθείρονται παρ' αὐτῶν τὴν φωνὴν μᾶλλον, ἢ ξυμβάλλονταί τι αὐτοῖς ἐς εὐγλωττίαν. ἡ μεσόγειος δὲ, ἄμικτος βαρβάροις οὖσα, ὑγιαίνει αὐτοῖς ἡ φωνὴ, καὶ ἡ γλῶττα τὴν ἄκραν Ἀτθίδα ὑποψάλλει. πανηγύρει δὲ, ἦ δ' ὁ Ἡρώδης, περιέτυχες; καὶ ὁ Ἀγαθίων, τῇ γε Πυθοῖ, ἔφη, οὐκ ἐπιμιγνὺς τῷ ὁμίλῳ, ἀλλ' ἐκ περιωπῆς τοῦ D Παρνάσου, ἀκούων τῶν τῆς μουσικῆς ἀγωνιστῶν, ὅτε Παμμένης ἐπὶ τραγῳδίᾳ ἐθαυμάσθη. καί μοι ἔδοξαν οἱ σοφοὶ Ἕλληνες οὐ χρηστὸν πρᾶγμα ἐργάζεσθαι τὰ τῶν Πελοπιδῶν, καὶ τῶν Λαβδακιδῶν κακὰ ξὺν ἡδονῇ ἀκούοντες. ξύμβουλοι γὰρ σχετλίων ἔργων, μῦθοι μὴ ἀπιστούμενοι. φιλοσοφοῦντα αὐτὸν ἰδὼν ὁ Ἡρώδης, ἤρετο καὶ περὶ

ἴσ. ἐνδίδωσι

reſpondit, ſe mortali magis longæuum eſſe. Adhæc interrogabit, quonam cibo veſceretur? Lacte, vt plurimùm (inquit) vtor; meq; capræ paſcunt, & paſtores, item boum matres, & equorum. Quinetiam ex aſinæ vbere potabile lac exprimitur, & leue; ſperſaq; demum farina, decem ſemodia comedo. Hanc mihi collectam ſtipémve conferunt Marathonij Bœotiique agricolæ; qui me quoque, opinor, Agathiona cognominarunt, quia gratus eis cõſultor appareo. Inſuper Herodes: Quomodo lingua informatus es, & à quibus inſtructus? neque enim mihi indoctus quodam videris. Tum Agathion, Mediterranea (inquit) Attica viro eloqui facundè volenti, optima videtur eſſe magiſtra. Nam Athenienſes qui cum mercede adoleſcentes è Thracia, Ponto, & ex aliis Barbarorum gentibus, in vrbem confluentes admittunt, per illos linguam ſuam potius corrumpunt, quàm aliquid ipſis ad facundiam conferant: verùm mediterranea quæ à Barbaris pura eſt, ſanam incolis vocem tribuit, vt lingua ſummum atticiſmum reſonet. An verò (inquit Herodes) maximo conuentui fortè occurriſti? & Agathion, Pythico, inquit; non cœtui admixtus, ſed è Parnaſſi ſpecula, vnde muſicæ certatores audiebam, quando Pammenes ob tragicos actus admirationi fuit: ac mihi ſapientes Græci, non probum opus agere viſi ſunt: dum Pelopidarum & Labdacidarum mala cum voluptate audirent. Etenim ærumnoſorum operum conſilia ſuggerunt fabulæ, quibus fides non derogatur. Ipſum philoſophantem intuitus Herodes, percõtabatur etiam

de certamine gymnico, quomodo id cognoſceret: atque is, Derideo magis illa, inquit, dum video homines decertantes inter ſe, quinquertium, & pugilatū, & curſum, & palæſtrā, & ob id coronatos. coronetur verò athleta curſus, præterito ceruo aut equo: qui autem in grauiorib. ſe exercet, tauro iunctus aut vrſo, (quod ego facio quotidie) magnum mihi certamen eripiente fortuna, quod non amplius leones alat Acarnania. Itaque ſtupefactus Herodes, rogabat ipſum, vt vnà ſecum cibum caperet. Cras, ait Agathio, ad te veniam, circiter meridiem, ad Canobi fanum: eſto verò tibi crater maximus, ex iis quæ in templo ſunt, lactis plenus, quòd mulier non mulſerit. & certè acceſſit poſtridie circa id tempus quod pactus fuerat: tum admota fixáque nare in patera, Non purum eſt lac, inquit; namque mulieris manus nares ferit: atq; his dictis abſceſſit lacte non hauſto. ergo Herodes fide non adiuncta ſermoni de muliere, miſit ad caprarios, qui veritatem ſciſcitarentur: atque edoctus ita ſe rem habere, intellexit quàm diuina eſſet natura illius viri. Porrò qui Herodis manuum inſtituunt accuſationem, quòd eas in Antoninum intuliſſet in Ida monte prope Aſiam: * ignorauiſſe mihi videntur Demoſtrati cum Herode certamen, in quo plurimis eum calumniis exagitans, nuſquam huius conuicij mentionem fecit, quia nec vnquam extitit. Etenim quædam inter ipſos rixa extitit, & quaſi velitatio vt in anfractu & anguſtiis locorum contingit, manus verò nihil offenderunt. Itaq; Demoſtratus non omi-

A τῆς γυμνικῆς ἀγωνίας ὅπως γιγνώσκοι. ὁ δ' ὅς, ἐκείνων, ἔφη, καταγελῶ μᾶλλον, ὁρῶν τοὺς ἀνθρώπους διαγωνιζομένους ἀλλήλοις παγκράτιον, καὶ πυγμὴν, καὶ δρόμον, καὶ πάλην, καὶ στεφανουμένους ὑπὲρ τούτου. στεφανούσθω δὲ ὁ μὲν δρομικὸς ἀθλητὴς, ἔλαφον παρελθὼν, ἢ ἵππον· ὁ δὲ τὰ βαρύτερα ἀσκῶν, ταύρῳ συμπλακεὶς, ἢ ἄρκτῳ, ὃ ἐγὼ ὁσημέραι πράττω, μέγαν ἆθλον ἀφῃρημένης B μοι τῆς τύχης, ἐπεὶ μηκέτι βόσκει λέοντας Ἀκαρνανία. ἀγασθεὶς οὖν ὁ Ἡρώδης, ἐδεῖτο αὐτοῦ ξυσσιτῆσαί οἱ. αὔριον, ἔφη, Ἀγαθίων ἀφίξομαί σοι κατὰ μεσημβρίαν, ἐς τὸ τοῦ Κανώβου ἱερόν. ἔστω δέ σοι κρατὴρ ὁ μέγιστος τῶν ἐν τῷ ἱερῷ, γάλακτος πλέως, ὃ μὴ γυνὴ ἤμελξε. καὶ ἀφίκετο μὲν ἐς τὴν ὑστεραίαν, καθ' ὃν ὡμολόγησε καιρόν. τὴν δὲ ῥῖνα ἐρείσας C ἐς τὸν κρατῆρα, οὐ καθαρὸν, ἔφη, τὸ γάλα· προσβάλλει γάρ με χεὶρ γυναικός. καὶ εἰπὼν ταῦτα, ἀπῆλθε μὴ ἐπισπασάμενος τοῦ γάλακτος. ἀπιστήσας* οὖν ὁ Ἡρώδης τῷ περὶ τῆς γυναικὸς λόγῳ, ἔπεμψεν εἰς τὰ αἰπόλια τοὺς ἐπισκεψομένους τἀληθές. καὶ μαθὼν αὐτὸ οὕτως ἔχον, ξυνῆκεν ὡς δαιμονία φύσις εἴη περὶ τὸν ἄνδρα. οἱ δὲ ποιούμενοι κατηγορίαν D τῶν Ἡρώδου χειρῶν ὡς ἐπενεχθεισῶν Ἀντωνίνῳ ἐν τῇ Ἴδῃ τῷ ὄρει κατὰ τὴν Ἀσίαν* ἦρχον, ἠγνοηκέναι μοι δοκοῦσι τὸν Δημοστράτου πρὸς Ἡρώδην ἀγῶνα· ἐν ᾧ πλεῖστα διαβάλλων αὐτὸν, οὐδαμῶς τῆς παροινίας ταύτης ἐπεμνήσθη, ὅτι μηδὲ ἐγένετο. ὠθισμὸς μὲν γάρ τις αὐτοῖς ξυνέπεσεν, ὡς ἐν δυσχωρίᾳ, καὶ στενοῖς. αἱ δὲ χεῖρες, οὐδὲν παρηνόμησαν. ὡς τῷ καὶ αὖ παρῆκεν ὁ Δημόστρατος

* κ. ἀπις.

* ἴσ. Ἀσίας ἀρχῶν.

διῄει αὐτὰ ἐν τῇ πρὸς τὸν Ἡρώδην δίκῃ, πικρῶς οὕτω καθαψάμενος τοῦ ἀνδρὸς, ὡς διαβαλεῖν αὐτοῦ καὶ τὰ ἐπαινούμενα. ἦλθεν ἐπὶ τὸν Ἡρώδην καὶ φόνου δίκη, ὧδε ξυντεθεῖσα. κύειν μὲν αὐτῷ τὴν γυναῖκα Ῥήγιλλαν ὄγδοόν που μῆνα· τὸν δ' Ἡρώδην, οὐχ ὑπὲρ μεγάλων Ἀλκιμέδοντι ἀπελευθέρῳ προστάξαι τυπῆσαι αὐτήν. πληγεῖσαν δὲ ἐς τὴν γαστέρα τὴν γυναῖκα, ἀποθανεῖν ἐν ὠμῷ τῷ τόκῳ. ἐπὶ τούτοις ὡς ἀληθέσι, γράφεται αὐτὸν φόνου* Βραδύας ὁ τῆς Ῥηγίλλης ἀδελφὸς, εὐδοκιμώτατος ὢν ἐν ὑπάτοις, καὶ τὸ ξύμβολον τῆς εὐγενείας περιηρτημένος τῷ ὑποδήματι. τοῦτο δέ ἐστιν ἐπισφύριον ἐλεφάντινον,* μηνοειδές. καὶ παρελθὼν ἐς τὸ Ῥωμαίων βουλευτήριον, πιθανὰ μὲν οὐδὲν διῄει περὶ τῆς αἰτίας, ἣν ἐπῆγεν· ἑαυτοῦ δὲ ἔπαινον ἐμακρηγόρει περὶ τοῦ γένους. ὅθεν ἐπισκώπτων αὐτὸν ὁ Ἡρώδης, σὺ, ἔφη, τὴν εὐγένειαν ἐν τοῖς ἀστραγάλοις ἔχεις. μεγαλαυχουμένου δὲ τοῦ κατηγόρου καὶ ἐπ' εὐεργεσίᾳ μιᾶς τῶν ἐν Ἰταλίᾳ πόλεων, μάλα γενναίως ὁ Ἡρώδης, κἀγὼ, ἔφη, πολλὰ τοιαῦτα περὶ ἐμαυτοῦ διῄειν ἂν, εἰ ἐν ἁπάσῃ τῇ γῇ ἐκρινόμην. ξυνήρατο δὲ αὐτῷ τῆς ἀπολογίας, πρῶτον μὲν, τὸ μηδὲν προστάξαι τοιοῦτον ἐπὶ τὴν Ῥήγιλλαν· ἔπειτα, τὸ ὑπερπενθῆσαι ἀποθανοῦσαν· διεβάλλετο μὲν γὰρ καὶ ταῦτα ὡς πλάσμα· ἀλλ' ὅμως τἀληθὲς ἴσχυεν. οὐ γάρ ποτε οὔτ' ἂν θέατρον ἀναθεῖναι αὐτῇ τοιοῦτον, οὔτ' ἂν δευτέραν κλήρωσιν τῆς ὑπάτου ἀρχῆς* ἐν αὐτῇ ἀναβάλλεσθαι, μὴ καθαρῶς ἔχοντι τῆς αἰτίας, οὔτ' ἂν τὸν κόσμον αὐτῆς εἰς τὸ ἐν Ἐλευσῖνι ἱερὸν ἀναθεῖναι, φέροντα φόνῳ μεμιασμένον.

γρ. χιωνοειδές.

Ἴσ. ἐπ'

A ſiſſet, ea in lite aduerſus Herodem, qui adeò acerbè virum perſtrinxerat, vt etiam ea quæ laudarentur, in eo carperet. Venit etiam ad Herodem actio cædis ſic inſtituta. conceperat ipſi mulier Regilla, ab octauo iam menſe; Herodes autem ob magna commiſſa, liberto Alcimedonti ipſam ferire iuſſerat: icta verò in vtero immaturo adhuc partu interiit. ob hæc, quaſi vera eſſent, cædis ipſũ criminatur Bradeas* Regillæ frater celeberrimus inter Con- B ſules, & nobilitatis notam appoſitam calceis geſtans. Hoc verò ſignum, talare eburneum eſt, lunulæ inſtar. inde cùm ad Senatum Romanum veniſſet, nihil probabile de crimine quòd obiiciebat, enarrauit: ſed laudes ſuas & proſapiæ longo ſermone produxit. Vnde Herodes eum vellicans, Tu (inquit) nobilitatem in pedum malleolis habes. at iactante ſe accuſatore, etiã ob beneficium quod in ciuitatẽ quan- C dam Italiæ contulerat: admodum generoſe Herodes, Equidem multa eiuſmodi de me ipſo commemorarem, ſi in omni terra reus eſſem. hoc in apologia Herodi profuit, primùm quòd ipſe minimè iuſſerat tale quid in Regillam; deinde quòd grauem luctum erat, & planctũ ediderat ſuper mortua. nam hac quoq; calumnia affectus fuerat, vt figmentum ei obiiceretur. Sed tamen veritas plus virium habuit: neque e- D nim vnquam theatrum eiuſmodi mortuæ conſecraſſet; neque ſecundam conſularis dignitatis ſortitionem propter eandem diſtuliſſet; niſi purus à crimine fuiſſet: neq; mundum muliebrem in Eleuſinis fano ſacrum appendiſſet, cæde pollutus.

namque hoc eius erat, qui vltrices tædis Deas potius quàm condonatrices faceret: idem etiam habitum familiæ ob cæſam commutauerat: atris coloribus & aulæis pullis ædium flores inficiens, & lapide Leſbio, qui mœſtus & niger eſt. de quibus dicitur etiam Lucius vir ſapiens ad conſilium Herodi aſcitus, cùm ei non perſuaſiſſet mutare ſententiam, cauillatus. ac ne hoc quidem omittere æquum eſt, quod apud ſtudioſos mentione dignum habetur: etenim virtute clarus hic vir fuit; & Muſonij Tyrij familiaritate vſus: in reſponſis ſubtilis erat, ac facetiarum gratiam cum opportunitate indagabat: cùm verò Herodi familiariſſimus eſſet, adfuit ipſi, cùm laboraret ob luctum, eúmq; his verbis admonuit; ô Herode, *Omne quod ſufficit, mediocritate definitum eſt.* hac verò de re multa diſſerentem Muſonium audiui, multò etiam ipſe diſſertaui: ac teipſum in Olympiis auſcultaui, cùm hoc ipſum apud Græcos laudares, quando etiam fluuios medios in ripa fluere hortabaris. at verò nunc vbinam iſthæc ſunt: ſedenim cùm à temetipſo excideris, digna committis quæ lugeantur, ſuperuacanea periclitans opinione. Atque his alia plura adiecit; ſed homine non perſuaſo diſceſſit mœſtus & anxius. mox intuitus famulos in fonte quodam ex iis qui in ædibus erant, rapa abluentes, interrogabat ipſos, cuiuſnam cœna eſſet. hi ſe illam Herodi comparare duxerunt. Tum Lucius, Offendit (inquit) Regillam Herodes, alba veſcens rapa in atrata domo. hæc cùm ſibi renunciata audiſſet Herodes, caliginem ſuſtulit è domo, ne ludicrum ſtudio-

A τουτὶ γὰρ τιμωροὺς τοῦ φόνου ποιοῦντος τὰς θεὰς μᾶλλον, ἢ συγγνώμονας. ὁ δὲ, καὶ τὸ σχῆμα τῆς οἰκίας ἐπ' αὐτῇ ὑπήλλαξε, μελαίνων τὰ τῶν οἴκων ἄνθη παραπετάσμασι, καὶ χρώμασι, καὶ λίθῳ λεσβίῳ· κατηφὴς δὲ ὁ λίθος, καὶ μέλας. ὑπὲρ ὧν λέγεται καὶ Λούκιος, ἀνὴρ σοφὸς, ἐς ξυμβουλίαν τῷ Ηρώδῃ καθιστάμενος, ὡς οὐκ ἔπειθε μεταβαλεῖν αὐτὸν, διασκῶψαι. ἄξιον δὲ μηδὲ τοῦτο παρελθεῖν, λόγου B παρὰ τοῖς σπουδαίοις ἀξιούμενον. ἦν μὲν γὰρ σπουδαῖος ἐν τοῖς φανεροῖς ὁ ἀνὴρ οὗτος. Μουσωνίῳ δὲ τῷ Τυρίῳ προσφοιτήσας, εὐσκόπως εἶχε τῶν ἀποκρίσεων, καὶ τὸ ἐπίχαρι σὺν καιρῷ ἐπετήδευεν. ἐπιτηδειότατος δὲ ὢν τῷ Ηρώδῃ, παρῆν αὐτῷ πονήρως διατεθειμένῳ τὸ πένθος, καὶ ἐνουθέτει, τοιαῦτα λέγων, ὦ Ηρώδη, πᾶν τὸ ἀποχρῶν, μεσότητι ὥρισται. καὶ ὑπὲρ τούτου, πολλὰ μὲν ἤ- C κουσα Μουσωνίου διαλεγομένου, πολλὰ δὲ αὐτὸς διείλεγμαι. καὶ σοῦ δὲ ἠκροώμην ἐν Ολυμπίᾳ ἐπαινοῦντος αὐτὸ πρὸς τοὺς Ελληνας. ὅτε δὴ καὶ τοὺς ποταμοὺς ἐκέλευες μέσους τῆς ὄχθης ῥεῖν. ἀλλὰ νῦν που ταῦτα, σεαυτοῦ γὰρ ἐκπεσὼν, ἄξια τοῦ πενθεῖσθαι πράττεις, περὶ τῇ δόξῃ κινδυνεύων· καὶ πλείω ἕτερα. ὡς δὲ οὐκ ἔπειθεν, ἀπῄει δυσχεράνας. ἰδὼν D δὲ παῖδας ἐν κρήνῃ τινὶ τῶν κατὰ τὴν οἰκίαν, ῥαφανίδας πλυνόντας, ἤρετο αὐτοὺς ὅτου εἴη τὸ δεῖπνον. οἱ δὲ, ἔφασαν Ηρώδῃ εὐτρεπίζειν αὐτό. καὶ ὁ Λούκιος, ἀδικεῖ, ἔφη, Ρηγίλλαν Ηρώδης, λευκὰς ῥαφανίδας σιτούμενος ἐν μελαίνῃ οἰκίᾳ. ταῦτα ὡς ἤκουσεν ἐσαγγελθέντα ὁ Ηρώδης, ἀφεῖλε τὴν ἀχλὺν τῆς οἰκίας, ὡς μὴ ἄθυρμα

γνησίοις ἀνδρῶν σπουδαίων. Λουκίου τούτου κἀκεῖνο θαυμάσιον· ἐσπούδαζε μὲν ὁ αὐτοκράτωρ Μάρκος περὶ Σέξτον τὸν ἐκ Βοιωτίας φιλόσοφον, θαμίζων αὐτῷ, καὶ φοιτῶν ἐπὶ θύραις. ἄρτι δὲ ἥκων ἐς τὴν Ῥώμην ὁ Λούκιος, ἤρετο τὸν αὐτοκράτορα προϊόντα, ποῖ βαδίζοι, καὶ ἐφ' ὅ, τι, καὶ ὁ Μάρκος, καλὸν, ἔφη, καὶ γηράσκοντι τὸ μανθάνειν. εἶμι δὴ πρὸς Σέξτον τὸν φιλόσοφον, μαθησόμενος ἃ οὔπω οἶδα. καὶ ὁ Λούκιος ἐξάρας τὴν χεῖρα ἐς τὸν οὐρανὸν, ὦ Ζεῦ, ἔφη, ὁ Ῥωμαίων βασιλεὺς γηράσκων ἤδη, δέλτον ἐξαψάμενος, ἐς διδασκάλου φοιτᾷ, ὥσπερ οἱ παῖδες. ὁ δὲ ἐμὸς βασιλεὺς Ἀλέξανδρος, δύο, καὶ τριάκοντα ἐτῶν ἀπέθανεν. ἀπόχρη καὶ τὰ εἰρημένα δεῖξαι τὴν ἰδέαν, ἣν ἐφιλοσόφει Λούκιος. ἱκανὰ γὰρ ταῦτά που δηλῶσαι τὸν ἄνδρα, καθάπερ τὴν ἀνθοσμίαν τὸ γεῦμα. τὸ μὲν δὴ ἐπὶ Ῥηγίλλῃ πένθος, ὧδε ἐσβέσθη. τὸ δὲ ἐπὶ Παναθηναΐδι τῇ θυγατρὶ, Ἀθηναῖοι ἐπράυνον, ἐν ἄστει τε αὐτὴν θάψαντες, καὶ ψηφισάμενοι τὴν ἡμέραν, ἐφ' ἧς ἀπέθανεν, ἐξαιρεῖν τοῦ ἔτους. ἀποθανούσης δὲ αὐτῷ καὶ τῆς ἄλλης θυγατρὸς, ἣν Ἐλπινίκην ὠνόμαζεν, ἔκειτο μὲν ἐν τῷ δαπέδῳ, τὴν γῆν παίων, καὶ βοῶν, τί σοι θύγατερ καθαγίσω; τί σοι ξυνθάψω; παρατυχὼν δὲ αὐτῷ Σέξτος ὁ φιλόσοφος, μεγάλα, ἔφη, τῇ θυγατρὶ δώσεις, ἐγκρατῶς αὐτὴν πενθήσας. ἐπένθει δὲ ταῖς ὑπερβολαῖς ταύταις τὰς θυγατέρας, ἐπὶ Ἀττικὸν τὸν υἱὸν ἐν ὀργῇ ἔχων· διεβέβλητο δὲ πρὸς αὐτὸν, ὡς ἠλιθιώδη, καὶ δυσγράμματον, καὶ παχὺν τὴν μνήμην. τὰ γοῦν

A ſorum foret. huius Lucij, hoc etiam admirandum eſt. Marcus Imperator ſtudioſus erat Sexti Philoſophi è Bœotia oriundi, adeo vt ipſum frequentaret, atque ad eius fores ventitaret. Lucius verò recens Romam profectus, rogabat Imperatorem iter conficientem, quonam iret, & ad quod negotium: tum Marcus, *Honeſtum eſt* (inquit) *etiam* Solon. *ſeneſcenti addiſcere.* ideò ad Sextum Philoſophum vado, vt diſcam quæ nondum ſcio. Hîc Lucius manu in
B cœlum ſublata, O Iupiter, inquit, Romanorum Imperator iam ſeneſcens tabellis comprehenſis ad ludimagiſtrum pergit, vt pueri: Alexander verò rex meus triceſimo ſecundo ætatis anno interiit. hactenus dicta, ſatis ſunt ad genus philoſophiæ quod Lucius amplexabatur, indicandum: ſufficiunt enim hæc vtique ad virum patefaciẽdum, quemadmodũ guſtus vini florem arguit. ſic tandem luctus ob Regillam ex-
C tinctus eſt: ſed is quem ex obitu Panathenaïdis filiæ conceperat, Athenienſes officioſè lenierunt, cùm ipſam in oppido ſepelierunt, & diem in qua obierat, ab anno eximere decreuerunt. porrò cùm alia eius filia, quam Elpinicen nominabat, è vita deceſſiſſet, & ipſe iaceret in pauimento, terram feriens & vociferans, Quas tibi filiola inferias dabo? quid vnà tecum in ſepulcro condam? Sextus Philo-
D ſophus, qui eò fortè interuenerat: Magna, inquit, filiæ concedes, ſi moderatè eam luxeris. Iccirco autem haſce filias tanto cum exceſſu lugebat, quia aduerſus Atticum filium ira concitatus erat, eò quòd fatuus admodum eſſet, indocilis, ineptúſque ad literas, & craſſa fluxáque memoria: quare cùm ille ne

primas

primas quidem literas diſcere poſ-
ſet, venit in mentem Herodi, vt
vnà cum ipſo quatuor & viginti
pueros coæuos aleret, à literis nomi-
natos, vt in puerorum nominibus
literas ex neceſſitate meditaretur.
ſed eundem vinolentum quoque
videbat, & amore væſano correptũ;
vnde viuens adhuc de ſuis facultati-
bus, hunc oracularẽ verſum edidit,

En ſolus ſtultúſque relinquitur ædibus amplis.

Deinde moriens materna bona red-
didit: ad alios verò heredes domum
ſuam tranſtulit. verùm hæc Athe-
nienſibus inhumana viſa ſunt: cùm
rationem non haberent Achillis, &
Pollucis, & Memnonis, quos æquè
ac ſi legitimi liberi fuiſſent, luxit
alumnos ſuos, quòd honeſti im-
primis ac probi eſſent, generoſi &
dociles; & educationem apud ip-
ſum acceptam decorantes: imagines
certè ipſorum venantium, & vena-
tione functorum, & ad venandum
paratorũ erexerat, partim in quer-
cetis, partim in agris, partim ſuper
fontibus, partim ſub vmbris plata-
norum; non obſcurè, ſed cum im-
precationibus eius qui concideret,
aut concuteret. Atqui iſtos nun-
quam ita in altum ſuſtuliſſet, niſi
laudibus dignos agnouiſſet. Quin-
tillis autem, cùm Græciæ præeſſent,
ipſum criminantibus ob haſce ado-
leſcentium imagines, tanquam ſu-
perfluas: Quid autem veſtra (in-
quit) intereſt, ſi meis ego marmo-
ribus illudo? initium autem alter-
cationis cum Quintilliis fuit, vt ple-
rique dicant. Pythiorum ſolenne
ludicrum, quòd diuerſo iudicio
concentum Muſicum auſcultarant.
vt verò nonnulli aiunt, commiſſa
ab Herode in ipſis apud Marcum.

A πρῶτα γράμματα παραλαβεῖν μὴ
δυνηθέντος, ἦλθεν εἰς ἐπίνοιαν τῷ Η-
ρώδῃ ξυντρέφειν αὐτῷ τέτταρας παῖ-
δας, καὶ εἴκοσιν ἰσήλικας, ὠνομασμένοις
ἀπὸ τῶν γραμμάτων, ἵνα ἐν τοῖς τῶν παί-
δων ὀνόμασι, τὰ γράμματα ἐξ ἀνάγ-
κης αὐτῷ μελετῷτο. ἑώρα δὲ αὐτὸν καὶ
μεθυστικὸν, καὶ ἀνοήτως ἐρῶντα. ὅθεν ζῶν
μὲν ἐπεχρησμῴδει τῇ ἑαυτοῦ οὐσίᾳ ἐ-
κεῖνο τὸ ἔπος·

B Εἷς δέ τι που μωρὸς καταλείπεται εὐρέϊ (οἴκῳ.

τελευτῶν δὲ, τὰ μὲν μητρῷα, ἀπέδω-
κεν. εἰς ἑτέρους δὲ κληρονόμους τὸν ἑαυτοῦ
οἶκον μετέστησεν· ἀλλ' Ἀθηναίοις ἀπάν-
θρωπα ἐδόκει ταῦτα, οὐκ ἐνθυμουμέ-
νοις τὸν Ἀχιλλέα, καὶ τὸν Πολυδεύκην,
καὶ τὸν Μέμνονα, οὓς ἴσα γνησίοις ἐπέν-
θησε, τροφίμους ὄντας· ἐπειδὴ καλοὶ
μάλιστα, κἀγαθοὶ ἦσαν, γενναῖοί τε, καὶ
C φιλομαθεῖς, καὶ τῇ παρ' αὐτῷ τροφῇ
πρέποντες. εἰκόνας γοῦν ἀνετίθει σφῶν
θηρώντων τε, καὶ τεθηρακότων, καὶ
θηρασόντων· τὰς μὲν, ἐν δρυμοῖς·
τὰς δ' ἐπ' ἀγροῖς· τὰς δὲ, πρὸς πη-
γαῖς· τὰς δὲ, ὑπὸ σκιαῖς πλατάνων,
οὐκ ἀφανῶς, ἀλλὰ ξὺν ἀραῖς τοῦ πε-
ρικόψοντος, ἢ κινήσοντος. οὓς οὐκ ἂν ἐπὶ
τοσοῦτον ἦρεν, εἰ μὴ ἐπαίνων ἀξίους ἐ-
D γίγνωσκε. Κυντιλλίων δὲ, ὁπότε ἦρχον
τῆς Ἑλλάδος, αἰτιωμένων αὐτὸν ἐπὶ
ταῖς τῶν μειρακίων τούτων εἰκόσιν ὡς
περιτταῖς, τί δὲ ὑμῖν, ἔφη, διενήνοχεν,
εἰ ἐγὼ τοῖς ἐμοῖς ἐμπαίζω λιθαρίοις;
ἦρξε δὲ αὐτῷ τῆς πρὸς τοὺς Κυντιλλίους
διαφορᾶς, ὡς ὁ μὲν πολλοί φασι,
Πυθικὴ πανήγυρις, ἐπεὶ ἑτεροδόξως τῆς
μουσικῆς ἠκροῶντο· ὡς δὲ ἔνιοι, τὰ πλασθέντα περὶ αὐτῶν Ἡρώδῃ πρὸς Μάρκον.

ὁρῶν γὰρ αὐτοὺς Τρῶας μὲν, μεγάλων δὲ ἀξιουμένους παρὰ τοῦ βασιλέως, ἐγὼ, ἔφη, καὶ τὸν Δία μέμφομαι τὸν Ὁμηρικὸν ὅτι τοὺς Τρῶας ἐφίλει. ἡ δὲ ἀληθεστέρα αἰτία, ἤδει τὼ ἄνδρε τούτω, ὁπότ' ἄμφω τῆς Ἑλλάδος ἠρχέτην, καλέσαντες ἐς τὴν ἐκκλησίαν Ἀθηναῖοι, φωνὰς ἀφῆκαν τυραννουμένων, πρὸς τὸν Ἡρώδην ἀποσημαίνοντες, καὶ δεόμενοι ἐπὶ πᾶσιν, ἐς τὰ βασιλέως ὦτα παραπεμφθῆναι τὰ εἰρημένα. τῶν δὲ Κυντιλλίων παθόντων τι πρὸς τὸν δῆμον, καὶ ξὺν ὁρμῇ ἀναπεμψάντων ἃ ἤκουσαν, ἐπιβουλεύεσθαι ὑπ' αὐτῶν ὁ Ἡρώδης ἔφασκεν, ὡς ἀναθολούντων ἐπ' αὐτὸν τοὺς Ἀθηναίους. μετ' ἐκείνην γὰρ τὴν θάλατταν Δημόστρατοι ἀνεφύησαν, καὶ Πραξαγόραι, καὶ Μαμερτῖνοι, καὶ ἕτεροι πλείους, ἐς τὸ ἀντίξοον τῷ Ἡρώδῃ πολιτεύοντες. γραψάμενος δὲ αὐτοὺς Ἡρώδης ὡς ἐπισυνιστάντας αὐτῷ τὸν δῆμον, ἦγεν ἐπὶ τὴν ἡγεμονίαν. οἱ δὲ ὑπεξῆλθον ἀφανῶς πρὸς τὸν αὐτοκράτορα Μάρκον, θαρροῦντες τῇ τε φύσει τοῦ βασιλέως δημοτικωτέρᾳ οὔσῃ, καὶ τῷ καιρῷ. ὃν γὰρ ὑπώπτευσε Λούκιον κοινὸν αὐτῷ τῆς ἀρχῆς γενόμενον, οὐδὲ τὸν Ἡρώδην ἠφίει τὸ μὴ οὐ ξυμμετέχειν αὐτῷ. ὁ μὲν δὴ αὐτοκράτωρ ἐκάθητο ἐς τὰ Παιόνια ἔθνη, ὁρμητηρίῳ τῷ Σιρμίῳ χρώμενος. κατέλυον δὲ οἱ μὲν ἀμφὶ τὸν Δημόστρατον, περὶ τὰ βασίλεια, παρέχοντος αὐτοῖς ἀγορὰν τοῦ Μάρκου, καὶ θαμὰ ἐρωτῶντος εἴ του δέοιντο. φιλανθρώπως δὲ πρὸς αὐτοὺς ἔχειν αὐτός τε ἑαυτὸν ἐπεπείκει, καὶ τῇ γυναικὶ ἐπέπειστο, καὶ τῷ θυγατρίῳ ψελλιζομένῳ ἔτι. τοῦτο γὰρ μάλιστα ξὺν πολλοῖς θωπεύμασι προσπίπτον τοῖς γόνασι τοῦ πατρὸς,

A Nam cùm videret hos Quintillios qui Troiani erant, magnis à rege honoribus affici: Equidem etiam (inquit) Iouem Homericum reprehendo, quòd Troianos diligeret, ſed verior cauſa, hæc eſt viros iſtos, cùm ambo Græciæ præſiderent, ad concionem accerſitos, Athenienſes voces tyrannide oppreſſorum emiſerunt, Herodem oculis deſignantes, & ſupplicantes in omnibus, ad regis aures, quæ dicta fuerant, tranſmitti. B tum Quintilliis bene erga populum animatis, iis quæ audierant, ſubito impetu tranſmiſſis, Herodes inſidias ab ipſis, vt Athenienſes in ſe excitantibus ſibi inſtructas eſſe dictitabat. Attamen poſt illam tempeſtatem exorti ſunt Demoſtrati, & Praxagoræ, & Mamertini, atque alij plures, qui in Reipublicæ adminiſtratione aduerſabantur: quare Herodes ad principem eos detulit, quaſi populum in ſe inſtigaſſent: C verùm illi clam Marco Imperatori ſe inſinuarunt regis ingenio magis populari, opportunitatiq; confidentes. quem enim Lucium ſuſpicabatur imperij ſocium futurum, neque Herodem quominus vnà particeps eius eſſet, permittebat. ergo Imperator apud Pæonias gentes conſidebat, Sirmio oppido, ad belli fomenta ſubſidiáq; vtens, diuertit verò Demoſtratus ad regiam, exhibente ipſi D concionem Marco, ac ſubinde ſciſcitante, ſi qua re indigeret. ac benignum ſe illi præbere, & ipſe in animum induxerat, & coniugi perſuaſum erat, & puellulæ adhuc balbutienti. hoc quippe potiſſimum multis cum adulationibus genibus patris prouolutus precabatur, vt ſi-

A bi Athenienſes conſeruaret: Herodes verò in ſuburbiis, commorabatur, in quibus turres & caſtella exædificata erant. & vnà certè cum eo peregrinationis iter ſuſceperant geminæ puellæ, iam nubili ætate, & formæ præſtantia admirationē mouentes: quas à pueritia Herodes ſibi pincernas & piſtrices comparauerat, filiolas nuncupans, eáſque hoc nomine ſalutás. erant autem hæ Almedontis natæ, qui quidem libertus Herodis fuit: has verò ſopitas in vna turri quam munitiſſima, fulgur noctu vibratum interfecit. ob hanc certè ærumnam Herodes amens animi factus eſt, & ad regis prætoriū acceſſit, nec mentis compos, & mortis cupidus: nam cùm primùm aduenit, inuectus eſt in Imperatorem non figurata oratione, vt par fuit virum in hoc dicendi genere exercitatū bilem ſuam arte moderari: ſed lingua amentata & nuda contendebat his vocibus: Hæc affert mihi Lucij hoſpitalitas, quem tu ad me miſiſti, vnde ius dicis, mulierculæ, & trienni puerulo me concedens. ibi cùm Baſſeas, cui cōmiſſus erat enſis regius, mortem ipſi cōminitatus eſſet; Herodes, Optimè, inquit, ſenex raro formidat. hoc igitur dicto Herodes proripuit ſe è prætorio, multa aquæ parte ſuſpenſa relicta. Nos certè, inter ea quæ à Marco palam grauiter dicta factáque ſunt, etiam huius litis acta cenſemus: neque enim ſupercilia contraxit, neque oculos torſit; quod etiam arbitro honorari contigiſſet: ſed ad Athenienſes conuerſus, Cauſſam, inquit, veſtram dicite, Athenienſes, tametſi Herodes non permittat. deinde,

ἐδεῖτο σῶσαί οἱ τοὺς Ἀθηναίους. ὁ δὲ Ἡρώδης ἐν προαστείῳ ἐσκήνου, ἐν ᾧ πύργοι ἐξῳκοδόμηντο, καὶ ἡμιπύργια. καὶ δὴ ξυναπεδήμουν αὐτῷ καὶ δίδυμοι κόραι πρὸς ἀκμὴν γάμων, θαυμαζόμεναι ἐπὶ τῷ εἴδει. ἃς ἐκπιπώσας ὁ Ἡρώδης, οἰνοχόους ἑαυτῷ, καὶ ὀψοποιοὺς ἐπεποίητο, θυγάτρια ἐπονομάζων, καὶ ὧδε ἀσπαζόμενος. Ἀλκιμέδοντος μὲν B δὴ αὗται θυγατέρες· ὁ δὲ Ἀλκιμέδων, ἀπελεύθερος τοῦ Ἡρώδου, καθευδούσας δὲ αὐτὰς ἐν ἑνὶ τῶν πύργων, ὃς ἦν ἐχυρώτατος, σκηπτὸς ἐμπεσὼν νύκτωρ, ἀπέκτεινεν. ὑπὸ τούτου δὴ τοῦ πάθους ἔκφρων Ἡρώδης ἐγένετο, καὶ παρῆλθεν ἐς τὸ βασίλειον δικαστήριον, οὔτε ἔννους, καὶ θανάτου ἐρῶν. παρελθὼν γὰρ, κατέστη ἐς διαβολὰς τοῦ αὐτοκράτορος, οὐδὲ σχηματίσας τὸν λόγον ὡς εἰκὸς ἦν, ἄνδρα γεγυμνασμένον τῆς τοιᾶσδε ἰδέας, μετα- C χειρίσασθαι τὴν ἑαυτοῦ χολὴν, ἀλλ' ἀπηγ-
κωνισμένῃ τῇ γλώττῃ, καὶ γυμνῇ, διετείνετο, λέγων, ταῦτά μοι ἡ Λουκίου ξενία, ὅν σύ μοι ἔπεμψας. ὅθεν δικάζεις, γυναικί με, καὶ τετραετεῖ παιδίῳ καταχαριζόμενος. Βασσαίου δὲ τοῦ πεπιστευμένου τὸ ξίφος, θάνατον αὐτῷ φήσαντος, ὁ Ἡρώδης, ὦ λῷστε, ἔφη, γέρων ὀλίγα φοβεῖται. ὁ μὲν οὖν Ἡρώδης, ἀπῆλθε τοῦ δι- D καστηρίου εἰπὼν ταῦτα, καὶ μετέωρον καταλείψας πολὺ τοῦ ὕδατος. ἡμεῖς δὲ τῶν ἐπιδήλως τῷ Μάρκῳ φιλοσοφηθέντων, καὶ τὰ περὶ τὴν δίκην ταύτην ἡγώμεθα. οὐ γὰρ ξυνήγαγε τὰς ὀφρῦς, οὐδὲ ἔστρεψε τὸ ὄμμα, ὃ κἂν διαιτητής τις ἔπαθεν, ἀλλ' ἐπιστρέψας ἑαυτὸν ἐς τοὺς Ἀθηναίους, ἀπολογεῖσθε, ἔφη, ὦ Ἀθηναῖοι, εἰ καὶ μὴ ξυγχωρεῖ Ἡρώδης. καὶ

ἴσ. χ. χλῳ

ἀκούων ἀπολογουμένων· ἐπὶ πολλοῖς μὲν, ἀφανῶς ἤλγησεν. ἀναγινωσκομένης δὲ αὐτῷ καὶ Ἀθηναίων ἐκκλησίας, ἐν ᾗ ἐφαίνοντο καθαπτόμενοι τοῦ Ἡρώδου, ὡς τοὺς ἄρχοντας τῆς Ἑλλάδος ὑποποιουμένου πολλῷ μέλιτι, καί που καὶ βεβοηκότος, ὦ πικροῦ μέλιτος· καὶ πάλιν, μακάριοι οἱ ἐν τῷ λοιμῷ ἀποθνήσκοντες, οὕτως ἐσείσθη τὴν καρδίαν ὑφ' ὧν ἤκουσεν, ὡς ἐς δάκρυα φανερὰ ὑπαχθῆναι. τῆς δὲ τῶν Ἀθηναίων ἀπολογίας, ἐχούσης κατηγορίαν τοῦ τε Ἡρώδου, καὶ τῶν ἀπελευθέρων, τὴν ὀργὴν ὁ Μάρκος, ἐς τοὺς ἀπελευθέρους ἔτρεψε, κολάσει χρησάμενος ὡς οἷόν τε ἐπιεικεῖ. οὕτω γὰρ αὐτὸς χαρακτηρίζει τὴν ἑαυτοῦ κρίσιν. μόνῳ δὲ Ἀλκιμέδοντι τὴν τιμωρίαν ἐπανῆκεν, ἀποχρῶσαν οἱ εἶναι φήσας τὴν ἐπὶ τοῖς τέκνοις συμφοράν. ταῦτα μὲν δὴ ὧδε, οὕτως ἐφιλοσοφεῖτο τῷ Μάρκῳ. ἐπιγράφουσι δὲ καὶ φυγὴν οὐ φυγόντι, καὶ φασὶν αὐτὸν οἰκῆσαι τὸ ἐν τῇ ἠπείρῳ Ὠρικὸν, ὃ* καὶ πολίσαι αὐτὸν, ὡς εἴη δίαιτα τῷ σώματι ἐπιτηδεία. ὁ δὲ Ἡρώδης, ᾤκησε μὲν τὸ χωρίον τοῦτο, νοσήσας ἐν αὐτῷ, καὶ θύσας ἐκβατήρια τῆς νόσου. φυγεῖν δὲ οὔτε προσετάχθη, οὔτ' ἔτλη. καὶ μάρτυρα τοῦ λόγου τούτου ποιήσομαι τὸν θεσπέσιον Μάρκον. μετὰ γὰρ τὰ ἐν τῇ Παιονίᾳ, διητᾶτο μὲν ὁ Ἡρώδης ἐν τῇ Ἀττικῇ περὶ τοὺς φιλτάτους ἑαυτῷ δήμους, Μαραθῶνα, καὶ Κηφισιάν, ἐξηρτημένης αὐτοῦ τῆς πανταχόθεν νεότητος, οἳ κατ' ἔρωτα τῆς ἐκείνου λόγων, ἐφοίτων Ἀθήναζε. πεῖραν δὲ ποιούμενος μὴ χαλεπὸς αὐτῷ εἴη διὰ τὰ ἐν δικαστηρίῳ, πέμπει πρὸς αὐτὸν ἐπιστολὴν οὐκ ἀπολογίαν ἔχουσαν, ἀλλ' ἐγ-

A cauſſam dicentes audiens, in multis doluit: verùm lecta & recognita ipſi Athenienſium quoque concione, in qua videbantur Herodem perſtrinxiſſe, vt præfectos Græciæ multò melle ſuffundentem: & alicubi etiam vociferantem, *ô mel amarum.* & iterùm: *beati qui lue graſſante moriebantur.* ita corde concuſſus, & iis quæ audierat, vt in apertas lachrymas adactus fuerit. Iam verò cùm Athenienſium apologia Herodis contineret accuſationem

B & libertorum, Marcus iram in libertos conuertit. caſtigatione quàm fieri potuit moderata vſus; hac enim ipſe nota iudicium ſuum exprimere ſolet: ſoli autem Alcimedonti ſupplicium remiſit, ſatis ſupérque illi eſſe affirmans liberorum iacturam. hæc ſanè hoc modo philoſophicè ſunt à Marco peracta. Adſcribunt porrò exilium Herodi, cùm non exularit: aiúntque ipſum habitaſſe Oricum in Epiro ſitum,

C atq; vrbē in eo conſtruxiſſe, vt commodum eſſet corpori domiciliū: ac profectò in eo loco Herodes commoratus erat morbo correptus; ibidem ſacris pro liberatione à morbo litatis: ſed nec exilium ipſi indictum eſt, neque ſuſtinuit. At certè ſermonis huius teſtem diuinum Marcum producam: nam poſt res actas in Pæonia, Herodes in Attica degebat apud chariſſimos po-

D pulos, Marathona & Cephiſiam, iuuentute vndequaque ab ipſius ore pendente, quæ illum audiendi deſiderio Athenas frequentabat. Ergo vt periculum faceret, an infenſus ſibi Marcus eſſet, ob acta in prætorio, miſit ad eum epiſtolam, quæ non defenſionem, ſed expoſtula-

tionem continebat: atenim mirari ſe aiebat, quam ob rem ad ſe non amplius literas mitteret; cùm ſuperiori tempore ita crebro ſcriberet, vt tres aliquando tabellarij vna eadémque die ad ſe ab illo accederent, alij alios ſubſequentes. Imperator autem pluribus quidem ac de pluribus, mirifica certè indole literis admiſta, ad Herodem reſcripſit: è quibus ego quæ ad inſtitutum ſermonem faciunt excerpta declarabo. atque exordium quidem literarum hoc fuit: *Saluus mihi ſis, amice Herode*: deinde cùm de belli hibernis verba feciſſet, in quibus olim erat: & mulierem defleuiſſet recens ipſi mortuam, & adiunctis quibuſdam de corpuſculi imbecillitate, ſcribit deinceps: *Te verò & valere opto, ac de me, vt tibi beneuolo, ita cogitare; neque te iniuria affectum exiſtimare, ſi deprehenſis quibuſdam delinquentibus, animaduerſione in eos vſus ſum, quàm fieri potuit æqua: propter illa quidem ne mihi ſuccenſeas. quòd ſi te qua in re dolore affeci, aut tibi ſum moleſtus, expoſce à me pœnas, in templo Mineruæ oppidanæ, in myſteriis Initiorum. namque in votis habui quando bellum maximè accenſum erat, etiam ſacris initiari. Vtinam id fiat etiam te ſacrorum antiſtite.* Eiuſmodi fuit Marci apologia, adeóque benigna & valida. At quis vnquam eum quem exilio mulctauerit, ita eſt allocutus, aut dignum quem ita affaretur, ſolum vertere iuſſit? Quidam etiam rumor fuit Caſſium, qui Orienti præfectus erat, res nouas aduerſus Marcum molitum: Herodem verò increpaſſe ipſum per epiſtolam his paucis contextam, *Herodes Caßio: Inſanis.* hanc autē epiſtolam non tantum in-

A ἔγκλημα· θαυμάζειν γάρ, ἔφη, οὗ χάριν οὐκέτ᾽ αὐτῷ ἐπιστέλλοι. καίτοι τὸν πρὸ τοῦ χρόνον θαμὰ οὕτω γράφων, ὡς καὶ τρεῖς γραμματοφόρους ἀφικέσθαι ποτὲ παρ᾽ αὐτὸν ἐν ἡμέρᾳ μιᾷ κατὰ πόδας ἀλλήλων. καὶ ὁ αὐτοκράτωρ διὰ πλειόνων μέν, καὶ ὑπὲρ πλειόνων, θαυμάσιον δὲ ἦθος ἐγκαταμίξας τοῖς γράμμασιν, ἐπέστειλε πρὸς τὸν Ἡρώδην. ὧν ἐγὼ τὰ ξυντείνοντα ἐς τὸν παρόντα μοι λόγον ἐξηγῶν

B τῆς ἐπιστολῆς, δηλώσω. τὸ μὲν προοίμιον τῶν ἐπεσταλμένων, χαῖρέ μοι, φίλε Ἡρώδη. διαλεχθεὶς δὲ ὑπὲρ τῶν τοῦ πολέμου χειμαδίων, ἐν οἷς ἦν τότε, καὶ τὴν γυναῖκα ὀλοφυράμενος, ἄρτι αὐτῷ τεθνεῶσαν. εἰπών τέ τι καὶ περὶ τῆς τοῦ σώματος ἀσθενείας, ἐφεξῆς γράφει, Σὲ δὲ ὑγιαίνειν τε εὔχομαι, καὶ περὶ ἐμοῦ ὡς εὔνου σοι διανοεῖσθαι· μηδὲ ἡγεῖσθαι ἀδικεῖσθαι, εἰ καταφωράσας τινὰς πλημμε-

C λοῦντας, κολάσει ἐπ᾽ αὐτοῖς ἐχρησάμην, ὡς δὴ τῷ ἐπιεικεῖ. διὰ μὲν δὴ ταῦτα, μή μοι ὀργίζου. εἰ δέ τι λελύπηκά σε, ἢ λυπῶ, ἀπαίτησον παρ᾽ ἐμοῦ δίκας ἐν τῷ ἱερῷ τῆς ἐν ἄστει Ἀθηνᾶς, ἐν μυστηρίοις. ηὐξάμην γὰρ ὁπότε ὁ πόλεμος μάλιστα ἐφλέγμαινε, καὶ μυηθῆναι. εἴη δὲ καὶ σοῦ μυσταγωγοῦντος. Τοιάδε ἡ ἀπολογία τοῦ Μάρκου, καὶ οὕτω φιλάν-

D θρωπος, καὶ ἐρρωμένη. τίς ἂν οὖν ποτε, ἢ ὃν φυγῇ περιέβαλεν οὕτω προσεῖπεν, ἢ τὸν ἄξιον οὕτω προσρηθῆναι, φεύγειν ἔταξεν. ἔστι δέ τις λόγος, ὡς νεώτερα μὲν ὁ τὴν ἑῴαν ἐπιτροπεύων Κάσιος, ἐπὶ τὸν Μάρκον βουλεύοι· ὁ δὲ Ἡρώδης, ἐπιπλήξειεν αὐτῷ δι᾽ ἐπιστολῆς, ὧδε ξυγκειμένης, Ἡρώδης Κασίῳ, ἐμάνης. ταύτην δὲ τὴν ἐπιστολήν, μὴ μόνον

A ἐπίπληξιν ἡγώμεθα, ἀλλὰ καὶ ῥώμην ἀνδρὸς, ὑπὲρ τοῦ βασιλέως προτιθεμένου τὰ τῆς γνώμης ὅπλα. ὁ δὲ λόγος ὃν διῆλθε πρὸς τὸν Ἡρώδην ὁ Δημόστρατος, ἐν θαυμασίοις δοκεῖ. ἰδέα δὲ αὐτοῦ, ἡ μὲν τοῦ ἤθους, μία. τὸ γὰρ ἐμβριθὲς ἐκ προοιμίων εἰς τέλος διήκει τοῦ λόγου. αἱ δὲ τῆς ἑρμηνείας ἰδέαι, πολλαί, καὶ ἀνόμοιαι μὲν ἀλλήλαις, λόγου δὲ ἄξιαι. ἔστω τις καὶ τὸ δι' Ἡρώδην παρὰ τοῖς βασκάνοις εὐδοκιμεῖν τὸν λόγον· ἐπεὶ ἀνὴρ τοιοῦτος ἐν αὐτῷ κακῶς ἤκουσεν. ἀλλ' ὅπως γε καὶ πρὸς τὰς λοιδορίας ἔρρωτο, δηλώσει καὶ τὰ πρὸς τὸν κύνα Πρωτέα λεχθέντα ποτὲ ὑπ' αὐτοῦ Ἀθήνησιν. ἦν μὲν γὰρ τῶν οὕτω θαρραλέως φιλοσοφούντων ὁ Πρωτεὺς οὗτος, ὡς ἐς πῦρ ἑαυτὸν ἐν Ὀλυμπίᾳ ῥῖψαι. ἐπηκολούθει δὲ τῷ Ἡρώδῃ, κακῶς ἀγορεύων αὐτὸν ἡμιβαρβάρῳ γλώττῃ. ἐπιστραφεὶς οὖν ὁ Ἡρώδης, ἔστω, φησὶ, κακῶς με ἀγορεύεις, πρὸς τί καὶ οὕτως; ἐπικειμένου δὲ τοῦ Πρωτέως ταῖς λοιδορίαις, γεγηράκαμεν, ἔφη, σὺ μὲν κακῶς με ἀγορεύων, ἐγὼ δὲ ἀκούων. ἐνδεικνύμενος δήπου τὸ ἀκούειν μὲν, καταγελᾶν δὲ, ὑπὸ τοῦ πεπεῖσθαι τὰς ψευδεῖς λοιδορίας μὴ περαιτέρω ἀκοῆς ἥκειν. ἑρμηνεύσω τὴν γλῶτταν τοῦ ἀνδρὸς, ἐς χαρακτῆρα ἰὼν τοῦ λόγου. ὡς μὲν δὴ Πολέμωνα, καὶ Φαβωρῖνον, καὶ Σκοπελιανὸν, ἐν διδασκάλοις αὐτοῦ ἦγε· καὶ ὡς Σεκούνδῳ τῷ Ἀθηναίῳ ἐφοίτησεν, εἴρηταί μοι ἤδη. τοὺς δὲ κριτικοὺς τῶν λόγων, Θεαγένει τε τῷ Κνιδίῳ, καὶ Μουνατίῳ τῷ ἐκ Τράλλεων συνεγένετο, καὶ Ταύρῳ τῷ Τυρίῳ ἐπὶ ταῖς Πλάτωνος δόξαις. ἡ δὲ ἁρμονία τοῦ λόγου, ἱκανῶς κεκολα-

crepationem eſſe ducimus: ſed etiam robur viri pro Rege conſilij arma apponēte: verùm ſermo quem Demoſtratus apud Herodem recenſuit inter admirabiles videtur. Forma certè ipſius, quæ quidem mores exprimit, vnica eſt. Etenim grauitas ab exordio ad perorationem pertinet. ſed expoſitionis ideæ multæ ac diuerſæ inter ſe ſunt, & memoratu dignæ. concedatur vtiq; etiam propter Herodem apud inuidos
B celebrem & probatam eſſe orationem: quandoquidem hic vir per ſe malè audiit. ſed quî Herodes aduerſus conuicia munitus fuerit, ea quæ ad canem Proteū ab ipſo dicta ſunt aliquando Athenis, indicabunt. Enimuero hic Proteus ex iis fuit, qui ita audacter philoſophabantur, vt ſe ipſum Olympiæ in ignem iniecerit: & inſectabatur Herodem, malè de ipſo loquens ſemi-
C barbara lingua. Itaque ad eum conuerſus Herodes, Eſto, inquit, maledictis certas: ad quid verò ita malè dicis? vrgente verò, iterùm conuitiis Proteo, Conſenuimus, inquit, tu quidem mihi obtrectando, ego vero audiendo. quibus ſanè verbis oſtendebat, audire quidem, ſed irridere, quòd perſuaſum haberet conuicia falſa aures præteruolare. Iam oratores huius linguam exponā, ad genus dicendi
D accedens. vt Polemonem, & Fauorinum, & Scopelianum pro doctoribus habuerit; & ad Secundum Atheniēſem ventitarit; de hoc iam à me dictum eſt. quod ad iudiciales orationes attinet, eas conſcripſit cum Theagene, Cnidio, & Munatio Trallenſi conuerſatus, & cum Tauro Tyrio ſupor Platonis ſententiis. concinnitas autem ſermonis admodum caſtigata eſt; & ſub-

tilitas grauis ſubrepens; potius quàm premens: & plauſus cum ſecuritate, & ſonoritas Critiæ vocis æmula, & notiones quales non venirent alteri in mentem. Itemque Comica linguæ volubilitas, non aduentitia, ſed ex rebus nata: & ſuauis ſermo, & varia conformatione illuſtris, & inſigniter ac dilucidè variatus: ſpiritus non ita vehemens, ſed politus & ſedatus: atque vniuerſæ orationis idea, auri ramentum fluuij argenteis verticibus interlucens. Atenim antiquis omnibus incubuerat; Critiæ autem etiam intabuerat, atque ipſum ad mores Græcorum traduxerat, tunc neglectum & deſpectum. acclamante; denique ipſi Græcia, ipſumque vnum è decem nuncupante, à laude quæ magna videbatur, ſuperatus non eſt. ſed vrbaniſſimè eos qui collaudarant, affatus, Andocide certè (inquit) ſum melior. Ceterùm cùm maximè docilis & ingenioſus eſſet, laborem quoque non fugit; ſed & inter pocula ſtudiis operam dabat, & noctu per interualla ſomni: vnde ipſum ſaginatum oratorem contemptores & tenues rabulæ appellabant. quapropter alius alij bonus, alius alia in re melior altero: namque hic in ſubita & extemporanea dictione admirabilis eſt, alter in elaborando ſermonem: iſte verò in cunctis optimus Sophiſtarum: & vim affectus mouendi, non ex tragœdia tantùm; ſed ex rebus quoque humanis collegit. Epiſtolæ autem Herodis plurimæ ſunt, & diſſertationes & commentarij diariorum, & pugillares opportuni, vbi antiquæ eruditiones & flores paucis excerpti ſunt. porrò qui obiiciunt ipſi, quòd cùm iuuenis eſſet in Pæonia, è ſermone aliquo exciderit coram Imperatore, igno-

A σμικρὴ· καὶ ἡ δεινότης ὑφέρπουσα μᾶλλον, ἢ ἐγκειμένη. κρότος τε σὺν ἀσφαλείᾳ, καὶ Κριτιάζουσα ἠχὼ, καὶ ἔννοιαι, οἷαι μὴ ἑτέρῳ ἐνθυμηθῆναι. κωμικὴ τε ἡ εὐγλωττία οὐκ ἐπείσακτος, ἀλλ' ἐκ τῶν πραγμάτων. καὶ ἡδὺς ὁ λόγος, καὶ πολυσχημάτιστος, καὶ εὐσήμων, καὶ σαφῶς ἐξαλλάττων. τὸ πνεῦμά τε οὐ σφοδρὸν, ἀλλὰ λεῖον, καὶ καθεστηκός. καὶ ἡ ἐπίπαν ἰδέα τοῦ λόγου, χρυσοῦ ψῆγμα ποταμῷ
B ἀργυροδίνῃ ὑπαυγάζον. προσέκειτο μὲν γὰρ πᾶσι τοῖς παλαιοῖς. Κριτίᾳ δὲ καὶ προσετετήκει. καὶ παρήγαγεν αὐτὸν ἐς ἤθη Ἑλλήνων, τέως ἀμελούμενον, καὶ περιορώμενον. βοώσης δὲ ἐπ' αὐτὸν τῆς Ἑλλάδος, καὶ καλούσης αὐτὸν ἕνα τῶν δέκα, οὐχ ἡττήθη τοῦ ἐπαίνου μεγάλου δοκοῦντος, ἀλλ' ἀστειότατα πρὸς τοὺς ἐπαινέσαντας, Ἀνδοκίδου μὲν, ἔφη, βελ-
C τίων εἰμί. εὐμαθέστατος δὲ ἀνθρώπων γενόμενος, οὐδὲ τοῦ πονεῖν ἠμέλησεν· ἀλλὰ καὶ περὶ πότον ἐσπούδαζε, καὶ νύκτωρ ἐν τοῖς διαλείμμασι τῶν ὕπνων. ὅθεν ἐκάλουν αὐτὸν σιτευτὸν ῥήτορα οἱ ὀλίγωροί τε, καὶ λεπτοί. ἄλλος μὲν οὖν ἄλλῳ ἀγαθὸς, καὶ ἄλλος ἐν ἄλλῳ βελτίων ἑτέρου. ὁ μὲν γὰρ, σχεδιάσαι θαυμάσιος. ὁ δὲ, ἐκπονῆσαι λόγον· ὁ δὲ, τὰ ξύμπαντα
D ἄριστος τῶν σοφιστῶν· καὶ τὸ παθητικὸν, οὐκ ἐκ τῆς τραγῳδίας μόνον, ἀλλὰ κἀκ τῶν ἀνθρωπίνων συνελέξατο. ἐπιστολαὶ δὲ πλεῖσται Ἡρώδου, καὶ διαλέξεις, καὶ ἐφημερίδες. ἐγχειρίδιά τε καίρια, τὴν ἀρχαίαν πολυμάθειαν ἐν βραχεῖ ἀπηνθισμένα. *οἱ δὲ προφέροντες αὐτῷ νέῳ ὄντι ἐν Παιονίᾳ τὸ λόγου τινὸς ἐκπεσεῖν ἐπὶ τοῦ αὐτοκράτορος, ἠγνοη- (γρ. χ. ἐπίθημα.)

κέναι μοι δοκοῦσιν. ὅτι καὶ Δημοσθένης ἐπὶ Φιλίππου λέγων, ταὐτὸν ἔπαθε. κἀκεῖνος μὲν, ἥκων Ἀθήναζε, τιμὰς προσῄτει καὶ στεφάνους, ἀπολωλυίας Ἀθηναίοις Ἀμφιπόλεως. Ἡρώδης δὲ ἐπεὶ τοῦτο ἔπαθεν, ἐπὶ τὸν Ἴστρον ἦλθεν, ὡς ῥίψων ἑαυτόν. τοσοῦτον γὰρ αὐτῷ περιῆν τοῦ ἐν λόγοις βούλεσθαι ὀνομαστῷ εἶναι, ὡς θανάτου τιμᾶσθαι τὸ σφάλλεσθαι. ἐτελεύτα μὲν οὖν ἀμφὶ τὰ ἓξ καὶ ἑβδομήκοντα, ξυντακὴς γενόμενος. ἀποθανόντος δὲ αὐτοῦ ἐν τῷ Μαραθῶνι, καὶ ἐπισκήψαντος τοῖς ἀπελευθέροις ἐκεῖ θάπτειν, Ἀθηναῖοι ταῖς τῶν ἐφήβων χερσὶν ἁρπάσαντες, ἐς ἄστυ ἤνεγκαν, προαπαντῶντες τῷ λέχει πάσῃ ἡλικίᾳ δακρύοις ἅμα, καὶ εὐφημοῦντες, ὅσα παῖδες χρηστοῦ πατρὸς χηρεύσαντες. καὶ ἔθαψαν ἐν τῷ Παναθηναϊκῷ, ἐπιγράψαντες αὐτῷ βραχὺ καὶ πολὺ ἐπίγραμμα. τὸ δὲ ἐπίγραμμα, (πάντα,

Ἀττικοῦ Ἡρώδης Μαραθώνιος, οὗ τάδε

Κεῖται τῷδε τάφῳ, πάντοθεν εὐδόκιμος.

τοσαῦτα περὶ Ἡρώδου τοῦ Ἀθηναίου τὰ μὲν, εἰρημένα, τὰ δὲ, ἠγνοημένα ἑτέροις.

A rare mihi videntur, Demoſtheni etiam apud Philippum dicenti idem accidiſſe. Atque ille quidem Athenas ſe conferens, honores & coronas poſcebat, Amphipoli Athenienſibus perdita. At Herodes illud perpeſſus, ad Iſtrum venit, vt præcipitem ſe daturus; tantum ipſi ſtudium fuit famam & nominis celebritatem ex eloquio adipiſcendi, vt errare & labi morte mulctandum æſtimaret. Diem ſuum obiit anno ætatis circiter ſexto & ſeptua- B geſimo, tabe conſumptus. eo mortuo in Marathone, cùm libertinis vltimis verbis mādaſſet, vt ſeibi ſepelirent; Athenienſes è manibus adoleſcentium ereptum, ad oppidum tulerunt: atque omnis ætas funebri lecto occurrens, cum lacrymis & elogiis tanquā liberi patre bono orbati, mox eum in Panathenaïco ſepelierunt; ſuperaddito breui & concinno epitaphio: quod eiuſmodi fuit.

C *Hîc ſitus Herodes Marathonius, Atticus olim*

Hunc genuit, celebri nomine, & ingenio.

Atque hæc hactenus de Herode Athenienſi, partim ab aliis memorata, partim etiam ignorata.

ΘΕΟΔΟΤΟΣ.

Ἐπὶ τὸν σοφιστὴν Θεόδοτον, καλεῖ με ὁ λόγος. οὗτος προὔστη μὲν τοῦ Ἀθηναίων δήμου κατὰ χρόνους, οὓς προσέκρουον Ἡρώδῃ Ἀθηναῖοι. καὶ ἐς ἀπέχθειαν φανερὰν οὐδεμίαν τῷ ἀνδρὶ ἀφίκετο, ἀλλ' ἀφανῶς αὐτὸν ὑπεκάθητο, δεινὸς ὢν χρῆσθαι πράγμασι. καὶ γὰρ δὴ καὶ τῶν ἀγοραίων εἷς οὗτος. τοῖς γοῦν ἀμφὶ τὸν Δημόστρατον οὕτω ξυνεκέκρατο, ὡς

THEODOTVS.

Ad Theodotum Sophiſtam inuitat me oratio. hic præfuit Athe- D nienſium populo, quo tempore Athenienſes cum Herode diſſidebant. atque ad nullum apertum odium cum viro deſcendit, ſed occultè ipſi ſubſidendo inſidiabatur; callidus in vtendo rebus & foro: Etenim è vulgaribus forenſibúſque hic vnus fuit. Itaque cum Demoſtrato ſic temperauit, & coniunxit ſe; vt

eadem opera orationes conderentur, quas elaborauerant aduerſus Herodem. hic iuuentuti Athenienſium primus præfectus fuit, ſuper innumeris à Rege inſtitutis: neque tamen hoc valde memorabile eſt; non enim omnes, qui ſedem hanc obtinent, memoria digni ſunt. ſed quia Platonicos & Stoïcos Philoſophos & Peripateticos, atque ipſum Epicurum, Marcus Herodi iniunxerat diiudicare: hunc autem virum Herodes iuuenib. conſtituerat, quam de illo habuit opinione impulſus: cùm eum propugnatorem ciuilium ſermonum appellaſſet, & oratoriæ artis emolumentum. Ceterùm hic Lolliani quidem auditor fuit; necnon Herodem interdum audiuit. ac vixit pluſquam quinquagenarius, biennio cathedra occupata. genere dicendi idoneo etiam in iuridicis, & iis qui Sophiſtæ virtutes excedunt.

A καὶ ξυναρπάσαι σφίσι τῶν λόγων, οὓς ἐξεπόνουν πρὸς τὸν Ἡρώδην. προέστη δὲ καὶ τῆς Ἀθηναίων νεότητος πρῶτος ἐπὶ ταῖς ἐκ βασιλέως* μυρίαις. καὶ οὐ τοῦτό που λόγου ἄξιον. οὐ γὰρ πάντες οἱ ἐπιβατεύοντες τοῦ θρόνου τούτου λόγου ἄξιοι. ἀλλ᾽ ὅτι τοὺς μὲν Πλατωνείους, καὶ τοὺς ἀπὸ τῆς στοᾶς, καὶ τοὺς ἐκ τοῦ περιπάτου, καὶ αὐτὸν Ἐπίκουρον, προσέταξεν ὁ Μάρκος τῷ Ἡρώδῃ κρῖναι. τὸν δὲ ἄνδρα τοῦτον, ἀπὸ τῆς B περὶ αὐτὸν δόξης, αὐτὸς ἐπέκρινε τοῖς νέοις, ἀγωνιστὴν τῶν πολιτικῶν προσειπὼν λόγων, καὶ ῥητορικῆς ὄφελος. ὁ δὲ ἀνὴρ οὗτος, Λολλιανοῦ μὲν ἀκροατής, Ἡρώδου δὲ οὐκ ἀνήκοος. ἐβίω μὲν ὑπὲρ τὰ πεντήκοντα, δυοῖν ἐτοῖν καταρχὼν τοῦ θρόνου. τὴν δὲ ἰδέαν τῶν λόγων, ἀποχρῶν καὶ τοῖς δικανικοῖς, καὶ τοῖς ὑπὲρ σοφιστεύουσιν.

* ἴσ. κωείαις

C

ARISTOCLES.

Magni nominis eſt etiam inter Sophiſtas Ariſtocles, è Pergamo oriundus: de quo ea quæ à ſenioribus audiui, enuntiabo. Atenim vir hic in Conſularium numerum relatus fuit. Et cùm tempus inter pueritiam & pubertatem interiectum, ſermonib. philoſophicis ſcholæ Peripateticæ impendiſſet; ad Sophiſtas ſe tranſtulit, dum Romæ frequentaret Herodem extemporaneas diſſertationes diſponentem. Interim verò, qui dum philoſopharetur ſquallidus, & ſeuero vultu, ac illuuie deformis videbatur, molles mox induit veſtes, & ſquallorem abiecit: voluptates præterea omnes ex fidibus, & tibiis & concentu vocum, ad victus rationem induxit, ſibi quaſi ad portas accedentes. nam ſuperiori tempore admodum

ΑΡΙΣΤΟΚΛΗΣ.

Ὀνομαστὸς ἐν σοφισταῖς, καὶ Ἀριστοκλῆς ὁ ἐκ τοῦ Περγάμου. ὑπὲρ οὗ δηλώσω ὁπόσα τῶν πρεσβυτέρων ἤκουον. ἐτέλει μὲν γὰρ ἐς ὑπάτοις ὁ ἀνὴρ οὗτος. τὸν δὲ ἐκ παίδων ἐς ἥβην χρόνον, τοὺς ἀπὸ τοῦ περιπάτου φιλοσοφήσας λόγους, ἐς τοὺς σοφιστὰς μετερρύη, θαμίζων ἐν D τῇ Ῥώμῃ τῷ Ἡρώδῃ διατιθεμένῳ σχεδίους λόγους. ὃν δὲ ἐφιλοσόφει χρόνον, αὐχμηρὸς δοκῶν, καὶ τραχὺς τὸ εἶδος, καὶ δυσαντής, τὴν ἐσθῆτα ἥβρυνε· καὶ τὸν αὐχμὸν ἀπετρίψατο· ἡδονὰς δέ, ὁπόσαι λυρῶν τε, καὶ αὐλῶν, καὶ συμφωνίαι εἰσὶ, πάσας ἐσηγάγετο ἐπὶ τὴν δίαιταν, ὥσπερ ἐπὶ θύρας αὐτῷ ἡκούσας. τὸν γὰρ πρὸ τοῦ χρόνου, αὐτῷ

κεκολασμένος* ἀτάκτως ἐς τὰ θέατρα ἐφοίτα, καὶ ἐπὶ τὴν τούτων ἠχώ. εὐδοκιμοῦντι δὲ αὐτῷ κατὰ τὸ Πέργαμον, κἀξηρτημένῳ πᾶν τὸ Ἑλληνικόν, ἐξελαύνων ὁ Ἡρώδης ἐς Πέργαμον, ἔπεμψε τοὺς ἑαυτοῦ ὁμιλητὰς πάντας καὶ τὸν Ἀριστοκλέα εἶδεν, ὥσπερ τις Ἀθηνᾶς ψῆφος. ἡ δὲ ἰδέα τοῦ λόγου, διαυγὴς μέν, καὶ Ἀττικίζουσα, διαλέγεσθαι δὲ ἐπιτηδεία μᾶλλον, ἢ ἀγωνίζεσθαι.* χολὴ τε γὰρ ἄπεστι τοῦ λόγου, καὶ ὁρμαὶ πρὸς βραχύ. αὐτή τε ἡ Ἀττίκισις εἰ παρὰ τὴν Ἡρώδου γλῶτταν βασανίζοιτο, λεπτολογεῖσθαι μᾶλλον δόξει ἢ κρότου τε καὶ ἠχοῦς ξυγκεῖσθαι. ἐτελεύτα δὲ ὁ Ἀριστοκλῆς μεσαιπόλιος, ἄρτι προσβαίνων τῷ γηράσκειν.

A caſtigatè modeſtéque ad theatra eorúmque auditiones ventitabat. Is cùm Pergami eloquentiæ laude floreret, atque omnem ad ſe Græciam alliceret, Herodes Pergamũ adiens omnes familiares ſuos miſit, & Ariſtoclẽ vidit; quemadmodũ quoddã Mineruæ ſuffragium. Huius dicendi genus, lucidum quidem eſt, Atticúmque ſaporem redolens: verùm aptius ad diſſertationes, quàm ad certamina. enimuerò bilis à ſermone abeſt, & impetus rari B perbreuéſque: atque Atticiſmus ipſe ſi cum Herodis lingua expendatur, exiliter de tenui re diſſerere potius videbitur, quàm plauſum acclamationémque mereri. È viuis exceſſit Ariſtocles, ſparſo iam canis capite, & ſenectutem proſpiciens.

ΑΝΤΙΟΧΟΣ.

Ἀντίοχον δὲ τὸν σοφιστὴν αἱ Κιλίκων Αἰγαὶ ἤνεγκαν, οὕτω τι εὐπατρίδην, ὡς νῦν ἔτι τὸ ἀπ᾽ αὐτοῦ γένος, ὑπάτους εἶναι. αἰτίαν δὲ ἔχων δειλίας, ἐπεὶ μηδὲ παρῄει εἰς τὸν δῆμον, μηδὲ ἐς τὸ κοινὸν ἐπολίτευεν, οὐχ ὑμᾶς, εἶπεν, ἀλλ᾽ ἐμαυτὸν δέδοικα, εἰδὼς που τὴν ἑαυτοῦ χολὴν ἄκρατόν τε, καὶ οὐ καθεκτὴν οὖσαν, ἀλλ᾽ ὅμως ὠφέλει τοὺς Αἰγαίους ἀπὸ τῆς οὐσίας ὅ,τι ἠδύνατο, σῖτόν τε ἐπιδιδοὺς ὁπότε τούτου δεομένοις αἴσθοιτο, καὶ χρήματα ἐς τὰ πεπονηκότα τῶν ἔργων. τὰς δὲ πλείους τῶν νυκτῶν ἐς τὸ τοῦ Ἀσκληπιοῦ ἱερὸν ὑπεκάθευδεν, ὑπέρ τε ὀνειράτων, ὑπέρ τε ξυνουσίας, ὁπόση ἐγρηγορότων τε, καὶ διαλεγομένων ἀλλήλοις. διελέγετο γὰρ αὐτῷ καὶ ἐγρηγορότι ὁ θεός, καλὸν ἀγώνισμα ποιούμενος τῆς ἑαυτοῦ τέχνης, τὸ ταῖς νόσοις τοῦ Ἀντιόχου ἐρύκειν.

ANTIOCHVS.

Antiochum Sophiſtam Ægæ Cilicum C tulerunt, vſque adeò nobilitate illuſtri, vt etiam nunc eius poſterum genus Conſulatus geſſerat. inſimulatus vitio timiditatis, eò quòd in cœtum popularem non conueniret, neque in publico quidquam adminiſtraret, Non vos (inquit) ſed me ipſum metuo. cùm probè noſſet bilem ſuam ita ſæuam eſſe vt vix coërceri ac refrenari poſſet. veruntamen Ægæos facultatibus ſuis pro virili adiuuabat, & D frumenta largiens, cùm illos illis egere adiuuabat, & pecunias ad opera publicè edita. Pleraſque autem noctes in Æſculapij fano, dormiens tranſigebat, tum ad inſomnia, tum ad colloquia qualia ſunt vigilantes & diſſerentes inter ſe fruuntur, percipienda. Etenim cum ipſo etiã vigilante Deus diſſertabat, præclarum artis ſuæ certamen edens, quod Antiochi morbos arceret.

hic auditor Dardani Aſſyrij à pueritia fuerat: ſed progreſſus in adoleſcentiam Dionyſij Mileſij, qui iam Epheſiorum ſedem detinebat. igitur, non aptè quidem & concinnè diſſerebat: ſed cùm prudentiſſimus hominum euaſiſſet, vt iuuenile quiddam exagitabat, vt hoc deſpicere potius, quàm ab eo ſuperari videretur: ſed in declamationum genere eloquentiſſimus fuit: nam ſecurus ac firmus eſt in cauſis quæ per figuram procedunt: vehemens in accuſationibus & illationibus; decorus etiam in defenſionibus, atque in morali pollens: in ſumma, orationis eius idea formáve, argutior eſt forenſi, Sophiſtica verò magis iudicialis idem affectus optimè Sophiſtarum mouebat. neq; enim lugubres monodias producebat, neque lamentationes ſubiectas, ſed conciſo in iis ſermone vtebatur. cum ſententiis dictione præſtantioribus: vt cùm ex aliis controuerſiis patet, tum vel maximè ex his. *Virgo vim perpeſſa, mortem eius qui vim intulerat, optauit; poſtea natus eſt infans, è violento compreſſu. hinc altercantur aui, apud quem ipſorũ educaretur. Qui ergo pro auo paterno contendit, Redde (inquit) infantẽ; redde iam priuſquã maternum lac guſtarit.* Altera controuerſia eiuſmodi eſt. *Tyrannum depoſito imperio, quò latere poſſet, Eunuchus quidam ab ipſo factus interfecit, & pro cede cauſſam dicit.* Hîc, vt firmiſſimũ caput accuſationis, de ſeriis rebus ſermonem refutauit; circunſpectione adhibita affectui; *Quibus enim hæc confeſſus eſt? pueris? mulierculis? adoleſcentulis? ſenibus? viris? Equidem nomen in pactis*

A ἀκροατὴς Ἀντίοχος ἐν παισὶ μὲν, Δαρδάνου τοῦ Ἀσσυρίου, προϊὼν δὲ ἐς τὰ μειράκια, Διονυσίου Μιλησίου, κατέχοντος ἤδη τὸ Ἐφεσίων. διελέγετο μὲν οὖν οὐκ ἐπιτηδείως· φρονιμώτατος δὲ ἀνθρώπων γενόμενος, διέβαλλεν ὡς μειρακιῶδες, ἵνα ὑπερεωρακὼς αὐτοῦ μᾶλλον, ἢ λειπόμενος φαίνοιτο. τὰ δὲ ἀμφὶ μελέτας, ἐλλογιμώτατός ἐστιν. ἀσφαλὴς μὲν γὰρ ἐν ταῖς κατὰ σχῆμα προεσχημέ-
B ναις τῶν ὑποθέσεων. σφοδρὸς δὲ ἐν ταῖς κατηγορίαις, καὶ ἐπιφοραῖς. εὐπρεπὴς δὲ τὰς ἀπολογίας, καὶ τῷ ἠθικῷ ἰσχύων, καὶ καθάπαξ τὴν ἰδέαν τοῦ λόγου, δικανικῆς μὲν σοφιστικώτερος, σοφιστικῆς δὲ, δικανικώτερος· καὶ τὰ πάθη ἄριστα σοφιστῶν μετεχειρίσατο. οὐ γὰρ μονῳδίας ἀπεμήκυνεν, οὐδὲ θρήνους ὑποκειμένους· ἀλλ᾽ ἐβραχυλόγει αὐτὰ ξὺν διανοίαις λόγου κρείττοσιν, ὡς ἐν τε
C τῶν ἄλλων ὑποθέσεων δηλοῦται, καὶ μάλιστα ἐν τῶνδε. κόρη βιασθεῖσα θάνατον ᾕρηται τοῦ βιασαμένου. μετὰ ταῦτα, γέγονε παιδίον ἐκ τῆς βίας· καὶ διαμιλλῶνται οἱ πάπποι παρ᾽ ὁποτέρῳ τρέφοιτο ἄν. ἀγωνιζόμενος οὖν ὑπὲρ τοῦ πρὸς πατρὸς πάππου· ἀπόδος, ἔφη, τὸ παιδίον ἀπόδος ἤδη, πρὶν γεύσηται μητρῴου γάλακτος. ἡ δὲ ἑτέρα
D ὑπόθεσις, τοιάδε τις. τύραννον καταθέμενον τὴν ἀρχὴν, ἐπὶ τῷ ἐκκεκλῆσθαι, ἀπέκτεινέ τις εὐνοῦχος ὑπ᾽ αὐτοῦ γεγονὼς, καὶ ἀπολογεῖται ὑπὲρ τοῦ φόνου. ἐνταῦθα τὸ μάλιστα ἐρρωμένον τῆς κατηγορίας, τὸν περὶ τῶν σπουδαίων λόγον ἀπεώσατο, περίνοιαν ἐγκαταμίξας τῷ πάθει. ποῖ γὰρ ταῦτα ὡμολόγησε; παισί; γυναίοις; μειρακίοις; πρεσβύταις; ἀνδράσιν; ἐγὼ δὲ ὄνομα ἐν ταῖς

συνθήκαις οὐκ ἔχω. ἄριστα δὲ καὶ ὑπὲρ A τῶν Κρητῶν ἀπολελόγηται, τῶν κρινομένων ἐπὶ τῷ τοῦ Διὸς σήματι, φυσιολογίᾳ τε, καὶ θεολογίᾳ πάσῃ ἐναγωνισάμενος λαμπρῶς. τὰς δὲ μελέτας, αὐτοσχεδίους ἐποιεῖτο. ἔμελε δὲ καὶ φροντισμάτων, ὡς ἕτερά τε δηλοῖ τῶν ἐκείνου, καὶ μάλιστα ἡ ἱστορία· ἐπίδειξιν γὰρ ἐν αὐτῇ πεποίηται λέξεώς τε, καὶ ἱστορίας ἐκπονῶν ἐς αὐτὸν καὶ τὸ φιλοκαλεῖν. περὶ τελευτῆς τοῦ ἀνδρὸς, οἱ μὲν, B ἑβδομηκοντούτην τεθνάναι αὐτόν· οἱ δὲ, οὔπω. καὶ οἱ μὲν, οἴκοι. οἱ δὲ, ἑτέρωθι.

A *non habeo.* Idem optimè quoque pro Cretenſib. cauſſam egit, qui accuſabantur ob Iouis ſepulcrũ, ex naturali philoſophia, & omni diuinarum rerum ſcientia ſplẽdidè controuerſatus. Ceterùm declamationes extẽporaneas faciebat: cordi etiam habuit ſeria & operoſa argumẽta, ſicut cùm pleraq; illius indicant, tum vel maximè hiſtoria. ſedenim ſpecimen in ipſa dedit, & dictionis & hiſtoriæ, vt in ea quoque opera honeſti ſtudium emineat. Quòd ad eius obi- B tum ſpectat, quidam ſeptuagenariũ ferunt mortuum eſſe, alij cùm nondum attigiſſet hanc ætatem; atquè alij domi, alij alibi obiiſſe ſcribunt.

ΑΛΕΞΑΝΔΡΟΣ.

Ἀλεξάνδρῳ δὲ, ὃν Πηλοπλάτωνα οἱ πολλοὶ ἐπωνόμαζον, πατρὶς μὲν ἦν Σελεύκεια, πόλις οὐκ ἀφανὴς ἐν Κιλικίᾳ, πατὴρ δὲ ὁμώνυμος, καὶ τοὺς ἀγοραίους λόγους ἱκανώτατος. μήτηρ, περιττὴ τὸ εἶδος, ὡς αἱ γραφαὶ ἑρμηνεύουσι, καὶ προσφερὴς τῇ τοῦ Εὐμήλου Ἑλένῃ· Εὐμήλῳ γάρ τις Ἑλένη γέγραπται, οἷα ἀνάθημα εἶναι τῆς Ῥωμαίων ἀγορᾶς· ἐρασθῆναι μὲν τῆς γυναικὸς ταύτης, καὶ ἑτέρους μὲν, ἐπιδήλως δὲ Ἀπολλώνιόν φασι τὸν Τυανέα. καὶ τοὺς μὲν ἄλλους, ἀπαξιῶσαι. τῷ δὲ Ἀπολλωνίῳ ξυγγενέσθαι δι᾽ ἔρωτα εὐπαιδίας, ἐπειδὴ θειότερος D ἀνθρώπων. τοῦτο μὲν δὴ ὁπόσοις τρόποις ἀπίθανον, εἴρηται σαφῶς ἐν τοῖς εἰς Ἀπολλώνιον. θεοειδὴς δὲ ὁ Ἀλέξανδρος, καὶ περίβλεπτος σὺν ὥρᾳ. γενειάς τε γὰρ ἦν αὐτῷ βοστρυχώδης, καὶ καθειμένη τὸ μέτριον· ὄμμα τε ἁβρὸν, καὶ μέγα· ῥὶς ξύμμετρος, καὶ ὀδόντες λευκότατοι·

ALEXANDER.

Alexandro, quem Peloplatonem (quaſi luteum Platonem) plerique cognominabant, patria quidem Seleucia fuit, ciuitas non ignobilis in Cilicia: pater eodem nomine C appellatus, in forenſibus orationibus maximè exercitatus fuerat. mater eximia forma, vt picturæ teſtantur, atque Euméli Helenæ aſſimilis (namque ab Eumélo Helena quædam picta erat eiuſmodi, vt conſecrata eſſet Romano foro) & eius mulieris amore cùm alios arſiſſe, tum inſigniter Apollonium Tyanea ferunt: eámq; ceteros quidem dedignatã fuiſſe, Apollonij verò conſuetudinem habuiſſe, felicis prolis de- D ſiderio, quia hominibus diuinior erat. verùm quot modis id à veriſimili abhorreat, apertè dictum eſt in libris de vita Apollonij. Diuina certè forma præditus Alexander fuit, & conſpicuus cum venuſtate. etenim barba illi fuit cincinnata & mediocriter promiſſa: oculi molles & magni, nares proportione modulatæ, & candidiſſimi dentes; digiti

digiti oblongi, & rationis habenis congruentes. opes quoque ipſe in voluptates non reprehendendas impendebat. virilem verò ætatem cùm attigiſſet, legationem obiit pro Seleucia ad Antoninum primum. calumniæ porrò in ipſum graſſatæ ſunt, quod ſpecie ſua iuuentutem ineſcaret. Sed cùm ipſi minus attendere videretur Imperator; hic elata voce Alexandro, Attende, inquit, mihi, Cæſar. tum irritatus in eum Rex, quòd audaciori voce vſus eſſet, *Attendo*, inquit, *téq; noui. Enimuerò tu is es qui comam alis, & dentes fricas, & vngues radis, & vnguentum ſemper oles.* magnam certè vitæ partem Antiochiæ degit, & Romæ, & Tarſis, ac per omnem ſanè Ægyptum: nam ad Nudorum etiam ſapientum loca perrexit. perpaucæ verò huius viri occupationes Athenis fuerunt: non eiuſmodi tamen quæ ignorari debeant; etenim ad Pæonias gentes ſe contulerat, acceſſitus à Marco Imperatore, cuius illic erat exercitus, & à quo mandatum acceperat ſcribendi ad Græcos. quare profectus Athenas: (eſt autem interuallum itineris non mediocris ei qui ab Oriẽte pergit) *Hîc* (inquit) *genu flectamus*. & hoc dicto, pollicitus eſt Athenienſibus, cupidis eum auſcultandi, ſermones extemporaneos. Deinde audiens Herodem in Marathone commorari, & iuuentutem omnem eum comitatam, ſcribit ad ipſum literas, quibus Græcos petebat. cui Herodes, *Veniam* (inquit) *& ipſe cum Græcis.* Interim ad theatrum in Ceramico, quòd quidem Agrippéum nominatum eſt, ſunt congregati.

A δάκτυλοί τε εὐμήκεις, καὶ τῇ τοῦ λόγου ἡνίᾳ * ἐπιπρέποντες. ἦν δὲ αὐτῷ καὶ πλοῦτος δαπανώμενος ἐς ἡδονὰς οὐ μεμπτάς. ἐς δὲ ἄνδρας ἥκων, ἐπρέσβευε μὲν ὑπὲρ τῆς Σελευκείας παρὰ τὸν πρῶτον Ἀντωνῖνον. διαβολαὶ δὲ ἐπ' αὐτὸν ἐφοίτησαν, ὡς νεότητα ἐπιποιοῦντα τῷ εἴδει. ἧττον δὲ αὐτῷ προσέχειν δοκοῦντος τοῦ βασιλέως, ἐπάρας τὴν φωνὴν ὁ Ἀλέξανδρος, πρόσεχέ μοι, ἔφη,
B Καῖσαρ. καὶ ὁ αὐτοκράτωρ παροξυνθεὶς πρὸς αὐτὸν, ὡς θρασυτέρᾳ τῇ φωνῇ χρησάμενον, προσέχω, ἔφη, συνίημί σου· σὺ γάρ ὁ τὴν κόμην ἀσκῶν, καὶ τοὺς ὀδόντας λαμπρύνων, καὶ τοὺς ὄνυχας ξέων, καὶ τοῦ μύρου ἀεὶ πνέων. τὸ μὲν δὴ πλεῖστον τοῦ βίου, τῇ Ἀντιοχείᾳ ἐνεσπούδαζε, καὶ τῇ Ῥώμῃ, καὶ τοῖς Ταρσοῖς, καὶ νὴ Δία Αἰγύπτῳ πάσῃ. ἀφίκετο γὰρ καὶ ἐς τὰ τῶν γυμνῶν ἤθη. αἱ δὲ Ἀθήνησι
C διατριβαὶ τοῦ ἀνδρὸς, ὀλίγαι μὲν, οὐκ ἄξιαι δὲ ἀγνοεῖσθαι. ἐβάδιζε μὲν γὰρ ἐς τὰ Παιονικὰ ἔθνη, * κατακληθεὶς ὑπὸ [in. [illegible]] Μάρκου βασιλέως ἐκεῖ στρατεύοντος, καὶ δεδωκότος αὐτῷ τὸ ἐπιστέλλειν Ἕλλησιν. ἀφικόμενος δὲ ἐς τὰς Ἀθήνας, ὁδοῦ δὲ μῆκος τοῦτο οὐ μέτριον τῷ ἐκ τῆς ἑῴας ἐλαύνοντι, ἐνταῦθα, ἔφη, γόνυ κάμψωμεν. καὶ εἰπὼν τοῦ-
D το, ἐπήγγελε τοῖς Ἀθηναίοις αὐτοσχεδίους λόγους ἐρῶσιν αὐτοῦ τῆς ἀκροάσεως. ἀκούων δὲ τὸν Ἡρώδην ἐν Μαραθῶνι διαιτώμενον, καὶ τὴν νεότητα ἐπακολουθοῦσαν αὐτῷ πᾶσαν, γράφει πρὸς αὐτὸν ἐπιστολὴν, αἰτῶν τοὺς Ἕλληνας. ἐπεὶ * ὁ Ἡρώδης, ἀφίξομαι, ἔφη, μετὰ τῶν Ἑλλήνων καὶ αὐτός. ξυνελέγοντο μὲν δὴ ἐς τὸ ἐν τῷ Κεραμικῷ θέατρον, ὃ δὴ ἐπωνόμασται Ἀγριππεῖον. [in. [illegible]]

προϊούσης δὲ ἤδη τῆς ἡμέρας, καὶ τοῦ Ἡρώδου βραδύνοντος, ἤσχαλλον οἱ Ἀθηναῖοι, ὡς ἐκλυομένης τῆς ἀκροάσεως, καὶ τέχνην αὐτοῦ ᾤοντο. ὅθεν ἀνάγκη τῷ Ἀλεξάνδρῳ ἐγίνετο, παρελθεῖν ἐπὶ τὴν διάλεξιν, καὶ πρὶν ἥκειν τὸν Ἡρώδην. ἡ μὲν δὴ διάλεξις, ἔπαινοι ἦσαν τοῦ ἄστεος, καὶ ἀπολογία, πρὸς τοὺς Ἀθηναίους ὑπὲρ τοῦ μήπω πρότερον πρὸς αὐτοὺς ἀφῖχθαι· εἶχε δὲ ἀποχρῶν μῆκος· Παναθηναϊκοῦ γὰρ λόγου ἐπιτομῇ εἴκαστο. εὐσταλὴς δὲ οὕτω τοῖς Ἀθηναίοις ἔδοξεν, ὡς καὶ βόμβον διῆλθεῖν αὐτῶν, ἔτι σιωπῶντος, ἐπαινεσάντων αὐτοῦ τὸ εὔσχημον. ἡ μὲν δὴ νενικηκυῖα ὑπόθεσις, ὁ τοὺς Σκύθας ἐπανάγων ἐς τὴν προτέραν πλάνην, ἐπειδὴ πόλιν οἰκοῦντες νοσοῦσι. καιρὸν δ' ἐπισχὼν βραχὺν, ἀνεπήδησε τοῦ θρόνου φαιδρῷ τῷ προσώπῳ, καθάπερ εὐαγγέλια ἐπάγων τοῖς ἀκροωμένοις, ὧν εἰπεῖν ἔχοι. περιιόντος δὲ αὐτῷ τοῦ λόγου, ἐπέστη ὁ Ἡρώδης Ἀρκάδι πίλῳ τὴν κεφαλὴν σκιάζων, ὡς ἐν ὥρᾳ θέρους εἰώθει Ἀθήνησιν· ἴσως δέ που καὶ ἐνδεικνύμενος αὐτῷ τὸ ἐκ τῆς ὁδοῦ ἥκειν. καὶ ὁ Ἀλέξανδρος ἔνθεν ἑλὼν, διελέχθη μὲν ἐς τὴν παρουσίαν τοῦ ἀνδρὸς ὑποσέμνῳ τῇ λέξει, καὶ ἠχούσῃ. ἐπ' αὐτῷ δὲ ἔθετο εἴτε βούλοιτο τῆς ἤδη σπουδαζομένης ὑποθέσεως ἀκροᾶσθαι, εἴτε ἑτέραν αὐτὸν δοῦναι. τοῦ δὲ Ἡρώδου ἄνω βλέψαντος ἐς τοὺς ἀκροωμένους, καὶ εἰπόντος ποιήσειν ὅπερ ἂν ἐκείνοις δόξῃ, πάντες ξυνεπένευσαν ἐς τὴν τῶν Σκυθῶν ἀκρόασιν. καὶ γὰρ δὴ λαμπρότερος διῄει τὸν ἀγῶνα, ὡς δηλοῖ τὰ εἰρημένα. θαυμασίαν δὲ ἰσχὺν ἐπεδείξατο καὶ ἐν τοῖσδε. τὰς γὰρ δια-

A Procedente autem iam die, & Herode moram faciente Athenienſes indignabantur, ſoluente ſe auditorum frequentia, ídque dolosè certè fieri autumabant: proinde neceſſe fuit Alexandro, ad diſſertationem accedere, etiam antequam Herodes veniret. Sermo ab eo inſtitutus laudes vrbis continebat, & defenſionem apud Athenienſes, quòd nunquam antea ad ipſos acceſſiſſet. Is verò idonea magnitu-
B dine circumſcriptus fuit: nam Panathenaïcæ orationis compendio reſpondebat. ſic autem elegans & concinnus Athenienſibus viſus eſt, vt fremitus ipſorum ſubierit, adhuc eo tacente, laudantium eius geſtus modeſtiam. Ceterùm cauſſa quæ victrix fuit, hoc ſubiectum habuit: *Quidam Scythas ad primum errorem reducebat, quia ciuitatem habitantes ægrotabant.* tum exiguo temporis ſpa-
C tio moratus reſiliit è ſede, vultu ſereno & alacri, vt ſi bonum nuntium auſcultantibus adferret, de iis quæ dicere habebant: At progreſſo iam in oratione adſtitit Herodes, capite pileo Arcadico operto, vt æſtiuo tempore Athenis conſueuerat: vtique etiam ipſi fortaſſe indicans ſe recens ab itinere venire. Tum Alexander, inde cauſa arrepta, de aduentu Oratoris diſſeruit, dictione ſatis graui & ſonora: in
D ipſius verò arbitrio conſtituit, ſeu vellet controuerſiam, de qua iam agebatur auſcultare, ſiue aliam ipſe exhibere. mox Herodes oculis ad audientes ſublatis, cùm ſe facturum dixiſſet quidquid illis videretur, ſimul omnes annuerunt, ad Scytharum auſcultationem: etenim certamen magnificè peregerat, vt eius dictæ declarant. Admirabilem porrò vim in his etiam indicauit. nam

ſententias quas ante aduentum Herodis, ſplendide pronuntiauerat, cùm ille adſtitiſſet, ita ſcite denuo tractauit, altera dictione, aliíſque modulis, vt iis qui ſecundo audiebant, non repetere, iteratóque dicere videretur. celeberrimum verò eorum quæ dicta erant, antequam aduenisſet Herodes, *nempe conſiſtentē etiam aquam laborare.* cùm poſtea ſuperueniſſet, hoc alia facultate mutato, *Etiam aquarū* (inquit) *ſuauiores ſunt, quæ errant.* Atque illa è Scythis Alexandri ſunt, *Et concreto quidem Iſtro, ad meridiem tendebam: ſoluto autem ad Septentrionem pergebam incolumi corpore: at non pro vt nunc affecto. quid enim graue pateretur, homo qui horas ſequitur?* In orationis peroratione vrbem exagitãs, vt ſuffocatum domicilium, ſuper omnibus ita exclamabat: *verùm pande fores, ſi reſpirare velis.* Tum ad Herodem accurrens, eúmque amplexatus, *Viciſſim* (inquit) *epulas mihi para.* & Herodes, *Quid cunctarer,* inquit, *eum qui me tam lautè excepit?* Auſcultatione ſoluta Herodes, vocatis familiaribus ſuis, eos qui maiores fecerant progreſſus interrogabat, quiſnam ipſis Sophiſta videretur? & cùm Sceptes Corinthius dixiſſet ſe Pelum quidem (hoc eſt, lutum) inueniſſe, Platonem verò quærere: Herodes, ipſum cauillando, *Hoc*, inquit, *apud alium neminem dixeris; nam teipſum calumniaris, vt iudicio inſcitè prolato, aſſentire mihi potius, ipſum ducenti Scopelianum eſſe ſobrium.* Hæc autem Herodes denotabat, cùm hunc virum perſpexiſſet, temperatam expoſitionem audaciæ in ſophiſticis inuentionib. pulcrè accommodantem. deinde,

A νοίας τὰς πρὶν ἥκειν τὸν Ἡρώδην λαμπρῶς αὐτῷ εἰρημένας, μετεχειρίσατο ἐπιστάντος οὕτω τῇ ἑτέρᾳ λέξει, καὶ ἑτέροις ῥυθμοῖς, ὡς τοῖς δεύτερον ἀκροωμένοις, μὴ διλογεῖν δόξαι. τὸ γοῦν εὐδοκιμώτατον τῶν πρὶν ἐπιστῆναι τὸν Ἡρώδην εἰρημένων, ἑστὼς δὲ καὶ τὸ ὕδωρ νοσεῖν. μετὰ ταῦτα ἐπιστάντος δ᾽, ἑτέρᾳ δυνάμει μεταβαλὼν, καὶ ὑδάτων, εἶπεν, ἡδίω τὰ πλανώμενα. B κἀκεῖνα τῶν Σκυθῶν Ἀλεξάνδρου· καὶ πηγνυμένου μὲν Ἴστρου, πρὸς μεσημβρίαν ἤλαυνον· λυομένου δὲ, ἐχώρουν πρὸς ἄρκτον, ἀκέραιος τὸ σῶμα, καὶ οὐχ ὥσπερ νυνὶ κείμενος. τί γὰρ ἂν πάθοι δεινὸν ἄνθρωπος ταῖς ὥραις ἑπόμενος; ἐπὶ τελευτῇ δὲ τοῦ λόγου, διαβάλλων τὴν πόλιν ὡς πνιγηρὸν οἰκητήριον; τὸ ἐπὶ πᾶσιν ὧδε ἀνεφθέγξατο· ἀλλ᾽ ἀνεπέτασον τὰς πύλας, ἀναπνεῦσαι θέλων. προσδραμὼν δὲ τῷ Ἡρώδῃ, C καὶ περισχὼν αὐτὸν, ἀντεφεστίασόν με, ἔφη. καὶ ὁ Ἡρώδης, τί δὲ οὐ μέλλω, εἶπε, λαμπρῶς οὕτως ἑστιάσαντα; διαλυθείσης δὲ τῆς ἀκροάσεως, καλέσας ὁ Ἡρώδης τῶν ἑαυτοῦ γνωρίμων τοὺς ἐν ἐπιδόσει, ἠρώτα ποῖός τις αὐτοῖς ὁ σοφιστὴς φαίνοιτο. Σκέπτου δὲ ἀπὸ τοῦ Κορίνθου, τὸν μὲν πη- D λὸν εὑρηκέναι φήσαντος, τὸν δὲ Πλάτωνα ζητεῖν, ἐπισκώπτων αὐτὸν ὁ Ἡρώδης, τουτὶ, ἔφη, πρὸς μηδένα εἴπῃς ἕτερον· σεαυτὸν γὰρ διαβάλλεις, ὡς ἀμαθῶς κρίναντα· ἐμοὶ δὲ ἕπου μᾶλλον, ἡγουμένῳ αὐτὸν Σκοπελιανὸν νήφοντα. ταυτὶ δὲ ὁ Ἡρώδης ἐχαρακτήριζε, καθεωρακὼς τὸν ἄνδρα κεκραμένην ἑρμηνείαν ἐφαρμόττοντα τῇ περὶ τὰς σοφιστικὰς ἐννοίας τόλμῃ. ἐπιδεικνύ-

μένος δὲ τῷ Ἀλεξάνδρῳ πλεῖον τὸ ἠχῶδες τῆς διαλέξεως, προσῆρεν. ἐπεὶ ἐγίγνωσκε τούτῳ μάλιστα χαίροντα αὐτὸν τῷ τόνῳ. ῥυθμούς τε ποικιλωτέρους αὐλοῦ, καὶ λύρας ἐσηγάγετο ἐς τὸν λόγον, ἐπεὶ πολὺς αὐτῷ καὶ περὶ τὰς ἐξαλλαγὰς ἔδοξεν. ἡ δὲ σπουδασθεῖσα ὑπόθεσις, οἱ ἐν Σικελίᾳ ἡττηθέντες ἦσαν τοὺς ἐπανι-
ἴσ. τῷ σταμένους ἐκεῖθεν Ἀθηναίους* τὸ ὑπ' αὐτῶν ἀποθνήσκειν. ἐπὶ ταύτης τῆς ὑποθέσεως, τὸ θρυλλούμενον ἐκεῖνο ἱκέτευσεν, ἐπιτέγξας τοὺς ὀφθαλμοὺς δα-
γρ. καὶ π. κρύοις. ναὶ Νικία, καὶ* πάτερ, οὕτως Ἀθήνας οἶδας. ἐφ' ᾧ τὸν Ἀλέξανδρόν φασιν ἀναβοῆσαι, ὦ Ἡρώδη, τεμμάχια σοῦ ἐσμὲν οἱ σοφισταὶ πάντες. καὶ τὸν Ἡρώδην ὑπερησθέντα τῷ ἐπαίνῳ, καὶ τῆς ἑαυτοῦ φύσεως γενόμενον, δοῦναι οἱ δέκα
ἴσ. σκευοφόρους, μὲν* σκευοφόρα, δέκα δὲ ἵππους, δέκα δὲ οἰνοχόους, δέκα δὲ σημείων γραφέας, τάλαντα εἴκοσι χρυσοῦ, πλεῖστον δὲ ἀργύριον, δύο δὲ ἐκ Κολυττοῦ παιδία ψελλιζόμενα, ἐπεὶ ἤκουσεν αὐτὸν χαίροντα νέαις φωναῖς. τοιαῦτα μὲν οὖν αὐτῷ τὰ Ἀθήνησιν. ἐπεὶ δὲ καὶ ἑτέρων σοφιστῶν ἀπομνημονεύματα παρεθέμην, δηλούσθω καὶ ὁ Ἀλέξανδρος ἐκ πλειόνων. οὐδὲ γὰρ ἐς πλῆρές πω τῆς ἑαυτοῦ δόξης ἀφῖκται παρὰ τοῖς Ἕλλησιν. ὡς μὲν δὴ σεμνῶς τε, καὶ ξὺν ἡδονῇ διελέγετο, δηλοῦσι τῆς διαλέξεως αἵδε· Μαρσύας ἤρα Ὀλύμπου, καὶ Ὄλυμπος τοῦ αὐλεῖν. καὶ πάλιν, Ἀρραβία γῆ, δένδρα πολλά, πεδία κατάσκια, γυμνὸν οὐδέν, τὰ φυτά, ἡ γῆ, τὰ ἄνθη. οὐδὲ φύλλον Ἀρράβιον ἐκβαλεῖς, οὐδὲ κάρφος ἀπορρίψεις οὐδέν, ἐκεῖ φυέν. τοσοῦτον ἡ γῆ περὶ τοὺς

A oſtendens Alexandro ſonoram diſſertationis pronunciationem, in altum ſuſtulit. poſtea cùm eum maximè eiuſmodi tono gaudere animaduerteret, modulos magis varios quam in tibia & lyra, in ſermonem induxit: quandoquidem multus ipſi in commutationibus orationis viſus erat. Ceterùm cauſa ſedulò elaborata hæc fuit: *Conuicti in Sicilia fuerant, quòd ab ipſis interficerentur Athenienſes, inde rebellionem excitantes.* in hac controuerſia peruaga-
B tum illud ſupplex petiit, atq; oculis lacrymis rigatis, *Næ Nicia, næ pater, ſic Athenas noſti!* ſuper hoc, Alexandrum aiunt exclamaſſe: *O Herodes, fruſta & particulæ tui, quotquot Sophiſtæ, ſumus.* tum Herodem mirum in modum hac laude gauiſum ferunt, & naturæ ſuæ obſecutum Alexandro largitum fuiſſe, decem baiulos, decem equos, decem pincernas, decem notarũ miniſtros, viginti auri talenta, magnámque argenti vim; binos è Colyto
C puſos balbutientes; quia ipſum audierat nouis oblectari vocibus. hæc igitur ſunt quæ Alexandro Athenis contigerunt. quoniam verò etiam aliorum Sophiſtarum memorãda dicta appoſui; declaretur quoque Alexander ex pluribus: neque enim ad ſummum gloriæ ſuæ apicem apud Græcos peruenit. quàm certe grauiter, & cum voluptate diſſereret, hi ſermones indicant:
D *Marſyas Olympum amabat, & Olympus tibiarum ſtudioſus.* Et rurſus: *Arabia terra, arbores multæ: campi vmbroſi, nudum nihil; ſtirpes, terra, flores: neque folium Arabicum deiicies, neque feſtucam vllam ibi natam deturbabis: vſque adeo felix eſt ſolum circa*

culius labores. & iterùm, *Vir pauper ex* A *Ionia. Ionia verò Græci ſunt, qui habitarant in Barbarorum regione.* hanc autem dicẽdi formam Antiochus cauillans, atque ipſum deſpuens, vt delicias agentem in lepôre vocabulorum, cùm Antiochiam veniſſet, ita diſſeruit, *Ioniæ, Lydiæ, Marsyæ, Moriæ* (ſeu fatuitates) *date Quæſtiones.* quidnam verò in declamatione eſſet eximium, in his quidem patefactum eſt; at in aliis quoque controuerſiis oſtendatur. B etenim enarrans Periclem bello incumbere hortantem, ac poſt oraculum, in quo Pythius ait ſe & vocatum, & non vocatum, Lacedæmoniis auxiliaturum, ſic occurrit oraculo: *Sed ſi Pythius pollicetur*, inquit, *auxilium Spartanis, mentitur: ita ipſis etiam Tegeam promiſerat.* In medium vero producens conſulentem Dario Iſtrum iungere ponte, *Subterfluat tibi* (inquit) *Scytharũ Iſter: at ſi leniter fluens exercitum traduxerit, honora fluuium, ex ipſo bibens.* C Artabazum autẽ inducens Xerxi diſſuadentẽ ſecundò militare in Græciam, ita breuiter effatus eſt, *Res quidem Perſarum eiuſmodi ſunt tibi in regione manenti: Res verò Græcorum ita fermè ſe habent: Mare anguſtum, & amentes viri, inuidique Dij.* deinde ægrotantes in campis, ad montes commigrare vrgens, ſic de natura diſſeruit; *Vniuerſitatis etiam opifex videtur mihi campos è viliori ab-* D *iectiorique materia conſtantes depreſſiſſe humi; & montes vt dignitatẽ præ ſe ferentes ſuſtuliſſe. hos primùm Sol ſalutat, vltimóſque deſerit. quis locum non amet, dies longiores habentem?* Doctores Alexandro fuere, Pha-

A ἱδρῶτας εὐτυχεῖ. καὶ πάλιν· ἀνὴρ πένης ἀπ' Ἰωνίας. ἡ δὲ Ἰωνία, Ἕλληνές εἰσιν, οἰκήσαντες ἐν τῇ βαρβάρων. τὴν δὲ ἰδέαν ταύτην διατωθάζων ὁ Ἀντίοχος, καὶ διαπτύων αὐτὸν ὡς τρυφῶντα ἐς τὴν τῶν ὀνομάτων ὥραν, παρελθὼν ἐς Ἀντιόχειαν, διελέχθη ὧδε. Ἰωνίαι, Λυδίαι, Μαρσύαι, Μωρίαι, δότε προβλήματα. τὰ δὲ ἐν τῇ μελέτῃ πλεονεκτήματα, δεδήλωται μὲν καὶ ἐπὶ τούτων, δηλούσθω δὲ καὶ ἐπ' ἄλλων ὑποθέσεων. διεξιὼν B μὲν γὰρ * τὸν Περικλέα τὸν κελεύοντα ἔχεσθαι τοῦ πολέμου, καὶ μετὰ τὸν χρησμὸν, χ. κεῖτ: ἐν ᾧ καὶ καλούμενος, καὶ ἄκλητος ὁ Πύθιος, ἔφη, τοῖς Λακεδαιμονίοις συμμαχήσειν, ὧδε ἀπήντησε τῷ χρησμῷ. ἀλλ' εἰ ὑπισχνεῖταί φησι τοῖς Λακεδαιμονίοις ὁ Πύθιος βοηθήσειν, ψεύδεται· οὕτως αὐτοῖς καὶ Τέγεαν ἐπηγγείλατο. C διεξιὼν δὲ τὸν ξυμβουλεύοντα τῷ Δαρείῳ ζεῦξαι τὸν Ἴστρον, ὑπορρείτω σοι ὁ Σκυθῶν Ἴστρος. κἂν εὔρους τὴν στρατιὰν διαγάγῃ, τίμησον αὐτὸν, ἐξ αὐτοῦ πιών. τὸν δὲ Ἀρτάβαζον ἀγωνιζόμενος, τὸν ἀπαγορεύοντα τῷ Ξέρξῃ μὴ τὸ δεύτερον στρατεύειν ἐπὶ τὴν Ἑλλάδα, ὧδε ἐβραχυλόγησε. τὰ μὲν δὴ Περσῶν, τοιαῦτά σοι βασιλεῦ κατὰ χώραν μένοντι. τὰ δὲ D Ἑλλήνων, τῇ δέ πῃ. θάλαττα στενὴ, καὶ ἄνδρες ἀπονενοημένοι, καὶ θεοὶ βάσκανοι. τοὺς δὲ ἐν τοῖς πεδίοις νοσοῦντας, ἐς τὰ ὄρη ἀνοικίζεσθαι σπεύδων, ὧδε ἐφυσιολόγησε. δοκεῖ δέ μοι καὶ ὁ τοῦ παντὸς δημιουργὸς, τὰ μὲν πεδία, ὥσπερ ἀτιμοτέρας ὕλης, ῥίψαι κάτω, ἐπαῖρειν δὲ τὰ ὄρη ὥσπερ ἀξιώματα. ταῦτα πρῶτα μὲν ἥλιος ἀσπάζεται, τελευταῖα δὲ, ἀπολείπει. τίς οὐκ ἀγαπήσει τόπον, μακροτέρας ἔχοντα τὰς ἡμέρας; διδάσκαλοι τῷ Ἀλεξάνδρῳ ἐγένοντο, Φα-

κέναι μοι δοκοῦσιν. ὅτι καὶ Δημοσθένης ἐπὶ Φιλίππου λέγων, ταὐτὸν ἔπαθε. κἀκεῖνος μὲν, ἥκων Ἀθήναζε, τιμὰς προσῄτει καὶ στεφάνους, ἀπολωλυίας Ἀθηναίοις Ἀμφιπόλεως. Ἡρώδης δὲ ἐπεὶ τοῦτο ἔπαθεν, ἐπὶ τὸν Ἴστρον ἦλθεν, ὡς ῥίψων ἑαυτόν. τοσοῦτον γὰρ αὐτῷ περιῆν τοῦ ἐν λόγοις βούλεσθαι ὀνομαστῷ εἶναι, ὡς θανάτου τιμᾶσθαι τὸ σφαλῆναι. ἐτελεύτα μὲν οὖν ἀμφὶ τὰ ἓξ καὶ ἑβδομήκοντα, ξυντακὴς γενόμενος. ἀποθανόντος δὲ αὐτοῦ ἐν τῷ Μαραθῶνι, καὶ ἐπισκήψαντος τοῖς ἀπελευθέροις ἐκεῖ θάπτειν, Ἀθηναῖοι ταῖς τῶν ἐφήβων χερσὶν ἁρπάσαντες, ἐς ἄστυ ἤνεγκαν, προαπαντῶντες τῷ λέχει πάσῃ ἡλικίᾳ δακρύοις ἅμα, καὶ εὐφημοῦντες, ὅσα παῖδες χρηστοῦ πατρὸς χηρεύσαντες. καὶ ἔθαψαν ἐν τῷ Παναθηναϊκῷ, ἐπιγράψαντες αὐτῷ βραχὺ καὶ πολὺ ἐπίγραμμα. τὸ δὲ ἐπίγραμμα, (πάντα, Ἀττικοῦ Ἡρώδης Μαραθώνιος, οὗ τάδε

Κεῖται τῷδε τάφῳ, πάντοθεν εὐδόκιμος.

τοσαῦτα περὶ Ἡρώδου τοῦ Ἀθηναίου· τὰ μὲν, εἰρημένα, τὰ δὲ, ἠγνοημένα ἑτέροις.

ΘΕΟΔΟΤΟΣ.

Ἐπὶ τὸν σοφιστὴν Θεόδοτον, καλεῖ με ὁ λόγος. οὗτος προὔστη μὲν τοῦ Ἀθηναίων δήμου κατὰ χρόνους, οὓς προσέκρουον Ἡρώδῃ Ἀθηναῖοι. καὶ ἐς ἀπέχθειαν φανερὰν οὐδεμίαν τῷ ἀνδρὶ ἀφίκετο, ἀλλ' ἀφανῶς αὐτὸν ὑπεκάθητο, δεινὸς ὢν χρῆσθαι πράγμασι. καὶ γὰρ δὴ καὶ τῶν ἀγοραίων εἷς οὗτος. τοῖς γοῦν ἀμφὶ τὸν Δημόστρατον οὕτω ξυνεκέκρατο, ὡς

A rare mihi videntur, Demoſtheni etiam apud Philippum dicenti idem accidiſſe: Atque ille quidem Athenas ſe conferens, honores & coronas poſcebat, Amphipoli Athenienſibus perditâ. At Herodes illud perpeſſus, ad Iſtrum venit, vt præcipitem ſe daturus, tantum ipſi ſtudium fuit famam & nominis celebritatem ex eloquio adipiſcendi, vt errare & labi morte mulctandum æſtimaret. Diem ſuum obiit anno ætatis circiter ſexto & ſeptua-
B geſimo, tabe conſumptus. eo mortuo in Marathone, cùm libertinis vltimis verbis mãdaſſet, vt ſibi ſepelirent, Athenienſes è manibus adoleſcentium ereptum, ad oppidum tulerunt: atque omnis ætas funebri lecto occurrens, cum lacrymis & elogiis tanquã liberi patre bono orbati, mox eum in Panathenaïco ſepelierunt, ſuperaddito breui & concinno epitaphio: quod eiuſmodi fuit.

C *Hîc ſitus Herodes Marathonius, Atticus olim*
Hunc genuit, celebri nomina, & ingenio.

Atque hæc hactenus de Herode Athenienſi, partim ab aliis memorata, partim etiam ignorata.

THEODOTVS.

Ad Theodotum Sophiſtam inuitat me oratio. hic præfuit Athe-
D nienſium populo, quo tempore Athenienſes cum Herode diſſidebant. atque ad nullum apertum odium cum viro deſcendit, ſed occultè ipſi ſubſidendo inſidiabatur, callidus in vtendo rebus & foro. Etenim è vulgaribus forenſibúſque hic vnus fuit. Itaque cum Demoſtrato ſic temperauit, & coniunxit ſe, vt

eadem opera orationes conderentur, quas elaborauerant aduerſus Herodem. hic iuuentuti Athenienſium primus præfectus fuit, ſuper innumeris à Rege inſtitutis: neque tamen hoc valde memorabile eſt; non enim omnes, qui ſedem hanc obtinent, memoria digni ſunt. ſed quia Platonicos & Stoïcos Philoſophos & Peripateticos, atque ipſum Epicurum, Marcus Herodi iniunxerat diiudicare: hunc autem virum Herodes iuuenib. conſtituerat, quam de illo habuit opinione impulſus: cùm eum propugnatorem ciuilium ſermonum appellaſſet, & oratoriæ artis emolumentum. Ceterùm hic Lolliani quidem auditor fuit; necnon Herodem interdum audiuit. ac vixit pluſquam quinquagenarius, biennio cathedra occupata. genere dicendi idoneo etiam in iuridicis, & iis qui Sophiſtæ virtutes excedunt.

A καὶ ξυνάρασθαι σφίσι τῶν λόγων, οὓς ἐξεπόνουν πρὸς τὸν Ἡρώδην. προέστη δὲ καὶ τῆς Ἀθηναίων νεότητος πρῶτος ἐπὶ ταῖς ἐκ βασιλέως* μυριαις. καὶ οὐ τοῦτό που λόγου ἄξιον. οὐ γὰρ πάντες οἱ ἐπιβαίνοντες τοῦ θρόνου τούτου λόγου ἄξιοι. ἀλλ' ὅτι τοὺς μὲν Πλατωνείους, καὶ τοὺς ἀπὸ τῆς στοᾶς, καὶ τοὺς ἐκ τοῦ περιπάτου, καὶ αὐτὸν Ἐπίκουρον, προσέταξεν ὁ Μάρκος τῷ Ἡρώδῃ κρῖναι. τὸν δὲ ἄνδρα τοῦτον, ἀπὸ τῆς B περὶ αὐτὸν δόξης, αὐτὸς ἐπέκρινε τοῖς νέοις, ἀγωνιστὴν τῶν πολιτικῶν προσειπὼν λόγων, καὶ ῥητορικῆς ὄφελος. ὁ δὲ ἀνὴρ οὗτος, Λολλιανοῦ μὲν ἀκροατὴς, Ἡρώδου δὲ οὐκ ἀνήκοος. ἐβίω μὲν ὑπὲρ τὰ πεντήκοντα, δυοῖν ἐτοῖν κατασχὼν τὸν θρόνον. τὴν δὲ ἰδέαν τῶν λόγων, ἀποχρῶν καὶ τοῖς δικανικοῖς, καὶ τοῖς ὑπὲρ σοφιστεύουσιν.

*ἴσ. κυρίαις

C

ARISTOCLES.

Magni nominis eſt etiam inter Sophiſtas Ariſtocles, è Pergamo oriundus: de quo ea quæ à ſenioribus audiui, enuntiabo. Atenim vir hic in Conſularium numerum relatus fuit. Et cùm tempus inter pueritiam & pubertatem interiectum, ſermonib. philoſophicis ſcholæ Peripateticæ impendiſſet; ad Sophiſtas ſe tranſtulit, dum Romæ frequentaret Herodem extemporaneas diſſertationes diſponentem. Interim verò, qui dum philoſopharetur ſquallidus, & ſeuero vultu, ac illuuie deformis videbatur, molles mox induit veſtes, & ſquallorem abiecit: voluptates prætereà omnes ex fidibus, & tibiis & concentu vocum, ad victus rationem induxit, ſibi quaſi ad portas accedentes. nam ſuperiori tempore admodum

ΑΡΙΣΤΟΚΛΗΣ.

Ὀνομαστὸς ἐν σοφισταῖς, καὶ Ἀριστοκλῆς ὁ ἐκ τοῦ Περγάμου. ὑπὲρ οὗ δηλώσω ὁπόσα τῶν πρεσβυτέρων ἤκουον. ἐπιλεῖ μὲν γὰρ ἐς ὑπάτους ὁ ἀνὴρ οὗτος. τὸν δὲ ἐκ παίδων ἐς ἥβην χρόνον, τοὺς ἀπὸ τοῦ περιπάτου φιλοσοφήσας λόγους, ἐς τοὺς σοφιστὰς μετερρύη, θαμίζων ἐν D τῇ Ῥώμῃ τῷ Ἡρώδῃ διατιθεμένῳ σχεδίους λόγους. ὃν δὲ ἐφιλοσόφει χρόνον, αὐχμηρὸς δοκῶν, καὶ τραχὺς τὸ εἶδος, καὶ δυσαπαντὴς, τὴν ἐσθῆτα ἥβρυνε, καὶ τὸν αὐχμὸν ἀπετρίψατο· ἡδονὰς δὲ, ὁπόσαι λυρῶν τε, καὶ αὐλῶν, καὶ συμφωνίαι εἰσὶ, πάσας ἐσηγάγετο ἐπὶ τὴν δίαιταν, ὥσπερ ἐπὶ θύρας αὐτῷ ἠκούσας. τὸν γὰρ πρὸ τοῦ χρόνον, αὐτῷ

κεκολασμένος* ἀτάκτως ἐς τὰ θέατρα ἐφοίτα, καὶ ἐπὶ πλεῖον τούτων ἠχώ. εὐδοκιμοῦντι δ' αὐτῷ κατὰ τὸ Πέργαμον, καὶ ἐξηρτημένῳ παντὸς τὸ Ἑλληνικὸν, ἐξελαύνων ὁ Ἡρώδης ἐς Πέργαμον, ἔπεμψε τοὺς ἑαυτοῦ ὁμιλητὰς πάντας· καὶ τὸν Ἀριστοκλέα εἶδεν, ὥσπέρ τις Ἀθηνᾶς ψῆφος. ἡ δὲ ἰδέα τοῦ λόγου, διαυγὴς μὲν, καὶ Ἀττικίζουσα, διαλέγεσθαι δ' ἐπιτηδεία μᾶλλον, ἢ ἀγωνίζεσθαι. *χολὴ γὰρ ἄπεστι τοῦ λόγου, καὶ ὁρμαὶ πρὸς βραχύ. αὐτὴ γὰρ ἡ Ἀττίκισις εἰ παρὰ τὴν Ἡρώδου γλῶτταν βασανίζοιτο, λεπτολογεῖσθαι μᾶλλον δόξει ἢ κρότου τι καὶ ἤχου ξυλλέγεσθαι. ἐτελεύτα δ' ὁ Ἀριστοκλῆς μεσαιπόλιος, ἄρτι προσβαίνων τῷ γηράσκειν.

γρ. κ. κ. λί

A castigatè modeſtéque ad theatra eorúmque auditiones ventitabat. Is cùm Pergami eloquentiæ laude floreret, atque omnem ad ſe Græciam alliceret, Herodes Pergamũ adiens omnes familiares ſuos miſit, & Ariſtoclẽ vidit; quemadmodũ quoddã Mineruæ ſuffragium. Huius dicendi genus, lucidum quidem eſt, Atticúmque ſaporem redolens: verùm aptius ad diſſertationes, quàm ad certamina. enimuerò bilis à ſermone abeſt, & B impetus rari perbreuéſque: atque Atticiſmus ipſe ſi cum Herodis lingua expendatur, exiliter de tenui re diſſerere potius videbitur, quàm plauſum acclamationémque mereri. è viuis exceſſit Ariſtocles, ſparſo iam canis capite, & ſenectutem proſpiciens.

ΑΝΤΙΟΧΟΣ.

Ἀντίοχον δὲ τὸν σοφιστὴν αἱ Κιλίκων Αἰγαὶ ἤνεγκαν, οὕτω τι εὐπατρίδην, ὡς νῦν ἔτι τὸ ἀπ' αὐτοῦ γένος, ὑπάτους εἶναι. αἰτίαν δ' ἔχων δειλίας, ἐπεὶ μηδὲ παρῄει εἰς τὸν δῆμον, μηδὲ ἐς τὸ κοινὸν ἐπολίτευεν, οὐχ ὑμᾶς, εἶπεν, ἀλλ' ἐμαυτὸν δέδοικα, εἰδώς που τὴν ἑαυτοῦ χολὴν ἀκρατόν τε, καὶ οὐ καθεκτὴν οὖσαν, ἀλλ' ὅμως ὠφέλει τοὺς Αἰγαίους ἀπὸ τῆς οὐσίας ὅ,τι ἠδύνατο, σιτόν τε γὰρ ἐπεδίδου ὁπότε τούτου δεομένοις αἴσθοιτο, καὶ χρήματα ἐς τὰ πεπονηκότα τῶν ἔργων. τὰς δὲ πλείους τῶν νυκτῶν ἐς τὸ τοῦ Ἀσκληπιοῦ ἱερὸν ὑπεκάθευδεν, ὑπέρ τε ὀνειράτων, ὑπέρ τε ξυνουσίας, ὁπόση ἐγρηγορότων τε, καὶ διαλεγομένων ἀλλήλοις. διελέγετο γὰρ αὐτῷ καὶ ἐγρηγορότι ὁ θεὸς, καλὸν ἀγώνισμα ποιούμενος τῆς ἑαυτοῦ τέχνης, τὸ ταῖς νόσοις τοῦ Ἀντιόχου ἐρύκειν.

ANTIOCHVS.

Antiochum Sophiſtam Ægæ Cilicum C tulerunt, vſque adeò nobilitate illuſtri, vt etiam nunc eius poſterum genus Conſulatus geſſerat. inſimulatus vitio timiditatis, eò quòd in cœtum popularem non conueniret, neque in publico quidquam adminiſtraret, Non vos (inquit) ſed me ipſum metuo. cùm probè noſſet bilem ſuam ita ſæuam eſſe vt vix coërceri ac refrenari poſſet. veruntamen Ægæos facultatibus ſuis pro virili adiuuabat, & D frumenta largiens, cùm illos illis egere adiuuabat, & pecunias ad opera publicè edita. Pleraſque autem noctes in Æſculapij fano, dormiens tranſigebat, tum ad inſomnia, tum ad colloquia qualia ſunt vigilantes & diſſerentes inter ſe fruuntur, percipienda. Etenim cum ipſo etiã vigilante Deus diſſertabat, præclarum artis ſuæ certamen edens, quod Antiochi morbos arceret.

hic auditor Dardani Aſſyrij à pueritia fuerat: ſed progreſſus in adoleſcentiam Dionyſij Mileſij, qui iam Epheſiorum ſedem detinebat. igitur, non aptè quidem & concinnè diſſerebat: ſed cùm prudentiſſimus hominum euaſiſſet, vt iuuenile quiddam exagitabat, vt hoc deſpicere potius, quàm ab eo ſuperari videretur: ſed in declamationum genere eloquentiſſimus fuit: nam ſecurus ac firmus eſt in cauſis quæ per figuram procedunt: vehemens in accuſationibus & illationibus; decorus etiam in defenſionibus, atque in morali pollens: in ſumma, orationis eius idea formáve, argutior eſt forenſi, Sophiſtica verò magis iudicialis idem affectus optimè Sophiſtarum mouebat. neq; enim lugubres monodias producebat, neque lamentationes ſubiectas, ſed conciſo in iis ſermone vtebatur. cum ſententiis dictione præſtantioribus: vt cùm ex aliis controuerſiis patet, tum vel maximè ex his. *Virgo vim perpeſſa, mortem eius qui vim intulerat, optauit; poſtea natus eſt infans, è violento compreſſu. hinc altercantur aui, apud quem ipſorũ educaretur. Qui ergo pro auo paterno contendit, Redde (inquit) infantẽ; redde iam priuſquã maternum lac guſtarit.* Altera controuerſia eiuſmodi eſt. *Tyrannum depoſito imperio, quò latere poſſet, Eunuchus quidam ab ipſo factus interfecit, & pro cede cauſſam dicit.* Hîc, vt firmiſſimũ caput accuſationis, de ſeriis rebus ſermonem refutauit; circunſpectione adhibita affectui; *Quibus enim hæc confeſſus eſt? pueris? mulierculis? adoleſcentulis? ſenibus? viris? Equidem nomen in pactis*

A ἀκροατὴς Ἀντίοχος ἐν παισὶ μὲν, Δαρδάνου τοῦ Ἀσσυρίου, προϊὼν δὲ ἐς τὰ μειράκια, Διονυσίου Μιλησίου, κατέχοντος ἤδη τῆς Ἐφεσίων. διελέγετο μὲν οὖν οὐκ ἐπιτηδείως· φρονιμώτατος δὲ ἀνθρώπων γενόμενος, διέβαλλεν ὡς μειρακιῶδες, ἵνα ὑπερεωρακὼς αὐτοῦ μᾶλλον, ἢ λειπόμενος φαίνοιτο. τὰ δὲ ἀμφὶ μελέτας, ἐλλογιμώτατός ἐστιν. ἀσφαλὴς μὲν γὰρ ἐν ταῖς κατὰ σχῆμα προεσχηματισμέ-
B ναις τῶν ὑποθέσεων. σφοδρὸς δὲ ἐν ταῖς κατηγορίαις, καὶ ἐπιφοραῖς. εὐπρεπὴς δὲ τὰς ἀπολογίας, καὶ τῷ ἠθικῷ ἰσχύων, καὶ καθάπαξ τὴν ἰδέαν τοῦ λόγου, δικανικῆς μὲν σοφιστικώτερος, σοφιστικῆς δὲ, δικανικώτερος· καὶ τὰ πάθη ἄριστα σοφιστῶν μετεχειρίσατο. οὐ γὰρ μονῳδίας ἀπεμήκυνεν, οὐδὲ θρήνους ὑποκειμένους· ἀλλ' ἐβραχυλόγει αὐτὰ ξὺν διανοίαις λόγου κρείττοσιν, ὡς ἔν τε
C τῶν ἄλλων ὑποθέσεων δηλοῦται, καὶ μάλιστα ἐν τῇδε. κόρη βιασθεῖσα θάνατον ᾕρηται τοῦ βιασαμένου. μετὰ ταῦτα, γέγονε παιδίον ἐκ τῆς βίας· καὶ διαμιλλῶνται οἱ πάπποι περὶ ὁποτέρῳ τρέφοιτο ἄν. ἀγωνιζόμενος οὖν ὑπὲρ τοῦ πρὸς πατρὸς πάππου· ἀπόδος, ἔφη, τὸ παιδίον· ἀπόδος ἤδη, πρὶν γεύσηται μητρῴου γάλακτος. ἡ δὲ ἑτέρα
D ὑπόθεσις, τοιάδε τις. τύραννον καταθέμενον τὴν ἀρχὴν, ἐπὶ τῷ ἐκλελῆσθαι, ἀπέκτεινέ τις εὐνοῦχος ὑπ' αὐτοῦ γεγονὼς, καὶ ἀπολογεῖται ὑπὲρ τοῦ φόνου. ἐνταῦθα τὸ μάλιστα ἐρρωμένον τῆς κατηγορίας, τὸν περὶ τῶν σπουδαίων λόγον ἀπεώσατο, περὶ ἐκείνοιν ἐγκαταμίξας τῷ πάθει. τίσι γὰρ ταῦτα ὡμολόγησε; παισί; γυναίοις; μειρακίοις; πρεσβύταις; ἀνδράσιν; ἐγὼ δὲ ὄνομα ἐν ταῖς

συνθήκαις οὐκ ἔχω. ἄριστα δὲ καὶ ὑπὲρ τῶν Κρητῶν ἀπολελόγηται, τῶν κρινομένων ἐπὶ τῷ τοῦ Διὸς σήματι, φυσιολογίᾳ τε, καὶ θεολογίᾳ πάσῃ ἐναγωνισάμενος λαμπρῶς. τὰς δὲ μελέτας, αὐτοσχεδίους ἐποιεῖτο. ἔμελε δὲ καὶ φροντισμάτων, ὡς ἕτερά τε δηλοῖ τῶν ἐκείνου, καὶ μάλιστα ἡ ἱστορία· ἐπίδειξιν γὰρ ἐν αὐτῇ πεποίηται λέξεώς τε, καὶ ἱστορίας ἐσποιῶν ἐς αὐτὸν καὶ τὸ φιλοκαλεῖν. περὶ τελευτῆς τοῦ ἀνδρὸς, οἱ μὲν, ἑβδομηκοντούτην τεθνάναι αὐτόν· οἱ δὲ, οὔπω. καὶ οἱ μὲν, οἴκοι. οἱ δὲ, ἑτέρωθι.

A *non habeo.* Idem optimè quoque pro Cretenſib. cauſſam egit, qui accuſabantur ob Iouis ſepulcrū, ex naturali philoſophia, & omni diuinarum rerum ſcientia ſplédidè controuerſatus. Ceterùm declamationes extéporaneas faciebat: cordi etiam habuit ſeria & operoſa arguméta, ſicut cùm pleraq; illius indicant, tum vel maximè hiſtoria. ſedenim ſpecimen in ipſa dedit, & dictionis & hiſtoriæ, vt in ea quoque opera honeſti ſtudium emineat. Quòd ad eius obi- B tum ſpectat, quidam ſeptuagenariū ferunt mortuum eſſe, alij cùm nondum attigiſſet hanc ætatem; atque alij domi, alij alibi obiiſſe ſcribunt.

ΑΛΕΞΑΝΔΡΟΣ.

Ἀλεξάνδρῳ δὲ, ὃν Πηλοπλάτωνα οἱ πολλοὶ ἐπωνόμαζον, πατρὶς μὲν ἦν Σελεύκεια, πόλις οὐκ ἀφανὴς ἐν Κιλικίᾳ, πατὴρ δὲ ὁμώνυμος, καὶ τοὺς ἀγοραίους λόγους ἱκανώτατος. μήτηρ, περιττὴ τὸ εἶδος, ὡς αἱ γραφαὶ ἑρμηνεύουσι, καὶ προσφερὴς τῇ τοῦ Εὐμήλου Ἑλένῃ· Εὐμήλῳ γάρ τις Ἑλένη γέγραπται, οἷα ἀνάθημα εἶναι τῆς Ῥωμαίων ἀγορᾶς. ἐρασθῆναι μὲν τῆς γυναικὸς ταύτης, καὶ ἑτέρους μὲν, ἐπιδήλως δὲ Ἀπολλώνιον φασι τὸν Τυανέα. καὶ τοὺς μὲν ἄλλους, ἀπαξιῶσαι. τῷ δὲ Ἀπολλωνίῳ ξυγγενέσθαι δι' ἔρωτα εὐπαιδίας, ἐπεὶ θειότερος ἀνθρώπων. τοῦτο μὲν δὴ ὁπόσοις τρόποις ἀπίθανον, εἴρηται σαφῶς ἐν τοῖς εἰς Ἀπολλώνιον. θεοειδὴς δὲ ὁ Ἀλέξανδρος, καὶ περίβλεπτος σὺν ὥρᾳ. γένειάς τε γὰρ ἦν αὐτῷ βοστρυχώδης, καὶ καθειμένη τὸ μέτριον· ὄμμα τε ἁβρὸν, καὶ μέγα· ῥὶς ξύμμετρος, καὶ ὀδόντες λευκότατοι·

ALEXANDER.

Alexandro, quem Peloplatonem (quaſi luteum Platonem) plerique cognominabant, patria quidem Seleucia fuit, ciuitas non ignobilis in Cilicia: pater eodem nomine C appellatus, in forenſibus orationibus maximè exercitatus fuerat. mater eximia forma, vt picturæ teſtantur, atque Euméli Helenæ aſſimilis (namque ab Eumélo Helena quædam picta erat eiuſmodi, vt conſecrata eſſet Romano foro) & eius mulieris amore cùm alios arſiſſe, tum inſigniter Apollonium Tyanea ferunt: eámq; ceteros quidem dedignatá fuiſſe, Apollonij verò conſuetudinem habuiſſe, felicis prolis de- D ſiderio, quia hominibus diuinior erat. verùm quot modis id à veriſimili abhorreat, apertè dictum eſt in libris de vita Apollonij. Diuina certè forma præditus Alexander fuit, & conſpicuus cum venuſtate. etenim barba illi fuit cincinnata & mediocriter promiſſa: oculi molles & magni, nares proportione modulatæ, & candidiſſimi dentes; digiti

A digiti oblongi, & rationis habenis congruentes. opes quoque ipſe in voluptates non reprehendendas impendebat. virilem verò ætatem cùm attigiſſet, legationem obiit pro Seleucia ad Antoninum primum. calumniæ porrò in ipſum graſſatæ ſunt, quod ſpecie ſua iuuentutem ineſcaret. Sed cùm ipſi minus attendere videretur Imperator; hic elata voce Alexandro, Attende, inquit, mihi, Cæſar. tum irritatus in eum Rex, quòd audaciori voce vſus eſſet, *Attendo*, inquit, *téq; noui. Enimuerò tu is es qui comam alis, & dentes fricas, & vngues radis, & vnguentum ſemper oles.* magnam certè vitæ partem Antiochiæ degit, & Romæ, & Tarſis, ac per omnem ſanè Ægyptum: nam ad Nudorum etiam ſapientum loca perrexit. perpaucæ verò huius viri occupationes Athenis fuerunt: non eiuſmodi tamen quæ ignorari debeant; etenim ad Pæonias gentes ſe contulerat, accerſitus à Marco Imperatore, cuius illic erat exercitus, & à quo mandatum acceperat ſcribendi ad Græcos. quare profectus Athenas: (eſt autem interuallum itineris non mediocris ei qui ab Oriéte pergit) *Hîc* (inquit) *genu flectamus*. & hoc dicto, pollicitus eſt Athenienſibus, cupidis eum auſcultandi, ſermones extemporaneos. Deinde audiens Herodem in Marathone commorari, & iuuentutem omnem eum comitatam, ſcribit ad ipſum literas, quibus Græcos petebat. cui Herodes, *Veniam* (inquit) *& ipſe cum Græcis.* Interim ad theatrum in Ceramico, quòd quidem Agrippéum nominatum eſt, ſunt congregati.

A δάκτυλοί τε εὐμήκεις, καὶ τῇ τοῦ λόγου ἡνίᾳ* ἐπιπρέποντες. ἦν δὲ αὐτῷ καὶ πλοῦτος δαπανώμενος ἐς ἡδονὰς οὐ μεμπτάς. ἐς δὲ ἄνδρας ἥκων, ἐπρέσβευε μὲν ὑπὲρ τῆς Σελευκείας παρὰ τὸν πρῶτον Ἀντωνῖνον. διαβολαὶ δὲ ἐπ' αὐτὸν ἐφοίτησαν, ὡς νεότητα ἐπιποιοῦντα τῷ εἴδει. ἧττον δὲ αὐτῷ προσέχειν δοκοῦντος τοῦ βασιλέως, ἐπάρας τὴν φωνὴν ὁ Ἀλέξανδρος, πρόσεχέ μοι, ἔφη, B Καῖσαρ. καὶ ὁ αὐτοκράτωρ παροξυνθεὶς πρὸς αὐτὸν, ὡς θρασυτέρᾳ τῇ φωνῇ χρησάμενον, προσέχω, ἔφη, συνίημί σου· σὺ γάρ ὁ τὴν κόμην ἀσκῶν, καὶ τοὺς ὀδόντας λαμπρύνων, καὶ τοὺς ὄνυχας ξέων, καὶ τοῦ μύρου ἀεὶ πνέων. τὸ μὲν δὴ πλεῖστον τοῦ βίου, τῇ Ἀντιοχείᾳ ἐνεσπούδαζε, καὶ τῇ Ῥώμῃ, καὶ τοῖς Ταρσοῖς, καὶ νὴ Δία Αἰγύπτῳ πάσῃ. ἀφίκετο γάρ καὶ ἐς τὰ τῶν γυμνῶν ἤθη. αἱ δὲ Ἀθήνησι C διατριβαὶ τοῦ ἀνδρὸς, ὀλίγαι μὲν, οὐκ ἄξιαι δὲ ἀγνοεῖσθαι. ἐβάδιζε μὲν γάρ ἐς τὰ Παιονικὰ ἔθνη,* κατακληθεὶς ὑπὸ [in marg.: ἴσ. παρά] Μάρκου βασιλέως ἐκεῖ στρατεύοντος, καὶ δεδωκότος αὐτῷ τὸ ἐπιστέλλειν Ἕλλησιν. ἀφικόμενος δὲ ἐς τὰς Ἀθήνας, ὁδοῦ δὲ μῆκος τοῦτο οὐ μέτριον τῷ ἐκ τῆς ἑῴας ἐλαύνοντι, ἐνταῦθα, ἔφη, γόνυ κάμψωμεν. καὶ εἰπὼν τοῦτο, D ἐπήγγελλε τοῖς Ἀθηναίοις αὐτοσχεδίους λόγους ἐρῶσιν αὐτοῦ τῆς ἀκροάσεως. ἀκούων δὲ τὸν Ἡρώδην ἐν Μαραθῶνι διαιτώμενον, καὶ τὴν νεότητα ἐπακολουθοῦσαν αὐτῷ πᾶσαν, γράφει πρὸς αὐτὸν ἐπιστολὴν, αἰτῶν τοὺς Ἕλληνας. ἐπεὶ* ὁ Ἡρώδης, ἀφίξομαι, ἔφη, μετὰ τῶν Ἑλλήνων καὶ αὐτός. ξυνελέγοντο μὲν δὴ ἐς τὸ ἐν τῷ Κεραμεικῷ θέατρον, ὃ δὴ ἐπωνόμασται Ἀγριππεῖον. [in marg.: ἴσ. ἐπιτα (ὁ) ἐκεῖ]

προϊούσης δὲ ἤδη τῆς ἡμέρας, καὶ τοῦ Ἡρώδου
βραδύνοντος, ἤγαλλον οἱ Ἀθηναῖοι, ὡς
ἐκλυομένης τῆς ἀκροάσεως, καὶ τέχνην
αὐτὸ ᾤοντο. ὅθεν ἀνάγκη τῷ Ἀλεξάν-
δρῳ ἐγένετο, παρελθεῖν ἐπὶ τὴν διάλεξιν,
καὶ πρὶν ἥκειν τὸν Ἡρώδην. ἡ μὲν δὴ
διάλεξις, ἔπαινοι ἦσαν τοῦ ἄστεος, καὶ ἀπο-
λογίαι, πρὸς τοὺς Ἀθηναίους ὑπὲρ τοῦ
μήπω πρότερον πρὸς αὐτοὺς ἀφῖχθαι·
εἶχε δὲ ἀποχρῶν μῆκος· Παναθηναϊκοῦ
γὰρ λόγου ἐπιτομῇ εἴκαστο. εὐσταλὴς δὲ οὕ-
τω τοῖς Ἀθηναίοις ἔδοξεν, ὡς καὶ βόμ-
βον διελθεῖν αὐτῶν, ἔτι σιωπῶντος, ἐπαι-
νεσάντων αὐτοῦ τὸ εὔσχημον. ἡ μὲν δὴ νε-
νικηκυῖα ὑπόθεσις, ὁ τοὺς Σκύθας ἐπα-
νάγων ἐς τὴν προτέραν πλάνην, ἐπειδὴ
πόλιν οἰκοῦντες νοσοῦσι. καιρὸν δ᾽ ἐπι-
σχὼν βραχὺν, ἀνεπήδησε τοῦ θρόνου φαι-
δρῷ τῷ προσώπῳ, καθάπερ εὐαγγέλια
ἐπάγων τοῖς ἀκροωμένοις, ὧν εἰπεῖν
ἔχοι. περιϊόντος δὲ αὐτῷ τοῦ λόγου, ἐπέστη
ὁ Ἡρώδης Ἀρκάδι πίλῳ τὴν κεφαλὴν
σκιάζων, ὡς ἐν ὥρᾳ θέρους εἰώθει Ἀθή-
νησιν· ἴσως δέ που καὶ ἐνδεικνύμενος αὐ-
τῷ τὸ ἐκ τῆς ὁδοῦ ἥκειν. καὶ ὁ Ἀλέξανδρος
ἔνθεν ἑλὼν, διελέχθη μὲν ἐς τὴν παρ-
ουσίαν τοῦ ἀνδρὸς ὑποσέμνῳ τῇ λέξει, καὶ
ἠχούσῃ. ἐπ᾽ αὐτῷ δὲ ἔθετο εἴτε βούλοιτο
τῆς ἤδη σπουδαζομένης ὑποθέσεως ἀ-
κροᾶσθαι, εἴτε ἑτέραν αὐτὸν δοῦναι. τοῦ
δὲ Ἡρώδου ἄνω βλέψαντος ἐς τοὺς ἀ-
κροωμένους, καὶ εἰπόντος ποιήσειν ὅπερ ἂν
ἐκείνοις δόξῃ, πάντες ξυνεπένευσαν ἐς
τὴν τῶν Σκυθῶν ἀκρόασιν. καὶ γὰρ δὴ
λαμπρῶς διῄει τὸν ἀγῶνα, ὡς δη-
λοῖ τὰ εἰρημένα. θαυμασίαν δὲ ἰσχὺν
ἐπεδείξατο καὶ ἐν τοῖσδε. τὰς γὰρ δια-

A Procedente autem iam die, & Herode moram faciente Athenienſes indignabantur, ſoluente ſe auditorum frequentia, ídque doloſè certè fieri autumabant: proinde neceſſe fuit Alexandro, ad diſſertationem accedere, etiam antequam Herodes veniret. Sermo ab eo inſtitutus laudes vrbis continebat, & defenſionem apud Athenienſes, quòd nunquam antea ad ipſos acceſſiſſet. Is verò idonea magnitu-
B dine circumſcriptus fuit: nam Panathenaïcæ orationis compendio reſpondebat. ſic autem elegans & concinnus Athenienſibus viſus eſt, vt fremitus ipſorum ſubierit, adhuc eo tacente, laudantium eius geſtus modeſtiam. Ceterùm cauſſa quæ victrix fuit, hoc ſubiectum habuit: *Quidam Scythas ad primum errorem reducebat, quia ciuitatem habitantes ægrotabant.* tum exiguo temporis ſpa-
C tio moratus reſiliit è ſede, vultu ſereno & alacri, vt ſi bonum nuntium auſcultantibus adferret, de iis quæ dicere habebant: At progreſſo iam in oratione adſtitit Herodes, capite pileo Arcadico operto, vt æſtiuo tempore Athenis conſueuerat: vtique etiam ipſi fortaſſe indicans ſe recens ab itinere venire. Tum Alexander, inde cauſa arrepta, de aduentu Oratoris diſſeruit, dictione ſatis graui & ſonora: in
D ipſius verò arbitrio conſtituit, ſeu vellet controuerſiam, de qua iam agebatur auſcultare, ſiue aliam ipſe exhibere. mox Herodes oculis ad audientes ſublatis, cùm ſe facturum dixiſſet quidquid illis videretur, ſimul omnes annuerunt, ad Scytharum auſcultationem: etenim certamen magnificè peregerat, vt eius dictæ declarant. Admirabilem porrò vim in his etiam indicauit. nam

ſententias quas ante aduentum Herodis, ſplendide pronuntiauerat, cùm ille adſtitiſſet, ita ſcite denuo tractauit, altera dictione, aliiſque modulis, vt iis qui ſecundo audiebant, non repetere, iteratóque dicere videretur. celeberrimum verò eorum quæ dicta erant, antequam aduenisset Herodes, *nempe conſiſtentē etiam aquam laborare.* cùm poſtea ſuperueniſſet, hoc alia facultate mutato, *Etiam aquarū* (inquit) *ſuauiores ſunt, quæ errant.* Atque illa è Scythis Alexandri ſunt, *Et concreto quidem Iſtro, ad meridiem tendebam: ſoluto autem ad Septentrionem pergebam incolumi corpore: at non pro vt nunc affecto. quid enim graue pateretur, homo qui horas ſequitur?* In orationis peroratione vrbem exagitās, vt ſuffocatum domicilium, ſuper omnibus ita exclamabat: *verùm pande fores, ſi reſpirare velis.* Tum ad Herodem accurrens, eúmque amplexatus, *Viciſsim* (inquit) *epulas mihi para.* & Herodes, *Quid cunctarer,* inquit, *eum qui me tam lautè excepit?* Auſcultatione ſoluta Herodes, vocatis familiaribus ſuis, eos qui maiores fecerant progreſſus interrogabat, quiſnam ipſis Sophiſta videretur? & cùm Sceptes Corinthius dixiſſet ſe Pelum quidem (hoc eſt, lutum) inueniſſe, Platonem verò quærere: Herodes, ipſum cauillando, *Hoc*, inquit, *apud alium neminem dixeris; nam teipſum calumniaris, vt iudicio inſcitè prolato, aſſentire mihi potius, ipſum ducenti Scopelianum eſſe ſobrium.* Hæc autem Herodes denotabat, cùm hunc virum perſpexiſſet, temperatam expoſitionem audaciæ in ſophiſticis inuentionib. pulcrè accommodantem. deinde,

A νοίας τὰς πρὶν ἥκειν τὸν Ἡρώδην λαμ-
πρῶς αὐτῷ εἰρημένας, μετεχειρίσα-
το ἐπιστάντος οὕτω τῇ ἑτέρᾳ λέξει, καὶ
ἑτέροις ῥυθμοῖς, ὡς τοῖς δεύτερον ἀ-
κροωμένοις, μὴ διλογεῖν δόξαι. τὸ
γοῦν εὐδοκιμώτατον τῶν πρὶν ἐπιστῆ-
ναι τὸν Ἡρώδην εἰρημένων, ἐστὶ δὲ καὶ
τὸ ὕδωρ νοσεῖν. μετὰ ταῦτα ἐπιστάντος,
ἑτέρᾳ δυνάμει μεταβαλὼν, καὶ ὑδά-
B των, εἶπεν, ἥδιω τὰ πλανώμενα. κἀ-
κεῖνα τῶν Σκυθῶν Ἀλεξάνδρου· καὶ πη-
γνυμένου μὲν Ἴστρου, πρὸς μεσημβρίαν
ἤλαυνον· λυομένου δὲ, ἐχώρουν πρὸς ἄρ-
κτον, ἀκέραιος τὸ σῶμα, καὶ οὐχ ὥσπερ
νυνὶ κείμενος. τί γὰρ ἂν πάθοι δεινὸν ἄν-
θρωπος ταῖς ὥραις ἑπόμενος; ἐπὶ τε-
λευτῇ δὲ τοῦ λόγου, διαβάλλων τὴν πόλιν
ὡς πνιγηρὸν οἰκητήριον; τὸ ἐπὶ πᾶσιν
ὧδε ἀνεφθέγξατο. ἀλλ' ἀναπέτασον τὰς
πύλας, ἀναπνεῦσαι θέλων. προσδρα-
C μὼν δὲ τῷ Ἡρώδῃ, καὶ περισχὼν αὐτὸν,
ἀντεφεστίασόν με, ἔφη. καὶ ὁ Ἡρώδης, τί
δὲ οὐ μέλλω, εἶπε, λαμπρῶς οὕτως
ἑστιάσαντα; διαλυθείσης δὲ τῆς ἀκροά-
σεως, καλέσας ὁ Ἡρώδης τῶν ἑαυτοῦ
γνωρίμων τοὺς ἐν ἐπιδόσει, ἠρώτα
ποῖός τις αὐτοῖς ὁ σοφιστὴς φαίνοιτο.
Σκέπτου δὲ ἀπὸ τοῦ Κορίνθου, τοῦ μὲν πη-
D λὸν εὑρηκέναι φήσαντος, τοῦ δὲ Πλάτω-
να ζητεῖν, ἐπισκώπτων αὐτὸν ὁ Ἡρώ-
δης, τουτί, ἔφη, πρὸς μηδένα εἴπῃς ἕ-
τερον· σεαυτὸν γὰρ διαβάλλεις, ὡς ἀμα-
θῶς κρίναντα· ἐμοὶ δὲ ἕπου μᾶλλον, ἡ-
γουμένῳ αὐτὸν Σκοπελιανὸν νήφον-
τα. ταυτὶ δὲ ὁ Ἡρώδης ἐχαρακτήριζε,
καθεωρακὼς τὸν ἄνδρα κεκραμένην
ἑρμηνείαν ἐφαρμόττοντα τῇ περὶ τὰς σοφιστικὰς ἐννοίας τόλμῃ. ἐπιδεικνύ-

A *cultus labores.* & iterùm, *Vir pauper ex Ionia. Ionia verò Græci ſunt, qui habitarant in Barbarorum regione.* hanc autem dicēdi formam Antiochus cauillans, atque ipſum deſpuens, vt delicias agentem in lepôre vocabulorum, cùm Antiochiam veniſſet, ita diſſeruit, *Ioniæ, Lydiæ, Marſyæ, Moriæ* (ſeu fatuitates) *date Queſtiones.* quidnam verò in declamatione eſſet eximium, in his quidem patefactum eſt; at in aliis quoque controuerſiis oſtendatur. B etenim enarrans Periclem bello incumbere hortantem, ac poſt oraculum, in quo Pythius ait ſe & vocatum, & non vocatum, Lacedæmoniis auxiliaturum, ſic occurrit oraculo: *Sed ſi Pythius pollicetur,* inquit, *auxilium Spartanis, mentitur: ita ipſis etiam Tegeam promiſeras.* In medium vero producens conſulentem Dario Iſtrum iungere ponte, *Subterfluat tibi* (inquit) *Scytharū Iſter: at ſi leniter fluens exercitum traduxeris, honora fluuium, ex ipſo bibens.* C Artabazum autē inducens Xerxi diſſuadentē ſecundò militare in Græciam, ita breuiter effatus eſt, *Res quidem Perſarum eiuſmodi ſunt tibi in regione manenti: Res verò Græcorum ita fermè ſe habent: Mare anguſtum, & amentes viri, inuidique Dij.* deinde ægrotantes in campis, ad montes commigrare vrgens, ſic de natura diſſeruit; *Vniuerſitatis etiam opifex videtur mihi campos è viliori ab-* D *iectiorique materia conſtantes depreſſiſſe humi; & montes vt dignitatē præ ſe ferentes ſuſtuliſſe. hos primùm Sol ſalutat, vltimóſque deſerit. quis locum non amet, dies longiores habentem?* Doctores Alexandro fuere, Pha-

A ἱδρῶτας εὐτυχεῖ. καὶ πάλιν· ἀνὴρ πένης ἀπ' Ἰωνίας. ἡ δὲ Ἰωνία, Ἕλληνές εἰσιν, οἰκήσαντες ἐν τῇ βαρβάρων. τὴν δὲ ἰδέαν ταύτην διατωθάζων ὁ Ἀντίοχος, καὶ διαπτύων αὐτὸν ὡς τρυφῶντα ἐς τὴν τῶν ὀνομάτων ὥραν, παρελθὼν ἐς Ἀντιόχειαν, διελέχθη ὧδε. Ἰωνίαι, Λυδίαι, Μαρσύαι, Μωρίαι, δότε προβλήματα. τὰ δὲ ἐν τῇ μελέτῃ πλεονεκτήματα, δεδήλωται μὲν καὶ ἐπὶ τούτων, δηλούσθω δὲ καὶ ἐπ' ἄλλων ὑποθέσεων. B διεξιὼν μὲν γὰρ * τὸν Περικλέα τὸν κελεύοντα ἔχεσθαι τοῦ πολέμου, καὶ μετὰ τὸν χρησμὸν, ἐν ᾧ καὶ καλούμενος, καὶ ἄκλητος ὁ Πύθιος, ἔφη, τοῖς Λακεδαιμονίοις συμμαχήσειν, ὧδε ἀπήντησε τῷ χρησμῷ. ἀλλ' εἰ ὑπισχνεῖται φησὶ τοῖς Λακεδαιμονίοις ὁ Πύθιος βοηθήσειν, ψεύδεται· οὕτως αὐτοῖς καὶ Τέγεαν ἐπηγγείλατο. C διεξιὼν δὲ τὸν ξυμβουλεύοντα τῷ Δαρείῳ ζεῦξαι τὸν Ἴστρον, ὑπορρείτω σοι ὁ Σκυθῶν Ἴστρος. κἂν εὔρους τὴν στρατιὰν διαγάγῃ, τίμησον αὐτὸν, ἐξ αὐτοῦ πιών. τὸν δὲ Ἀρτάβαζον ἀγωνιζόμενος, τὸν ἀπαγορεύοντα τῷ Ξέρξῃ μὴ τὸ δεύτερον στρατεύειν ἐπὶ τὴν Ἑλλάδα, ὧδε ἐβραχυλόγησε. τὰ μὲν δὴ Περσῶν, τοιαῦτά σοι βασιλεῦ κατὰ χώραν μένοντι. τὰ δὲ D Ἑλλήνων, τῇ δέ πῃ. θάλαττα στενὴ, καὶ ἄνδρες ἀπονενοημένοι, καὶ θεοὶ βάσκανοι. τοὺς δὲ ἐν τοῖς πεδίοις νοσοῦντας, ἐς τὰ ὄρη ἀνοικίζεσθαι σπεύδων, ὧδε ἐφυσιολόγησε. δοκεῖ δέ μοι καὶ ὁ τοῦ παντὸς δημιουργὸς, τὰ μὲν πεδία, ὥσπερ ἀτιμοτέρας ὕλης, ῥῖψαι κάτω, ἐπαίρειν δὲ τὰ ὄρη ὥσπερ ἀξιώματα. ταῦτα πρῶτα μὲν ἥλιος ἀσπάζεται, τελευταῖα δὲ, ἀπολείπει. τίς οὐκ ἀγαπήσει τόπον, μακροτέρας ἔχοντα τὰς ἡμέρας; διδάσκαλοι τῷ Ἀλεξάνδρῳ ἐγένοντο, Φα-

χ. σεῖτ:

βωρῖνός τε, καὶ Διονύσιος· ἀλλὰ Διονυσίου μὲν, ἡμιμαθὴς ἀπῆλθε, μεταπεμφθεὶς ὑπὸ τοῦ πατρὸς νοσοῦντος, ὅτε δὴ καὶ ἐτελεύτα. Φαβωρίνου δὲ, γνησιώτατα ἠκροάσατο. παρ' οὗ μάλιστα, καὶ τὴν ἰδέαν τοῦ λόγου ἔσπασε. τελευτῆσαι δὲ τὸν Ἀλέξανδρον οἱ μὲν, ἐν Κελτοῖς φασιν, ἔτι ἐπιστέλλοντα. οἱ δ' ἐν Ἰταλίᾳ, πεπαυμένον τοῦ ἐπιστέλλειν. καὶ οἱ μὲν, ἑξηκοντούτην, οἱ δὲ, καὶ ὀκτώ. καὶ οἱ μὲν, ἐπὶ υἱῷ· οἱ δ' ἐπὶ θυγατρί· ὑπὲρ ὧν οὐδὲν εὗρον λόγου ἄξιον.

A uorinus & Dionyſius: ſed à Dionyſio ſemidoctus abiit, à patre ægrotante reuocatus, tum cùm ille vitam finiit. verùm Phauorinum potiſſimum auſcultauit, à quo maximè dicendi formam eſt conſecutus. ceterùm quidam Alexandrum è viuis exceſſiſſe aiunt apud Celtas, adhuc literas conſcribentem; alij in Italia, cùm à ſcribendo abſtinuiſſet, eundem alij iam ſexagenarium obiiſſe dicunt: alij annos B adiiciunt octo. nonnulli filium reliquiſſe, quidam filiam ferunt, de quib. nihil memoria dignum comperi.

ΟΥΑΡΟΣ.

Ἀξιούσθω λόγου Οὔαρος ὁ ἐκ τῆς Πέργης. Οὐάρῳ πατὴρ μὲν, Καλλικλῆς ἐγένετο, ἀνὴρ ἐν τοῖς δυνατωτάτοις τῶν Περγαίων. διδάσκαλος δὲ, Κοδράτιων ὁ ὕπατος, αὐτοσχεδιάζων τὰς θετικὰς ὑποθέσεις, καὶ τὸν Φαβωρίνου τρόπον σοφιστεύων. πελαργὸν δὲ τὸν Οὔαρον οἱ πολλοὶ ἐπωνόμαζον, διὰ τὸ πυρσὸν τῆς ῥινὸς, καὶ ῥαμφῶδες. καὶ τοῦτο μὲν ὡς οὐκ ἀπὸ δόξης ἠσείζοντο, ἔξεστι συμβαλεῖν ταῖς εἰκόσιν, αἳ ἀνάκεινται ἐν τῷ τῆς Περγαίας ἱερῷ. ὁ δὲ χαρακτὴρ τοῦ λόγου, τοιόσδε. ἐφ' Ἑλλήσποντον ἐλθὼν, ἵππον αἰτεῖς. ἐπ' Ἄθω δὲ ἐλθὼν, πλεῦσαι θέλεις. οὐκ οἶδας ἄνθρωπε τὰς ὁδούς; ἀλλ' Ἑλλησπόντῳ γῆν ὀλίγην ἐπιβαλὼν, ταύτην οἴει σοι μένειν, τῶν ὀρῶν μὴ μενόντων; ἐλέγετο δὲ ἀπαγγέλλειν ταῦτα λαμπρᾷ τῇ φωνῇ, καὶ ἠσκημένῃ. ἐτελεύτα μὲν οὖν οἴκοι, οὔπω γηράσκων, καὶ ἐπὶ παισί. τὸ δὲ ἀπ' αὐτοῦ γένος εὐδόκιμον, πάντες* ἐν τῇ Πέργῃ.

ἴσ. πάλαι

VARVS.

Varus Perga oriundus ſermone eſt honorandus. huic pater fuit Callicles, vir inter potentiſſimos Pergæos; præceptorem habuit Codra- C tionem Conſulem, qui generales controuerſias ex tempore proferebat, & Phauorini more Sophiſtæ munus obibat. Ciconiam multi Varum cognominabant, quia rubram narem habebat, & roſtri inſtar. & quod in hoc non abs re vrbanè iocarentur, ex imaginibus coniicere licet, quæ in Pergææ fano ſunt erectæ. Orationis eius character eiuſmodi eſt: *Ad Helleſpontum profectus, equum petis: ad montem Atho* D *pergens, nauigare vis. vias, mi homo, non tenes? ſed Helleſponto exigua terra ſuper iniecta, hanc tibi manere exiſtimas, montibus non permanentibus?* Porro hæc enunciare clara voce dicebatur, & exercitata. ceterùm domi fato functus eſt, nondum ſeneſcens, & liberis ſuperſtitib. omne autem poſterum genus celebre ac probatum eſt Pergæ.

A

HERMOGENES.

Hermogenes, quem Tarſi tulerunt, quindecim annos natus, eò vſque prouectus eſt claritatis ac celebritatis inter Sophiſtas, vt etiam Imperatori Marco audiendi deſiderium excitauerit. perrexit ergo Marcus ad auſcultationem; & eo diſſerente, gaudio affectus eſt: & ex tempore declamantem admiratus, præclara ipſi munera largitus eſt. Cùm autem virilem ætatem attigiſſet, hoc priuatus eſt habitu, nullo manifeſto morbo; vnde iocandi occaſionem inuidis exhibuit: etenim dictitabát ſermones omnino, ex Homeri ſententia, volucres eſſe: Hermogenem quippe eos, tanquam alas amiſiſſe. Et Antiochus Sophiſta aliquando, ipſum cauillando, *Hic*, inquit, *Hermogenes, inter pueros quidem ſenex; inter ſenes verò puer.* Orationis idea, quam affectauit, eiuſmodi fuit: nam cùm diſſereret coram Marco, *Ecce tibi, Rex*, inquit, *rhetor inſtitutoris egens: orator ætatem expectans.* & alia plura diſſertauit, atq; ita lepida ac ſcurrilia. diem obiit in ætate ingraueſcente, vnus è multis exiſtimatus. Atenim in cõtemptum venit, cùm ars ipſum deſeruiſſet.

ΕΡΜΟΓΕΝΗΣ.

Ἑρμογένης δὲ, ὃν Ταρσοὶ ἠνέγκαν, πεντεκαίδεκα ἔτη γεγονὼς, ἐφ' οὕτω μέγα προὔβη τῆς τῶν σοφιστῶν δόξης, ὡς καὶ Μάρκῳ βασιλεῖ παράδοξον ἔρωτα ἀκροάσεως. ἐβάδισε γοῦν ἐπὶ τὴν ἀκρόασιν αὐτοῦ ὁ Μάρκος· καὶ ἥσθη μὲν διαλεγομένου· ἐθαύμαζε δὲ σχεδιάζοντος. δωρεὰς δὲ λαμπρὰς ἔδωκεν. B ἐς δὲ ἄνδρας ἥκων, ἀφῃρέθη τὴν ἕξιν ὑπ' οὐδεμιᾶς φανερᾶς νόσου. ὅθεν ἀστεϊσμοῦ λόγον παρέδωκε τοῖς βασκάνοις. ἔφασαν γὰρ σὺν λόγοις ἀτεχνῶς καθ' Ὅμηρον πτερόεντας εἶναι. ἀποβεβληκέναι γὰρ αὐτὸν τὸν Ἑρμογένην, καθάπερ πτερά. καὶ Ἀντίοχος ὁ σοφιστὴς ἀποσκώπτων ποτὲ ἐς αὐτὸν, οὗτος, ἔφη, Ἑρμογένης, ὁ ἐν παισὶ μὲν, γέρων, ἐν δὲ γέρουσι, παῖς. C ἡ δὲ ἰδέα, ἣν ἐπετήδευε, τοιάδε τις ἦν. ἐπὶ γὰρ τοῦ Μάρκου διαλεγόμενος, ἰδού σοι, ἔφη, βασιλεῦ, ῥήτωρ παιδαγωγοῦ δεόμενος· ῥήτωρ ἡλικίαν περιμένων. καὶ πλείω ἕτερα διηνέχθη, καὶ ὧδε βωμολόχα. ἐτελεύτα μὲν οὖν ἐν βαθεῖ γήρᾳ, εἷς δὲ τῶν πολλῶν νομιζόμενος. κατεφρονήθη γὰρ, ἀπολιπούσης αὐτὸν τῆς τέχνης.

PHILAGER.

Philager Cilix, Lolliani quidem auditor fuit, Sophiſtarum autem vehementiſſimus, maximéque iracundus. Enimuero dormitanti aliquando aud torem colaphum impegiſſe dicitur. is præclaro quodam naturæ impetu ab adoleſcentia vſus, ne tum quidem, cùm ſenior extitit, ab ea deſtitutus eſt: ſed tantos fecit

D

ΦΙΛΑΓΡΟΣ.

Φιλάγρος δὲ ὁ Κίλιξ, Λολλιανοῦ μὲν ἀκροατὴς ἐγένετο, σοφιστῶν δὲ θερμότατος, καὶ ἐπιχολώτατος. λέγεται γὰρ δὴ νυστάζοντά ποτε ἀκροατὴν ἐπὶ κόρρης πλῆξαι. καὶ ὁρμῇ δὲ λαμπρᾷ ἐν μειρακίου χρησάμενος, οὐκ ἀπελείφθη αὐτῆς οὐδ' ὁπότ' ἐγήρασκεν· ἀλλ' οὕτω τι ἐπέδωκεν,

ὡς καὶ σχῆμα τοῦ διδασκάλου νομισθῆναι. πλείστοις δὲ ἐπιμίξας ἔθνεσι, καὶ δοκῶν ἄριστα μεταχειρίζεσθαι τὰς ὑποθέσεις, οὐ μετεχειρίσατο Ἀθήνησιν ἐς τὴν αὑτοῦ σχολὴν, ἀλλ' εἰς ἀπέχθειαν Ἡρώδῃ κατέστησεν ἑαυτὸν, καθάπερ τούτου *ἀφιγμένος. ἐβάδιζε μὲν γὰρ δείλης ἐν Κεραμεικῷ μετὰ τεττάρων, οἷοι Ἀθήνησιν εἰσὶ τοὺς σοφιστὰς θηρεύοντες. ἰδὼν δὲ νεανίαν ἐκ δεξιᾶς ἀναστρέφοντα μετὰ πλειόνων, σκώπτεσθαί τι ὑπ' αὐτοῦ δόξας, ἀλλ' εἰ σὺ, ἔφη τίς; Ἀμφικλῆς ἐγὼ, ἔφη, εἰ δὴ τὸν Χαλκιδέα ἀκούεις. ἀπέχου τοίνυν, ἔφη, τῶν ἐμῶν ἀκροάσεων. οὐ γάρ μοι δοκεῖς ὑγιαίνειν. τοῦ δὲ ἐρομένου, τίς δὲ ὢν ταῦτα κηρύττεις; δεινὰ πάσχειν, ἦ δ' ὁ Φιλάγρος, εἰ ἀγνοεῖταί ποι. ἐκ φίλου δὲ αὐτοῦ ῥήματος ὡς ἐν ὀργῇ διαφυγόντος, λαβόμενος ὁ Ἀμφικλῆς· καὶ γὰρ δὴ καὶ ἐτύγχανε τῶν Ἡρώδου γνωρίμων τὴν πρώτην φερόμενος, παρὰ τίνι τῶν ἐλλογίμων τοῦτο εἴρηται, ἔφη; καὶ ὅς, παρὰ Φιλάγρῳ.
ἢ. παροινία αὕτη μὲν δὴ ἡ* παροιμία, ἐς τὰ τοιαῦτα προὔβη. τῆς δὲ ὑστεραίας μαθὼν τὸν Ἡρώδην ἐν προαστείῳ διαιτώμενον, γράφει πρὸς αὐτὸν ἐπιστολὴν, καθαπτόμενος τοῦ ἀνδρὸς ὡς ἀμελοῦντος τοῦ τῶν ἀκροατῶν κόσμου. καὶ ὁ Ἡρώδης, οὐ δοκεῖς μοι, ἔφη, οὐ καλῶς προοιμιάζεσθαι, ἐπιπλήττων αὐτῷ ὡς μὴ κτωμένῳ ἀκροατῶν εὔνοιαν, ἣν προοίμιον ἡγεῖσθαι χρὴ τῶν ἐπιδείξεων. ὁ δὲ, ὥσπερ οὐ ξυνιεὶς τοῦ αἰνίγματος, ἢ ξυνιεὶς μὲν, ἐν γέλωτι δὲ τὴν τοῦ Ἡρώδου γνώμην βελτίστην οὖσαν τιθέμενος, ἐψεύσθη τῆς ἐπιδείξεως, παρελθὼν ἐς ἀκροατὰς εὔνους, ὡς γὰρ τῶν πρεσβυτέρων ἤκουον· προσέκρουσε μὲν

A progreſſus, vt ſchema ſiue exemplar magiſtri dicendi haberetur. iam verò cum plurimis nationibus conuerſatus, & optimè controuerſias tractare viſus; Athenis profeſſus non eſt in auditorio ſuo, ſed in ſimultatem venit cum Herode; quod inde profectum eſt: ſi quidē crepuſculo in Ceramico cum quatuor ibat, quales Athenis ſunt qui Sophiſtas venantur: & intuitus adoleſcentulū à dextris ſe cum pluribus B conuertentem, cauillis inceſſi ab eo ratus ait; *At quiſnam, es tu? Amphicles ego* (inquit) *ſi modo Chalcidenſem audis. Abſtine igitur* (inquit) *ab auſcultationibus meis. non enim mihi videris ſanus*. hoc verò interrogante, *Quis verò es, qui hæc prædicas? Grauia paterer* (inquit Philager) *ſi ignorarer alicubi*. Tum Amphicles ipſo ex amica voce, quæ vt per iram effuderat, deprehenſo: etenim ex Herodis familiaribus eum primò fuiſſe conſtabat; *Apud quem eruditum hoc dictum eſt?* inquit. ille ſubiecit, C *Apud Philagrum*. Hoc ſane diuerbiū hucuſque prouectum eſt. Poſtero autem die cùm didiciſſet Herodem in ſuburbano commorari, litteras ad eum ſcripſit, quibus illum perſtringit, quòd auditorum modeſtiæ nullā haberet curam. tùm Herodes: *Videris* (inquit) *mihi non præclarè exordiri*. increpans ipſum quòd auditorum beneuolentiam ſibi non D compararet, quam exordium Speciminum ducere oportet. ille tanquā nō percepto griſo, aut percepto quidem, ſed riſui & ludibrio habita Herodis optima mēte, excidit opinione, in ſpecioſa oratione, cùm ad auditores beneuolos acceſſiſſet; nam vt à veteribus accepi, offendit ſermo

iuuenilem ſonoritatem præ ſe ferens, & notiones venatus, quinetiã viſus eſt iuuenilis. etenim permixtus fuerat Athenienſiũ elogiis mulieris luctus: quæ ipſi in Ionia mortua erat. hanc autem declamationem ſic cautè inſtituerat. ſuſcepta ac decertata ab eo cõtrouerſia fuit in Aſia, eiuſmodi, *Deprecantes non-vocatorum ſocietatem & opem*. hanc editam iam cauſſam memoriæ commendauerat: ſed enim percelebris ob vim memoriæ extitit. cùm ad Herodem rumor hic perueniſſet, quòd Philager prius definitas cauſſas ex tempore ageret: eas verò quæ ſecundo terminatæ erant, non item; ſed priſca meditaretur, & à ſe prius prædicta: propoſuit ipſi Non vocatos iſtos: cùm autem extemporanea dictione vti videretur, viciſſim legebatur declamatio deinde magno tumultu multóque riſu in auſcultatione excitato; Philargus clamans & vociferans; quòd grauia & indigna pateretur, dum à ſuis arceretur; non euitauit culpam, quæ iam fidem fecerat. hæc igitur in Agrippio ſunt peracta. intermiſſis circiter quatuor diebus ad artificum prætorium aduenit, quod ædificatum erat iuxta Ceramici portas, non longe ab equitibus. ibi celeberrima actione exhibens Ariſtogitonem accuſare volentem Demoſthenem quidem quòd Medis faueret, Æſchinem autem, quòd Philippo palparetur, pro quibus ſe inuicem accuſauerãt, præcluſa pronunciatio eſt præ iracundia ſpiritu vocali natura vocem obſcurante & intercludente in bilioſis. character Philagri orationum in diſ-

A ἡ διάλεξις νεαροπρεπὴς δόξασα, καὶ ἐσπασμένη τὰς ἐννοίας. ἔδοξε δὲ καὶ μειρακιώδης. γυναικὸς γὰρ θρῆνος ἐγκατεμέμικτο τοῖς Ἀθηναίων ἐγκωμίοις, τεθνεώσης αὐτῷ ἐν Ἰωνίᾳ. τὴν δὲ μελέτην οὕτως ἐπεβουλεύθη. ἠγώνιστό τις αὐτῷ κατὰ τὴν Ἀσίαν ὑπόθεσις, οἱ παραιτούμενοι τὴν ἀκλήτων συμμαχίαν. ταύτης ἐκδεδομένης ἤδη τῆς ὑποθέσεως, μνήμῃ ξυνελέξατο. ἐπὶ γὰρ δὴ ἐπὶ εὐδο-
B κιμηκὼς ἐν αὐτῇ ἐτύγχανε. λόγου δὲ ἥκοντος ἐς τοὺς ἀμφὶ τὸν Ἡρώδην, ὡς ὁ Φίλαγρος τὰς μὲν πρότερον ὁριζομένας ὑποθέσεις αὐτοσχεδιάζοι, τὰς δὲ δεύτερον οὐκέτι, ἀλλ' ἕωλα μελετῴη, καὶ ἑαυτῷ προειρημένα, προύβαλον μὲν αὐτῷ τοὺς ἀκλήτους τούτους, δοκοῦντι δὲ ἀποσχεδιάζειν, ἀντανεγινώσκετο ἡ μελέτη. θορύβου δὲ πολλοῦ, καὶ γέλωτος τὴν
C ἀκρόασιν κατασχόντος, βοῶν ὁ Φίλαγρος, καὶ κεκραγώς, ὡς δεινὰ πάσχοι, τῶν ἑαυτοῦ εἰργόμενος, οὐ διέφυγε τὴν ἤδη πεπιστευμένην αἰτίαν. ταῦτα μὲν οὖν ἐν τῷ Ἀγριππείῳ ἐπράχθη. διαλιπὼν δὲ ἡμέρας ὡς τέτταρας, παρῆλθεν ἐς τὸ τῶν τεχνιτῶν βουλευτήριον, ὃ δὴ ᾠκοδόμητο παρὰ τὰς τοῦ Κεραμεικοῦ πύλας, οὐ πόρρω τῶν ἱππέων. εὐδοκι-
D μώτατα δὲ ἀγωνιζόμενος τὸν Ἀριστογείτονα, τὸν ἀξιοῦντα κατηγορεῖν τοῦ μὲν Δημοσθένους μηδισμοῦ, τοῦ δὲ Αἰσχίνου Φιλιππισμοῦ, ὑπὲρ ὧν καὶ γεγραμμένοι ἀλλήλοις ἐτύγχανον, ἐσβέσθη τὸ φθέγμα ὑπὸ τῆς χολῆς, ἐπισκοτοῦντος φύσει τοῖς ἐπιχόλοις τὴν φωνὴν τοῦ φωνητικοῦ πνεύματος. χρόνῳ μὲν οὖν ὕστερον ἐπεβάτευσε τοῦ κατὰ τὴν Ῥώμην θρόνου. Ἀθήνησι δὲ ἀπηνέχθη, δι' ἃς εἴρηκα αἰτίας. χαρακτὴρ τῶν Φιλάγρου λόγων ὁ μὲν

ἐν ταῖς διαλέξεσι τοιοῦτος. εἶτα οἴει ἥλιον ἑσπέρᾳ φθονεῖν, ἢ μέλειν αὐτῷ εἴ τις ἔστιν ἀστὴρ ἄλλος ἐν οὐρανῷ; οὐχ οὕτως ἔχει τὰ τοῦ μεγάλου τούτου πυρός. ἐμοὶ μὲν γὰρ δοκεῖ καὶ ποιητικῶς ἑκάστῳ διανέμειν τὸ μὲν ἄρκτον δίδωμι, λέγοντα, τὸ δὲ μεσημβρίαν, τὸ δὲ ἑσπέραν. πάντες δὲ ἐν νυκτί. πάντες, ὅταν ἐγὼ μὴ βλέπωμαι. ἠέλιος δ' ἀνόρουσε, λιπὼν περικαλλέα λίμνην, καὶ ἀστέρες οὐδαμοῦ. τίνες δὲ καὶ οἱ τῆς μελέτης αὐτῷ ῥυθμοὶ ἦσαν, δηλώσει τὰ πρὸς τοὺς ἀκλήτους εἰρημένα. καὶ γὰρ καὶ χαίρειν αὐτοῖς ἐλέγετο. φίλε, τήμερόν σε τεθέαμαι, καὶ τήμερος ἐν ὅπλοις, καὶ μετὰ ξίφους, μὴ λαλεῖς. καὶ τὴν ἀπὸ τῆς ἐκκλησίας μόνην οἶδα φιλίαν. ἄπιτε οὖν ἄνδρες φίλοι. τοῦτο γὰρ ὑμῖν τηροῦμεν τοὔνομα. κἂν δεηθῶμέν ποτε συμμάχων, ἐφ' ὑμᾶς πέμψομεν. εἴπατε δέ που.* μέγεθος μὲν οὖν ὁ Φιλάγρος μετρίου μείζων. τὴν δὲ ὀφρῦν, πικρὸς, καὶ τὸ ὄμμα ἕτοιμος, καὶ ἐς ὀργὴν ἐκκληθῆναι πρόθυμος· καὶ τὸ ἐν αὐτῷ δύστροπον, οὐδ' αὐτὸς ἠγνόει. ἐρομένου γοῦν αὐτὸν ἑνὸς τῶν ἑταίρων τί μαθὼν, παιδοτροφίᾳ οὐ χαίρει; ὅτι, ἔφη, οὐδὲ ἐμαυτῷ χαίρω. ἀποθανεῖν δὲ αὐτὸν οἱ μὲν, ἐν θαλάττῃ· οἱ δὲ, ἐν Ἰταλίᾳ, παρὰ πρῶτον γῆρας.

A ſertationibus quidem eiuſmodi eſt, *Deinde putas Solem Veſpero inuidere, aut curæ ipſi eſſe, ſi quæ ſtella alia in cælo eſt? non ita ſe habent res ingentis huius ignis. nam videtur mihi etiam poëtico more ſic loqui: Do tibi Septentrionem: tibi Meridiem: tibi Veſperum. omnes autem in nocte: omnes, cùm ego non videor.*

Sol pulcra cœpit lucêre palude relicta. Et ſtellæ nullibi. quinam verò ipſi declamationis quoque moduli fuerint, B quæ ad Non-vocatos dicta ſunt, oſtendent: etenim etiam ipſis gaudere dicebatur: *Amice hodie te contemplatus: & hodie in armis: ſum, & cum enſe. non loqueris. & ſolam noui amicitiam à concione contractam: valete ergo amici viri. hoc quippe vobis nomen ſeruamus: at ſi quando auxiliatoribus eguerimus, ad vos mittemus. dicite verò vbinam.** Ceterùm mole quidem Philager mediocri maior fuit: ſupercilio ſeuerus: in- C tuitu promptus: ad iram valde procliuis. ac morum ſuorum peruerſitatem ne ipſe quidem ignorabat, itaque rogante ipſum vno e ſodalibus, Quid cauſæ eſſet cur puerorũ educatione non gauderet: *Quia*, inquit, *ne meipſo quoq. gaudeo.* quidam eum in mari obiiſſe tradũt: alij in Italia, cùm primùm ſeneſcere inciperet.

D

ΑΡΙΣΤΕΙΔΗΣ.

Ἀριστείδην δὲ τὸν εἴτε Εὐδαίμονος, εἴτε εὐδαίμονα, Ἀδριανοὶ μὲν ἤνεγκαν. οἱ δὲ Ἀδριανοὶ, πόλις οὐ μεγάλη ἐν Μυσοῖς. Ἀθῆναι δὲ ἤσκησαν κατὰ τὴν τοῦ Ἡρώδου ἀκμήν. καὶ τὸ ἐν τῇ Ἀσίᾳ Πέργαμον, κατὰ τὴν Ἀριστοκλέους γλῶτταν. νοσώδης δὲ ἐκ μειρακίου γενόμενος, οὐκ

ARISTIDES.

Ariſtidem ſiue Eudæmonis. i. beati filium, ſiue beatum: Adriani quidem protulerunt. (ea verò vrbs eſt non magna apud Myſos.) Athenæ autem exercuerunt, eo ſermonis vigore quo Herodes valebat: & Pergamũ Aſiæ oppidum, iuxta Ariſtoclis linguam. ac licet aduerſa valetudine ab adoleſcentia eſſet, laborem

tamen non fugit. genus porro morbi, & quòd nerui ipſi cohorruiſſent, ipſemet in libris ſacris commemorat. illi autem libri commentariorum diariorum rationem ipſi aliquam continent. atqui diaria boni magiſtri ſunt de quauis re bene diſſerendi. Cùm vero ad dicendum ex tempore, natura minimè propenſus eſſet, accurato orationum generi ſedulam operam dedit: & ad antiquos, animi oculos conuertit: in grandi & vbere dicendi charactere præpolluit, ieiunæ orationis tenuitate exempta. Ariſtidis peregrinationes non multæ fuerunt: neque enim ad multorum gratiam diſſerebat; neque animi æſtum retinebat aduerſus eos, qui cum laudatione non auſcultabant. Gentes vero quas adiit, ſunt Italia, & Græcia, & Ægyptus quæ iuxta Delta habitatur. Æream ipſi ſtatuá erexerunt in foro Smyrnenſi. quòd autem etiam Smyrnæ conditor celebretur, non ſuperba laus eſt, ſed æquiſſima & veriſſima. nam vrbem hanc terræ motibus & hiatibus deletam, adeò grauiter deplorauit apud Marcum, vt in alia quidem parte lamentationis Imperator ſæpe ingemuerit: ſed in hoc loco, *Fauonij ipſam deſertam perflant:* lacrymas quoque libro infuderit; & reſtaurationi vrbis Ariſtidæ impulſu annuerit. verùm antea Ariſtides Marcum in Ionia conuenerat. nam vt à Damiano Epheſio audiui, per tres dies iam Imperator Smyrnæ moratus erat: atque Ariſtidem nondum cognoſcens, interrogabat Quintillios, nunquid in eorum qui ſalutauerant cœtu, deſpectus ipſi vir fuiſſet? hi verò neq; ipſi eum conſpexiſſe aſſeruerút: alioquin enim minimè fuiſſe

A ἠμέλησε τοῦ πονεῖν. τὴν μὲν οὖν ἰδέαν τῆς νόσου, καὶ ὅτι τὰ νεῦρα αὐτῷ ἐπεφρίκει, ἐν ἱεροῖς βιβλίοις αὐτὸς φράζει. τὰ δὲ βιβλία ταῦτα, ἐφημερίδων ἐπέχει τινὰ αὐτῷ* λόγον. αἱ δὲ ἐφημερίδες, ἀγαθοὶ διδάσκαλοι τοῦ περὶ παντὸς εὖ διαλέγεσθαι. ἐπὶ δὲ τὸ σχεδιάζειν μὴ ἑπομένης αὐτῷ τῆς φύσεως, ἀκριβείας ἐπεμελήθη· καὶ πρὸς τοὺς παλαιοὺς ἔβλεψεν, ἱκανῶς τι τοῦ γονίμου ἰσχύσας, B κουφολογίαν ἐξελὼν τοῦ λόγου. ἀποδημίαι δὲ Ἀριστείδου, οὐ πολλαί. οὔτε γὰρ ἐς χάριν τῶν πολλῶν διελέγετο, οὔτε ἐκράτει χολῆς ἐπὶ τοὺς μὴ ξὺν ἐπαίνῳ ἀκροωμένους. ἃ δέ γε ἐπῆλθεν ἔθνη, Ἰταλοί τέ εἰσι, καὶ Ἑλλάς, καὶ ἡ πρὸς τῷ Δέλτα κατῳκισμένη Αἴγυπτος. οἳ χαλκοῦν ἔστησαν αὐτὸν ἐπὶ τῆς κατὰ τὴν Σμύρναν ἀγορᾶς. οἰκιστὴν δὲ καὶ τὸν Ἀριστείδην τῆς Σμύρνης, οὐκ ἀλαζὼν ἔπαινος, C ἀλλὰ δικαιότατός τε, καὶ ἀληθέστατος. τὴν γὰρ πόλιν ταύτην ἀφανισθεῖσαν ὑπὸ σεισμῶν τε, καὶ χασμάτων, οὕτω τι ὠλοφύρατο πρὸς τὸν Μάρκον, ὡς τῇ μὲν ἄλλῃ μονῳδίᾳ, θαμὰ ἐπιστενάξαι τὸν βασιλέα. ἐπὶ δὲ τῷ, ζέφυροι ἐρήμην αὐτὴν καταπνέουσι, καὶ δάκρυα τῷ βιβλίῳ ἐπιστάξαι, ξυνοικίαν τε τῇ πόλει ἐκ τῆς Ἀριστείδου ἐνδοσίμων* ἐπινεῦ- D σαι. ἐτύγχανε δὲ καὶ ξυγγεγονὼς ἤδη τῷ Μάρκῳ ἐν Ἰωνίᾳ Ἀριστείδης. ὡς γὰρ τοῦ Ἐφεσίου Δαμιανοῦ ἤκουον, ἐπεδήμει μὲν ὁ αὐτοκράτωρ ἤδη Σμύρνῃ τρίτην ἡμέραν· τὸν δὲ Ἀριστείδην οὔπω γινώσκων, ἤρετο τοὺς Κυιντιλλίους, μὴ ἐν τῷ τῶν ἀσπαζομένων ὁμίλῳ παρεωραμένος αὐτῷ ὁ ἀνὴρ εἴη. οἱ δέ, οὐδ' αὐτοὶ ἔφασαν ἑωρακέναι αὐτόν· οὐ γὰρ ἂν

χ. αὐτοῦ

γρ. χ. ἐνδοῦσαι

* παρεῖναι, τὸ μὴ οὐ ξυσπεῦσαι. καὶ ἀφίκοντο τῇ ὑστεραίᾳ τὸν Ἀριστείδην ἄμφω δορυφοροῦντες. προσειπὼν δὲ αὐτὸν ὁ αὐτοκράτωρ· διὰ τί σε, ἔφη, βραδέως εἴδομεν; καὶ ὁ Ἀριστείδης, θεώρημα, ἔφη, ὦ βασιλεῦ, ἠσχόλει· γνώμη δὲ θεωροῦσά τι, μὴ ἀποκρεμαννύσθω οὗ ζητεῖ. ὑπερησθεὶς δὲ ὁ αὐτοκράτωρ τῷ ἤθει τοῦ ἀνδρὸς ὡς ἁπλοϊκωτάτῳ, πότε, ἔφη, ἀκροάσομαί σου; καὶ ὁ Ἀριστείδης, τήμερον, εἶπε, πρόβαλε, καὶ αὔριον ἀκροῶ· οὐ γὰρ ἐσμὲν τῶν ἐμούντων, ἀλλὰ τῶν ἀκριβούντων. ἐξέστω δέ, ὦ βασιλεῦ, καὶ τοῖς γνωρίμοις παρεῖναι τῇ ἀκροάσει. ἐξέστω, ἦ δ' ὁ Μάρκος. δημοτικὸν γάρ. εἰπόντος δὲ τοῦ Ἀριστείδου, δεδόσθω δὲ αὐτοῖς ἐμβοᾶν, καὶ κροτεῖν, ὦ βασιλεῦ, ὁπόσον δύνανται. μειδιάσας ὁ αὐτοκράτωρ, τοῦτο, ἔφη, ἐπὶ σοὶ κεῖται. οὐκ ἔγραψα τὴν μελετηθεῖσαν ὑπόθεσιν, ἐπειδὴ ἄλλοι ἄλλην φασίν. ἐκεῖνό γε μὴν πρὸς πάντων ὁμολογεῖται, τὴν Ἀριστείδου ἀρίστην φορὰν ἐπὶ τοῦ Μάρκου χρήσασθαι, πόρρωθεν τῇ Σμύρνῃ ἑτοιμαζούσης τῆς τύχης τὸ δι' ἀνδρὸς τοιούτου διανοικισθῆναι. καὶ οὐ φησι* ταῦτα, ὡς οὐχὶ καὶ τοῦ βασιλέως ἀνοικήσαντος ἀπολωλυῖαν πόλιν, ἣν οὐδὲ ἐθαύμασεν· ἀλλ' ὅτι αἱ βασίλειοί τε, καὶ θεσπέσιοι φύσεις, ἢν προσεγείρῃ αὐτὰς ξυμβουλία, καὶ λόγος, ἀναλάμπουσι μᾶλλον, καὶ πρὸς τὸ ποιεῖν εὖ ξὺν ὁρμῇ φέρονται. Δαμιανοῦ κἀκεῖνα ἤκουον, τὸν σοφιστὴν τοῦτον διαβάλλειν μὲν τοὺς αὐτοσχεδίους ἐν ταῖς διαλέξεσι, θαυμάζειν δὲ οὕτω τὸ σχεδιάζειν, ὡς καὶ ἰδίᾳ ἐκπονεῖν αὐτό, ἐν δωματίῳ αὐτὸν καθειργνύντα. ἐξεπόνει δέ, κῶλον ἐκ κώλου, καὶ νόημα

* ἴσ. φασὶ τ.

A prætermiſſuros quo minus cōmendarent: ac poſtero die redierunt ambo Ariſtidē ſtipantes. tum alloquutus ipsū Imperator, *Quare te*, inquit, *ſerò vidimus*? ſubiecit Ariſtides, *Theorema, ô Rex, nos occupabat. atqui mens aliquid conſiderãs ab eo quod quærit ſuſpenſa eſſe non debet.* Exhilaratus Imperator viri indole tanquam ſimpliciſſima. *Quando* (inquit) *audiam te*? & Ariſtides. *Hodie* (inquit) *propone, & cras audies: non enim ex iis* B *ſumus, qui vomunt, ſed ex iis, qui accuratè faciunt: Liceat autem, ô Rex, etiam notos & familiares intereſſe auſcultationi. Liceat* (inquit Marcus) *ſiquidem populare eſt.* Cùm vero addidiſſet Ariſtides, *Concedatur etiam ipſis exclamare, ô rex, & plaudere, quantum valent.* Imperator hîc arridens, *Hoc*, inquit, *in te ſitum eſt.* Non adſcripſi controuerſiā, de qua declamationem inſtituerat: quandoquidem alij aliam eſſe dicunt. C illud profectò ab omnibus conceditur, Ariſtidem optimo inſtinctu, Marco vſum fuiſſe, Fortuna longe antea Smyrnæ iſtud comparante, vt per talem virum vrbs reſtauraretur. at non hæc aſſeruit, quaſi rex ciuitatem dirutam non inſtauraturus eſſet; quam incolumen admiratus fuerat: verùm quoniam regiæ & diuinæ naturæ, ſi conſilium & oratio ipſas concitet, eò magis relucent, & ad benignè agendum D cum impetu feruntur. hæc quoque audiui à Damiano; hunc Sophiſtam exagitaſſe quidem dicentes ex tempore in diſſertationibus, adeò tamen extemporaneam actionē ſuſpexiſſe, vt priuatim in eo laboraret in conclaui incluſus. in eo verò dabat operam, vt membrum ex membro, & ſententiam ex ſententia reuo-

tia reuolutaret ; hoc autem mandentis potius quàm edẽtis eſſe cenſeremus. etenim ſubita declamatio linguæ volubilis contentio & certamen eſt. quidam porrò Ariſtidem accuſant, quòd exordium tralatitium & inelegans adhibuerit actioni mercenariorum terram repetentium. namque ita ipſum hanc cauſam fuiſſe exorſum, *Non ceſſabunt iſti homines nobis negotia faceſſere.* ſunt etiam qui huius viri vigorẽ carpant in declamatione eius, qui munitionẽ Lacedæmonis deprecatur, vbi ita dictum eſt : *Nunquid enim in muro formidaremus, coturnicum naturam aſſequuti.* Reprehendunt etiam adagium vt abiectè emiſſum : atenim inſectans Alexandrum tanquam patris grauitatem imitantem in negotiis, Patris filium eſſe dixit. iidem cauillum etiam accuſant, quoniam Arimaſpos luſcos dixerat cognatos eſſe Philippi : eo quòd Demoſthenes cauſam dixiſſet apud Græcos pro tragico Simia, & Oenomao Aruali. at verò non ex iis Ariſtidem noris : imò ipſum declaret, tum Iſocrates Athenienſes educens è mari : & qui Callixenem carpit quòd non decem ſepelierit : & deliberantes de rebus Siculis : & Aiſchines qui non acceperat frumentum pro Kerſoblepta : & deprecantes fœdera poſtquã occidiſſent familias; in qua maximè controuerſia edocet nos, quomodo quis periculoſas & tragicas notiones aggrederetur. Plures quoque alias controuerſias noui, in quibus hic vir eruditionem ſummam indicat, & vim & ingenium : vnde potius ipſum inſpicere par eſt, quàm ſicubi de-

A ἐκ νοήματος ἐπανακυκλῶν. τουτὶ δὲ ἡ-
γώμεθα μασωμένου μᾶλλον, ἢ ἐσθίον-
τος. αὐτοσχέδιος γὰρ, γλώττης εὐροούσης
ἀγώνισμα. κατηγοροῦσι δὲ τοῦ Ἀριστείδου
τινὲς, ὡς εὐτελὲς εἰπόντος προοίμιον ἐπὶ
τῶν μισθοφόρων τῶν ἀπαιτουμένων τὴν
γῆν. ἦρξατο γὰρ δὴ αὐτῆς τῆς ὑποθέσεως
ταύτης ὧδε· Οὐ παύσονται οὗτοι οἱ ἄν-
θρωποι παρέχοντες ἡμῖν πράγματα.
λαμβάνονται δέ τινες καὶ ἀκμῆς τοῦ ἀν-
B δρὸς, ἐπὶ τοῦ παραιτουμένου τὸν τειχισμὸν
τῆς Λακεδαίμονος. εἴρηται δὲ ὧδε· μὴ γὰρ
δὴ ἐν τείχει ἐπτήξαιμεν, ὀρτύγων ἀ-
ναψάμενοι φύσιν. λαμβάνονται δὲ καὶ
παροιμίας, ὡς ταπεινῶς προσερριμ-
μένης. ἐπιδιαβάλλων γὰρ τὸν Ἀλέξαν-
δρον ὡς παραζώζοντα τὴν ἐν τοῖς πρά-
γμασι δεινότητα, τὸ πατρὸς, ἔφη, τὸ παι-
δίον εἶναι. οἱ αὐτοὶ κατηγοροῦσι καὶ σκώμ-
ματος, ἐπεὶ τοὺς Ἀριμασποὺς τοὺς μο-
C νομμάτους, ἔφη, ξυγγενεῖς εἶναι τοῦ Φιλίπ-
που. ὥσπερ τοῦ Δημοσθένους ἀπολελογη-
μένου τοῖς Ἕλλησι ὑπὲρ τοῦ τραγικοῦ πι-
θήκου, καὶ τοῦ Ἀρουραίου Οἰνομάου. ἀλλὰ μὴ
ἐκ τούτων τὸν Ἀριστείδην, δηλούτω δὲ αὐ-
τὸν ὁ, τὸν Ἰσοκράτης, ὁ τοὺς Ἀθηναίους ἐξά-
γων τῆς θαλάττης, καὶ ὁ ἐπιτιμῶν τῷ Καλ-
λιξείνῳ ἐπὶ τῷ μὴ θάψαι τοὺς δέκα,
καὶ οἱ βουλευόμενοι περὶ τῶν ἐν Σικελίᾳ,
D καὶ ὁ μὴ λαβὼν Αἰσχίνης ὑπὲρ τοῦ Κερσο-
βλέπτου τὸν σῖτον, καὶ οἱ παραιτούμενοι
τὰς σπονδὰς μετὰ τὸ κτεῖναι τὰ γένη· ἐν
ᾗ μάλιστα ὑποθέσεων, ἀναδιδάσκει ἡ-
μᾶς πῶς ἄν τις ἀσφαλῶς κεκινδυνευ-
μένας τε, καὶ τραγικὰς ἐννοίας μεταχει-
ρίσαιτο. καὶ πλείους ἑτέρας ὑποθέσεις οἶδα, εὐπαιδευσίαν ἐνδεικνυμένας τοῦ ἀν-
δρὸς τούτου, καὶ ἰσχὺν, καὶ ἦθος. ἀφ᾽ ὧν μᾶλλον αὐτὸν θεωρητέον, ἢ εἴπου

καὶ περιέπλευσέ τι, ἐς φιλοτιμίαν ἐκπεσών. καὶ τεχνικώτατος δὲ σοφιστῶν ὁ Ἀριστείδης ἐγένετο, καὶ πολὺς ἐν θεωρήμασι. ὅθεν καὶ τοῦ σχεδιάζειν ἀπηνέχθη. τὸ γὰρ κατὰ θεωρίαν βούλεσθαι περάγειν πάντα· ἀσχολεῖ τὴν γνώμην, καὶ ἀπαλλάττει τοῦ ἑτοίμου. ἀποθανεῖν δὲ τὸν Ἀριστείδην οἱ μὲν, οἴκοι γράφοισιν· οἱ δὲ, ἐν Ἰωνίᾳ· ἔτη βιώσαντα οἱ μὲν ἑξήκοντά φασιν· οἱ δὲ, ἀγχοῦ τῶν ἑβδομήκοντα.

A ſpectus lapſúſve fuerit, & gloriæ cupiditate tranſuerſum actus. Ceterùm Ariſtides omnium Sophiſtarum artificioſiſſimus, & multus in theorematis ſeu ſpeculationibus. Ac proinde ab extẽporanea dicendi ratione animum auocauit. ſed enim ex ſpeculatione omnia velle producere mentem, occupat, & à promptitudine arcet. Ariſtidẽ quidam domi obiiſſe dicunt, quidam in Ionia, cùm annos ſexaginta vi- B xiſſet, vt nonnulli aiunt: ſunt qui non pauciores ſeptuaginta tribuant.

ΑΔΡΙΑΝΟΣ.

ADRIANVS.

Ἀδριανὸν δὲ τὸν Φοίνικα, Τύρος μὲν ἤνεγκεν, Ἀθῆναι δὲ ἤσκησαν. ὡς γὰρ τῶν ἐμαυτοῦ διδασκάλων ἤκουον, ἀφίκετο μὲν ἐς αὐτὰς κατὰ Ἡρώδην, φύσεως δὲ ἰσχὺν σοφιστικωτάτην ἐνδεικνύμενος, καὶ οὐκ ἄδηλος ὤν, ὡς ἐπὶ μέγα ἥξοι. ἐφοίτησε μὲν γὰρ τῷ Ἡρώδῃ, ὀκτὼ καὶ δέκα γεγονὼς ἴσως ἔτη. καὶ ταχέως ἀξιωθεὶς ὧν Σκέπτός τε, καὶ Ἀμφικλῆς ἠξιοῦντο. ἐνεγράφη καὶ τῇ τοῦ Κλεψυδρίου ἀκροάσει. τὸ δὲ Κλεψύδριον, ὧδε εἶχε. τῶν τοῦ Ἡρώδου ἀκροατῶν δέκα οἱ ἀρετῆς ἀξιούμενοι, ἐπεσιτίζοντο τῇ εἰς πάντας ἀκροάσει, κλεψύδραν ξυμμεμετρημένην, εἰς ἑκατὸν ἔπη, ἃ διῄει ἀποτάδην ὁ Ἡρώδης, παρῃτημένος τὸν ἐν τῇ ἀκροατῶν ἔπαινον, ὁ μόνος γεγονὼς τοῦ λέγειν. παραδεδωκότος δὲ αὐτοῦ τοῖς γνωρίμοις, τὸ μηδὲ τοῦ πότου καιρὸν ἀνιέναι, ἀλλὰ κἀκεῖ τι ἐπισπουδάζειν τῷ οἴνῳ, ξυνέπινε μὲν ὁ Ἀδριανὸς, τοῖς ἀπὸ τῆς κλεψύδρας, ὡς

Adrianum Phœnicem Tyrus quidem protulit, Athenæ verò exercuerunt. nam vt à meis præceptoribus accepi, is Athenas Herodis tempore venit: naturæ autem vim maxime Sophiſticam atque argutam oſtendit, adeò vt incertum non eſſet, eum ad ſummum apicem venturum. Enimuero Herodis ſcholam C frequentauit, annos octo & decem fortaſſe natus: & quamprimum iis muneribus, quæ Sceptus & Amphicles obtinuerant, honoratus; inſcriptus eſt etiam ad Clepſydrij auſcultationem. Clepſydrium vero ita ſe habebat. decem ex Herodis auditoribus virtute exculti, epulo doctrinæ perfruebantur, nempe auſcultationem apud omnes, clepſy- D dra moderata ad centum verſus quos Herodes extenſè & prolixè recitauerat, deprecatus laudem ab auditoribus tributam, & ſolus ad dicendum à natura comparatus. Cùm porro ipſe tradidiſſet familiaribus ſuis, vt ne conuiuij quidem tempus remitterent; ſed & inter pocula aliquid ſerij admiſcerent: icirco Adrianus, quaſi ad magni arca-

ni cõmunicationem admiſſus, cum his qui è clepſydra numerabantur, comeſſatus eſt. Cùm vero de optima Sophiſtarum idea inter eos ſermo incidiſſet, in medium prodiens Adrianus: Ego quidem (inquit) characteres ſubſcribam, nec inciſorum, minimarúmve ſubtilium notionum, vel interpunctionum, aut modulorum recenſum faciam: ſed ad imitationem me præbebo: & omnium etiam ſententias ex tempore, linguæ volubilitate fretus, expeditè proferam. Cùm hic Herodem præteriiſſet, Amphicles interrogabat, qua de cauſa præceptorem ipſorum prætermiſiſſet; cùm & ipſe hanc ideam amaret, atque illos amantes videret. Quoniam (inquit Adrianus) hi tales ſunt, vt temulento quidem imitationẽ traderent: ſed Herodem eloquẽtiæ principẽ, ſatis eſt ſi abſtemius & ſobrius repræſentauero. Hæc Herodi nũciata cum accenderunt, alioquin bonæ exiſtimationis cupidũ, idem extemporaneæ quoque orationis auſcultationem Herodi iuuenis adhuc renunciauit. Herodes non vt plerique calumniantur, inuidens & cauillans, ſed propitius & beneuolens cum audiſſet, iuuenem corroborauit his ſuper omnibus adiectis verbis, *Coloſſi magna hæc fragmenta fuerint.* partim ipſum emendans, quòd diſſolutus atque incompoſitus præ ætate eſſet; partim collaudans ob vocalitatem & magna animi ſenſa. In Herodis funere orationem habuit viro digniſſimam, vt auſcultantibus Athenienſibus lachrymas in concione excitauerit. Tanta fiducia fretus, ad Athenienſium ſuggeſtum acceſſit, vt orationis ſuæ exordium non ab Athenienſium, ſed à ſuamet ipſius ſapientia duxerit. Sic enim exorſus eſt: *Iterum è*

A κοινωνὸς μεγάλου ἀπορρήτου· λόγου δὲ αὐτοῖς περὶ τῆς ἰδέας τῶν σοφιστῶν ἰδίας προβαίνοντος, παρελθὼν ἐς μέσους ὁ Ἀδριανὸς, ἐγὼ, ἔφη, ὑπογράψω τοὺς χαρακτῆρας, οὐ κομματίων ἀπομνημονεύων, ἢ νοϊδίων, ἢ κώλων, ἢ ῥυθμῶν· ἀλλ' ἐς μίμησιν ἐμαυτὸν καθιστὰς, καὶ τὰς ἁπάντων διανοίας ἀποσχεδιάζων σὺν εὐροίᾳ, καὶ ἀφιεὶς τῇ γλώττῃ.
B παραλιπόντος δὲ αὐτοῦ τὸν Ἡρώδην, ὁ μὲν Ἀμφικλῆς ἤρετο, τοῦ χάριν τὸν διδάσκαλον αὐτῶν παρέλθοι, αὐτός τε ἐρῶν τῆς ἰδέας, κἀκείνους τι ἰδὼν ἐρῶντας. ὅτι, ἔφη, οὗτοι μὲν οἷοι καὶ μεθύοντι παραδοῦναι μίμησιν· Ἡρώδην δὲ τὸν βασιλέα τῶν λόγων, ἀγαπητὸν, ἦν ἄοινός τε, καὶ νήφων ὑποκρίνωμαι. ταῦτα ἀπαγγελθέντα τῷ Ἡρώδῃ, διέκαιεν αὐτὸν, ἥττω καὶ ἄλλως
C ὄντα εὐδοξίας. ἐπήγγελε δὲ τῷ Ἡρώδῃ καὶ ἀκρόασιν σχεδίου λόγου νεάζων ἔτι. καὶ ὁ Ἡρώδης, οὐχ ὡς διαβάλλουσί τινες, βασκαίνων τι, καὶ τωθάζων, ἀλλ' ἀπὸ τοῦ διακειμένου τε, καὶ ἵλεω ἀκροασάμενος, ἐπέρρωσε τὸν νεανίαν, εἰπὼν ἐπὶ πᾶσι, κολοσσοῦ ταῦτα μεγάλα σπαράγματα εἴη· ἅμα μὲν διορθούμενος αὐτὸν ὡς ὑφ' ἡλικίας διεσπαρμένον τι, καὶ μὴ ξυγκείμενον, ἅμα δὲ ἐπαινῶν ὡς μεγα-
D λόφωνόν τι, καὶ μεγαλογνώμονα. καὶ λόγον τῷ Ἡρώδῃ ἀποθανόντι ἐπεφθέγξατο ἀπάξιον* τοῦ ἀνδρὸς, ὡς ἐς δάκρυα ἐκκληθῆναι τοὺς Ἀθηναίους ἐν τῇ τοῦ λόγου ἀκροάσει. μεστὸς δὲ οὕτω παρρησίας ἐπὶ τὸν θρόνον παρῆλθε τὸν Ἀθήνησιν, ὡς προοίμιόν οἱ γενέσθαι τῆς πρὸς αὐτοὺς διαλέξεως μὴ τὴν ἐκείνων σοφίαν, ἀλλὰ τὴν ἑαυτοῦ. ἤρξατο γὰρ ὧδε. πάλιν ἐκ

Φοινίκης γράμματα. τὸ μὲν δὴ προοίμιον τοῦτο, ὑπεραινοῦντος* ἦν τοὺς Ἀθηναίους, καὶ διδόντος αὐτοῖς ἀγαθὸν μᾶλλον, ἢ λαμβάνοντος. μεγαλοπρεπέστατα δὲ τοῦ Ἀθήνησι θρόνου ἐπεμελήθη, ἐσθῆτα μὲν πλείστου ἀξίαν ἀμπεχόμενος, ἐξηρτημένος τὰς θαυμασιωτέρας τῶν λίθων. καὶ καθιὼν δὲ ἐπὶ τὰς σπουδὰς ἐπ' ἀργυροχαλίνου ὀχήματος. ἐπεὶ δὲ σπουδάσειε, ζηλωτὸς αὖ ἐπανιὼν ξὺν πομπῇ τοῦ πανταχόθεν Ἑλληνικοῦ. οἱ δὲ γὰρ ἐθεράπευον αὐτόν, ὥσπερ τὰ γένη Ἐλευσῖνος, ἱεροφάντην λαμπρῶς ἱερουργοῦντα. ὑπεποιεῖτο δὲ αὐτοὺς καὶ παιδιαῖς, καὶ πότοις, καὶ θήραις, καὶ κοινωνίᾳ πανηγύρεων Ἑλληνικῶν, ἄλλα ἄλλῳ ξυνεάζων. ὅθεν διέκειντο πρὸς αὐτόν, ὡς πρὸς πατέρα παῖδες ἡδύν τε καὶ πρᾶον καὶ ξυνδιαφέροντα αὐτοῖς τὸ Ἑλληνικὸν σκίρτημα. ἐγώ τοι καὶ δακρύοντας αὐτοῦ ἐνίους οἶδα, ὁπότε ἐς μνήμην τοῦ ἀνδρὸς τούτου καθίσταιντο· καὶ τοὺς μέν, τὸ φθέγμα ὑποκοριζομένους· τοὺς δέ, τὸ βάδισμα· τοὺς δέ, τὸ εὔσχημον τῆς στολῆς. ἐπαχθεῖσαν δὲ αὐτῷ καὶ* φονικὴν αἰτίαν, ὧδε ἀπέφυγεν. ἦν Ἀθήνησιν ἀνθρώπιον, οὐκ ἀγύμναστον τοῦ περὶ τοὺς σοφιστὰς δρόμου. τούτῳ ἀμφορέα μέν τις οἴνου προσάγων, ἢ ὄψα, ἢ ἐσθῆτα, ἢ ἀργύριον, εὖ μεταχειρίστῳ* ἐχρήσατο, καθάπερ οἱ τὰ πεινῶντα τῶν θρεμμάτων τῷ θαλλῷ ἄγοντες. εἰ δὲ ἀμελοῖντο, φιλολοιδόρως εἶχε, καὶ ὑλάκτει. τῷ μὲν οὖν Ἀδριανῷ προσκεκρούκει διὰ τὸ εὐχέρειαν τοῦ ἤθους· Χρῆστον δὲ τὸν ἐκ Βυζαντίου σοφιστὴν ἐθεράπευε. καὶ ὁ μὲν Ἀδριανός, ἐκαρτέρει τὰ ἐξ αὐτοῦ πάντα δήγματα, κόρεων τὰς ἐκ τῶν τοιούτων λοιδορίας καλῶν. οἱ γνώριμοι δὲ οὐκ ἐνεγκόντες,

γρ. χ. ὑπερτιθέντος

χ. ὑπομιμουμένους

χ. φονικὴν

γρ. χ. ἀμεταχ.

A *Phœnicia literæ*. hoc proœmium viri fuit, non Athenienſes extollentis, ſed bonum potius dantis, quàm accipientis. Magnificentiſſimè oratorio Athenienſium throno operam collocauit. veſte ſpecioſiſſima pretioſiſſimáq; indutus, & admirabilibus lapillis exornata; atq; ad Eleuſina ſacra equo freno inſigni argenteo vectus, deſcendebat, factáque re diuina cum comitatu ex vniuerſa Græcia collecto redibat. Hi B namque lubenter ei inſeruiebant, vt & Eleuſinis gentes, quaſi antiſtiti ſacris præclarè operanti. Eos enim ludis & conuiuiis, & venationibus, & ludicrorum Græcorum communicatione ſibi conciliauerat, alia cum alio iuueniliter tractans: vnde ita erga ipſum animati erant, vt liberi in patrem iucundum atque mitem: vnáq; inter ſe ſaltationem Græcã adhibebant. Ego verò quoſdam lachrymari noui, quando in C viri memoriam incidebant, dum alij vocem ipſius effingerent, alij greſſum, alij veſtitus venuſtatem. Homicidij crimine ſibi illato ſic abſolutus eſt. Athenis homullus quidam fuit, non inexercitatus in curriculo Sophiſtis familiari. Cùm huic quidam vini cadum, obſonia, veſtem, argentúmve adferret, ita facile ac familiariter vſus eo eſt, quẽadmodũ qui famelica pecora virga oleagina ducunt. quod ſi id negli- D gerent, cõuiciabatur, & oblatrabat. Adriano demum propter morum facilitatem infeſtus fuit. Chreſtum Byzantinum verò Sophiſtam obſeruabat. Adrianus certè omnes eius morſus æquo animo tolerauit: dum maledicta culicũ morſus appellaret. at familiares qui ferre non poterãt,

ſuis famulis imperarunt, vt ferrent eum & pulſarent: quare intumeſcentibus inteſtinis trigeſimo die vita deceſſit. cùm aliquam etiam morti occaſionem præbuiſſet: quoniam merum ægrotans biberat: qui autem genere attinebant defuncto, apud Græciæ prætorem cædis accuſant Sophiſtam, vt vnum ex Athenienſibus; cui à tribus erat ipſi & populus Athenis. Is verò crimen inficiatus eſt, quippe qui neque ſuis, neque ſeruorum manibus eum, qui mortuus dicebatur, feriiſſet. Primùm huic defenſioni contulit Græcorum cœtus; quas ſuper ipſo non lugubres voces cum lacrymis effundentes? Deinde ſuper vino medici teſtimonium acceſſit. Quibus verò temporib. Marcus Imperator pro myſteriis Cereris Athenas legatos miſerat, hic ille vir Sophiſtarũ ſuggeſtum obtinebat: itáq; Marcus in vna Athenienſiũ hiſtoriæ parte poſuit, quòd neque illius doctrinam ignoraſſent. Atenim hunc iuuenibus præfecerat, non quòd audiendo eum exploraſſet, ſed quòd famæ aſſenſus eſſet. Cùm Seuerus vir Conſularis hunc calumniis afficeret, tanquã in Sophiſticis cauſis debacchantem, quippe cùm in certamine aciéq; forẽſi præpolleret: Marcus ad hoc arguendũ ac refutandũ obiecit ei Hyperidem, qui tum cùm Philippus erat in Elatia, ad ſolas Demoſthenis ſententias ſe conuertebat. Hic enim certamen ita induſtrie inſtituit, vt ne Polemonis quidem vehementiæ cedere videretur. Admiratus ergo eum Imperator eo vſque muneribus & donis euexit, vt magnum effecerit. Munera voco ſportulas, ſtipendiáve, prærogatiuas, immunitates, pontificatus, &

Munerum & donor. diſcrim.

A περιεκελεύσαντο τοῖς ἑαυτῶν οἰκέταις παίειν αὐτόν· καὶ ἀνοιδησάντων αὐτῷ τῶν σπλάγχνων, ἡμέραις τριάκοντα ἀπέθανε, παρασχών τινα καὶ αὐτὸς τῷ θανάτῳ λόγον, ἐπεὶ ἀκράτου νοσῶν ἐσπάσεν. οἱ δὲ προσήκοντες τῷ τεθνεῶτι, γράφονται τὸν σοφιστὴν φόνου, παρὰ τῷ τῆς Ἑλλάδος ἄρχοντι, ὡς ἕνα Ἀθηναίων, ἐπεὶ φυλὴ τῆς ἦν αὐτῷ, καὶ δῆμος Ἀθήνησιν. B ὁ δὲ, ἀπέγνω τὴν αἰτίαν, ὡς μήτε ταῖς ἑαυτοῦ χερσὶ, μήτε ταῖς τῶν ἑαυτοῦ δούλων τετυπηκὼς τὸν τεθνάναι λεγόμενον. ξυνήρατο δὲ αὐτῷ τῆς ἀπολογίας, πρῶτα μὲν, τὸ Ἑλληνικὸν, τίνας οὐχὶ ἀφιέντες ὑπὲρ αὐτοῦ φωνὰς δακρύοις ἅμα. ἔπειτα ἡ ἐπὶ τῷ οἴνῳ τοῦ ἰατροῦ μαρτυρία. κατὰ δὲ τοὺς χρόνους, οὓς ὁ αὐτοκράτωρ Μάρκος Ἀθήναζε ὑπὲρ μυστηρίων ἐστάλη, ἐκράτει μὲν ἤδη τοῦ τῶν σοφιστῶν θρόνου ὁ ἀνὴρ οὗτος, ἐν μέρει δὲ C ὁ Μάρκος τῆς τῶν Ἀθηναίων ἱστορίας μηδὲ τὴν ἐκείνου σοφίαν ἀγνοῆσαι· καὶ γὰρ δὴ ἐπέταξεν αὐτὸν τοῖς νέοις, οὐκ ἀκροάσει βασανίσας, ἀλλὰ ξυνθέμενος τῇ περὶ αὐτοῦ φήμῃ. Σεβήρου δὲ, ἀνδρὸς ὑπάτου διαβάλλοντος αὐτὸν, ὡς τὰς σοφιστικὰς ὑποθέσεις ἐκβακχεύοντα, διὰ τὸ ἐρρῶσθαι πρὸς τοὺς ἀγῶνας, ἔλεγχον τούτου D ποιούμενος ὁ Μάρκος, προύβαλε μὲν αὐτῷ τὸν Ὑπερίδην τὸν ἐς μόνας ἐπιστρέφοντα τὰς Δημοσθένους γνώμας, ὅτε δὴ ἐν Ἐλατείᾳ Φίλιππος ἦν. ὁ δὲ, οὕτω τὸν ἀγῶνα δεινῶς διέθετο, ὡς μηδὲ τοῦ Πολέμωνος ῥοίζου λείπεσθαι δόξαι. ἀγασθεὶς δὲ αὐτὸν ὁ αὐτοκράτωρ, ἐπὶ μέγα ἦρε δωρεαῖς τε, καὶ δώροις· καλῶ δὲ δωρεὰς μὲν, τάς τε σιτήσεις, καὶ τὰς προεδρίας, καὶ τὰς ἀτελείας, καὶ τὸ ἱερῶσθαι, καὶ

ὅσα ἄλλα λαμπρύνει ἄνδρας. δῶρα δὲ, χρυσὸν, ἀργύριον, ἵππους, ἀνδράποδα, καὶ ὅσα ἑρμηνεύεις* πλοῦτον· ὧν αὐτόν τε ἐνέπλησε, καὶ γένος τὸ ἐκείνου πάντας. κατασχὼν δὲ τὸν ἄνω* θρόνον, οὕτω τὴν Ῥώμην πρὸς αὐτὸν ἐπέστρεψεν, ὡς καὶ τοῖς ἀξυνέτοις τῆς γλώττης Ἑλλάδος, ἔρωτα παρασχεῖν ἀκροάσεως. ἠκροῶντο δὲ ὥσπερ εὐστομούσης ἀηδόνος, τὴν εὐγλωττίαν ἐκπληττόμενοι, καὶ τὸ σχῆμα, καὶ τὸ εὔστροφον τοῦ φθέγματος, καὶ τοὺς πεζῇ τε, καὶ ξὺν ᾠδῇ ῥυθμούς. ὁπότε οὖν σπουδάσειε περὶ τὰς ἐγκυκλίους θέας, ὀρχηστῶν δὲ αὗται τὸ ἐπίπαν, φανέντος ἂν περὶ τὴν σκηνὴν τοῦ τῆς ἀκροάσεως ἀγγέλου, ἐξανίσταντο μὲν ἀπὸ τῆς συγκλήτου βουλῆς, ἐξανίσταντο δὲ τῶν δημοσίᾳ ἱππευόντων· οὐχ οἱ τὰ Ἑλλήνων σπουδάζοντες μόνον, ἀλλὰ καὶ ὁπόσοι τὴν ἑτέραν γλῶτταν ἐπαιδεύοντο ἐν τῇ Ῥώμῃ, καὶ δρόμῳ ἐχώρουν ἐς τὸ Ἀθήναιον, ὁρμῆς μεστοὶ, καὶ τοῖς βάδην πορευομένοις, κακίζοντες. νοσοῦντι δὲ αὐτῷ κατὰ τὴν Ῥώμην, ὅτε δὴ καὶ ἐτελεύτα, ἐψηφίσατο μὲν τὰς ἐπιστολὰς ὁ Κόμμοδος ξὺν ἀπολογίᾳ τοῦ μὴ καὶ θᾶττον. ὁ δὲ, ἐπιθειάσας μὲν τὰς μούσας, ὥσπερ εἰώθει, προσκυνήσας δὲ τὰς βασιλείους δέλτους, τὴν ἐπ'* αὐταῖς πνοὴν ἀφῆκεν, ἐντάφιον τὴν τιμὴν χρησάμενος. ἐτελεύτα δὲ ἀμφὶ τὰ ὀγδοήκοντα ἔτη, οὕτω τι εὐδόκιμος, ὡς καὶ πολλοῖς γόης δόξαι. ὅτι μὲν οὖν ἀνὴρ οὐκ ἄν ποτε πεπαιδευμένος ἐς γοήτων ὑπαχθείη τέχνας, ἱκανῶς ἐν τοῖς ὑπὲρ Διονυσίου λόγοις εἴρηκα. ὁ δὲ, οἶμαι, τραγῳδούμενος ἐν ταῖς ὑποθέσεσι περὶ τὰ τῶν μάγων ἤθη, τὴν

γρ. κ. ἑρμηνεύειν

γρ. κ. πρὸς αὐταῖς ἀ.

A cetera quæ viros illuſtrant. Dona verò aurum, argentum, equos, mancipia, & quæcunque diuitias interpretantur. quibus quidem omnibus & eum & omnes ex gente illius expleuit. Cùm ſupremum ſuggeſtum Romæ teneret, ita vniuerſam vrbem in ſe conuertit, vt iis etiam qui Græcam linguam non intelligebant, audiendi amorem excitaret. Audiebant autem ipſum homines non ſecus atque ſuauiſſimam

B luſciniam; linguæ volubilitate, conformatione geſtus ac concinna prolatione, & modulis tam in ſoluta quam aſtricta numeris oratione, perculſi. Porrò cùm ſpectaculis amphitheatrorum vacaret, quæ ſaltatoribus plane conſtabant; ſimulatque in ſcena viſus erat auſcultationis nuncius, vniuerſus continuò Senatus aſſurgebat; aſſurgebátq; equeſter ordo: ac non ſolùm Græcarum

C literarum ſtudioſi, verumetiam quicunque Romæ aliam linguam addiſcebant: quinetiam in Athenæi auditorium curru concitato ferebantur, ac præ nimio impetu lente pedetentímque pergentibus conuiciabantur. Ægrotanti in vrbe viro, eo morbo quo vitam finiit, literas Commodus miſit, quibus etiam ſe quod ſero ſcripſiſſet, excuſabat. hic autem Muſis ex more inuocatis, & Auguſtalibus tabulis

D adoratis, ſuper ipſis animam efflauit; pro ſepulchralibus faſciis hoc honore potitus, circiter octogeſimum vitæ annum deceſſit: tanta ingenij doctrinæque celebritate, vt multis magus videretur. Atqui illum nunquam præſtigiatorum magorúmve artibus addictum fuiſſe; luculenter docuimus in iis, quæ de Dionyſio ſcripſimus. Verùm quia in cauſis, opinor, ita magorum mores præſtigioſè exagitabat, hanc in-

Plaut. in Sticho.

de cognominationem apud illos eſt adeptus. Impudentiæ præterea virum accuſant, quòd cùm aliquis è familiaribus ei piſces miſiſſet argenteo diſco depoſitos, multa auri varietate ſpectabili, ipſe diſco mirifice oblectatus, eum minime reddiderit; immo ei qui miſerat reſponderit, *Rectè ſanè quòd etiam piſces*. Atqui ita cum familiari ſuo, quem præparcè diuitiis vtentem acceperat, animi cauſa iocatus, poſtea hac vrbanitate auditore commonefacto, argentum reddidiſſe dicitur. Hic Sophiſta in ſententiis profectò multus, ſplendidúſq; fuit, & in cauſarum exornatione, perquàm varius: cúmq; hoc è tragœdia accepiſſet, neque ordinem lucidum, neque artem ſecutus eſt. Ceterum apparatū orationis ab antiquis Sophiſtis congeſſerat, ſonum vocis potius quàm plauſum affectans. plerumque tamen profusè atque improuidè tragica actione adhibita, excidit à vocalitate.

CHRESTVS.

Cùm Græci Chreſtum Sophiſtam Byzantinum neglexerunt, non medioceri virum iniuria affecerunt. Hic enim accuratè præ ceteris Græcis ab Herode inſtitutus erat, & ipſe quoque multos ſpectatos viros edocuit. è quorum numero fuit Hippodromus Sophiſta & Philiſcus: itémque Iſagoras tragœdiarum ſcriptor; approbatiſſimíque rhetores; vtputa Nicomedes Pergamenus, & Acylas è priſca Galatia, ſeu Gallo-Græcus, & Ariſtænetus Byzantinus: item ex eloquentibus & philoſophantibus, Callæſchrus Athenienſis, & ſuper altari Soſpis, multíque alij mentione digni. Cùm Adriani So-

A ἐπωνυμίαν ταύτην παρ' αὐτοῖς ἔσπασε. διαβάλλουσι δὲ αὐτὸν, ὡς καὶ ἀναιδῆ τὸ ἦθος. πέμψαι μὲν γὰρ αὐτῷ τινα τῶν γνωρίμων, ἰχθῦς διακειμένους ἐπὶ δίσκου ἀργυροῦ πεποικιλμένου χρυσῷ· τὸν δὲ ὑπερησθέντα τῷ δίσκῳ, μήτε ἀποδοῦναι, καὶ ἀποκρίνασθαι τῷ πέμψαντι, εὖγε ὅτι καὶ σὺν ἰχθῦς. τουτὶ δὲ διατριβῆς μὲν ἕνεκα παῖξαι λέγεται πρός τινα τῶν ἑαυτοῦ γνωρίμων, ὃν ἤκουε μι-
B κροπρεπῶς τῷ πλούτῳ χρώμενον. τὸ δὲ ἀργυρον, ἀποδοῦναι, σωφρονίσας τὸν ἀκροατὴν τῷ ἀστεϊσμῷ. ὁ δὲ σοφιστὴς οὗτος, πολὺς μὲν περὶ τὰς ἐννοίας, καὶ λαμπρὸς περὶ τὰς διασκευὰς τῶν ὑποθέσεων ποικιλώτατος· ἐκ τῆς τραγῳδίας τοῦτο ἠρηκώς· οὐ μὴν τεταγμένος γε, οὐδὲ τῇ τέχνῃ ἑπόμενος. τὴν δὲ παρασκευὴν τῆς λέξεως, ἀπὸ τῶν ἀρχαίων σοφιστῶν περιεβάλλετο,
C ἦχον προσάγων μᾶλλον, ἢ κρότον. πολλαχοῦ δὲ τῆς μεγαλοφωνίας ἐξέπεσεν, ἀταμιεύτῳ τῇ τραγῳδίᾳ χρώμενος.

ΧΡΗΣΤΟΣ.

Τὸν δὲ Βυζάντιον σοφιστὴν Χρῆστον ἀδικεῖ ἡ Ἑλλάς, ἀμνημονοῦσα ἀνδρὸς, ὡς ἄριστα μὲν Ἑλλήνων ὑπὸ Ἡρώδη ἐπαιδεύθη, πολλοὺς δὲ ἐπαίδευσε, καὶ θαυμασίους ἄνδρας. ὧν ἐγένετο Ἱππόδρομός τε ὁ σοφιστὴς, καὶ Φιλίσκος, καὶ Ἰ-
D σαγόρας ὁ τῆς τραγῳδίας ποιητής. ῥήτορές τε εὐδόκιμοι, Νικομήδης ὁ ἐκ τῆς Περγάμου, καὶ Ἀκύλας ὁ ἐκ τῆς ἑώλου γαλατίας, καὶ Ἀρισταίνετος ὁ Βυζάντιος· καὶ τῶν ἐλλογίμως φιλοσοφησάντων, Κάλλαισχρός τε ὁ Ἀθηναῖος, καὶ ὁ ἐπὶ βωμῷ Σώσπις, καὶ πλείους ἕτεροι λόγου ἄξιοι. παιδεύοντι δὲ αὐτῷ κατὰ τὸν Ἀ-

δριανοῦ τοῦ σοφιστοῦ καιρούς, ἑκατὸν ἔμ-
μισθοι ἀκροαταὶ ἦσαν. καὶ ἄριστοι τούτων,
οὓς εἶπον. Ἀδριανοῦ δὲ καθιδρυθέντος
εἰς τὴν Ῥώμην, ἐψηφίζοντο μὲν οἱ
Ἀθηναῖοι πρεσβεῦσαι ὑπὲρ Χρήστου,
τὸν Ἀθήνησιν αὐτῷ θρόνον ἐκ βασι-
λέως αἰτοῦντες. ὁ δὲ, παρελθὼν ἐς αὐ-
τοὺς ἐκκλησιάζοντας, διέλυσε τὴν πρέ-
σβευσιν, ἄλλα τε διαλεχθεὶς ἀξιόλο-
γα, καὶ ἐπὶ πᾶσιν εἰπὼν, οὐχ αἱ μυρίαι
τὸν ἄνδρα. οἴνου δὲ ἡττώμενος, παροινίας
ἐκράτει, καὶ εὐχερείας, καὶ ἀγερωχίας,
ἣν ὁ οἶνος ἐπὶ τὰς γνώμας τῶν ἀνθρώ-
πων ἄγει. τοσοῦτον δὲ αὐτῷ περιῆν τοῦ
νήφειν, ὡς ἐς ἀλεκτρυόνων ᾠδὰς προ-
βάντος αὐτῷ τοῦ πότου, σπουδῆς αὐτὸν
ἅπτεσθαι, πρὶν ὕπνον σπάσαι. διεβέβλη-
το δὲ μάλιστα πρὸς τοὺς ἀλαζόνας τῶν
νέων, καίτοι χρησιμωτέρους τῶν ἄλλων
ὄντας ἐς τὰς ξυμβολὰς τοῦ μισθοῦ.
Διογένην γοῦν τὸν Ἀμαστριανὸν, ὁρῶν
τετυφωμένον ἐκ μειρακίου, καὶ περι-
νοοῦντα μὲν σατραπείας, περινοοῦν-
τα δὲ αὐλὰς, καὶ τὸ ἀγχοῦ βασιλέων ἑ-
στήξειν· λέγοντα δὲ ὡς ὁ δεῖνα Αἰγύπτιος
προειρήκοι αὐτῷ ταῦτα, * ὁ μηδὲ τὰ ἑ-
αυτοῦ σιωπῶν. τὴν δὲ ἰδέαν τῶν λόγων,
πεποίκιλται μὲν ἐκ τῶν Ἡρώδου πλεο-
νεκτημάτων, λείπεται δὲ αὐτῷ τοῦ ἑτοί-
μου, καθάπερ ἐν ζωγραφίᾳ ἡ ἄνευ
χρωμάτων ἐσκιαγραφημένη μίμησις.
προὔβη δὲ ἂν ἐς τὸ ἴσον τῆς ἀρετῆς, εἰ
μὴ πεντηκοντούτης ἀπέθανε.

ΠΟΛΥΔΕΥΚΗΣ.

Πολυδεύκη δὲ τὸν Ναυκρατίτην, οὐκ
οἶδα εἴτε πεπαιδευμένον δεῖ καλεῖν,

A phiſtæ tempore inſtitueret, centum
ipſi ſtipendiarij erant auditores; è
quibus optimi fuere quos dixi. A-
driano autem Romæ conſtituto,
Athenienſes ſenatuſconſulto pro
Chreſto legatum mittendum de-
creuerant, per quem Athenis ſe-
dem oratoriam ei ab Imperatore
peterent. Hic cùm veniſſet in con-
cionem, legationem diſſoluit, tum
multa memoratu digna diſſeruit,
tum omnibus pro corollario ad-
B didit, *Tot millia virum non faciunt*.
Vino quandoque victus, temulen-
tiæ, promptitudini, & ſuperbiæ,
quam in mentes hominum vinum
inducere ſolet, imperabat. Tantum
ei ſuperfuit ſobrietatis, vt etiam ſi
in galliciniū vſque conuiuium pro-
ceſſiſſet, antequam ſomno ſe tra-
deret, literarum tamen aliquid at-
tingeret. Faceſſebant ei negotia ar-
rogantes quidā iuuenes, tametſi ad
collationem pecuniæ commodio-
C res eſſent. Cùm itaque Diogenem
Amaſtrianum ab adoleſcentia faſtu
elatum videret, ac Satrapias, aulâſq;
animo agitantem, & ad regum co-
mitatum aſpirantem, atque hæc ſi-
bi quendam Ægyptium fuiſſe au-
guratum dictitantem, * *Ne de ſe ipſo
quidem* (inquit) *hic tacere poſſet*. Ora-
tionis eius idea ex iis certe quæ in
Herode excellebant, variè fuit exor-
nata: ſed in expedita dicendi ratio-
ne defecit, non aliter atque in pi-
D ctura abſque coloribus adumbrata
imitatio. Ceterum niſi quinquage-
ſimo ætatis anno exceſſiſſet, parem
Herodi virtutis laudem aſſecutus
fuiſſet.

POLLVX.

Pollucem Naucratitem an do-
ctum, an indoctum appellare opor-

teat, nondum ſatis compertum habeo: ſiue, quod ineptum fatuúmque eſſe videretur, eruditum ſimul & ignarum. Atqui in vocabula eius bene dignoſcenti, conſtat ipſum admodum Attica lingua fuiſſe exercitatum. ei autem qui declamationũ illius genus perſpexerit, nihil melius aliis Attico ſermone ſcripſiſſe viſus fuerit. Hæc porrò ſcire de ipſo opus eſt. Pollux in iudiciali genere ſatis exercitatus fuit: quòd cum patre conuerſatus eſſet, qui controuerſias forenſes percalluit. Sophiſticas orationes magis audacter quàm artificioſè compoſuit, ſuo fretus ingenio: ſedenim optima præditus erat indole. Adriani factus auditor, æquè ab eius virtutibus, atque à vitiis abſtitit. Nam minimè cadit humíve ſerpit, & minimè erigitur. veruntamen quidam ſunt illecebroſi latices orationis præclarè temperatæ. cuius idea in diſſerendo talis: *Proteus Pharius, miraculum Homericũ eſt; multa quidem eius, diuerſaq; formæ. In aquã attollitur, in ignem accenditur, in leonem excandeſcit, item in ſuem irruit, in draconem, pardalimque aſsilit, & aſſurgit in arborem.* Declamantis eius characterem de Inſulanis effingamus, qui in ſolutionem vectigalium filios vendebant. Hanc quippe controuerſiam optimè tractatam fuiſſe volunt. Epirota filius ad Inſulanum patrem è Babylone ſcribit, *Regi ſeruio, cui à Satrapa dono datus ſum. neque Medicum equum aſcendo, neque arcum Perſicum intendo, neque ad bellum, neque ad venationem, viri more deſcendo. Sed in conclaui mulierum ſedeo, & inter pellices regias quotidie verſor.*

A εἴτε ἀπαίδευτον, εἴθ' ὅπερ εὐήθης δόξει, καὶ ἀπαίδευτον καὶ πεπαιδευμένον. ἐνθυμουμένῳ γὰρ αὐτοῦ τὰ ὀνόματα, ἱκανῶς ἐγγεγύμναστο τὴν γλῶτταν τῆς Ἀττικιζούσης λέξεως. διορῶντι δὲ τὸ ἐν ταῖς μελέταις εἶδος, οὐδὲν βέλτιον ἑτέρου ἠττίκισε. τάδε οὖν χρὴ περὶ αὐτοῦ εἰδέναι. Πολυδεύκης τὰ μὲν κριτικὰ ἱκανῶς ἤσκητο, πατρὶ ξυνεσόμενος τοὺς κριτικοὺς λόγους εἰδότι. τοὺς δὲ

B σοφιστικούς, τόλμῃ μᾶλλον, ἢ τέχνῃ ξυνέβαλλε θαρρήσας τῇ φύσει. καὶ γὰρ δὴ καὶ ἄριστα ἐπεφύκει. Ἀδριανοῦ δὲ ἀκροατὴς γενόμενος ἴσον ἀφέστηκεν αὐτοῦ, καὶ τῶν πλεονεκτημάτων, καὶ τῶν ἐλαττωμάτων. ἥκιστα μὲν γὰρ πίπτει, ἥκιστα δὲ αἴρεται, πλὴν ἀλλ' εἰσί τινες ἡδονῶν λιβάδες διακεκραμένοι τοῦ λόγου. ἰδέα δὲ αὐτοῦ διαλεγομένου μὲν ὧδε, ὁ Πρωτεὺς ὁ Φάριος, τὸ θαῦμα τὸ Ὁ-

C μηρικόν. πολλαὶ μὲν αὐτοῦ καὶ πολυειδεῖς αἱ μορφαί· καὶ γὰρ ἐς ὕδωρ αἴρεται, καὶ ἐς πῦρ ἅπτεται, καὶ ἐς λέοντα θυμοῦται, καὶ ἐς σῦν ὁρμᾷ, καὶ ἐς δράκοντα, καὶ ἐς πάρδαλιν *ἅπτει, καὶ δένδρον ἤδη γίνεται, κομᾷ. (ἴσ. ἅλλ.) μελετῶντος δὲ αὐτοῦ, χαρακτῆρα ποιώμεθα τοὺς νησιώτας, τοὺς τὰ γένη πιπράσκοντας ἐς τὴν ἀναγωγὴν τῶν φόρων, ἐπειδὴ βούλον-

D ται καὶ ἄριστα εἰρῆσθαι. τὴν δὲ ὑπόθεσιν, ἧς τὸ ἐπὶ πᾶσιν ὧδε εἴρηται· παῖς ἠπειρώτης ἀπὸ Βαβυλῶνος πατρὶ νησιώτῃ γράφει, Δουλεύω βασιλεῖ, δῶρον ἐκ Σατράπου δοθείς. οὔτε δὲ ἵππον ἀναβαίνω Μηδικόν, οὔτε τόξον λαμβάνω Περσικόν. ἀλλ' οὐδὲ ἐπὶ πόλεμον, ἢ θήραν, ὡς ἀνήρ, ἐξέρχομαι. ἐν γυναικωνίτιδι δὲ κάθημαι, καὶ τὰς βασιλέως θεραπεύω παλλακάς.

καὶ βασιλεὺς οὐκ ὀργίζεται· Εὐνοῦχος γάρ εἰμι. εὐδοκιμῶ γὰρ παρ᾽ αὐταῖς, θάλατταν Ἑλληνικὴν διηγούμενος· καὶ τὰ τῶν Ἑλλήνων μυθολογῶ καλά, πῶς Ἠλεῖοι πανηγυρίζουσι, πῶς Δελφοὶ θεσπίζουσι, τίς ὁ παρ᾽ Ἀθηναίοις Ἐλέου βωμός. ἀλλὰ καὶ σύ πατήρ μοι, γράφε ποτὲ παρὰ Λακεδαιμονίοις Ὑακίνθια, καὶ παρὰ Κορινθίοις Ἴσθμια, καὶ παρὰ Δελφοῖς Πύθια, καὶ εἰ νικῶσιν Ἀθηναῖοι ναυμαχοῦντες. ἔρρωσο· καὶ τὸν ἀδελφόν μοι προσαγόρευσον, εἰ μή που πέπραται. ταῦτα μὲν δὴ ὁποῖα τοῦ ἀνδρὸς τούτου σκοπεῖν ἔξεστι τοῖς ἀδεκάστως ἀκροωμένοις. ἀδεκάστους δὲ ἀκροατὰς καλῶ, τοὺς μήτε εὔνους, μήτε δυσνους. ἐλέγετο δὲ ταῦτα καὶ μελιχρᾷ τῇ φωνῇ ἀπαγγέλλειν, ᾗ καὶ βασιλέα Κόμμοδον θέλξας, τὸν Ἀθήνῃσι θρόνον παρ᾽ αὐτοῦ εὕρατο. ἐβίω μὲν οὖν ἐς ὀκτὼ καὶ πεντήκοντα ἔτη. ἐτελεύτα δὲ ἐπὶ παιδὶ γνησίῳ μὲν, ἀπαιδεύτῳ δέ.

A *& quoniam Eunuchus ſum factus, nulla rex ſuſpicione ad iram prouocatur. ac de Græco pelago multa referens, ab illis mulierculis collaudor, quibuſcum de Græcorũ rebus præclaris confabulor; quomodo Elij ſtatos ludos celebrant, & quo ritu Delphi ſacra faciunt, & quæ apud Athenienſes Miſericordiæ ara fuerit. Tu etiam, mi pater, quando Hyacinthia apud Lacedæmonios, & Iſthmia apud Corinthios, ac Pythia apud Delphos, peraguntur, & an Athenienſes nauali* B *bello victoria potiti ſint, ad me ſcribe. Vale, ac fratrem, ſi nondum venundatus eſt, à me ſaluere iube.* Hæc huiuſce viri cõmenta qualianam fuerint, incorruptis auditoribus conſiderare licet. Incorruptos autem & integros auditores voco, qui neque beneuoli, neque maleuoli fuerint. Dicitur hæc quoque melliflua voce pronunciaſſe, qua cùm Imperatorem etiam Commodum allexiſſet, ab eo ſuggeſtum Athenis obtinuit. Annis demum octo C & quinquaginta exactis, legitimo, ſed indocto ſuperſtite filio, è viuis exceſſit.

ΠΑΥΣΑΝΙΑΣ.

Καισάρεια δὲ ἡ Καππαδοκῶν, ὄρει Ἀργαίῳ πρόσοικος, Παυσανίου τοῦ σοφιστοῦ οἶκος. ὁ δὲ Παυσανίας, ἐπαιδεύθη μὲν ὑπὸ Ἡρώδου, καὶ τῶν τοῦ Κλεψυδρίου μετεχόντων εἷς ἐγένετο, οὓς ἐκάλουν οἱ πολλοὶ διψῶντας. ἐς πολλὰ δὲ ἀναφέρων τῶν Ἡρώδου πλεονεκτημάτων, καὶ μάλιστα τὸ αὐτοσχεδιάζειν. ἀπήγγελλε δὲ αὐτὰ παχείᾳ τῇ γλώττῃ, καὶ ὡς Καππαδόκαις συνήθης, ξυγκρούων μὲν τὰ σύμφωνα τῶν στοιχείων, συστέλλων δὲ τὰ μηκυνόμενα, καὶ μηκύνων τὰ βραχέα. ὅθεν ἐκάλουν αὐτὸν οἱ πολλοὶ μάγειρον, πολυτελῆ ὄψα πονηρῶς * ἀρτύοντα.

PAVSANIAS.

Cæſarea Cappadociæ Argæo mõti vicina Pauſaniæ Sophiſtæ patria fuit. Eum Herodes edocuit. Vnus autem ex his fuit, qui ex Clepſydrio victum habebant, quos multi Sitientes appellabant. De peculiaribus Herodis virtutibus multa, & D ex tempore dicendi facultatem potiſſimum retulit. Craſſa verò lingua pronunciauit, & Cappadocum more, literas conſonantes prorſus collidens, producta corripiens, & correpta producens. Vnde ipſum plerique coquo comparabant, obſonia ſumptuoſa prauè condienti.

Declamationis idea ſupinior eſt, & valida nihilominus, atque ab antiquo ſtylo prope abeſt, vt ex declamationibus eius coniicere licet. multæ enim extant, quas Pauſanias Romæ declamauit; vbi exacta vita, conſéneſcens deceſſit. Athenienſi etiam auditorio indulſit, & inde recedens aliquando, inſuper omnibus iis quæ apud Athenienſes ediſſeruerat, hæc admodum tempeſtiuè ex Euripide protulit,

Huc verte me Theſeu, vt iterum cernam oppidum.

A ἡ δ' ἰδέα τῆς μελέτης, ὑπτιωτέρα. ἔρρωται δ' ὅμως, καὶ οὐχ ἁμαρτάνει τοῦ ἀρχαίου, ὡς ὑπάρχει ταῖς μελέταις ξυμβαλεῖν. πολλαὶ γὰρ αὐτοῦ Παυσανίου κατὰ τὴν Ῥώμην, οὗ δὴ καταβιοὺς, ἀπέθανε γηράσκων ἤδη. καὶ μετέχων δὲ καὶ τοῦ Ἀθήνησιν, ὅτε δὴ καὶ ἀπιὼν ἐκεῖθεν, ἐπὶ πᾶσιν οἷς πρὸς τοὺς Ἀθηναίους διεξῆλθε, καιριώτατα τὸ τοῦ Εὐριπίδου ἐπεφθέγξατο· B Θησεῦ πάλιν με στρέψον, ὡς ἴδω πόλιν.

ATHENODORVS.

Athenodorus Sophiſta, à paterno genere illuſtriſſimus, apud Ænum: à præceptoribus & doctrina clariſſimus Græcorum euaſit. Ariſtoclem adhuc puer audiuit, & cum Chreſto adultior verſatus eſt. Ab vtroque non mediocre eloquentiæ adminiculum accepit; vt & Attico lepôre vteretur, & animi ſenſa luculenter exprimeret. Iis quoque temporibus quibus Pollux Athenis docuit. Hunc verò ille, vt in diſſertationibus iuuenilem, cauillatus eſt; *Hi Tantali* (inquiens) *horti ſunt*. in quo leuem ſuperficialémque orationem imaginationi apparenti, & non exiſtenti comparaſſe mihi videtur. Cùm natura & indole iam grauitatem præ ſe ferret, adhuc in ipſo flore ætatis mortem obiit; à fortuna prohibitus, quo minus ampliorem gloriam adipiſceretur.

ΑΘΗΝΟΔΩΡΟΣ.

Ἀθηνόδωρος δὲ ὁ σοφιστὴς, τὸ μὲν ἐς πατέρα ἧκον, ἐπιφανέστατος ἦν κατὰ τὴν Αἶνον· τὸ δὲ ἐς διδασκάλους, καὶ παίδευσιν, φανερώτατος τῶν Ἑλληνικῶν. Ἀριστοκλέους μὲν γὰρ ἤκουσε, παῖς C ἔτι· Χρήστου δὲ ἤδη ξυνιείς. ὅθεν ἀπ' ἀμφοῖν ἐκράτει, τὴν γλῶτταν ἀττικίζων τὶ κἀκ περιβολῆς ἑρμηνεύων. παιδεύων δὲ Ἀθήνησι κατὰ χρόνους, οὓς καὶ Πολυδεύκης ἐπαίδευσεν, * ἐπέκοπτεν αὐτὸν ταῖς διαλέξεσιν, ὡς μειρακιώδη λέγων, τὸ Ταντάλου κῆποι· δοκεῖν ἐμοὶ τὸ κοῦφον τοῦ λόγου, καὶ ἐπιπόλαιον, φαντασίᾳ προσεικάζων οὔσῃ D τε, καὶ οὐκ οὔσῃ. ἐμβριθὴς δὲ καὶ τὸ ἦθος γενόμενος, ἐτελεύτα ἡβῶν ἔτι, ἀφαιρεθεὶς ὑπὸ τῆς τύχης καὶ τὸ πρόσω ἐλάσαι δόξης.

* Is. ἐπέσκωπτεν

PTOLEMÆVS.

Illuſtris inter Sophiſtas Ptolemæus Naucratites ſono vocis extitit. Cùm vnus ex his eſſet, qui de templo, quod erat ad Naucratin, parti-

ΠΤΟΛΕΜΑΙΟΣ.

Λαμπρὸν ἐν σοφισταῖς καὶ Πτολεμαῖος ὁ Ναυκρατίτης ἤχησεν. ἦν μὲν γὰρ τῶν μετεχόντων τοῦ ἱεροῦ . . . ὀλίγοις

Ναυκρατιτῶν ὑπῆρξεν. *Ἡρώδου δὲ ἀκροατὴς μὲν, οὐ μὴν ζηλωτὴς ἐγένετο. ἀλλ᾽ ἐς τὸν Πολέμωνος . . . ὑπηνέχθη. τὸν γὰρ ῥοῖζον τοῦ λόγου, καὶ τὸ πνεῦμα, καὶ τὸ ἐκ περιβολῆς φράζειν, ἐκ τῆς τοῦ Πολέμωνος σκηνῆς εἰσηγάγετο. λέγεται δὲ καὶ αὐτοσχεδιάσαι σὺν ῥοίᾳ ἀμηχάνῳ. δικῶν τε, καὶ δικαστηρίων περιέξαρξεν· οὐ μὴν ὡς ὄνομα ἐντεῦθεν ἄρασθαι. Μαραθῶνα δὲ αὐτὸν ἐπωνόμαζον, ὡς μέν τινες, ἐπειδὴ τῷ Μαραθῶνι δήμῳ ἐνεγράφη Ἀθήνησιν. ὡς δὲ ἐνίων ἤκουον, ἐπειδὴ ἐν ταῖς Ἀττικαῖς τῶν ὑποθέσεων τῶν Μαραθῶνι περικινδυνευσάντων, θαμὰ ἐμνημόνευσε. κατηγοροῦσι δὲ τοῦ Πτολεμαίου τινὲς, ὡς μὴ διορῶντος τὰς ὑποθέσεις, μηδὲ ὅπῃ ξυνεστᾶσί τε, καὶ μή. τεκμήριον τόδε τιθέμενοι τῆς κατηγορίας ταύτης. τοὺς Μεσσηνίους οἱ Ἀθηναῖοι γράφονται τῶν ἀχαριστησάντων, ἐπεὶ τοὺς φεύγοντας αὐτῶν μὴ ἐδέξαντο, ὅτε καὶ Θῆβαι ὑπὸ Ἀλεξάνδρου ἥλωσαν. ταύτην γὰρ ἐπιφανῶς αὐτῷ εἰρημένην τὴν ὑπόθεσιν, καὶ σοφῶς ὡς οἷόν τε, συκοφαντοῦσι λέγοντες, ὡς εἰ μὲν ζῶντος Ἀλεξάνδρου κρίνονται, τίς οὕτω θρασὺς, ὡς καταψηφίσασθαι Μεσσηνίων; εἰ δὲ τεθνεῶτος, τίς οὕτως πρᾶος ὡς ἀπογνῶναι τὴν αἰτίαν; οὐ γὰρ ξυνίασιν οἱ ταῦτα διαβάλλοντες, ὡς ἡ τῶν Μεσσηνίων ἀπολογία, κατὰ ξυγγνώμην ἵσταται, τὸν Ἀλέξανδρον προϊσχομένων, καὶ τὸν ἐκείνου φόβον, οὗ μηδὲ ἡ ἄλλη Ἑλλὰς ἄπειρος εἶχε. ταῦτά μοι ἀπολελογήσθω ὑπὲρ τοῦ ἀνδρὸς, παραιτουμένῳ αὐτὸν ἀδίκου, καὶ πεπανουργευμένης αἰτίας. καὶ γὰρ δὴ καὶ εὐδοκιμώτατος σοφι-

A cipabant, quod paucis Naucraticis contigit. Herodis auditor, at non æmulator effectus eſt, cùm ad Polemonẽ magis ſe conformarit. Robur orationis & ſpiritum, & comprehenſionẽ luculentam è Polemonis ſcena cõtraxit: eundem cum incredibili dicendi copia extẽporaneæ elocutioni incubuiſſe dicunt. Idẽ iudices & iudicia transfixit, non vt inde nomen nactus fuerit: Marathonem namque eum plerique cogno- B minarunt: quoniam, vt quidam cenſent, Athenis Marathoni populo inſcriptus eſt: vel vt à quibuſdam audiui, quia in Atticis cauſis, eos qui in Marathone periclitati fuerant, ſubinde commorabat. Ptolemæum aliqui accuſant, quòd cauſas non definiret, neque vbi conſtitutæ fuiſſent, aut vbi non. Et hanc huiuſce cauſæ coniecturam ponebant: Meſſenios Athenienſes ingratitudinis accuſant, quòd exules ſuos non exceperint, cùm ab C Alexandro Thebæ direptæ ſunt. Hanc ab eo cauſam præclariſſimè & quàm prudentiſſimè peroratam, calumniantur: dum ita argutantur: Siquidẽ viuente Alexandro iudicio diſceptatẽt, quis ita audax vt Meſſenios condemnet? Sin autẽ eo mortuo, quis ita miti & abiecto animo vt de cauſa deſperet? Non enim qui hæc calumniantur intelligunt, vt D Meſſeniorum defenſio, (qui Alexandrum eiúſque formidinem, cuius ne cetera quidem Græcia expers eſſe potuit; primi ſuſtinuerunt) veniam aliquam obtinere mereatur. Hactenus mihi pro viro defenſio ſuſcepta ſit, vt eum iniuſtè vafréque conficto crimine purgarem. Enimuerò clariſſimus hic Sophiſta-

rum

rum fuit. Ad permultas certe gentes profectus, & in plurimis ciuitatibus verſatus, nullibi locorum gloriæ ſuæ iacturam fecit, neque expectatione ſua minor vnquam viſus eſt; ſed perinde ac illuſtri famæ vehiculo inuectus, per ciuitates & oppida tranſiuit. Senex in Ægypto defunctus eſt, graui capitis diſtillatione, non oculis captus, ſed caligine perſtrictus.

EVODIANVS.

Euodiani Smyrnæi proſapia generis ad Nicetem Sophiſtam pertinebat. familiæ verò honores ipſum inter pontifices, & ob rem foris, armíſque bene geſtam coronatos collocabant. Præmia porrò vocis Romã adduxerunt, Romanóq; throno conſtituerunt. Hic cùm artificib. etiam Dionyſiacis præfectus eſſet: hæc verò hominum gens ſuperba eſt inprimis, & ad obtemperandum parum propenſa. aptiſſimus ad huiuſmodi præfecturam viſus eſt, & omni crimine ſublimior. Cùm Romæ filius interiiſſet, nullam muliebrem nec degenerẽ emiſit vocem: ſed vbi ter exclamaſſet, *Fili mi*, eum ſepulturæ mandauit. Et cùm ipſe quoque Romæ moreretur, ei continuò neceſſarij omnes affuerunt, qui de corpore conſultabant, an id ibidem humari oporteret, an conditum Smyrnam referrent. tum Euodianus exclamans, *Non filium*, inquit, *ſolum relinquam*. ita ſanè prudenter iniunxit, vt vnà cum filio ſepeliretur. Cùm Ariſtoclis auditor fuiſſet; Panegyricam ideam, tanquam potabilem liquorem in acerbo auſteróque cratere temperatum, aſſequutus eſt. Neq; tamen deſunt, qui hunc Polemonis auditorẽ fuiſſe dicant.

A. Gell. l. xx. c. III.

A σῶν ὁδοῦ. πλεῖστα δὲ ἐπελθὼν ἔθνη, καὶ πλείσταις ἐνομιλήσας πόλεσιν, οὐδαμοῦ διέβαλε τὸ ἑαυτοῦ κλέος, οὐδὲ ἧττον, ἢ προσεδοκήθη, ἔδοξεν. ἀλλ' ὥσπερ ἐπὶ λαμπροῦ ὀχήματος τῆς φήμης πορευόμενος, διῄει τὰ ἄστη. ἐτελεύτα δὲ γηραιὸς ἐν Αἰγύπτῳ, τοὺς ὀφθαλμοὺς οὐκ ἀφαιρεθεὶς μὲν ἀπὸ τοῦ τῆς κεφαλῆς ῥεύματος, ἐπικοπεὶς δέ.

B

ΕΥΟΔΙΑΝΟΣ.

Εὐοδιανὸν δὲ τὸν Σμυρναῖον, τὸ μὲν γένος, ἐς Νικήτην τὸν σοφιστὴν ἀνῆγεν· αἱ δὲ οἴκου τιμαὶ, ἐς τοὺς ἀρχιερέας τε, καὶ στεφανουμένους τὴν ἐπὶ τῶν ὅπλων· τὰ δὲ τῆς φωνῆς ἆθλα, ἐς τὴν Ῥώμην, καὶ τὸν ἐκεῖθεν θρόνον. ἐπιταχθεὶς δὲ καὶ τοῖς ἀμφὶ τὸν Διόνυσον τεχνίταις, τὸ δὲ
C ἔθνος τοῦτο ἀγέρωχοι, καὶ λεπτοὶ ἄρχεσθαι, ἐπιτηδειότατος τὴν ἀρχὴν ἔδοξε, καὶ κρείττων ἢ λαβεῖν αἰτίαν. υἱοῦ δὲ αὐτῷ τελευτήσαντος ἐν τῇ Ῥώμῃ, οὐδὲν θῆλυ, οὐδὲ ἀγεννὲς ἀνεφθέγξατο, ἀλλ', ὦ τέκνον, τρὶς ἀνακαλέσας, ἔθαψεν. ἀποθνήσκοντι δὲ αὐτῷ κατὰ τὴν Ῥώμην, παρῆσαν μὲν οἱ ἐπιτήδειοι πάντες· βουλὴν δὲ αὐτῶν ποιουμένων ὑπὲρ τοῦ σώματος εἴτε χρὴ καταθάπτειν αὐτόθι,
D εἴτε ταριχεύσαντας πορθμεύειν ἐς τὴν Σμύρναν, ἀναβοήσας ὁ Εὐοδιανὸς, οὐ καταλείπω τὸν υἱὸν, ἔφη, μόνον. ὧδε μὲν δὴ σοφῶς ἐπέσκηψε τῷ παιδὶ συνταφῆναι. ἀκροατὴς δὲ Ἀριστοκλέους γενόμενος, πανηγυρικῆς ἰδέας ἥψατο, ἐν στρυφνῷ κρατῆρι συγκεράσας, οἷον νᾶμα πότιμον. εἰσὶ δὲ οἳ φασὶ καὶ Πολέμωνος ἠκροᾶσθαι αὐτόν.

A

ΡΟΥΦΟΣ.

Ῥοῦφον δὲ ἐκ τῆς Περίνθου σοφιστὴν, μὴ ἀπὸ τῆς οὐσίας, μηδὲ εἰ πολλοὶ ὕπατοι τὸ ἐκείνου γένος, μηδὲ εἰ τῆς τῶν πανελληνίων Ἀθήνησιν, εὐκλεῶς ἦρξε· ταυτὶ γὰρ εἰ καὶ πλείω λέγοιτο, οὔπω τῇ σοφίᾳ τοῦ ἀνδρὸς παραβεβλῆσθαι ἄξια· ἀλλ' ἡ γλῶττα δηλούτω αὐτὸν, καὶ ἡ ξύ- ἰσ. ἢ ϛ τ. νεσις, ἣ* τὰς ἐσχηματισμένας μάλιστα B τῶν ὑποθέσεων ἐχρήσατο. τὴν δὲ ἰδέαν ταύτην, ἐθαυμάσθη, πρῶτον μὲν χαλεπὴ ἑρμηνεύειν. . . . δεῖ γὰρ ἐν ταῖς κατὰ σχῆμα συγκειμέναις τῶν ὑποθέσεων, τοῖς μὲν λεγομένοις, ἡνίας, τοῖς δὲ σιωπωμένοις κέντρον. ἔπειτα οἶ- ἴσ. ἀπὸ τ. χ. ἐγκειμ. μαι . . . *τὴν ἑαυτοῦ φύσιν.* ἐγκειμένως γὰρ τοῦ ἤθους, καὶ ἀπανούργως ἔχων, ὑπεκρίνετο εὖ, κἂν μὴ . . . πλουσιώτατος δὲ κατὰ τὸν Ἑλλήσποντον, καὶ Προποντίδα γενόμενος· καὶ δόξης αὐτῷ ἐπὶ C τῷ σχεδιάζειν πολλῆς μὲν ὑπαρχούσης Ἀθήνησι, πολλῆς δὲ ἐν Ἰωνίᾳ, καὶ Ἰταλίᾳ, οὐδαμοῦ κατέστησεν ἑαυτὸν ἐς ἀπέχθειαν ἢ πόλεως, ἢ ἀνδρὸς, ἀλλὰ χ. πρᾳότητος πρᾳότητος *ἦν* χρηματιστής. ἐλέγετο δὲ καὶ γυμναστικῇ κρατύνειν τὸ σῶμα, ἀναγκαιοφαγῶν ἀεὶ, καὶ διαπονῶν αὐτὸ παραπλησίως τοῖς ἀγωνιζομένοις. D ἀκροατὴς δὲ Ἡρώδου μὲν, ἐν παισὶν, Ἀριστοκλέους δὲ, ἐν μειρακίοις γενόμενος· καὶ μεγάλων ὑπ' αὐτοῦ ἀξιωθεὶς, ἐλαμπρύνετο τῷ Ἡρώδῃ μᾶλλον, δεσπότην αὐτὸν ἀποκαλῶν, καὶ Ἑλλήνων γλῶτταν, καὶ λόγων βασιλέα, καὶ πολλὰ τοιαῦτα. ἐτελεύτα δὲ οἴκοι, ἐν καὶ ἑξήκοντα ἔτη γενόμενος, καὶ ἐπὶ παισίν. ὑπὲρ ὧν

RVFVS.

Rufum Sophiſtam Perinthium, non à patrimonio commendabo; neq; ex eo quòd è multorum conſulum genere ortus ſit: neque quòd Athenis totius Græciæ conuentui glorioſiſſimè præfuerit. Hæc enim & ſi plura dicantur, nequaquam tamen cum viri ſapientia conferri debent. Sed lingua eum & prudentia B prodat, qua in figuratis maximè controuerſiis vſus eſt. Hanc certè ob ideã admirationi fuit: primùm quidem, quia difficilia facilè & ſcitè tractabat. nam in cauſis, quæ ſecundum figuram compoſitæ ſunt, & dicendis habenas, & tacendis aculeum dare conuenit: Deinde (vt arbitror) propter eius ingenium. Nam ſedulò quidem & ſine calliditate indolẽ retinens, decenter agebat. In Helleſpõto & Propontide admodũ locupletatus eſt. Et cùm ſibi non parum gloriæ Athenis, in Io- C nia & Italia, ob extemporalem orationem comparaſſet: nuſquam in vllius ciuitatis aut viri cuiuſquam inimicitiam ſe conſtituit, ſed lenitatis indagator fuit. quinetiam exercitatione gymnaſtica corpus corroborare dicebatur, liberaliore victu neceſſario ſemper adhibito, aſſiduóque labore exantlato, pro vt certatoribus vſitatum eſt. A pueritia D Herodis auditor fuerat: ab adoleſcentia Ariſtoclis. Ceterùm maior ei ſplendor acceſſit ab Herode, à quo magnis decoratus muneribus fuerat: vnde illum vocabat herum, & Græcorum linguam, & ſermonum regem, & id genus epithetis appellabat. domi ſuperſtitibus filiis, primo & ſexageſimo ætatis anno vita functus eſt. de quibus ni-

hil aliud laude dignum, niſi quòd A illius fuere liberi, dicere habeo.

OENOMARCHVS.

Oenomarchus Sophiſta ex Andro fuit, qui neque admiratione, neque reprehenſione dignus eſt habitus. Eodem verò tempore, quo Adrianus & Chreſtus Athenis docuit. Et cùm Aſiæ finitimus eſſet, Ionicam Ideam quæ Epheſi plurimum vigebat, tanquam ocularem B morbum, inde contraxit. Quare nonnullis de viro mentientibus, Herodem non audiuiſſe exiſtimatus eſt. Etenim in ſenſa animi exponendi facultate nonnihil, ob eam quam dixi cauſam, alicubi deprauauit. Senſorum autem intentiones plane Herodeæ ſunt, ac mirum in modum ſuaues. In imaginis certè amatore eum contemplari licet, niſi fortè puerili iudicio eſſe videor. Ita enim dictum eſt: O *animata pul-* C *chritudo in corpore exanimo! quiſnam te Deus effinxit? Quanam Suadela vel Gratia, vel ipſe Amor pater venuſtatis? Quàm omnia tibi re vera cumulatè adſunt. Vultus ſtatus, flos coloris; viſus aculeus: viſus pergratus: genarum vigor. impreſſa auditus veſtigia; eſt tibi quoque ſemper in ſtatione ſua parata vox. Fortaſſe etiam aliquid vocas. Sed me non præſente, ô inamabilis & liuide; aqud fidum amantem infidelis, nul-* D *la mecum verba feciſti? Proinde hunc maximè ſemper horrendã omnibus pulchris imprecationem ſuper te inſtituam, votáque ſuſcipiam vt conſeneſcas.* Hunc aliqui Athenis, nonnulli verò domi mortuum, canitie ſparſum, initáque iam ſenectute: ac facie aggreſtiori, & Marci Byzantij more ſordidum & ſqualentem fuiſſe dicunt.

A μέγα οὐδὲν εἰπεῖν ἔχω, πλὴν γε δὴ ὅτι ἀπ' ἐκείνου.

ΟΙΝΟΜΑΡΧΟΣ.

Οἰνόμαρχος δὲ ὁ ἐκ τῆς Ἄνδρου σοφιστὴς, οὐκ ἐθαυμάζετο μὲν, οὐ μεμπτὸς δὲ ἐφαίνετο. ἐπήνθησε μὲν γὰρ κατὰ τοὺς χρόνους, οὓς Ἀδριανός τε, καὶ Χρῆστος Ἀθήνησι. πρόσοικος δὲ ὢν τῆς Ἀσίας, τῆς Ἰωνικῆς ἰδέας, οἷον ὀφθαλμίας ἔσπασε, σπου- B δαζομένης μάλιστα τῇ Ἐφέσῳ. ὅθεν ἐδόκει ποιεῖν οὐδ' ἠκροᾶσθαι Ἡρώδου, καταψευδομένοις τοῦ ἀνδρός. τὰ μὲν γὰρ τῆς ἑρμηνείας παρέφθορεν ἔσθ' ὅπη, δι' ἣν εἴρηκα αἰτίαν. αἱ δὲ ἐπιβολαὶ τῶν νοημάτων, Ἡρώδειοί τε, καὶ ἀπορρήτως γλυκεῖαι. ἔξεστι δὲ αὐτὸν θεωρεῖν ἐπὶ τοῦ τῆς εἰκόνος ἐρῶντος, εἰ μὴ μειρακιεύεσθαι δόξω. εἴρηται δὲ ὧδε. ὦ κάλλος ἔμψυ- C χον ἐν ἀψύχῳ σώματι! τίς ἄρα σε δαιμόνων ἐδημιούργησε; πειθώ τις, ἢ χάρις, ἢ αὐτὸς ἔρως ὁ τοῦ κάλλους πατήρ. ὡς πάντα σοι περίεστιν ἐν ἀληθείᾳ; προσώπου στάσις· χρόας ἄνθος· βλέμματος κέντρον· μειδίαμα κεχαρισμένον. παρειῶν ἄνθος, ἀκοῆς ἴχνος. ἔχεις δὲ καὶ φωνὴν μένουσαν ἀεί. τάχα τι καὶ καλεῖς. ἀλλ' ἐμοῦ μὴ παρόντος ἀνέρασε, καὶ βά- D σκανε, περὶ τὸν ἐραστὴν ἄπιστε, οὐδενός μοι μετέδωκας ῥήματος. τοιγαροῦν τὴν φρικωδεστάτην ἅπασιν ἀεὶ τοῖς καλοῖς ἀρὰν ἐπὶ σοὶ θήσομαι. εὔχομαί σε γηράσαι. τελευτῆσαι δὲ αὐτὸν οἱ μὲν Ἀθήνησιν, οἱ δὲ οἴκοι, μεσαιπόλιόν τε, καὶ παριόντα ἐς γῆρας. γενέσθαι δὲ ἀγροικότερον τὸ εἶδος, καὶ κατὰ τὸν τοῦ Μάρκου τοῦ Βυζαντίου αὐχμόν.

A

ΑΠΟΛΛΩΝΙΟΣ.

Ἀπολλώνιος δὲ ὁ Ναυκρατίτης, Ἡρακλείδῃ μὲν ἐναντία ἐπαίδευσε, τὸν Ἀθήνησι θρόνον κατειληφότι. λόγου δὲ ἐπεμελήθη πολιτικοῦ, καὶ εὖ κεκολασμένου, ἧττον δὲ ἀγωνιζομένου. περιβολὴ γὰρ ἄπεστιν αὐτοῦ, καὶ πνεῦμα. ὄντι δὲ αὐτῷ κακῷ τὰ ἐρωτικὰ, γίγνεται παῖς ἐξ ἀδίκων γάμων Ῥουφῖνος, ὁ ἐπ' αὐτῷ σοφιστεύσας, οὐδὲν γόνιμον, οὐδὲ ἐκ καρδίας, ἀλλὰ τῶν ἐκείνου κομματίων τε, καὶ νοϊδίων ἐχόμενος. ἐφ' ᾧ καὶ λαβὼν αἰτίαν ἐξ ἀνδρὸς σοφοῦ, ὦ νόμοι, ἔφη, διδόασί μοι χρῆσθαι τοῖς πατρῴοις. καὶ ὅς, διδόασι μὲν, εἶπεν, ἀλλὰ τοῖς κατὰ νόμους γεγονόσι. καθάπτονται δὲ αὐτοῦ τινὲς καὶ τὸ σταλῆναι ἐς Μακεδονίαν μισθωτὸν οἰκίας, οὐδὲ εὖ πραττούσης. ἀλλ' ἀφείσθω τῶν τοιούτων. εὕροιμεν γὰρ ἂν καὶ τῶν πάνυ σοφῶν ἐνίους, πολλὰ καὶ ἀνελεύθερα ὑπὲρ χρημάτων πράξαντας· οὐ μὴν τόν γε Ἀπολλώνιον τοῦτον. κοινὴν τε γὰρ παρεῖχε τὴν οὐσίαν τῶν Ἑλλήνων τοῖς δεομένοις, καὶ οὐ βαρὺς ὑπὲρ μισθοῦ ξυμβῆναι. ἐτελεύτα δὲ ἑβδομηκοντούτης Ἀθήνησιν, ἔχων ἐντάφιον τὴν ἐξ ἁπάντων Ἀθηναίων εὔνοιαν. Ἀδριανοῦ μὲν καὶ Χρήστου, τῶν σοφιστῶν, ἀκροατὴς ἐγένετο. ἀμφοῖν δὲ ἀφέστηκεν, ὅσον καὶ οἱ μηδὲ ἀκούσαντες. ἐφεώρα δὲ τὰς ὑποθέσεις, ὑπεξιὼν μὲν τοῦ κοινοῦ, καιρὸν δὲ πλείω τοῦ ξυμμέτρου.

APOLLONIVS.

Apollonius Naucratites contraria methodo atq; Heraclides inſtituit, qui Athenis ſuggeſtum acceperat. Orationi ciuili & bene caſtigatæ operam dedit: contentioſæ ac forenſi non item. quippe abeſt ab hac comprehenſio & ſpiritus. Cùm in amoribus ſolutus & nequã fuiſſet, ex illegitimis nuptiis Ruffinus ipſi puer natus eſt: qui cùm ſub B patre ſophiſticam artem didiciſſet, nihil à patre fœcundum & animoſum exhibuit; ſed tantùm quædam inciſa, & argutè cogitata. in quo cùm à docto viro reprehenſus eſſet: *Leges mihi dant*, inquit, *paternis rebus vti poſſe.* At ille: *Dant*, inquit, *verùm his qui legitimè nati ſunt*. Pleríque hominem calumniantur, quòd ad Macedoniã miſſus eſſet vt actor negotiorum domus non ita ſplendidæ atque fortunatæ. Sed ei talia C dimittantur. Nonnullos enim perquàm ſapientes inueniremus, qui multa pecuniæ gratia ab ingenuo liberóque homine aliena fecerunt. Nec talem certè Apollonium fuiſſe dixerimus. Opes namque ſuas cum Græcis communicauit, qui egeſtate premebantur: neque grauis vnquam de mercede paciſcendo fuit. Septuageſimo ætatis anno extremum vitæ diem clauſit Athenis; ſepulchralis ornamenti vice, omnium D Athenienſiũ beneuolentia potitus. Adriani Chreſtíque ſophiſtarũ fuit auditor. Sed ab vtroque tantùm abfuit, quantum & illi qui nunquã audiuere. Controuerſias quidem inſpiciebat, à communi methodo ſe ſubducens, ſed plus in eo temporis quàm par erat, impendebat.

A

APOLLONIVS ATHENIENSIS.

Apollonius Atheniēſis apud Græcos nomine dignus eſt habitus, cùm forenſes cauſas rectè egerit, & ſine reprehenſione declamarit. Iuxta Heraclidem & gentilem ſuum Athenis docuit. ciuili ſuggeſtui talenti pretio præfuit. Et cùm in ciuilibus rebus clarus & inſignis eſſet, maximarum rerum legationes egit: in publicis miniſteriis ſacris, quæ maxima Atheniēſes appellant; Prætura vrbana ei commiſſa eſt, & Præfectura* armorum, & vocum ab oraculis* editarum cura, iam ingraueſcente ætate. ceterùm vt ab Heraclide, Logimo, Glauco, huiuſcemodíque antiſtibus ſacrorum, vocalitate aberat: ita grauitate, magnificentia, ornatúque decoro multis, qui ante fuêre, præſtantior eſt habitus. Cùm ad Seuerum Romanorum imperatorem legatus mitteretur, Heraclidi Sophiſtæ declamationis certamen indixit, & ambo diſceſſere, hic immunitate, Apollonius verò non paruis muneribus donatus. Porro cùm Heraclides rumorem de Apollonio nequaquam verum effudiſſet, quòd ſtatim in Libyā profecturus eſſet, vbi Leptines gerebat imperium, & ex vniuerſa terra virtutes contraxerat: & ad Apollonium dixiſſet, *Iam tempus tibi eſt, vt ſermonem ad Leptinem legas. Imo verò tibi tempus eſt*, inquit Apollonius; *enimuerò de immunitate ſcriptus eſt.* Orationi repagulum ex Adriani idea Apollonius conſtituit, cuius olim fuerit auditor: verumtamen ad modulatos numeros &

Vide 1. lib. in Lolliano.

ΑΠΟΛΛΩΝΙΟΣ ΑΘΗΝΑΙΟΣ.

Ὁ δὲ ὁ Ἀπολλώνιος ὁ Ἀθηναῖος, ὀνόματος μὲν ἠξιώθη καθ᾽ Ἕλληνας, ὡς ἱκανὸς τὰ δικανικὰ, καὶ τὰ ἀμφὶ μελέτην οὐ μεμπτός. ἐπαίδευσε δὲ Ἀθήνησι καθ᾽ Ἡρακλείδην τε, καὶ τὸν ὁμώνυμον, τοῦ πολιτικοῦ θρόνου προεστὼς ἐπὶ ταλάντῳ. διαπρεπὴς δὲ καὶ τὰ πολιτικὰ γενόμενος, ἔν τε πρεσβείαις ὑπὲρ τῶν μεγίστων ἐπρέσβευσεν, ἔν τε λειτουργίαις, ἃς μεγίστας Ἀθηναῖοι νομίζουσι. τὴν δὲ ἐπώνυμον, καὶ τὴν τῶν ὅπλων, ἐπετράπη, καὶ τὰς ἐξ ἀνακτόρου φωνὰς, ἤδη γηράσκων, Ἡρακλείδου, καὶ Λογίμου, καὶ Γλαύκου, καὶ τῶν τοιούτων ἱεροφαντῶν, εὐφωνίᾳ μὲν ἀποδέων, σεμνότητι δὲ, καὶ μεγαλοπρεπείᾳ, καὶ κόσμῳ παρὰ πολλοὺς δοκῶν τῶν ἄνω. πρεσβεύων δὲ παρὰ Σεβῆρον ἐν Ῥώμῃ τὸν αὐτοκράτορα, ἀπεδύσατο πρὸς Ἡρακλείδην τὸν σοφιστὴν τὸν ὑπὲρ μελέτης ἀγῶνα. καὶ ἀπῆλθεν ὁ μὲν, τὴν ἀτέλειαν ἀφαιρεθείς. ὁ δὲ Ἀπολλώνιος, δῶρα ἔχων. διαδιδόντος δὲ τοῦ Ἡρακλείδου λόγον οὐκ ἀληθῆ ὑπὲρ τοῦ Ἀπολλωνίου, ὡς αὐτίκα δὴ βαδιουμένου ἐς Λιβύην, ἡνίκα Λεπτίνης ἦν αὐτοκράτωρ ἐκεῖ, καὶ τὰς ἐξ ἁπάσης γῆς ἀρετὰς συνῆγε, καὶ πρὸς αὐτὸν εἰπόντος, ὥρα σοι ἀναγιγνώσκειν τὸν πρὸς Λεπτίνην. σοὶ μὲν οὖν, ἦ δ᾽ ὁ Ἀπολλώνιος, καὶ γὰρ δὴ καὶ ὑπὲρ τῆς ἀτελείας γέγραπται. βαλβίδα μὲν δὴ τοῦ λόγου ὁ Ἀπολλώνιος ἐκ τῆς Ἀδριανοῦ ἰδέας βέβληται, ἅτε δὴ καὶ ἀκροατὴς γενόμενος. παραλλάττει δὲ ὅμως ἐς ῥυθμοὺς ἐμμέτρους τε, καὶ

ἀναπαίοντας. οὓς εἰ φυλάξαιτο, σεμνοπρεπὴς τὴν ἀπαγγελίαν δοκεῖ, καὶ βεβηκώς. τουτὶ δέ ἐστιν εὑρεῖν καὶ ἐπ᾽ ἄλλων μὲν ὑποθέσεων, μάλιστα δὲ ἐπὶ τοῦ Καλλίου, ὃ ἀπαγορεύει τοῖς Ἀθηναίοις, περὶ μὴ θάπτειν. ὑψηλὴν ἆρον ἄνθρωπε τὴν δᾷδα. τί βιάζῃ, καὶ κατάγεις κάτω, καὶ βασανίζεις τὸ πῦρ; οὐράνιόν ἐστι. πρὸς τὸ συγγενὲς ἔρχεται. αἰθέριόν ἐστι. τοῦτο τὸ πῦρ, οὐ κατάγει νεκρούς, ἀλλ᾽ ἀνάγει θεούς. ἰὼ Προμηθεῦ δᾳδοῦχε, καὶ πυρφόρε, οἷά σου τὸ δῶρον ὑβρίζεται. νεκροῖς ἀναισθήτοις ἀναμίγνυται. ἐπάρηξον. βοήθησον. κλέψον εἰ δυνατὸν κἀκεῖθεν τὸ πῦρ. παρεθέμην δὲ ταῦτα, οὐ παραιτούμενος τῶν ἀκολάστων ῥυθμῶν, ἀλλὰ διδάσκων ὅτι μηδὲ τοὺς σωφρονεστέρους ῥυθμοὺς ἠγνόει. ἐτελεύτα μὲν οὖν ἀμφὶ τὰ πέντε καὶ ἑβδομήκοντα ἔτη, πολὺς ἐν τῷ Ἀθηναίων δήμῳ πνεύσας. ἐτάφη δὲ ἐν τῷ προαστείῳ τῷ ἐν Ἐλευσῖνι λεωφόρου. ὄνομα τῷ προαστείῳ, ἱερὰ συκῆ. τὰ δὲ Ἐλευσινόθεν ἱερά, ἐπειδὰν ἐς ἄστυ ἄγωσιν, ἐκεῖ ἀναπαύουσιν.

A repercuſſiones deflexit: quos ſi ſeruaſſet, non mediocri dignitate firmitatéque decorus in enunciando videretur. Quòd in aliis quoque controuerſiis comperire licet, atque ex ea maxime, quæ Callias inſcribitur, in qua Athenienſibus interdicit, ne corpora ſepelienda cremarent. *Excelſam*, inquit, *tolle, mi homo facem. Cur violas, deorſumque deducis & torques ignem? Cœleſtis eſt, ad cœlum ſibi affine pergis, æthereus* B *eſt. Hic igitur ignis non deducere mortuos, ſed reducere deos debet. Io Prometheu, facifer, & ignifer quàm graui donum tuum afficitur iniuria! Mortuis ſenſu carentibus commiſcetur. Succurre; adiuua; indéque ignem, ſi potes, ſubducito.* Hæc verò adieci, non vt immodicos rhythmos excuſarem, ſed vt eum caſtigatos quoque numeros non ignoraſſe oſtenderem. Circiter quintum ac ſeptuageſimum ætatis annum defunctus eſt, cùm C multum in Athenienſi populo ſpei & ſpiritus collocaſſet. Sepultus eſt in ſuburbio viæ regiæ quæ ducit ad Eleuſina: cui quidem ſuburbio nomen Sacra ficus eſt. Ceterùm ſacra ex Eleuſine, poſtquam in vrbem introducta ſunt, ibi quoque deſinunt.

ΠΡΟΚΛΟΣ.

Ἀναγράφω δὲ καὶ Πρόκλον τὸν Ναυκρατίτην, εἰδὼς εὖ τὸν ἄνδρα. καὶ γὰρ δὴ καὶ τῶν ἐμῶν διδασκάλων εἷς οὗτος. Πρόκλος τοίνυν, ἦν μὲν τῶν οὐκ ἀφανῶν κατ᾽ Αἴγυπτον. στασιάζουσαν δὲ ἰδὼν τὴν Ναύκρατιν, καὶ παρὰ τὰ ἤθη πολιτεύοντας, τὴν Ἀθήνησιν ἡσυχίαν ἠσπάσατο. καὶ ἐκπλεύσας, ἐκεῖ ἔζη, πολλὰ μὲν ἀγαγὼν χρήματα, πολλοὺς δὲ οἰκέτας, καὶ τὴν ἄλλην κατασκευὴν μα-

PROCLVS.

D Proclum quoque Naucratitem in Sophiſtarum numerum referam, cùm probè hunc nouerim: etenim è præceptoribus meis vnus fuit. Proclus igitur erat Ægyptius, non humili genere natus. Cùm Naucratim ſeditionib. agitatam, & magiſtratus præter inſtituta patria rempublicam gerentes aſpiceret: Athenis quietem amplexatus eſt. Quò cùm nauigaſſet, vitam illic degendam exiſtimauit: eóque magnam

vim opum, famulorum gregem, cæterámque ſupellectilem magnificè exornatam tranſtulit. Floruit, bona ab adoleſcentia fama ſibi comparata: eadémque gloria magis ætate firmata claruit. Inprimis, ob vitæ optioné: deinde propter beneficium, vt arbitror, cuidam Atheniéſi collatum, quod etiam ſpecimen probi viri dederat. Nam cùm in Pyræeum nauigaſſet, quendam ibi natum interrogauit, an certus quidam Athenis honeſtè viueret, & bene rem gereret. hæc autem ſciſcitabatur de hoſpite, quocum iuuenis adhuc, verſatus erat, cùm ad audiédum Adrianũ accederet. Et cùm didiciſſet eſſe & viuere, ſed domo ſua confeſtim deceſſurũ, ob decem millia drachmarum quæ fœnore acceperat, oppigneratis ædibus: nondum in vrbem reuerſus, drachmarum decem milia ad eum miſit, his verbis adiunctis, *Domum tuam libera, ne te mæſtum conſpiciam*. Hæc vtique facta non diuitis ſolùm, ſed diuitiis etiã pulchrè vtentis, eſſe ducimus, & valde docti, atque amicitiæ officia accuratè perpendentis. duas in vrbe domos poſſedit; vnam in Piræeo, Eleuſine aliam. ab Ægypto ventitabant ipſi, thus, ebur, vnguentum, papyrus & libri, ceteráque id genus, quæ vænalia ſunt. Hæc cùm diſpenſatoribus venderet, nec pecuniæ cupidus, nec illiberalis, neque plus habendi auidus, neque lucri fœnoríſque ſtudioſus vnquam viſus eſt, ſed ſorte contentus & priſci moris cultor. quinetiam cum filio prodigo in alendis gallis gallinaceis, coturnicibus, catellis & equis, colludendo repueraſcere malebat, quàm illum increpare. quod cùm ipſi à pleriſque crimini tribueretur; *Citius*, inquit,

A μεγαλοπρεπῶς κατεσκευασμένην. ἤκουσε δὲ Ἀθήνησι καὶ τὸν ἐν μειρακίῳ χρόνον, εὐδοκιμῶν· πολλῷ μᾶλλον ἀνὴρ γενόμενος. πρῶτον μὲν, ἐπὶ τῇ τοῦ βίου αἱρέσει· ἔπειτα, οἶμαι, καὶ ἐπὶ εὐεργετήματι γενομένῳ μὲν περὶ ἕνα Ἀθηναῖον, δήλωσιν δὲ παρεχομένῳ χρηστοῦ ἤθους. ἐς γὰρ τὸν Πειραιᾶ ἐσπλεύσας, ἤρετό τινα τῶν αὐτόθεν, εἰ ὁ δεῖνα καλῶς Ἀθήνησι ζῇ, καὶ εὖ πράττει. B ἠρώτα δὲ ταῦτα ὑπὲρ τοῦ ξένου, ᾧ προσέμιξεν Ἀθήνησι νέος ὤν, ὅτε δὴ καὶ Ἀδριανῷ ἐφοίτα. μαθὼν δὲ αὐτὸν εἶναι, καὶ ζῆν, ἐκπεσεῖσθαι* αὐτίκα τῆς οἰκίας ἰν. δὲ αὐ. διακηρυττομένης ἐπ' ἀγορᾶς πρὸς δραχμὰς μυρίας, ἃς ἐπ' αὐτῇ ἐδεδάνειστο, ἔπεμψεν αὐτῷ τὰς μυρίας, μηδὲ ἀνελθών* πως ἐς τὸ ἄστυ, εἰπὼν ἐλευ- ἰν. πω θέρωσον τὴν οἰκίαν, ἵνα μή σε κατηφῆ C ἴδω. ταῦτα μὴ πλουσίου μόνον ἡγώμεθα, ἀλλὰ καὶ πλούτῳ καλῶς χρωμένου, πεπαιδευμένου τε ἱκανῶς, καὶ τὰ φιλικὰ ἀκριβοῦντος. ἐκτήσατο δὲ καὶ οἰκίας δύο μὲν ἄστει, μίαν δὲ ἐν Πειραιεῖ, καὶ ἄλλην Ἐλευσῖνι. ἐφοίτα δὲ αὐτῷ καὶ ἀπ' Αἰγύπτου λιβανωτός, ἐλέφας, μύρον, βύβλος, βιβλία, καὶ πᾶσα ἡ τοιάδε ἀγορά. καὶ ἀποδιδόμενος αὐτὰ τοῖς διατιθεμένοις τὰ τοιαῦτα, οὐδαμοῦ φι- D λοχρήματος ἔδοξεν, οὐδὲ ἀνελεύθερος, οὐδὲ ἐραστὴς τοῦ πλείονος, οὐδὲ ἐπικέρδια μαστεύων, ἢ τόκους, ἀλλ' αὐτὸ ἀγαπῶν τὸ ἀρχαῖον, υἱῷ τε ἀσώτῳ, περὶ ἀλεκτρυόνων τροφὴν, περί τε ὀρτύγων, κυνιδίων τε, καὶ ἵππων ξυννεάζων μᾶλλον, ἢ ἐπιπλήττων. καὶ παρὰ τοῖς πολλοῖς ἔχων αἰτίαν θᾶττον, ἔφη,

μεταβαλεῖ τὸ μετὰ γερόντων παίζειν, ἢ μετὰ ἡλίκων. ἀποθανόντος δὲ αὐτῷ τοῦ παιδὸς ἐκ τῆς γυναικὸς, ἐπὶ παλλακῇ ἐγένετο, διὰ τὸ καὶ γηράσκοντας ὀφθαλμοὺς ἀπάγεσθαι.* θηλυτάτη δ' αὕτη γενομένη, πᾶσαν ἀφιεὶς ἐξουσίαν, οὐκ ἀγαθὸς ἔδοξε προστάτης τοῦ οἴκου. τὰ δὲ τῆς μελέτης πάτρια τῷ ἀνδρὶ τούτῳ, διέκειτο ὧδε. ἑκατὸν δραχμὰς ἅπαξ καταβαλόντι ἐξῆν ἀκροᾶσθαι τὸν ἀεὶ χρόνον· ἦν δ' αὐτῷ καὶ θήκη βιβλίων ἐπὶ τῆς οἰκίας, ὧν μετῆν τοῖς συλλεγομένοις ἐς τὸ πλήρωμα τῆς ἀκροάσεως, ὡς μηδὲ συρίττοιμεν ἀλλήλοις, μηδὲ σκώπτοιμεν, ἃ ἐν ταῖς τῶν σοφιστῶν συνουσίαις φιλεῖ γίγνεσθαι. ἀθρόοι ἐσεκαλούμεθα, καὶ ἐκαθήμεθα ἐσκληθέντες· οἱ μὲν παῖδες καὶ οἱ παιδαγωγοὶ, μέσοι. τὰ μειράκια δὲ, αὐτοί. τὸ μὲν οὖν διαλεχθῆναι αὐτὸν, ἐν σπανίοις ἔκειτο. ὅτε δ' ὁρμήσειεν ἐς διάλεξιν, ἱππιάζοντί τε ἐῴκει, καὶ γοργιάζοντι. ἡ μελέτη δὲ τῆς προτεραίας, ἐσεκυκλεῖτο παρεωραμένη. τὸ δὲ μνημονικὸν, ἐνενηκοντούτης ἤδη γηράσκων, καὶ ὑπὲρ τὸν Σιμωνίδην ἔρρωτο, καὶ ἡρμήνευε μὲν κατὰ φύσιν. Ἀδριάνειοι δὲ ἦσαν αἱ ἐπιβολαὶ τῶν νοημάτων.

ἴσ. θηλυτάτη δ' αὐτῇ

A *ad bonam frugem ſe conuerteret cum ſenibus, quàm cum coæuis ludendo.* Defuncto ex vxore filio, pellicem in conſuetudinem ſuam admiſit, quòd ſeneſcentes iam oculi contraherentur: verùm cùm huic quæ effœminatiſſima erat, omnes permiſiſſet habenas, non bonus & frugi rei familiaris cuſtos habitus eſt. Inſtitutum declamationis huic viro peculiare, ita ſe habuit. Ei qui centum drachmas ſemel ſoluiſſet, ſemper audire licebat. B Erat etiam Bibliotheca domi, quæ colligentibus patebat, ad auſcultationis ſupplementum: ne vel inuicem exſibilaremus, vel cauillaremur, quæ in Sophiſtarũ ſcholis fieri ſolent. frequẽtes accerſebamur, & accerſiti ſedebamus. pueri quidẽ, eorúmq; rectores medij; ex altera verò parte adoleſcentes ipſi. Ceterum perrarò vſu ueniebat, vt ipſe diſſereret; ſed quãdo ad diſſertationem ſe conferebat, C Hippiam & Gorgiam æmulanti ſimilis erat. pridiana verò declamatio neglecta, in circulum ducebatur. Memoriæ vi etiam ad nonageſimum annum conſeneſcens Simonidem ſuperauit. Naturæ congruenter enunciabat; & Adrianéis cõformes ſenſorũ animi illationes habuit.

ΦΟΙΝΙΞ.

Φοῖνιξ δὲ ὁ Θετταλὸς, οὐδὲ θαυμάσαι ἄξιος, οὐδὲ αὖ διαβαλεῖν πάντα. ἦν μὲν γὰρ τῶν Φιλάγρου πεφοιτηκότων. γνῶναι δὲ ἀμείνων, ἢ ἑρμηνεῦσαι. τάξιν τε γὰρ τὸ νοηθὲν εἶχε, καὶ οὐδὲν ἔξω καιροῦ ἐνοεῖτο. ἡ δὲ ἑρμηνεία διεσπᾶσθαι τε ἐδόκει, καὶ ῥυθμοῦ ἀφέστηκεν. ἐδό-

PHOENIX.

D Phœnix Theſſalus nec dignus eſt qui in admirationem veniat, neque verò qui in omnibus damnetur. Ex Philagri condiſcipulis vnus fuit, ad ſentiendum quàm eloquendũ multo melior. lucidum enim ordinem habebant ſententiæ; ac nihil abs re & intempeſtiuè animo agitabat. verùm diſſoluta videbatur eius eloquutio, numeriſq; deſtituta. cetero-

quin accommodatior incipientibus iuuenibus, quàm aliquem iam habitum adeptis eſſe videbatur. etenim nuda ab eo negocia exponebantur, neque exornabantur oratione. Septuagenarius Athenis extinctus, non humili ſepulchro donatus eſt: ſi quidem à dextra Academiæ deſcenſus, iuxta viam ante equitum monumenta* ſepultus eſt.

A καὶ δὲ ἐπιτηδειότατος γεγονέναι τοῖς ἀρχομένοις τῶν νέων, ἢ τοῖς ἕξιν τινὰ ἤδη κεκτημένοις. τὰ γὰρ πράγματα γυμνὰ ἐξέκειτο, καὶ οὐ περιήμπισχεν αὐτὰ ἡ λέξις. ἑβδομηκοντούτης δὲ ἀποθανὼν, Ἀθήνησιν ἐτάφη, οὐκ ἀφανῶς· κεῖται γὰρ περὶ τῆς* ἐν τῇ πολεμίων, ἐν δεξιᾷ τῆς Ἀκαδημίας καθόδου.

*Ισ. τῆς τῶν ἱππέων ταφῆς, ἢ

DAMIANVS.

Me ad Damianum ducit ſermo, virum profectò eloquentiſſimũ, Epheſo oriundum. Vnde Soteri, Soſi, Nicandri, Phædri, Cyri & Phylaces eximantur. nam Græcorum ludi hi potius appellãdi ſunt, quàm Sophiſtæ memorãdi. Damiano igitur facundiſſima fuit etiam vetus proſapia, & qui ab eo profluxere, digniſſimi approbatiſſimíque in Epheſo ſunt habiti. quinetiam in Senatum omnes allecti ſunt: cùm optima exiſtimatione & nummorum contemptu admirabiles viderentur. Ipſe quoque multis diuitiis, & magnifico apparatu pollens, omnib. Epheſiorũ egenis benignè ſubuenit; ac Rempublicã plurimùm adiuuit, dum pecunias largitus eſt; & è publicis operib. collapſa reſtaurauit. Epheſo quoq; templum connexuit, quò deſcenſum viam per Magneſiã deduxit, viámque ſtrauit; vbi porticus eſt in ſtadij longitudinem tota ex lapide confecta. Huius ſtructura propoſitũ fuit, vt templi miniſtros, ſi quandoque plueret, diſcedere non cogerétur. Opus multa impenſa cõfectum, à nomine vxoris ſuæ conſcripſit. In templo cœnationem ædificauit, quæ magnitudine ceteras ſimul ab aliis exſtructas exſuperat,

ΔΑΜΙΑΝΟΣ.

B Ἄγει με ὁ λόγος ἐπ' ἄνδρα ἐλλογιμώτατον Δαμιανὸν, τὸν ἐκ τῆς Ἐφέσου. ὅθεν ἐξῃρήσθων Σωτῆροί τε, καὶ Σῶσοι, καὶ Νίκανδροι, καὶ Φαῖδροι, Κῦροί τε, καὶ Φύλακες. ἀθύρματα γὰρ τῶν Ἑλλήνων οὗτοι μᾶλλον προσρηθεῖεν ἂν, ἢ σοφισταὶ λόγου ἄξιοι. Δαμιανῷ τοίνυν ἐλλογιμώτατον μὲν καὶ τὸ ἄνω γένος, καὶ πλείστου ἄξιοι τῇ Ἐφέσῳ. εὐδοκιμώτατοι δὲ, καὶ οἱ ἀπ' αὐτοῦ φύντες. συγκλήτου γὰρ βουλῆς ἀξιοῦνται πάντες, ἐπ' C εὐδοξίᾳ θαυμαζόμενοι, καὶ ὑπεροψίᾳ χρημάτων. αὐτός τε πλούτῳ ποικίλῳ, καὶ πολυπρεπεῖ κατασκευασμένος, ἐπήρκει μὲν καὶ τοῖς δεομένοις τῶν Ἐφεσίων, πλεῖστα δὲ ὠφέλει τὸ κοινὸν, χρήματά τε ἐπιδιδοὺς, καὶ τὰ ὑποδεδωκότα τῶν δημοσίων ἔργων ἀνακτώμενος. συνῆψε δὲ καὶ τὸ ἱερὸν τῇ Ἐφέσῳ, κατατείνας D ἐς αὐτὸ* τὴν διὰ τῶν Μαγνήτων κάθοδον. ἔστι δὲ αὕτη στοὰ ἐπὶ στάδιον λίθου πᾶσα. νοῦς δὲ τοῦ οἰκοδομήματος, μὴ ἀπεῖναι τοῦ ἱεροῦ τοὺς θεραπεύοντας ὁπότε ὕοι. τοῦτο μὲν δὴ τοὔργον ἀπὸ πολλῶν χρημάτων ἀποτελεσθὲν, ἐπέγραψεν ἀπὸ τῆς ἑαυτοῦ γυναικός. τὸ δὲ ἐν τῷ ἱερῷ ἑστιατήριον, αὐτὸς ἀνέθηκε, μεγέθει τε ἐξάρας ὑπὲρ πάνθ' ὁμοῦ τὰ παρ' ἑτέροις,

καὶ λόγου κρείττω περιβαλὼν κόσμον. ὡραΐσαι γὰρ Φρυγίῳ λίθῳ, οἷος οὔπω ἐτμήθη. πλούτῳ δὲ χρῆσθαι καλῶς ἐν μειρακίῳ ἤρξατο. Ἀριστείδου γὰρ δὴ, καὶ Ἀδριανοῦ, *κατειληφότοιν, τοῦ μὲν, τὴν Σμύρναν, τοῦ δὲ τὴν Ἔφεσον, ἠκροάσατο ἀμφοῖν ἐπὶ μυρίαις, εἰπὼν, πολλῷ ἥδιον ἐς τοιαῦτα δαπανᾶν παιδικά, ἢ ἐς καλούς τε, καὶ καλὰς, ὥσπερ ἔνιοι. καὶ ὁπόσα ὑπὲρ ἀνδρῶν τούτων ἀναγέγραφα, Δαμιανοῦ μαθὼν εἴρηκα, *ὡς τ' ἀμφοῖν εἰδότος. πλούτου δὲ ἐπίδειξιν τῷ ἀνδρὶ τούτῳ κἀκεῖνα εἶχε. πρῶτον μὲν ἡ γῆ πᾶσα, ὁπόσην ἐκέκτητο, ἐκπεφυτευμένη δένδρεσι καρπίμοις τε, καὶ εὐσκίοις. ἐν δὲ τοῖς ἐπὶ θαλάττῃ, καὶ νῆσοι χειροποίητοι, καὶ λιμένων προχώσεις, βεβαιοῦσαι τοὺς ὅρμους, καταιρούσαις τε, καὶ ἀφιείσαις ὁλκάσιν. οἰκίαι τε ἐν προαστείοις, αἱ μὲν, κατεσκευασμέναι τὸν ἐν ἄστει τρόπον, αἱ δὲ, *ἀνδρώδεις. ἔπειτα* αὐτοῦ ἀνδρὸς τὸ ἐν τῇ ἀγορᾷ ἦθος, οὐ παντὸς ἀσπαζομένου κέρδος, οὐδὲ ἐπαινοῦντος τὸ ἐξ ἅπαντος λαμβάνειν, ἀλλ' οὓς αἴσθοιτο ἀποροῦντας, προῖκα τούτοις τὴν ἑαυτοῦ φωνὴν διδόντος. παραπλήσιος δὲ ἦν κἀν τοῖς σοφιστικοῖς τῶν λόγων. οὓς γὰρ αἴσθοιτο ἀποροῦντας ἐξ ὑπερορίων, καὶ ἐθνῶν ἥκοντας, ἠφίει τούτοις τὸν μισθὸν τῆς ἀκροάσεως, μὴ λάθοιεν δαπανώμενοι. ἦν δὲ δικανικοῦ μὲν, σοφιστικώτερος, σοφιστικοῦ δὲ, δικανικώτερος. προϊὼν δ' ἐς γῆρας, μεθῆκεν ἄμφω τὰς σπουδὰς, τὸ σῶμα καταλυθεὶς μᾶλλον, ἢ τὴν γνώμην. τοῖς γοῦν κατὰ κλέος αὐτοῦ φοιτῶσιν ἐς τὴν Ἔφεσον, παρέχων ἑαυτὸν,

γρ. κατειληφότοιν

ἴσ. ὡς γ' ἀ.

ἴσ. ἀνδρῶν δίκ.

ἴσ. τὸ αὐ.

ineffabilíque ornatu circumduxit. Phrygio lapide ita exornauit, vt ne alibi quidem, quid tale ſpectetur. Ab adoleſcentia diuitiis honeſtè vti cœpit. Cùm Ariſtides & Adrianus, alter Smyrnam, Epheſum alter reliquiſſet, ambos exhibita innumera mercede audiuit, dicens, Multo ſuauius eſſe ad has delicias, quàm in pulchros & pulchras, vt plerique faciunt, pecunias erogare. Quæcunque verò de his viris deſcripſi, à Damiano edoctus retuli. qui vtrumque probè nouerat. Porrò hæc diuitiarum oſtentationem viro præſtiterũt: in primis, omnis terra quæ ab ipſo poſſidebatur, fructiferis opacíſque arboribus conſita fuit. In iis autem quæ ad mare vergebãt, inſulæ induſtria ſtructæ; ac portuum præaggeſtiones ad firmandas ſtationes, ſoluentibus è littore, & appellentibus onerariis: itémque prædia in ſuburbiis quædam ad vrbanorum modum exſtructa; aliæ arboribus circumſita. Deinde viri huius indoles fuit, vt non omne lucrũ in foro diligeret, ac ne laudabile quidem reputaret ab omnibus accipere, ſed quos intelligebat egenos, his vocem ſuam gratis exhibebat. perinde quoque ſe præſtabat in Sophiſticarum diſſertationum ratione. Quos enim pauperes, & ab vltimis vſque gentibus profectos eſſe ſenſerat, iis auſcultationis mercedem dimiſit, ne pecuniis deſtituti laterent. Fuit autẽ vt in iudiciali genere magis ſophiſticus, ſic in ſophiſtico magis iudicialis: at procedens in ſenectutem, ſtudia vtraque deſeruit, corpore magis quàm mente ſolutus. Quamobrem quicunque ipſius gloria moti Epheſum ad eum venerant, his profectò ſe totum ex-

hibuit, ac mihi quoque primum, ſecundum & tertium congreſſum attribuit. Tum hominem vidit Sophocleo equo perſimilem:

Ætate nam tardus videbatur graui,
Certamine at cepit vigorem in ſerio.

Annum nactus ſeptuageſimum, domi moritur, & in quodam ſuo ſuburbano, vbi plurimùm vixerat, ſepultus eſt.

ANTIPATER.

Antipatro Sophiſtæ Hierapolis patria fuit: ea verò vrbs in iis recenſenda eſt, quæ in Aſia florebant. Zeuxidemus verò pater, ex clariſſimis illius ciuibus erat. Adriani & Pollucis diſciplinæ traditus, à Polluce magis compoſitus expolitúſque eſt, vt ſententiarum impetum, eloquutionis modulis reſolueret. Zenonem etiam Athenienſem audiuit, à quo genus accuratum in arte dicendi edidicit: & quamuis extemporali facultate valeret, lucubrationes tamen nequaquam aſpernatus eſt. Nam Olympiacas quoq; & Panathenaïcas nobis recitauit orationes; & ad hiſtoriam Seueri imperatoris geſta ſumpſit; à quo imperatoriis epiſtolis præfectus, ſplendidum in eis quiddam exhibuit. atenim multos ego hoc viro melius & declamaſſe & conſcripſiſſe cenſuerim, ſed in epiſtolis exarandas præſtantiorem fuiſſe neminem: quippe cum velut inſignis Tragœdiæ actor, qui pulcrè Dramatis argumentum nouit; hic etiá in literis regia perſona digniſſima enunciaret. Dicta enim luciditatem & ſententiæ magnitudinem habebant, & è re nata expoſitionem, & cum voluptate ſolutam inconnexitatem, quæ maximè epiſto-

Epiſtol. virtus.

A ἀνέθηκε κἀμοί ἵνα συνουσίαν πρώτην τε, καὶ δευτέραν, καὶ τρίτην. καὶ εἶδον ἄνδρα παραπλήσιον τῷ Σοφοκλείῳ ἵππῳ. Νωθὴς γὰρ ὑφ' ἡλικίας δοκῶν, νεάζουσαν ὁρμὴν ἐν ταῖς σπουδαῖς ἀνεκτᾶτο. ἐτελεύτα δὲ οἴκοι, ἔτη βιοὺς ἑβδομήκοντα. καὶ ἐτάφη ἐν προαστείῳ τινὶ τῶν ἑαυτοῦ, ᾧ μάλιστα ἐνεβιώσεν.

ΑΝΤΙΠΑΤΡΟΣ.

B Ἀντιπάτρῳ δὲ τῷ σοφιστῇ, πατρὶς μὲν ἦν Ἱεράπολις, καταλεκτέα δὲ αὕτη ταῖς κατὰ τὴν Ἀσίαν εὖ πραττούσαις. πατὴρ δὲ, Ζευξίδημος, τῶν ἐπιφανεστάτων ἐκείνῃ. Ἀδριανῷ μὲν, καὶ Πολυδεύκει φοιτήσας, ἀπὸ τοῦ Πολυδεύκους μᾶλλον ἥρμοσται, τὰς ὁρμὰς τῶν νοημάτων ἐκλύων τοῖς τῆς ἑρμηνείας ῥυθμοῖς. ἀκροασάμενος δὲ καὶ Ζήνωνος τοῦ C Ἀθηναίου, τὸ περὶ τὴν τέχνην ἀκριβὲς ἐκείνου ἔμαθεν. αὐτοσχέδιος δὲ ὤν, οὐδὲ φροντισμάτων ἠμέλει, ἀλλ' Ὀλυμπικούς τε ἡμῖν διῄει, καὶ Παναθηναϊκούς· καὶ ἐς ἱστορίαν ἔλαβε τὰ Σεβήρου τοῦ βασιλέως ἔργα. ἐφ' οὗ μάλιστα ταῖς βασιλείοις ἐπιστολαῖς ἐπιταχθεὶς, λαμπρόν τι ἐν αὐταῖς ἤχησεν. ἐμοὶ μὲν γὰρ δὴ ἀποπεφάνθω, μελετῆσαι μὲν, καὶ συγγράψαι τοῦ ἀνδρὸς τούτου πολλοὺς D βέλτιον, ἐπιστεῖλαι δὲ μηδένα ἄμεινον· καὶ ὥσπερ τραγῳδίας λαμπρὸν ὑποκριτὴν τοῦ δράματος εὖ ξυνιέντα, ἐπάξια τοῦ βασιλείου προσώπου φθέγξασθαι. σαφήνειάν τε γὰρ τὰ λεγόμενα εἶχε, καὶ γνώμης μέγεθος, καὶ τὴν ἑρμηνείαν ἐκ τῶν παρόντων, καὶ ξὺν ἡδονῇ τὸ ἀξύνδετον, ὃ δὴ μάλιστα ἐπι-

στολὴν λαμπρεύων. ὑπάτοις δὲ ἐγγραφεὶς, ἦρξε μὲν τοῦ τῶν * Βιθυνῶν ἔθνους· δόξας δὲ ἑτοιμότερον χρῆσθαι τῷ ξίφει, τὴν ἀρχὴν παρῃρέθη. βιοὺς μὲν δὴ ὀκτὼ, καὶ ἑξήκοντα ἔτη ὁ Ἀντίπατρος ἐτελεύτα, καὶ ἐτάφη οἴκοι. λέγεται δὲ ἀποθανεῖν καρτερίᾳ μᾶλλον, ἢ νόσῳ. διδάσκαλος τῶν τοῦ Σεβήρου παίδων ἐνομίσθη· καὶ θεῶν διδάσκαλον ἐκαλοῦμεν αὐτὸν ἐν τοῖς ἐπαίνοις τῆς ἀκροάσεως. ἀποθανόντος δὲ τοῦ νεωτέρου σφῶν ἐπ' αἰτίᾳ, ὡς τῷ ἀδελφῷ ἐπιβουλεύοι, γράφει πρὸς τὸν πρεσβύτερον ἐπιστολὴν, μονῳδίαν ἐπέχουσαν, καὶ θρῆνον, ὡς εἷς μὲν αὐτοῖς ὀφθαλμὸς ἐκ δυοῖν, χεὶρ δὲ μία· καὶ οὓς ἐπαίδευσεν ὅπλα ὑπὲρ ἀλλήλων αἴρεσθαι, τούτοις ἀκούει καὶ ἀλλήλων ἠρμένοις, ὑφ' ὧν παροξυνθῆναι τὸν βασιλέα μὴ ἀπιστῶμεν. καὶ γὰρ ἂν καὶ ἰδιώτην ταῦτα παρώξυνε, βουλόμενόν γε τὸ δοκεῖν ἐπιβεβουλεῦσθαι μὴ ἀπιστεῖσθαι.

* γρ. Ἀθηναίων

A lam illuſtrant. Inter principes viros Bithynorum nationi præfuit. Sed cùm promptius vti gladio viſus eſſet, magiſtratu abdicatus eſt. Annos octo & ſexaginta vixit Antipater, ac domi ſepultus eſt. Abſtinentia verò, & inedia magis quàm ægritudine mortuus eſſe dicitur. Seueri filiorum præceptor eſt exiſtimatus: vnde in Auditorij laudibus, eum Deorum doctorem appellabamus. cùm autem iunior ex his interemptus eſſet, obiecto cri- B mine, quòd fratribus inſidias ſtrueret; ad maiorem natu epiſtolam ſcripſit, lugubrem ſermonem & lamenta continentem; eo quòd ex duobus vnus ſibi oculus, vnáque manus ſupereſſet: & quos edocuerat arma pro ſe inuicem ferre, hos audiret in mutuam perniciem eſſe congreſſos. Quare irritatum fuiſſe imperatorem facilè credimus: ſedenim hæc priuatum quoque irritarent, ſi quidem videri vellet inſi- C dias paratas fuiſſe, non dubitari.

ΕΡΜΟΚΡΑΤΗΣ.

Πολὺς ἐν σοφιστῶν κύκλῳ καὶ Ἑρμοκράτης ὁ Φωκαεὺς ᾄδεται, φύσεως ἰσχὺν δηλώσας παρὰ πάντας, οὓς ἑρμήνευσα. οὐδενὶ γὰρ θαυμασίῳ σοφιστῇ συγγενόμενος, ἀλλὰ Ῥουφίνου τοῦ Σμυρναίου ἀκηκοὼς, τὰ σοφιστικὰ τολμῶντος μᾶλλον, ἢ κατορθοῦντος, ἑρμηνεῦσαι ποικιλώτατα Ἑλλήνων καὶ ἔγνω, καὶ ἔταξεν. οὐ τὰς μὲν, τῶν ὑποθέσεων, τὰς δ' οὐχὶ, ἅπαξ δὲ πάσας τὰς μελετωμένας· καὶ γὰρ δὴ καὶ τὰς ἐσχηματισμένας εὖ διέθετο, ἀμφιβολίας τε πλείστας ἐπινοήσας, καὶ τὸ σημαινόμενον ἐγκαταμίξας τῷ ἀφειμένῳ. πάππος μὲν δὴ αὐτῷ ἐγένετο Ἄτταλος, ὁ Πολέ-

HERMOCRATES.

In Sophiſtarum corona multus Hermocrates Phocenſis prædicatur. Quippe qui præter omnes quos cõmemoraui, naturæ & ingenij vim oſtendit. Nullius namq; Sophiſtæ mirabilis conſortio vſus, ſed Smyrnæo tantùm Rufino audito, qui ſophiſtica profiteri magis auſus eſt, quàm D in iis rectè ſe geſſerit: elegantiſſimè inter Græcos eloqui ſciuit, & inſtituit: ac non has duntaxat cauſas, illas verò minimè, ſed planè omnes tam ad declamandum comparatas, quàm figuratas bene diſpoſuit. Ambagibus plurimis excogitatis, & re ſignificata admixta non expreſſæ. Auus ipſi Attalus Pole-

monis

monis filius. Ruſinianus verò pater; vir ſummus, pater eius fuit; qui Calliſto filiam duxerat in vxorem. Patre mortuo, Hermocrati tantum cum matre diſſidium eſt exortum, támque irreconciliabile odium, vt Calliſto nullam ſuper ipſo filio qui in adoleſcentia obierat lachrymulam fuderit: tametſi vel infeſtiſſimis quibuſque huius ætatis caſus commiſeratione digni videantur. Hoc porrò ab iis qui ita nudè rem audiuerint, adoleſcentis vitio potius attribueretur, ſi nihil mater ipſa commiſiſſet. verùm cauſam expendenti, quòd alieno à matre animo fuiſſet, quia illa ſerui amore tenebatur: iuuenis legibus obtemperare videri poſſet, quæ ob eiuſmodi crimina etiam occidere concedunt. Mater verò digna quam externi quoque proſequantur odio, propterea quòd & ſeipſam & filium dedecorarat. Ceterùm etiamſi Hermocrates hoc liberetur crimine, non hunc tamen reatum effugiet: ſedenim paternam domum opulentam, ſibi traditam, non in alendis equis & functionibus publicis, vnde fas eſt nomen ſibi comparare, ſed ad crapulam profudit, & ſodales qui ſcribendæ Comœdiæ argumentum ſuggererent, vt vſuuenit iis qui Calliæ quandoque Hipponici filio adulabátur. Antipater cùm imperatori ab epiſtolis electus eſſet, cuperétq; ſuam gnatam admodum deformem Hermocrati collocare: hic ad illius proſperitatem non ſtatim tranſiliit: ſed cùm nuptiarum internuncia, ad Antipatri potentiam qua eo tempore pollebat, ipſum excitaret: *Nunquam* (inquit Hermocrates) *amplæ doti & ſoceri faſtui inſeruiam*. Et cùm ipſum cognati

Leges de amore impud.

A μωνος τοῦ σοφιστοῦ παῖς. πατὴρ δὲ, Ρουσινιανὸς ὁ ἐκ Φωκέων, ἀνὴρ ὕπατος, Καλλιστὼ γήμας τὴν Ἀττάλου. τελευτήσαντος δὲ αὐτῷ τοῦ πατρὸς, ἐς διαφορὰν κατέστη πρὸς τὴν ἑαυτοῦ μητέρα, οὕτω τι ἀπαραίτητον, ὡς μηδὲ δάκρυον ἐπ' αὐτῷ τὴν Καλλιστὼ ἀφεῖναι ἐν μειρακίῳ ἀποθανόντι, ὅτε δὴ καὶ τοῖς πολεμιωτάτοις ἐλεεινὰ τὰ τῆς ἡλικίας φαίνεται. καὶ τοῦτο οὑτωσὶ μὲν ἀκούσαντι, B κακία τοῦ μειρακίου προσήκεται μᾶλλον, εἰ μηδὲ μήτηρ ἐπ' αὐτῷ τι ἔπαθε· λογιζομένῳ δὲ τὴν αἰτίαν, καὶ ὅτι τὴν μητέρα ἀπέστρεψεν ἐπὶ δούλου ἔρωτι, ὁ μὲν συμβαίνων τοῖς νόμοις φαίνοιτο ἂν, οἳ δεδώκασι τὸ ἐπὶ τοιαῖσδε αἰτίαις, καὶ ἀποκτείνειν. ἡ δὲ, ἀξία μισεῖσθαι καὶ τοῖς μὴ προσήκουσιν, ὑπὲρ ὧν ἑαυτήν, καὶ τὸν υἱὸν ᾔσχυνεν. ὥσπερ C δὲ ταύτην ὁ Ἑρμοκράτης διαφεύγει τὴν αἰτίαν· οὕτως ἐκείνην οὐκ ἂν διαφύγοι. τὸν γὰρ πατρῷον οἶκον βαθὺν αὐτῷ παραδοθέντα, κατεδαπάνησεν οὐκ ἐς ἱπποτροφίας, οὐδὲ ἐς λειτουργίας, ἀφ' ὧν καὶ ὄνομα ἔστιν ἄρασθαι, ἀλλ' ἐς ἄκρατον, καὶ ἑταίρους, οἵους παρέχειν καὶ κωμῳδίᾳ λόγον, οἳ περιέ- D χον τὸν Καλλίαν ποτὲ τὸν Ἱππονίκου κολακεύσαντες. Ἀντιπάτρου δὲ προεληλυθότος ἐς τὰς βασιλείους ἐπιστολὰς ἤδη, ἀσπαζομένου τε ἁρμόσαι τὸν τὴν ἑαυτοῦ θυγατέρα πονηρῶς ἔχουσαν τοῦ εἴδους, οὐκ ἐπήδησε πρὸς τὴν ἐκείνου εὐπραγίαν, ἀλλὰ καὶ τῆς προμνηστρίας ἀναγούσης ἐς τὴν τοῦ Ἀντιπάτρου ἰσχὺν, ἣν εἶχε τότε, οὐκ ἄν

ποτε ἔφη δουλεῦσαι* προικὶ μακρᾷ, καὶ πενθεροῦ τύφῳ. ὠθούντων δὲ αὐτὸν τῶν in. δουλεῦσαι

συνεργῶν ἐς τὸν γάμον, καὶ Διὸς Κόρινθον ἡγουμένων τὸν Ἀντίπατρον, οὐ πρότερον εἶρξεν, ἢ Σεβῆρον αὐτοκράτορα μεταπέμψαντα αὐτὸν ἐς τὴν ἕω, δοῦναί οἱ τὴν κόρην. ὅτε δὴ καὶ ἐπιτηδείων ἐρομένου τινὸς αὐτὸν, ὁπότε ἄγοι τὰ ἀνακαλυπτήρια, ἀστειότατα ὁ Ἑρμοκράτης, ἐγκαλυπτήρια μὲν οὖν, ἔφη, τοιαύτην λαμβάνων. καὶ διέλυσε μετ' οὐ πολὺ τὸν γάμον, ὁρῶν οὔτε ἰδεῖν ἡδεῖαν, οὔτε ἐπιτηδείαν τὸ ἦθος. καὶ ἀκροατὴς δὲ τοῦ Ἑρμοκράτους ὁ αὐτοκράτωρ γενόμενος, ἠγάσθη αὐτὸν ἴσα τῷ πάππῳ· δωρεὰς δὲ αἰτεῖν ἀνεῖκε. καὶ Ἑρμοκράτης στεφάνους μὲν, ἔφη, καὶ ἀτελείας, καὶ σιτήσεις, καὶ πορφύραν, καὶ τὸ ἱερᾶσθαι, ὁ πάππος ἡμῖν τοῖς ἀπ' αὐτοῦ παρέδωκε. καὶ τί ἂν αἰτοίην παρὰ σοῦ τήμερον, ἃ ἐκ τοσούτου ἔχω; ἐπεὶ δέ ἐστί μοι προστεταγμένον ὑπὸ τοῦ κατὰ τὸ Πέργαμον Ἀσκληπιοῦ πέρδικα σιτιστὴν λιβανωτῷ θυμιώμενον, τὸ δὲ ἄρωμα τοῦτο οὕτω τι σπάνιον καθ' ἡμᾶς νῦν, ὡς ψαιστὸν, καὶ δάφνης φύλλα τοῖς θεοῖς θυμιᾶσθαι, δέομαι λιβανωτοῦ ταλάντων πεντήκοντα, ἵνα θεραπεύοιμι μὲν τοὺς θεοὺς, θεραπευοίμην δὲ αὐτός. ἔδωκε δὲ τοῦ λιβανωτοῦ σὺν ἐπαίνῳ ὁ αὐτοκράτωρ, ἐρυθριᾶν εἰπὼν ἐπὶ μικρὰ ᾐτῆσθαι. ξυνελάμβανε τῷ Ἑρμοκράτει τῶν ἐπιδείξεων, πρῶτον μὲν τὸ τοῦ πάππου κλέος. ἡ γὰρ φύσις ἡ ἀνθρωπεία, τὰς ἀρετὰς ἀσπάζεται μᾶλλον, ἐκ πατέρων ἐς παῖδας διαδοθείσας. ὅθεν εὐκλεέστερος μὲν Ὀλυμπιονίκης, ὁ ἐξ Ὀλυμπιονικῶν οἴκου, γενναιότερος δὲ στρατιώτης, ὁ μὴ ἀστρατεύτων. ἡδίους τε τῶν ἐπιτηδεύσεων, αἱ πατέρων τε, καὶ προ-

A ad has nuptias impellerent ; quia Iouis Corinthum Antipatrum eſſe reputabant, non ante id in animum eius induxerunt, quàm Seuerus imperator eo ad orientem accerſito puellam ducendã tradidiſſet. Tunc ſocio quodam interrogante, quando repotia ad velum deponendum celebraret, vrbaniſſimè quidẽ Hermocrates, *Nuptialia*, inquit, *ad obnubendum eam quam duxi celebrabo*. Et paulò pòſt diuortium fecit, cùm B vxorem neque aſpectu gratam, neque moribus accommodatã intueretur. Hermocratis auditor factus, imperator, eum pariter atque eius auum, admiratus eſt. ac petendorum munerum ei fecit optionem. Ac Hermocrates: *Coronas* (inquit) *immunitatem, victum è publico, praetextam & Pontificatum, auus nobis ſuis poſteris reliquit. Quid igitur hodie à te peterem, quæ relicta hereditario iure habeo? Quoniam verò mihi ab Æſcu-* C *lapio Pergameno imperatum eſt, vt perdicem ſuffitã opimo thure alam: hoc autem arôma ita iam nobis rarum eſt, vt & lauri folia ex farina, vino oleóq; ſubacta Dijs omnino adoleamus: Thure talentorum quinquaginta mihi opus eſt, imperator, vti Deos colere poſſim, & vti etiam ipſe colar.* Dedit cum laude thus, imperator, aiens ſe erubeſcere, quòd parua petierit. Adiuuit Hermocratem in ſpeciminibus, in primis aui ſui gloria. Humanum enim D ingenium virtutes potius à parentibus in filios traductas amplectitur. Quare victor Olympicus glorioſior eſt, ex victorum Olympicorum domo. Et generoſior quoque miles, qui non ex imbellibus ortus eſt. Suauiora autem ſtudia illa ſunt, quæ à parentibus & ma-

ioribus inſunt: meliores quoque artes, quæ hereditario iure comparantur. Profuit etiam ipſi formæ dignitas. Etenim gratiarum alumnus erat, & ſtatuæ decus præ ſe ferebat, vt puberes ſolent. audacia porrò adoleſcentis qua in cœtu hominum loquebatur, in multitudine, ſtuporem multis afferebat. Homines enim eos admirantur, qui res magnas ſine anxietate, animíque conſternatione adoriuntur. Aliquid etiã lenis facundia & linguæ plauſus attulit, & quòd momento temporis cauſas perſpiceret, & lecta quidẽ ac dicta, ad ſenioris potius quàm iunioris captum, intelligeret & exponeret. Hermocratis declamationes octo duntaxat vel decẽ. Oratio non longa quam in Phocæa Panio crateri dixit. Equidẽ aſſeruerim adoleſcentis huius linguã ſuperaturum neminem fuiſſe niſi fatorũ inuidia ad virilem ætatẽ peruenire prohibitus eſſet. Octauo & vigeſimo ætatis anno (ſecundum quoſdam) extinctus eſt. Plerique verò quinto ac vigeſimo diem obiiſſe dicunt, eúmq; paternũ ſolum & monimentum excepit.

HERACLIDES.

Heraclides etiam Lycius vir celeberrimus; quòd ad eius domum attinet, quia à probis parentibus ortus erat, & inter pontifices Lycios admiſſus. hanc verò immunitatem, quæ non magnæ Romanorum gentis erat, magni æſtimant pro antiqua, opinor, confœderatione. Heraclides facũdior in ſophiſticis fuit, idoneus quippe ad intelligendum, ſufficiens ad exponendum, & in forenſi contẽtione minimè ſuperfluus, & in notionibus Panegyricis non multum debacchans. Porrò Atheniẽſi ſuggeſtu oratorio excidit, cùm

A χρόνων οἴκου· καὶ τέχναι βέβαιοι, αἱ κληρονομούμεναι. ξυνελάμβανε δὲ αὐτῷ καὶ ἡ ὥρα ἡ περὶ τὸ εἶδος. καὶ γὰρ ἐπίχαρις, καὶ ἀγαλματίας, οἷα ἔφηβοι. καὶ τὸ θάρσος δὲ τοῦ μειρακίου τὸ ἐν τοῖς πλήθεσιν, ἔκπληξιν ἐς τοὺς πολλοὺς ἔφερεν· ἣν ἐκπλήττονται οἱ ἄνθρωποι τοὺς τὰ μεγάλα μὴ ξὺν ἀγωνίᾳ πράττοντας. ἐδίδου τι καὶ ἡ εὔροια, καὶ ὁ τῆς γλώττης κρότος, καὶ τὸ ἐν στιγμῇ τοῦ καιροῦ ξυνορᾶν
B τὰς ὑποθέσεις, καὶ τὰ ἀναγιγνωσκόμενά τε, καὶ λεγόμενα παλαιοτέρῳ ὄντα*, ἢ νέῳ γε ἐνθυμηθῆναι, καὶ ἑρμηνεῦσαι. αἱ μὲν δὴ μελέται τοῦ Ἑρμοκράτους, ὀκτώ που ἴσως, ἢ δέκα· καί τις λόγος οὐ μακρὸς ὃν ἐν Φωκαίᾳ διῆλθε τῷ Πανίῳ κρατῆρι. ἐμοὶ δὲ ἀποπεφάνθω, μὴ ἄν τινα ὑπερφωνῆσαι τὴν μειρακίου τούτου γλῶτταν, εἰ μὴ ἀφῃρέθη τὸ παρελ-
C θεῖν ἐς ἄνδρας, φθόνῳ ἁλούς. ἐτελεύτα δὲ κατ' ἐνίους μὲν, ὀκτὼ καὶ εἴκοσι γεγονὼς ἔτη. ὡς δὲ ἔνιοι, πέντε, καὶ εἴκοσι. καὶ ἐδέξατο αὐτὸν ἡ πατρῴα γῆ, καὶ αἱ πατρῷαι θῆκαι.

ΗΡΑΚΛΕΙΔΗΣ.

Ἀνὴρ ἐλλογιμώτατος καὶ Ἡρακλείδης ὁ Λύκιος· καὶ τὰ οἴκοι μὲν, ἀπὸ πατέρων τε ἀγαθῶν ἔφυ, καὶ ἀρχιερέων Λυκίων
D ἠξιοῦτο· τὴν δὲ ἀλειτουργησίαν οὖσαν οὐ μεγάλου ἔθνους Ῥωμαίων, μεγάλων ἀξιοῦσιν, ὑπὲρ ξυμμαχίας, οἶμαι, παλαιᾶς. ἐλλογιμώτερος δὲ ὁ Ἡρακλείδης τὰ σοφιστικά, ἀποχρῶν μὲν γὰρ ξυνεῖναι, ἀποχρῶν δὲ ἑρμηνεῦσαι, καὶ τοὺς ἀγῶνας ἀπέριττος, καὶ ταῖς πανηγυρικαῖς ἐννοίαις οὐχ ὑπερβακχεύων. ἐκπεσὼν δὲ τοῦ θρόνου τοῦ Ἀθήνησι, συστάντων ἐπ' αὐ-

τὸν τῶν Ἀπολλωνίου τοῦ Ναυκρατίτου ἑταῖρον· ὧν πρῶτος, καὶ μέσος, καὶ τελευταῖος ὁ Μαρκιανὸς ὁ ἐκ Δολίχης, ἐγένετο, ἐπὶ τὴν Σμύρναν ἐτράπετο, θύουσαν δὴ μάλιστα πόλεων ταῖς τῶν σοφιστῶν μούσαις. νεότητα μὲν οὖν Ἰωνικήν τε, καὶ Λυδίαν, καὶ τὴν ἐκ Φρυγῶν καὶ Καρίας ξυνδραμεῖν ἐς Ἰωνίαν κατὰ συνουσίαν τοῦ ἀνδρὸς, οὔπω μέγα, ἐπειδὴ ἀγχίθυρος ἁπάσαις ἡ Σμύρνα. ἡ δὲ, ἦγε μὲν καὶ τὸ ἐκ τῆς Εὐρώπης Ἑλληνικόν· ἦγε δὲ τοὺς ἐκ τῆς ἑῴας νέους· πολλοὺς δὲ ἦγεν Αἰγυπτίων οὐκ ἀνηκόους αὐτοῦ ὄντας, ἐπειδὴ Πτολεμαίῳ τῷ Ναυκρατίτῃ κατ' Αἴγυπτον περὶ σοφίας ἤριζεν. ἐνέπλησε δὲ τὴν Σμύρναν ὁμίλου λαμπροῦ· ὥσπερ δὴ καὶ πλείω ἔπρα, ἃ ἐγὼ δηλώσω. πόλις ἐς ξένους πολλοὺς ἐπεστραμμένη, ἄλλως τε, καὶ σοφίας ἐρῶντας, σωφρόνως μὲν βουλεύσεται. σωφρόνως δὲ ἐκκλησιάσει. φυλαττόμενοι δέ που τὸ ἐν πολλοῖς τε, καὶ σπουδαίοις, κακοὶ ἁλίσκεσθαι, ἱερῶν τε* ἐπιμελήσονται, καὶ γυμνασίων, καὶ κρηνῶν, καὶ στοῶν, ἵνα ἀποχρῶσι τῷ ὁμίλῳ φαίνοιτο. εἰ δὲ καὶ ναύκληρος* ἡ πόλις εἴη, καθάπερ ἡ Σμύρνα, πολλὰ καὶ ἄφθονα αὐτοῖς ἡ θάλασσα δώσει. ξυνήρατο δὲ τῇ Σμύρνῃ καὶ τοῦ εἴδους, ἐλαίου κρήνην ἐπισκευάσας ἐν τῷ τοῦ Ἀσκληπιοῦ γυμνασίῳ χρυσῆν τοῦ ὀρόφου· καὶ στεφανηφόρου ἀρχὴν παρ' αὐτοῖς ἦρξεν, ἀφ' ἧς τοῖς ἐνιαυτοῖς τίθενται Σμυρναῖοι τὰ ὀνόματα. ἐπὶ Σεβήρου δὲ τοῦ αὐτοκράτορος, φασὶν αὐτὸν σχεδίου λόγου ἐκπεσεῖν, αὐλὴν, καὶ δορυφόρους δείσαντα. τουτὶ δὲ ἀγοραῖος μὲν τις παθὼν, κἂν αἰτίαν λάβοι· τὸ γὰρ τῶν ἀγοραίων

ἴσ. βουλεύεται σ. δ. ἐκκλησιάζεται συνελθοῦσα

ἴσ. ἐπιμελήσονται,

A Apollonij Naucratitæ ſocij aduerſus ipſum cõſtitiſſent; quorum primus, medius & vltimus, Marcianus Dolichius planè extitit, tum ad Smyrnam ſe conuertit, quæ præ ceteris ciuitatibus Sophiſtarum Muſis maximè afflata erat. Iuuentutem igitur Ionicam, Lydiam, Phrygiam & Cariam in Ioniã confluxiſſe ad viri conſuetudinem, nihil ita magnum fuit, quandoquidẽ Smyrna omnibus his nationibus quaſi ad B oſtium ſtat. Ipſa autem ex Europa Græcanicum cœtum, ex oriente iuuenes, & ex Ægypto nonnullos, qui non eum audire neglexerant, quando de doctrina cum Ptolemæo Naucratite in Ægypto contendit. Smyrnam ſplendida turba compleuit, & in pluribus aliis profectò rebus, vt oſtendam, emolumento fuit. Ciuitas in multos hoſpites alioqui ſapientiæ amatores conuerſa, modeſtè conſulebat, modeſtè quoque C concionem habebat. ac ciues vtique cauebant, ne in multis ac ſtudioſis mali deprehenderentur: & ſeduli cultores eſſent ſacrorum, gymnaſiorum, fontium ac porticuum, vt multitudini ſufficere viderentur. Quod ſi, vt Smyrna, ciuitas nauis dux foret, multa quidem ciuibus & ampla mare concederet. Idem ad augendam Smyrnæ pulchritudinem, olei fontem in Æſculapij gymnaſio auratis laquearibus ornatum extruxit. Coronatum magiſtratum a- D pud eos obtinuit, à quo annis faſtorum Smyrnæi nomina imponebant. Ex improuiſo genere dicendi, coram Seuero imperatore, dum aulam ſatellitéſque timeret, excidiſſe aiunt. Hoc verò ſi cui è forirabulis contigiſſet, culpa non vacaret. cauſidicorum quippe genus

quoddam temerarium eſt, & impudens. Sophiſta verò qui cum adoleſcentibus ſolida diei parte ſtudet, quónam modo ſtupori obſiſteret? Excutit enim eum, ex ſubita & improuiſa oratione, etiam auditoris perſonæ grauitas, ſera laudatio, & plauſus inſolentia. Si autem ſe inuidiæ obnoxium eſſe præſenſerit, quemadmodum Heraclides tunc Antipatrum ſuſpectum habebat, minus animo comprehendet, minus quoque inueniet. Tales namque ſuſpiciones mentis ſunt tenebræ, & linguæ vincula. Cùm ſacras cedros excidiſſet, multum patrimonij abſumpſiſſe dicitur; quando à foro recedentem familiares virum alloquentes, ac plerunq; remorantes ſequebantur. Et cùm dixiſſet quidam ex iis, *At declamationem nullus tibi vnquam, neque partam ex ea glo-*
Suprà in Herode p. 657. a. *riam auferet*. & ſuper hoc aliquid è poëta citaſſet; perurbanè ſuis malis illudens, iſtud ſubiecit,

Nempe vnus reliquus lata retinetur
in æde.

Hic præ ceteris Sophiſtis laborioſiſſimè ſcientiã adeptus eſt, cùm ſibi non ſuppeteret ingenium. Extat quoque eius lucubratio non iniucunda, & liber concinnus, qui Laudatio laboris inſcribitur: hunc in manibus habens, cùm in Ptolemæũ Sophiſtam ad Naucratin incidiſſet, & ille, quidnam operæ haberet percontaretur: hic verò reſpondiſſet, Elogium eſſe Laboris; accepto libello Ptolemæus τὸ π. deleuit, vt ὄνος id eſt aſinus, relinqueretur: ac, iam tempus eſt (inquit) tibi verum laudationis nomẽ legendi. Diſputationes etiam illæ, quæ ab Apollonio Naucratite aduerſus eum agitatæ ſunt, ipſum veluti ſegnem laborioſúmque dilacerãt. Inter Heraclidis præ-

A ἔθνος, ἱταμοί, καὶ θρασεῖς. σοφιστὴς δὲ ξυσπουδάζων μειρακίοις τὸ πολὺ τῆς ἡμέρας, πῶς ἂν ἀντίσχοι ἐκπλήξει; ἐκκρούει γὰρ σχεδίου λόγου, καὶ ἀκροατὴς σεμνὸς προσώπῳ, καὶ βραδὺς ἔπαινος, καὶ τὸ μὴ κροτεῖσθαι συνήθως. εἰ δὲ καὶ φθόνου ὑποκαθημένου ἑαυτὸν αἴσθοιτο, ὥσπερ ὁ Ἡρακλείδης τὸν τοῦ Ἀντιπάτρου τότε ὑφεωρᾶτο, ἧττον μὲν ἐνθυμηθήσεται, ἧττον δὲ εὑρήσει. αἱ γὰρ τοιαίδε ὑποψίαι,
B γνώμης ἀχλὺς, καὶ δεσμὰ γλώττης. ἱερὰς δὲ λέγεται κέδρους ἐκτεμὼν, δημευθῆναι τὸ πολὺ τῆς οὐσίας. ὅτε δὴ καὶ ἀπιόντι αὐτῷ τοῦ δικαστηρίου, ἐπηκολούθουν μὲν οἱ γνώριμοι παραμυθούμενοί τε, καὶ ἀνέχοντες τὸν ἄνδρα. ἑνὸς δὲ αὐτῶν εἰπόντος, ἀλλ' οὐ μελέτην ἀφαιρεθήσεταί τις, ὦ Ἡρακλείδη, οὐδὲ τὸ ἐπ' αὐτῇ κλέος, καὶ ἐπιρραψῳδήσαντος αὐτῷ τὸ, ἴσ. [illegible]
εἷς δή που λοιπὸς κατερύκεται εὐρεῖ οἴ-
C κῳ, ἔφη, μάλα ἀστειότατα δὴ ἐπιπαίξας τοῖς ἑαυτοῦ κακοῖς. δοκεῖ δὲ μάλιστα σοφιστῶν οὗτος τὴν ἐπιστήμην πόνῳ κατακτήσασθαι, μὴ ξυγχωρούσης αὐτῷ τῆς φύσεως· καί ἐστιν αὐτῷ φρόντισμα οὐκ ἀηδὲς, βιβλίον ξύμμετρον, ὃ ἐπιγέγραπται, πόνου ἐγκώμιον. τὸ δὲ βιβλίον τοῦτο περὶ χεῖρας ἔχων, ἐνέτυχε Πτολεμαίῳ τῷ σοφιστῇ κατὰ Ναύκρατιν· ὁ
D δὲ, ἤρετο αὐτὸν ὅ,τι σπουδάζοι· τοῦ δὲ εἰπόντος ὅτι πόνου εἴη ἐγκώμιον λαβὼν ὁ Πτολεμαῖος τὸ βιβλίον, καὶ ἀπαλείψας τὸ π. ὥρα σοι, ἔφη, ἀναγνώσκειν τὸ ὄνομα τοῦ ἐγκωμίου. καὶ αἱ διαλέξεις δὲ, ἃς Ἀπολλώνιος ὁ Ναυκρατίτης κατ' αὐτοῦ διελέγετο, ὡς νωθροῦ καθάπτονται, καὶ μοχθοῦντος. Ἡρακλείδου δι-

διδάσκαλοι, Ἡρώδης μὲν, τῶν οὐκ ἀληθῶς πιστευομένων. Ἀδριανὸς δὲ, καὶ Χρῆστος, ἐν γνησίοις. καὶ Ἀριστοκλέους δὲ ἠκροᾶσθαι αὐτὸν μὴ ἀπιστῶμεν. λέγεται δὲ καὶ γαστρὶ κοίλῃ χρῆσθαι, καὶ πλεῖστα ὀψοφαγῆσαι· καὶ ἡ πολυφαγία αὕτη, ἐς οὐδὲν αὐτῷ ἀποσκῆψαι. ἐτελεύτα γοῦν ὑπὲρ τὰ ὀγδοήκοντα ἔτη, ἄρτιος τὸ σῶμα. καὶ τάφος μὲν αὐτῷ ἐν Λυκίᾳ λέγεται. ἐτελεύτα δὲ ἐπὶ θυγατρὶ, καὶ ἀπελευθέροις οὐ σπουδαίοις. ὑφ' ὧν καὶ τὴν ῥητορικὴν ἐκληρονομήθη. ἡ δὲ ῥητορική, χωρίον δέκα ταλάντων ἦν αὐτῷ κατὰ τὴν Σμύρναν, ἐωνημένον ἐκ τῶν ἀκροάσεων.

ΙΠΠΟΔΡΟΜΟΣ.

Μηδὲ δεύτερον τῶν προειρημένων σοφιστῶν, μηδὲ Ἱππόδρομόν τις ἡγείσθω τὸν Θετταλόν. τῶν μὲν γὰρ βελτίων φαίνεται· τῶν δὲ, οὐκ οἶδα ὅτῳ λείπεται. Ἱπποδρόμῳ τοίνυν, πατρὶς μὲν ἦν Λάρισσα, πόλις εὖ πράττουσα ἐν Θετταλοῖς. πατὴρ δὲ, Ὀλυμπιόδωρος, ὑπερελθὼν ἱπποτροφίᾳ Θετταλοὺς πάντας. μεγάλου δὲ ἐν Θετταλίᾳ δοκοῦντος τοῦ ἅπαξ προστῆναι τῶν Πυθίων, ὁ Ἱππόδρομος προέστη δὶς τῶν Πυθικῶν ἄθλων. πλούτῳ τε ὑπερβαλὼν τοὺς πρὸ αὑτοῦ, καὶ κόσμῳ τῷ περὶ τὸν ἀγῶνα, καὶ μεγέθει γνώμης, καὶ δικαιότητι βεβαιούσῃ τὸ εὐθύ. τὰ γοῦν περὶ τὸν τῆς τραγῳδίας ὑποκριτὴν ὑπ' αὐτοῦ πραχθὲν, οὐδὲ ὑπερβολὴν ἑτέρῳ καταλέλοιπε δικαιότητός τε, καὶ γνώμης. Κλήμης δὲ ὁ Βυζάντιος τραγῳδίας ὑποκριτὴς ἦν, οἷος οὔπω τις πλέω τέχνην· νικῶν δὲ κατὰ τοὺς χρόνους, οὓς τὸ Βυζάντιον ἐπολιορκεῖτο,

A ceptores, Herodes extitiſſe à quibuſdam non verè creditur. Adrianus verò & Chreſtus è legitimis ſunt habiti. neque Ariſtoclem quoque audiuiſſe diffidimus. Ceterùm concauo ventris aqualiculo vſum, & affatim comediſſe ferunt, neque tamen edacitate tanta emarcuiſſe. Poſt octogeſimum quippe vitæ annum deceſſit, corpore integer ac validus. Sepulchrum in Lycia habuiſſe dicitur. Obiit ſuperſtite filia

B libertíſque parum probis, qui Rhetorices hereditatem adierunt; Rhetorice verò ipſi fuit prædium talentorum decem, quem prope Smyrnam ex peculio recitationum mercatus erat.

HIPPODROMVS.

Neque à ſupradictis Sophiſtis ſecundum, Theſſalum Hippodromũ

C fuiſſe quiſquam exiſtimet. Quoſdam enim ſuperaſſe videtur, & in quibus aliis inferior fuerit, exploratum non habeo. Hippodromo patria, Lariſſa fuit, ciuitas florens in Theſſalia. Olympiodorus verò pater, qui alendis equis Theſſalis anteiuit omnibus. Porrò cùm magnum quidpiã apud Theſſalos cenſeatur ſemel Pythiis ludicris præfuiſſe; Hippodromus bis præfecturam eiuſmodi certaminum conſe-

D quutus eſt: ac diuitiis & ornatu in certamine, magnitudine mentis, & rectum vindicante iure, ceteris qui antè fuerunt, antecelluit. In his autem quæ circa Tragœdiæ actorem ipſe præſtitit, ne alteri quidem locum reliquit iudicio conſilióque præclarius agendi. Clemens Byzantius Tragicus hiſtrio talis erat, vt nullus vnquam tanta arte egerit. cùm hic iis temporibus quibus Byzantium obſidebatur vinceret,

diſceſſit non potitus victoria, ne ciuitas quæ arma aduerſus Romanos tulerat, per vnum virum præconio celebrari videretur, cùm verò in certaminibus quoque Amphyctionicis optimè decertaſſet, Amphyctiones ſupradictæ cauſæ metu eum fructu victoriæ decreto fraudarant. Proſiliens autem cum impetu Hippodromus: *Valeant* (inquit) *iſti qui peierant, & præter æquum ſentiunt. ego Clementi victoriam do*. Et cùm alter hiſtrio prouocaſſet ad Imperatorē: approbata eſt iterùm Hippodromi ſententia. Enimuerò Romæ etiam Byzantius victoriā obtinuerat. Cùm talis eſſet apud vulgus, admirabili etiam manſuetudine in ſpeciminib. vtebatur: artem quippe profeſſus ſui amori cæco & faſtui obnoxiam, neque ſuæ laudi indulſit vnquam, ac ſuperuacuas laudes amputauit. Cùm itaque multa magnificè Græci in eum acclamarent, & quandoque Polemoni compararent:

—*Æquiparas cur me* (inquit) *immortalibus ipſis?*

Neque Polemoni eripuit, quòd diuinus vir exiſtimaretur: neque id ſibi tribuit, vt cum eo conferretur. Cùm Proclus Naucratites Pompeiani oratoriam inuectiuam in omnes qui Athenis profiterentur, compoſuiſſet, & in horum numerum hac cauillatione Hippodromum retuliſſet. Nos quidem orationem eorum quæ dicta fuerant ſententiæ reſpondētem audituros eſſe arbitrabamur: hic autē nihil prauè loquutus, ſilentij laudē proſequutus eſt, à pauone exorſus, qui propria laude nimis attollitur. Sic igitur ſe gerebat erga ſeniores, & eos qui multo vel pauco

A ἀπῆλθε ἁμαρτάνων τῆς νίκης, ὡς μὴ δοκοίη δι' ἑνὸς ἀνδρὸς κηρύττεσθαι πόλις, ὅπλα ἐπὶ Ῥωμαίοις ἠρμένη. ἄριστα δὲ αὐτὸν ἀγωνισάμενον κἀν τοῖς Ἀμφικτυονικοῖς ἄθλοις, οἱ μὲν Ἀμφικτύονες, ἀπεψηφίζοντο τῆς νίκης, δέει τῆς προειρημένης αἰτίας. ἀναπηδήσας δὲ ξὺν ὁρμῇ ὁ Ἱππόδρομος, οὗτοι μὲν, εἶπεν, ἐρρώσθων ἐπιορκοῦντές τε, καὶ παραγινώσκοντες τοῦ δικαίου· ἐγὼ δὲ, B Κλήμεντι τὴν νικῶσαν δίδωμι. ἐφέντος δὲ θατέρου τῶν ὑποκριτῶν ἐπὶ τὸν βασιλέα, ηὐδοκίμησε πάλιν ἡ τοῦ Ἱπποδρόμου ψῆφος. καὶ γὰρ δὴ καὶ ἐπὶ τῆς Ῥώμης ἐνίκα ὁ Βυζάντιος. τοιοῦτος δὲ ὢν ἐς τὰ πλήθη, θαυμασίαν πραότητα ἐπὶ τὰς ἐπιδείξεις εἴχετο· παραλαβὼν γὰρ τὴν τέχνην φίλαυτόν τε, καὶ ἀλαζόνα, οὔτε ἐς ἔπαινον ἑαυτοῦ κατέστη ποτὲ, καὶ ἐπέκοπτε τὰς ὑπερβο- C λὰς τῶν ἐπαίνων. βοώντων γοῦν ποτε ἐπ' αὐτῷ τῶν Ἑλλήνων πολλὰ, καὶ εὔφημα, καί που καὶ τῷ Πολέμωνι ὁμοιούντων αὐτόν· τί μ' ἀθανάτοισιν ἐΐσκεις; ἔφη. οὔτε τὸν Πολέμωνα ἀφελόμενος τὸ νομίζεσθαι θεῖον ἄνδρα, οὔτε ἑαυτῷ διδοὺς τὸ τοιούτῳ ὁμοιοῦσθαι. Πρόκλου δὲ τοῦ Ναυκρατίτου τοῦ Πομπηϊανοῦ D προσβολὴν ξυνθέντος ἐπὶ πάντας τοὺς παιδεύοντας Ἀθήνησι, καὶ τὸν Ἱππόδρομον ἐγκαταλέξαντος τῷ λοιδορισμῷ τούτῳ, ἡμεῖς μὲν ᾠόμεθα λόγου ἀκροάσεσθαι πρὸς τὴν τῶν εἰρημένων ἠχὼ ξυγκειμένου· ὁ δὲ, οὐδὲν εἰπὼν φλαῦρον, ἔπαινον εὐφημίας διεξῆλθεν, ἀρξάμενος ἀπὸ τοῦ ταὼ τοῦ ὄρνιθος, ὡς ἀναπτεροῦντος αὐτὸν τοῦ ἐπαίνου. ὧδε μὲν δὴ διέκειτο πρὸς τοὺς ἑαυτοῦ πρεσβυτέρους, καὶ χρόνῳ πολλῷ τε, καὶ οὐ

πολλῷ προειληφότας. ὡς δὲ καὶ πρὸς τοὺς ἰσήλικας εἶχεν, ὧδε χρὴ μαθεῖν ἐκ τῶνδε. νεανίας ἀπ' Ἰωνίας ἥκων Ἀθήναζε, διῄει ἐπαίνους τοῦ Ἡρακλείδου πέρα ἀχθηδόνος. ἰδὼν οὖν αὐτὸν ὁ Ἱππόδρομος ἐν τῇ ἀκροάσει, ὁ νεανίας οὗτος, ἔφη, ἐρᾷ τοῦ ἑαυτοῦ διδασκάλου. καλὸν οὖν ξυλλαβεῖν αὐτῷ τῶν παιδικῶν· καὶ γὰρ ἂν καὶ ξὺν ἑρμαίῳ ἀπέλθοι, μαθὼν ἐγκωμιάζειν. καὶ εἰπὼν ταῦτα, ἔπαινον τοῦ Ἡρακλείδου διῆλθεν, οἷος ἐπ' αὐτῷ οὔπω εἴρηται. τὰ δὲ ἐπὶ Διοδότῳ Καππαδόκῃ δάκρυα, καὶ τὸ ἐσθῆτα μέλαιναν ἐπ' αὐτῷ ἐνδῦναι, φύσιν μὲν προεχομένῳ μελέτῃ ἐπιτηδείαν, ἐφήβῳ δὲ ἀποθανόντι πατέρα τοῦ Ἑλληνικοῦ ἐκήρυξε τὸν Ἱππόδρομον, καὶ προοπτὴν ἔχοντα τοῦ καὶ μεθ' ἑαυτὸν γενέσθαι τινὰς ἐκπρεπεῖς ἄνδρας. τουτὶ δὲ μάλιστα ἐν Ὀλυμπίᾳ ἐδήλωσε. Φιλοστράτῳ γὰρ τῷ Λημνίῳ γνωρίμῳ μὲν ἑαυτοῦ ὄντι, δύο δὲ καὶ εἴκοσιν ἔτη γεγονότι, ἀναρριπτοῦντι λόγον αὐτοσχέδιον, πλεῖστα μὲν ἐνέδωκε τῇ τέχνῃ τῶν ἐπαίνων·
ἴσ. ὧν καὶ. ὧν δεῖ εἰπεῖν ἔδει, καὶ μή. ἀξιούσης δὲ καὶ τὸν Ἱππόδρομον τῆς Ἑλλάδος αὐτίκα παριέναι, οὐκ ἐπαποδύσομαι, ἔφη, τοῖς ἐμαυτοῦ σπλάγχνοις. καὶ εἰπὼν ταῦτα, ἀνεβάλετο τὴν ἀκρόασιν ἐπὶ τὴν τῆς θυσίας ἡμέραν. ταῦτα μὲν οὖν ἐχέτω μοι δήλωσιν ἀνδρὸς πεπαιδευμένου, φιλανθρώπου τε, καὶ πρᾴου τὸ ἦθος. ὢν δὲ Ἀθήνησι τῶν σοφιστῶν θρόνον κατασχὼν, ἐτῶν που τεττάρων ἀπηνέχθη αὐτὸς ὑπὸ τῆς γυναικὸς, καὶ τοῦ πλούτου. ἐκείνη γὰρ ἐνεργοτάτη γυναικῶν ἐγένετο, καὶ φύλαξ ἀγαθὴ χρημάτων. ἀμφοῖν τε ἀπόντων, ἡ οὐ-

A tempore præuerterant. quemadmodum autem in eos qui eſſent ſibi ætate pares ſe geſſerit, hinc diſcere licet. Cùm adoleſcens quidam ab Ionia profectus Athenas, laudes Heraclidis non ſine tædio magno enarraſſet: hunc in auditorio intuitus Hippodromus, *Adoleſcens* (inquit) *iſte præceptorem amat. Honeſtum eſt igitur adiuuare eum in amoribus. etenim laudare edoctus, cum lucro abierit.* His dictis, laudes Heraclidis ita proſecutus eſt, vt in eius commendatione nihil par vnquam B dictum fuerit. Lachrymæ ſuper Diodotum Cappadocem effuſæ, & pulla veſtis ob ipſum ſumpta, qui cùm Ephebus obiiſſet, accommodatum declamationi habuerat ingenium: in cauſa fuerunt cur pater Græci cœtus Hippodromus prædicaretur, qui etiam vt poſt ſe illuſtres pleríque viri orirentur, proſpiceret. id verò in Olympia potiſſimum declarauit. Philoſtratum enim Lem- C nium familiarem ſuum, qui ſecundum & vigeſimum annum agens, extemporalem aliquam orationem effutierat, plurimùm in arte promouit elogiorum, tam in dicendis quàm in tacendis. Porro Græcia quoque Hippodromum rogante vt ſtatim accederet; *Non meis equidem* (inquit) *viſceribus ſubterfugiam.* His dictis auſcultationem in ſacrorum diem diſtulit. Hæc igitur viri docti perhumanum & manſuetum in- D genium præ ſe ferant. Tandem cùm Athenis oratorium thronum nactus eſſet, per quatuor annos, ipſe à muliere ac diuitiis abductus eſt: illa namque mulierum operoſiſſima, & optima pecuniarum cuſtos fuit. Abſente certè vtroque facul-

tates ſubſiderent. veruntamen ad Græca ſolennia ire, non neglexit: ſed recitationum ſpecioſarum cauſa, néve ignoraretur, ea prorſus frequentauit. Melius etiam illa ſuccedere illi viſa ſunt, quòd cùm inſtituendi finem feciſſet, ſemper ſtudiis incumberet. Enimuerò plurima Hippodromus à Græcis edidicit, qui poſt Cappadocem Alexandrum felici memoria potiti ſunt. Plurima quoque poſt Ammonium Peripateticum recognouit. Atenim nondum quenquam noui qui plura quàm ille ſciuerit & ſcripſerit. Declamationé certè Hippodromus neque in agro degens, neq; iter faciens, neque in Theſſalia commoratus, vnquam neglexit: ſed ex Euripidis & Amphionis hymnis, eam opulentiâ melius peculium appellauit. Agreſtiori erat facie, mirificam tamen generoſitatem ſeueritatémque ac ſerenitatem oculis præferebat. Hoc Megiſtias Smyrnæus ſe in eo conſideraſſe ait, is qui inter naturæ ex corporis lineamentis interpretes, primas obtinuiſſe creditus eſt. Smyrnam enim poſt Heraclidem venerat Hippodromus, & ante nunquã. & cùm à naue deſcendiſſet, ſi quem ibi fortè doctum in patriis inſtitutis offenderet, in forum prodibat. Cùm verò iuxta templum pædagogos aſſidentes, conſequentéſq; pueros, & libellorum onera peris appenſa ferentes aſpexiſſet: venit ei in mentem fieri poſſe, vt aliquis ex illuſtribus doceret intus; ideóque ingreſſus eſt; & Megiſtia ſalutato, nihil percontatus aſſedit. Megiſtias vero parentem fortaſſe aut educatorem puerorum eſſe putabat, qui pro diſcipulis verba facturus eſſet. proinde interrogauit, cuius gratia veniſſet. Hic verò, Audies, inquit, cùm vnà

A σία ὑπεδίδου. τοῦ γε μὴν ἐσφοιτᾶν ἐς τὰς τῶν Ἑλλήνων πανηγύρεις, οὐκ ἠμέλει, ἀλλ' ἐθάμιζεν ἐς αὐτὰς, ἐπιδείξεων ἕνεκα, καὶ τοῦ μὴ ἀγνοεῖσθαι. βέλτιον δὲ κἀκεῖνα ἐφαίνετο ὑπὸ τοῦ καὶ μετὰ τὸ πεπαῦσθαι τοῦ παιδεύειν, ἀεὶ σπουδάζειν. Ἱππόδρομος μὲν γὰρ δὴ, πλεῖστα μὲν ἐξέμαθεν Ἑλλήνων, τῶν γε μετὰ τὸν Καππαδόκην Ἀλέξανδρον μνήμης εὐτυ-

B χησάντων· πλεῖστα δὲ ἀνέγνω μετά γε Ἀμμώνιον τὸν ἀπὸ τοῦ περιπάτου. ἐκείνου γὰρ * πολυγραμματώτερον ἄνδρα οὔπω ἔγνων. μελέτης δὲ ὁ Ἱππόδρομος, οὔτε ἐν ἀγρῷ διαιτώμενος ἠμέλει, οὔτε ὁδοιπορῶν, οὔτε ἐν Θετταλίᾳ· ἀλλὰ καὶ κρείττω ὄλβου κτῆμα ἐκάλει αὐτὴν ἐκ τῶν Εὐριπίδου τε ὕμνων, καὶ Ἀμφίονος. ἀγροικότερος δὲ ὢν τὸ εἶδος, ὅμως ἀμήχανον εὐγένειαν ἀπεδήλου τοῖς ὄμμασι, γοργόν τε, καὶ φαιδρόν. τουτὶ δὲ καὶ

* κ. πολυγραφώτερον

C Μεγιστίας ὁ Σμυρναῖος ἐν αὐτῷ καθεωρακέναι φησὶν, οὐ τὰ δεύτερα φυσιογνωμονούντων νομισθείς. ἀφίκετο μὲν γὰρ ἐς τὴν Σμύρναν, μετὰ τὸν Ἡρακλείδην ὁ Ἱππόδρομος, οὔπω πρὸ τούτου ἥκων. ἀποβὰς δὲ τῆς νεὼς, ᾔει εἰς ἀγορὰν, εἴ τῳ ἐντύχοι πεπαιδευμένῳ τὰ ἐγχώρια. ἱερὸν δὲ κατιδὼν, καὶ παιδαγωγοὺς

D προσκαθημένους, ἀκολούθους τε παῖδας ἄχθη βιβλίων ἐν πήραις ἀνημμένους, ξυνῆκεν ὅτι παιδεύοι τις ἔνδον τῶν ἐπιφανῶν καὶ εἴσω παρῄει. καὶ προσειπὼν τὸν Μεγιστίαν, ἐκάθητο, ἐρωτῶν οὐδέν. ὁ μὲν δὴ Μεγιστίας, ᾤετο ὑπὲρ μαθητῶν διαλέξεσθαί οἱ, πατέρα ἴσως, ἢ τροφέα παίδων ὄντα· καὶ ἤρετο ὑπὲρ ὅτου ἥκοι. ὁ δὲ, πεύσῃ, ἔφη, ἐπειδὰν αὐτοὶ

γενώμεθα. διακωδωνίσας οὖν ὁ Μεγιστίας τὰ μειράκια, λέγε, ἔφη, ὅ, τι βούλει. καὶ ὁ Ἱππόδρομος, ἀντιδῶμεν ἀλλήλοις τὴν ἐσθῆτα, ἔφη. ἦν δὲ ἄρα τῷ μὲν Ἱπποδρόμῳ, χλαμὺς· τῷ δὲ αὖ, δημηγορικὸν ἱμάτιον. καὶ τίνα σοι νῦν τοῦτ᾽, ἦ δ᾽ ὁ Μεγιστίας; ἐπίδειξιν, ἔφη, σοὶ μελέτης ποιήσασθαι βούλομαι. δαιμονᾶν μὲν οὖν αὐτὸν ᾠήθη, ταῦτα ἐπαγγείλαντα, καὶ τὴν γνώμην ἐλαύνεσθαι. τὰς δὲ βολὰς ἀνασκοπῶν τῶν ὀμμάτων, καὶ ὁρῶν αὐτὸν σύννουν, καὶ καθεστηκότα, ἀντιδίδωσι τὴν ἐσθῆτα. ὑπόθεσίν τε αἰτήσαντι, προὔβαλε τὸν μάγον τὸν ἀποθνήσκειν ἀξιοῦντα, ἐπειδὴ μὴ ἐδυνήθη ἀποκτεῖναι μάγον μοιχόν. ὡς δὲ ἱζήσας ἐπὶ τοῦ θρόνου, καὶ μικρὸν ὑποσχὼν ἀνεπήδησε, μᾶλλον εἰσῄει τὸν Μεγιστίαν ὁ τῆς μανίας λόγος· καὶ τὰ πλεονεκτήματα ἐμβροντησίαν ᾤετο. ἀρξαμένου δὲ τῆς ὑποθέσεως, καὶ εἰπόντος, ἀλλ᾽ ἐμαυτόν γε δύναμαι, ἐξέπεσεν ἑαυτοῦ ὑπὸ θαύματος· καὶ προσδραμὼν αὐτῷ, ἱκέτευε μαθεῖν ὅς τις εἴη. εἰμὶ μὲν, ἔφη, Ἱππόδρομος ὁ Θετταλὸς, ἥκω δέ σοι γυμνασόμενος, ἵν᾽ ἐκμάθοιμι δι᾽ ἑνὸς ἀνδρὸς οὕτω πεπαιδευμένου τὸ ἦθος τῆς Ἰωνικῆς ἀκροάσεως. ἀλλ᾽ ὅρα με δι᾽ ὅλης τῆς ὑποθέσεως. περὶ τέρμα δὲ τοῦ λόγου, δρόμος ὑπὸ τῶν κατὰ τὴν Σμύρνην πεπαιδευμένων ὑπὸ τὰς τοῦ Μεγιστίου θύρας ἐγένετο, ταχείας τῆς φήμης διαδοθείσης ἐς πάντας, ἐπιχωριάζειν αὐτοῖς τὸν Ἱππόδρομον. ὁ δὲ, ἀναλαβὼν τὴν ὑπόθεσιν, ἑτέρᾳ δυνάμει μετεχειρίσατο τὰς ἤδη εἰρημένας ἐννοίας. παρελθὼν δὲ ἐς τὸ κοινὸν τῶν Σμυρναίων, ἀνὴρ ἔδοξε θαυμάσιος, καὶ οἷος ἐν τοῖς περὶ αὐτοῦ χα-

erimus. tùm Megiſtias adoleſcentibus traductis, Dic quid velis, inquit. Veſtes (inquit Hippodromus) commutemus. quippe Hippodromo chlamys erat, Megiſtiæ verò forenſe pallium. Quid hoc ſibi vult? Megiſtias ait. At Hippodromus: Declamationis ſpecimẽ edere tibi volo. Hinc Megiſtias furore correptum exiſtimauit, & mente motum, quòd hæc enunciaret. atque ipſius oculorum eiaculationes intuens, & eum cogitabundum, & ſeratum videns, veſtem continuò commutauit. Poſtulanti controuerſiam, propoſuit Magum mori volentẽ, quia non potuerat Magum adulterũ occidere. ergo cùm Hippodr. in ſuggeſto conſediſſet, parúmque ſe continens reſiliiſſet, magis ac magis Megiſtiá furoris illius inceſſit ſuſpicio. & exceſſus animi ſtuporẽ attonitum autumauit: ſed cùm cauſam adoriretur & diceret, *At ego meipſum poſſum*. Megiſtias admiratione percitus, mente excidit. Et ad eum concurrens, vt diceret, quiſnã eſſet, ſupplex exorauit. Hippodromus, Theſſalus ſum, inquit ille, veníque vt me tecum exercerem, & ab vno viro vſque adeò docto Ionici auditorij morem ediſcerem: ſed per vniuerſam cauſam ſpecta me in clauſula orationis ad Megiſtiæ fores, ab his qui Smyrnæ literarum ſtudiis operam dederant, concurſus factus eſt: fama ocyus in omnes promulgata, quòd apud ipſos eſſet Hippodromus. At hic reſumpta cauſa, alia facultate ſenſa iam dicta, tractauit. Deinde cùm Smyrnæ in publicum prodiiſſet, vir admirabilis eſt habitus, & dignus qui recenſeretũr inter eos qui ante ipſum fue-

A rant. erat autem ei in diſſertatione genus remiſſum, vt apud Platonem & Dionem. Et in declamatione vires Polemonis, etiam alicubi magis ingenuæ & ſuaues. Copia deniq; dicendi & facilitas, qualis eſt apud eos qui ſine tædio legunt, eáque valde ab ipſis expolita. ceterùm cùm Nicagoras Sophiſta tragœdiam Sophiſtarũ matrem appellaret, emendans ſermoné Hippodromus, *Equidem*, inquit, *Sophiſtarum patrem Homerum puto.* Sedulo
B quoq; Archilochum legens aiebat, Homerum quidem Sophiſtarũ vocem, Archilochum verò ſpiritum. Eius declamationes triginta fortaſſe, ſed optimæ ſunt, Catanæi, Scythæ, ac Demades non concedens abſiſtere, dum Alexander apud Indos eſſet. canuntur etiam ipſius Lyrica carmina: etenim vocem cùm cithara iungere nouerat. Domi au-
C tem fere ſeptuagenarius, ſuperſtite filio (qui agro domuíque ſat bene præeſſe poterat, alioqui perculſus & veſanus, ac ſophiſticæ artis ignarus erat) extremum vitæ diem clauſit.

φεσθαι. ἦν δὲ αὐτῷ τὰ μὲν τῆς διαλέξεως, Πλάτωνος ἀνειμένα, καὶ Δίωνος. τὰ δὲ τῆς μελέτης κατὰ τοῦ Πολέμωνος ἐρρωμένα, καί που καὶ ποτιμώτερα. τὰ δὲ τῆς εὐροίας, οἷα τοῖς ἀλύπως ἀναγιγνώσκουσι, τὰ σφόδρα αὐτοῖς καθωμιλημένα. Νικαγόρου δὲ τοῦ σοφιστοῦ μητέρα σοφιστῶν τὴν τραγῳδίαν προσειπόντος, διορθούμενος ὁ Ἱππόδρομος τὸν λόγον, ἐγὼ δὲ, ἔφη, πατέρα Ὅμηρον. ἐσπούδαζε δὲ καὶ ἀπὸ Ἀρχιλόχου, καλῶν τὸν μὲν Ὅμηρον, φωνὴν σοφιστῶν, τὸν δὲ Ἀρχίλοχον, πνεῦμα. μελέται μὲν δὴ τοῦ ἀνδρὸς τούτου, τριάκοντα ἴσως. ἄριστοι δὲ αὐτοῦ οἱ Καταναῖοι, καὶ οἱ Σκύθαι, καὶ ὁ Δημάδης, ὁ μὴ συγχωρῶν ἀφίστασθαι Ἀλεξάνδρου ἐν Ἰνδοῖς ὄντος. ᾄδονται δὲ αὐτοῦ καὶ Λυρικοὶ νόμοι. καὶ γὰρ δὴ καὶ τῆς νομικῆς λύρας ἠπίστατο. ἐτελεύτα δὲ ἀμφὶ τὰ ἑβδομήκοντα, καὶ οἴκοι, καὶ ἐπὶ υἱῷ, ἀγροῦ μὲν προστῆναι, καὶ οἰκίας, ἱκανῷ, παραπλῆγι δὲ, καὶ ἄφρονι, τά τε τῶν σοφιστῶν οὐ πεπαιδευμένῳ.

VARVS.

Qui Varum Leodicenſem mentione dignum exiſtimant, næ ipſi mentione indigni ſunt. Atenim vi-
D lis & frequens in hiatibus, & minimè malus fatuúſque fuit; & vocalitatem qua præditus erat, flexibus cantuum dedecorabat; quib. ſubſiliret aliquis è laſciuiorum grege, cuius magiſtrum aut auditorem cur dicerem, aut cur ſcriberem? cùm probè nouerim, neque talia docere poſſe quempiam, & iis qui didicerunt probro verti, quod eiuſmodi audierint?

ΟΥΑΡΟΣ.

Οἱ τὸν Λαοδικέα Οὔαρον λόγου ἀξιοῦντες, αὐτοὶ μὲν* ἀξιούσθων λόγων. καὶ γὰρ εὐτελὴς, καὶ διακεχηνὼς, καὶ εὐήθης· καὶ ἣν εἶχεν εὐφωνίαν, αἰσχύνων καμπαῖς ᾀσμάτων, αἷς κἂν ὑπορχήσαιτό τις τῶν ἀσελγεστέρων. οὗ διδάσκαλον, ἢ ἀκροατὴν, τί ἂν λέγοιμι, τί δ᾽ ἂν γράφοιμι, εὖ γινώσκων ὅτι μήτ᾽ ἂν τοιαῦτα διδάξειέ τις, καὶ τοῖς μεμαθηκόσιν, ὄνειδος τὸ τοιούτων ἀκροᾶσθαι;

* ἴσ. οὐκ ἀ.

ΚΥΡΙΝΟΣ.

A

Κυρίνῳ δὲ τῷ σοφιστῇ, πατρὶς μὲν, Νικομήδεια ἐγένετο, γένος δὲ, οὔτε ἀοίδιμον, οὔτ᾽ αὖ καταβεβλημένον. φύσις ἀγαθὴ παραλαβεῖν μαθήματα, καὶ παραδοῦναι βελτίων. οὐ γὰρ μνήμην μόνον, ἀλλὰ καὶ σαφήνειαν ἤσκει. κομματίας ὁ σοφιστὴς οὗτος. καὶ περὶ μὲν τὰ θετικὰ τῶν χωρίων, οὐ πολύς. ἐρρωμένος μὴν, καὶ σφοδρὸς, καὶ καταστῆσαι δεινὸς ἀκροατοῦ ὦτα. καὶ γὰρ δὴ καὶ ἀπεσχεδίαζε. B προσφυέστερος δὲ ταῖς κατηγορίαις δοκῶν, ἐπιστεύθη ἐκ βασιλέως τοῦ ταμιείου γλῶτταν. καὶ παρελθὼν ἐς τὸ δυνηθῆναί τι, οὔτε βαρὺς, οὔτε ἀλαζὼν ἔδοξεν, ἀλλὰ πρᾶός τε, καὶ ἑαυτῷ ὅμοιος. οὔτε ἐρασιχρήματος, ἀλλ᾽ ὥσπερ τὸν Ἀριστείδην Ἀθηναῖοι ᾄδουσι μετὰ τὴν ἐπίταξιν τῶν φόρων, καὶ τὰς νήσους, ἐπανελθόντα σφίσιν ἐν τῷ προτέρῳ τρίβωνι, C οὕτω καὶ ὁ Κυρῖνος ἀφίκετο ἐς τὰ ἑαυτοῦ ἤθη, πενίᾳ σεμνυνόμενος. αἰτιωμένων δὲ αὐτὸν κατὰ τὴν Ἀσίαν ἐνδεικτῶν ὡς πρᾳότερον περὶ τὰς κατηγορίας, ἢ αὐτοὶ διδάσκοισι, καὶ μὴν πολλῷ βέλτιον, εἶπεν, ὑμᾶς λαβεῖν τὴν ἐμὴν πρᾳότητα, ἢ ἐμὲ τὴν ὑμετέραν ὠμότητα. ἐνδειξάντων δὲ αὐτῶν καὶ πόλιν οὐ μεγάλην ἐπὶ πολλαῖς μυριάσιν, ἐκράτει μὲν ὁ Κύρινος τὴν δίκην D ἄκων μάλα. προσιόντες δὲ αὐτῷ οἱ ἐνδεῖκται, αὕτη σε ἔφασαν ἡ δίκη, αἴρει μέγαν, παρελθοῦσα ἐς τὰ τοῦ βασιλέως ὦτα. καὶ ὁ Κύρινος, οὐκ ἐμοὶ πρέπον, ἔφη, ἀλλ᾽ ὑμῖν, ἐπὶ τῷ πόλιν ἀοίκητον ποιῆσαι τιμᾶσθαι. ἐπὶ δὲ υἱῷ τελευτήσαντι παραμυθουμένων αὐτὸν τῶν προσηκόντων, πό-

CYRINVS.

Cyrino Sophiſtæ patria Nicomedia fuit; genus neque celebre, neque abiectum. Ad percipiendam diſciplinam indoles bona; ſed ad tradendum multò melior. Non ſolùm memoriam, ſed & perſpicuitatem exercuit. Inciſis ſæpè vtitur hic Sophiſta; & in ponendis locis non multus: alioquin lacertoſus & vehemens, & ad concitandas auditorum aures eximius: atenim etiam ſubitaria dictione periculum ſui faciebat. ſed cùm accuſationib. accommodatior videretur, ab Imperatore fiſci aduocatus eſt conſtitutus: & cùm eò perueniſſet, vbi aliquid autoritatis & poteſtatis habebat, neque moleſtus, neque arrogans viſus eſt, immò manſuetus & ſui ſimilis; & haudquaquam pecuniæ auidus. verùm vt Ariſtidem Athenienſes canunt poſt vectigalium impoſitionem, & inſularum adminiſtrationem, apud ſe ad priſtinum habitum rediiſſe; ita & Cyrinus ad priſtinos mores ſe retulit, inopia exultans. Cùm eum Aſiæ delatores accuſarent, quòd in accuſatione mitius quàm ipſi edocerent, ſe gereret: *Atqui multò melius fores* (inquit) *vos lenitatem meam, quàm me crudelitatem veſtram exſequi.* Et cùm illi ciuitatem non ita magnam multis myriadibus eſſe mulctandam cenſuiſſent: huic actioni Cyrinus præfuit admodum inuitus, & cùm delatores eum adeuntes dicerent; Iſta ſanè cauſa ſi ad Imperatoris aures penetrarit, te valde extollet. Cyrinus: *Non equidem me, ſed vos decet in delendis ciuitatibus gloriam ſibi comparare.* Defuncto ſibi filio, cùm adeuntes amici cõſolarentur: *Quãdo vir*

do vir (inquit) *niſi nunc , videbor eſſe?* Cùm Adriani eſſet auditor, ne omnibus quidem illius dictis aſſenſus eſt: ſed quædam ſunt, quæ tanquam non rectè dicta induxit. Septuageſimus annus fuit vitæ finis, & domi ſepulchrum eius.

A τε, εἶπεν, ἀνὴρ, ἢ νῦν δόξω; Ἀδριανοῦ δὲ ἀκροατὴς γενόμενος, οὐ πᾶσιν ὡμολόγει τοῖς ἐκείνου, ἀλλ' ἔστιν ἃ καὶ διέγραφεν οὐκ ὀρθῶς εἰρημένα. τέρμα δὲ αὐτῷ τοῦ βίου, ἔτος ἑβδομηκοστὸν. καὶ τὸ σῆμα, οἴκοι.

PHILISCVS.

Philiſcus Theſſalus Hippodromo genere coniunctus, ſeptem annis Athenis in oratoria ſede præfuit, immunitate quæ dignitati attribuebatur fraudatus. Quod quomodo acciderit, oſtendere neceſſe eſt. Heordæi Macedones Philiſcum tanquam eorum primatem præ cæteris filiis matrimis pro functionibus & muniis domeſticis* miſerant. Is nunc lite conteſtata apud Imperatorem (qui Antoninus erat, philoſophi ex Iulia filius) Romam miſſus eſt, vt ſua diſponeret. ibi cùm in Geometras ac philoſophos Iuliæ incidiſſet, ab ipſis, Imperatoris ope, Athenis ſedem inuenit. verùm vt apud Homerum Dij facere finguntur, cùm non omnia ſponte donant, ſed quædam etiam interdum inuiti: ſic iſte ferociebat & infenſus erat obuiis quibuſq; vel ſecundis reb. Atque vbi audiuit aliquã ſibi adhuc litem ſupereſſe, cuius ipſe foret auditor, iudiciorum præfectum ſibi prædicere iuſſit, vt non per alios, ſed per ſe cauſſa ageretur. At vbi venit ad prætorium; inceſſus eum offendebat, & ſtatus: tum veſte indecorus, tum voce pene effeminatus, tum lingua ſupinus; & aliò quouis potius in dicendo, quàm ad ſenſa reſpicere viſus eſt. Quas ob res Imperator in Philiſcum conuerſus, eius os continuo repreſſit, dum

ΦΙΛΙΣΚΟΣ.

Φιλίσκος δὲ ὁ Θετταλὸς, Ἱπποδρόμῳ μὲν, συνῆπται γένος· τοῦ δὲ Ἀθήνησι θρόνου
B προὔστη ἐτῶν ἑπτὰ, τὴν ἀτέλειαν τὴν ἐπ' αὐτῷ ἀφαιρεθείς. τοῦτο δὲ ὅπως συνέβη, δηλῶσαι ἀνάγκη· Ἐορδαῖοι Μακεδόνες τὰς οἰκείας λειτουργίας τὸν Φιλίσκον, ὡς δὴ ὑπάρχοντα αὐτοῖς ἐπὶ πάντας, σὺν τῷ ἀπὸ μητέρων ἔφεσιν*· ὁ δὲ νῦν, τῆς δίκης γενομένης ἐπὶ τοῦ αὐτοκράτορος, Ἀντωνῖνος δὲ ἦν ὁ τοῦ φιλοσόφου παῖς, Ἰουλίας, ἐστάλη ἐς τὴν Ῥώμην, ὡς τὰ ἑαυτοῦ θησόμενος. καὶ προσρυεὶς
C τοῖς περὶ τὴν Ἰουλίαν γεωμέτραις τε, καὶ φιλοσόφοις, εὕρετο παρ' αὐτοῖς διὰ τοῦ βασιλέως τὸν Ἀθήνησι θρόνον. ὁ δὲ ὥσπερ οἱ θεοὶ Ὁμήρῳ πεποίηνται, οὐ πάντα ἑκόντες ἀλλήλοις διδόντες, ἀλλ' ἔστιν ἃ καὶ ἄκοντες· οὕτω δὴ ἠγρίαινε καὶ χαλεπὸς ἦν, ὡς* περιδραμόντι. ὡς δὲ ἤκουσεν εἶναί τινα αὐτῷ καὶ δίκην, ἧς αὐτὸς ἀκροατὴς ἔσοιτο, καλέσας ἐπιτεταγμένον ταῖς
D δίκαις, προειπεῖν οἱ, τὸ μὴ δι' ἑτέρων, δι' ἑαυτοῦ δὲ ἀγωνίζεσθαι· ἐπεὶ δὲ παρῆλθεν, ἐς τὸ δικαστήριον, προσέκρουσε μὲν τὸ βάδισμα, προσέκρουσε δὲ ἡ στάσις· καὶ τὴν στολὴν* ἀσχήμων ἔδοξε, καὶ τὴν φωνὴν x. αἰχ
μιξόθηλυς, καὶ τὴν γλῶτταν ὕπτιος· καὶ βλέπων ἑτέρωσέ ποι μᾶλλον, ἢ ἐς τὰ νοούμενα· ἐκ τούτων ἀποστραφεὶς ὁ αὐτοκράτωρ ἐς τὸν Φιλίσκον, ἐπεστόμιζεν αὐτὸν

καὶ παρὰ πάντα τὸν λόγον, διείρων ἐς αὐτὸν τοῦ ὕδατος, καὶ ἐρωτήσεις ἐν αὐτῷ στενὰς ποιούμενος. ὡς δὲ οὐ πρὸς τὰ ἐρωτώμενα αἱ ἀποκρίσεις ἐγίνοντο Φιλίσκου, ἔφη, τὸν μὲν ἄνδρα, δείκνυσιν ἡ κόμη· τὸν δὲ ῥήτορα, ἡ φωνή. καὶ μετὰ πολλὰς τοιαύτας ἐπικοπὰς, ἐπήγαγεν ἑαυτὸν τοῖς Εορδαίοις, εἰπόντος δὲ τοῦ Φιλίσκου, σύ μοι λειτουργιῶν ἀτέλειαν δέδωκας δοὺς τὸν Ἀθήνησι θρόνον, ἀναβοήσας ὁ αὐτοκράτωρ, οὔτε σὺ, εἶπεν, ἀτελὴς, οὔτε ἄλλος οὐδεὶς τῶν παιδευόντων. οὐδὲ γὰρ ἄν ποτε διὰ μικρὰ καὶ δύστηνα λογάρια, τὰς πόλεις ἀφελοίμην τῶν λειτουργησόντων. ἀλλ᾽ ὅμως καὶ μετὰ ταῦτα Φιλοστράτῳ τῷ Λημνίῳ, λειτουργιῶν ἀτέλειαν ἐπὶ μελέτῃ ἐψηφίσατο, τέτταρα καὶ εἴκοσιν ἔτη γεγονότι. αἱ μὲν δὴ προφάσεις δι᾽ ἃς ὁ Φιλίσκος ἀφῃρέθη τὸ εἶναι ἀτελὴς, αἵδε ἐγίνοντο. μὴ ἀφαιρείσθω δ᾽ αὐτὸν τὰ περὶ τῷ βλέμματι, καὶ τῷ φθέγματι, καὶ τῷ σχήματι ἐλαττώματα, τὸ μὴ οὐ κράτιστα ῥητόρων Ἑλληνίσαι τε, καὶ συνθεῖναι. ἡ δὲ ἰδέα τοῦ λόγου, λάλος μᾶλλον, ἢ ἐναγώνιος. διεφαίνετο δὲ αὐτῆς καὶ καθαρὰ ὀνόματα, καὶ καινοπρεπὴς ἦχος. ἐτελεύτα μὲν οὖν ἐπὶ θυγατρὶ, καὶ υἱῷ οὐδενὸς ἀξίῳ. μέτρον δὲ αὐτῷ τοῦ βίου, ἔτη ἑπτὰ, καὶ ἑξήκοντα. κεκτημένος δὲ Ἀθήνησι χωρίον οὐκ ἀηδὲς, οὐκ ἐν αὐτῷ ἐτάφη, ἀλλ᾽ ἐν τῇ Ἀκαδημίᾳ, οὗ τίθησι τὸν ἀγῶνα ἐπὶ τοῖς ἐκ τῶν πολέμων θαπτομένοις ὁ Πολέμαρχος.

ΑΙΛΙΑΝΟΣ.

Αἰλιανὸς δὲ, Ῥωμαῖος μὲν ἦν, ἠττίκιζε δὲ ὥσπερ οἱ ἐν τῇ μεσογείᾳ Ἀθη-

A per omnem orationem quæſtiones de aqua insereret, anguſtáſque ingereret percunctationes. Et cùm ad interrogata, Philiſcus reſponſa non daret, *Virum* (inquit) *coma; rhetorem vox oſtendit.* Et poſt multas huiuſmodi interpellationes, ad Heordæos ipſum induxit. tum dicente Philiſco: *Cùm tu mihi ſedem Athenis donaſti, etiam immunitatem conceſsiſti.* Ad hæc reclamans Imperator: *Neque tu* (inquit) *immunis es, neque hæc* B *ſtudia profitentium quiſquã alius. Nequiquam enim propter breues ac miſeras quaſdam oratiunculas, ciuitates muniis publicis fungentibus priuarim.* Nihilominus aliquanto poſt Philoſtrato Lemnio publicarũ functionum immunitatem quartum & vigeſimum annum agenti, Senatuſcõſulto idem Imperator pro declamatione conceſſit. Hæc nimirum occaſio fuit, ob quã immunitatis gratia Philiſcus priuatus ſit. At ne ipſius in vultu, pronunciatione & geſtu defectus, eripiant ei quo minus optimè è Rhe- C toribus Græcè loquutus ſit; & compoſuerit. Orationis autem idea, loquax potius, quàm ad aciem & forum apta. Apparebant tamen in eo genere & pura vocabula, & noua quædam decoráque ſonoritas. è viuis exceſſit, ſuperſtite filiola, & filio homine nihili. Septimus & ſexageſimus annus, fuit ei vitæ terminus: & cùm non iniucundum præ- D dium Athenis poſſediſſet; in eo tamen ſepultus non eſt: ſed in Academia, vbi certamen ſuper iis qui in bello occubuerant, Polemarchus erexit.

ÆLIANVS.

Ælianus licet genere Romanus eſſet, non minus ſcitè tamen Atticè, quàm vel mediterranei Athe-

nienſes locutus eſt. Et ſanè laude A dignus vir ille mihi videtur: primùm, quòd cùm habitaret in vrbe, quæ ſermone prorſus diuerſo vtebatur, Græcanicæ linguæ puritatem ſit conſecutus: deinde quòd oblato ſibi (ab iis qui huiuſmodi titulos conferre ſolent) Sophiſtæ nomine, nullam de ſe fiduciam aut adulationem ſui, aut ſuperbiam ex tanti nominis honore conceperit: quin potius cùm ſuas ipſe vires expendiſſet, eáſque declamatoriæ palæſtræ impares iudicaſſet, ad ſcribendum animum appulit, & admirationem inde conſequutus eſt. B Dictio eius eſt omnino pura, ſimplex & inaffectata eſt, vt Nicoſtrati elegantiæ lepôrem quendam adhibeat. Eſt quando Dionem, eiúſque dicendi genus & tonũ imitatur. hunc olim Lemnius Philoſtratus librum adhuc manibus tractantem, indignantérque & concitatè lectitantem reperit. & cùm inſtituti eius C rationem quæreret, Gynnidis (hoc eſt effeminati hominis) accuſationem à ſe conſcriptam dixit. Sic autem vocare ſe tyrannum, qui paulò antè Romano imperio infamiæ labẽ laſciuia ſua ipuſſiſſet. Cui Philoſtratus, *Admirarer* (inquit) *ſi viuentẽ accuſaſſes: ſiquidem viuentem tyrannum perſtringere, viri opus cenſeo: functum verò fato laceſſere, cuiuſuis.* Prædicabat de ſe Ælianus nunquam ſe fines Italiæ egreſſum: nauem nunquam inſcendiſſe, neque nouiſſe mare. quare in D magna erat auctoritate, veluti patrij moris ſtudioſè obſeruans. Docentem audiuit Pauſaniam. Herodem verò tanquam ſcitiſſimum, & vario ſermonis artificio præſtantiſſimum inter rhetores admiratus eſt. viuendo annum ſexageſimum exceſſit, & ſine liberis defunctus eſt, cùm matrimonio neglecto, procrea-

ναῖοι. ἐπαινεῖ μοι δοκεῖ ἄξιος ὁ ἀνὴρ οὗτος πρῶτον μὲν ἐπεὶ καθαρὰν φωνὴν ἐξεπόνησε, πόλιν οἰκῶν ἑτέρᾳ φωνῇ χρωμένην. ἔπειθ᾽ ὅτι προσρηθεὶς σοφιστὴς ὑπὸ τῶν χαριζομένων τὰ τοιαῦτα, οὐκ ἐπίστευσεν, οὐδὲ ἐκόλασε* τὴν ἑαυτοῦ γνώμην, οὐδὲ ἐπήρθη ὑπὸ τοῦ ὀνόματος οὕτω μεγάλου ὄντος, ἀλλ᾽ ἑαυτὸν εὖ διασκεψάμενος ὡς μὴ ἐπιτήδειον, τῷ συγγράφειν ἐπέθετο, καὶ ἐθαυμάσθη ἐν τούτῳ. ἡ μὲν ἐπιπολάζουσα ἰδέα τοῦ ἀνδρὸς, ἀφέλεια προσβάλλουσά τι τῆς Νικοστράτου ὥρας· ἡ δὲ ἐνίοτε, πρὸς Δίωνα ὁρᾷ, καὶ τὸν ἐκείνου τόνον. ἐντυχὼν δὲ ποτε αὐτῷ Φιλόστρατος ὁ Λήμνιος βιβλίον ἐπὶ χεροῖν ἔχοντι, καὶ ἀναγιγνώσκοντι αὐτὸ σὺν ὀργῇ, καὶ ἐπιτάσει τοῦ φθέγματος, ἤρετο αὐτὸν ὅ, τι σπουδάζοι. καὶ ὅς, ἐκπεπόνηταί μοι, ἔφη, κατηγορία τοῦ Γυννίδος. καλῶ γὰρ οὕτω τὸν ἄρτι καθῃρημένον τύραννον, ἐπεὶ ἀσελγείᾳ πάσῃ τὰ Ῥωμαίων ᾔσχυνε. καὶ ὁ Φιλόστρατος, ἐγώ σε, εἶπεν, ἐθαύμαζον ἄν, εἰ ζῶντος κατηγόρησας. ἔστι γὰρ δὴ τὸ μὲν ζῶντα τὸν τύραννον ἐπικόπτειν, ἀνδρός· τὸ δὲ ἐπεμβαίνειν κειμένῳ, παντός. ἔφασκε δὲ ὁ ἀνὴρ οὗτος μηδὲ ἀποδεδημηκέναι πη τῆς γῆς ὑπὲρ τὴν Ἰταλῶν χώραν, μηδὲ ἐμβῆναι ναυσί, μηδὲ γνῶναι θάλατταν. ὅθεν καὶ λόγου πλείονος κατὰ τὴν Ῥώμην ἠξιοῦτο, ὡς τιμῶν τὰ ἤθη. Παυσανίου μὲν οὖν ἀκροατὴς ἐγένετο. ἐθαύμαζε δὲ τὸν Ἡρώδην ὡς ποικιλώτατον ῥητόρων. ἐβίω δὲ ὑπὲρ τὰ ἑξήκοντα ἔτη. καὶ ἐτελεύτα οὐκ ἐπὶ παισί. παιδοποιίαν γὰρ παρῃτήσατο, τῷ μὴ γῆ-

* ἴσ. ὤκλα-σεν

μαί ποτε. τοῦτο δὲ εἴτε εὔδαιμον, εἴτε ἄθλιον, οὐ τοῦ παρόντος καιροῦ φιλοσοφῆσαι.

ΗΛΙΟΔΩΡΟΣ.

Ἐπεὶ δὲ ἡ τύχη κράτιστον ἐπὶ πάντα πάνθ' ἑρπεια, μηδὲ Ἡλιόδωρος ἀπαξιούσθω σοφιστῶν κύκλου, παράδοξον ἀγώνισμα τύχης γενόμενος. ἐχειροτονήθη μὲν γὰρ ὁ ἀνὴρ οὗ* περὶ τῆς ἑαυτοῦ πατρίδος, ἐς τὰ Κελτικὰ ἔθνη, ξὺν ἑτέρῳ· νοσοῦντος δὲ θατέρου, καὶ λεγομένου τὸν βασιλέα διαγράφειν πολλὰς τῶν δικῶν, διέδραμεν ὁ Ἡλιόδωρος ἐς τὸ στρατόπεδον, δείσας περὶ τῇ δίκῃ· εἰσκαλούμενος δὲ θᾶττον, ἢ ᾤετο, ἐς τὸ νοσοῦντα ἀνεβάλλετο. ὑβριστὴς δὲ ὢν ὁ τὰς δίκας εἰσκαλῶν, οὐ συνεχώρει ταῦτα, ἀλλὰ παρήγαγεν αὐτὸν εἰς τὰ δικαστήρια, ἄκοντά τε, καὶ τοῦ γενείου ἕλκων. ὡς δὲ εἴσω παρῆλθε, καὶ θαρραλέον μὲν ἐς τὸν βασιλέα εἶδεν,* ᾔτησεν ὕδατος. αὐτὴν δὲ τὴν παραίτησιν ἐντέχνως διέθετο, εἰπών, Καινόν σοι δόξει, μέγιστε αὐτοκράτωρ, ἑαυτόν τις παραγραφόμενος μόνος, ἀγωνίσασθαι τὴν δίκην, ἐντολὰς οὐκ ἔχων. ἀναπηδήσας ὁ αὐτοκράτωρ, ἄνδρα τε οἷον οὔπω ἔγνωκα τὸν ἐμαυτοῦ καιρὸν εὕρηκα·* καὶ τὰ τοιαῦτα, ἐκάλει τὸν Ἡλιόδωρον, ἀνασείων τὴν χεῖρα, καὶ τὸν κόλπον τῆς χλαμύδος. κατ' ἀρχὰς μὲν οὖν ἐνέπεσέ τις καὶ ἡμῖν ὁρμὴ γέλωτος, οἰομένοις ὅτι διαπτύοι αὐτόν. ἐπεὶ δ' αὐτῷ τε ἱππεύειν δημοσίᾳ ἔδωκε, καὶ παισίν, ὁπόσοις εἶχε, ἐθαυμάζετο ἡ τύχη, ὡς τὴν ἑαυτῆς ἰσχὺν ἐνδεικνυμένη διὰ τῶν οὕτω παραλόγων. καὶ πολλῷ πλέον τούτῳ

ἴσ. ὑπὸ τ. ὑφ' τ.

ἴσ. μικρὸν τ.

A tionem prolis ſpreuiſſet: quod quidem felicius an miſerius ſit, diſceptare nunc tempeſtiuum non eſt.

HELIODORVS.

Quoniam Fortuna in rebus humanis latè dominatur; ne Heliodorum quidem Sophiſtarum circulo excludendum exiſtimarim: quippe qui admirabilis fuit fortunæ ludus. hic enim deſignatus, cum collega quodam, ad Celticas gentes, ſuæ patriæ

B procurator: cùm alter in aduerſam valetudinem incidiſſet, & rumor eſſet Imperatorem multas ſecare lites, Heliodorus in caſtra cucurrit, veritus ne cauſa caderet: ſed citius quàm opinabatur aduocatus, ad ægrotantem diſtulit. & cùm contumelioſus eſſet is qui cauſas aduocabat, moram non conceſſit; ſed inuitum hominem barba trahẽs ad iudicia traduxit. Cùm intrò aduenisſet, & confidenti animo

C imperatorem intuitus eſſet, aquam poſtulauit, excuſationem ipſam magno artificio diſpoſuit. *Nouum tibi* (inquit) *maxime Imperator, profectò videbitur, quòd quis ſe ipſum excipiens ſolus, iudicio periclitetur, cùm mandato careat.* Ad hæc exiliens Imperator: *Equidem* (inquit) *talem virum, qualem nunquam meo tempore noueram, inueni.* Mox Heliodorum ita compellatum concuſſa manu chlamydíſque ſinu

D vocauit. Itaque à principio quidem ridendi impetus nos inceſſit, cùm eum à principe contemptum putaremus. Sed poſtquam ei liberíſque ſuis quot habebat, equo publico vehi conceſſit, ipſa quoque fortuna præoſtentata poteſtate ſua ex tam inopinatis & abſurdis, admirationi fuit. ídque multo magis ex iis,

A quæ deinceps ſequuta ſunt patuit. nam ſimulatque Arabs intellexit, bono quodam genio negocia ſibi ſub manum ſuccedere: quemadmodum nauis rectores qui in optima nauigatione plena vela excutiunt, Imperatoris fauore perpetuo vſus eſt. Et, ô Imperator, inquit, ad apparatum declamationis mihi tempus ſepone. Ad hæc Imperator: Audio iam, inquit, age dic ad hoc, *Demoſthenes, cùm ſuper Philippo excidiſſet, timiditatis eſt conuictus.* B Cùm igitur de hoc declamaret, non ſolùm Imperator ſe beneuolum exhibuit; verùm etiam ab aliis omnibus ipſi laudem comparauit: atque eos qui non collaudantes audiebant, truci aſpectu terruit. Quinetiam eundem Romæ maximis patrociniis præfecit, tanquam iudiciis & cauſis aptiſſimum. Poſt Imperatoris obitum quædam ei inſula demandata eſt, vbi cùm cædis accuſatus eſſet, Romam remiſſus eſt, C vt purgaret ſe coram ducibus exercituum: cùm ergo purus à crimine viſus eſſet, inſula quoque liberatus eſt. Ad extremum neq; obſeruatus neque contemptus, Romæ conſenuit.

ASPASIVS.

Aſpaſium Sophiſtam Rauenna protulit: Rauenna, inquam, Italiæ ciuitas. Demetrianus pater oratoriorum ſermonum peritiſſimus D docuit. Doctiſſimus igitur Aſpaſius & multorum auditor, laudatorium genus cum nouo decore tractauit: in inſolentiam ab honeſto nuſquã incidit, cùm his in tempore vteretur, quæ probè nouerat. Hoc verò in Muſica vtique potiſſimum eſt. Tonorum enim tempora, lyræ ac tibiæ vocem dederunt, melodiæque

ἐκ τῶν ἑξῆς ἐδηλοῦτο. ὡς γὰρ ξυνῆκεν ὁ Ἀράβιος ὅτι κατὰ δαίμονα ἀγαθὸν τὰ πράγματα αὐτῷ προὔβαινεν, ἀπεχρήσατο τῇ φορᾷ τοῦ βασιλέως, καθάπερ τῶν ναυκλήρων οἱ τὰ ἱστία πλήρη ἀνασείοντες ἐν ταῖς εὐπλοίαις. καὶ, ὦ βασιλεῦ, ἔφη, ἀνάθες μοι καιρὸν εἰς ἐπίδειξιν μελέτης. καὶ ὁ βασιλεὺς, ἀκροῶμαι, εἶπε, καὶ λέγε ἐς τόδε. ὁ Δημοσθένης ἐπὶ τῷ Φιλίππῳ ἐκπεσὼν, καὶ δειλίας φεύγων μελετῶντι δὲ, οὐ μόνον ἑαυτὸν εὔνουν παρεῖχεν, ἀλλ' ἡτοίμαζε καὶ τὸν ἐξ ἄλλων ἔπαινον, φοβερὸν βλέπων εἰς τοὺς μὴ ξὺν ἐπαίνῳ ἀκούοντας. καὶ μὴν καὶ προὔστήσατο αὐτὸν τῆς μεγίστης τῶν κατὰ τὴν Ῥώμην συνηγοριῶν, ὡς ἐπιτηδειότερον δικαστηρίοις, καὶ δίκαις. ἀποθανόντος δὲ τοῦ βασιλέως προσετάχθη μέν τις αὐτῷ νῆσος· λαβὼν δὲ ἐν τῇ νήσῳ φονικὴν αἰτίαν, ἀνεπέμφθη ἐς τὴν Ῥώμην ὡς ἀπολογησόμενος τοῖς τῶν στρατοπέδων ἡγεμόσι. δόξαντι δὲ αὐτῷ καθαρῷ εἶναι τῆς αἰτίας, ἐπανείθη καὶ ἡ νῆσος. καὶ γηράσκει ἐν τῇ Ῥώμῃ μήτε σπουδαζόμενος, μήτε ἀμελούμενος.

ΑΣΠΑΣΙΟΣ.

Ἀσπάσιον δὲ τὸν σοφιστὴν, Ῥάβεννα μὲν ἤνεγκεν· ἡ δὲ Ῥάβεννα, Ἰταλοί· Δημητριανὸς δὲ ὁ πατὴρ ἐπαίδευσεν, εὖ γινώσκων τοὺς ῥητορικοὺς τῶν λόγων. πολυμαθὴς ὁ Ἀσπάσιος, καὶ πολυήκοος, ἐς* τὸ μὲν καινοπρεπὲς, ἐπαινῶν, (* γ. ἐς ἀμ.) εἰς ἀπειροκαλίαν δὲ, οὐδαμοῦ ἐκπίπτων, ἀπὸ τοῦ ἐν καιρῷ χρῆσθαι οἷς γινώσκει· τουτὶ δέ που ἐν μουσικῇ, κράτιστον. οἱ γὰρ καιροὶ τῶν τόνων, λύρᾳ τε φωνὴν ἔδωκαν, καὶ αὐλῷ· καὶ μελῳδίαν

ἐπαίδευσεν. ἐπιμεληθεὶς δὲ τοῦ δοκίμως τι, καὶ σὺν ἀφελείᾳ ἑρμηνεύειν, τὸ πνεῦμα, τόνου τε, καὶ περιβολῆς ἠμέλησε. τὸ σχεδιάζειν τε ἐκ φύσεως οὐκ ἔχων, πόνῳ παρεστήσατο. ἦλθε δὲ καὶ ἐπὶ πολλὰ τῆς γῆς μέρη, βασιλεῖ τῷ ξυνὼν Ἀλεξάνδρῳ, καὶ ξυνεῖναι.* προὔστη δὲ καὶ τοῦ κατὰ τὴν Ῥώμην *ὀρόβου. νεάζων μὲν, εὐδοκιμώτατος· γηράσκων δὲ, μὴ ξὺν αἰτίᾳ, τοῦ μὴ ἑταίρῳ ἀποστῆναι βούλεσθαι. ἡ δὲ πρὸς τὸν Λήμνιον Φιλόστρατον τῷ Ἀσπασίῳ διαφορὰ, ἤρξατο μὲν ἀπὸ τῆς Ῥώμης, ἐπέδωκε δὲ ἐν Ἰωνίᾳ, ὑπὸ Κασσιανοῦ τε, καὶ Αὐρηλίου τῶν σοφιστῶν αὐξηθεῖσα. ἦν δὲ αὐτοῖν ὁ μὲν Αὐρήλιος οἷος καὶ ἐν καπηλείοις μελετᾶν πρὸς τὸν ἐκεῖ οἶνον. ὁ δὲ οἷος θρασύνεσθαι μὲν ἐπὶ τὸν Ἀθήνησι θρόνον, διὰ καιροὺς, οὓς ἀπεχρήσατο· παιδεῦσαι δὲ μηδένα, πλὴν Περιγήτου τοῦ Λυδοῦ. περὶ μὲν οὖν τοῦ τρόπου τῆς διαφορᾶς, εἴρηταί μοι. καὶ τί ἂν αὖθις ἑρμηνεύοιμι τὰ ἀποχρώντως δεδηλωμένα; τὸ δὲ εἶναί τι χρηστὸν, καὶ παρ' ἐχθροῦ εὑρέσθαι, ἐν πολλοῖς μὲν τῶν ἀνθρωπίνων διεφάνη, μάλιστα δὲ ἐπὶ τῶν ἀνδρῶν τούτων. διενεχθέντες γὰρ, ὁ μὲν Ἀσπάσιος, προσεποίησεν αὑτῷ τὸ σχεδιάζειν ξὺν εὐροίᾳ· ἐπειδὴ ὁ Φιλόστρατος καὶ τούτου τοῦ μέρους ἐλλογίμως εἶχεν. ὁ δὲ αὖ τὸν ἑαυτοῦ λόγον πως ὑπομένοντα πρὸς τὴν ἀκρίβειαν αὐτὴν ἐκείνου ἐκόλασεν. ἡ δὲ συγγεγραμμένη ἐπιστολὴ τῷ Φιλοστράτῳ περὶ τοῦ πῶς χρὴ ἐπιστέλλειν, πρὸς τὸν Ἀσπάσιον τείνει. ἐπειδὴ παρελθὼν ἐς τὰς βασιλείους ἐπιστολὰς, τὰς μὲν, ἀγωνιστικώτερον τοῦ δέοντος ἐπέστελλε· τὰς δὲ,

ἴσ. ξυνὼν αὐτῷ.
ἴσ. θρόνου.

A concentum docuerunt. Hic vt ſedulam operam probatæ, puræ ac ſimplici eloquutioni dederat; ita ſpiritum, comprehenſionem, circuitúmve, aſpernatus eſt. extemporalem eloquentiam cùm à natura non haberet, labore ac induſtria comparauit. In multas terrarum regiones, partim cum imperatore Alexandro peregrinatus eſt, partim per ſe iter faciens profectus eſt. Annonæ *Romæ præfuit. In iuuentute B probatiſſimus; in ſenectute extra culpam & reprehenſionẽ fuit, quòd à collega deficere nollet. Controuerſia cum Philoſtrato Lemnio, ab eo tempore quo Romæ vnà fuerunt, incœpit. In Ionia autem à Caſſiano Aurelióque Sophiſtis aucta, magna accepit incrementa. Ex his Aurelius eo fuit ingenio, vt in caupona inter pocula declamaret. Caſſianus autem talis erat, vt ad Athe- C nienſem cathedrã iis temporib. quibus non cõmodè vtebatur, aſpiraret. Præter Perigetum Lydium neminẽ docuit. De modo controuerſiæ mihi dictum eſt. Eccur autem rurſus ſatis ſupérque abundè demonſtrata recenſuerim? Quòd verò bonum quandoque liceat etiam ab inimico nanciſci, in multis certè humanis compertum fuit, ſed in his præcipuè viris. Nam diſſidio inter eos exorto Aſpaſius, qui extemporalem D cum expedita verborum copia ſibi finxerat orationẽ: quoniam Philoſtratus hac in parte pereloquens erat, orationem quoque ſuam quæ tunc ſubſiſtere poterat, ad diligentiam illius exactam caſtigauit. Conſcripta à Philoſtrato epiſtola, de ratione epiſtolas ſcribendi ad Aſpaſium dirigitur: Quia cùm ad Imperatorias literas promotus fuiſſet, aliquas contentione maiori, quàm opus erat: nonnullas verò minus

Fortè an, ſuggeſtu oratorio.
Fas eſt & ab hoſte doceri.

dilucidè ſcripſerat: quorum neutrum Imperatorem decere videbatur. Imperator enim quando mittit epiſtolas, neque enthymematis, neque argumentis, ſed gloria indiget, nec rurſus obſcuritatẽ debet affectare: quia leges pronunciatat: qui diluciditas legis eſt interpres. Pauſaniæ igitur Aſpaſius diſcipulus fuit, necnō & Hippodromi auditor. Romæ ſtudia iam conſeneſcens profitebatur; quando hæc à me ſcripta ſunt. Sed de Aſpaſio hactenus. De Philoſtrato autem Lemnio, quis in foro vir iſte fuerit, quis in concione, quis in ſcriptione, quis denique in declamatione, & quantus in ſubitaria fuerit dictione: & de Nicagora Athenienſi, qui Eleuſinij templi præco corona datus eſt: item ſi Apſines Phœnix tantùm memoria valuerit, adeóque accuratus in arte extiterit: De his, inquam, me ſcribere non eſt opus: atenim quia mihi cum his interceſſit amicitia, tanquam eis gratificatus, fide & auctoritate profectò carerem.

A οὐ σαφῶς· ὧν οὐδέτερον βασιλεῖ πρέπον. αὐτοκράτωρ γὰρ δὴ ὁπότε ἐπιστέλλοι, οὐ δι' ἐνθυμημάτων, οὐδ' ἐπιχειρήσεων, ἀλλὰ δόξης· οὐδ' αὖ ἀσαφείας, ἐπειδὴ νόμους φθέγγεται. σαφήνεια δὲ, ἑρμηνεὺς νόμου. Παυσανίου μὲν οὖν μαθητὴς ὁ Ἀσπάσιος, Ἱπποδρόμου δὲ, οὐκ ἀνήκοος. ἐπαίδευσε δὲ κατὰ τὴν Ῥώμην ἱκανῶς γηράσκων, ὁπότε μοι ταῦτα ἐγράφετο. τοσαῦτα περὶ Ἀ-
B σπασίου. περὶ δὲ Φιλοστράτου τοῦ Λημνίου, καὶ τίς μὲν ἐν δικαστηρίοις ὁ ἀνὴρ ὅστις, τίς δὲ ἐν δημηγορίαις, τίς δὲ ἐν συγγράμμασι, τίς δὲ ἐν μελέταις, ὅσος δὲ ἐν σχεδίῳ λόγῳ, καὶ περὶ Νικαγόρου τοῦ Ἀθηναίου. ὃς καὶ * τοῦ Ἐλευσινίου ἱεροῦ κήρυξ ἐστί τε, καὶ εἰ Ἀψίνης τε ὁ Φοίνιξ ἐφ' ὅσον προὔβη μνήμης τε, καὶ ἀκριβείας, οὐκ ἐμὲ δεῖ γράφειν. καὶ γὰρ αὖ καὶ ἀπιστηθείην ὡς χαρισάμενος, ἐπειδὴ φιλία μοι πρὸς αὐτοὺς ἦν.

ΦΛ. ΦΙΛΟ-

ΦΛ. ΦΙΛΟΣΤΡΑΤΟΥ ΗΡΩΙΚΑ.

FLAVII PHILOSTRATI HEROICA:

SIVE

DIALOGVS DE VIRIS ILLVSTRIBVS, QVI in bello Troiano pro heroibus habiti ſunt.

STEPHANO NIGRO INTERPRETE.

A

VINITOR & PHOENIX, INTERLOQVVTORES.

Vinitor.

ION, éſtne hoſpes, vel vnde? *Phœnix.* O Vinitor, ex his qui circa Sidona habitant, ac Tyrum. *Vinitor.* Habitus autem eſt Ionicus. *Phœnix.* Patrius iam & nobis Phœnicibus. *Vinitor.* Vnde igitur habitum mutaſtis? *Phœnix*, Sybaris Ionica vniuerſam pariter occupauit Phœniciam: & ſi quis opinor illic non indulgeret deliciis, damnaretur. *Vinitor.* Quò autem vadis elatus, & ſuper obuia quæque? *Phœnix.* Conſultore*, Vinitor, atque oraculo, ad ſecundam indigeo nauigationem. Aiunt enim nos Ægæum ipſum adituros: vehemens autem mare eſt (vt puto) nec nauigatu facile. Tendo autem aduerſus ventum. Phœnices enim quo ad ſecundum pertinet curſum, ad hocce reſpiciunt ſignum. *Vinitor.* Periti vtique (ô hoſpes) nauticæ rei exiſtentes: vos enim alteram quoque Vrſam in cœlo adnotaſtis, &

al. *ſigno & ominis,*

ΑΜΠΕΛΟΥΡΓΟΣ, Η*ΦΟΙΝΙΞ. ἴσ. καὶ

ΑΜΠΕΛ.

ΙΩΝ ὁ ξένος ἢ πόθεν; Φοῖ. Ἀμπελουργὲ, τῶν περὶ Σιδῶνά τε, καὶ Τύρον. Ἀμ. τὸ δὲ Ἰωνικὸν τῆς στολῆς; Φοῖ. ἐπιχώριον ἤδη, καὶ ἡμῖν, τοῖς ἐκ Φοινίκης. Ἀμ. πόθεν οὖν μετεσκευάσθε; Φοῖ. Σύβαρις Ἰωνικὴ, τὴν
B
Φοινίκην κατέσχεν ὁμοῦ πᾶσαν. καὶ γραφὴν ἐκεῖ ἄν τις οἶμαι, * φύγοι μὴ τρυφῶν. Ἀμ. βαδίζεις δὲ ποῖ, μετέωρός τε, καὶ ὑπὲρ πάντα τὰ ἐν ποσί; Φοῖ. ξυμβόλου*, καὶ φήμης, Ἀμπελουργὲ, δέομαι περὶ εὐπλοίας. φασὶ γὰρ ἡμᾶς ἀφήσειν ἐς τὸν Αἰγαῖον αὐτόν. δεινὴ δὲ οἶμαι ἡ θάλαττα, καὶ οὐ ῥᾳδία πλεῦσαι. βαδίζω δὲ τὴν ἐναντίαν
C
ὁδὸν τῶν ἀνέμων. τὰ γὰρ ὑπὲρ εὐπλοίας πρὸς τουτονὶ τὸν σκοπὸν θεωροῦσι Φοίνικες. Ἀμ. σοφοί γε, ὦ ξένε, τὰ ναυτικὰ ὄντες. ὑμεῖς γάρ που καὶ τὴν ἑτέραν ἄρκτον ἐσημήνασθε τῷ οὐρανῷ, καὶ

κ. ξυμβόλου,

περὶ αὐτὴν πλεῖτε. ὥσπερ δὲ τὰς ναυκληρίας ἐπαινεῖσθε, οὕτω τὰς ἐμπορίας διαβέβλησθε, ὡς φιλοχρήματοί τε, καὶ τρωκταί. Φοῖ. σὺ δὲ οὐ φιλοχρήματος, Ἀμπελουργέ, ζῶν ἐν ταύταις ταῖς ἀμπέλοις, καὶ ζητῶν ἴσως ὅς τις μὲν ὀπωριεῖ, καταβαλών σοι δραχμὴν τῶν βοτρύων, ὅπως δὲ ἀποδώσεις τὸ γλεῦκος, ἢ ὅπως τὴν ἀνθοσμίαν, ὃν οἶμαι κατορωρυγμένον φὴς ἔχειν, ὥσπερ ὁ Μάρων; Ἀμ. ξένε Φοῖνιξ, εἰ μὲν εἰσί που τῆς γῆς Κύκλωπες, οὓς λέγεται ἡ γῆ ἀργοὺς βόσκειν, φυτεύοντας οὐδέν, οὐδὲ σπείροντας· ἀφύλακτα μὲν τὰ φυόμενα εἴη ἄν, καί τοι Δήμητρός γε, καὶ Διονύσου ὄντα· πωλοῖτο δ' ἂν οὐδὲν ἐκ τῆς γῆς, ἀλλ' ἄτιμά τε, καὶ κοινὰ φύοιτ' ἄν, ὥσπερ ἐν συῶν ἀγορᾷ· σπείρειν δὲ ὅπου χρή, καὶ ἀροῦν, καὶ φυτεύειν, καὶ ἄλλο ἐπ' ἄλλῳ πονεῖν προσκείμενον τῇ γῇ, καὶ ὑποκείμενον ταῖς ὥραις, ἐνταῦθα πωλεῖν τε χρή, καὶ ὠνεῖσθαι. δεῖ γὰρ καὶ γεωργίᾳ χρημάτων, καὶ ἄνευ τούτων, οὔτε ἀροτῆρα θρέψαις, οὔτ' Ἀμπελουργόν, οὔτε βουκόλον, οὔτε αἰπόλον. οὐδὲ κρατὴρ ἔσται σοι πιεῖν, ἢ σπεῖσαι. καὶ γὰρ τὸ ἥδιστον τῶν ἐν γεωργίᾳ τό, τρυγᾶν ἀμπέλους, μισθοῦ χρὴ πράττειν. εἰ δὲ μή, ἄοινοί τε, καὶ ἀργοὶ ἑστήξουσιν, ὥσπερ γεγραμμένοι. ταυτὶ μὲν οὖν, ὦ ξένε, ὑπὲρ παντὸς εἴρηκα τοῦ τῶν γεωργῶν κύκλου. τοὐμὸν δὲ πολλῷ ἐπιεικέστερον. οὐ γὰρ ξυμβάλλω ἐμπόροις, οὐδὲ τὴν δραχμὴν ὅ,τι ἐστὶ γινώσκω, ἀλλὰ βοῦν σίτου, καὶ οἴνου τράγον, καὶ τοιαῦτα τοιούτων, ἢ ὠνοῦμαι, ἢ αὐτὸς ἀποδίδωμι, σμικρά τε εἰπών, καὶ ἀκούσας. Φοῖ. χρυσῆν ἀγορὰν

A ad ipſam nauigatis: ſed vt nauigandi peritia laudem conſequimini, ita in negociatione, vtpote pecuniarum auidi, ac voraces arguimini. *Phœnix.* Tu autem non pecuniarum es cupidus (ô Vinitor) in hiſce vitam agens vitibus: & fortaſſe quærens, quínam fructus colligat, tibi pro racemis drachmam reponens, cuíque muſtum rependas, & cui odoratum vinum, quod puto; defoſſum inquis habere, vt
B Maro. *Vinitor.* Hoſpes Phœnix ſicubi terrarum ſunt Cyclopes: quos nec plantantes, nec ſerentes quicquam, tellus ocioſos ac lentos dicitur paſcere; nullo quidem cuſtode genita indigerent: vt pote Cereris ac Dionyſij exiſtentia: nihílque ex terra ortum venderetur: ſed neglecta, ac communia naſcerentur, vt in ſuum foro. Vbi verò terræ incumbentem, ac temporibus inſeruientem, ſeminare, & arare, ac
C plantare: iterúmque atque iterum laborare oportet: ibi vendere, atque emere neceſſe eſt: pecuniarum enim opus eſt agrorum cultui: & ſine ipſis, neque aratorem, neque vinitorem, nec bubulcum, nec caprarum cuſtodem educabis: nec tibi ad bibendum, ac libandum erit poculum. Etenim vindemiare, quod in agrorum cultu ſuauiſſimum eſt, non ſine mercede fit: alioqui abſque vino & ocioſi exiſtent, nihil
D à pictis differentes. Hæc itaque (ô hoſpes) pro omni agricolarum orbe dixi. Quod autem ad me pertinet, multò eſt humilius ac mitius: neq; enim cum negociatorib. commercium habeo: nec quid ſit drachma cognoſco: ſed paucis & dictis & auditis, bouem tritico: hircū vino, & talia talibus aut emo, aut ipſe reddo. *Phœnix.* Aureum forum

& herouṁ potius quàm hominum memoras, Vinitor. Sed hic canis quid ſibi vult? circuit enim me pedibus adganniens, mollem ac mitem aurem præbens. *Vin.* Meam tibi interpretatur conſuetudinem, hoſpes, & quòd in eos qui huc accedunt, adeò modeſtè ac benignè habemus, vt ne cani quidem eos adlatrare permittamus: ſed venientibus cedere atque excipere. *Phœnix.* Licétne igitur vineam adire? *Vinitor.* Inuidia nulla: eſt enim nobis racemorum ſatis. *Phœn.* Quid autem, ficúſne colligere? *Vinitor.* Et huius facultas: eſt enim & ficuum copia: & nuces darem, & poma darem, innumeráque alia bona. Planto autem hæc perinde atque vitium condimenta. *Phœnix.* Quídnam præmij dabo? *Vinitor.* Quid aliud, quàm vt & libenter edas: & edenda capias, lætúſque diſcedas. *Phœnix.* At nunquid philoſopharis, Vinitor? *Vinitor.* Et cum bono quidem Proteſilao. *Phœnix.* Quid autem commune eſt tibi cum Proteſilao, ſi Theſſalum dicis? *Vinitor.* Illum dico Laodamiæ coniugem: hoc enim dum audit, gaudet. *Phœnix.* Quid autem hîc agit? *Vinitor.* Viuit: & terram colimus. *Phœnix.* Vitæ reſtitutus, vel quid? *Vinitor.* Ne ipſe quidem ſuos ipſius dicit affectus: præter quàm quòd deceſſerit quidem in Troia propter Helenen: in Phthia verò reuixerit, Laodamiam diligens. *Phœnix.* Atqui poſtquam reuixit, deceſſiſſe rurſus: vxoríque vt ſe ſequeretur, perſuaſiſſe dicitur. *Vinitor.* Et ipſe hæc dicit: ſed quo pacto poſtea reuerſus ſit: mihi iam percipere volenti haud dicit, Parcarum arcanum quid (vt ait) celans. qui au-

A λέγεις, Ἀμπελουργὲ, καὶ ἡρώων μᾶλλον ἢ ἀνθρώπων. ἀλλὰ ὁ κύων οὗτος, τί ἐθέλει; περίεισι γάρ με προσκυνιζόμενος τοῖς ποσὶ, καὶ παρέχων τὸ οὖς ἁπαλόν τε, καὶ πρᾶον. Αμ. τοὐμὸν ἦθος ἑρμηνεύει σοι, ξένε, καὶ ὅτι πρὸς τοὺς δεῦρο ἀφικνουμένους, οὕτω μετρίως καὶ χρηστῶς ἔχομεν, ὡς μηδὲ τῷ κυνὶ συγχωρεῖν ὑλακτεῖν αὐτοὺς, ἀλλὰ προσδέχεσθαι, B καὶ ὑποπίπτειν ἥκοντας. Φοι. ἔξεστιν οὖν ἀμπέλῳ προσβαλεῖν; Αμ. φθόνος οὐδείς. εἰσὶ γὰρ ἡμῖν ἱκανοὶ βότρυς. Φοι. τί δὲ, συκάσαι; Αμ. καὶ τούτου ἄδεια. πάρεστι γὰρ καὶ σύκων· καὶ κάρυα δοίην, καὶ μῆλα δοίην, καὶ μυρία ἀγαθὰ ἕτερα. φυτεύω δὲ αὐτὰ, οἷα παροψήματα τῶν ἀμπέλων. Φοι. τί ἂν οὖν καταβάλλοιμι; Αμ. τί δ' ἄλλο γε, ἢ φαγεῖν τε ἡδέως, καὶ ἐπισιτίσασθαι, καὶ ἀπελθεῖν C χαίροντα; Φοι. ἀλλ' ἦ φιλοσοφεῖς, Ἀμπελουργέ; Αμ. καὶ σύν γε τῷ καλῷ Πρωτεσίλεῳ. Φοι. σοὶ δὲ τί καὶ τῷ Πρωτεσίλεῳ κοινὸν, εἰ τὸν ἐκ Θετταλίας λέγεις; Αμ. ἐκεῖνον λέγω τὸν τῆς Λαοδαμείας. τουτὶ γὰρ χαίρει ἀκούων. Φοι. τί δὲ δὴ δεῦρο πράττει; Αμ. ζῇ, καὶ γεωργοῦμεν. Φοι. ἀναβεβιωκὼς, ἢ τί; Αμ. οὐδὲ αὐτὸς λέγει, ὦ ξένε, τὰ ἑαυτοῦ πάθη. πλήν γε δὴ ὅτι ἀποθάνοι μὲν D δι' Ἑλένην ἐν Τροίᾳ, ἀναβιῴη δὲ ἐν Φθίᾳ, Λαοδαμείας ἐρῶν. Φοι. καὶ μὴν ἀποθανεῖν γε μετὰ τὸ ἀναβιῶναι λέγεται, καὶ ἀναπεῖσαι τὴν γυναῖκα ἐπισπάσασθαι αὐτόν. Ἀμπελ. λέγει καὶ αὐτὸς ταῦτα. ἀλλ' ὅπως καὶ μετὰ ταῦτα ἀνῆλθε πάλαι μοι βουλομένῳ μαθεῖν, οὐ λέγει, μοιρῶν τι ἀπόρρητον ὥς φησι κρύπτων. καὶ αὐτὸ

συστρατιῶται δὲ αὐτοῦ καὶ ἐν τῇδε τῇ Τροίᾳ, ἔτι ἐν τῷ πεδίῳ φαίνονται μάχιμοι τὸ σχῆμα, καὶ σείοντες τοὺς λόφους. Φοι. ἀπιστῶ νὴ τὴν Ἀθηνᾶν, Ἀμπελουργὲ, καί τοι βουλόμενος ταῦτα οὕτως ἔχειν. εἰ δὲ μὴ περὶ τοῖς φυτοῖς εἶ, μηδὲ ὀχετηγεῖς ἤδη, δίελθέ μοι ταῦτά τε, καὶ ὅσα τοῦ Πρωτεσιλάου γινώσκεις. καὶ γὰρ ἂν χαρίζοιο τοῖς ἥρωσιν, εἰ πιστεύων ἀπέλθοιμι. Αμ. οὐκέτ', ὦ ξένε, κατὰ μεσημβρίαν τὰ φυτὰ πίνει. μετόπωρον γὰρ ἤδη, καὶ ἄρδει αὐτὰ ἡ ὥρα. σχολὴ γοῦν μοι διελθεῖν πάντα. μηδὲ γὰρ λανθάνοι τοὺς χαρίεντας τῶν ἀνθρώπων, θεῖα οὕτω, καὶ μεγάλα ὄντα. βέλτιον δὲ καὶ ἐν καλῷ τοῦ χωρίου ἱζῆσαι. Φοι. ἡγοῦ, ὡς ἑψομένου καὶ ὑπὲρ τὰ μέσα τῆς Θρᾴκης. Αμ. παρέλθωμεν εἰς τὸν ἀμπελῶνα, ὦ Φοῖνιξ. καὶ γὰρ ἂν καὶ εὐφροσύνης τι ἐν αὐτῷ εὕροις. Φο. παρέλθωμεν. ἡδὺ, γάρ που τῶν φυτῶν ἀναπνεῖ. Αμ. τί λέγεις ἡδύ; θεῖον. τῶν μὲν γὰρ ἀγρίων δένδρων αἱ ἄνθαι, εὔοσμοι. τῶν δὲ ἡμέρων, οἱ καρποί. εἰ δὲ ἐντύχοις ποτὲ φυτῷ ἡμέρῳ παρὰ τὴν ἄνθην εὐώδει, δρέπου τῶν φύλλων μᾶλλον. ἐκείνων γὰρ τὸ ὀδωδέναι. Φοι. ὡς ποικίλη σοι ἡ ὥρα τοῦ χωρίου, καὶ ὡς ἐκδεδώκασιν ἱλαροὶ οἱ βότρυς. τὰ δένδρα τε ὡς διάκειται πάντα, καὶ ὡς ἀμβροσία ἡ ὀσμὴ τοῦ χωρίου. τοὺς δρόμους δὲ, οὓς ἀνῆκας, χαρίεντας μὲν ἡγοῦμαι. τρυφᾶν δέ μοι δοκεῖς Ἀμπελουργὲ, τοσαύτῃ γῇ ἀργῷ χρώμενος. Αμ. ἱεροὶ, ξένε, καὶ δρόμοι. γυμνάζεται γὰρ ἐν αὐτοῖς ὁ ἥρως. Φοι. ἐρεῖς ταῦτα ἐπειδὰν ἱζήσομεν οὗ ἄγεις. νυνὶ δέ μοι ἐκεῖνο εἰπέ. οἰκεῖα γεωργεῖς ταῦτα, ἢ δεσπότης μὲν αὐτῶν ἕτερος, σὺ δὲ τρέφοντα τὸν

A tem in Troia ſub ipſo militabant, habitu pugnaces, criſtáſque quatientes adhuc in campo apparent. *Phœnix*. Minimè per Mineruam credo, Vinitor: licet hæc ita habere velim: quòd ſi nec plantis vacas, nec riuos deducis, hæc mihi & quæcunque de Proteſilao noſti percurre. gratificaberis enim Heroibus, ſi verbis tuis fidem præſtans diſceſſero. *Vinitor*. Non amplius (ô hoſpes) plantæ circa meridiem bibunt. B Iam enim eſt autumnus, & tempus ipſas irrigat. Itaque mihi ad narranda omnia, ocium: neque adeò magna ac diuina elegantes lateant homines. optimum autem eſt pulchro prædij loco ſedere. *Phœnix*. I præ, ſequar & vltra mediam Thraciam. *Vinitor*. Accedamus ad vineam, ô Phœnix. nam & lætitiæ aliquid in ipſa reperies. *Phœ*. Adeamus. ſuaue enim aliquid fortaſſe de plantis ſpirat. *Vin*. C Quid ais ſuaue? diuinum. ſilueſtrium namque arborum flores odorati; cicurum verò fructus: quòd ſi fortè in cicurem incideris arborem, præter florem, odoratam, de foliis decerpe potius: illa enim bene olent. *Phœnix*. Quàm varia eſt tibi prædij pulchritudo: quámque hilares erupērūt racemi. omnes prætereà quàm bellè diſpoſitæ arbores: & quàm immortalis eſt prædij odor. curriculos autem quos reliquiſti, elegantes qui- D dem exiſtimo. tu verò mihi deliciari videris, cùm tanta ſine cultu vtaris tellure. *Vin*. Sacri (hoſpes) ſunt curriculi: ſe enim in ipſis exercet heros. *Phœnix*. Hæc dices, cum quò ducis, ſedebimus. nunc autem aliud mihi narrato, propria tibi hæc colis? an dominus quidem ipſorum alter? tu verò hunc alentia

nutris, vt Euripidis Oeneum? *Vinitor.* Vnus hic agellus reliquus eſt mihi de multis haud illiberaliter nutriens: alios verò agros mihi ſanè quàm orphano, potentes abſtulere: & prædiolum hoc à * Xenitide Cherrhoneſita iam occupatum recepit Proteſilaus, ſuum ipſius ei obiiciens ſimulachrum, vnde luminibus captus cæcus diſceſſit. *Phœnix.* Strenuum vtiq; agri cuſtodem adeptus es: nec (vt puto) amico perinde vigilante, alicuius lupi impetum formidas. *Vinitor.* Vera dicis, neque enim vt quæpiam fera ingrediatur, permittit: nec ſerpens hic, nec phalangium, nec ſycophanta nobis circa agrum immoratur. hæc autem fera valde impudens eſt: itaque multos in foro perdit. *Phœnix.* Eloquutionem autem quo pacto edoctus es, Vinitor? neque enim mihi inter rudes recenſendus videris. *Vinitor.* Primo vitæ tempore (hoſpes) in vrbe verſabamur præceptoribus vtentes, ac philoſophantes. quare res meæ non bellè habebant. in ſeruorum enim manu agrorum cultus erat. hi autem nihil nobis reddebant: vnde agri cauſa & mutuari, & eſurire oportebat. quare huc profectus Proteſilaum conſulebã. ipſe verò haud immeritò mihi iratus, quòd cùm ipſum deſtituiſſem, in vrbe viuerem, minimè reſpondebat. me autem ſupplicante, & perire, ſi negligerer, dicente: mutato, inquit, veſtes. hoc illo quidem die fruſtra audiui. poſtea verò idipſum explorans percepi, vt vitæ habitum mutarem mihi imperare. vnde pellicea veſte indutus, & bidentem ferens, ne ad vrbem quidem ducen-

* Xenide.

A τρέφεις, ὥσπερ τὸν τοῦ Εὐριπίδου Οἰνέα; Αμ. ἓν τοῦτ' ἐκ πολλῶν γήδιον λείπεταί μοι τρέφον οὐκ ἀνελευθέρως. τοὺς δὲ ἄλλους ἀγροὺς, ἀφείλοντό με οἱ δυνατοὶ κομιδῇ ὀρφανόν. καὶ τουτὶ δὲ τὸ χωρίδιον ὑπὸ * Ξεινίδος ἤδη τοῦ Χερρονησίτου κατεχόμενον, ἐξείλετο ὁ Πρωτεσίλεως; προσβαλών τι αὐτῷ ἑαυτοῦ φάσμα· ὑφ' οὗ τὰς ὄψεις ἀνακοπεὶς, ἀπῆλθε τυ- B φλός. Φοι. ἀγαθόν γε τοῦ ἀγροῦ φύλακα ἐκτήσω. καὶ οὐδὲ λύκου τινὸς ἔφοδον οἶμαι δέδιας, ἐγρηγορότος οὑτωσὶ τοῦ φίλου. Αμ. ἀληθῆ λέγεις. οὐδὲ γὰρ θηρίῳ συγχωρεῖ ἐσφοιτᾶν οὐδενί. οὐδὲ ὄφις ἐνταῦθα, οὐδὲ φαλάγγιον, οὐδὲ συκοφάντης ἡμῖν περὶ τὸν ἀγρὸν ἐπιτίθεται. τὸ δὲ θηρίον τοῦτο, δεινῶς ἀναιδές· ἀπόλλυσι γοῦν * ἐν ἀγορᾷ. Φοι. πλέω δὲ φωνὴν, Αμπελουργὲ, πῶς ἐπαιδεύθης; οὐ γάρ μοι τῶν ἀπαιδεύτων φαίνῃ. C Αμ. ἐν ἄστει, ξένε, τὸ πρότερον διεζώομεν τοῦ βίου, διδασκάλοις χρώμενοι, καὶ φιλοσοφοῦντες. πονήρως οὖν τὰ ἐμὰ εἶχεν. ἐπὶ δούλοις γὰρ ἦν τὰ γεωργούμενα· οἱ δ' ἀπέφερον ἡμῖν οὐδέν. ὅθεν δανείζεσθαί τε ἐπὶ τῷ ἀγρῷ ἔδει, καὶ πεινῆν, καὶ δῆτα ἀφικόμενος ἐνταῦθα, ξύμβουλον ἐποιούμην τὸν Πρωτεσίλεων. ὁ δ' ὀργὴν μοι δικαίαν ἔχων, D ἐπειδὴ καταλιπὼν αὐτὸν, ἐν ἄστει ἔζων, ἐσιώπα. λιπαροῦντος δέ μου, καὶ ἀπολεῖσθαι φάσκοντος εἰ ἀμεληθείην, μεταμφίασαι, ἔφη. τοῦτ' ἐπ' ἐκείνης μὲν τῆς ἡμέρας, ἀργῶς ἤκουσα. μετὰ ταῦτα μέν τοι βασανίζων αὐτὸ, ξυνῆκα, ὅτι μεταβαλεῖν κελεύει με τὸ τοῦ βίου σχῆμα. ὅθεν διφθέραν τε περιαρμοσάμενος, καὶ σμινύην φέρων, καὶ οὐδὲ τὸ ἐς ἄστυ

* κ. Ξενίδος

* ἐν. πολλοὺς ἐν

ὁδὸν ἔτι γινώσκων, βρύει μοι τὰ ἐν τῷ ἀγρῷ πάντα. κἂν νοσήσῃ πρόβατον, ἢ σμῆνος, ἢ δένδρον, ἰατρῷ χρῶμαι τῷ Πρωτεσίλεῳ. συνὼν αὐτῷ, καὶ τῇ γῇ προσκείμενος, σοφώτερος τοῦ ἐμαυτοῦ γίνομαι. περίεστι γὰρ καὶ σοφίας αὐτῷ. Φοι. μακάριε τῆς ξυνουσίας, καὶ τοῦ ἀγροῦ, εἰ μὴ μόνον ἐλαίας καὶ βότρυς ἐν αὐτῷ τρυγᾷς, ἀλλὰ καὶ σοφίαν δρέπῃ, θείαν τε, καὶ ἀκήρατον. καὶ ἴσως ἀδικῶ τὴν ἐν σοὶ σοφίαν, καλῶν σε ἀμπελουργόν. Αμ. οὕτω κάλει. καὶ γὰρ ἂν χαρίζοιο τῷ Πρωτεσίλεῳ, γεωργόν τε ἐμὲ, καὶ κηπουρὸν, καὶ τὰ τοιαῦτα ὀνομάζων. Φοι. ἐνταῦθα οὖν, Ἀμπελουργὲ, ξύνεστε ἀλλήλοις; Αμ. ἐνταῦθα, ξένε. πῶς δὲ ἐτεκμήρω; Φοι. ὅτι μοι δοκεῖ τὸ μέρος τοῦ ἀγροῦ τοῦτο, ἥδιστόν τε εἶναι, καὶ θεῖον. καὶ εἰ μὲν ἀναβιώη ἄν τις ἐνταῦθα, οὐκ οἶδα· βιώη δ' ἂν ἥδιστά που, καὶ ἀλυπότατα, ἔξω θεὶς τοῦ ὁμίλου. δένδρα τε γὰρ ὑπερμήκη ταῦτα, τοῦ χρόνου αὐτὰ ἄραντος· ὕδωρ τε ἐκ πηγῶν τουτὶ ποικίλον, καὶ ἀρύεσθε οἶμαι αὐτὸ, ὥσπερ ἄλλου καὶ ἄλλου ἀνθοσμίου πίνοντες. σὺ δὲ, καὶ σκηνὰς φυτεύεις, ξυμπλέκων τὰ δένδρα, καὶ ξυναρμόττων, ὡς οὐδ' ἂν στέφανόν τις ἐκ λειμῶνος ἀκηράτου ξυμβάλοι. Αμ. καὶ οὔπω, ξένε, τῶν ἀηδόνων ἤκουσας, αἳ τῷ χωρίῳ ἐναττικίζουσιν, ὁπότε δείλη τε ἥκῃ, καὶ ἡμέρα ἄρχηται. Φοι. δοκῶ μοι ἀκηκοέναι, ξυντιθεὶς δὲ τὸ μηδὲ θρηνεῖν αὐτὰς, ἀλλὰ ᾄδειν μόνον. πλὴν εἰπὲ τὰ τῶν ἡρώων. ἥδιον γὰρ ἂν τούτων ἀκούοιμι. ξυγχωρεῖς δέ που καὶ ἵζησαι; Αμ. ξυγχωρεῖ ὁ ἥρως χρηστὸς ὤν, ξενίζων τουτοισὶ τοῖς θάκοις. Φοι. ἰδοὺ ἀναπαύο-

A tem viam cognoſco, omnia mihi in agro ſcaturiunt. quòd ſi pecus, aut examen ægrotauerit, aut arbor, medico vtor Proteſilao: ipſius vtens conſuetudine, & terræ incumbens, ſapientiórque indies euado: ipſi enim plurimùm ineſt ſapientiæ. *Phœnix*. Beate ob conſuetudinem & agrum, ſi non modò oliuas ac racemos in ipſo vindemias, verum integram ac diuinam decerpis ſapientiam. & fortaſſe, quæ tibi ineſt, ſapientiam iniuria afficio,
B dum te vinitorem appello. *Vinitor*. Ita me appella. Etenim agricolam me, atque *hortulanum*, huiuſmodíque nominibus appellans, Proteſilao gratificaberis. *Phœnix*. Hic igitur, Vinitor, mutua vtimini conſuetudine? *Vinitor*. Hic (ô hoſpes) quo pacto autem conieciſti? *Phœn.* Quoniam hæc agri pars mihi eſſe ſuauiſſima, ac diuina videtur. & nunquid reuiuiſcere hic aliquis poſſet, minimè noui: viueret autem
C ſuauiſſimè ac iucundiſſimè, à turba ſemotũs. Arbores enim hæ proceræ, tempore ipſas extollente: & hæc ex fontibus varia aqua, & hauritis) vt puto) hanc, vtpote ex alio atque ex alio odorato vino bibentes. Tu autem & ſcenas plantas, contexens ac concinnans arbores, vt ne ab amœniſſimo quidem prato coronam quiſpiam contexat. *Vinitor*. Nondum (hoſpes) philomelas audiuiſti, vt prædio eruditè
D accinant, cùm & ſerum diei acceſſerit, & dies cœperit? *Phœnix*. Mihi videor audiuiſſe ipſos componere, nec lugere: ſed tantùm canere. tu tamen quæ ad Heroes pertinent, dicito. libentius enim hæc audiam. concedíſne alicubi ſedere. *Vinitor*. Concedit Heros frugi exiſtens, hiſce te ſedibus hoſpitans. *Phœnix*. Ecce quieſco:

xenium enim hoc ſuaue eſt grauiorem audituro orationem. *Vinitor.* Percunctare, hoſpes, quicquid vis, & haud fruſtra veniſſe dices. Vlyſſi quidem cùm procul à naui, conſilij inopia ambigeret, obuius factus Mercurius, vel eorum aliquis, qui à Mercurio ſapientiam perceperant, in orationis ac ſtudij communicationem peruenit. Hoc enim arbitrari conuenit eſſe Moly. Te verò Proteſilaus & hiſtoria per me explebit, & ſuauiorem ac ſapientiorem reddet. multorum namque cognitio plurimi facienda. *Phœnix.* At non ambigo, optime. Sed per Mineruam Dei nutu veni: intelligo enim deinceps inſomnium. *Vinitor.* Et quo pacto tibi habet inſomnium? diuinum enim quid indicabis. *Phœnix.* Quintum iam ac triceſimum nunc diem ex Ægypto ac Phœnicia nauigabamus. Appulſa autem naui ad hunc Eleuntem, Homeri carmina legere viſus ſum: quibus Græcorum catalogum dicit: & Achiuos, vt nauem aſcenderent, conuocabam, vt pote omnium capacem. poſtea verò quàm ab inſomnio exſilij (mihi enim horroris quid inceſſerat) ad nauigationis quidem tarditatem ac longitudinem ipſum coniiciebam. Defunctorum namque viſiones, tarditatem indicant properantibus. cùm autem circa inſomnium vti ſymbolo voluiſſem (nondum enim ventus nauigare permittebat) huc de naui abſcedo. ambulans autem, vt vidiſti, primò tibi occurri: & de Proteſilao diſſerimus. Sed & de Heroum catalogo diſſeremus. Ita namque te ais facturũ. & colligere ipſos in nauim nihil aliud eſt, quàm vt collecto ſuper ipſis ſermone, poſt-

A μαι· τὸ γὰρ ξένιον ἡδὺ τῷ γε ἀκροασομένῳ λόγου σπουδαιοτέρου. Αμ. ἐρώτα, ξένε, ὅ, τι βούλει, καὶ οὐ μάτην ἀφῖχθαι φήσεις. Οδυσσεῖ μὲν γὰρ ὁπότε πόρρω που τῆς νεὼς ἠλύει, ἐντυχὼν ὁ Ερμῆς, ἤ τις τῶν παρὰ τοῦ Ερμοῦ σοφῶν, ἐς κοινωνίαν λόγου τε, καὶ σπουδῆς ἀφίκετο. τουτὶ γὰρ ἡγεῖσθαι προσήκει τὸ Μῶλυ. σὲ δὲ ὁ Πρωτεσίλεως, ἱστορίας τε δι' ἐμοῦ ἐμπλήσει, καὶ ἡδίω ἀποφανεῖ, καὶ B σοφώτερον. τὸ γὰρ πολλὰ γινώσκειν, πολλοῦ ἄξιον. Φοι. ἀλλ' οὐκ ἀλύω, βέλτιστε. κατὰ δὲ θεὸν νὴ τὴν Αθηνᾶν ἥκω. ξυνίημι γὰρ λοιπὸν τοῦ ἐνυπνίου. Αμ. καὶ πῶς ἔχει σοι τὸ ἐνύπνιον; θεῖον γάρ τι ὑποδηλώσεις. Φοι. πλέω μὲν ἐξ Αἰγύπτου τε, καὶ Φοινίκης, πέμπτην, καὶ τριακοστὴν ἤδη που ταύτην ἡμέραν. καταχθείσης δὲ τῆς νεὼς εἰς Ελεοῦντα τουτονί, ἔδοξα τὰ C Ομήρου ἔπη ἀναγινώσκειν. ἐν οἷς τὸν κατάλογον τῶν Αχαιῶν φράζει. καὶ ξυνεκάλουν τοὺς Αχαιοὺς ἐμβῆναι τὴν ναῦν, ὡς ἀποχρῶσαν ὁμοῦ πᾶσιν. ἐπεὶ δὲ ἐξέθορον τοῦ ἐνυπνίου· καὶ γάρ με καὶ φρίκης τι ὑπεληλύθει, ξυνεβαλλόμην μὲν αὐτὸ ἐς βραδυτῆτα τοῦ πλοῦ, καὶ μῆκος. αἱ γὰρ τῶν ἀποθανόντων ὄψεις, ἀργοὶ τοῖς ἐπεσπευδακόσι. βουληθεὶς δὲ ξυμβόλῳ περὶ τοῦ ἐνυπνίου D χρήσασθαι. οὐδὲ γὰρ τὸ πνεῦμά πω ξυνεχώρει πλεῖν. ἐξαλλάττω δεῦρο ἀπὸ τῆς νεώς. βαδίζων δὲ ὡς εἶδες, πρῶτον ἐντετύχηκά σοι. καὶ περὶ τοῦ Πρωτεσίλεω διαλεγόμεθα. διαλεξόμεθα δὲ καὶ περὶ τοῦ καταλόγου τῶν ἡρώων. φῂς γὰρ οὕτω ποιήσειν. καὶ τὸ καταλέγειν σφᾶς ἐς τὴν ναῦν, εἴη ἂν τὸ συλλεξαμένους τὸν περὶ αὐτῶν λόγον, εἶτα

ἐπεσπευκόσιν.

ἐμβῶμεν. ΑΜ. κατὰ θεὸν ἥκεις ἀληθῶς, ξένε, καὶ ὑγιῶς ἐξηγῇ τὴν ὄψιν. περαίνωμεν οὖν τὸν λόγον, μή σε θρύπτεσθαί με φῇς, διάγοντά σε ἀπ' αὐτῶν. Φοι. ἃ ποθῶ μαθεῖν, ξυνίης δή γε. αὐτὴν γὰρ τὴν ξυνουσίαν, ἥτις ἐστί σοι πρὸς τὸν Πρωτεσίλεων, καὶ ὁποῖος ἥκει, καὶ εἴ τι παραπλήσιον τοῖς ποιηταῖς, ἢ διηγνοημένον αὐτοῖς περὶ τῶν Τρωϊκῶν οἶδεν, ἀκοῦσαι δέομαι. Τρωϊκὰ δὲ λέγω τὰ τοιαῦτα, τὴν τῇ Αὐλίδι συλλογὴν τοῦ στρατοῦ, καὶ καθ' ἕνα τοὺς ἥρως, εἰ καλοί τε ὡς ᾄδονται, καὶ ἀνδρεῖοι, καὶ σοφοὶ ἦσαν. τὸν γὰρ πόλεμον, ὃς περὶ τὴν Τροίαν ἐγένετο, πῶς ἂν διηγοῖτο, μήτε διαπολεμήσας αὐτὸν, ἀποθανών τε πρῶτος τοῦ Ἑλληνικοῦ παντὸς, ἐν αὐτῇ φασι τῇ ἀποβάσει; Αμ. εὔηθες τουτί σοι, ξένε. ψυχαῖς γὰρ οὕτω θείαις, καὶ μακαρίαις, ἀρχὴ βίου, τὸ καθαρεῦσαι τοῦ σώματος. θεούς τε γὰρ, ὧν ὀπαδοί εἰσι, γινώσκουσι τότε οὐκ ἀγάλματα θεραπεύουσαι, καὶ ὑπονοίας, ἀλλὰ ξυνουσίας φανερὰς πρὸς αὐτοὺς ποιούμεναι. τά τε τῶν ἀνθρώπων ὁρῶσιν, ἐλεύθεραι νόσων τε, καὶ σώματος. ὅτε δὴ καὶ μαντικῆς σοφίας ἐμφοροῦνται, καὶ τὸ χρησμῶδες αὐταῖς προσβακχεύει. τὰ γοῦν Ὁμήρου ποιήματα, τίνα φήσεις οὕτως ἀνεγνωκέναι τῶν σφόδρα βασανιζόντων Ὅμηρον, ὡς ἀνέγνωκέ τε ὁ Πρωτεσίλεως, καὶ διορᾷ αὐτά, καί τοι, ξένε, πρὸ Πριάμου, καὶ Τροίας, οὐδὲ ῥαψῳδία τις ἦν, οὐδὲ ᾔδετο τὰ μήπω πραχθέντα. ποιητικὴ μὲν γὰρ ἦν περί τε τὰ μαντεῖα, περί τε τὸν Ἀλκμήνης Ἡρακλέα, καὶ καθισταμένη τε ἄρτι, καὶ οὔπω ἡβάσκουσα. Ὅμηρος δὲ, οὔπω ᾖδεν. ἀλλ' ἡ μὲν, Τροίας

A ea conſcendamus. *Vinitor.* Dei nutu proculdubio veniſti, hoſpes, rectéque viſionem interpretaris. Perficiamus igitur ſermonem, ne me deliciari dicas, ſi ab eo te abduxero. *Phœnix.* Quæ cupio diſcere, noſti vtique. Nam quicunque tibi cum Proteſilao ſit congreſſus, & qualis veniat, & nunquid de Troianis rebus eadem quæ Poëtæ: an ignoratum ab ipſis aliquid nouerit, audire concupiſco. Troiana autem dico B huiuſmodi, & exercitus in Aulide collectionem, & ſingulos Heroes, an pulchri vt canuntur, fortéſque ac ſapientes fuerint. Bellum enim quod circa Troiam geſtum eſt, quónam pacto narrare poſſet, cùm nec pugnauerit ipſe, & Græcorum omnium primus in deſcenſu (vt aiunt) deceſſerit. *Vinitor.* Imprudenter hoc dixiſti, hoſpes. Animis enim perinde diuinis, ac beatis, vitæ initium C eſt, cùm corpore expurgantur. Deos enim, quorum pediſſequi ſunt, tunc cognoſcunt, non ſimulachra colentes, ac ſuſpiciones, ſed veros atque apertos cum ipſis congreſſus facientes: morbíſque ac corpore liberi, res hominum ſpeculantur. quando iam diuinationis ſapientia replentur, & Bacchico quodam diuinandi furore corripiuntur. Itaque Homeri poëmata, quem ex iis etiam qui diligenter Homerum ex- D plorant, ita legiſſe dices: vt & legit Proteſilaus, & ipſa diſpicit. Atqui hoſpes ante Priamum & Troiam, ne vlla quidem erat rhapſodia, nec quæ nondum geſta erant, canebantur. Poëtice enim circa vaticinia erat, & Alcmenes Herculem, inſtituta nuper, nec dum vigens. Homerus autem nondum canebat. Sed hi quidem capta Troia, hi

A verò paucis, vel octo poſt ætatibus poëſim aggreſſum dicunt. Verumtamen Homeri omnia nouit Proteſilaus: & multa quidem Troiana canit, quæ poſt ipſum fuere: multa verò & Græca, & Medica. Xerxis igitur expeditionem tertiam, appellat hominum perniciem, poſt eas quæ Deucalionis ac Phaëthontis tempeſtate contigere, quandoquidem plurimæ in ipſa gentes periere. *Phœnix.* Amaltheæ cornu explebis, Vinitor, cùm tantarum rerum peritiam ſocius habeat. Sanè enim
B referes ipſa, & vt audiuiſti. *Vinitor.* Per Iouem, Philoſophum, ac veri ſtudioſum Heroem iniuria afficerem, veritatem negligens, quam ille virtutis matrem appellare conſueuit. *Phœnix.* Videor mihi & in orationis exordio meum ipſius affectum tibi faſſus. Aio enim, fabuloſis me fidem minimè præſtare, cuius vtique rei cauſa eſt, quòd oc-
C culato nondum occurrerim teſti: ſed hic quidem ab alio ſe audiuiſſe inquit, hic verò arbitrari. Hunc autem Poëta adducit. Nam quæ de Heroum magnitudine traduntur, quòd decimum proceritate cubitum æquauerint, grata quidem, ob fabuloſum exiſtimo ſermonem, ſed falſa, & minimè perſuaſu facilia: ſi quis ipſa pro natura ſpectauerit, cuius menſuræ præſentes ſunt ho-
D mines. *Vinitor.* Sed quando hæc non perſuaſu facilia cenſere cœpiſti? *Phœnix.* Iamdiu, Vinitor, cùm adhuc eſſem adoleſcentulus: puer enim exiſtens talia credebam; & nutrix mihi fabulas narrabat, venuſtè ipſas accinens; atqui & in ipſarum nonnullis lugens. Sed cùm ad iuuenilem ætatem perueniſſem, operæ pretium exiſtimaui, ſi hæc non temerè admitterem. *Vinitor.* Quòd autem ad Proteſilaū pertinet,

ἁλούσης, οἱ δὲ ὀλίγαις ἢ ὀκτὼ γενεαῖς ὕστερον ἐπιθέσθαι αὐτὸν τῇ ποιήσει λέγουσιν. ἀλλ' ὅμως οἶδεν ὁ Πρωτεσίλεως τὰ Ὁμήρου πάντα. καὶ πολλὰ μὲν ᾄδει Τρωϊκὰ μεθ' ἑαυτὸν γενόμενα, πολλὰ δὲ Ἑλληνικά τε καὶ Μηδικά. τὴν γοῦν στρατείαν τοῦ Ξέρξου, τρίτην ὀνομάζει φθορὰν τῶν ἀνθρώπων, μετὰ τὴν ἐπὶ Δευκαλίωνός τε καὶ Φαέθοντος ξυμβᾶσαν, ἐπειδὴ πλεῖστα ἔθνη ἐν αὐτῇ διεφθάρη. Φοι. κέρας Ἀμαλθείας ἐμπλήσεις, Ἀμπελουργέ, τοσαῦτα εἰδότος τοῦ ἑταίρου. ὑγιῶς γάρ που ἀπαγγελεῖς αὐτά, καὶ ὡς ἤκουσας. Αμ. νὴ Δί', ἢ ἀδικοίην φιλόσοφόν τε, καὶ φιλαλήθη ἥρωα, μὴ τιμῶν ἀλήθειαν, ἣν ἐκεῖνος μητέρα ἀρετῆς ὀνομάζειν εἴωθε. Φοι. δοκῶ μοι καὶ κατ' ἀρχὰς τῶν λόγων ὡμολογηκέναι πρὸς σὲ τὸ ἐμαυτοῦ πάθος. φημὶ γὰρ ἀπίστως κεῖσθαι πρὸς τὰ μυθώδη. τὸ δὲ αἴτιον, οὐδενί πω ἑωρακότι αὐτὰ ξυγγέγονα. ἀλλ' ὁ μὲν, ἑτέρου ἀκηκοέναι φησίν· ὁ δὲ, οἴεσθαι· τὸν δὲ, ποιητὴς ἐπαίρει. καὶ τὰ λεγόμενα δὲ περὶ τοῦ μεγέθους τῶν ἡρώων, ὡς δεκαπήχεις ἦσαν, χαρίεντα μὲν κατὰ μυθολογίαν ἡγοῦμαι, ψευδῆ δὲ, καὶ ἀπίθανα, τῷ γε θεωροῦντι αὐτὰ πρὸς τὴν φύσιν, ἧς μέτρα οἱ νῦν ἄνθρωποι. Αμ. ταυτὶ δὲ ἡγεῖσθαι ἀπίθανα, πότε ἤρξω; Φοι. πάλαι, Ἀμπελουργέ, κἂν μειρακίῳ ἔτι. παῖς μὲν γὰρ ὢν ἔτι, ἐπίστευον τοῖς τοιούτοις, καὶ κατεμυθολόγει με ἡ τίτθη, χαριέντως αὐτὰ ἐπᾴδουσα, καί τοι καὶ κλάουσα ἐπ' ἐνίοις αὐτῶν. μειράκιον δὲ γενόμενος, οὐκ ἀβασανίστως ᾠήθην χρῆναι προσδέχεσθαι ταῦτα. Αμ. τὸ δὲ τοῦ Πρωτεσίλεω,

καὶ ὅτι ἐνταῦθα φαίνοιτο, ἀκηκοὼς ποτ' A
ἔτυχες. Φοι. πῶς, Ἀμπελουργέ; ὅς γε
καὶ σοῦ τήμερον ἀκούων, ἀπιστῶ. Ἀμ. οὐκ-
οῦν ἀρχὴ τοῦ λόγου μοι γινέσθω τὰ πά-
λαι σοι ἀπιστούμενα. φὴς δέ που ἀπι-
στεῖν, εἰ δεκαπήχεις ἐγένοντο ἄνθρωποι.
ἐπεὶ δὲ τούτου ἱκανῶς ἔχεις, ἀπαίτει λοι-
πὸν τὸν περὶ τοῦ Πρωτεσίλεω λόγον, καὶ
ὁπόσα βούλει τῶν Τρωϊκῶν. οὐδενὶ γὰρ
αὐτῶν ἀπιστήσεις. Φοι. καλῶς λέγεις, καὶ
οὕτω ποιῶμεν. Ἀμ. ἄκουε δή. πάππος B
ἦν μοι, ξένε, πολλὰ τῶν ἀπιστουμένων
ὑπὸ σοῦ γινώσκων· ὃς ἔλεγε διαφθα-
ρῆναι μέν ποτε τὸ σῶμα τοῦ Αἴαντος ὑ-
πὸ τῆς θαλάσσης, πρὸς ᾗ κεῖται. ὀστᾶ δὲ
ἐν αὐτῷ φανῆναι κατὰ ἑνδεκάπηχυν
ἄνθρωπον. καὶ ἔφασκεν Ἀδριανὸν βα-
σιλέα περιστεῖλαι αὐτὰ εἰς Τροίαν ἐλ-
θόντα, καὶ τὸν νυνὶ τάφον περιαρμόσαι
τῷ Αἴαντι. ἔστιν ἃ καὶ προσπτυξάμενον
τῶν ὀστῶν, καὶ φιλήσαντα. Φοι. οὐ μά- C
την ἀπιστεῖν ἔοικα τοῖς τοιούτοις, Ἀμ-
πελουργέ. καὶ σὺ γὰρ, πάππου μέν τι ἀ-
κηκοέναι φὴς, καὶ ἴσως μητρὸς, ἢ τιτθῆς.
σεαυτοῦ δὲ ἀπαγγέλλεις οὐδὲν εἰ μὴ ἄρα
περὶ τοῦ Πρωτεσίλεω εἴποις. Ἀμ. καὶ
μὴν εἰ μυθολογικὸς ἦν, τόν τε τοῦ Ὀρέ-
στου νεκρὸν διῄειν, ὃν ἑπτάπηχυν ἐν Νε-
μαίᾳ Λακεδαιμόνιοι εὗρον, καὶ τὸν ἐν
τῷ χαλκῷ ἵππῳ τῷ Λυδίῳ, ὃς κατο- D
ρώρυκτο μὲν ἐν Λυδίᾳ, πρὸ Γύγου ἔ-
γρ. χ. διασχίσας τι. σεισμῷ δὲ τῆς γῆς διαχισάσης, θαῦμα
τοῖς περὶ Λυδίαν ὤφθη ποιμέσιν, οἷς
ἅμα ὁ Γύγης ἐθήτευσεν. ἐς γὰρ κοῖλον
τὸν ἵππον θυρίδας ἐν ἑκατέρᾳ πλευ-
ρᾷ ἔχοντα, νεκρὸς ἀπέκειτο μείζων, ἢ
ἄνθρωπον δόξαι. εἰ δὲ ταῦτ' αὖ οἷα

A & quòd appareat, audiuiſtíne vn-
quam? *Phœnix*. Quo pacto, Vini-
tor? quippe qui à te hodie audiens
non credo. *Vinitor*. Orationis ita-
que meæ initium ab iis, quæ abs
te diu minimè ſunt credita, ſuma-
tur. Dicis autem non credere, an
decem cubitorum homines fue-
rint: poſtea verò quàm huius rei
ſatis habueris, de Proteſilao ſer-
monem deinceps exigito, & de re-
bus Troianis quæcunque volueris,
omnibus enim fidem præſtabis. *Ph.*
B Benè dicis, & ſic faciamus. *Vinitor.*
Audi quæſo. Auus erat mihi mul-
torum, quæ abs te haudquaquam
creduntur, peritus, qui Aiacis ſe-
pulchrum à mari quidem cui adia-
cet, quandoque fuiſſe dirutum di-
cebat: oſſa verò vndecim cubitorum
hominem præ ſe ferentia in ipſo ex-
titiſſe. Aiebat præterea Adrianũ Im-
peratorẽ ad Troiam profectum ipſa
compoſuiſſe, & qui nunc extat tu-
mulum Aiaci conſtruxiſſe, cùm &
oſſium nonnulla amplexatus atque
C oſculatus fuiſſet. *Ph.* Haud temerè
huiuſmodi rebus fidem tollere mihi
videor, Vinitor. Nam & tu quoque
ab auo quidem audiuiſſe quid autu-
mas, & fortaſſe à matre, aut nutrice:
ex te ipſo verò nihil nutrias: niſi vti-
que de Proteſilao diceres. *Vin.* At-
qui ſi fabuliloquus eſſem, & Oreſtis
mortui corpus percurriſſem, quod
ſeptem cubitorum in Nemæa Lace-
dæmonij inuenere, & quod erat in
D æneo equo Lydio. Quod etiam ante
Gygen defoſſum quidem fuerat in
Lydia: motu verò cùm terra diſceſ-
ſiſſet, paſtorib. Lydiis viſum eſt ad-
miratione dignum, cum quibus &
Gyges mercede cõductus ſeruiebat:
in cauo enim equo fores in vtroque
latere habente defuncti corpus ia-
cebat, maius quàm vt hominis vi-
deretur: quòd ſi hæc rurſus ea ſunt

vt propter tempus fide careant, haud noui quid aduerſus ea ſis dicturus, quæ noſtra fuere tempeſtate. Aryaden namque, quem hi quidem Æthiopem, hi verò Indum dixerunt, triginta cubitorum magnitudine in Aſſyriorum tellure iacentem, non diu eſt, cùm Orontæ fluminis ſciſſa ripa in lucem edidit.

Nondum agitur quinquageſimus annus cùm hocce Sigeum in proiectu promontorij Gigantis oſtendit corpus: quem ipſe Apollo ait pro Troia aduerſus ſe dimicantem interfeciſſe. & vidi, hoſpes, cùm ad Sigeum nauigaſſem, & quid paſſa eſſet tellus, & Gigantem, quantus erat. Nauigabant autem & Helleſpontiorum multi, & Ionum, inſularéſque omnes, atque Æoles.

Duos enim menſes ingens in magno iacebat promontorio, alium alij præbens ſermonem, nondum tempore ipſum ſignificante. *Phœnix.* Dices igitur, Vinitor, de ipſius quoque magnitudine, déque oſſium harmonia, & de ſerpentibus, qui Gigantibus innaſci dicuntur, quos Encelado, & iis, qui circa ipſum ſunt, pictores appingunt. *Vinitor.* An immenſi illi fuerint, hoſpes, & cum feris congreſſi, non noui: qui autem in Sigeo erat, duos quidem ſupra viginti cubitos continebat. in lapidoſo verò iacebat ſpecu, cùm caput quidem verſus continentem haberet, pedes verò cum promontorio terminaret. Draconum autem nullum ſignum circa ipſum Sigeű cernebamus, nec vllum erat os, quod ab humanis differret. Atqui & Hymnæus Peparethius mihi neceſſarius, quarto ante anno ex filiis ſuis quendam de huiuſmodi miraculo per me Proteſilaum percun-

A ἀπιστεῖσθαι διὰ τὸν χρόνον, ἀλλὰ τοῖς γε ἐφ' ἡμῶν, οὐκ οἶδ' ὅ, τι ἀντερεῖς. Ἀρυάδην γάρ, ὃν οἱ μὲν, Αἰθίοπα, οἱ δὲ, Ἰνδὸν ἔφασαν, τριακοντάπηχυν ἐν τῇ Ἀσσυρίων γῇ κείμενον, οὐ πάλαι ἀνέφηνεν ἡ τοῦ Ὀρόντου ποταμοῦ ὄχθη σχισθεῖσα. τουτὶ δὲ τὸ Σίγειον πρὸ πεντήκοντα οὔπω ἐτῶν, ἐν προβολῇ τοῦ ἀκρωτηρίου, σῶμα ἀνέδειξε Γίγαντος· ὃν αὐτὸς Ἀπόλλων ἀπεκτονέναι φησὶν ὑπὲρ

B Τροίας αὐτῷ μαχόμενον. καὶ εἶδον, ξένε, πλεύσας ἐς τὸ Σίγειον, αὐτό τε τὸ πάθος τῆς γῆς, καὶ τὸν Γίγαντα ὅσος ἦν. ἔπλεον δὲ καὶ Ἑλλησποντίων πολλοὶ, καὶ Ἰώνων, καὶ νησιῶται πάντες, καὶ τὸ Αἰολικὸν ἅπαν. ἐπὶ γὰρ μῆνας δύο, μέγας ἐν μεγάλῳ ἀκρωτηρίῳ προὔκειτο, παρέχων ἄλλον ἄλλου λόγον, οὔπω δηλοῦντος αὐτὸν τοῦ χρόνου. Φοι. εἴποις

C ἂν οὖν ἔτι, Ἀμπελουργὲ, περί τε τοῦ μεγέθους αὐτοῦ, περί τε τῶν ὀστῶν ἁρμονίας, περί τε τῶν λεγομένων ὄφεων, ξυμπεφυκέναι τοῖς γίγασιν, οὓς ὑπογράφουσιν οἱ ἐπὶ ζωγράφοι τῷ Ἐγκελάδῳ, καὶ τοῖς ἀμφ' αὐτόν; Αμ. εἰ μὲν τραπόδες ἐγένοντο ἐκεῖνοι, ξένε, καὶ ξυμβεβλημένοι θηρίοις, οὐκ οἶδα. ὁ δὲ ἐν τῷ Σιγείῳ, δύο μὲν καὶ εἴκοσι πήχεις ἐπεῖχεν, ἔκειτο δὲ ἐν πετρώδει σήραγγι,

D τὴν κεφαλὴν μὲν, πρὸς τὴν ἤπειρον ἔχων, τοὺς δὲ πόδας, συνάπτων τῷ ἀκρωτηρίῳ. δρακόντων δὲ οὐδὲν σημεῖον περὶ αὐτὸν ἑωρῶμεν, οὐδ' ἔστιν ὅτι τῶν ὀστῶν παρήλλαττεν ἀνθρώπου. καὶ μὴν καὶ Ὑμναῖος ὁ Πεπαρήθιος ἐπιτηδείως μοι ἔχων, ἔπεμψέ τινα τῶν ἑαυτοῦ υἱέων πρὸ ἐτῶν ἐνταῦθά που τεττάρων, ἐρησόμενον δι' ἐμοῦ τὸν Πρωτεσίλεων

A παραπλησίου ὁμοίου θαύματος. ἐν Κῷ, γὰρ τῇ νήσῳ, κέκτηται δὲ αὐτὴν μόνος, ἔτυχε μὲν ὀρύττων ἀμπέλοις· ἡ γῆ δὲ ὑπήχησε τοῖς ὀρύττουσιν οἷα κενή. διανοίξαντες οὖν, δωδεκάπηχυς μὲν ὁ νεκρὸς ἔκειτο. τὸ δέ γε κρανίον, ᾤκει δράκων. ὁ μὲν δὴ νεανίας, ἀφίκετο ἐπερησόμενος ἡμᾶς, ὅ, τι χρὴ ἐπ' αὐτῷ πράττειν. ὁ δὲ Πρωτεσίλεως, τὸν ξένον, ἔφη, συγκαλύπτωμεν, κελεύων δή που ἐπιθάπτειν τὸν νεκρόν, καὶ μὴ γυμνοῦν ἑκόντας. εἶπε δὲ καὶ ὡς Γίγας εἴη τῶν βεβλημένων.
B ὁ δὲ ἐν Λήμνῳ φανεὶς, ὃν Μενεκράτης ὁ Στειριεὺς εὗρε, μέγιστός τε ἦν, καὶ εἶδον αὐτὸν πέρυσιν, ἐξ Ἴμβρου πλεύσας. δι' ὀλίγου γὰρ ἦν ἐς τὴν Λῆμνον. τὰ μὲν οὖν ὀστᾶ, οὐκέτι ἐν κόσμῳ ἑωρᾶτο. καὶ γὰρ οἱ σπόνδυλοι ἀπ' ἀλλήλων ἔκειντο, σεισμοῖς οἶμαι διενεχθέντες· καὶ τὰ πλευρὰ ἐξήρμοστο, τῶν σπονδύλων. ἐνθυμουμένῳ δὲ αὐτὰ
C ὁμοῦ τε, καὶ καθ' ἕν, φρικῶδες ἐδόκει τὸ μέγεθος, καὶ οὐ ῥᾴδιον ἀνατυποῦσθαι. τὸ γοῦν κρανίον, ἐμφορησάντων ἡμῶν ἐς αὐτὸ οἶνον, οὐδὲ ὑπὸ δυοῖν ἀμφορέοιν ἐνεπλήσθη, τῶν ἐκ Κρήτης. ἔστι δέ τι κατὰ Νότον ἄνεμον ἀκρωτήριον τῆς Ἴμβρου Ναύλοχος, ᾧ πηγὴ ὑφώρμισται· τὰ μὲν ἄρσενα τῶν ζώων, εὐνούχους ἐργαζομένη, τὰ δὲ θήλεα, οὕτω μεθύσκουσα,
D ὡς καθεύδειν αὐτά. ῥύφος οὖν ἐνταῦθα τῆς γῆς ἀπορραγὲν, συνεπεσπάσατο σῶμα μεγίστου Γίγαντος. κἂν ἀπιστῇς, πλεύσωμεν. πρόκειται γὰρ γυμνὸς ἔτι, καὶ ὁ ἐς Ναύλοχον πλοῦς βραχύς. Φοι. ἐβουλόμην μὲν ἂν καὶ ὑπὲρ τὸν Ὠκεανὸν ἐλθεῖν, Ἀμπελουργέ, θαῦμα εἴ που τοιοῦτον εὕροιμι. ἡ δὲ ἐμπορία οὐ

A ctaturum huc miſit. In Co namque inſula (poſſidet autem ipſam ſolus) contigit, vt cùm vites foderet, terra vtpote inanis fodientibus reſonaret. quam cùm aperuiſſent, duodecim quidem cubitorum mortuus iacebat, ſed caluam habitabat draco. Itaque iuuenis quid ſuper ipſo facere oporteret, nos percunctaturus acceſſerat. Proteſilaus autem hoſpitem, inquit, operiamus, iubens videlicet defunctum ſepelire, nec ſponte detegere: dixit præ-
B terea eſſe de Gigantibus Iouis fulmine petitis. qui autem in Lemno apparuit, quem Menecrates Stirienſis reperit, & maximus erat: & ſuperiore ipſum vidi anno, cùm ex Imbro nauigaſſem. Breuis enim erat in Lemnum curſus. oſſa autem non amplius in compacto cernebantur: ſpondyli enim, hoc eſt vertebræ, procul inuicem iacebant, terræ motibus (puto) diſiectæ, coſtæque à vertebris diſiunctæ. ipſa
C autem pariter, ac ſingula animaduertenti horrenda videbatur magnitudo: nec inſtauratu facilis. Calua igitur vinum nobis infundentibus, ne duabus quidem Cretenſibus amphoris expleri potuit. Naulochus autem Imbri eſt promontorium, ad Notum ventum vergens, cui fons adhæret, animalium maſcula quidem Eunuchos efficiens: fœminas verò vſque adeò inebrians, vt ſopitæ dormiant. Terræ igitur
D fruſtum ibi abſciſſum maximi Gigantis corpus ſecum traxit: quod ſi minimè credis, nauigemus. Iacet enim adhuc nudus, & ad Naulochum breuis eſt nauigatio. *Phœnix.* Vellem vtique vltra etiam Oceanum venire, Vinitor, ſicubi huiuſmodi miraculum inuenirem. Sed mercatura vſque adeo à ſe diſcedere

dere nequaquam permittit; verùm naui vt Vlyſſem, adligatum eſſe oportet: alioqui & quæ à prora aiunt, & quæ à puppi interibunt. *Vinitor.* Omnia rectè dicis: ſed quæ dixi, ne prius fide digna arbitrare, quàm & in Co inſulam nauigaueris, in qua terrigenarum oſſa iacent, Meropum aiunt primorum, & in Phrygia Hylli Herculis filij oſſa videris, & per Iouem Aloidarum in Theſſalia, quòd ſeptenorum iugerum magnitudine fuerint, & quales celebrantur. Neapolitani autem Italiam habitantes, Alcyonei oſſa mira fuiſſe memorant. Aiunt enim de Gigantibus multos illic fuiſſe ictos: Beſbiúmque montem ſuper ipſos flagrare. Præterea & in Pallene, quam Poëtæ Phlegram nominant, multa quidem huiuſmodi corpora tellus Gigantum qui illic caſtrametati ſunt, continet: multa verò imbres ac terræ motus detegunt. Audet autem ne paſtor quidem circa meridiem in eo loco verſari, ſubſtrepentibus ſimulachris, quæ in ipſo inſaniunt. Huiuſmodi autem rebus, Herculis quoque tempeſtate fidem fortaſſe minimè præſtabãt. Vnde cùm in Erythea Geryonem occidiſſet, & ipſi maximo occurriſſe dictus eſſet, ne certamini fides tolleretur, oſſa in Olympia dedicauit. *Phœnix.* Beatum te duco hiſtoriæ cauſa, Vinitor: ego autem magna quidem ignorabam, iiſque imprudenter fidem haud præſtabã. Ceterùm quæ ad Proteſilaum ſpectant, vt ſe habent? Tempus eſt enim vt ad illa veniamus. *Vinitor.* Audi, hoſpes, quæ de huiuſmodi non amplius fide carent.

PROTESILAVS.

Iacet quidem Proteſilaus non in

A ξυγχωρεῖ τοσοῦτον ἀποφοιτᾶν ἑαυτῆς. ἀλλὰ δεῖ προσδεδέσθαι τῇ νηΐ, καθάπερ τὸν Ὀδυσσέα. εἰ δὲ μή, καὶ τὰ ἐκ πρώρας φασί, καὶ τὰ ἐκ πρύμνης, ἀπόλλειται. Αμ. πάντα ὀρθῶς λέγεις. ἀλλὰ μή πω, ξένε, πιστὰ ἡγοῦ ἃ εἶπον, πρὶν ἐς τὴν νῆσον τὴν Κῶ πλεύσῃς, ἐν ᾗ τὰ τῶν γηγενῶν ὀστᾶ ἀνάκειται, Μερόπων φασὶ τῶν πρώτων. ἐν Φρυγίᾳ δὲ τὰ τοῦ Ὕλλου τοῦ Ἡρακλέους ἴδῃς, καὶ νὴ Δί᾽ ἐν Θετ-
B ταλίᾳ τὰ τῶν Ἀλωαδῶν, ὡς ἐννεόργυιοι ἀτεχνῶς ἐγένοντο, καὶ ὁποῖοι ᾄδονται. Νεαπολῖται δὲ οἱ Ἰταλίαν οἰκοῦντες, θαῦμα πεποίηνται τὰ τοῦ Ἀλκυονέως ὀστᾶ. λέγουσι γὰρ δὴ πολλοὺς τῶν Γιγάντων ἐκεῖ βεβλῆσθαι, καὶ τὸ Βέσβιον ὄρος, ἐπ᾽ αὐτῶν τύφεσθαι. ἔτι μὴν καὶ ἐν Παλλήνῃ, ἣν Φλέγραν οἱ ποιηταὶ ὀνομάζουσι, πολ-
C λὰ μὲν σώματα ἡ γῆ τοιαῦτα ἔχει, Γιγάντων στρατοπεδευσάντων ἐκεῖ. πολλὰ δὲ ὄμβροι τε, καὶ σεισμοὶ ἀνακαλύπτουσι. θαρσεῖ δὲ οὐδὲ ποιμὴν πρὸς μεσημβρίαν ἐκεῖνο τὸ χωρίον, ὑποπαταγούντων εἰδώλων, ἃ ἐν αὐτῷ μαίνεται. τὸ δὲ ἀπιστεῖν τοῖς τοιούτοις, ἴσως που ἔτι ἐπὶ τοῦ Ἡρακλέους ἦν. ὅθεν τὸν Γηρυόνην ἐν τῇ Ἐρυθείᾳ ἀποκτείνας, καὶ μεγίστῳ αὐτῷ ἐντετυχηκέναι λεγόμενος, ἀνέθηκε τὰ
D ὀστᾶ ἐς Ὀλυμπίαν, ὡς μὴ ἀπιστοῖτο τοῦ ἄθλου. Φοι. εὐδαιμονίζω σε τῆς ἱστορίας, Ἀμπελουργέ. ἐγὼ δὲ, μεγάλα μὲν ἠγνόουν, ἀνοήτως δὲ ἠπίστουν. ἀλλὰ τὰ τοῦ Πρωτεσίλεω, πῶς ἔχει; καιρὸς γάρ που ἐπ᾽ ἐκεῖνα ἥκειν. Αμ. ἄκουε, ξένε, μηκέτ᾽ ἀπιστούμενα περὶ τῶν τοιούτων.

ΠΡΩΤΕΣΙΛΑΟΣ.

Κεῖται μὲν οὐκ ἐν Τροίᾳ ὁ Πρωτεσί-

λεως, ἀλλ' ἐν Χερρονήσῳ ταύτῃ. κολωνὸς δέ που αὐτὸν ἐπέχει μέγας, οὑτοσὶ δή που ὁ ἐν ἀριστερᾷ. πτελέας δὲ ταύτας, αἱ νύμφαι παρὰ τῷ κολωνῷ ἐφύτευσαν, καὶ τοιόνδε ἐπὶ τοῖς δένδρεσι τούτοις ἔγραψαί που αὗται νόμον, τοὺς πρὸς τὸ Ἴλιον τετραμμένους τῶν ὄζων, ἀνθεῖν μὲν πρωΐ, φυλλορροεῖν δὲ αὐτίκα, καὶ προαπόλλυσθαι τῆς ὥρας. τοῦτο δὴ τὸ τοῦ Πρωτεσιλάου πάθος. τῷ δὲ ἑτέρῳ μέρει, ζῇ τὸ δένδρον, καὶ εὖ πράττει. καὶ ὁπόσα δὲ τῶν δένδρων μὴ περὶ τὸ σῆμα ἕστηκεν, ὥσπερ καὶ ταυτὶ τὰ ἐν τῷ κήπῳ, πᾶσιν ἔρρωται τοῖς ὄζοις, καὶ θαρσεῖ τὸ ἴδιον. Φοῖ. ὁρῶ, Ἀμπελουργέ. καὶ θαυμάζειν ἔχων, οὐ τεθαύμακα. σοφὸν γὰρ τὸ θεῖον. Αμ. τὸ δέ γε ἱερὸν, ἐν ᾧ κατὰ τοὺς πατέρας ὁ Μῆδος ὕβριζεν, ἐφ' οὗ* καὶ τὸ τάριχος ἀναβιῶναί φασι, τοῦτο ἡγοῦ, ὦ ξένε. καταλείπεται δὲ αὐτοῦ ὁρᾷς ὡς ὀλίγα. τότε δὲ οἶμαι, χαρίεν τε ἦν, καὶ οὐ μικρὸν, ὡς ἔστι τοῖς θεμελίοις ξυμβαλέσθαι. τὸ δὲ ἄγαλμα τοῦτο, βέβηκε μὲν ἐπὶ νεώς. τὸ γὰρ τῆς βάσεως σχῆμα, πρῷρα. ἵδρυται δὲ ναύαρχος. περιτρέψας δὲ αὐτὸ ὁ χρόνος, καὶ νὴ Δί' οἱ ἀλείφοντές τε, καὶ ἐπισφραγιζόμενοι* τὰς εὐχὰς, ἐξηλλάχασι τοῦ εἴδους. ἐμοὶ δὲ οὐδὲν τοῦτο. αὐτῷ γὰρ ξύνειμι, καὶ αὐτὸν βλέπω. καὶ οὐδὲν ἄν μοι γένοιτο ἄγαλμα ἐκείνου ἥδιον. Φοῖ. ἦ καὶ διαγράψεις μοι αὐτὸν, καὶ κοινωνήσεις τοῦ εἴδους; Αμ. χαίρων γε νὴ τὴν Ἀθηνᾶν, ξένε. γέγονε μὲν γὰρ ἀμφὶ τὰ εἴκοσί που μάλιστα ἔτη. τηλίκος δὲ ἐλάσας ἐς Τροίαν, ἁβρῷ* ἰούλῳ βρύει, καὶ ἀπόζει αὐτοῦ ἥδιον, ἢ τὸ μετόπωρον τῶν μύρων.

γ. ἐφ' ὃν κ.

ἴσ. ἐπισφραγιζόμενοι

γ. ἁβρῷ τῷ ἰού.

A Troia, ſed in hac Cherrhoneſo, collis autem ipſum magnus continet, hic videlicet, qui ad ſiniſtram ſitus eſt: vlmos autem has, quæ iuxta collem ſunt, nymphæ poſuerunt, & huiuſmodi fortè ipſæ legem his arboribus inſcripſere: vt qui ad Ilium vergunt rami, manè quidem floreant, foliorum verò quamprimùm profluuium patiantur, & ante tempus pereant: quod paſſus eſt Proteſilaus indicantes. In
B altera verò parte, viuat, ac vigeat arbor. Nam quæcunque arborum non circa ſepulchrum ſtant, vt hæ quæ in horto ſunt, omnibus vigent ramis, & ſibi ipſis confidunt. *Phœn.* Video, Vinitor, & cùm mihi quod admirarer, eſſet, nequaquam admiratus ſum. Sapiens enim eſt Deus. *Vinitor.* Sacellum autem, in quo parentum memoria Medus contumelioſè ſe geſſit, ad quod ſalitum corpus reuixiſſe memorant, hoc ar-
C bitrare hoſpes. Vides autem quàm pauca ipſius reliqua ſint, cùm elegans (vt puto) tunc nec paruum fuerit, vt ex ipſis colligere fundamentis licet. Hæc autem ſtatua ſtat quidem in naui: baſis enim figura prora eſt, erectus verò eſt nauis præfectus. Ceterùm cùm ipſam & tempus, & per Iouem qui illinunt, & hoſtias *votiuas* mactãt, euerterint, ſpeciem immutarunt. Mea autem hoc nihil intereſt. cùm ipſa nam-
D que verſor, ipſámque intueor, nec vlla vnquam ſtatua mihi eſſe poſſet iucundior. *Phœnix.* Numquid & mihi ipſum deſcribes, & ſpeciem communicabis? *Vinitor.* Libens vtique per Mineruam, hoſpes. Natus quidem erat circa vigeſimum maximè annum. Tantus autem ad Troiam nauigans molli pullulat lanugine, dulciúſque ac ſuauius fragrat, quàm myrtorum autumnus.

Oculo autem lætum ac iucundum A circumiectum eſt ſupercilium. Venuſtas enim ipſi amica. Intuetur autem in ſeriis quidem contentum ac vehemens. Sin verò relaxato ac curis ſoluto occurreremus, papæ quàm venuſti atque amabiles videntur oculi. Atqui flauæ etiam comæ modum habet: Eſt enim quanta fronti potius immineat, quàm in ipſam incidat: & perinde ac ſtatuæ quadrangularis eſt naſi idea: & paruo ſanè ore tubis clamoſius B reſonat. nudo autem occurrere ſuauiſſimum. Bene enim compactus, ac leuis, vt Mercuriorum curſores. Proceritas autem ad decimum fortaſſe cubitum tendit. Hoc etiam (vt videtur) ſuperatura, ni adoleſcens periiſſet. *Phœnix.* Vidi iuuenem, Vinitor, tibíque ſocium inuideo. Sed armatús ne eſt? an quid? *Vinitor.* Chlamydem Theſſalo more indutus eſt hoſpes, vt ſtatua hæc. Purpurea autem eſt chlamys C diuino flore: arcanus* enim purpuræ flos. *Phœnix.* Amor autem, quo Deidamiam proſequebatur, quo pacto ipſi in præſentia habet? *Vinitor.* Amat, hoſpes, & amatur: & vt ardentes ſponſi mutua ſunt affecti beneuolentia. *Phœnix.* Amplecteris ne venientem? an fumi more te fugit, vt poëtas? *Vinitor.* Gaudet amplexante, & vt ipſum oſculer, collóque exſaturer permittit. *Phœn.* Frequenter te adit? an multo in- D teriecto tempore venit? *Vinitor.* Quater in menſe aut quinquies me ipſius fieri participem puto, cùm aut harum aliquid plantarum voluerit plantare, aut vindemiare, aut flores carpere. Eſt enim coronarum cupidus, & ſuauiores reddit flores, quoties ad ipſos acceſſerit. *Phœnix.*

*inenarrabilis.

A φαιδρὰν δὲ ὀφρὺν περὶ τὸ ὄμμα βέβληται. τὸ γὰρ ἐπίχαρι, αὐτῷ φίλον. βλέπει δὲ, ἐν μὲν ταῖς σπουδαῖς, σύντονον, καὶ σφοδρόν. εἰ δὲ ἀνειμένῳ τύχοιμεν, φεῦ τῶν ὀφθαλμῶν, ὡς ἐπαφρόδιτοί τε, καὶ φιλικοὶ φαίνονται. καὶ μὴν καὶ κόμης ξανθῆς ἔχει τὸ μέτριον· ἔστι γὰρ ὅσῃ* ἐπικρέμασθαι τῷ μετώπῳ μᾶλλον, ἢ κατ᾽ αὐτοῦ πίπτειν· καὶ τετράγωνος ἡ ἰδέα τῆς ῥινὸς, οἷον ἀγάλματος. φθέγγεται B δὲ γεγωνότερον, ἢ αἱ σάλπιγγες, καὶ ἀπὸ μικροῦ γε τοῦ στόματος. γυμνῷ δὲ ἐντυχεῖν, ἥδιστον. εὐπαγὴς γὰρ, καὶ κοῦφος, ὥσπερ οἱ δρομικοὶ τῶν ἑρμῶν. τὸ δὲ μῆκος, δεκάπηχυς τάχα. δοκεῖ δ᾽ ἄν μοι, καὶ ὑπὲρ τοῦ ἀναδραμεῖν, εἰ μὴ ἐν μειρακίῳ ἀπέθανεν. Φοῖ. εἶδον τὸν νεανίαν, Ἀμπελουργέ. καὶ ἄγαμαί σου* τοῦ ἑταίρου. ὥπλισται δὲ, ἢ τί; Ἀμ. C χλαμύδα ἐνῆπται, ξένε, τὸν Θετταλικὸν τρόπον, ὥσπερ τὸ ἄγαλμα τουτο. ἁλουργὴς δὲ ἡ χλαμὺς θείου ἄνθοις. ἄρρητον γὰρ τὸ τῆς πορφύρας ἄνθος. Φοῖ. ὁ δὲ δὴ ἔρως, ὃν τῆς Λαοδαμείας ἤρα, πῶς ἔχει αὐτῷ νῦν; Ἀμ. ἐρᾷ, ξένε, καὶ ἐρᾶται· καὶ διάκεινται πρὸς ἀλλήλους, ὥσπερ οἱ θερμοὶ τῶν νυμφίων. Φοῖ. περιβάλλεις δὲ ἥκοντα, ἢ διαφεύγει σε καπνοῦ δίκην, ὥσπερ τοὺς ποιητάς; Ἀμ. D χαίρει περιβάλλοντι, καὶ ξυγχωρεῖ φιλεῖν τε αὐτὸν, καὶ τῆς δέρης ἐμφορεῖσθαί γε. Φοῖ. θαμίζει δὲ ἢ διὰ πολλοῦ ἥκει; Ἀμ. τετράκις τοῦ μηνὸς, ἢ πεντάκις οἶμαι αὐτοῦ μετέχειν, ὁπότε ἢ φυτεῦσαί τι βούλοιτο τουτωνὶ τῶν φυτῶν, ἢ τρυγῆσαι, ἢ ἄνθη κεῖραι. φιλοστέφανος γάρ τις, καὶ ἡδίω ἀποφαίνων τὰ ἄνθη, ὁπότε περὶ αὐτὰ ἴοι. Φοῖ.

*γ. οἷ
*γ. σε

A ἱλαρόν γε τὸν ἥρω λέγεις, καὶ ἀτεχνῶς νυμφίον. Αμ. καὶ σώφρονά γε, ὦ ξένε. φιλόγελως γὰρ ὢν ὑφ' ἡλικίας ὕβρει οὐδὲν πράττει. καὶ σμινύης δὲ ἅπτεται πολλάκις, εἴ που ὀρύττων πέτρᾳ ἐντύχοιμι, ἢ ξυλλαμβάνοιμι τῶν δυσέργων. κἂν ἀγνοήσω τι τῶν κατὰ γεωργίαν, διορθοῦταί με. τά τε δένδρα, ἐγὼ μὲν παρακηκοὼς τοῦ Ὁμήρου, μακρὰ ἐφύτευον, μεῖον τοῦ ἄνω, τὸ ἐς τὴν γλῆν ἐμβιβάζων. B καὶ ὁπότε ἐπελάβετό μου ὁ Πρωτεσίλεως, ἐχρώμην τοῖς Ὁμήρου πρὸς αὐτόν. ὁ δὲ, ὑπολαβὼν, αὐτὸς μέν τοι Ὅμηρος τὸν ἐναντίον ἔφη κελεύει τρόπον, ἢ σὺ πράττεις. μακρὰ γὰρ ὑπὸ σοφίας τὰ βαθέα οἶδεν, ὥς που τὰ φρέατα μακρά ὀνομάζει, βαθέα ὄντα. καὶ τὰ δένδρα δὲ εἶπεν ἐμβιώσεσθαι τῇ γῇ μᾶλλον, εἰ τῷ μὲν πλείονι ἑστήκοι, τῷ δὲ ὀλίγῳ κινοῖτο. C ἐπιστὰς δέ μοι ποτὲ ἄνθη ποτίζοντι, τὸ μύρον, εἶπεν, ὦ τᾶν, οὐ δεῖται ὕδατος, διδάσκων δή που μὴ ἐκπλήκτα ποιεῖν τὰ ἄνθη. Φοῖ. τὸν δὲ ἄλλον χρόνον, ὦ Ἀμπελουργέ, ποῦ διαιτᾶται; Αμ. ποτὲ μὲν, ἐν ᾅδου φησί· ποτὲ δὲ, ἐν Φθίᾳ· ποτὲ δὲ αὖ ἐν Τροίᾳ, οὗ εἰσιν ἑταῖροι. καὶ πρὸς θήραν συῶν τε καὶ ἐλάφων γενόμενος, κατὰ μεσημβρίαν ἀφικνεῖται, καὶ καθεύδει ἐκταθείς. D Φοῖ. ποῦ δὲ τῇ Λαοδαμείᾳ ξύνεστιν; Αμ. ἐν ᾅδου, ξένε. καὶ λέγει αὐτὴν εὐδοκιμωτάτην γυναικῶν πράττειν, ἀριθμουμένην, ἐν αἷς Ἄλκηστίς τε ἡ Ἀδμήτου, καὶ Εὐάδνη ἡ Καπανέως, καὶ αἱ ταύταις ἴσαι, σώφρονές τε, καὶ χρησταί. Φοῖ. ξυσσιτοῦνται δὲ ἀλλήλοις, ἢ οὐ θέμις; Αμ. οὔπω, ξένε, σιτουμένῳ ἐνέτυχον, οὐδὲ πίνοντα ἔγνων. καί τοι σπένδω γε

ἴσ. ἐκπλυτα

Hilarem vtique inquis Heroëm, & planè ſponſum. *Vinitor.* Et modeſtum ſanè, ô hoſpes: riſus enim *amās* ob ætatem exiſtens, nihil agit cum contumelia: & ſarculum nonnunquam attingit, ſicubi fodiens ſaxo occurrero: & mihi in arduis auxiliatur operibus. Si quid præterea in agricultura ignorauero, me corrigit, atque inſtituit. Ego quidem Homero obſecutus altas plantabam arbores, ſuperiore minorem terræ partem inſigens. Et quoties me Proteſilaus corripiebat, Homeri verbis aduerſus ipſum vtebar: hic autem reſpondens, Ipſe, inquit Homerus, contrario quàm tu facis modo imperat. Altas enim præ ſapientia profundas nouit, vt & puteos altos nominat, profundos exiſtentes. Itaq; & arbores melius humi victuras ait, ſi maiore quidem parte ſtarent, parua verò agitarentur. Cùm flores quandoque irriganti adſtitiſſet, ô ſodes, inquit, vnguentum aqua non indiget: docens videlicet, ne flores diluerem. *Phœnix.* Reliquum autem tempus, ô Vinitor, vbi degit ac verſatur? *Vinitor.* Quandoque quidem (vt ait) in Orci, quandoq; verò in Phthia, nonnumquam rurſus in Troia, vbi ſocij, & ad ſuum ac ceruorum venationē profectus, circa meridiē reuertitur, proſtratúſque dormit. *Phœ.* Vbi autem Laodamiæ vtitur conſuetudine? *Vin.* In Orci, hoſpes, & ipſam mulierum probiſſimè agere autumat, enumeratam, inter quas & Admeti vxor Alceſtis, & Capanei Euadne, & his æquales modeſtæ ac frugi. *Phœnix.* Conuiuantur inuicem? an minimè fas eſt? *Vinitor.* Nondum hoſpes cibum capienti occurri, neque bibentem vidi. Atqui ex hiſce

Thaſiis vitibus ad veſperam ipſi libo, quas ipſe plantat. Maturáque edulia circa meridiē appono. Cùm autem & ver aduentauerit, & autumnus fuerit, Lunáque ad orbem tendéte verno tempore, in hoc poculum lac infundens, Ecce tibi (inquam) temporis fluxum, tu autem bibe. Et ego quidem hæc locutus diſcedo. Hæc autem ocyus quàm conniueres, & eduntur, & bibuntur. *Phœnix*. Super ætate autem in qua conſtitutus interiit, quid ait? *Vinitor*. Suum ipſius (hoſpes) caſum miſeratur, & ſub cuius tutela tunc erat, dæmonem iniquum arbitratur, atque inuidum. Cùm vt pedem ſaltem in Troia firmaret, ſibi minimè conceſſerit. Fore enim vt neque à Diomede, neque à Patroclo, neque à ſecundo Aiace in dimicando ſuperaretur. Æacidas enim in rebus bellicis ob ætatem ſibi anteceſſiſſe haudquaquam inficiatur. Etenim ſe adoleſcentem fuiſſe. Verùm ex illis Achillem quidem iuuenem, Aiacem vero virum. Et carmina in ipſum ab Homero dicta commendat. licet non Homerica omnia laude proſequatur, quòd ſuam quidem vxorem vtraſque ſciſſam genas dixerit: domum verò ſemiperfectam, & qua vectus eſt, nauim magnam, ac validam: bellicúmque ipſum appellet. Seipſum autem luget, quòd nihil in Troia peregerit: ſed in terra, in quam vix deſcenderat, conciderit. Femori autem impreſſa eſt cicatrix: vulnus enim vnà cum corpore abiectum aſſerit. *Phœnix*. Quo autem pacto, ô Vinitor, certat, quandoquidem ipſum hoc quoque facere dicebas? *Vinitor*. Omnia quidem bellica præter ſagittariam exercet, Gymnaſtica verò præter luctam. Nam ſagit-

A αὐτῷ κατὰ ἑσπέραν, ἀπὸ τουτωνὶ τῶν Θασίων ἀμπέλων, ἃς φυτεύει αὐτός· καὶ πρώκτα ὡραῖα παρατίθεμαι κατὰ μεσημβρίαν. ἐπειδὰν δὲ θέρος τε ἥκῃ, καὶ μετόπωρον ἵσηται, σελήνης τε ἴσης ἐς κύκλον ἐν τῇ τοῦ ἦρος ὥρᾳ, γάλα ἐγχέας ἐς τὸν ψυκτῆρα τοῦτον, ἰδού σοι λέγω τὸ τῆς ὥρας νᾶμα. σὺ δὲ πῖνε. καὶ ταῦτα μὲν εἰπὼν ταῦτα, ἀπαλλάτομαι. τὰ δὲ, βέβρωταί τε, καὶ πέπωται θᾶττον ἢ καταμῦσαι.

B Φοῖ. περὶ δὲ τῆς ἡλικίας, ἣν γεγονὼς ἀπέθανε, τί φησιν; Αμ. ἐλεεῖ, ξένε, τὸ ἑαυτοῦ πάθος, καὶ τὸν δαίμονα, ἐφ᾽ ᾧ τότε ἦν. ἄδικόν τε ἡγεῖται, καὶ βάσκανον, μὴ ξυγχωρήσαντα ἐπὶ τῆς γῆς πόδα ἐς τὴν Τροίαν ἐρεῖσαι. μὴ γὰρ ἂν, μήτε Διομήδους τί ἐλάττω δεῖξαι μαχόμενος, μήτ᾽ αὖ Πατρόκλου, μήτ᾽ αὖ τοῦ δευτέρου Αἴαντος. τῶν γὰρ Αἰακιδῶν λείπεσθαι τὰ πολέμια δι᾽ ἡλικίαν φησίν. αὐτὸς

C μὲν γὰρ εἶναι μειράκιον. ἐκείνων δὲ, τὸν μὲν Ἀχιλλέα, εἶναι νεανίαν. τὸν δὲ Αἴαντα ἄνδρα. καὶ τὰ ἔπη τὰ ἐς αὐτὸν Ὁμήρῳ εἰρημένα, ἐπαινεῖ· καί τοι μὴ πάντα ἐπαινῶν τὰ Ὁμήρου, ὡς ἀμφίδρυφον μὲν αὐτῷ τὴν γυναῖκα εἶπεν, ἡμιτελῆ δὲ τὴν οἰκίαν, περιμάχητον δὲ τὴν ναῦν, ἐφ᾽ ἧς ἔπλευσε, πολεμικόν τε αὐτὸν καλεῖ. ἑαυτὸν δὲ ὀλοφύρεται μηδὲν ἐν Τροίᾳ ἐργασάμενον, ἀλλὰ πεσόντα ἐν γῇ, ἧς οὐδὲ

D ἐπέβη. καὶ τὴν οὐλὴν δὲ ἐντετύπωται τοῦ μηροῦ. τὸ γὰρ τραῦμα, συναπορρῖψαι φησὶ τῷ σώματι. Φοῖ. γυμνάζεται δὲ, ὦ Ἀμπελουργὲ τίνα τρόπον, ἐπειδὴ ἔφασκες αὐτὸν καὶ τοῦτο ἐξασκεῖν; Αμ. γυμνάζεται, ξένε, τὰ πολεμικὰ, πλὴν τοξικῆς. τὰ δὲ γυμναστικὰ, πλὴν πάλης. τὸ

μὲν γὰρ τοξεύειν, δειλῶν ἡγεῖται. τὸ δὲ
παλαίειν, ἀργῶν. Φοι. παγκρατιάζει δὲ
πῶς, ἢ πυκτεύει; Αμ. σκιᾶς, ὦ ξένε, τού-
των γυμνάζεται· καὶ δισκεύει μεῖζον, ἢ
ἐφικέσθαι ἀνθρώπων· ἀνακρύει μὲν γὰρ
ὑπὲρ τὰς νεφέλας τὸν δίσκον. ῥίπτει δὲ ὑ-
πὲρ τὸν ἑκατὸν πήχεις, καὶ ταῦθ' ὡς ὁ-
ρᾷς, διπλάσιον τοῦ Ὀλυμπιακοῦ ὄντα.
δραμόντος δὲ αὐτοῦ, οὐκ ἂν εὕροις ἴχνος, οὐδ'
ἂν ἐνσημήναιτό τι τῇ γῇ ὁ πούς. Φοι. καὶ
μὴν καὶ ἴχνη μεγάλα ἐντετύπωται τοῖς
δρόμοις, συμβαίνοντα ἐς τὸ δεκάπηχυ
μέγεθος τοῦ ἥρω. Αμ. βαδίζοντος, ξένε,
τὰ ἴχνη ἐκεῖνα, καὶ γυμναζομένου τι ἕτε-
ρον· δραμόντος δὲ, ἄσημος ἡ γῆ· μετέω-
ρος γάρ τις, καὶ οἷον ἐπικυματίζων αἴρε-
ται. φησὶ δὲ καὶ παραδραμεῖν ἐν Αὐλίδι
τὸν Ἀχιλλέα, ἐν ἄθλοις γυμναζομένης
τῆς Ἑλλάδος ἐπὶ Τροίαν, καὶ ὑπὲρ τὸ πή-
δημα τὸ ἐκείνου ἀρθῆναι. τὰ δὲ πολέ-
μια ξυγχωρεῖ ὡς ἔφην τῷ Ἀχιλλεῖ,
πλὴν τῆς ἐν Μυσοῖς μάχης. ἐκεῖ γὰρ
πλείους ἀπεκτονέναι τῶν Μυσῶν, ἢ ἐκεῖ-
νος· ἀριστεῖα δὲ ἀπενηνέχθαι. κεκρατη-
κέναι δὲ αὐτοῦ καὶ τὸν ἀγῶνα τὸν περὶ τῆς
ἀσπίδος. Φοι. καὶ τί ἂν εἴη, Ἀμπελουργέ,
τὸ περὶ τῆς ἀσπίδος; οὔτε γὰρ ποιητῇ εἴ-
ρηταί πω, οὔτε εἰς λόγον τινὰ τῶν Τρωϊ-
κῶν ἥκει. Αμ. περὶ πολλῶν, ξένε, τοῦτ'
ἐρεῖς. πολλὰ γὰρ περί τε ἀνδρῶν, περί τε
πολεμικῶν ἔργων, ὁ ἥρως λέγει, μή πω
τοῖς πολλοῖς δῆλα ὄντα. τὸ δὲ αἴτιον,
φησὶν αὐτοὺς κατὰ ἔκπληξιν τῶν Ὁμή-
ρου ποιημάτων, ἐς μόνους Ἀχιλλέα τε,
καὶ Ὀδυσσέα βλέψαντας, ἀμνηστῆσαι κα-
λῶν, καὶ ἀγαθῶν ἀνδρῶν. καὶ τῶν μὲν,
οὐδ' ἐπιμνησθῆναι τὸ παράπαν. τοῖς δὲ,

A tas quidem mittere timidi, luctari verò ocioſi eſſe arbitratur. *Phœnix.* Pancratióne, an pugillatu vtitur? *Vinitor.* Horum vmbras, ô hoſpes, exercet, & ſupra hominem diſcum iaculatur: etenim ſupra nubes diſcum torquet. Iacit autem ſupra centum cubitos, cùm hæc (vt vides) duplo ſint Olympico maiora. Currente autem ipſo, non vtique veſtigium inuenires: nec ſigni quicquam terræ imprimeret pes. *Phœn.*
B At qui magna curriculis impreſſa ſunt veſtigia, ipſius Herois decem cubitorũ magnitudini conuenientia. *Vinitor.* Incedentis, hoſpes, illa ſunt veſtigia: & aliud quicquam exercentis. Nullo autem currentis ſigno tellus afficitur. Suſpenſus enim & vt pote vndarum ſuperficiem attingens, tollitur. Ait autem dum in Aulide certaminib. ſe Græci aduerſus Troiam exercerent, Achillem ſe curſu ac ſaltu ſuperaſſe: quæ autem ad bellum pertinent, Achilli (vt dixi) cedit, præter in My-
C ſos pugnam: illic enim Myſorum plures interfeciſſe quàm illum: præmiáque virtutis retuliſſe. Viciſſe autem ipſum & in certamine de clypeo. *Phæ.* Quídnam eſſet, Vinitor, quod ad clypeum ſpectat? nondum enim à Poëta dictum, nec ad ea, quæ de Troianis rebus memorantur, acceſſit. *Vinitor.* De multis hoc, hoſpes, dices. Multa
D namque cùm de viris, tum de rebus bellicis memorat Heros multis nondum cognita. Cuius rei cauſam eſſe ait, quòd ipſi ob eam, qua Homeri poëmata proſequuntur admirationem, ſolum Achillem atque Vlyſſem contemplati, bonos ac ſtrenuos viros contempſerint. Et horum ne penitus quidem meminit: hic verò quatuor

carminum triremem dicauerint. Achillem autem ait pro dignitate celebrari. Vlyſſem verò ſupra dignitatem. Sed quæ de Stheneleo, à Palamede huiuſmodíque viris prætermiſſa ſunt, tibi paulò pòſt percurram. Neque enim horum quicquam ignorans diſceſſeris. Myſium quoq; ſermonem ad clypeum pertinentem, mox ad exitum perducam. Poſtea verò quàm pancratij pugilatúſque ac diſci mentionem facientes, ad clypeum delati ſumus, audi Herois mira aduerſus athletas, qui ipſo pro ſymbolo, ac monitore vſi ſunt. Cilicem (puto) pancratiaſten audis, quem Halterem patres appellabant, multò fuiſſe aduerſariis minorem. *Phœnix.* Noui, vtique ex ſtatuis coniiciens. Æneus enim multis in locis erectus eſt. *Vinitor.* Huic, hoſpes, maxima inerat peritia, maximus animus, vehementérque ipſum apta quædam membrorum figura ac concinnitas corroborabat. Ad hoc itaque templum profectus puer (nauigabat autem recta Delphos, iudicium certaminis ſubiturus) percunctabatur Proteſilaum, quídnam faciens aduerſarios ſuperaret? hic verò premens reſpondit. Animi autem ſolicitudo ipſum ſtatim cœpit athletam, vt pote ab oraculo reiectum. Sed cùm primus ſupplantare in palæſtra excogitaſſet, mox intellexit, quòd iuberet non dimittere pedem. Colluctatorem enim & continuò calce premere oportet, & aduerſario ſubiacere: quod cùm feciſſet athleta, & præclarum eſt nomen conſecutus, & à nemine victus. Audis autem fortaſſe & Plutarchum dexterum. *Phœnix.* Audio. pugilem enim vt par eſt, dicis.

A ἀναθεῖναι τελήρη πεπλάσθαι ἐπῶν. τὸν μὲν δὴ Ἀχιλλέα φησὶν, ἐπαξίως ὑμνεῖσθαι, τὸν δὲ Ὀδυσσέα, μειζόνως. καὶ ὁπόσα δὲ Σθενέλου τε, καὶ Παλαμήδους, καὶ τῶν τοιῶνδε ἀνδρῶν παραλέλειπται, δίειμί σοι μικρὸν ὕστερον. μὴ γὰρ ἀγνοήσας γε ἀπέλθοις τι τούτων. καὶ τὸν λόγον δὲ τὸν Μύσιον, ἐς ὃν ἥκει ἡ ἀσπὶς, αὐτίκα ἀποτελοῦμεν. ἐπειδὴ δὲ παγκρατίου, καὶ B πυγμῆς, καὶ δίσκου μνημονεύοντες, ἐς τὴν ἀσπίδα ἀπηνέχθημεν, ἄκουε τοῦ ἥρω θαύματα πρὸς ἀθλητὰς, οἳ ἐχρήσαντο αὐτῷ συμβούλῳ. τὸν Κίλικα οἶμαι παγ- (κ. συμβόλῳ.) κρατιαστὴν ἀκούεις, ὃν Ἁλτῆρα ἐκάλουν οἱ πατέρες, ὡς μικρὸς ἦν καὶ τῶν ἀντιπάλων παραπολύ. Φοῖ. οἶδα τεκμαιρόμενος δή που τοῖς ἀνδριάσι. χαλκοῦς γὰρ πολλαχοῦ ἕστηκε. Αμ. τούτῳ, ξένε, πλείστη μὲν καὶ ἐπιστήμης, πλείστη δὲ καὶ θυ- C μοῦ, καὶ μάλα ἐρρώννυ αὐτὸν ἡ ἁρμοσία τοῦ σώματος. ἀφικούμενος οὖν ἐς τὸ ἱερὸν τοῦτο ὁ παῖς, ἔπλει δὲ εὐθὺ Δελφῶν ἀγωνιούμενος τὴν κρίσιν, ἤρετο τὸν Πρωτεσίλεων ὅ, τι πράττων, περιέσοιτο τῶν ἀντιπάλων. ὁ δὲ, πατούμενος, ἔφη. ἀθυμία μὲν οὖν αὐτίκα τὸν ἀθλητὴν εἶχεν, ὡς καταβεβλημένον ὑπὸ τοῦ χρησμοῦ. τὸ δὲ ἀποπτερνίζειν ἐν ἀγωνίᾳ πρῶτος εὑρὼν, ξυνῆκεν ὕ- D στερον, ὅτι κελεύει αὐτὸν μὴ μεθίεσθαι τοῦ ποδός. τὸν γὰρ προσπαλαίοντα, τῇ πτέρνῃ πατεῖσθαί τε ξυνεχῶς χρὴ, καὶ ὑποκεῖσθαι τῷ ἀντιπάλῳ. καὶ τοῦτο πράττων ὁ ἀθλητὴς οὗτος, ὀνόματος λαμπροῦ ἔτυχε, καὶ ἡττήθη οὐδενός. ἀκούεις δὲ που καὶ Πλούταρχον ἐκεῖνον τὸν δεξιόν; Φοῖ. ἀκούω. τὸν γὰρ πύκτην ὡς τὸ εἰκὸς λέγεις.

Αμ. ἰόντι δ' αὐτῷ τὴν δευτέραν Ὀλυμπιάδα ἐπὶ τοὺς ἄνδρας, ἱκετεύει τὸν ἥρω χρῆσαί οἱ περὶ τῆς νίκης. ὁ δὲ αὐτὸν, κελεύει Ἀχελῴῳ Ἐναγωνίῳ εὔχεσθαι. Φο. τί οὖν τὸ αἴνιγμα; Αμ. ἠγωνίζετο μὲν ἐν Ὀλυμπίᾳ πρὸς Ἑρμείαν τὸν Αἰγύπτιον, τῆς περὶ τοῦ στεφάνου νίκης ἀπειρηκότες δὲ, ὁ μὲν, ὑπὸ τραυμάτων, ὁ δὲ, ὑπὸ δίψης, καὶ γὰρ ἀκμάζουσα μεσημβρία περὶ τὴν πυγμὴν εἱστήκει, νεφέλη ἐς τὸ στάδιον κατερρήγνυτο. καὶ διψῶν ὁ Πλούταρχος, ἔσπασε τοῦ ὕδατος, ὃ ἀνειλήφει τὰ περὶ τοῖς πήχεσι κώδια. καὶ τοῦ χρησμοῦ ἐνθυμηθεὶς, ὡς μετὰ ταῦτα ἔφασκεν, εἰς θάρσος ὥρμησε, καὶ ἔτυχε τῆς νίκης. Εὐδαίμονα δὲ τὸν Αἰγύπτιον θαυμάζεις τῆς καρτερίας ἴσως, εἰ πυκτεύοντί που περιέτυχες. τούτῳ ἐρομένῳ πῶς ἂν μὴ ἡττηθείη, θανάτου, ἔφη, καταφρονῶν. Φοι. καὶ πείθεταί γε, ὦ Αμπελουργὲ, τῷ χρησμῷ· παρασκευάζων γὰρ οὕτως ἑαυτὸν, ἀδαμάντινος τοῖς πολλοῖς, καὶ θεῖος δοκεῖ. Αμ. Ελιξ δὲ ὁ ἀθλητὴς αὐτὸς μὲν, οὔπω προσαπέπλευκε τῷ ἱερῷ τούτῳ. πέμψας δέ τινα τῶν ἑαυτοῦ ἑταίρων, ἤρετο ποσάκις νικήσοι τὰ Ὀλύμπια. ὁ δὲ, δὶς, ἔφη, νικήσεις, ἐὰν μὴ ἐθέλῃς τρίς. Φοι. δαιμόνιον, Αμπελουργέ. λέξεις γάρ που τὸ ἐν Ὀλυμπίᾳ πραχθέν. προσοῦ γὰρ ὑπαρχούσης αὐτῷ νίκης μιᾶς, ὅτ' ἀνὴρ ἐκ παίδων ἐνίκα πάλην, ἀπεδύσατο τῇ ἐπ' ἐκείνῃ Ὀλυμπιάδι πάλην τε, καὶ παγκράτιον, ἐφ' ᾧ δυσχεράναντες οἱ Ηλεῖοι, διεσκοποῦντο μὲν ἀμφοῖν εἴργειν αὐτὸν ἐγκλήματα Ὀλυμπιακὰ ξυνθέντες αὐτῷ. μόλις δὲ ἀνέδησαν τὸ παγκράτιον. καὶ τοῦτον ἄρα τὸν φθόνον ὁ Πρωτεσίλεως

A *Vinitor.* Hic ſecunda Olympiade ad viros reuertens Heroem precatur, vt ſibi de victoria reſpondeat. Ipſe verò iubet, vt Acheloo ſupplicet Enagonio: id eſt, qui certanti aderit. *Phœnix.* Quid ſibi vult hoc ænigma? *Vinitor.* Certabat autem in Olympia aduerſus Hermean Ægyptium pro victoriæ corona: ſed cùm hic quidem præ vulneribus, hic verò ſiti defeciſſent. Nam vigente meridie, pugile certamen exercebant, nubes in ſtadium diſcinditur, & ſi-
B tiens Plutarchus aquam, quam coria brachiis inuoluta conceperant, hauſit. Et oraculi memor, vt poſtea dicebat, audenter in aduerſarium irruit, ac victoriam conſecutus eſt. Eudæmonem autem fortè admiraris, ſicubi pugnis certanti occurriſti. Huic ſciſcitanti quo pacto vinci haud poſſet, ſi mortem neglexeris, reſpondit. *Phœnix.* Et paret quidem (ô Vinitor) oraculo. Sic enim ſe ipſum conſtituens, adaman-
C tinus, ac diuinus nonnullis videtur. *Vinitor.* At Helix athleta, ipſe quidem ad hoc nondum nauigauit templum: ſed cùm de ſuis quendam ſociis miſiſſet, ſciſcitatus eſt, quoties in Olympia futurus eſſet victor: Hic verò bis, inquit, ſuperabis, ſi ter nolueris. *Phœnix.* Diuinum, Vinitor. dices enim fortè quod in Olympia geſtum eſt. Vna enim victoria ſibi prius exiſtente, cùm vir à pueris luctando viciſſet, in illa Olympia-
D de ad luctámque & pancratium ſeſe exuit. Cuius rei cauſa indignati Elei, deliberabant quidem ab vtroq; ipſum arcere: Olympica crimina in ipſum componentes; vix verò ob pancratium coronarunt. Hanc igitur vt declinaret inuidiam Proteſilaus

prædicebat. Cùm præſtantibus ipſam viris aduerſari minimè ignoraret. *Vinitor.* Optimè, hoſpes, oraculum coniectaſti. *Phœnix.* Ex morbis autem quibus medetur? Multos enim ipſi ais ſupplicare. *Vinitor.* Omnes quicunque ſunt, curat: maximè verò phthiſes atque hydropicos, & oculorum morbos, febríque quartana laborantes. Poteſt & amore captus ipſo vti conſultore. Vehementer etenim dolet, cùm aliquem circa amorem infelicem nouerit: carmináque atque artes ſubiicit, quibus ſuas demulceant delicias. Adulteros autem neque alloquitur, nec amatorium quicquam admonet. Ait enim ſe ipſis iratum, quòd amorem calumniis afficiant. Quare cùm mœchus huc quandoque cum muliere quam ſolicitabat, profectus eſſet, vellénteque in virum coniurare, præſentem quidem, ſed qui nihil reſciret. Proteſilaus quidem hîc ſub meridiem dormiebat: ipſi verò aræ adſiſtentes iurabant. Quid igitur Proteſilaus? Excitat hunc canem, etſi (vt vides) mitem, vt eos inuadat, & adhuc iurantes mordeat. Et cùm hoc pacto iuſiurandum confudiſſet, inſtat viro, ac iubet, vt illos negligat. Eſſe namque ipſorum morſum incurabilem: Se verò nunc ſaltem, ſuámque ipſius domum conſeruet. Deos enim ait omnia ſcire, Heroas verò Diis quidem pauciora, hominibus verò plura. Multa huiuſmodi confluit turba: ſi omnia in Phthia, ac Phylace exiſtentia commemorarem, cunctis Theſſaliam incolentib. nota. Templum enim illi promptum per Proteſilaum, atque efficax eſt: multáque Theſſalis humana, ac mi-

A φυλάξασθαι προὔλεγεν, εἰδὼς αὐτὸν ἀντίπαλον τοῖς ἐξῃρημένοις ὄντα. Αμ. ἄριστα, ξένε, τοῦ χρησμοῦ ἐτεκμήρω. Φοι. τῶν δὲ δὴ νόσων, τίνας ἰᾶται; πολλοὺς γὰρ αὐτῷ φὴς εὔχεσθαι. Αμ. πάσας ἰᾶται, ὁπόσαι εἰσί. μάλιστα δὲ τὰς φθόας τε, καὶ τοὺς ὑδέρους, καὶ τὰς τῶν ὀφθαλμῶν νόσους, καὶ τοὺς τεταρταίῳ πυρέττοντας. ἔστι καὶ ἐρῶντι τυχεῖν αὐτοῦ

B ξυμβούλου. ξυναλγεῖ γὰρ σφόδρα τοῖς τὰ ἐρωτικὰ ἀτυχοῦσι, καὶ ὑποτίθεται αὐτοῖς ἐπῳδὰς, καὶ τέχνας, αἷς τὰ παιδικὰ θέλξουσι. μοιχοῖς δὲ, οὔτε προσδιαλέγεταί οὐδὲν, οὔτε ὑποτίθεταί τι ἐρωτικόν. φησὶ γὰρ ἀπηχθῆσθαι αὐτοῖς, ἐπειδὴ τὸ ἐρᾶν διαβάλλουσιν. ἀφικομένου γοῦν ἐνταῦθα μοιχοῦ ποτε αὐτῇ γυναικὶ, ἣν ἐπείρα, καὶ ξυνομνύναι βουλομένων ἐπὶ τὸν ἄνδρα,

C παρόντα μὲν, ξυνιέντα δὲ οὔπω· ὁ μὲν, γὰρ ἔτυχε καθεύδων μεσημβρίας ἐνταῦθα, οἱ δὲ ὤμνυσαν ἤδη προσεστηκότες τῷ βωμῷ. τί οὖν ὁ Πρωτεσίλεως; ἐξορμᾷ τουτονὶ τὸν κύνα, καίτοι χρηστὸν ὡς ὁρᾷς ὄντα προσπεσεῖν τε αὐτοῖς κατόπιν, καὶ δακεῖν ἔτι ὀμνύντας. καὶ τὸν ὅρκον οὕτω ξυγχέας, ἐφίσταται τῷ ἀνδρὶ, καὶ κελεύει αὐτὸν ἐκείνων μὲν ἀμελεῖν,

D τὸ γὰρ δῆγμα σφῶν ἀνίατον εἶναι, σώζειν δὲ νῦν γοῦν αὐτόν τε, καὶ τὸν ἑαυτοῦ οἶκον. τοὺς μὲν γὰρ θεοὺς, πάντα γινώσκειν· τοὺς δὲ ἥρωας, θεῶν μὲν ἐλάττω, πλείω δὲ ἀνθρώπων. πολὺς ἐπιρρεῖ τῶν τοιούτων ὄχλος, εἰ πάντων ἀπομνημονεύοιμι, ὄντων γε καὶ τῶν ἐν Φθίᾳ τε, καὶ Φυλάκῃ φανερῶν πᾶσιν, ὅσοι Θετταλίαν οἰκοῦσι. καὶ γὰρ τὸ ἐκείνῃ ἱερὸν, ἐνεργὸν τῷ Πρωτεσίλεῳ. καὶ πολλὰ τοῖς Θετταλοῖς ἐπι-

σημαίνει φιλάνθρωπά τε, καὶ εὐμενῆ, καὶ ὀργίλα αὖ, εἰ ἀμελοῖτο. Φοι. πείθομαι νὴ τὸν Πρωτεσίλεων, Ἀμπελουργέ. καλὸν γὰρ ὡς ὁρῶ καὶ ὀμνύναι τοιοῦτον ἥρω. Αμ. ἢ ἀδικήσεις γε ἀπιστῶν, ξένε, τόν τε Ἀμφιάρεων, ὃν λέγεται ἡ γῆ ἐν σοφῷ ἀδύτῳ ἔχειν, Ἀμφίλοχόν τε τὸν τούτου παῖδα, πλείω ἴσως, ἢ ἐγὼ γινώσκων, οὐ πολὺ ἀπέχων τῶν Κιλίκων ἠπείρου. καὶ Μάρωνα δὲ τὸν Εὐάνθους ἀδικοίης ἄν, ἐπιφοιτῶντα ταῖς ἐν Ἰσμάρῳ ἀμπέλοις, καὶ ἡδυοίνους αὐτὰς ἐργαζόμενον, φυτεύοντά τε, καὶ κυκλοῦντα. ὁρᾶται δὲ τοῖς γεωργοῖς ὁ Μάρων καλός τε, καὶ ἁβρὸς, καὶ ἀναπνέων πότιμόν τι, καὶ οἰνῶδες. Γινώσκειν δὲ χρὴ καὶ τὰ τοῦ Θρᾳκὸς Ῥήσου. Ῥῆσος γὰρ, ὃν ἐν Τροίᾳ Διομήδης ἀπέκτεινε, λέγεται οἰκεῖν τὴν Ῥοδόπην. καὶ πολλὰ αὐτοῦ θαυμαστὰ ᾄδουσιν. ἱπποτροφεῖν τε γάρ φασιν αὐτὸν, καὶ ὁπλιτεύειν, καὶ θήρας ἅπτεσθαι. σημεῖον δὲ εἶναι τοῦ θηρᾶν τὸν ἥρω, τὸ, τοὺς σῦς τοὺς ἀγρίους, καὶ τὰς δορκάδας, καὶ ὁπόσα ἐν τῷ ὄρει θηρία, φοιτᾶν πρὸς τὸν βωμὸν τοῦ Ῥήσου κατὰ δύο, ἢ τρία, θύεσθαί τε οὐδενὶ δεσμῷ ξυνεχόμενα, καὶ παρέχειν τῇ μαχαίρᾳ ἑαυτά. λέγεται δὲ ὁ ἥρως οὗτος, καὶ λοιμοῦ ἐρύκειν τοὺς ὅρους. πολυανθρωποτάτη δὲ ἡ Ῥοδόπη, καὶ πολλαὶ περὶ τὸ ἱερὸν αἱ κῶμαι. ὅθεν μοι δοκεῖ καὶ βοήσεσθαι ὑπὲρ τῶν ἑαυτοῦ στρατιωτῶν ὁ Διομήδης, εἰ τὸν μὲν Θρᾷκα τοῦτον, ὃν αὐτὸς ἀπέκτεινε μηδὲν εὐδόκιμον ἐν Τροίᾳ ἐργασάμενον, μηδὲ δείξαντά τι ἐκεῖ λόγου ἄξιον, πλὴν ἵππων λευκῶν, εἶναί τε ἡγοίμεθα. καὶ θύοιμεν αὐτῷ διὰ Ῥοδόπης τε, καὶ Θρᾴκης πορευόμενοι. τοὺς δὲ θεῖα

A tia ſignificat: rurſúſque iracunda, ſi negligatur. *Phœnix.* Credo per Proteſilaum, Vinitor: honeſtum eſt enim, vt video, per huiuſmodi quoque iurare Heroëm. *Vinitor.* Iniuria vtique afficies, hoſpes, ſi non credideris & Amphiaraum, quem tellus ſapienti fertur adyto continere: huiúſque Amphilochum filium plura fortaſſe quàm ego cognoſcens: cùm haud procul à Cilicum continente diſtes: & Euanthis filium Maronem, quæ in Iſ-
B maro ſunt, vineas frequentantem: & vt ſuauiſſimum ferant vinum, efficientem: plantantémque, ac perluſtrantem: cùm interea ab agricolis pulcher ac delicioſus ſpectatur Maro; potabile quid, ac vinolentum ſpirans. Scire autem opus eſt quæ & ad Thracem Rheſum ſpectant. Rheſus enim, quem in Troia Diomedes interfecit, Rhodopen dicitur habitare, multáque ipſum admiratione digna facere canunt.
C Aiunt enim equos ipſum alere, armatúmque incedere, ac venationi vacare. Quòd autem Heros venetur, indicio eſſe, quòd apri, ac dorcades, ceteræque in monte verſantes feræ ad Rheſi aram, vt immolentur, accedant, nullóque vinculo detentæ cultro ſeipſas exhibeant. Fertur auté hic Heros peſtem quoque à finibus arcere: cùm Rhodope hominum copioſiſſima ſit: multíque circa templum exiſtant pagi.
D Vnde pro ſuis ipſius militibus mihi videtur clamaturus Diomedes: ſi hunc quidem Thracem, quem ipſe interfecit, cùm in Troia nihil memoratu dignum geſſiſſet: nihilque illic plurimi faciendum præter candidos equos oſtendiſſet, & eſſe arbitremur, eiq. per Rhodopē ac Thraciam iter facientes immolemus: ipſos verò, qui præclara, ac diuina

peregerunt facinora, contemnamus: ſuam ipſorum gloriam fabuloſam, temeréque iactatam arbitrantes. *Phœnix.* Tuæ accedo ſententiæ, Vinitor, nec quiſpiam deinceps huiuſmodi rebus non fidem præſtabit. Hi autem quos bellico more in Phrygio campo incedere aiebas, quando conſpecti ſunt? *Vinit.* Spectantur, inquam, ſpectantur à bubulcis, ac paſtoribus: & quandoque in Telluris cernuntur perniciem. Etenim ſi puluere inſperſi apparent, ariditatem ſignificant regioni. Sin ſudore impleti, diluuia atque imbres præ ſe ferunt. Quòd ſi ſanguis circa ipſos aut arma ſpectentur, morbos Ilio remittunt. Cùm verò horum nihil circa ſimulachra cernatur, bona iam adducunt tempora. Itaque immolant ipſis tunc paſtores: hic quidem agnũ, hic verò taurum, ille pullum, alius ex iis quæ paſcit aliquid. Quæcunque autem greges inuadunt contagia, omnia ab Aiace propterea (vt puto) aiunt proficiſci, quòd cùm iudicij cauſa inſaniret, greges pro Græcis dicatur trucidaſſe. Nec quiſquam circa ſepulchrum quicquam herbæ metu paſcit. Peſtifera enim ac paſtu pernicioſa naſcitur. Fama eſt Troianos quandoque paſtores pecudibus ſibi ægrotantibus contumelioſè in Aiacem ſeſe geſſiſſe: qui cùm ſepulchrum circunſtetiſſent, modò Hectoris, modo Troiæ, nonnunquam gregum hoſtem appellabant. Et hic quidem inſania fuiſſe correptum: hic verò inſanire dicebat. At paſtorum petulantiſſimus, Aiax autem haud amplius manebat, hucuſque Homeri verſum in ipſum vt pote timidum ca-

A τε, καὶ λαμπρὰ εἰργασμένοις ἔργα,
ἀτιμάζοιμεν, μυθώδη τὴν περὶ αὐ-
τῶν δόξαν ἡγούμενοι, καὶ κεκομπασ-
μένην. Φοῖ. μετὰ σοῦ λοιπὸν, Ἀμπελουρ-
γὲ, τάττω ἐμαυτὸν, καὶ οὐδεὶς ἔτι τοῖς
τοιούτοις ἀπιστήσει. οἱ δὲ ἐν τῷ πεδίῳ τῷ
ἐν Ἰλίῳ, οὓς ἔφασκες τὸν μάχιμον τρό-
πον δι᾽ αὐτοῦ στείχειν, ποτὲ ὤφθησαν; Αμ.
ὁρῶνται δὴ, ἔφην, ὁρῶνται ἔτι βουκό-
B λοις τε τοῖς ἐν τῷ πεδίῳ, καὶ νομεῦσι,
μεγάλοι, καὶ θεῖοι, καὶ θεῶνται ἔστιν ὅτε ἐπὶ
κακῷ τῆς γῆς. εἰ μὲν γὰρ κεκονιμένοι
φαίνοιντο, αὐχμοὺς ἐπισημαίνουσι τῇ
χώρᾳ. εἰ δὲ ἱδρῶτος πλέοι, κατακλυσ-
μούς τε, καὶ ὄμβρους. εἰ δὲ αἷμα περὶ αὐ-
τοῖς, ἢ τοῖς ὅπλοις φαίνοιτο, νόσους τῷ Ἰ-
λίῳ ἀναπέμπουσιν. εἰ δὲ μηδὲν τούτων
περὶ τοῖς εἰδώλοις ὁρῷτο, ἀγαθὰς ἤδη
ἄγουσι τὰς ὥρας, καὶ σφάττουσιν αὐτοῖς
C τότε οἱ νομεῖς, ὁ μὲν, ἄρνα, ὁ δὲ, ταῦρον,
ὁ δὲ, πῶλον, ὅ,τι ἄλλο τι, ὧν νέμει. Φθο-
ρὰς δὲ, ὁπόσαι περὶ τὰς ἀγέλας γίγνον-
ται, πάσας ἐξ Αἴαντος ἥκειν φασίν. οἶ-
μαι διὰ τὸν ἐν τῇ μανίᾳ λόγον, ὅτι δὴ ὁ
Αἴας λέγεται ταῖς ἀγέλαις ἐμπεσὼν,
διαφορῆσαι σφᾶς, οἷα κτείνων τοὺς Ἀ-
χαιοὺς ἐπὶ τῇ κρίσει. καὶ οὐδὲν νέμει περὶ
τὸ σῆμα οὐδεὶς, φόβῳ τῆς πόας, νοσώδης
γὰρ δὴ ἀναφύεται, καὶ πονηρὰ βόσκειν. ἔστι
D δέ τις λόγος, ὡς Τρῶές ποτε ποιμένες ἐς
τὸν Αἴαντα ὕβριζον, νενοσηκότων αὐτοῖς
τῶν προβάτων. καὶ περιστάντες τὸ σῆ-
μα, πολέμιον μὲν Ἕκτορα τὸν ἥρωα
ἐκάλουν, πολέμιον δὲ Τροίας τε, καὶ
ποιμνίων. καὶ ὁ μὲν, μανῆναι αὐτόν.
ὁ δὲ, μαίνεσθαι. ὅ,τι ἀσελγέστατος τῶν ποι-
μένων, Αἴας δ᾽ οὐκέτ᾽ ἔμιμνε. μέχρι τούτου τὸ ἔπος αὐτῷ ἐπερραψῴδει, ὡς

A δηλῶ. ὁ δὲ, ἀλλὰ ἔμμινον, εἶπε, βοήσας ἐκ τοῦ τάφου φρικῶδές τι, καὶ ὄρθιον. λέγεται δὲ καὶ δουπῆσαι τοῖς ὅπλοις, οἷα ἐν ταῖς μάχαις εἰώθει. τὸ μὲν δὴ κακοδαιμόνων ἐκείνων πάθος, οὐ χρὴ θαυμάζειν, εἰ Τρῶές τε, καὶ νομεῖς ὄντες, ἐξεπλάγησαν ὁρμὴν Αἴαντος. καὶ οἱ μὲν, ἔπεσον αὐτῶν· οἱ δὲ, ἔδεισαν. οἱ δὲ, ὤχοντο φεύγοντες, οὗ ἐποίμαινον. τὸν δ᾽ Αἴαντα θαυμάσαι ἄξιον. ἀπέκτεινε γὰρ

B οὐδένα αὐτῶν, ἀλλὰ τὴν παροινίαν, ἣ ἐχρῶντο, ἐκαρτέρησε, μόνον ἐνδειξάμενος αὐτοῖς τὸ ἀκούειν. ὁ δὲ Ἕκτωρ, οὐκ ἐγίνωσκεν, οἶμαι ξένε, τὴν ἀρετὴν ταύτην. ὑβρίσαντος γὰρ ἐς αὐτὸν μειρακίου τινὸς πέρυσι, ἦν δ᾽ ὥς φασι κομιδῆ νέον, καὶ ἀπαίδευτον, ὥρμησεν ἐπὶ τὸ μειράκιον αὐτὸς, καὶ ἀπέκτεινεν αὐτὸ ἐν ὁδῷ, ποταμῷ τὸ ἔργον προσθείς.

C Φοι. ἀγνοοῦντι λέγεις, Ἀμπελουργὲ, καὶ σφόδρα ἐκπεπληγμένῳ τὸν λόγον. ᾤμην γὰρ μηδαμοῦ φαίνεσθαι τὸν ἥρω τοῦτον. καὶ ὁπότε μοι τὰ τῶν Ἑλλήνων ἀπήγγελλες, ὑπερήλγουν τοῦ Ἕκτορος, εἰ μήτε ἀρότης τι ὑπὲρ αὐτοῦ λέγει, μήτε αἰπόλος, ἀφανὴς δέ ἐστι τοῖς ἐκεῖ ἀνθρώποις, καὶ ἀτεχνῶς κεῖται. περὶ μὲν γὰρ τοῦ Πάριδος, οὐδ᾽ ἀκούειν ἀξιῶ οὐδὲν δι᾽ ὃν τοιοίδε, καὶ τοσοίδε ἔπεσον. περὶ δὲ τοῦ Ἕκτορος (ὃς ἔρεισμα μὲν τῆς Τροίας, καὶ τοῦ

D ξυμμαχικοῦ παντὸς ἦν, ἵπποις δὲ ξυνεῖχε τέσσαρας, ὃ μηδεὶς τῶν ἡρώων ἕτερος, τάς τε τῶν Ἀχαιῶν κατεπίμπρη ναῦς, ἐμάχετο δὲ πρὸς αὐτοὺς ὁμοῦ πάντας, ἐφορμηθέντας δὲ, καὶ ξυνταττομένους ἐπ᾽ αὐτὸν) οὐκ ἂν ἐροίμην γε, τί δ᾽ οὐκ ἂν ἀκούσαιμι χαίρων, εἰ μὴ διαπηδῴης αὐτὰ, μηδ᾽ ἀμυδρῶς λέγοις. Αμ. ἄκουε δὴ

nebat. Ipſe verò: at manebam, inquit: horrendum quid atque arduú ex tumulo clamitans. Dicitur præterea & armis obſtrepuiſſe, vt in præliis conſueuerat. quod autem infelices illi paſſi ſint, minimè admirari oportet: Si quidem Troiani, ac paſtores exiſtentes, Aiacis impetu perculſi ſunt, & ipſorum quidem partim cecidere: partim timuere: nonnulli verò vbi paſcebant, aufugerunt. Aiax autem admiratione dignus eſt. Ipſorum enim neminem occidit, quinimò qua vſi fuerant, contumeliam patienti ſuſtinuit animo: cum ipſis ſe tantùm audire indicaſſet. Hector vero (vt puto hoſpes) hanc ignorabat virtutem. Superiore namque anno ab adoleſcentulo quodam admodum (vt ferunt) iuuene, ac rudi, affectus contumelia, in adoleſcentulum irruit: ipſumque in via interfecit, flumini facinus adſcribens. *Phœnix.* Ignoranti dicis, Vinitor, orationémque admiranti. Nuſquam enim Heroëm hunc apparere cenſebam. Et cùm mihi Græcorum res nunciabas, Hectoris vicem dolebam. Si quidem neque arator, neque *æpolus de ipſo quicquam narrat: illóſque homines latet, ac planè iacet. Nam de Paride cuius cauſa tales ac tanti cecidere, nihil penitus audire dignum cenſeo. De Hectore vero nónne & libenter percunctabor, & lætus audiam? niſi hæc pertranſieris, ac negligenter dixeris. Quippe qui & Troiæ, & totius auxilij erat columen: quadrigis autem quibus Heroum nullus alius vtebatur, Græcorúmque naues comburebat, & aduerſus pariter omnes in ipſum ſtructa acie irruentes pugnabat. *Vinitor.* Audi igitur

*caprarius.

tur plura. Quandoquidem hoc eſſe haud negligenter dicere autumas. Quæ enim Ilij eſt Hectoris ſtatua, ſemideum refert hominem, multóſque præſefert affectus, ſi quis diligenter accuratéque ſpectauerit. Etenim elata eſt, ac terribilis, alacríſque, & cum mollitie vigens, & abſque vlla coma pulchritudo. Eſt autem vſque adeò ſpirans, vt ad ſe tangendam ſpectatores attrahat. Hæc in circumſpecto quidem Ilij loco erecta eſt. Multa verò cùm publicè, tum priuatim operatur bona. Vnde ipſi ſupplicant, & ſacrificij vice certamen celebrant. Quando iam adeò feruida efficitur atque Enagonios*, vt ex ipſa defluat ſudor. Adoleſcens itaque Aſſyrius Ilium profectus, conuicio Hectorem proſequebatur: currus, quibus ab Achille quondam tractus eſt, ipſi obiiciens: Aiacíſque lapidem quo peritus aliquandiu exanimatus iacuit: & quòd Patroclum primùm fugerit, nec ipſum interfecerit, ſed alij. Hectoris autem ſtatuam tranſmutabat. Achillis enim ipſam eſſe dicebat: poſt comam Patrocli cauſa abſciſſam. His expletum conuiciis adoleſcentem Ilio expulit, & priuſquam decem inde abeſſet ſtadia, amnis adeò breuis, vt ne nomen quidem in Troia adhuc ſortitus eſſet, ingens ex paruo attollitur: &, vt qui diffugerunt comites retulere, magnus atque armatus amni præcedebat miles, barbara ac vehementi ipſum exhortans voce: vt in eam viam aquam flecteret, qua haud magnas adoleſcens agitabat quadrigas, quas vnà cum adoleſcente vociferante, & Hectorem in poſterum cognituro, cùm amnis ſurripuiſſet, in ſuum ipſius abduxit alueum. Itaque cum

v. certamini addicta.

πλειόνων, ἐπειδὴ τοῦτο ἡγῇ τὸ μὴ ἀμελῶς φράζειν. τὸ γὰρ ἐν Ἰλίῳ ἄγαλμα τοῦ Ἕκτορος, ἡμιθέῳ ἀνθρώπῳ που ἔοικε, καὶ πολλὰ ἤθη ἐπιφαίνει τῷ θεωροῦντι αὐτὸ ξὺν ὀρθῷ λόγῳ. καὶ γὰρ φρονηματῶδες δοκεῖ, καὶ γοργὸν, καὶ φαιδρὸν, καὶ ξὺν ἁβρότητι σφριγῶν, καὶ ἡ ὥρα μετ' οὐδεμιᾶς κόμης. ἔστι δ' οὕτω τι ἔμπνουν, ὡς τὸν θεατὴν ἐπισπάσασθαι θιγεῖν. τοῦτο ἵδρυται μὲν ἐν περιβλέπτῳ τοῦ Ἰλίου. πολλὰ δὲ ἐργάζεται χρηστὰ, κοινῇ τε, καὶ εἰς ἕνα. ὅθεν εὔχονταί αὐτῷ, καὶ ἀγῶνα θύουσιν, ὅτε δὴ θερμὸν οὕτω, καὶ Ἐναγώνιον γίνεται, ὡς καὶ ἱδρῶτα ἀπ' αὐτοῦ λείβεσθαι. μειράκιον οὖν Ἀσσύριον, ἧκον ἐς τὸ Ἴλιον, ἐλοιδορεῖτο τῷ Ἕκτορι, προφέρον αὐτῷ τὰς ἕλξεις, ἃς ἐξ Ἀχιλλέως ποτὲ ἐς αὐτὸν ἐγένοντο, καὶ τὸν τοῦ Αἴαντος λίθον, ὃν βληθεὶς, ἀπέθανε πρὸς βραχύ. καὶ ὡς Πάτροκλον τὰ πρῶτα ἔφυγε, καὶ ὡς οὐδὲ ἀπέκτεινεν, ἀλλὰ ἕτεροι. μετεποίει δὲ καὶ τὸ ἄγαλμα τοῦ Ἕκτορος. Ἀχιλλέως γὰρ ἔφασκεν εἶναι αὐτὸ μετὰ τὴν κόμην, ἣν ἐκείρατο ἐπὶ τῷ Πατρόκλῳ. τούτων ἐμφορηθὲν, ἐξήλασεν ἐκ τοῦ Ἰλίου, καὶ πρὶν ἢ δέκα πορευθῆναι σταδίους, ποταμὸς οὕτω βραχὺς, ὡς μηδὲ ὄνομα αὐτοῦ ἐν τῇ Τροίᾳ εἶναι, μέγας ἐκ μικροῦ αἴρεται, καὶ ὡς ἀπήγγελλον οἱ διαφυγόντες τῶν ὀπαδῶν, ὁπλίτης ἡγεῖτο τοῦ ποταμοῦ μέγας, ἐμβραχὺ δυσμῆνος αὐτῷ βαρβάρῳ τῇ φωνῇ, καὶ σφοδρᾷ, ἐπιστρέφειν τὸ ὕδωρ ἐς τὴν ὁδὸν, δι' ἧς τὸ μειράκιον ἤλαυνεν ἐπὶ τεττάρων ἵππων οὐ μεγάλων. οὓς ὑπολαβὼν ὁ ποταμὸς ὁμοῦ τῷ μειρακίῳ, βοῶντί τε, καὶ ξυνιέντι λοιπὸν τοῦ Ἕκτορος, ἀπήγαγεν ἐς τὰ ἑαυτοῦ ἤθη.

κ. αὐτῷ

ἀπώλεσεν, ὡς μηδὲ ἀνελέσθαι ξυγχωρῆσαι τὸ σῶμα· ᾤχετο γὰρ οὐκ οἶδ' ὅποι ἀφανισθέν. Φοι. οὔτε τὸν Αἴαντα χρὴ θαυμάζειν, Ἀμπελουργέ, καρτερήσαντα τὰ ἐκ τῶν ποιμένων, οὔτε τὸν Ἕκτορα ἡγεῖσθαι βάρβαρον, μὴ ἀνασχόμενον τὰ ἐκ τοῦ μειρακίου. τοῖς μὲν γὰρ καὶ συγγνώμη ἴσως. Τρῶές ὄντες, ἔτι καὶ πονήρως ἐχόντων σφίσι τῶν προβάτων, ἐπεπήδων τῷ τάφῳ. μειρακίῳ δὲ Ἀσσυρίῳ πομπεύοντι ἐς τὸν τοῦ Ἰλίου ἥρω, τίς ἂν συγγνώμη; οὐ γὰρ δὴ Ἀσσυρίοις τε, καὶ Τρωσὶ, πόλεμός ποτε ἐγένετο, οὐδὲ τὰς ἀγέλας σφῶν ὁ Ἕκτωρ ἐπόρθησεν, ὡς τὰς τῶν Τρώων ὁ Αἴας. Αμ. πεπονθέναι τι πρὸς τὸν Ἕκτορα δοκεῖς, ὦ ξένε, καὶ οὐκ ἀξιῶ διαφέρεσθαι. ἀλλ' ἐπανίωμεν ἐπὶ τὰ τοῦ Αἴαντος. ἐκεῖθεν γὰρ οἶμαι τὴν ἐκβολὴν τοῦ λόγου πεποιῆσθαι. Φοι. ἐκεῖθεν, Ἀμπελουργέ. καὶ ὡς δοκεῖ ἐπανίωμεν. Αμ. πρόσεχε οὖν, ξένε. νηός ποτε καθορμισαμένης εἰς τὸ Αἰάντειον, δύο τῶν ξένων περὶ τοῦ σήματος ἤλυόν τε, καὶ πεττοῖς ἔπαιζον. ἐπιστὰς δὲ ὁ Αἴας, πρὸς θεῶν, ἔφη, μετάθεσθε μὲν τὴν παιδιὰν ταύτην. ἀναμιμνήσκει γάρ με τῶν Παλαμήδους ἔργων σοφοῦ τε, καὶ μάλα ἐπιτηδείου μοι ἀνδρός. ἀπολώλεκε δὲ κἀμὲ, κἀκεῖνον, ἐχθρὸς εἷς, ἄδικον εὑρὼν ἐφ' ἡμᾶς κρίσιν. Φοι. δεδάκρυκα νὴ τὸν ἥλιον, Ἀμπελουργέ. τὰ γὰρ ἀμφοῖν πάθη, παραπλήσιά τε, καὶ ἐοικότα εἰς εὔνοιαν. Ἀγαθῶν μὲν γὰρ κοινωνία τίκτει ποτὲ καὶ φθόνον. ὅσοι δ' ἂν κοινωνήσωσι συμφορῶν, ἀγαπῶσιν ἀλλήλους, τὸν ἔλεον τὸν ἐλέου ἀντιδιδόντες. Παλαμήδους δὲ καὶ εἴδωλον ἔχοις ἂν

A perdidit, vt ne corpus quidem recipere permitteret. Nam neſcio quò profectum euanuit. *Phœnix*. Neque Aiacem admirari oportet, Vinitor, quòd paſtorum contumelias æquo animo tulerit: neque Hectorem eſſe barbarum exiſtimare, quòd adoleſcentis conuicia nequiuerit ſuſtinere. His enim & venia fortaſſe danda eſt, qui cùm Troiani eſſent, pecudéſque ſibi malè haberent, tumulo inſultabant. At adoleſcenti B Aſſyrio in Troianum Heroëm conuicia iactanti, quænam venia danda eſſet? neque enim inter Aſſyrios ac Troianos vllum vnquam geſtum eſt bellum, neque ipſorum greges Hector diripuit, vt Troianorum Aiax. *Vinitor*. Affectu quodam erga Hectorem moueri videris, hoſpes, nec cum ipſo diſſidium exercere dignum cenſeo. Ceterùm ad Aiacis geſta redeamus: illinc enim noſtra (vt puto) digreſſa eſt oratio. *Phœnix*. Illinc, Vinitor, &, vt videtur, reuertamur. *Vinitor*. Ad- C uerte igitur, hoſpes. Appulſa quandoque Aiacis tumulo naui, externorum duo pro ſepulchro exultabant, ac teſſeris ludebant: quibus adſiſtens Aiax, Per Deos (inquit) hunc mutate ludum. Palamedis enim & ſapientis, & mihi oppidò quàm neceſſarij facinora in mentem reducit. Perdidit autem tam me quàm illum inimicus vnus, i- D niquum in nos machinatus iudicium. *Phœnix*. Lachrymas effudi per Solem, Vinitor. Nam quæ vterque paſſus eſt, ſimilia ſunt, & ad beneuolentiam conuenientia. Bonorum etenim communicatio, inuidiam quoque plerunque parit. Quicunque verò calamitates communicauerint, mutua ſe inuicem diligunt miſeratione. Sed poteſne quempiam dicere, qui Palamedis

in Troia ſimulachrum viderit? *Vinitor.* Quæ quidem ſpectantur ſimulachra, nondum cuia ſingula ſint, conſtat. Multa namque & alius aliud, ſpecie præterea, atque ætate, armíſque inuicem mutantur. Huiuſcemodi tamen de Palamede audio. Erat Ilij agricola: idem quod ego quandoque faciens. Is Palamedis calamitatem iniquo animo ferebat: & ad litus profectus, iuxta quod lapidibus ab Achiuis dicitur petitus, ipſum lugebat, & quæcunque ſepulchris lege ſanciunt homines, pulueri offerebat, vitiúmque ſuauiſſimas ipſi deligens vini poculum exprimebat, & vnà cum Palamede bibere dicebat, cùm ab operibus quieſceret. Erat autem ipſi & canis, qui arte quadam blandiens hominibus inſidiabatur. Hunc Vlyſſem appellabat, & Palamedis cauſa hic cædebatur Vlyſſes: mala exaudiens infinita. Statuit autem hunc quandoque adire amatorem, aliquóque afficere beneficio. Itaque cùm viti vacaret, genúque ipſius mederetur, aſſiſtens ipſi Palamedes, Ecquid me noſti (inquit) agricola? quo pacto reſpõdit, quem nondum vidi? Quid igitur (inquit) amas, quem minimè noſti? Intellexit agricola eſſe Palamedem: & ſpeciem ad ingentem Heroëm pulchrúmque, ac virilem referebat, nondum triginta annos natum: ipſúmque ridendo amplectens, Diligo te (inquit) ô Palamedes, quòd mihi hominum ſapientiſſimus: & in iis quæ ad ſapientiam pertinent, æquiſſimus athleta fuiſſe videaris: & ob Vlyſſis in te fraudes, ab Achiuis miſeratione digna perpeſſus. Cuius tumulus ſi quis hîc eſſet, defoſſus iam diu à me fuiſſet. Sceleſtus

A τινα εἰπεῖν ἑωρακότα ἐν Τροίᾳ; ΑΜ. τὰ μὲν ὁρώμενα εἴδωλα, οὔπω δῆλα ὅτου ἕκαστον· πολλὰ γὰρ καὶ ἄλλο ἄλλου. διαλλάττει δὲ ἀλλήλων καὶ ἰδέᾳ, καὶ ἡλικίᾳ, καὶ ὅπλοις. ἀκούω δὲ ὅμως καὶ περὶ τοῦ Παλαμήδους τοιαῦτα. ἦν γεωργὸς ἐν Ἰλίῳ, ταὐτόν ποτέ μοι πράττων. οὗτος ἐπεπόνθει τι πρὸς τὸ τοῦ Παλαμήδους πάθος, καὶ ἐθρήνει αὐτὸν, ἥκων ἐπὶ τὴν
B ᾐόνα, πρὸς ἣν λέγεται ὑπὸ τῶν Ἀχαιῶν βεβλῆσθαι. καὶ ὁπόσα νομίζουσιν ἐπὶ σημάτων ἄνθρωποι, ἐπέφερε τῇ κόνει, τάς τε ἡδίους τῶν ἀμπέλων ἐξαιρῶν αὐτῷ, κρατῆρα ἐτρύγα. καὶ ξυμπίνειν τῷ Παλαμήδει ἔφασκεν, ὅτ᾽ ἀναπαύοιτο τῶν ἔργων. ἦν δὲ αὐτῷ καὶ κύων, τέχνῃ αἰκάλλων, καὶ ὑποκαθήμενος τοὺς ἀνθρώπους. τοῦτον Ὀδυσσέα ἐκάλει, καὶ ἐπαίετο ὑπὲρ τοῦ Παλαμήδους ὁ Ὀδυσ-
C σεὺς οὗτος, προσακούων κακὰ μυρία. δοκεῖ δὲ τῷ Παλαμήδει ἐπιφοιτῆσαί ποτε τῷ ἐραστῇ τούτῳ, καὶ ἀγαθόν τι αὐτῷ δοῦναι. καὶ δῆτα ὁ μὲν πρὸς ἀμπέλῳ τινὶ ἦν, γόνυ αὐτῆς ἰώμενος. ὁ δὲ, ἐπιστὰς αὐτῷ, σὺ γινώσκεις με, ἔφη, γεωργέ; καὶ πῶς, εἶπεν, ὃν οὔπω εἶδον. τί οὖν, ἔφη, ἀγαπᾷς ὃν μὴ γινώσκεις; ξυνεῖκεν ὁ γεωργὸς, ὅτι ὁ Παλαμήδης εἴη· καὶ τὸ εἶδος ἐς ἥρω ἀνέφερε μέγα τε, καὶ
D καλὸν, καὶ ἀνδρεῖον, οὔπω τριάκοντα ἔτη γεγονότα. καὶ περιβαλὼν αὐτὸν μειδιῶν, φιλῶ σε, ὦ Παλάμηδες, εἶπεν, ὅτι μοι δοκεῖς φρονιμώτατος ἀνθρώπων γεγονέναι, καὶ δικαιότατος ἀθλητὴς τῶν κατὰ σοφίαν πραγμάτων. πεπονθέναι τε ὑπὸ τῶν Ἀχαιῶν ἐλεεινὰ, διὰ τὰς Ὀδυσσέως ἐπὶ σοὶ τέχνας. οὗ τάφος εἴ τις ἦν ἐνταῦθα, ἐξωρώρυκτ᾽ ἂν ὑπ᾽ ἐμοῦ πάλαι. μιαρὸς

γὰρ, καὶ κακίων τοῦ κυνὸς, ὃν ἐπ' αὐτῷ τρέφω. Φειδώμεθα λοιπὸν τοῦ Ὀδυσσέως ὁ ἥρως, ἔφη. τούτων γὰρ ἐπραξάμην αὐτὸν δίκας ἐγὼ ἐν ᾅδου. σὺ δὲ, ἐπειδὴ φιλεῖς που τὰς ἀμπέλους, εἰπέ μοι τί μάλιστα περὶ αὐταῖς δέδοικας. τί δ' ἄλλο γε, εἶπεν, ἢ τὰς χαλάζας, ὑφ' ὧν ἐκτυφλοῦταί τε, καὶ ῥήγνυνται. ἱμάντα τοίνυν, εἶπεν ὁ Παλαμήδης περιάψωμεν μιᾷ τῶν ἀμπέλων, καὶ οὐ βεβλήσονται αἱ λοιπαί. Φοι. Σοφός τε ὁ ἥρως, Αμπελουργὲ, καὶ ἀεί τι εὑρίσκων ἀγαθὸν τοῖς ἀνθρώποις. Ἀχιλλέως δὲ πέρι, τί ἂν εἴποις, τοῦτον γὰρ θειότατον τοῦ Ἑλληνικοῦ παντὸς ἡγούμεθα. Αμ. τὰ μὲν ἐν τῷ Πόντῳ, ξένε, εἰ μή πω ἐς αὐτὸν πέπλευκας, καὶ ὅσα ἐν τῇ ἐκεῖ νήσῳ λέγεται πράττειν, ἐγώ σοι ἀπαγγελῶ ὕστερον ἐν τῷ περὶ αὐτοῦ λόγῳ, μακροτέρῳ ὄντι. τὰ δὲ ἐν Ἰλίῳ, παραπλήσια τοῖς ἄλλοις ἥρωσι. καὶ γὰρ προσδιαλέγεταί τισι, καὶ ἐπιφοιτᾷ, καὶ θηρία διώκει. ξυμβάλλονται δὲ αὐτὸν Ἀχιλλέα εἶναι, τῇ τε ὥρᾳ τοῦ εἴδους, καὶ τῷ μεγέθει, καὶ τῇ ἀστραπῇ τῶν ὅπλων. κατόπιν δὲ αὐτοῦ, ζάλη ἀνέμων εἱλεῖται, πομπὸς τοῦ εἰδώλου. ἐπιλείψει με ἡ φωνὴ, ξένε, τῶν τοιούτων μνημονεύοντα. καὶ γάρ τοι καὶ περὶ Ἀντιλόχου ᾄδουσιν, ὡς κόρη Ἰλιὰς φοιτῶσα ἐπὶ τὸν Σκάμανδρον, εἰδώλῳ τοῦ Ἀντιλόχου ἐνέτυχε, καὶ προσέκειτο τῷ σώματι, ἐρῶσα τοῦ εἰδώλου, καὶ ὡς βουκόλοι μειράκια περὶ τὸν Ἀχιλλέως βωμὸν ἀστραγαλίζοντες, ἀπέκτεινεν ἂν ὁ ἕτερος τῇ καλαύροπι πλήξας τὸν ἕτερον, εἰ μὴ ὁ Πάτροκλος αὐτοὺς διεπτόησεν. ἀρκεῖ μοι εἰπὼν ὑπὲρ ἀστραγάλων αἴνιγμα ἐν. γινώσκειν δὲ ὑπάρχει

A eſt enim : ac cane, quem ipſius cauſa alo, deterior. Parcamus in reliquum Vlyſſi, inquit Heros. Horum namque apud inferos ab eo accepi pœnas. Tu autem poſtquam vites diligis, dic mihi, quid maximè ipſis times? Quid nam aliud (inquit) quàm grandines, à quibus occæcantur, ac franguntur? Vitium vni (inquit Palamedes) lorum applicemus, & ceteræ grandinibus
B haudquaquam petentur. *Phœnix*. Sapiens vtique eſt heros, Vinitor, ſempérque boni aliquid hominibus excogitat. De Achille autem quid dices? Hunc enim omnium Græcorum maximè diuinum arbitramur. *Vinitor*. Quæ quidem in Ponto, hoſpes, ſi nondum ad ipſum nauigaſti: quæque in inſula ibi exiſtente agere dicitur, ego tibi in prolixiore de ipſo oratione poſtea referam. Quæ verò in Troia, ab aliis nequaquam differunt Heroi-
C bus. Etenim nonnullos adit, atque alloquitur, feráſque inſequitur: quòd autem ſit Achilles, cùm ſpeciei pulchritudine, tum magnitudine, atque armorum fulgore coniiciunt. Poſt terga autem ipſius, ventorum procella ſimulachri comes volutatur. Deficiet me vox, hoſpes, talia memorantem. Etenim de Antilocho quoq; canunt, quòd ſcilicet puella Ilias ad Scamandrum
D proficiſcés Antilochi ſimulachrum alloquatur: ipſiúſque amore capta corpori inhæreat, quódque bubulci adoleſcentes, dum circa Achillis aram talis luderent, alter pedo alterum percutiens occidiſſet, ni ipſos Patroclus deterruiſſet: mihi ſatis eſt dicens vnus pro talis ſanguis. Licet autem hæc cùm ex

A bubulcis; tum ex Ilium incolentibus percipere. Eorum enim vtimur commercio, vt pote Heleſpontiaci oſtij ripas habitantes: & fluuium, vt vides, mare facientes. Age hoſpes, iam clypeum reſumamus, quem neque ab Homero, neque à cæteris fuiſſe cognitum poëtis aſſerit Proteſilaus. *Phœnix.* Exoptanti mihi reddis, Vinitor, iſtum de clypeo ſermonem, eſt enim (vt puto) auditu rarum. *Vin.* Rariſſimum, quare animaduertens audi. B *Phœnix.* Animaduertens, inquis? ne feræ quidem in Orphéum canentem ſic inhiauerant: vt te audiens ego & aures arrigo, & mente inuigilo, omniáque ad memoriam colligo. Exiſtimo autem, me ex iis vnum eſſe, qui ad Troiam militarunt, vſque adeò à Semidiis de quibus diſſerimus, detentus ſum. *Vinitor.* Poſtquam igitur ita ſentis, ex Aulide ſoluamus, ô hoſpes: nam quod illic collecti fuerint Græci, C verum eſt. Orationis autem ingreſſus atque initium Proteſilao dedicetur, quòd Myſiam quidem tunc Telepho ſubditam, priuſquam Troiam diripuerint Græci: Telephúſque pro ſuis dimicans, ab Achille fuerit vulneratus, licet tibi & à Poëtis audire: neque enim hæc ab ipſis omiſſa ſunt. At credere quòd Græci regionem ignorantes, Priami res ſe depopulari arbitrarentur, Homeri de Calchante vate redarguit ſermonem. D Nam ſi ad vaticinium nauigabant: & artem ipſam ducem faciebant, quónam pacto illuc inuiti appulſi ſunt, aut aduecti, quòd ad Troiam irent, ignorarunt: cùm præſertim multis & bubulcis & paſtoribus occurrerent. nam hæc

ταῦτα, καὶ παρὰ τῶν βουκόλων, καὶ παρὰ τῶν οἰκούντων τὸ Ἴλιον. ἐπιμίγνυμεν γὰρ ἅτε τὰς ὄχθας οἰκοῦντες τῆς τοῦ Ἑλλησποντίου ἐκβολῶν, καὶ ποταμὸν ὡς ὁρᾷς πεποιημένοι τὴν θάλατταν. ἄγε δή, ξένε, τὴν ἀσπίδα ἤδη ἀναλάβωμεν, ἣν ὁ Πρωτεσίλεως Ὁμήρῳ τε ἠγνοῆσθαί φησι, καὶ ποιηταῖς πᾶσι. Φο. ποθοῦντι ἀποδίδως, ἀμπελουργέ, τὸν περὶ αὐτῆς λόγον. σπάνιον γὰρ οἶμαι διακοῦσαι. Αμ. σπανιώτατον. προσέχων δέ, ἀκρόω. Φοι. προσέχων λέγεις; οὐδὲ τὰ θηρία ἐς τὸν Ὀρφέα οὕτως ἐκεχήνει ᾄδοντα, ὡς ἐγώ σου ἀκούων, τά τε ὦτα ἵστημι, καὶ τὸν νοῦν ἐγρήγορα, καὶ ξυλλέγομαι ἐς τὴν μνήμην πάντα. ἡγοῦμαι δὲ καὶ τῶν ἐπὶ Τροίαν ἐστρατευκότων, εἷς εἶναι. τοσοῦτον κατέσχημαι τοῖς ἡμιθέοις ὑπὲρ ὧν διαλεγόμεθα. Αμ. οὐκοῦν ἐπειδὴ φρονεῖς οὕτως, αἴρωμεν ἐξ Αὐλίδος, ὦ ξένε. τὸ γὰρ ἐκεῖ συνειλέχθαι σφᾶς, ἀληθές. τὰ δὲ ἐμβατήρια τοῦ λόγου τῷ Πρωτεσίλεῳ εὔχθω. ὡς μὲν δὴ τὴν Μυσίαν περὶ Τροίας οἱ Ἀχαιοὶ ἐπόρθησαν ἐπὶ Τηλέφῳ τότε οὖσαν, καὶ ὡς ὁ Τήλεφος ὑπὲρ τῶν ἑαυτοῦ μαχόμενος, ἐτρώθη ὑπὸ τοῦ Ἀχιλλέως, ἔστι σοι καὶ ποιητῶν ἀκούειν. οὐ γὰρ ἐκλέλειπται αὐτοῖς ταῦτα. τὸ δὲ πεισθῆναι ὡς ἀγνοήσαντες οἱ Ἀχαιοὶ τὴν χώραν, τὰ τοῦ Πριάμου ἄγειν τε, καὶ φέρειν ᾤοντο, διαβάλλει τὸν τοῦ Ὁμήρου λόγον, ὃν περὶ Κάλχαντος λέγει τοῦ μάντεως. εἰ γὰρ ἐπὶ μαντικῇ ἔπλεον, καὶ τὴν τέχνην ἡγεμόνα ἐποιοῦντο, πῶς ἂν ἄκοντες ἐκεῖ καθωρμίσθησαν; πῶς δ' ἂν καθορμισθέντες, ἠγνόησαν ὅτι ἐς Τροίαν ἥκουσι; καὶ ταῦτα, πολλοῖς μὲν βουκόλοις ἐντετυχηκότες, πολλοῖς δὲ ἂν ποιμέσι· νέμεται τοῦ γὰρ ἡ

χώρα μέχρι θαλάττης, καὶ τοὔνομα ἐρωτᾶν τοῖς ξένοις συνήθες οἶμαι τοῖς καταπλέουσιν. εἰ δὲ καὶ μηδενὶ τούτων ἐνέτυχον, μηδὲ ἤροντο τῶν τοιούτων οὐδὲν, ἀλλ᾽ Ὀδυσσεύς γε, καὶ Μενέλεως ἐς Τροίαν ἤδη ἀφιγμένω τε, καὶ πεπρεσβευκότε, καὶ τὰ κρήδεμνα τοῦ Ἰλίου εἰδότε, οὐκ ἄν μοι δοκοῦσι περιϊδεῖν ταῦτα, οὐδ᾽ ἂν ξυγχωρῆσαι τῷ στρατῷ, διαμαρτάνοντι τῆς πολεμίας. ἑκόντες μὲν δὴ οἱ Ἀχαιοὶ, τοὺς Μυσοὺς ἐληΐζοντο λόγου ἐς αὐτοὺς ἥκοντος, ὡς ἄριστα ἠπειρωτῶν πράττοιεν. καί πη καὶ δεδιότες, μὴ πρόσοικοι τῷ Ἰλίῳ ὄντες, ἐς κοινωνίαν τῶν κινδύνων μετακληθῶσι. Τηλέφῳ δὲ Ἡρακλείδῃ τε ὄντι, καὶ ἄλλως γενναίῳ, καὶ ὡπλισμένης γῆς ἄρχοντι, οὐκ ἀνεκτὰ ταῦτα ἐφαίνετο. ὅθεν πολλὴν μὲν ἀσπίδα παρέταττε, πολλὴν δὲ ἵππον. ἦγε δὲ τοὺς μὲν, ἐκ τῆς ὑπ᾽ αὐτῷ Μυσίας. ἦρχε δὲ οἶμαι πάσης, ὁπόση ἐπὶ θαλάττῃ. οἱ δὲ ἐκ τῶν ἄνωθεν Μυσῶν ξυνεμάχουν, οὓς Ἀβίους τε οἱ ποιηταὶ καλοῦσι, καὶ ἵππων ποιμένας, καὶ τὸ γάλα αὐτῶν πίνοντας. τῆς τε γὰρ τῶν Ἀχαιῶν διανοίας, καθ᾽ ἣν ἐποιοῦντο τοὺς περίπλους, οὐκ οὔσης ἀδήλου, Τληπολέμου τε πέμψαντος ἐπὶ Ῥοδίας ὁλκάδος ἄγγελον ὡς ἀδελφῷ, καὶ κελεύσαντος ἀπὸ γλώττης αὐτῷ σημαίνειν ὁπόσα τῶν Ἀχαιῶν ἐν Αὐλίδι διέθετο, γράμματα γὰρ οὔπω εὕροιτο, πᾶσα ἡ μεσόγεια ἐς ξυμμαχίαν καταβεβήκει, καὶ τῷ πεδίῳ ἐπεκύμαινε τά Μύσιά τε, καὶ Σκυθικὰ ἔθνη. λέγει δὲ ὁ Πρωτεσίλεως, ὅτι καὶ μέγιστος αὐτοῖς ἀγώνων γένοιτο, τῶν τε ἐν αὐτῇ Τροίᾳ, καὶ ὁπόσοι πρὸς τοὺς βαρβάρους ὕστερον

A regio vſque ad mare paſcua exhibet, & nauigantibus (puto) mos eſt regionum nomina percunctari. Quòd ſi horum nihil conſecuti, ac percunctati fuiſſent, at Vlyſſes ſaltem, ac Menelaus, legati quondam ad Troiam profecti, atque Ilij Pergama conſpicati, haud videntur hæc fuiſſe deſpecturi: exercituíque conceſſuri, vt ab hoſtili aberrarent regione. Sponte igitur Græci depopulabãtur Myſos, cùm omnium Aſiam incolentium eſſe opulentiſ- B ſimos ac feliciſſimos accepiſſent. Id quoque præterea metuentes, ne proximi atque accolæ Ilio exiſtentes, ad diſcriminum ſocietatem accerſerentur. Hæc autem Telepho, vt pote ab Hercule genito, atque alioqui inclyto armatæ imperanti regioni, haudquaquam ferenda videbantur. Vnde tam clypeatorum, quàm equitum multas conſtruxit acies. Ducebat autem omnes ex ſibi ſubdita Myſia. Vniuerſæ nam- C que (vt puto) maritimæ imperabat. Superiorem præterea Myſiam incolentes, belli ſocietatem inierant: quos equarum paſtores, atque ipſarum lac bibentes, Abios Poëtæ appellant. Græcorum enim conſilio: quo nauigationis ambitum facerent, haudquaquam incognito, quòd Tlepolemus Rhodia nauicula actuaria nuncium ad fratrem miſerat: qui literis nondum repertis coràm ſignificaret, quæcunque D Græcorum in Aulide perſenſerat, vniuerſi mediterranei ad belli ſocietatem deſcenderant, Myſiæque ac Scythicæ gentes in campum confluebant. Aiebat autem Proteſilaus hoc Græcis omnium quæcunque & in ipſa Troia, & cum barbaris poſtea ſubierunt diſcrimina,

maximum extitiſſe. Nam & vniuerſi pariter Telephi in bello ſocij, & ſinguli, viri erant probatiſſimi: & vt Æacidæ, Diomedéſque, ac Patroclus, ab Achiuis canebantur: ſic & Telephus, ac Martis filius Æmus nominis claritate excellebant. nominatiſſimi prætere erant Iſtri, Scythici fluuij, filij Helorus, & Actæus. Vt autem Græci nauibus egrederentur, Myſi cum ſagittis, tum aliis quoque à terra telis minimè concedebant. At Achiui etiam non permittentibus Myſis, exire nitebantur: & Arcades, vtpote tunc primùm nauigantes, & in mari minimè exercitati, nauium nonnullas littori appulere. Ait enim (vt fortaſſe noſti) Homerus, Arcades ante Ilium nec nauticos fuiſſe, nec maritima opera attigiſſe: ſed Agamemnonem ſexaginta, quas ipſe præbuerat, nauibus eos, cùm nondum antea nauigaſſent, in mare deduxiſſe. Vnde rei quidem militaris peritiam, ac robur in pedites exhibebant. Nauigantes verò neque boni militis, neque remigis officio fungebantur. Naues igitur imperitia, atque audacia appulerunt: & ipſorum quidem multi ab iis qui in littore diſpoſiti erant, vulneribus affecti ſunt: pauci verò deſiderati. Achilles autem & Proteſilaus Arcadibus metuentes, vtpote ex compacto ambo pariter in terram deſiluerunt, Myſóſque expulere: cùm Græcorum omnium optimè armati ac pulcherrimi cernerentur, & iis qui admodum eſſent barbari, dæmones viderentur. Poſtea verò quàm Telephus exercitum in campum deduxit, & Græci per ſilentium appulſi ſunt, omnes qui nauibus vecti fuerant, præter guber-

A διεπολεμήθησαν Ἕλλησι. καὶ γὰρ καὶ κατὰ πλῆθος εὐδόκιμοι, καὶ κατ' ἄνδρα ἦσαν ἡ ξυμμαχία τοῦ Τηλέφου. καὶ ὥσπερ ὑπὸ τῶν Ἀχαιῶν Αἰακίδαι τε ᾔδοντο, καὶ Διομήδης, καὶ Πάτροκλοι, οὕτω Τηλέφου τε ὄνομα ἦν, καὶ Αἵμου τοῦ Ἄρεος, ὀνομαστότατοι δὲ τῶν ἦσαν Ἕλωρός τε, καὶ Ἀκταῖος, ποταμοῦ παῖδες τοῦ κατὰ Σκυθίαν Ἴστρου. τὴν μὲν δὴ ἀπόβασιν, οὐ ξυνεχώρουν οἱ Μυσοὶ ποιεῖσθαι, τοξεύοντες ἀπὸ τῆς

B γῆς, καὶ ἀκοντίζοντες. οἱ δὲ Ἀχαιοὶ, καὶ μὴ ξυγχωρούντων ἐβιάζοντο. καὶ οἱ Ἀρκάδες ὤκελλόν τινας τῶν νεῶν, ἅτε πρότερον πλέοντες, καὶ θαλάττης οὔπω γεγυμνασμένοι. φησὶ γὰρ ὥς που γινώσκεις Ὅμηρος, ὅτι μήτε ναυτικοὶ ἦσαν περὶ Ἴλιον Ἀρκάδες, μήτε ἔργων θαλαττίων ἥπτοντο. ἀλλ' ἐπὶ νεῶν ἑξήκοντα ὁ Ἀγαμέμνων ἐσηγάγετο αὐτοὺς ἐς τὴν θά-

C λατταν, αὐτὸς ἐπιδοὺς ναῦς οὔπω πεπλευκόσιν. ὅθεν ἐπιστήμην μὲν, ὁπόση πολεμικὴ, καὶ ῥώμην, ἐς τὰ πεζὰ παρείχοντο· πλέοντες δὲ, οὔτε ὁπλῖται ἀγαθοὶ ἦσαν, οὔτε ἐρέται. τὰς μὲν δὴ ναῦς, ἀπειρίᾳ τε, καὶ τόλμῃ ὤκελλον. καὶ πολλοὶ μὲν αὐτῶν ἐτρώθησαν ὑπὸ τῶν ἐν τῇ ῥαχίᾳ τεταγμένων· ὀλίγοι δὲ ἀπέθανον. Ἀχιλλεὺς δὲ καὶ Πρωτεσίλεως,

D δείσαντες ὑπὲρ τῶν Ἀρκάδων, ὥσπερ ἀπὸ συνθήματος ἄμφω ἅμα ἐς τὴν γῆν ἀπεπήδησαν, καὶ ἀπεώσαντο τοὺς Μυσοὺς, εὐοπλοτάτω ὀφθέντε, καὶ καλλίστω τοῦ Ἑλληνικοῦ· τοῖς δ' ἄγαν βαρβάροις, καὶ δαίμονες ἐδοξάτην. ἐπεὶ δὲ ὁ Τήλεφος ἐπανήγαγε τὸ στρατιὸν ἐς τὸ πεδίον, καὶ προσέπλευσαν οἱ Ἀχαιοὶ καθ' ἡσυχίαν, ἐξεπήδων αὐτίκα τῶν νεῶν, πλὴν κυ-

Βρυήτου, καὶ θεράπειαι, πάντες, οἷς ἡ ναῦς ἦγεν. ἐτάττοντο δὲ ὡς ἐς μάχην, κόσμον, καὶ σιωπὴν ἐν θυμῷ ἔχοντες. ὀρθῶς γὰρ τοῦτο τὸν Ὅμηρον περὶ αὐτῶν εἰρηκέναι φησὶν, ἐπαινοῦντα τὸ τῆς Ἑλληνικῆς μάχης ἦθος. ἧς ξύμβουλον γενέσθαι Αἴαντα τὸν Τελαμῶνος λέγει. Μενεσθέως γὰρ τοῦ Ἀθηναίου τακτικωτάτου τῶν βασιλέων ἐς Τροίαν ἐλθόντος, καὶ διδάσκοντος ἐν Αὐλίδι τὸ στρατιὸν πᾶσαν ὡς χρὴ συνηρμόσθαι, κραυγῇ τε χρωμένοις μὴ ἐπιπλήττοντος, οὐ ξυνεχώρει ὁ Αἴας, ἀλλ' ἐπετίμα. γυναικεῖόν τε ἀποφαίνων, καὶ ἄτακτον· ἔλεγε δὲ ὅτι καὶ τὸν θυμὸν ἡ κραυγὴ κακῶς ἑρμηνεύει. ταχθῆναι δὲ, πρὸς μὲν τοὺς Μυσοὺς, ἑαυτόν τε, καὶ τὸν Ἀχιλλέα φησὶν ὁμοῦ τῷ Πατρόκλῳ. πρὸς δὲ τὸν τοῦ Ἄρεος Αἵμονα, Διομήδην τε, καὶ Παλαμήδην, καὶ Σθένελον. πρὸς δὲ τοὺς ἀπὸ τοῦ Ἴστρου ἥκοντας, οἱ Ἀτρεΐδαι τε, καὶ ὁ Λοκρὸς, καὶ οἱ λοιποὶ ἐτάχθησαν. Αἴας δὲ ὁ μέγας, τοὺς μὲν τὰ πλήθη ἀποκτείνοντας, θεριστὰς ἡγεῖτο, μέγα οὐδὲν ἀμῶντας· τοὺς δὲ τῶν ἀρίστων κρατοῦντας, δρυτόμους ἐκάλει· καὶ ταύτης ἑαυτὸν τῆς μάχης ἠξίου μᾶλλον. ταῦτά οἱ καὶ ἐπὶ τοὺς τοῦ ποταμοῦ παῖδας ἦξεν, οὔτε τοῦ μέρους ἑαυτοῦ ὄντας, καὶ τὸν τοῦ Ἕκτορος τρόπον ἀπὸ τεττάρων μαχομένους ἵππων, βαίνων τε σοβαρὸν μετὰ τῆς αἰχμῆς, πρὸς τὴν ἀσπίδα ἐδούπησε, ταραχῆς ἕνεκα τῶν ἵππων. οἱ δὲ ἵπποι ἔκφρονές τε αὐτίκα ἐγένοντο, καὶ ὀρθοὶ ἀνεσκίρτησαν. ὅθεν ἀπιστήσαντες οἱ Σκύθαι τῷ ἅρματι, ἀπεπήδησάν τε αὐτοῦ ἀτακτοῦντος, καὶ ξυνέπεσον τῷ Αἴαντι· λόγου τε ἀξίως μαχόμενοι, ἄμφω ἀπέθανον.

A natores ac ſeruitia, in litus ſtatim emicabant, ordinémque, ac ſilentium continentes, vt ad pugnam ſtruebantur. Rectè namque hoc Homerum de ipſis dixiſſe aſſerit, dum Græcæ pugnæ cõſuetudinem commendat: cuius conſultorem Telamonis filium ait fuiſſe. Meneſtheo enim Athenienſi ſtruendæ aciei regum peritiſſimo, ad Troiam proficiſcente: atque in Aulide, vt inſtruendus eſſet exercitus edocente, B nec clamore vtentes increpante, Aiax minimè permittebat: quinimò corripiebat, muliebre atque innorme id eſſe iudicans. Dicebat præterea clamorem perperàm animum interpretari. Collocatos autem fuiſſe ait aduerſus quidem Myſos ſe: & vnà cum Patroclo Achillem. Aduerſus verò Martis filium Æmonem, Diomedem, Palamedémque, ac Sthenelum. Sed Atridæ, Locrúſque, ac reliqui in eos, qui C ab Iſtro venerant, inſtructi. Magnus autem Aiax, eos quidem qui multitudinem vulgúmque interficerent, meſſores eſſe magni, nihil metentes arbitrabatur. Qui verò optimos ſuperaſſent, arboricidas appellabat: & hac ſe ipſum pugna magis eſſe dignum cenſebat. Propterea igitur in fluminis quoque filios, nec eiuſdem partis exiſtentes, & ex quadrigis Hectoris more pugnãtes irruit, ſuperbéq. cum haſta in- D cedens, ſtrepitum ad perturbandos equos clypeo edidit. Equi autem & amentes repentè facti ſunt, & erecti reſultarunt. Vnde Scythæ curru vt pote perturbato, non amplius fidentes, ab eo deſiluere: & cum Aiace congreſſi ſunt: ſtrenuéque dimicantes ambo occidere.

Palamedis quoque geſta, vt ingentia memorat Proteſilaus, qui vnà cum Diomede, ac Sthenelo, cùm Æmum, & qui cum eo erant, interfeciſſet, ne virtutis quidem præmia conſequi dignum cenſebat: ſed illa quidem Diomedi habenda concedebat: quandoquidem pro fortium virorum honore ac gloria ipſum omnia agere nouerat. Si verò ſapientiæ coronam aliquam propoſuiſſet Græcia, hanc nemini concedebat, cùm & ſapientiæ eſſet ſtudioſiſſimus, & hoc vnum meditaretur. Cum Telepho autem ſe quidem conflixiſſe ait Proteſilaus, clypeúmque viuenti detraxiſſe. Achillem verò in nudum irruentem femori vulnus impegiſſe, vulneríſque poſtea in Troia medicum extitiſſe: tunc verò præ vulnere exanimatum Telephum fuiſſe moriturum, ni concurrentes Myſi ipſum de prælio recepiſſent: cùm interea Myſorum quàm plurimi ipſius cauſa cecidiſſe feruntur, quorum cruore infectus fluxit Caicus. Litem autem de clypeo aduerſus ſe, Achillem ait exercuiſſe: quandoquidem ipſe Telephum vulnerauerat. Sed Græcos clypeum ſibi magis conuenire decreuiſſe: quia vulnerari Telephus haudquaquam valuiſſet, ni illo fuiſſet ſpoliatus. Ait autem Proteſilaus, quòd Myſæ mulieres cum viris, ex equis vt Amazones pugnabant, Telephíque vxor Hiera huic equitatui imperabat. Hanc igitur Nireus dicitur interfeciſſe. Adoleſcentes enim totius exercitus, nec dum probatos aduerſus ipſas collocauerant. Occiſa autem Hiera, Myſæ exclamarunt, & cùm ſuum ipſarum equitatum perturbaſſent, in Caici paludes de-

A μνημονεύει ὁ Πρωτεσίλεως καὶ τῶν τοῦ Παλαμήδους ἔργων, ὡς μεγάλων, οἷς αὐτός τε, καὶ Διομήδης, καὶ Σθένελος, τὸν Αἵμονα, καὶ τοὺς ἀμφ' αὐτὸν ἀποκτείναντες, οὐδὲ ἀριστείων ὁ Παλαμήδης ἠξίου τυγχάνειν. ἀλλ' ἐκεῖνα μὲν, τῷ Διομήδει ξυνεχώρει ἔχειν, ἐπειδὴ πάνθ' ὑπὲρ τῆς τῶν πολεμικῶν τιμῆς τε καὶ δόξης ἐγίνωσκεν αὐτὸν πράττοντα. σοφίας δ' εἴ τινα στέφανον προθείη τὸ Ἑλληνικὸν,
B οὐκ ἂν ἐκστῆναι τούτου ἑτέρῳ, σοφίας τε ἀπ' ἀρχῆς ἐρῶν, καὶ μελετῶν τοῦτο. Τηλέφῳ δὲ ὁ Πρωτεσίλεως, αὐτὸς μὲν συμπλακῆναι φησὶ, καὶ τὴν ἀσπίδα ζῶντος περισπάσαι. τὸν δὲ Ἀχιλλέα γυμνῷ περιπεσόντα, ζῶσαι αὐτὸν εὐθὺ τοῦ μηροῦ, καὶ ἰατρὸν μὲν ὕστερον ἐν Τροίᾳ γενέσθαι τοῦ τραύματος· τότε δὲ λειποθυμῆσαί τε ὑπ' αὐτοῦ ὁ Τήλεφος, καὶ ἀποθανεῖν
C ἂν, εἰ μὴ οἱ Μυσοὶ ξυνδραμόντες, ἀνείλοντο αὐτὸν ἐκ τῆς μάχης. ὅτε δὴ λέγονται πολλοὶ τῶν Μυσῶν ἐπ' αὐτῷ πεσεῖν, ὑφ' ὧν ἡματωμένον ῥυῆναι τὸν Κάϊκον. λέγει δὲ ὡς καὶ δικάσαιτο μὲν πρὸς αὐτὸν ὁ Ἀχιλλεὺς περὶ τῆς ἀσπίδος, ἐπειδὴ ἐτίτρωσκε τὸν Τήλεφον. οἱ δὲ Ἀχαιοὶ ψηφίσαιντο αὐτῷ μᾶλλον προσήκειν τὴν ἀσπίδα, ὡς οὐκ ἂν τοῦ Τηλέφου τρωθέντος, εἰ μὴ ἐκείνης ἐγυμνώ-
D θη. φησὶ δὲ ὅτι καὶ Μυσαὶ γυναῖκες ἀφ' ἵππων ξυνεμάχοντο τοῖς ἀνδράσιν, ὥσπερ Ἀμαζόνες, καὶ ἦρχε τοῦ ἱππικοῦ ταύτης Ἱέρα, γυνὴ Τηλέφου. ταύτην δὴ λέγεται Νιρεὺς ἀποκτεῖναι. τὸ γὰρ μειρακιῶδες τοῦ στρατοῦ, καὶ οὔπω δόκιμον, πρὸς αὐτὰς ἔταξαν. πεσούσης δὲ, ἀνέκραγον αἱ Μυσαί. καὶ ξυνταράξασαι τὴν ἑαυτῶν ἵππον, ἐς τὰ τοῦ Καΐκου ἕλη

ἀπηνέχθησαν. τὴν δὲ Ἱέραν ταύτην ὁ Πρωτεσίλεως μεγίστην τε ὧν εἶδε γυναικῶν γενέσθαι λέγει, καλλίστην τε ἁπασῶν, ὁπόσαι ὄνομα ἐπὶ κάλλει ἤραντο. Ἑλένην μὲν γὰρ τὴν Μενέλεω γυναῖκα ἰδεῖν οὔ φησιν ἐν Τροίᾳ. νυνὶ δὲ, ὁρᾶν μὲν αὐτὴν τὴν Ἑλένην, καὶ οὐ μέμφεσθαι τὸ ὑπὲρ αὐτῆς ἀποθανεῖν. εἰ δὲ ἐνθυμηθείη τὴν Ἱέραν, τοσοῦτον αὐτὴν φησὶ πλεονεκτεῖν τῆς Ἑλένης, ὅσον κἀκείνη τῶν Τρῳάδων. καὶ οὐδὲ αὕτη, ξένε, Ὁμήρου ἐπαινέτου ἔτυχεν· ἀλλὰ Ἑλένῃ χαριζόμενος, οὐκ εἰσηγάγετο ἐς τὰ ἑαυτοῦ ποιήματα θείαν γυναῖκα. ἐφ' ᾗ καὶ παθεῖν τι οἱ Ἀχαιοὶ, καὶ πεσούσῃ λέγονται, καὶ παρακελεύσασθαι πρεσβύτεροι νέοις, μὴ σκυλεύειν τὴν Ἱέραν, μηδὲ προσάπτεσθαι κειμένης. ἐν ταύτῃ, ξένε, τῇ μάχῃ, πολλοὶ τῶν Ἀχαιῶν ἐτρώθησαν, καὶ λουτρὰ τοῖς τετρωμένοις μαντευτὰ ἐγένοντο, πηγαὶ θερμαὶ ἐν Ἰωνίᾳ, ἃς ἔτι καὶ νῦν Ἀγαμεμνονείους καλοῦσιν οἱ Σμύρναν οἰκοῦντες. ἀπέχουσι δὲ τετταράκοντα οἶμαι στάδια τοῦ ἄστεος. καὶ ἀνῆπτό ποτε αὐτοῖς αἰχμάλωτα κράνη Μύσια. Φο. τί οὖν, Ἀμπελουργὲ, φῶμεν; ἑκόντα τὸν Ὅμηρον, ἢ ἄκοντα παραλιπεῖν ταῦτα, οὕτως ἡδέα, καὶ ποιητικὰ ὄντα; Αμ. ἑκόντα ἴσως, ξένε. βουληθεὶς γὰρ τὴν Ἑλένην ὡς ἀρίστην γυναικῶν ὑμνῆσαι ἐπὶ τῷ κάλλει, καὶ τὰς Τρωϊκὰς μάχας ὡς μεγίστας τῶν ἀλλαχοῦ διαπολεμηθεισῶν ἐπαινέσαι, Παλαμήδην τε καὶ τὸν θεῖον ἐξαίρετον ἅπαντος λόγου διὰ τὸν Ὀδυσσέα, Ἀχιλλεῖ τε μόνῳ τὰ μαχιμώτατα τῶν ἔργων οὕτως ἀνατιθεὶς, ὡς ἐκλανθάνεσθαι τῶν ἄλλων Α-

A latæ ſunt. Hanc autem Hieram Proteſilaus omnium, quas vnquam viderit, mulierum fuiſſe maximam fatetur, omniúmque earum pulcherrimam, quæcunque pulchritudinis nomen conſecutæ ſunt. Etenim Helenam Menelaï vxorem in Troia quidem vidiſſe inficiatur. Nunc verò ait ſe ipſam Helenen intueri, nec quòd pro ipſa deceſſerit accuſare. Sed ſi Hieram in mentem redegerit, tanto ipſam Helene eſſe
B præſtantiorem contendit, quanto illa Troianis præſtiterit mulieribus. Et ne hæc quidem, hoſpes, ab Homero laudem conſecuta eſt. Verùm Helenæ gratificans, in ſua ipſius poëmata diuinam haudquaquam induxit mulierem. Cuius etiam occiſæ cauſa, neſcio quid paſſi dicuntur Achiui, imperaſſéque iuuenibus ſeniores, ne Hieram exuerent, nec ia-
C centem attingerent. In hac, hoſpes, pugna, Græcorum multi vulneribus affecti ſunt: & balinea vulneratis ex vaticinio fuere, tepidi in Ionia fontes, quos nunc quoque Smyrnam incolentes, Agamemnonios appellant. Quadraginta autem (puto) ſtadia ab vrbe diſtant: & Myſiæ captiuæ galeæ olim ipſis dicatæ. *Phœnix.* Quid igitur, Vinitor, dicemus? ſponténe an inuitum Homerum hæc tam ſuauia, ac poëtica reliquiſſe? *Vinitor.* Sponte for-
D taſſe. Nam cùm vellet Helenen, vt pote mulierum optimam pulchritudinis cauſa celebrare, Troianáque prælia, vt omnium quæ nunquam alibi geſta ſint maxima, laudibus proſequi, diuinúmque Palamedem, vt Vlyſſi gratificaretur, de ſuo exciperet ſermone: & vni Achilli operum præſtantiſſima ita adſcriberet, vt Achille pugnante,

ceterorum omnium obliuiſceretur: neque Myſia compoſuit carmina, neque huius belli meminit, in quo & mulier Helene formoſior, & viri Achilli fortitudine minimè inferiores, & probatiſſimum certamen inueniri potuiſſet. Quòd ſi Palamedis mentionem feciſſet, non vtique inueniſſet, quo pacto Vlyſſis opprobrium in ipſum celaret. *Phœnix.* Quid igitur Proteſilaus de Homero ſentit? Huius enim poëmata ipſum aiebas explorare. *Vinit.* Homerum ait (ô hoſpes) vt pote in harmonia muſica omnes ceciniſſe poëticos tropos, cunctóſque ſui temporis poëtas, in quo quiſque maximè excelleret, ſuperaſſe. Magniloquentiam enim ſupra Orpheum exercuiſſe, Heſiodúmque ſuauitate viciſſe, & alio alium: & Troicum ſibi ſubieciſſe ſermonem, in quem Græcorum, ac barbarorum omnium virtutes fortuna contulit. Adduxiſſe autem in ipſum bella, hæc quidem in viros, illa verò aduerſus equos ac mœnia, alia contra fluuios, nonnulla aduerſus Deos ac Deas, & præterea quæcunq. in pace exiſtunt, choreas, odas, amoréſque atque epulas, & quæ ad agrorum cultum pertinent, opera & tempora, quæ quid in agris ſit agendum, ſignificent: nauigationes, & quæ fabrefecit Vulcanus arma, virorúmque ſpecies, ac varios mores. Hæc omnia Homerum ait diuinitùs expreſſiſſe, eóſque qui ipſum haud diligunt, inſanire. Appellat autem ipſum Troiæ conditorem, quòd ex Homeri in ipſam luctibus ſit nomen conſecuta. Illa etiam Homeri carmina admiratione proſequitur, quibus ceteros poë-

A χαιῶν, ὁπότε Ἀχιλλεὺς μάχοιτο, οὔτε Μύσια ἐποίησεν ἔπη, οὔτε ἐς μνήμην κατέστη τοῦ ἔργου τούτου. ἐν ᾧ καὶ γυνὴ καλλίων Ἑλένης εὗρον᾽ ἄν, καὶ ἄνδρες οὐ παραπολὺ Ἀχιλλέως τὴν ἀνδρείαν, καὶ ἀγὼν εὐδοκιμώτατος. Παλαμήδους δὲ μνημονεύσας, οὐκ ἂν εὗρεν ὅπως ποτὲ κρύψῃ τὸ τοῦ Οδυσσέως ἐπ᾽ αὐτῷ ὄνειδος. Φοι. πῶς οὖν ὁ Πρωτεσίλεως περὶ τοῦ
B Ομήρου φρονεῖ; βασανίζειν γάρ που αὐτὸν ἔλεγες τὰ τούτου ποιήματα. Αμ. τὸν Ομηρον φησὶ, ξένε, καθάπερ ἐν ἁρμονίᾳ μουσικῇ πάντας ᾆσαι τοὺς ποιητικοὺς τρόπους. καὶ τοὺς ποιητὰς, ἐφ᾽ οἷς ἐγένετο, ὑπερβεβλῆσθαι πάντας ἐν ὅτῳ ἕκαστος ἦν αὐτῶν κράτιστος. μεγαλορρημοσύνην τε γὰρ ὑπὲρ τὸν Ορφέα ἀσκῆσαι, ἡδονῇ τε ὑπερβαλέσθαι τὸν Ησίοδον, καὶ ἄλλῳ ἄλλον. καὶ λόγον μὲν ὑποθέσθαι
C Τρωϊκὸν, ἐς ὃν ἡ τύχη τὰς πάντων Ἑλλήνων τε καὶ βαρβάρων ἀρετὰς ξυνήνεγκεν. εἰσαγαγέσθαι δὲ ἐς αὐτὸν πολέμους, τοὺς μὲν, πρὸς ἄνδρας. τοὺς δὲ, πρὸς ἵππους, καὶ τείχη· τοὺς δὲ, πρὸς τὰς μούσας· τοὺς δὲ, πρὸς ποταμούς· τοὺς δὲ, πρὸς θεοὺς, καὶ θεάς τε, ὁπόσαι κατ᾽ εἰρήνην εἰσὶ, καὶ χοροὺς, καὶ ᾠδὰς, καὶ ἔρωτας, καὶ δαῖτας. ἔργα τε ὧν γεωργία
D ἅπτεται, καὶ ὥρας, αἳ σημαίνουσιν ὁπόσα χρὴ ἐς τὴν γῆν πράττειν καὶ ναυτιλίας, καὶ ὁπλοποιΐαν τὴν ἐν Ηφαίστῳ. εἴδη τε ἀνδρῶν, καὶ ἤθη ποικίλα. ταῦτα πάντα τὸν Ομηρον δαιμονίως ἐξηργάσθαι φησὶ, καὶ τοὺς μὴ ἐρῶντας αὐτοῦ μαίνεσθαι. καλεῖ δὲ αὐτὸν καὶ οἰκιστὴν Τροίας, ἐπειδὴ εὐδοκίμησεν ἐκ τῶν Ομήρου ἐπ᾽ αὐτῇ θρήνων. θαυμάζει δὲ αὐτοῦ καὶ ὁπόσα ἐπιτιμᾷ τοῖς

A ὁμοτέχνοις, ὅτι μὴ τραχέως διορθοῦται σφᾶς, ἀλλ' οἷον ἐνκλανθάνων. Ἡσίοδον μὲν, ἐν ἄλλοις τε οὐκ ὀλίγοις, καὶ τῇ Δὶ ἐν τοῖς ἐκτυπώμασι τῶν ἀσπίδων. ἑρμηνεύων γὰρ ὁπότε ποτὲ τὴν τοῦ Κύκνου ἀσπίδα, τὸ τῆς Γοργοῦς εἶδος ὑπτίως τε, καὶ οὐ ποιητικῶς ᾖσεν ὅθεν ἐπιστρέφων αὐτὸν ὁ Ὅμηρος.

Τῇ δ' ἐπὶ μὲν Γοργὼ βλοσυρῶπις ἐ- (στεφάνωτο
Δεινὸν δερκομένη, περὶ δὲ, Δεῖμός τε, Φό-
βος τε.

B οὑτωσὶ τὴν Γοργὼ ᾄδει. Ὀρφέα δὲ ἐν πολλοῖς τῶν κατὰ τὴν θεολογίαν ὑπερῆρε. Μουσαῖον δὲ, ἐν ᾠδαῖς χρησμῶν. καὶ μὴν καὶ Πάμφω, σοφῶς ἐνθυμηθέντος ὅτι Ζεὺς εἴη τὸ ζωογονοῦν, καὶ δι' οὗ ἀνίσταται ἐκ τῆς γῆς πάντα. εὐηθέστερον δὲ χρησαμένου τῷ λόγῳ, καὶ καταβεβλημένα ἔπη ἐς τὸν Δία ᾄσαντος. ἔστι γὰρ ταῦτα τοῦ Πάμφω ἔπη,

C Ζεῦ κύδιστε, μέγιστε θεῶν, εἰλημένε κό- (πρῳ
Μηλείῃ τε, καὶ ἱππείῃ, καὶ ἡμιονείῃ.

τὸν Ὅμηρον ὁ Πρωτεσίλεως φησὶν ἐπάξιον τοῦ Διὸς ᾆσαι ὕμνον.

Ζεῦ κύδιστε, μέγιστε, κελαινεφὲς, αἰθέρι (ναίων.

ὡς οἰκοῦντος μὲν αὐτοῦ τὸ καθαρώτατον, ἐργαζομένου δὲ ἔμβια τὰ ὑπὸ τῷ αἰθέρι. καὶ τὰς μάχας δὲ ὁπόσαι τῷ Ποσειδῶνι μὲν πρὸς Ἀπόλλω, Λητοῖ

D δὲ πρὸς Ἑρμῆν ἐγένοντο, καὶ ὡς ἐμάχοντο ἡ Ἀθηνᾶ τῷ Ἄρει, καὶ ὁ Ἥφαιστος τῷ ὕδατι, ταῦτα τὸν Ὀρφέως τρόπον πεφιλοσοφῆσθαι τῷ Ὁμήρῳ φησὶ, καὶ οὐ μεμπτὰ εἶναι πρὸς ἔκπληξιν, καὶ θεῖα, ὥσπερ τὸ, ἀμφὶ δὲ σάλπιγξε μέγας οὐρανὸς, καὶ ἀνεπήδησεν Ἀϊδωνεὺς τοῦ θρόνου, τιναασομένης τῆς γῆς ἐκ Ποσειδῶνος. μέμφεται δὲ τοῦ Ὁμήρου ἐκεῖνα. πρῶ-

A tas increpat, quoniam non aſperè ſed vt latens ipſos corrigit. Heſiodum quidem cùm in aliis non paucis, tum per Iouem in clypeorum *expreſſionibus*. Hic enim Cygni clypeum quandoque interpretans Gorgonis ſpeciem ſupinè, ac minimè poëticè cecinit. Vnde ipſum monens Homerus ait,

Terribiles oculos voluẽs ibi ſæua Meduſa,
Conſtuit; hanc circum ſtabant Horrórque Pauórque.

B Sic Gorgonem canit. Orpheum autem in multis ad Theologiam pertinentibus ſuperauit, necnon & Muſæum in oraculorum odis. Præterea etiam cùm Pamphus ſapienter quidem animaduertiſſet Iouem eſſe animantium genitorem, & per quem omnia è terra oriuntur, ignauius verò ac ſimplicius eſſet vſus oratione, demiſſaque in Iouem ceciniſſet carmina. Sunt enim Pamphi verſus:

C *Iuppiter excelſe, & quem turpia ſtercora cingunt,*
Immundúſque ouium fimus & muli atque caballi.

Homerum Proteſilaus ait pro dignitate Iouis hymnum ceciniſſe:

Iuppiter illuſtris, nubes atque æthera torquens.

vtpote incolente quidem ipſo quod puriſſimum eſt, animata verò quæ ſub æthere ſunt reddente. Pugnas autem quæcunque Neptuno quidem aduerſus Apollinem: Latonæ

D verò in Mercurium fuere, & quòd Pallas cum Marte, Vulcanúſque cum aqua pugnauerint, hæc ad Orphei modum Homerum ait fuiſſe philoſophatum. Nec eſſe damnanda, ad ſtuporem; quinimo diuina, vt & illud, *Circum autem magnum intonuit cælum, & à ſede reſultauit Pluto, concuſſa à Neptuno terra.* Illa verò Homeri accuſat: primùm

mùm quidem quòd cùm Deos hominibus miſcuerit, de hominibus quidem ingentia, de Diis verò exigua ac vilia dixerit. Deinde quòd planè cognoſcens Helenen in Ægypto eſſe vnà cum Paride à ventis delatam; hic verò ipſam ad Ilij murum adducit, quæ in campo erant mala, ſpectaturam. Etenim par erat, etiam ſi per aliam mulierem hæc facta fuiſſent, tegere, ac minimè cernere, cùm ad generis calumniam ſpectarent. Cùm autem Paris, ne in Troia quidem ob Helenes raptum laudaretur, neque Hectorem ait virum temperatiſſimum, quin ipſa, ſi Ilij fuiſſet, Menelao redderetur, fuiſſe paſſurum: neque Priamum multis iam ſibi interemptis liberis, Paridi vt deliciosè ageret, permiſſurum fuiſſe: neque Helenen, quin ab illis Troianis mulieribus occideretur, fuiſſe declinaturam, quæcunque viros, aut fratres, aut filios amiſiſſent. Fortè verò ipſam ob contractum in Troia odium, ad Menelaum fuiſſe transfugituram. Excipiatur autem & certamen, quod Paridem pro Helene cum Menelao ſub belli fœderibus concertaſſe inquit Homerus. Etenim in Ægypto Helenen fuiſſe ait: Græcóſque id iam diu haud ignorantes, illi quidem valere dixiſſe. Pro Troianis verò opibus dimicaſſe, ne illa quidem Homeri laudat Proteſilaus, quòd cùm Troicum ſibi ſubieciſſet ſermonem, poſt Hectorem à ſermone tranſilit, vtpote ad alium properans ſermonem, quo Vlyſſem deſcribit, & Demodoci quidem, ac Phemij odis, Troiæ direptionem, Epeíque ac Palladis equum canit. Percurrit vero hæc,

A τὸν μὲν, ὅτι θεοὺς ἐγκαταμίξας ἀνθρώποις, περὶ μὲν τῶν ἀνθρώπων μεγάλα εἴρηκε, περὶ δὲ τῶν θεῶν, μικρὰ, καὶ φαῦλα. εἶτα καὶ ὅτι σαφῶς γινώσκων ὡς ἐν Αἰγύπτῳ ἡ Ἑλένη ἐγένετο, ἀπενεχθεῖσα ὑπὸ τῶν ἀνέμων ὁμοῦ τῷ Πάριδι. ὁ δὲ, ἄγει αὐτὴν ἐπὶ τὸ τοῦ Ἰλίου τεῖχος, ὀψομένην τὰ ἐν τῷ πεδίῳ κακά. καὶ ἦν εἰκὸς εἰ καὶ δι' ἑτέραν γυναῖκα ταῦτα ἐγένετο, ξυγκαλύπτεσθαί τε, καὶ μὴ ὁρᾶν
B αὐτὰ, διαβεβλημένου τοῦ γένους. ἐπαινουμένου δὲ, οὔτε ἐν αὐτῇ τῇ Τροίᾳ Πάριδος ἐπὶ τῇ ἁρπαγῇ τῆς Ἑλένης, οὔτ' ἂν Ἕκτορα τὸν σωφρονέστατον καρτερῆσαί φησι, τὸ μὴ οὐκ ἀποδοῦναι αὐτὴν τῷ Μενέλεῳ ἐν Ἰλίῳ οὖσαν, οὔτ' ἂν Πρίαμον ξυγχωρῆσαι τρυφᾶν τῷ Πάριδι, πολλῶν ἤδη ἀπολωλότων αὐτῷ παίδων, οὔτ' ἂν τὴν Ἑλένην διαφυγεῖν τὸ
C μὴ οὐκ ἀποθανεῖν ὑπὸ τῶν Τρῳάδων, ὁπόσων ἤδη ἄνδρες ἀπολώλεσαν, καὶ ἀδελφοὶ, καὶ παῖδες. ἴσως δ' ἂν καὶ ἀποδρᾶναι αὐτὴν παρὰ τὸν Μενέλεων διὰ τὸ ἐν τῇ Τροίᾳ μῖσος. ἐξῃρήσθω δὲ καὶ ὁ ἀγὼν, ὅν φησιν Ὅμηρος ὑπὲρ τῆς Ἑλένης ἀγωνίσασθαι τῷ Μενέλεῳ τὸν Πάριν ἐπὶ σπονδαῖς τοῦ πολέμου. κατ' Αἴγυπτον γὰρ τὴν Ἑλένην εἶναι, καὶ τοὺς Ἀ-
D χαιοὺς πάλαι τοῦτο γινώσκοντας, ἐκείνῃ μὲν ἐρρῶσθαι φράζειν, μάχεσθαι δὲ ὑπὲρ τοῦ ἐν τῇ Τροίᾳ πλούτου. οὐδὲ ἐκεῖνα ὁ Πρωτεσίλεως ἐπαινεῖ τοῦ Ὁμήρου, ὅτι λόγον ὑποθέμενος Τρωϊκὸν, ἀποπηδᾷ τοῦ λόγου μετὰ τὸν Ἕκτορα, καθάπερ σπεύδων ἐπὶ τὸν ἕτερον τῶν λόγων, ᾧ τὴν Ὀδυσσείαν ἐπιγράφει. καὶ ᾄδει μὲν ἐν ᾠδαῖς Δημοδόκου τε, καὶ Φημίου, τὴν τοῦ Ἰλίου πόρθησιν, καὶ τοῦ Ἐπειοῦ τε, καὶ Ἀθηνᾶς ἵππον. διέξεισι δὲ αὐτὰ ἀπο-

τιμῶν τοῦ λόγου, καὶ ἀναπιθεὶς Ὀδυσσεῖ μᾶλλον, δι' ὃν Κυκλώπων τε αὐτῷ ἐπενοήθη γένος, οὐδαμοῦ τῆς γῆς φύντες. Λαιστρυγόνες τε ἀνετυπώθησαν, οἷς οὐδεὶς οἶδεν ὅπου γενόμενοι. Κίρκη τε δαίμων ἐξεποιήθη σοφὴ ἐπὶ φαρμάκοις. καὶ θεαὶ ἕτεραι, ἐρῶν αὐτοῦ· καί τοι προήκοντος αὐτοῦ ἤδη ἐς ὠμὸν γῆρας, ὅτε καὶ τὰς ὑακινθίνους κόμας, αἳ ἐπὶ τὴν Ναυσικάαν αὐτῷ ἤνθησαν, φαίνεται ἔχων. ὅθεν ὁ Πρωτεσίλεως παίγνιον τὸν Ὀδυσσέα καλεῖ τοῦ Ὁμήρου. οὐδὲ γὰρ τῆς λεγομένης αὐτοῦ σοφίας ἤρα ἡ κόρη. τί γὰρ σοφὸν εἶπε, πρὸς τὴν Ναυσικάαν, ἢ ἔπραξε; καλεῖ δὲ αὐτὸν Ὁμήρου παίγνιον καὶ ἐν τῇ ἄλλῃ. καθεύδων τε γὰρ πολλαχοῦ ἀπόλλυται, καὶ ἐκφέρεται τῆς νεὼς τῶν Φαιάκων, ὥσπερ ἀποθανὼν ἐν τῇ εὐπλοίᾳ. τὴν δὲ τοῦ Ποσειδῶνος μῆνιν, δι' ἣν οὔτε ναῦς ὑπελείφθη τῷ Ὀδυσσεῖ οὐδεμία, καὶ οἱ ἄνδρες οἱ πληροῦντες αὐτὰς ἀπώλοντο, οὐχ ὑπὲρ τοῦ Πολυφήμου γενέσθαι φησίν, οὔτε γὰρ ἀφικέσθαι τὸν Ὀδυσσέα ἐς ἤθη τοιαῦτα, οὔτ' ἂν εἰ Ποσειδῶνι Κύκλωψ παῖς ἐγένετο μηνῖσαι τὸν Ποσειδῶ ποτε ὑπὲρ τοῦ τοιούτου παιδὸς, ὡς λέοντος ὠμοῦ δίκην σὺν ἀνθρώποις ἤσθιεν, ἀλλ' ὑπὲρ τοῦ Παλαμήδους, υἱωνοῦ ὄντος, ἄπλουν μὲν τὴν θάλασσαν τῷ Ὀδυσσεῖ ἐποίει. διαφυγόντα δὲ αὐτὸν τὰ ἐκεῖ πάθη, ἀπώλεσεν αὐτῇ Ἰθάκῃ ὕστερον, θαλαττίαν οἶμαι αἰχμὴν ἐπ' αὐτὸν δούς. λέγει δὲ τὴν τοῦ Ἀχιλλέως μῆνιν οὐχ ὑπὲρ τῆς τοῦ Χρύσου θυγατρὸς ἐμπεσεῖν τοῖς Ἕλλησιν, ἀλλὰ κἀκεῖνον ὑπὲρ τοῦ Παλαμήδους μηνίσαι. καὶ ἀποκείσθω μοι ὁ λόγος οὗτος, ἐς τὰ τοῦ Ἀχιλλέως ἔργα. δίειμι γὰρ καὶ καθ' ἕνα σὺν

A Troicum abſcindens ſermonem, Vlyſſique potius dedicans: propter quem Cyclopum ab ipſo excogitatum eſt genus, cùm nuſquam terrarum fuerint, expreſſique Læſtrygones, quos nemo vbi vnquam fuerint, nouit. Circen præterea Deã, venenorum peritam, aliáſque Deas ipſius Vlyſſis, licet ad crudam vergentis ſenectam, amore captas confinxit: cùm & hyacinthinas comas,
B quæ apud Nauſicaam ipſi floruerunt, habere videatur. Vnde Homeri ludibrium, Proteſilaus Vlyſſem appellat: neque enim celebratam ipſius ſapientiam, diligebat puellam. Quid enim apud Nauſicaam ſapienter aut dixit, aut egit? Vocat autẽ ipſum Homeri ludibriũ & alibi. Dormiens etenim multis in locis perit, & ex Phæacum naui, vt in ſecũda nauigatione defunctus effertur. Neptuni autem iram, qua
C & nulla eſt, Vlyſſi relicta nauis, & qui eas implebant nautæ periere, non Polyphemi cauſa fuiſſe aſſerit. Neque enim Vlyſſem ad huiuſmodi perueniſſe domicilia: neque ſi Neptuno Cyclops fuiſſet filius, pro tali filio potuiſſe vnquam ad iram concitari Neptunum, qui ſæui leonis more homines deuoraret. Sed propter Palamedem nepotem, nauigatu difficile quidem Vlyſſi reddebat mare. Cùm verò maris diſ-
D crimina euaſiſſet, in ipſa Ithaca eum poſtea perdidit, cùm marinam (vt puto) cuſpidem in ipſum edidiſſet. Ait autem Achillis quoque iram haud ob Chryſæ filiam Græcis incidiſſe: verùm & illum Palamedis cauſa fuiſſe iratum. Sed hic ſermo ad Achillis facinora reſeruetur. Omnes enim percurram

heroas, quæ de ipſis à Proteſilao audiuerim referens. *Phœnix.* Ad ſuauiſſimã mihi orationem perueniſti.

Quadrupedúmque virúmque ſonus iam
percutit aures:

magníque aliquid boni me auditurum auguror. *Vinitor.* Audi hoſpes. Nihil autem me prætereat Proteſilaus: nec eorum quæ audiui quicquam obliuiſcar.

NESTOR.

Itaque Neſtorem Nelei filium, Græcorum natu maximum, ad Troiam veniſſe dicit: multíſque exercitatum bellis, ætate iam vigente ſibi exhauſtis, gymnicíſque certaminibus, in quibus pugilatus, ac luctæ præmia proponebantur, & quod ad ſtruendos tam pedites quàm equites pertinet, hominum optimè tenentem, & ab adoleſcentia ita populum ducentem, vt per Iouem non ipſi adularetur, ſed modeſtiorem redderet. Agere autem ipſum orationis pulchritudine, ac ſuauitate. Vnde & increpationes, quibus vteretur, minimè rudes atque iniucundas videri: & quæcunque de ipſo ab Homero dicta ſunt, verè omnia dicta eſſe fatetur. Præterea etiam quæcunque alij de Geryonis bobus dixere, quòd ſcilicet Herculi eas Neleus, ac ceteri præter Neſtorem Nelidæ abſtulerint, vt vera, nec adinuenta, ſiue ficta laude proſequitur Proteſilaus. Herculem enim æquitatis præmium Meſſenen Neſtori dediſſe, quòd non vt fratres quicquam aduerſus boues deliquiſſet. Dicitur autem Hercules ipſius modeſtiſſimi ac formoſiſſimi exiſtentis, amore fuiſſe captus, magíſque ipſum quàm Hyllam aut Abderum dilexiſſe. Hi enim puelluli adhuc erant, atque ad-

A ἥρως, ἀπαγγέλλων ὅσα τοῦ Πρωτεσίλεω
περὶ αὐτῶν ἤκουσα. Φοῖ. ἥκεις ἐπὶ τὸν
ἥδιστον ἐμοὶ τῶν λόγων. ἵππων γὰρ ἤδη
δή με, καὶ ἀνδρῶν ἀμφὶ κτύπος οὔατα
βάλλει. καὶ μαντεύομαί τι ἀγαθὸν ἀ-
κούσεσθαι μέγα. Αμ. ἄκουε, ξένε. πα-
ρέλθοι δέ μοι, ὦ Πρωτεσίλεω, μηδὲν,
μηδὲ ἐκλαθοίμην τινὸς ὧν ἤκουσα.

ΝΕΣΤΩΡ.

Πρεσβύτατον μὲν τοίνυν τοῦ Ἑλληνι-
B κοῦ φησιν ἐλθεῖν ἐς Τροίαν, τὸν Νηλέως
Νέστορα, πολέμων τε πολλῶν γεγυ-
μνασμένον, οἳ ἐφ' ἡλικίας αὐτῷ ἐπο-
λεμήθησαν, ἀγώνων τε γυμνικῶν, ἐν οἷς
πυγμῆς καὶ πάλης ἆθλα ἐτίθετο, τακτι-
κήν τε, ὁπόση ὁπλιτῶν τε, καὶ ἵππων, ἄ-
ριστα δὴ ἀνθρώπων γιγνώσκοντα. δη-
μαγωγίᾳ τε ἐκ μειρακίου ξυμβεβη-
κότα, μὰ Δί' οὐ τῇ κολακευούσῃ τοὺς
C δήμους, ἀλλὰ τῇ σωφρονιζούσῃ· πράτ-
τειν δὲ αὐτὸν ξὺν ὥρᾳ τε καὶ ἡδονῇ τῶν
λόγων. ὅθεν καὶ τὰς ἐπιπλήξεις ἃς ἐποιεῖ-
το, μὴ ἀγροίκους, μηδὲ ἀηδεῖς φαίνε-
σθαι. καὶ ὁπόσα Ὁμήρῳ περὶ αὐτοῦ εἴρηται,
σὺν ἀληθείᾳ φησὶν εἰρῆσθαι. καὶ μὴν καὶ
ὁπόσα ἕτεροι περὶ τῶν τοῦ Γηρυόνου βοῶν
εἶπον, ὡς ἀφείλοντο αὐτὰς τὸν Ἡρα-
κλέα Νηλεύς τε, καὶ οἱ Νηλεῖδαι, πλὴν
D Νέστορος, ἐπαινεῖ ὁ Πρωτεσίλεως ὡς ἀ-
ληθῆ, καὶ μὴ παρευρημένα. τὸν γάρ τοι
Ἡρακλέα δικαιοσύνης μισθὸν τῷ Νέ-
στορι δοῦναι τὴν Μεσσήνην, ἐπεὶ μηδὲν
ὧν οἱ ἀδελφοὶ περὶ τὰς βοῦς ἥμαρτε.
λέγεται δὲ καὶ ἁλῶναι αὐτοῦ ὁ Ἡρακλῆς,
σωφρονεστάτου τε, καὶ καλλίστου ὄντος· ἀ-
γαπῆσαί τε αὐτὸν μᾶλλον, ἢ τὸν Ὕλλαν
τε, καὶ τὸν Ἄβδηρον· οἱ μὲν γὰρ παιδάρια

ἦσαν, καὶ κομιδῇ νήπιοι. Νέστορι δ' ἐφήβῳ ἤδη ἐντυχεῖν αὐτόν, καὶ ἀρετὴν ἀσκοῦντι, ὁπόση ψυχῆς τε, καὶ σώματος· ὅθεν ἀγαπῆσαί τε, καὶ ἀγαπηθῆναι. τό τοι διομνύναι τὸν Ἡρακλέα, οὔπω συνήθες τοῖς ἀνθρώποις, ὃν πρῶτόν γε νομίσαι φησὶ τὸν Νέστορα, καὶ παραδοῦναι τοῖς ἐν Τροίᾳ.

ΑΝΤΙΛΟΧΟΣ.

Γενέσθαι δ' αὐτῷ καὶ παῖδα Ἀντίλοχον, ὃν μεσοῦντος ἤδη τοῦ πολέμου ἐλθεῖν. νέον μὲν γὰρ εἶναι τὸν Ἀντίλοχον, καὶ οὐκ ἐν ὥρᾳ τῶν πολεμικῶν, ὁπότε ξυνηγέροντο ἐς Αὐλίδα. βουλομένῳ δ' αὐτῷ στρατεύειν, οὐ ξυγχωρῆσαι τὸν πατέρα. τὸν δὲ ἐπειδὴ πέμπτον ἔτος ἤδη προσεβεβήκει τῷ πολέμῳ, νεώς τε ἐπιβάντα, ἀφικέσθαι, καὶ παρελθόντα ἐς τὴν τοῦ Ἀχιλλέως σκηνήν, ἐπειδὴ τοῦτον ἐπιτηδειότατον εἶναι τῷ πατρὶ ἤκουεν, ἱκετεῦσαι τὸν Ἀχιλλέα παραιτήσασθαι αὐτὸν τοῦ πατρός, εἴ πως ἀπειθήσαντι μὴ ἄχθοιτο. ὁ δέ, ἡσθεὶς τῇ τοῦ Ἀντιλόχου ὥρᾳ, καὶ τῆς προθυμίας ἀγασθεὶς αὐτόν, οὔπω τὸν πατέρα, εἶπεν, ὦ μειράκιον, τὸν σεαυτοῦ γινώσκεις, εἰ μὴ ὑπ' αὐτοῦ ἐπαινεθήσεσθαι μᾶλλον οἴει, ἔργον φιλότιμόν τε, καὶ νεανικὸν εἰργασμένος. καὶ ὀρθῶς εἶπεν ὁ Ἀχιλλεὺς ταῦτα. ὑπερησθεὶς γὰρ τῷ παιδὶ ὁ Νέστωρ, καὶ ἐπ' αὐτῷ μεγαλοφρονήσας, ἄγει αὐτὸν παρὰ τὸν Ἀγαμέμνονα. ὁ δ' αὐτίκα ξυγκαλεῖ τοὺς Ἀχαιούς. καὶ λέγεται ἄριστα ἑαυτοῦ διαλεχθῆναι τό τε ὁ Νέστωρ. ξυνελθεῖν μὲν γὰρ αὐτοὺς χαίροντας ἐπὶ τῷ παῖδα ὄψεσθαι Νέστορος. οὐδὲ γὰρ εἶναι αὐτῷ ἐν Τροίᾳ υἱόν,

A modum infantes. Neſtor verò iam ephebus, animi ac corporis virtutem exercebat. Quo factum eſt, vt non magis eum Hercules diligeret, quàm ab eo diligeretur. Cùm autem Herculem iurare hominibus minimè eſſet conſuetum, primùm id ait inſtituiſſe Neſtorem, iiſque qui ad Troiam erant, tradidiſſe.

ANTILOCHVS.

Fuiſſe autem ipſi filium Antilochum circa media belli tempora ad B Troiam profectum. Iuuenem enim nec dum bellicis per ætatem rebus idoneum fuiſſe ait Antilochum. Cùm in Aulide Græci cogerentur, volenti autem ipſi militare, patrem haudquaquam conceſſiſſe. Verùm cùm quintus iam bello acceſſiſſet annus, nauim conſcendiſſe, ad Troiámque veniſſe, ad Achillíſque tentorium profectum: quoniam maximam ipſi cum patre C intercedere amicitiam audiebat, Achilli ſupplicaſſe vt ipſum apud patrem excuſaret, ſi quo pacto fieri poſſet, ne quòd ipſi haud obſecutus fuiſſet, indignaretur. Hic verò Antilochi pulchritudine lætatus, ipſúmque ob animi promptitudinem admiratus: Nondum (inquit) tuum, adoleſcens, noſti patrem: ſi non ab ipſo te potius laudatum iri exiſtimas, cùm iuuenile ac liberale facinus peregeris. D Et rectè hæc dixit Achilles. Vehementer enim filio gauiſus Neſtor, & ipſius cauſa ſibi placens, ad Agamemnonem ducit. Hic autem illicò Achiuos conuocat, & tunc melius quàm vnquã aliàs diſſeruiſſe dicitur Neſtor. Cõueniſſe enim lætitia affectos, vt Neſtoris filium intuerentur. Neque enim in Troia fuiſſe filium,

A neque (vt nonnulli falsò ferunt) Thraſymedem quendam, neque alium. Stetiſſe autem Antilochum ſub patre erubeſcentem, atque in terram deſpicientem, nec pauciores aſſecutum formæ admiratores, quàm Achilles adeptus fuerit. Etenim illius quidem ſpeciem horrendam pariter, ac diuinam apparere. Antilochi verò formam iucundam ac placidam omnibus videri. Et Achiuos ait Proteſilaus, ne alioqui quidem oblitos, tunc
B maximè in ſui ipſius cogitationem veniſſe, cùm & ætate & magnitudine ſibiipſi Antilochus congrueret. Ipſorum autem multis amborum ætatis miſeratione lachrymas obortas. Græcóſque Neſtorem laudibus ob ea quæ dixerat, proſecutos: in ipſum enim vt patrem affecti erant. Licet tibi & Neſtoris adducere ſtatuam: ſic enim ipſum Proteſilaus interpretatur, quòd ſcilicet hilaris, atque in riſus appeti-
C tione videretur, venerabiliſque eſſet barba, atque intra modum. Quæ autem in lucta ipſi peracta fuere, aures arguerent, & adhuc ſubiuueneſcens ceruix. Etenim rectum ait fuiſſe Neſtorem, nec ſenio victum. Fuiſſe autem & nigrum oculos, nec ſuſpenſum nares. Hæc autem in ſenecta ij ſoli continent, quos haudquaquam deficit bona valetudo. Antilochum verò cetera quidem patris fuiſſe ſimilem ait,
D ſed curſu præſtantiorem, ſpeciéque puriorem, nec comæ cauſa ſibi placentem. Illa præterea mihi de Antilocho refert, equorum ipſum fuiſſe, ac venationis ſtudioſiſſimum, vtpote qui bellorum tolerantia in feras vteretur. Itaque vnà cum A-

A οὔτε ὥς φασί τινες ψευδῶς Θρασυμήδην τινὰ, οὔτε ἕτερον. ἑστάναι δὲ τὸν Ἀντίλοχον ὑπὸ τῷ πατρὶ, ἐρυθριῶντά τε, καὶ ἐς τὴν γῆν βλέποντα, καὶ θαυμαστὰς κτήσασθαι τοῦ κάλλους οὐκ ἐλάττους, ἢ Ἀχιλλεὺς ἐκέκτητο. τὸ μὲν γὰρ ἐκείνου εἶδος ἐκπληκτικόν τε φαίνεσθαι, καὶ θεῖον. τὸ δὲ τοῦ Ἀντιλόχου, τερπνόν τε, καὶ ἥμερον δοκεῖν πᾶσι. καὶ τοὺς Ἀχαιοὺς ὁ Πρωτεσίλεως, οὐδὲ ἄλλως ἐκλελησμένους;
B τότε δὴ μάλιστα εἰς ἔννοιαν ἑαυτοῦ ἀφικέσθαι λέγει, ξυμβαίνοντος ἑαυτῷ τοῦ Ἀντιλόχου τήν ἡλικίαν τε, καὶ τὸ μέγεθος. πολλοῖς δὲ αὐτῶν καὶ δάκρυα ἐπελθεῖν φησιν οἴκτῳ τῆς ἀμφοῖν ἡλικίας, εὐφημίαις τε χρήσασθαι τοὺς Ἀχαιοὺς ἐς τὸν Νέστορα, ἐφ' οἷς εἶπε. διέκειντο γὰρ ὡς παῖδες πρὸς πατέρα. ἔστι σοι καὶ ἄγαλμα παραγαγεῖν τοῦ Νέστορος. ὁ γὰρ Πρω-
C τεσίλεως αὐτὸν ὧδε διερμηνεύει, ὡς φαιδρὸς μὲν ἀεὶ φαίνοιτο, καὶ ἐν ὁρμῇ μειδιάματος. γενειῶν δὲ, σεμνῶς τε, καὶ συμμέτρως. τὰ δὲ ἀμφὶ παλαίστραν αὐτῷ πεπονημένα, τὰ ὦτα κατηγοροίη, καὶ ὁ αὐχὴν ὑπονεάζων ἔτι. καὶ γὰρ δὴ καὶ ὀρθὸν εἶναι τὸν Νέστορα, καὶ μὴ ἡττώμενον ὑπὸ τοῦ γήρως. εἶναι δὲ καὶ μελανόφθαλμον, καὶ μὴ ἀποκρεμάμενον τὴν ῥῖνα. ταυτὶ δὲ ἐν γήρᾳ μόνοι ἴσχουσιν,
D οἷς μὴ ἐπιλείπει τὸ ἐῤῥῶσθαι. τὸν δὲ Ἀντίλοχον, τὰ μὲν ἄλλα, ὅμοιόν φασι γενέσθαι τῷ Νέστορι, δρομικώτερον δὲ, καὶ περιεπτισμένον τὸ εἶδος, καὶ μὴ φρονοῦντα ἐπὶ τῇ κόμῃ. κἀκεῖνα δέ μοι Ἀντιλόχου ἑρμηνεύει, φιλιππότατον γενέσθαι αὐτὸν, καὶ κυνηγετικώτατον, καὶ ταῖς τῶν πολεμίων ἀνοχαῖς ἐπὶ τὰ θηρία χρώμενον. ἀναφοιτᾶν γοῦν

ἐς τὴν Ἴδην τὸν Ἀντίλοχον, σὺν Ἀχιλλεῖ, καὶ Μυρμιδόσι. καὶ ἐφ' ἑαυτοῦ μετὰ Πυλίων τε, καὶ Ἀρκάδων, οἳ θηρείων ἀγορὰν παρεῖχον τῷ στρατῷ, διὰ πλῆθος τῶν ἁλισκομένων. τὰ δὲ πολέμια, γενναῖόν τε εἶναι, καὶ πτηνὸν τὼ πόδε, καὶ ταχὺν τὴν ἐν τοῖς ὅπλοις κίνησιν. ἀξιωτέρον τε τοῖς παραγγελλομένοις χρῆσθαι. καὶ τὸ ἐπίχαρι, μηδὲ ἐν ταῖς μάχαις ἀπολείποντα. ἀποθανεῖν δὲ, οὐχ ὡς οἱ πολλοὶ ᾄδουσιν Μέμνονος ἐξ Αἰθιοπίας ἥκοντος. Αἰθίοπα μὲν γὰρ γενέσθαι Μέμνονα δυναστεύσαντα ἐπὶ τῶν Τρωϊκῶν ἐν Αἰθιοπίᾳ· ἐφ' οὗ καὶ τὸ ψάμμιον ὄρος ἀναχωσθῆναι λέγεται ὑπὸ τοῦ Νείλου. καὶ θύουσιν αὐτῷ κατὰ Μερόην, καὶ Μέμφιν Αἰγύπτιοι, καὶ Αἰθίοπες, ἐπειδὰν ἀκτῖνα πρώτην ὁ ἥλιος ἐκβάλλῃ. παρ' ἧς τὸ ἄγαλμα φωνὴν ἐκρήγνυσιν, ᾗ τοὺς θεραπεύοντας ἀσπάζεται. Τρῶα δὲ ἕτερον φησὶ γενέσθαι Μέμνονα νεώτερον τοῦ Τρωϊκοῦ στρατοῦ. ὃν, ζῶντος μὲν Ἕκτορος, οὐδὲν βελτίω δόξαι τῶν ἀμφὶ Δηΐφοβόν τε, καὶ Εὔφορβον. ἀποθανόντος δὲ προθυμότατον νομισθῆναι. καὶ τὴν Τροίαν ἐς αὐτὸν βλέψαι, κακῶς ἤδη πεπράγυσαν. οὗτος, ξένε, τὸν καλόν τε, καὶ χρηστὸν Ἀντίλοχον ἀποκτεῖναι λέγεται, προασπίζοντα τοῦ πατρὸς Νέστορος. ὅτε δὴ τὸν Ἀχιλλέα πυρὰν τε τῷ Ἀντιλόχῳ νῆσαι, καὶ πολλὰ ἐς αὐτὴν σφάξαι, τά τε ὅπλα, καὶ τὴν κεφαλὴν τοῦ Μέμνονος ἐπικαῦσαι αὐτῷ. τὸ γὰρ τοῦ ἀγῶνος, ὃν ἐπὶ Πατρόκλῳ τε, καὶ Ἀντιλόχῳ ὁ Ἀχιλλεὺς ἔθηκεν, * ἐπὶ τῷ πλεῖν τοῖς ἀρίστοις νενομίσθαι φησίν. ὅθεν τεθῆναι μὲν ἐφ' ἑαυτῷ ἐνταῦθα, τεθῆναι δ' ἐπ' Ἀχιλλεῖ τε, καὶ Πατρόκλῳ, καὶ Ἀντιλόχῳ ἐν Ἰλίῳ.

ἴσ. τοῖν τιμαῖν τ.

Achille, ac Myrmidonibus ſæpe Idam Antilochum ait repetiſſe, & per ſe cum Pyliis atque Arcadibus, qui exercitui ferarum forum præbebant, cùm innumeras caperent. In bellicis autem reb. generoſum fuiſſe ait, ac pedibus volucrem, atque in armis agilem, & ad ea quæ præcipiebãtur exequenda, oppidò quàm prudentem: venuſtatémque, ne in præliis quidem amittentem. Interfectum autem fuiſſe, non vt multi canunt, à Memnone ex Æthiopia profecto. Etenim Æthiopem quidem ait fuiſſe Memnonem in Æthiopia, Troiani belli tempore ibi imperantem, ſub quo & Pſammius mons à Nilo dicitur aggeratus, & ipſi circa Meroëm, ac Memphin Ægyptij, atque Æthiopes ſacrificant: quum primos ſol emiſerit radios, quibus ſtatua vocem emittit: qua eos, à quibus colitur, ſalutat. Verùm, Troianum ait alterum fuiſſe Memnonem Troianorum maximè iuuenem, quem viuente quidem Hectore, nihil Deiphobo, atq; Euphorbo meliorem viſum: defuncto verò promptiſſimum ac fortiſſimum fuiſſe exiſtimatum, Troiámque iam oppreſſam in ipſo ſpem collocaſſe. Hic (ô hoſpes) pulchrum atq; optimum interfeciſſe Antilochũ dicitur, dum pro patre Neſtore dimicaret. Quando Achillem pyram Antilocho ſtruxiſſe aiunt, multáque in ipſam mactaſſe: armáque Memnonis, ac caput combuſſiſſe. Etenim certamen, quod Patrocli atque Antilochi cauſa Achilles inſtituit, optimis ac fortiſſimis viris vt plurimùm ex inſtituto fieri ait. Vnde ſibi quidem hic, Achilli verò Patroclóque atque Antilocho Ilij certamen inſtitutum ait.

A Curſus autem, arcúſque ac iaculi, Hectoris cauſa certamen inſtitutum dicitur. Sed luctam, ac pugilatum Troianorum neminem exercuiſſe. Alterum enim nondum nouerant: alteram, puto, metuebant.

DIOMEDES & STHENELVS.

Diomedes & Sthenelus in eadem quidem erant ætate conſtituti, ſed hic quidem Capanei, ille vero Tydei erat filius, qui dum mœnia oppugnarent Thebana, periiſſe dicuntur: hic quidem à Thebanis, ille vero fulmine (vt puto) ictus. Cadaueribus autem inſepultis iacentibus, pro corporibus quidem certamen Athenienſes ſuſceperunt, victoriáque potiti ſepulturæ mandarunt. Pro animabus vero, filij iam pubeſcentes certamen ſubeuntes, & pro parentibus ſunt victoriam conſecuti, & totius pugnæ robur ad Diomedem ac Sthenelum, vtpote optimos ac ſimiles acceſſit. At Homerus ipſos haudquaquam pari gloria dignos cenſet. Hunc enim leoni, fluminíque pontes, atque hominum opera abducenti, ac ſecum trahenti aſſimilat: ſic etenim pugnabat. Hic vero vt Diomedis ſpectator ſtabat, & fugæ conſultor, & fugere incipiens. Atqui Proteſilaus ait, ne illic quidem Sthenelum Diomede minora peregiſſe facinora. Nam amicitiam quidem inter ipſos haud minorem fuiſſe ait, quàm inter Achillem ac Patroclum fuerit: ſed vſque adeo inuicem ſe ambitioſè geſſiſſe, vt vterque ab altero in gerendo bello ſuperatus, inuitus atque iniquo animo de prælio rediret: & quod in Æneam, ac Pandarum peractum eſt opus, vtriuſque ait fuiſſe commune. Hunc etenim in Æneam

A λέγεται δὲ καὶ ἐπὶ τῷ Εκτορι τεθῆναι ἀγῶνα, δρόμου, τε τόξου, καὶ αἰχμῆς. πάλιν δὲ, καὶ πυγμὴν, μηδένα ἀποδύσασθαι Τρώων. τὸ μὲν γὰρ οὔπω ἐγίνωσκον. τὸ δὲ, οἶμαι ἐφοβοῦντο.

ΔΙΟΜΗΔΗΣ, καὶ ΣΘΕΝΕΛΟΣ.

Διομήδης καὶ Σθένελος, ἡλικίας μὲν, ταυτὸν εἶχον. ἤστην δὲ, ὁ μὲν, B Καπανέως· ὁ δὲ, Τυδέως. οἳ λέγονται τειχομαχοῦντες ἀποθανεῖν. ὁ μὲν, ὑπὸ Θηβαίων, ὁ δ᾽ οἶμαι κεραυνωθείς. κειμένων δὲ ἀτάφων τῶν νεκρῶν, τὸν μὲν ὑπὲρ τῶν σωμάτων ἀγῶνα, Ἀθηναῖοι ἤραντο, καὶ ἔθαψαν αὐτοὺς νικῶντες. τὸν δ᾽ ὑπὲρ τῶν ψυχῶν, οἱ παῖδες ὑπὲρ τῶν πατέρων ἐνίκησαν, ὅτε ἥβησαν. καὶ τὸ κράτος τῆς μάχης, εἰς Διομήδη τε, καὶ Σθένελον ἦλθεν, ὡς ἀρίστω τε, καὶ ὁμοίω C ἄνδρε. Ομηρος δὲ οὐκ ἀξιοῖ σφᾶς τῶν ἴσων. τὸν μὲν γὰρ λέοντί τε εἰκάζει, καὶ ποταμῷ γεφύρας ἀπάγοντι, καὶ ἀνθρώπων ἔργα· καὶ γὰρ οὕτως ἐμάχετο. ὁ δ᾽ οἷον θεατὴς τοῦ Διομήδους ἕστηκε, φυγῆς τε ξύμβουλος αὐτῷ γινόμενος, καὶ ἄρχων φόβου. καί τοι φησὶν ὁ Πρωτεσίλεως, μὴ ἐλάττω τοῦ Διο- D μήδους ἔργα τὸν Σθένελον μηδὲ ἐκεῖ δρᾶσαι. φιλίαν μὲν γὰρ σφίσιν εἶναι οὐ μεῖον, ἢ Ἀχιλλεῖ τε, καὶ Πατρόκλῳ ἐγένετο. φιλοτιμεῖσθαι δὲ οὕτω πρὸς ἀλλήλους, ὡς ξὺν ἀθυμίᾳ ἐπανήκειν ἐκ τῆς μάχης τὸν ἀποληφθέντα τοῦ ἑτέρου. καὶ τὸ ἔργον δὲ τὸ ἐς Αἰνείαν τε, καὶ Πάνδαρον, πεπρᾶχθαι αὐτοῖς φησιν ὁμοῦ. τὸν μὲν γὰρ τῷ Αἰνείᾳ

προαπειπεῖν, μεγίστῳ τῷ Τρωϊκοῦ ὄντι. τὸν Σθένελον δὲ, τῷ Πανδάρῳ προσαγωνίσασθαι, καὶ κρατῆσαι αὐτοῦ. ἀλλὰ τὸν Ὅμηρον, Διομήδει μόνῳ ἐξηρηκέναι ταῦτα, ὥσπερ ἐκλαθόμενον ὧν πρὸς τὸν Ἀγαμέμνονα ὑπὲρ τοῦ Σθενέλου εἶπε. τὸ γὰρ Ἡμεῖς τοι πατέρων μέγ' ἀμείνονες εὐχόμεθ' εἶναι, Ἡμεῖς καὶ Θήβης ἕδος εἵλομεν, ἀνδρός που ἐστὶ παραπλήσια τούτοις καὶ ἐν Ἰλίῳ πράττοντος. ἔστω κἀκεῖνό σοι περὶ τοῦ Σθενέλου εἰδέναι, ὡς τεῖχος μὲν οὐδὲν τοῖς Ἀχαιοῖς ἐξεποιήθη ἐν Τροίᾳ, οὐδὲ ἔστιν. ᾧ ἐφράξαντο ἢ τὰς ναῦς, ἢ τὴν λείαν, ἀλλὰ τειχομαχίας ᾠδαὶ, ταῦτα Ὁμήρῳ ἐπενοήθησαν. δι' ἃς καὶ τὸ τεῖχος αὐτῷ ξυνετέθη. ὁρμὴν μέν τοι τειχοποιΐας, ὁμολογεῖταί τὸν Ἀγαμέμνονα εἰσελθεῖν, μηνίοντος Ἀχιλλέως. ἣ πρῶτον ἀντειρηκέναι τὸν Σθένελον εἰπόντα. ἐγὼ μέντοι ἐπιτηδειότερος τείχη καθαιρεῖν, ἢ ἐγείρειν. ἀντειρηκέναι δὲ καὶ τὸν Διομήδη τῷ τείχει, φήσαντα μεγάλων ἀξιοῦσθαι τὸν Ἀχιλλέα, εἰ ξυγκλείσαιμεν ἑαυτοὺς λοιπὸν, ἐπειδὴ ἐκεῖνος μηνίει. Αἴας δὲ λέγεται, ταυρηδὸν ὑποβλέψας τὸν βασιλέα, δείλαιε εἰπεῖν, τί οὖν αἱ ἀσπίδες. καὶ τὸν ἵππον δὲ τὸν κοῖλον, παρῃτεῖτο ὁ Σθένελος, οὐ τειχομαχίαν τοῦτο εἶναι φάσκων, ἀλλὰ κλοπὴν τῆς μάχης. τὰ μὲν δὴ μάχιμα, ὁμοίω ἤστην, καὶ ἴσου τοῖς Τρωσὶ φόβου ἄξιοι. ἐλείπετο δὲ τοῦ Διομήδους ὁ Σθένελος, ξυνέσει τε, καὶ λόγου ἰσχύι, καὶ καρτερήσεις, ὁπόσαι ψυχῆς τε εἰσὶ, καὶ σώματος. ὀργῆς τε γὰρ ἥττων ἦν, καὶ ὑπερφρονῶν τοῦ ὁμίλου, καὶ τραχὺς ἐπιπλῆξαι. καὶ τὰ εἰς τὴν δίαιταν, ἁβρό-

A Troianorum maximum incidiſſe; Sthenelum vero aduerſus Pandarum certaſse, ipſúmque ſuperaſse. Ceterùm Homerum ait perinde atque eorum quæ de Sthenelo apud Agamemnonem dixerat, oblitum: hæc vni Diomedi adſcripſiſſe. Hæc enim Stheneli apud Homerum verba,

Iactamus meliores nos maioribus eſſe,
Cepimus & Thebarũ mœnia.

Viri ſunt cõſentanea his, & in Troia peragentis. B Liceat & illud tibi de Sthenelo non ignorare, quòd nullus quidem ab Achiuis ductus eſt in Troia murus: nec eſt quò naues, ac prædam ſæpiuerint: ſed vt muri oppugnationis odæ, hæc ab Homero excogitata ſunt, per quas murus ab ipſo eſt compoſitus. Appetitum enim ſtruendi murum, Agamemnonem irato Achille fatetur inceſſiſſe. In qua re primùm C ait contradixiſſe Sthenelum dicentem: Ego quidem ad demoliendos muros magis ſum idoneus, quàm ad erigendos. Diomedem quoque muro aduerſatum ait, cùm diceret, magnifieri Achillẽ. Siquidem poſtquam ille iratus eſt, noſmetipſos mœnibus concluſerimus. Aiax autem toruè regem inſpiciens, O timide (dixiſſe fertur) quid igitur proſunt clypei? Cauum præterea equum Sthenelus renuebat, non muri oppugnationem, ſed pugnæ fur- D tum hoc eſſe memorans. In iis quidem quæ ad pugnas pertinent, ſimiles erant, parémque Troianis terrorem incutiebant. prudentia verò & orationis vi, corporíſque, atque animi continentia Sthenelus à Diomede ſuperabatur. Ira etenim inferior erat, vulgíque contemptor, & ad increpandum aſper. quæque ad victum ſpectant, lautius ac deli-

cioſius, quàm vt in caſtris conueniret, præparabat. Sed à Diomede his contraria fiebant. Modeſtè enim in reprehenſionibus ſeſe gerebat, & iræ tumorem caſtigabat: populíſque nec contumeliam inferre, nec triſtari permittebat: quódque ipſe ſquallidus videretur, id militare arbitrabatur: & vt contigerat, ſomnum capere laudabat. Cibíque ſibi erant obuia quæque, nec niſi laboribus oppreſſus vino gaudebat. Achillem autem laudibus quidem proſequebatur, non tamen perterrefactus obſeruabat, vt multi: & illorum quandoque carminum cauſa exclamauit Proteſilaus, quæ Agamemnoni dicens inducitur Diomedes.

Haud è re fuerat Pelidem orare ſuperbũ,
Muneribus collatis. nam multa arrogat armis.

Hæc enim Homerum vt commilitonem dixiſſe ait, nec vt edoctum, ſed vt qui cum Achiuis in Troia fuerit. Diomedem namque mordere Achillem ait, dum iratus erat, in Græcos deliciantem. Amborum autem ſpecies Sthenelum quidem procerum atque erectum nouit Proteſilaus, cæſiúmque, & adunco naſo, & vt comantem ſubrufúmque, & ſanguine promptum. Diomedem verò ſedatum ac iucundum deſcribit, nec dum nigrum, & rectum nares, criſpa verò & cum ſqualore coma.

PHILOCTETES.

At Pœantis filius Philoctetes, longè quidem poſt Troiani belli initium militauit, hominum verò optimè ſagittas arcu emittebat. Id, vt aiunt, ab Hercule Alcmenes filio edoctus, cuius arcum hereditate tunc dicitur conſecutus, cùm

A στρον, ἢ ἐπὶ στρατοπέδου εἰκὸς ἦν, κατεσκεύαστο. Διομήδει δὲ, τἀναντία τούτων ἐπεφύκει. μετρίως τε γὰρ τὰς ἐπιπλήξεις εἶχε, καὶ ἐκόλαζε τὸ ἐξοιδοῦν τῆς ὀργῆς. ὑβρίζειν τε οὐ ξυνεχώρει τοῖς πλήθεσιν, οὐδὲ ἀθυμεῖν· αὐτός τε αὐχμηρὸς φαίνεσθαι, στρατιωτικὸν ἡγεῖτο. καὶ τὸ ὡς ἔτυχε καθεύδειν ἐπῄνει. σιτία τε ἦν αὐτῷ τὰ ἐπιτυχόντα. καὶ οὐδὲ οἴνῳ ἔχαιρεν, εἰ μὴ καθικνοῖντο αὐτοῦ οἱ B πόνοι. τὸν δὲ Ἀχιλλέα ἐπῄνει μὲν, οὐ μὴν ἐξεπέπληκτό γε, οὐδὲ ἐθεράπευεν, ὥσπερ οἱ πολλοί. καὶ ἀνέκραγέ ποτε ὁ Πρωτεσίλεως ἐπ' ἐκείνοις τοῖς ἔπεσιν, οἷς ὁ Διομήδης πεποίηται λέγων,

Μὴ ὄφελες λίσσεσθαι ἀμύμονα Πηλείωνα, (καὶ ἄλλως.
Μυρία δῶρα διδούς. ὁ δ' ἀγήνωρ ἐστὶ

ταῦτα γὰρ τὸν Ὅμηρον, ὡς συστρατιώτην ἔφη εἰρηκέναι, καὶ οὐχ ὡς ὑποτιθέ- C μενον, ἀλλ' αὐτὸν ξυγγεγονότα τοῖς Ἀχαιοῖς ἐν Τροίᾳ. τὸν γὰρ Διομήδη καθάπτεσθαι τοῦ Ἀχιλλέως, παρὰ τὴν μῆνιν τρυφῶντος ἐς τοὺς Ἕλληνας. τὰ δὲ εἴδη ἀμφοῖν, τὸν μὲν Σθένελον, εὐμήκη ὁ Πρωτεσίλεως οἶδε, καὶ ἀνεστηκότα, γλαυκόν τε, καὶ γρυπὸν, καὶ οἷον κομῶντα ὑπέρυθρόν τε, καὶ ἕτοιμον τὸ αἷμα. τὸν Διομήδη δὲ, βεβηκότα τε ἀναγράφει, καὶ χαροπὸν, καὶ οὔπω μέλανα, καὶ ὀρθὸν τὴν ῥῖνα· D καὶ οὔλη δὲ ἡ κόμη, καὶ σὺν αὐχμῷ.

ΦΙΛΟΚΤΗΤΗΣ.

Φιλοκτήτης δ' ὁ Ποίαντος, ἐστράτευσε μὲν ὀψὲ τῶν Τρωϊκῶν, ἄριστα δὲ ἀνθρώπων ἐτόξευσεν, Ἡρακλέους φασὶ τοῦ Ἀλκμήνης μαθὼν αὐτό. καὶ κληρονομῆσαι λέγεται τῶν τόξων ὁπότε

Ἡρακλῆς ἀπιὼν τῆς ἀνθρωπείας φύσεως, αὐτόν τε παρεσκεύασε, καὶ τὸ ἐν τῇ Οἴτῃ πῦρ. τοῦτον ἐν Λήμνῳ φασὶν ἄπιμον καταληφθῆναι τοῖς Ἀχαιοῖς, ὕδρου ἐνσκήψαντος αὐτῷ ἐς τὸν πόδα, ὑφ' οὗ νοσεῖν αὐτὸν ἐπὶ ἀκτῆς ὑψηλῆς ἐν πέτρᾳ κείμενον, καὶ μαντευτικὴν τοῖς Ἀχαιοῖς ἐλθεῖν ὕστερον ἐπὶ τὸν Πάριν. ὃν ἀποκτείνας, τὴν μὲν Τροίαν ἑλεῖν τοῖς Ἡρακλέους τόξοις αὖθις· ἰαθῆναι δὲ ὑπὸ τῶν Ἀσκληπιαδῶν αὐτός. ταῦτά φησιν ὁ Πρωτεσίλεως οὐ παρὰ πολὺ τῆς ἀληθείας εἰρῆσθαι. τά τε γὰρ τόξα, τοῦ Ἡρακλέους εἶναι, ὁποῖα ὕμνηται, καὶ τὸν Φιλοκτήτην ξυλλαβεῖν αὐτῷ τοῦ ἐν τῇ Οἴτῃ ἄθλου. τὰ τόξα τε ἀπενεχθεῖν ἔχοντα, καὶ μόνον ἀνθρώπων γινώσκειν ὡς χρὴ ἕλκειν αὐτά. τυχεῖν τε ἀριστείων λαμπρῶν ἐπὶ τῇ ἁλώσει τοῦ Ἰλίου. τὰ δὲ τῆς νόσου, καὶ τῶν ἰασαμένων αὐτὸν, ἑτέρως λέγει. καταλειφθῆναι μὲν γὰρ ἐν Λήμνῳ τὸν Φιλοκτήτην, οὐ μὴν ἔρημον τῶν θεραπευσόντων, οὐδὲ ἀπερριμμένον τοῦ Ἑλληνικοῦ. πολλούς τε γὰρ τῶν Μηλίβοιαν οἰκούντων, συγκαταμεῖναι. στρατηγὸς δὲ τούτων ἦν, τοῖς τε Ἀχαιοῖς δάκρυα ἐπελθεῖν, ὅτι ἀπέλιπε σφᾶς ἀνὴρ πολεμικὸς, καὶ πολλῶν ἀντάξιος. ἰαθῆναι δὲ αὐτὸν αὐτίκα ὑπὸ τῆς βώλου τῆς Λημνίας, εἰς ἣν λέγεται πεσεῖν ὁ Ἥφαιστος. ἡ δὲ βῶλος, ἐλαύνει μὲν τὰς μανικὰς νόσους, ἐκρέον δὲ αἷμα ἵστησι· ὕδρου δὲ ἰᾶται δῆγμα μόνου ἑρπετῶν. ὃν δὲ ἐτρίβοντο οἱ Ἀχαιοὶ χρόνον ἐν τῷ Ἰλίῳ, τοῦτον ὁ Φιλοκτήτης Εὐναίῳ τῷ Ἰάσονος συνεξῄρει τὰς μικρὰς τῶν νήσων, Κᾶρας ἐξελαύνων, ὑφ' ὧν κατείχοντο. καὶ μισθὸς τῆς ξυμμα-

A Hercules humanam exutus naturam, & ipſum & in Oeta ignẽ comparauit. Hunc à Græcis neglectum, & in Lemno deſtitutum ferunt. Cùm natrix eius pedem inuaſiſſet: ex quo ipſum in alti littoris ſaxo iacentem ægrotaſſe aiunt: poſteáque aduerſus Paridem ad Græcos ex oraculo veniſſe: quem cùm interfeciſſet, Troiam quidem Herculis arcubus rurſus captam, ipſum verò ab Æſculapij filiis curatum
B dicunt. Hæc haud minus quàm verum ſit fuiſſe dicta, Proteſilaus ait. Herculis enim arcus haud ſecus ac celebrantur, extitiſſe memorat: & Philoctetem in Oetæ certamine ipſi Herculi adfuiſſe, arcúſque habentem diſceſſiſſe: hominúmque vnum quo adducerentur pacto ignoraſſe, præclaráque in Ilij direptione virtutis præmia conſecutum: quæ verò ad morbum, & ad eos qui ipſum curarunt pertinent, longe ſecus dicit. Relictum quidem eſſe in Lemno Philocte-
C tem, non tamen ab iis deſtitutum, qui cùm eſſent curaturi, nec à Græcis omnibus neglectum. eorum enim multos qui Melibœam incolunt, commoratos. horum namque dux erat: & Achiuis lachrymas obortas, quòd ipſos vir fortis ac plurimi faciendus reliquiſſet: à gleba autem Lemnia ipſum ſtatim curatum, in quam cecidiſſe Vulcanus
D dicitur. Gleba autem ipſa inſanos quidem expellit morbos: ſanguinis verò profluuium ſiſtit, & ex ſerpentibus natricis morſui occurrit. Dum autem Græci in Troia morabantur, interea Philoctetes vnà cum Eunæo Iaſonis filio paruas capiebat inſulas, Cares à quibus obtinebantur, expellens. Cui pars

Lemni ſocietatis in bello præmium fuit: quam Philoctetes, quòd in Lemno curatus eſſet, Aceſiam appellauit. Illinc Diomedes, ac Neoptolemus ad Troiam volentem adduxere, cùm pro vniuerſis Græcis ei ſupplicaſſent, oraculúmque de arcubus ex Leſbo (vt ait) profectum recitaſſent. vti enim Achiuos ait & domeſticis oraculis, Dodonæo ſcilicet & Pythico, & quæcunque Bœotica ſiue Phocica probarentur, vaticinia. Leſbo autem haud procul ab Ilio diſtante, ad oraculum illic exiſtens miſerunt. Dabat autem reſponſa ex Orpheo. Caput enim poſt mulierum facinus Leſbo appulſum rupem habitauit, & in caua humo vaticinabatur. vnde Leſbij, ceteríque Æoles, atque his finitimi Iones, ipſo ad vaticinia vtebantur. Reſponſa autem huius vaticinij & Babylona accerſebantur. Multa etenim Perſarum quoque regi caput hoc cecinit: Cyróque vetuſto editum inde oraculum ferunt, Mea, ô Cyre, tua. & hic quidem ſic interpretabatur, vtpote Odryſas atque Europam occupaturum: quandoquidem Orpheus vnà cum ſapientia potentiam quoque adeptus per Odryſas plurimùm valuit, ac Græcos, quotquot myſteria celebrant. ipſe verò (vt puto) ſua ipſius Cyrus paſſurum indicabat. Profectus enim Cyrus vltra Iſtrum fluuium aduerſus Maſſagetas, atque Iſſedones Scythicas gentes, à muliere, quæ his barbaris imperabat, interfectus eſt, Cyríque caput mulier abſcidit, vt & Threſſæ mulieres Orphei. Tanta (ô hoſpes) de hoc ora-

A χίας αὐτῷ, μοῖρα τῆς Λήμνου ἐγένετο, ἣν Ἀκεσαν ὁ Φιλοκτήτης ἐκάλεσεν, ἐπειδὴ ἐν Λήμνῳ ἰάθη. ἐκεῖθεν αὐτὸν Διομήδης, καὶ Νεοπτόλεμος, ἑκόντα ἐς Τροίαν ἤγαγον, ἱκετεύσαντες ὑπὲρ τοῦ Ἑλληνικοῦ, καὶ ἀναγνόντες αὐτῷ τὸν ὑπὲρ τῶν τόξων χρησμὸν, ἐκ Λέσβου ὥς φησιν ἥκοντα. χρῆσθαι μὲν γὰρ καὶ τοῖς οἴκοι μαντείοις τοὺς Ἀχαιοὺς, τῷ τε Δωδω- B ναίῳ, καὶ τῷ Πυθικῷ, καὶ ὁπόσα μαντεῖα εὐδόκιμα, Βοιώτιά τε ἦν, καὶ Φωκικά. Λέσβου δὲ ὀλίγον ἀπεχούσης τοῦ Ἰλίου δουρὸς, ἔστελλον ἐς τὸ ἐκεῖ μαντεῖον τοὺς Ἕλληνας. ἔχρα δὲ οἶμαι ἐξ Ὀρφέως. ἡ κεφαλὴ γὰρ μετὰ τὸ τῶν γυναικῶν ἔργον ἐς Λέσβον καταχθεῖσα, ῥῆγμα τῆς Λέσβου ᾤκησε. καὶ ἐν κοίλῃ τῇ γῇ ἐχρησμῴδει. ὅθεν ἐχρῶντο τό τε αὐτῇ τὰ μαντικὰ, Λέσβιοί τε, καὶ τὸ ἄλλο ξύμ- C παν Αἰολικὸν, καὶ Ἴωνες Αἰολεῦσι πρόσοικοι. χρησμοὶ δὲ τοῦ μαντείου τούτου, καὶ ἐς Βαβυλῶνα ἀνεπέμποντο. πολλὰ γὰρ καὶ ἐς τὸν ἄνω βασιλέα ἡ κεφαλὴ ᾖδε. Κύρῳ τε τῷ ἀρχαίῳ χρησμὸν ἐντεῦθεν ἐκδοθῆναι λέγεται, τὰ ἐμὰ, ὦ Κῦρε, σά. καὶ ὁ μὲν, οὕτως ἐγίνωσκεν, ὡς Ὀδρύσας τε, καὶ τὴν Εὐρώπην καθέξων, ἐπειδὴ Ὀρφεύς ποτε μετὰ τοῦ σοφοῦ καὶ δυνατὸς γενόμενος, ἀνά τε Ὀδρύσας D ἴσχυσεν, ἀνά τε Ἕλληνας, ὁπόσοι τελεταῖς ἐθειάζοντο. ὁ δ' οἶμαι τὰ ἑαυτοῦ πείσεσθαι ἐδήλου τὸν Κῦρον. ἐλάσας γὰρ Κῦρος ὑπὲρ ποταμὸν Ἴστρον, ἐπὶ Μασσαγέτας τε, καὶ Ἰσσηδόνας, τὰ δὲ ἔθνη ταῦτα, Σκύθαι, ἀπέθανέ τε ὑπὸ γυναικὸς, ἣ τούτων ἦρχε τῶν βαρβάρων. καὶ ἀπέτεμεν ἡ γυνὴ τὴν Κύρου κεφαλὴν, καθάπερ αἱ Θρᾷτται τὴν Ὀρφέως. τοσαῦτα, ξένε, περὶ τοῦ μαντείου

τούτου, τοῦ Πρωτεσιλεώ τε, καὶ Λεσβίων ἤκουσα. ἐλθεῖν δὲ ἐς Τροίαν τὸν Φιλοκτήτην, οὔτε νοσοῦντα, οὔτε νενοσηκότι ὅμοιον, ἀλλὰ πολιὸν μὲν ὑφ' ἡλικίας, ἑξήκοντα γάρ που ἔτη γεγονέναι, σφριγῶντα δὲ παρὰ πολλοὺς τῶν νέων, βλέπειν τε δεινότατα ἀνθρώπων, καὶ φθέγγεσθαι βραχυλογώτατα, καὶ ὀλίγοις τῶν βουλευμάτων ξυντίθεσθαι.

A culo à Proteſilao, ac Leſbiis audiui. Philoctetem autem non modò non ægrotantem, ſed ne ægrotanti quidem ſimilem, ad Troiam veniſſe: ætate quidem canum, vtpote ſexaginta annos natum, ſed præter multos iuuenes vigentem, hominúmque acerrimè cernere, & breuiſſima loqui, paucíſque conſiliis aſſentiri.

ΑΓΑΜΕΜΝΩΝ, ΚΑΙ Μενέλαος.

Ἀγαμέμνονα δὲ, καὶ Μενέλεων, οὔτε τὸ εἶδος ὁμοίω γενέσθαι φησὶν, οὔτε τὴν ῥώμην. τὸν μὲν γὰρ αὐτουργίᾳ τῶν πολεμικῶν εἶναι, μαχόμενόν τε οὐδενὸς τῶν ἀρίστων ἧττον. καὶ ὁπόσα ἐς βασιλέα ἥκει, πράττοντα. γινώσκειν τε αὐτὸν, ἃ χρὴ τὸν ἄρχοντα. καὶ ὅ, τι ἕτερος γνοίη, πείθεσθαι. πρέπειν τε τῇ Ἑλλήνων ἀρχῇ, καὶ δι' αὐτὸ τὸ εἶδος. σεμνὸν γὰρ, καὶ μεγαλοπρεπῆ φαίνεσθαι, καὶ οἷον ταῖς Χάρισι θύοντα. τὸν δὲ Μενέλεων, μάχεσθαι μὲν μετὰ τοὺς πολλοὺς τῶν Ἑλλήνων, ἀποχρῆσθαι δὲ τῷ ἀδελφῷ πάντα. καὶ τυγχάνοντα προθύμου τε, καὶ εὔνου τοῦ Ἀγαμέμνονος, ὅμως βασκαίνειν αὐτῷ, καὶ ὧν ὑπὲρ ἑαυτοῦ ἔπραττεν, ἀπὸ τοῦ ἄρχειν μὲν καὶ αὐτὸς ἐθέλειν, μὴ ἀξιοῦσθαι δέ. τὸν γοῦν Ὀρέστην Ἀθήνησι μὲν, καὶ παρὰ τοῖς Ἕλλησιν εὐδοκιμοῦντα, ἐπειδὴ τῷ πατρὶ ἐτιμώρησεν, ἐν δὲ τῷ Ἄργει κινδυνεύοντα, βουληθέντα δὴ περιεῖδεν ὑπὸ τῶν Ἀργείων, εἰ μὴ Ὀρέστης ἐμπεσὼν τούτοις, μετὰ ξυμμάχων Φωκέων, τοὺς μὲν, ἐτρέψατο, τοὺς δὲ, καταπλήξας, τὴν ἀρχὴν τοῦ παιδὸς καὶ ἄκοντος τοῦ Μενέλεω κατεκτήσατο.

B *AGAMEMNON ET Menelaus.*

Agamemnonem autem, ac Menelaum, nec ſpecie nec robore fuiſſe ſimiles ait: hunc quidem in bellicis operibus verſatum, optimorũ nemine deterius pugnantem, & quæcunque ad regem pertinent, agentem: & cùm ipſum, quæ principem oporteat cognoſcere, tum ſi quid alius cognoſceret, parêre.
C Græcorúmque imperio ipſa etiam forma ornamento eſſe. Grauem enim ac magnificum videri, vt qui Gratiis ſacrificaret. Menelaum verò pugnare quidem Græcorũ quàm plurimis deterius, abuti verò in omnibus fratre: & licet promptum ac beneuolum Agamemnon aſſequeretur, ipſe tamen inuidere: & ſi quæ etiam pro ipſo egiſſet, quòd imperare quidem & ipſe vellet, imperio verò dignus haudquaquam
D duceretur. Itaque Oreſtem Athenis quidem, atq; apud Græcos probè ſe gerentem, poſtquam patrem vltus eſt, Argis verò periclitantem, atque ab Argiuis lapidibus petitum neglexiſſet: ni Oreſtes vnà cum Phocenſibus auxiliantibus hos inuadens, partim quidem euertiſſet, partim verò perterrefactis, patris imperium, inuito etiam Menelao adeptus fuiſſet.

Adole-

Adoleſcentium autem more nutriſſe comam Menelaum ait: ſed quòd Sparte comam promitteret, ipſi Achiuos patrium morem ſeruanti ignouiſſe. Neque enim ex Eubœa profectos, licet ridiculosè comantes increpabant. Diſſeruiſſe autem hominum facillimè dicit, ac breuiſſimè, ſuauitatem orationi commiſcentem.

IDOMENEVS.

Cretenſem Idomeneum Proteſilaus non vidit, ſed Græcis in Aulide exiſtentibus legationem ab Idomeneo veniſſe ait, Cretenſium in bello ſocietatem pollicitante, ſi Agamemnonis imperij particeps fieret: tunc Agamemnonem quidem hæc modeſtè audiuiſſe, legatúmque adduxiſſe. Ipſum verò clara voce ac conſtanti dixiſſe, O Achiui, vir Minois Cretenſis imperium habens, centũ vobis dat ſocias in bello ciuitates, & vt ludentes Troiã capiatis: ceterùm dignũ cenſet, vt æquo cum Agamemnone iure vobis imperet. Ad hæc cùm Agamemnon dixiſſet, Ego & vniuerſo cedere imperio paratus ſum, ſi me viſus præſtantior fuerit: acceſſiſſe ait Telamonis filiũ Aiacem, atque ita diſſeruiſſe: Nos tibi Agamemnon imperium tradidimus, & ob exercitus modeſtiam, & vt pauci nobis imperent. Militamus autem, non vt tibi, aut alij ſeruiamus, ſed vt Troiam in ſeruitutem redigamus: quam vtinam capiamus, ô Dij, cùm præclara ac pulchra fecerimus. Tales enim virtute ſumus, vt qui Troiam quidem laborando, Cretam verò ludendo capiamus.

A κομᾶν δὲ τὸν Μενέλεων μειρακιωδῶς φησιν. ἐπεὶ δὲ ἡ Σπάρτη ἐκόμα, ξυγινώσκειν αὐτῷ τοὺς Ἀχαιοὺς ἐπιχωριάζοντι. οὐδὲ γὰρ τοὺς ἀπ' Εὐβοίας ἥκοντας ἐτώθαζον, καίτοι γελοίως κομῶντας. διαλεχθῆναί τε αὐτὸν ῥᾷστα ἀνθρώπων φησὶ, καὶ βραχυλογώτατα, ξυγκεραννύοντα ἡδονὴν τῷ λόγῳ.

ΙΔΟΜΕΝΕΥΣ.

Κρῆτα Ἰδομενέα ὁ Πρωτεσίλεως οὐκ
B οἶδεν ἐν Ἰλίῳ, ἀλλ' ἐν Αὐλίδι ὄντων, πρεσβείαν ἀφικέσθαι παρ' Ἰδομενέως φησὶν, ὑπισχνουμένου τὸ Κρητῶν ξυμμαχικὸν, εἰ ξυμμετέχοι τῆς ἀρχῆς τῷ Ἀγαμέμνονι. τὸν μὲν δὴ Ἀγαμέμνονα, σωφρόνως τε ἀκοῦσαι ταῦτα, καὶ παραγαγεῖν τὸν ἥκοντα. τὸν δὲ, λαμπρᾷ τῇ φωνῇ, καὶ φρονιμώδει, ὦ Ἀχαιοὶ φάναι, ἀνὴρ τὴν Μίνω τοῦ Κρητὸς ἀρ-
C χὴν ἔχων, δίδωσιν ἡμῖν ξυμμάχους ἑκατὸν πόλεις, καὶ ὡς τὴν Τροίαν ἑλεῖν παίζοντας. ἀξιοῖ δὲ συντετάχθαι τῷ Ἀγαμέμνονι, καὶ ἄρχειν ὑμῶν, ὥσπερ οὗτος. πρὸς ταῦτα εἰπόντος τοῦ Ἀγαμέμνονος ἐγὼ δὲ καὶ πάσης τῆς ἀρχῆς παραχωρεῖν ἕτοιμος, εἰ βελτίων ἐμοῦ φαίνοιτο. παρελθεῖν φησι τὸν Τελαμῶνος Αἴαντα, καὶ διαλεχθῆναι ὧδε. ἡμεῖς Ἀγαμέμνον, δεδώκαμέν σοι τὴν ἡγεμο-
D νίαν, ὑπὲρ εὐταξίας τοῦ στρατοῦ, καὶ τὸ μὴ πολλοὺς ἄρχειν. στρατευόμεθα δὲ, οὐχ ὑπὲρ τοῦ δουλεύειν ἢ σοὶ, ἢ ἑτέρῳ, ἀλλ' ὑπὲρ τοῦ καταδουλώσασθαι Τροίαν. ἣν λάβοιμεν, ὦ θεοὶ, λαμπρὰ, καὶ καλὰ ἐργασάμενοι. τοιοῦτοι γάρ ἐσμεν τὰς ἀρετὰς, οἷοι Τροίαν μὲν ἐσπουδακότες λαβεῖν, Κρήτην δὲ, παίζοντες.

A

ΑΙΑΣ Ο ΛΟΚΡΟΣ.

Αἴαντα δὲ τὸν Λοκρὸν, τὰ μὲν πολεμικά φησι κατὰ Διομήδη τε, καὶ Σθένελον γεγονέναι. ξυνετὸν δὲ ἧττον δόξαι, προσέχειν τε οὐδὲν τῷ Ἀγαμέμνονι. πατρός τε γὰρ εἶναι Λοκρῶν δυνατωτάτου, στρατιᾶς τε οὐκ ἀφανῆ ἄγειν, οὐδὲ δουλεύσειν ποτὲ ἑκὼν, οὔτ' ἂν Ἀτρείδαις, οὔτ' ἄλλῳ οὐδενὶ, ἔστ' ἂν ἥδε ἀστράπτῃ, τὴν αἰχμὴν δεικνύς. ταῦτ' ἔλεγε, γοργὸν βλέπων, καὶ ἀναχαιτίζων τὴν κόμην ὑπὸ τοῦ τῆς γνώμης ἑτοίμου. καὶ τοὺς μὲν ἄλλους ἔφασκεν, ὅσοι προσεῖχον τῷ Ἀγαμέμνονι, ὑπὲρ τῆς Ἑλένης ἥκειν· ἑαυτὸν δὲ ὑπὲρ τῆς Εὐρώπης. δεῖν γὰρ Ἕλληνας ὄντας, κρατεῖν βαρβάρων. εἶναι δὲ αὐτῷ καὶ χειροήθη δράκοντα, πεντάπηχυν τὸ μῆκος. ὃν ξυμπίνειν τε, καὶ ξυνεῖναι τῷ Αἴαντι, καὶ ὁδῶν ἡγεῖσθαι, καὶ ξυνομαρτεῖν, οἷον κύνα. τὴν δὲ Κασάνδραν, ἀποσπάσαι μὲν ἀπὸ τοῦ τῆς Ἀθηνᾶς ἕδους, προσκειμένην τῇ θεῷ, καὶ ἱκετεύουσαν. οὐ μὴν βιάσασθαί γε, οὐδὲ ὑβρίσαι ἐς αὐτὴν, ὁπόσα οἱ μῦθοι ἐπιψεύδονται, ἀλλὰ ἐπαγαγεῖν μὲν ἐς τὴν ἑαυτοῦ σκηνήν. τὸν δὲ Ἀγαμέμνονα ἰδόντα τὴν Κασάνδραν, πρὸς γὰρ τῇ ὥρᾳ, καὶ κατέσταλτο παρὰ τῆς τέχνης· ἁλῶναί τε δὴ αὐτίκα τῆς κόρης, καὶ ἀφῃρῆσθαι αὐτὴν τὸν Αἴαντα. ἔριδος δὲ αὐτοῖς ἐν τῷ δασμῷ γενομένης, ὁ μὲν ἠξίου ἑαυτοῦ εἶναι ἃ εἷλεν. ὁ δὲ, οὔτ' ἀπεδίδου, καὶ ἀσεβῆσαι αὐτὸν ἐς τὴν Ἀθηνᾶν ἔφασκε. καθεῖναι δὲ τῷ Ἀγαμέμνονι καὶ λογοποιοὺς ἐς τὸ Ἑλληνικὸν, διὰ τὸ ἀεὶ πρὸς τὸν Αἴαντα ἔχθος, τὴν θεὸν πολλὰ καὶ ἄτοπα

AIAX LOCRENSIS.

Locrenſem autem Aiacem in bellicis quidem reb. Diomedis, ac Stheneli æmulum fuiſſe ait, ſed minus prudentem exiſtimatum, nihilq; Agamemnoni obſequentem, vtpote qui diceret ſe ortum patre Locrenſium fortiſſimo, neque in ductando exercitu eſſe ignobilem, nec ſponte aut Atridis, aut cuipiam alij vnquam ſeruiturum, *donec hæc fulgeat*, cuſpidem indicans. & hæc dicebat B horrendum ſpectans, comámq. excutiens præ mentis promptitudine: & ceteros quidem quicunq; Agamemnoni obtemperarent, pro Helene: ſeipſum verò pro Europa veniſſe dictitabat. decere enim vt Græci barbaris præſtent, atq; imperent. Fuiſſe autem ipſi & manſuetum, ac cicurem draconem in ſeptem cubitos porrectum, vnà cum Aiace & bibentem & verſantem, viáſq. præeuntem, atque vt canis conſequentem. C Caſſandram autem extraxiſſe quidem à Palladis ſimulachro, Deæ inhærentem, ac ſupplicantem: non tamen violaſſe, nec vitium intuliſſe, vt fabulæ mentiuntur: ſed adduxiſſe quidem ad ſuum ipſius tentorium: Agamemnonem verò, cùm Caſſandram vidiſſet: nam ad pulchritudinem ingenitam arte quoque exornata erat: puellæ amore confeſtim fuiſſe captum, ipſamque Aiaci eripuiſſe, ortáque in prædæ D partitione contentione: hic quidem ſuam eſſe cenſebat, quam ceperat: hìc verò non modò non reddebat, verùm & aduerſus Deam impiè feciſſe dictitabat. Dimiſſi autem ſunt ab Agamemnone per Græcorum exercitum, qui huiuſmodi diſpergerent ſermones, ad perpetuum excitandum in Aiacē odium. Deam multa atque horrenda pro

puella portendere : exercitúmque, ni ipſum perderet, periturum. hic verò recordatus quòd Aiacem quidem iniquum perdiderat iudicium, Palamedi verò nihil ſapientia profuiſſet, quin lapidibus petitus occideret, noctu cymba haud magna, tempeſtatéque exiſtente aufugit : cùm interea rectà ad Tenum atque Andrum nauigans, iuxta Gyras petras interiit. Cuius calamitatis nuncio ad Græcos delato, paucos quidem ipſorum cibum attigiſſe ait : omnes verò vt pro viro ſtrenuo manus ad ſidera ſuſtuliſſe, maríque intentos ipſum imploraſſe, atque luxiſſe. Agamemnonſque, quòd tantùm non manibus Aiacem occidiſset, fuiſse iratos, ipſúmque iuſta cõſecutum, quæ nec vnquam antea, nec poſtea cuipiam oblata ſunt, ne iis quidem qui in bello nauali periere. Congeſtis enim in Locrenſem nauim, quæ Aiacem vexerat, lignis, vtpote in pyram, nigra omnia mactarunt, & cùm velis ipſam nigris, ceteríſque quæ ad nauigandum inuenta ſunt, exornaſſent, rudentibus tantiſper continuere, donec ventus à terra ſpiraret, quem maximè Ida ſub crepuſculum remittit. Poſtquam autem illuxit dies, & ſpiritus deſcenderat, ignem cauæ naui indidere, quæ in altum ſublata pelagus nondum oriente ſole, & ipſa cremata eſt, & quæcunque Aiaci vehebat.

CHIRON.

Ceterùm Chironem in Pelio habitantem fuiſse quidem (ait) homini ſimilem, verbis vero ac factis ſapientem. etenim variæ erat venationis ſtudioſus, rémque docebat militarem, necnon & medicos red-

A ἐπισημαίνειν ὑπὲρ τῆς κόρης, καὶ ἀπωλεῖσθαι τὴν στρατιάν, εἰ μὴ ἀπολέσειεν αὐτόν. ὁ δὲ ἐνθυμηθεὶς, ὅπως Αἴαντα μὲν ἀπώλεσεν ἄδικος κρίσις, Παλαμήδην δὲ, οὐδὲν ἡ σοφία ὤνησε τὸ μὴ οὐκ ἀποθανεῖν διαβληθέντα, ἀποδρᾶναι νύκτωρ ἐν πορθμείῳ οὐ μεγάλῳ, χειμῶνός τε, καὶ ὡς ἔτυχεν. ὅτε δὴ πλέων εὐθὺ Τήνου τε, καὶ Ἄνδρου, περὶ τὰς Γυραίας ἀπέθανεν. ἀγγελίας δὲ τοῦ πάθους ἐς τοὺς
B Ἀχαιοὺς ἐλθούσης, ὀλίγους μὲν αὐτῶν σίτου ἅψασθαι, πάντας δὲ ὡς ἐπὶ ἀνδρὶ ἀγαθῷ χεῖρας ἆραι. περιεστηκότας τε τῇ θαλάττῃ, ἀνακαλεῖν αὐτὸν, καὶ ὀλοφύρεσθαι, καὶ τὸν Ἀγαμέμνονα ἐν ὀργῇ ἔχειν, μονονοὺ χερσὶ πράξαντα τὴν ἀπώλειαν τοῦ Αἴαντος. ἐναγισμάτων τε αὐτὸν τυχεῖν, ἃ μή πω ἐπηνέχθη πρότερον, μήτε μὴν ὕστερον ἀνθρώπῳ μηδενὶ, μηδὲ ὁπόσους ναυμαχίαι ἀφανεῖς
C εἶχον. ἐς γὰρ Λοκρίδα ναῦν, ἣ τὸν Αἴαντα ἦγε, ξύλα νήσαντες ὥσπερ ἐς πυρὰν ἔσφαξαν μέλανα πάντα. καὶ στείλαντες αὐτὴν ἱστίοις μέλασι, καὶ τοῖς ἄλλοις, ὁπόσα ἐς τὸ πλεῖν εὕρηται, ξυνεῖχον πείσμασιν ἐς τε πνεῦσαι τὸν ἀπὸ τῆς γῆς ἄνεμον, ὃς περὶ ὄρθρον μάλιστα ἡ Ἴδη ἀποστέλλει. ἐπεὶ δὲ ἡ ἡμέρα διεφαίνετο, καὶ κατῄει τὸ πνεῦμα, πῦρ ἐς τὴν κοίλην ναῦν ἐνῆκαν. ἔπλει τε δὴ μετεωρίζουσα ἐς τὸ πέ-
D λαγος. καὶ οὔπω ἡλίου ἀνίσχοντος, αὐτή τε κατεφλέχθη, καὶ ὁπόσα τῷ Αἴαντι ἔφερε.

ΧΕΙΡΩΝ.

Χείρωνα δὲ τὸν ἐν Πηλίῳ, γενέσθαι μὲν φησὶν ἀνθρώπῳ ὅμοιον, σοφὸν δὲ καὶ λόγοις, καὶ ἔργοις. θήρας τε γὰρ ποικίλης ἠπίστατο, καὶ τὰ πολεμικὰ ἐπαίδευε, καὶ ἰα-

τελείους ἀπέφαινε, καὶ μουσικοὺς ἥρμοττε, καὶ δικαίους ἐποίει, βιῶναί τε ἐπιμήκιστον. φοιτῆσαι δὲ αὐτῷ Ἀσκληπιόν, Τελαμῶνά τε, καὶ Πηλέα, καὶ Θησέα. θαμίζειν δὲ καὶ Ἡρακλέα τῷ Χείρωνι, ὅτε μὴ ἀπάγοιεν αὐτὸν οἱ ἆθλοι· μετασχεῖν τε τῆς τοῦ Χείρωνος ὁμιλίας καὶ αὐτός φησι Παλαμήδει ἅμα, καὶ Ἀχιλλεῖ, καὶ Αἴαντι.

A debat, ac muſicos concinnabat, æquóſque faciebat, diutiſſiméque vixiſse ait. operam autem ipſi dediſſe Æſculapium, Telamonem, Peleúmque, ac Theſeum: Herculem præterea Chironem frequentaſse, cùm certamina ipſum haud abducerent: participem quoque ſe Chironis conſuetudinis vnà cum Palamede, Achilléque atque Aiace fuiſſe aſserit.

ΠΑΛΑΜΗΔΗΣ.

Καὶ τὰ τοῦ Παλαμήδους, ὧδε ἀπαγγέλλει. αὐτομαθὴς ἀφικέσθαι αὐτόν, καὶ σοφίας ἤδη γεγυμνασμένον, καὶ πλείω γινώσκοντα, ἢ ὁ Χείρων. πρὸ γὰρ δὴ τοῦ Παλαμήδους, ὧραι μὲν, οὔπω ἦσαν οὖσαι· μηνῶν δὲ, οὔπω κύκλος· ἐνιαυτὸς δὲ, οὔπω ὄνομα ἦν τῷ χρόνῳ. οὐδὲ νομίσματα ἦν, οὐδὲ σταθμαὶ, καὶ μέτρα, οὐδὲ ἀριθμοί. σοφίας τε οὔπω ἔρως, ἐπεὶ μήπω ἦν γράμματα. βουλομένου δὲ τοῦ Χείρωνος ἄλλα τε, καὶ ἰατρικὴν διδάσκειν αὐτόν, ἐγώ, ἔφη, ὦ Χείρων, ἰατρικὴν ἡδέως μὲν οὐκ οὖσαν ἂν εὗρον. εὑρημένην δὲ, οὐκ ἀξιῶ μανθάνειν. καὶ ἄλλως, τὸ ὑπέρσοφόν σου τῆς τέχνης, ἀπήχθηται μὲν Διΐ, ἀπήχθηται δὲ μοίραις. καὶ διῄει ἂν τὰ Ἀσκληπιοῦ, εἰ μὴ ἐνταῦθα ἐβέβλητο. ὄντων δὲ τῶν Ἀχαιῶν ἐν Αὐλίδι, πεττοὺς εὗρεν, οὐ ῥάθυμον παιδιὰν, ἀλλ' ἀγχίνουν τε, καὶ εἴσω σπουδῆς. τὸν δὲ λόγον, ὃς πολλοῖς τῶν ποιητῶν εἴρηται, ὡς στρατεύοι μὲν ἐπὶ τὴν Τροίαν ἡ Ἑλλάς, Ὀδυσσεὺς δὲ ἐν Ἰθάκῃ μανίαν πλάττοιτο, καὶ πρὸς ἄροτρον εἴη βοῦν ἵππῳ ξυμβαλών, Παλαμήδης τε αὐτὸν ἐλέγξειε τῷ Τηλεμάχῳ,

B

PALAMEDES.

Et quæ ad Palamedem pertinent, ſic refert. Nullo præceptore eruditum ad Troiam ipſum veniſse: & ſapientia iam exercitatum, pluráque quàm Chiron ſcientem. Nam ante Palamedem nondum erant nec horæ, nec menſium orbis, temporíque annus nondum erat nomen: nec ſignata adhuc erat pecunia, nec pondera, nec menſuræ, atque nu-
C meri: nec dum ſapientiæ amor, quandoquidem nondum erant literæ. Volente autem Chirone cùm alia, tum vel maximè medicinam ipſum edocere: Ego, inquit, ô Chiron, libenter quidem medicinã minimè exiſtentem inueniſsem, inuentam vero haud opto percipere & alioqui nimia tua artis ſapientia, tam Ioui, quàm Parcis eſt odio: & quæ Æſculapio acciderint percurriſsem, niſi hîc fulmine ictus fuiſset. Græcis
D autem in Aulide exiſtentibus teſseras excogitauit, ludum non modo non deſidem, verùm ſolertem, ac ſtudio dignum. ſermonem autem à poëtarum nonnullis celebratum, quod ſcilicet Græcia quidẽ in Troiam expeditionem faceret, Vlyſſes vero in Ithaca inſaniam ſimularet, & ad aratrum bouem equo iungeret, Palamedéſq; eum Telemacho iumentis oppoſito redargueret,

minimè eſſe ſanum ac verum aſſerit. Promptiſſimè in Aulidem veniſſe Vlyſſem, noménque ipſius iam apud Græcos quòd acerrimus eſſet orator, ob ſapientiam celebre erat. Inter ipſum autem, ac Palamedem, hinc ortum eſt diſſidium. Solis defectus in Troia factus eſt, & exercitus triſtis, ac mœſtus erat, cùm Iouis ſignum ad futura perciperet. Progreſſus igitur Palamedes ipſum ſolis affectum expoſuit, quòd ſcilicet luna ſubtercurrente ipſe obſcuretur, ac caliginem contrahat: quòd ſi quæ mala portenderet, hæc (inquit) Troiani proculdubio patientur. Nam hi quidem iniuriam inferre cœperant, nos verò iniuria affecti venimus. oportet autem vt orienti ſoli ſupplicemus, eíque pullum candidum atque indomitum immolemus. Hæc cùm Græci Palamedis rationibus victi collaudaſſent, proceſſit in medium Vlyſſes, & quæ (inquit) ſacrificare, quídque precari, & quem oporteat, dicet Calchas. Huiuſmodi enim ad diuinationem ſpectant. Quæ verò in cœlo ſunt, & vtrum aſtrorum ſit ordo, an non, nouit Iupiter, à quo hæc & diſtincta, & inuenta ſunt. Tu autem, ô Palamedes, minora nugaberis, ſi humo magis animum intenderis, quàm quæ in cœlo ſunt, excogitaueris. Cui reſpondens Palamedes, Si (inquit) ſapiens eſſes Vlyſſes, intelligeres vtique neminem de cœleſtibus ſapienter poſſe diſſerere, quin multò plura de terreſtribus cognouerit. te autem his deficere haud diffido. Aiunt enim vobis Ithacenſibus nec horas eſſe, nec tellurem. ex his Vlyſſes ira plenus diſceſſit. Palamedes vero, vt aduerſus inuidentem iam ſeipſum præparans: in concione autem Græ-

A οὔ φησιν ὑγιᾶ εἶναι. προθυμότατα γὰρ δὴ τὸν Ὀδυσσέα ἐς Αὐλίδα ἐλθεῖν, καὶ ὄνομα ἤδη αὐτοῦ παραδεδόσθαι τοῖς Ἕλλησιν ἐπὶ δεινότητι· διενεχθῆναι δὲ αὐτὸν τῷ Παλαμήδῃ, ἐντεῦθεν. ἔκλειψις ἡλίου ἐν Τροίᾳ ἐγένετο, καὶ ὁ στρατὸς ἄθυμοι ἦσαν, λαμβάνοντες τὴν διοσημείαν ἐς τὰ μέλλοντα. παρελθὼν οὖν ὁ Παλαμήδης, αὐτό τε τὸ πάθος τοῦ ἡλίου διεξῆλθε, καὶ ὅτι τῆς σελήνης ὑποθεούσης
B αὐτὸν, ἐξαμαυροῦται, καὶ ἀχλὺν ἕλκει. κακὰ δὲ εἴ τινα σημαίνοιτο, ταῦτα δή που, ἔφη, οἱ Τρῶες πείσονται. οἱ μὲν γὰρ ἀδικεῖν ἦρξαν. ἡμεῖς δὲ, ἀδικούμενοι ἥκομεν. προσήκει δὲ καὶ ἀνίσχοντι τῷ ἡλίῳ εὔχεσθαι, πῶλον αὐτῷ καταθύσαντας, λευκόν τε, καὶ δύετον. ταῦτα τῶν Ἀχαιῶν ἐπαινεσάντων· καὶ γὰρ ἡττῶντο τῶν τοῦ Παλαμήδους λόγων· παρελθὼν ὁ
C Ὀδυσσεὺς, ἃ μὲν χρὴ θύειν, ἔφη, ἢ ὅτι εὔχεσθαι, ἢ ὅτῳ, Κάλχας ἐρεῖ. μαντικῆς γὰρ τὰ τοιαῦτα. τὰ δὲ ἐν τῷ οὐρανῷ, καὶ ἡ τῶν ἄστρων ἀταξία τε, καὶ τάξις, Ζεὺς οἶδεν, ὑφ' οὗ ταῦτα κεκόσμηταί τε, καὶ εὕρηται. σὺ δὲ Παλάμηδες, ἥττονα ληρήσεις, προσέχων τῇ γῇ μᾶλλον, ἢ τὰ ἐν* τῷ οὐρανῷ σοφιζόμενος. ὑπολαβὼν οὖν ὁ Παλαμήδης, εἰ σοφὸς ἦσθα, εἶ- *κ.αὐτ.*
D πεν, ὦ Ὀδυσσεῦ, ξυνῆκας ἂν ὅτι μηδεὶς ἂν σοφόν τι περὶ τῶν οὐρανίων εἴποι, μὴ πλείω περὶ τῆς γῆς γινώσκων. σὺ δὲ ἀπολείπεσθαι τούτων οὐκ ἀπιστῶ. φασὶ γὰρ ὑμῖν τοῖς Ἰθακησίοις, μήτε ὥρας εἶναι, μήτε γῆν. ἐπὶ τούτων ὁ μὲν Ὀδυσσεὺς, ἀπῆλθεν ὀργῆς πλέως. ὁ δὲ Παλαμήδης, ὡς πρὸς βασκαίνοντα ἤδη παρασκευάζων ἑαυτὸν ἐν ἐκκλησίᾳ δέ ποτε

τῶν Ἀχαιῶν ὄντων, γέρανοι μὲν ἔτυχον πετόμεναι τὸν εἰωθότα ἑαυταῖς τρόπον. ὁ δὲ Ὀδυσσεὺς ἐς τὸν Παλαμήδην βλέψας, αἱ γέρανοι, ἔφη, μαρτύρονται τοῖς Ἀχαιοῖς ὅτι αὗται γράμματα εὗρον, οὐχὶ σύ. καὶ ὁ Παλαμήδης, ἐγὼ γράμματα οὐχ εὗρον, εἶπεν· ἀλλ᾽ ὑπ᾽ αὐτῶν εὑρέθην. πάλαι γὰρ ταῦτα ἐν μουσῶν οἴκῳ κείμενα ἐδεῖτο ἀνδρὸς τοιούτου. θεοὶ δὲ τὰ τοιαῦτα, δι᾽ ἀνδρῶν σοφῶν ἀναφαίνουσι. γέρανοι μὲν οὖν οὐ μεταποιοῦνται γραμμάτων, ἀλλὰ τάξιν ἐπαινοῦσαι, πέτονται. πορεύονται γὰρ ἐς Λιβύην, ξυνάψουσαι πόλεμον μικροῖς ἀνθρώποις. σὺ δ᾽ οὐδὲν ἂν περὶ τάξεως εἴποις. ἀτακτεῖς γὰρ τὰς μάχας. αἰτίαν δ᾽ οἶμαι, ξένε, ὁ Ὀδυσσεὺς εἶχεν. ὡς εἴ που Ἕκτορα, ἢ Σαρπηδόνα, ἢ Αἰνείαν ἴδοι, καταλιπὼν τὴν τάξιν, καὶ μεθιστάμενος πρὸς τὰ ῥᾳστώνην ἔχοντα τοῦ πολέμου, μειρακιώδης δ᾽ ἐπὶ τῆς ἐκκλησίας δόξας, καὶ πρεσβύτερος νέῳ τῷ Παλαμήδει ἡττηθεὶς, ἐπετείχιζεν αὐτῷ τὸν Ἀγαμέμνονα, ὡς πρὸς τὸν Ἀχιλλέα τοὺς Ἀχαιοὺς μεθιστάντι. διενεχθῆναι δ᾽ αὐτοὺς πάλιν ἐκ τούτου φησί. λύκοι καταβαίνοντες ἐκ τῆς Ἴδης ἐσίνοντο τὰ σκευοφόρα παιδάρια, καὶ τῶν ὑποζυγίων τὰ περὶ τὰς σκηνάς. ὁ μὲν δὴ Ὀδυσσεὺς, ἐκέλευσεν ἀραμένους τόξα, καὶ ἀκόντια, φοιτᾶν ἐς τὴν Ἴδην ἐπὶ τοὺς λύκους. ὁ δὲ Παλαμήδης, ὦ Ὀδυσσεῦ, ἔφη, τοὺς λύκους ὁ Ἀπόλλων προοίμιον λοιμοῦ ποιεῖται. καὶ τοξεύει μὲν αὐτοὺς, καθάπερ τοὺς ὀρέας τε, καὶ τοὺς κύνας ἐνταῦθα. πέμπει δὲ πρότερον παρὰ τοὺς νοσήσαντας εὐνοίας ἕνεκα τῶν ἀνθρώπων, καὶ τοῦ φυλάξασθαι. εὐχώμεθα οὖν Ἀπόλλωνι Λυκίῳ τε, καὶ Φυξίῳ, τὰ μὲν θηρία ταῦτα,

A cis olim exiſtentibus contigit, vt grues ſolito volarent more: Vlyſſes autem in Palamedem reſpiciens, Grues, inquit, Græcos teſtantur, ſe, non te literas inueniſſe. & Palamedes: Ego (inquit) literas minimè inueni, verùm ab ipſis inuentus ſum. Iam diu in Muſarum domicilio ſitæ, huiuſmodi indigebant viro. Nam Dij talia per viros ſapientes in lucem edunt. Grues autem ſibi literas haud vendicant, ſed ordinem laudantes volant.
B In Libyam enim proficiſcuntur, bellum cum paruis hominibus conflaturæ. Tu autem de ordine nihil diceres. nullum enim in prœliis ſeruas ordinem. Nam Vlyſſi vitio dabatur (ô hoſpes) quod ſicubi Hectorem, aut Sarpedonem, aut Æneam vidiſſet, ordinem deſereret, ſeque ad faciliora prælia transferret. Infantiſſimus autem in concionibus viſus, & ſenior à iuuene ſuperatus, ipſi oppoſuit Agamemnoné, vtpote Græcos ad Achillem traduecenti. ipſos
C rurſus ex hoc inimicitias exercuiſſe ait. Lupi ex Ida deſcendentes ferentibus ſarcinas pueris, & quæ iuxta tentoria erant, iumentis oberant. Itaque Vlyſſes quidem iuſſit, vt arcus ac iacula ſumentes, in Idã aduerſus lupos tenderent. Palamedes vero: O Vlyſſes (inquit) lupos Apollo peſtis præludium facit, & ipſos quidem haud ſecus ſagittis petit, atque
D hic mulos ac canes: præmittit vero ad ægrotaturos, hominum beneuolentiæ cauſa, & vt ſibi caueant. Itaque Lycio, ac Phyxio, id eſt fugæ præſidi ſupplicemus Apollini, vt has quidem feras ſuis ipſius col-

lat ſagittis, peſtem verò in capras vertat. Nos autem (ô viri Græci) noſmetipſos curemus. opus enim eſt peſtifera declinantib. tenui diæta, motúque concitato. medicam quidem haud attigi facultatem, ſed omnia ſapientia comprehenduntur. Hæc locutus, carnium quidem forum cohibuit, cibóſque iuſſit renuere militares. Exercitúmque iam ſibi obſequentem, & quicquid à Palamede dictum foret, diuinum, atque vt Apollinis oraculum arbitrantem, ad bellaria, ſylueſtriáque olera deduxit. Nam peſtis quam prædicebat, cùm ex Ponto initium ſumpſiſſet, Helleſpontiacas inuaſerat ciuitates. Incidit autem & Ilio, ſed Græcorum licet in peſtilenti tellure caſtrametati eſſent, neminem attigit. Nam ad viuendi modum, ipſorum quoque motus ſic excogitauit. Centum deductis nauibus viciſſim exercitum impoſuit remigantem, inuicémque certantem, aut promontorium ambire, aut ſcopulum attingere, aut alicui vicino portui littoríve nauim appellere. Agamemnoni præterea perſuaſit, vt celeris nauigationis præmia ipſis proponeret. Itaque læti, bonámque valetudinem ſentientes, ſeſe exercebant. Etenim ipſos edocebat, corrupta, ſeque ita habente tellure, ſuauius, & ad ſpirandum tutius eſſe mare. horum cauſa hic quidem à Græcis ſapientiæ præmia coronas accipiebat, Vlyſſes verò citra honorem degere exiſtimabatur, & quicquid flagitij habebat, in Palamedem torquebat. Ad hæc Proteſilaus talia refert, Achillem aduerſus inſulas maritimáſque ciui-

τοῖς ἑαυτοῦ τόξοις αὖ ἐξελεῖν ἔχειν, τὴν νόσον δὲ, ἐς αἶγας τρέψαι. καὶ ἡμεῖς δὲ, ὦ ἄνδρες Ἕλληνες, ἐπιμελώμεθα ἡμῶν αὐτῶν. δεῖ γὰρ τοῖς φυλαττομένοις τὰ λοιμώδη, διαίτης λεπτῆς, καὶ κινήσεων συντόνων. ἰατρικῆς μὲν γὰρ οὐχ ἡψάμην. σοφίᾳ δὲ καταληπτὰ ἅπαντα. εἰπὼν ταῦτα, τὴν μὲν τῶν κρεῶν ἀγορὰν ἐπέσχε, καὶ τὰ στρατιωτικὰ τῶν σιτίων ἐκέλευσε παραιτήσασθαι. τραγήμασι δὲ, καὶ λαχάνοις ἀγρίοις διῆγε τὸν στρατὸν, πειθομένους αὐτῷ, καὶ πᾶν τὸ ἐκ Παλαμήδους, θεῖόν τε ἡγουμένους, καὶ χρησμῶδες. καὶ γὰρ δὴ ὁ λοιμὸς, ὃν προὔλεγεν, ἐνέσκηψε μὲν ἐς τὰς Ἑλλησποντικὰς πόλεις, ἀρξάμενος, φασὶν, ἐκ τοῦ Πόντου· προσέπεσε δὲ καὶ τῷ Ἰλίῳ· τῶν δὲ Ἑλλήνων οὐδενὸς ἥψατο, καίτοι στρατοπεδευόντων ἐν* γῇ νοσούσῃ. πρὸς γὰρ τῇ διαίτῃ, καὶ τὰς κινήσεις αὐτῶν, ὧδε ἐσοφίσατο. καθελκύσας ἑκατὸν ναῦς, ἐνεβίβαζε τὸν στρατὸν κατὰ μέρος, ἐρέττοντάς τε, καὶ ἁμιλλωμένους ἀλλήλοις, ἢ ἀκρωτήριόν περιβαλεῖν, ἢ σκοπέλου ἅψασθαι, ἢ προσκαταῖραι τῶν πέλας ἐς λιμένα τινὰ, ἢ ἀκτήν. ἔπεισε δὲ καὶ τὸν Ἀγαμέμνονα προθεῖναι σφίσι τοῦ ταχυναυτεῖν ἆθλα. χαίροντες οὖν, ἐγυμνάζοντο, καὶ ξυνιέντες τὸ ὑγιαίνειν. καὶ γὰρ ἐδίδασκεν αὐτοὺς, ὅτι τῆς γῆς διεφθορυίας τε, καὶ οὕτως ἐχούσης, ἡδίων ἡ θάλαττα, καὶ ἀσφαλεστέρα ἀναπνεῖν. ἐπὶ τούτοις ὁ μὲν, σοφίας ἀριστεῖα ἐστεφανοῦτο ὑπὸ τῶν Ἑλλήνων. ὁ δὲ Ὀδυσσεὺς, ἀτίμως τε ἡγεῖτο πράττειν, καὶ πανουργίας ὅ,τι εἶχεν, ἐπὶ τὸν Παλαμήδην ἔστρεφεν. ἐπὶ τούτοις ὁ Πρωτεσίλεως τοιαῦτα ἀπαγγέλλει. τὸν Ἀχιλλέα στρατεύοντα ἐπὶ τὰς νήσους, καὶ τὰς

ἀκταίας πόλεις, αἰτῆσαι τοὺς Ἀχαιοὺς ξὺν Παλαμήδει στρατεῦσαι. ἐμάχοντο δὲ ὁ μὲν Παλαμήδης, γενναίως τε, καὶ σωφρόνως· ὁ δὲ Ἀχιλλεὺς, οὐ καθεκτῶς. ὁ γὰρ θυμὸς ἐξαίρων αὐτὸν, ἐς ἀταξίαν ἦγεν. ὅθεν ἔχαιρε τῷ Παλαμήδει συνασπίζοντι· καὶ ἀπάγοντι μὲν αὐτὸν ὑπὸ τῆς φορᾶς, ὑποτιθεμένῳ δὲ ὡς χρὴ μάχεσθαι. καὶ γὰρ δὴ καὶ ἐῴκει λεοντοκόμῳ, λέοντα γενναῖον πραΰνοντί τε, καὶ ἐγείροντι. καὶ οὐδὲ ἐκκλίνων ταῦτα ἔπραττεν, ἀλλὰ καὶ βάλλων, καὶ φυλαττόμενος βέλη, καὶ ἀσπίδα ἀντερείδων, καὶ διώκων ξίφος. ἐξέπλευσαν μὲν δὴ χαίροντες ἀλλήλοις. εἵποντο δὲ αὐτοῖς Μυρμιδόνες τε, καὶ οἱ ἐκ Φυλάκης Θετταλοί. ταχθῆναι δὲ μετὰ ταῦτα τὴν ἑαυτοῦ δύναμιν ὁ Πρωτεσίλεως ὑπ' Ἀχιλλεῖ φησι, καὶ Μυρμιδόνας οὕτως ὀνομασθῆναι πάντας Θετταλούς. αἱ μὲν οὖν πόλεις, ἡλίσκοντο, καὶ εὐδόκιμα τοῦ Παλαμήδους τὰ ἔργα ἀπηγγέλλετο, ἰσθμῶν διωρυχαὶ, καὶ ποταμοὶ ἐς τὰς πόλεις ἐπιστρεφόμενοι, καὶ σταυροὶ λιμένων, καὶ ἐπιτειχίσματα. νυκτομαχία τε ἡ περὶ Ἄβυδον, ὁπότε καὶ τρωθέντες, ὁ μὲν Ἀχιλλεὺς, ἀνεχώρησεν. ὁ Παλαμήδης δὲ, οὐκ ἀπεῖπεν, ἀλλὰ πρὶν μέσην ἑστάναι νύκτα, εἷλε τὸ χωρίον. ὁ δὲ Ὀδυσσεὺς, ἐν Τροίᾳ ξυνετίθει λόγους πρὸς τὸν Ἀγαμέμνονα, ψευδεῖς μὲν, πιθανοὺς δὲ πρὸς τὸν εὐήθως ἀκούοντα· ὡς ἐρῴη μὲν ὁ Ἀχιλλεὺς τῆς τῶν Ἑλλήνων ἀρχῆς, μαστροπῷ δὲ τῷ Παλαμήδει χρῷτο. καὶ ἀφίξονται μὲν ἔφη μικρὸν ὕστερον, σοὶ μὲν, βοῦς τε ἀπάγοντες, καὶ ἵππους, καὶ ἀνδράποδα. ἑαυτοῖς δὲ, χρήματα· οἷς ὑποποιήσονται δή που τοὺς δυνατοὺς τῶν

A tates ducentem, à Græcis petiiſſe, vt ſecum Palamedes militaret. Pugnabant autem Palamedes quidem ſtrenuè, ac modeſtè, Achilles verò haud continenter. ira enim ipſum efferens, extra ordinem ducebat: vnde Palamede gaudebat ſocio, & ab impetu quidem ipſum abducente, & quo pugnandum eſſet pacto admonente. Etenim leonum magiſtro, generoſum leonem nunc placanti, nunc excitanti, ſimilis videbatur: B nec declinans hæc faciebat, ſed emittens & euitans tela, clypeúmque admouens, atque aciem inſequens. Enauigarunt igitur inuicem gaudentes. Myrmidones autem, atque ex Phylace Theſſali ipſos ſequebantur, ſuos autem ipſius milites Achilli additos ait Proteſilaus, & ita vniuerſos Theſſalos Myrmidonas appellatos. Itaque ciuitates capiebantur, egregiáque Palamedis facinora nuntiabantur. Iſthmorum C effoſſiones, fluminâque in ciuitates conuerſa ac deriuata, portuum ſepta ac propugnacula, noctúrnáque in Abydum pugna: cum vtroque vulnere affecto Achilles quidem receſſit: Palamedes verò haudquaquam defecit, ſed ante mediam noctem oppidum cepit. Ceterùm Vlyſſes ſermones apud Agamemnonem componebat, falſos quidem, ſed qui facilè eum qui temerè audiret, ad credendum com- D pellerent, quòd ſcilicet Achilles Græcorum imperium affectaret, lenonéque ad id Palamede vteretur: & reuertentur (inquit) paulò pòſt, tibi quidem boues, equos, ac mancipia abducentes, ſibi verò ipſis pecunias; quibus vtique Græcorum potentes ſibi aduerſus te ven-

dicabunt. Ab Achille autem abſtinere oportet : ipſúmque haud ignorantes cauere, hunc verò Sophiſten occidere. Excogitatus eſt autem mihi in ipſum dolus, per quem & Græcis odio erit, & ab ipſis interficietur. & percurrit, vt à ſe parata eſſent, quæ ad Phrygem, quæque ad aurum à Phryge relictum pertinent. cùm autem ſapienter excogitata, Agamemnónque ad inſidias compoſitus videretur, Age ô Rex (inquit) Achillem quidem circa ciuitates, in quibus nunc eſt, mihi cuſtodias : Palamedem verò vt Ilium oppugnaturum, machináſque inuenturum, huc accerſito. Nam ſi abſque Achille venerit, non modò mihi, verùm etiam alij minus ſapienti, captu per quàm facilis erit. Placuerunt hæc, & caduceatores in Leſbum nauigabant. nondum enim tota capta erat, ſed quæ ad ipſam pertinent, ſic habebant. Lyrneſſus Æolica ciuitas habitabatur naturali munita ſitu, nec tamen ſine mœnibus, quo Orphei lyram delatam ferunt, lapidibúſque ſonitum quendam edidiſſe, & adhuc Lyrneſſi maritima lapidum concentu reſonant. Ibi decimum iam diem obſidentibus (nam difficile captu oppidum erat) caduceatores Agamemnonis mandata retulere. Videbatur autem eſſe regi obtemperandum, & huic quidem permanendum, Palamedi verò decedendum. Itaque vterque ab altero cum lachrymis abiere. Poſtea verò quàm ad caſtra nauigarunt, & quæ ab exercitu geſta eſſent, Palamedes enunciauit, cuncta Achilli adſcribens: ô Rex (inquit) iubes me Pergama oppugnare Troiana :

A Ἑλλήνων ἐπὶ σέ. Ἀχιλλέως μὲν ἀπέχεσθαι χρή. καὶ γινώσκοντας αὐτὸν, φυλάττεσθαι. τὸν σοφιστὴν δὲ ἀποκτεῖναι τοῦτον. εὕρηται δέ μοι κατ' αὐτοῦ τέχνη, δι' ἧς μισηθήσεταί τε ὑπὸ τῶν Ἑλλήνων, καὶ ἀπολεῖται ὑπ' αὐτῶν. καὶ διεξῆλθεν ὡς ἡτοίμασται αὐτῷ τὰ περὶ τὸν Φρύγα, καὶ τὸ χρυσίον τὸ ληφθὲν ὑπὸ τῷ Φρυγί. σοφῶς δὲ τούτων ἐπινενοῆσθαι δοκούν-
B των, καὶ ξυνθεμένου τῇ ἐπιβουλῇ τοῦ Ἀγαμέμνονος, ἄγε δὴ, ὦ βασιλεῦ, ἔφη, τὸν μὲν* δὴ Ἀχιλλέα, φύλαττέ μοι περὶ τὰς πόλεις, ἐν αἷς ἐστι νῦν. τὸν Παλαμήδην δὲ, ὡς τειχομαχήσοντα τῷ Ἰλίῳ, καὶ μηχανὰς εὑρήσοντα, μετάπεμπου ἐνταῦθα. ἄνευ γὰρ τοῦ Ἀχιλλέως ἥκων, οὐκ ἐμοὶ μόνῳ ἔσται ἁλωτὸς, ἀλλὰ καὶ ἄλλῳ ἧττον σοφῷ. ἔδοξε ταῦτα. καὶ ἔπλεον οἱ κήρυκες ἐς Λέσβον. ἑα-
C λώκει δὲ οὔπω πᾶσα, ἀλλ' ὧδε τὰ περὶ αὐτὴν εἶχε. πόλις Αἰολὶς Λυρνησσὸς ᾠκεῖτο, τειχήρης τὴν φύσιν, καὶ οὐδὲ ἀτείχιστος. ᾗ φασι τὴν Ὀρφέως προσενεχθῆναι λύραν, καὶ δοῦναί τινα ἠχὴν ταῖς πέτραις, καὶ μεμουσῶσθαι ἔτι καὶ νῦν τῆς Λυρνησσοῦ τὰ περὶ τὴν θάλατταν ὑπὸ τῆς ᾠδῆς τῶν πετρῶν. ἐνταῦθα προσκαθημένων δεκάτην ἡμέραν, χαλεπὸν γὰρ ἦν ἁλῶναι τὸ χωρίον,
D ἀπήγγελλον μὲν οἱ κήρυκες τὰ παρὰ τοῦ Ἀγαμέμνονος· ἐδόκει δὲ πείθεσθαι. καὶ τὸν μὲν, καταμένειν· τὸν Παλαμήδην δὲ, ἀπιέναι. καὶ ἀπῆλθον ἀλλήλων δακρύοις ἅμα. ἐπεὶ δὲ κατέπλευσαν ἐς τὸ στρατόπεδον, καὶ τὰ τῆς στρατιᾶς ἀπήγγελλεν, Ἀχιλλεῖ πάντα ἀναθεὶς, ὦ βασιλεῦ, ἔφη, κελεύεις με τειχομαχεῖν τῇ Τροίᾳ;

ἐγὼ δὲ, μηχανήματα μὲν γενναῖα ἡγοῦμαι τοὺς Αἰακίδας, καὶ τὸν Καπανέως τε, καὶ Τυδέως, καὶ τοὺς Λοκρούς, Πάτροκλόν τε δή που, καὶ Αἴαντα. εἰ δὲ καὶ ἀψύχων μηχανημάτων δεῖσθε, ἤδη ἡγεῖσθε κεῖσθαι τὴν Τροίαν τό γε ἐπ' ἐμοί· ἀλλὰ ἔφθησαν αὐτὸν, αἱ Ὀδυσσέως μηχαναὶ, σοφῶς ξυντεθεῖσαι, καὶ χρυσοῦ μὲν, ἥττων ἔδοξε, προδότης δὲ εἶναι κατεψεύσθη. περιαχθεὶς δὲ τὼ χεῖρε, κατελιθώθη, βαλλόντων αὐτὸν Πελοποννησίων τε, καὶ Ἰθακησίων. ἡ δὲ ἄλλη Ἑλλὰς, οὐδὲ ἑώρα ταῦτα, ἀλλὰ καὶ δοκοῦντα ἀδικεῖν, ἠγάπα. ὠμὸν καὶ τὸ ἐπ' αὐτῷ κήρυγμα. μὴ γὰρ θάπτειν τὸν Παλαμήδην, μηδὲ ὁσιοῦν τῇ γῇ, ἀποθνήσκειν δὲ ὁ ἀνελόμενός τε, καὶ θάψας. κηρύττοντος δὲ ταῦτα τοῦ Ἀγαμέμνονος, Αἴας ὁ μέγας ἐπιῤῥίψας ἑαυτὸν τῷ νεκρῷ, πολλὰ μὲν δάκρυα περὶ αὐτῷ ἀφῆκεν. ἀναθέμενος δὲ αὐτὸν, διεξέπεσε τοῦ ὁμίλου, γυμνῷ τῷ ξίφει, καὶ ἑτοίμῳ. θάψας οὖν ὡς εἰκὸς ἦν τὸν εἰργόμενον, οὐ προσῄει τῷ κοινῷ τῶν Ἑλλήνων, οὐδὲ βουλῆς, ἢ γνώμης ἥπτετο, οὐδὲ ἐξῄει ἔτι ἐς τὰς μάχας. Ἀχιλλέως τε ἀφικομένου μετὰ τὴν τῆς Χεῤῥονήσου ἅλωσιν, ἄμφω ἐπὶ τῷ Παλαμήδει ἐμηνιέτην. ὁ μὲν Αἴας, οὐκ ἐπὶ πολύ. ὡς γὰρ ᾔσθετο τῶν ξυμμάχων κακῶς πραττόντων, ἠλέησέ τε, καὶ τὴν ὀργὴν μετέθηκεν. ὁ δὲ Ἀχιλλεὺς, ἐπεμήκυνε τὴν μῆνιν. ᾠδήν τε γὰρ τῆς λύρας τὸν Παλαμήδην ἐπεποίητο, καὶ ᾖδεν αὐτὸν ὅσα τοὺς προτέρους τῶν ἡρώων· ἐδεῖτό τε ὄναρ ἐφίστασθαι αὐτῷ, σπένδων ἀπὸ κρατῆρος, οὗ Ἑρμῆς ὑπὲρ ὀνείρων πίνει. ἔοικέ τε ὁ ἥρως οὗτος, οὐκ Ἀχιλλεῖ

A ego autem Æacidas, Capaneíque, ac Tydei filios, & Locrenſes, Patroclum vtique, atque Aiacem præclara eſſe machinamenta exiſtimo. Quòd ſi inanimatis indigetis machinis, iam Troiam, quantum in me eſt, iacere arbitramini. Ceterùm Vlyſſis machinæ ſapiéter compoſitæ ipſum præuenere, & auro quidem inferior exiſtimatus eſt, proditionis verò falsò accuſatus, vinctis poſt terga manibus, lapidi- B bus petitus interiit, vulnerantibus ipſum Peloponnenſibus atque Ithacenſibus. Nam ceteri Græci ne viderant quidem hæc, ſed exiſtimatum iniuriam facere, diligebant. Crudele fuit & quod in ipſum edictum eſt, ne ſcilicet Palamedem quiſpiam ſepeliret, humóque piè tegeret; ſupplicióque afficeretur capitali, ſi quis excepiſſet, ac ſepulturæ mandaſſet. Hæc autem Aga- C memnone edicente, magnus Aiax, cùm in ſe mortuum inieciſſet, multas quidem lachrymas circa ipſum emiſit: tollens verò eum, denudato ac prompto enſe per multitudinem tranſiuit. Itaque cùm ipſum vt par erat, aduerſus edictum ſepeliuiſſet, haud amplius communes adibat Græcorum conuentus, nec conſilium ac ſententiam proferebat ſuam, nec ad pugnas exibat. & Achille poſt captam Cher- D rhoneſum reuerſo; ambo Palamedis cauſa irati ſunt: Aiax quidem non diu; poſtquam enim ſocios oppreſſos ſenſit, miſeratus eſt, irámque depoſuit. Achilles vero iram protrahebat, lyræque cantum Palamedem fecerat, & ipſum, vt priores Heroes, cantu celebrabat: crateréq; vnde Mercurius pro ſomniis bibit, libans, vt ſibi per quietem adſiſteret, rogabat. videtur & Heros hic non modo Achilli,

verùm & omnibus, quibus roboris ac ſapientiæ amor, ſeipſum æmulatione ac cantu dignum præbere. Proteſilaus quoq; (poſtquam in ipſius mentionem incidimus) cùm aliam Herois promptitudinē, tum vel maximè quam in morte præſetulit, laudibus proſequens affatim lachrymat. neque enim ſupplicauit Agamemnoni Palamedes, nec miſerabile quicquam dixit, nec lamentatus eſt, ſed hæc locutus: Miſereor tui, ô veritas, tu enim ante me periiſti. lapidibus caput obiectabat, vtpote non ignorans pœnam in ipſos futuram. *Phœnix*. Licétne Palamedem videre, ô Vinitor, vt Neſtorem, Diomedémque, ac Sthenelum vidi? an nihil de ipſius idea Proteſilaus interpretatur? *Vinitor*. Licet (ô hoſpes) & vide. Itaque magnitudine quidem maiori Aiaci ſimilem fuiſſe, pulchritudine verò cum Achille Antilochóque atque Euphorbo Troiano, ſecúmque certaſſe, inquit Proteſilaus. Etenim barbam quidem mollem ipſi erumpere, & cum cincinnorum promiſſione: comam verò ad cutem abraſam, ſupercilia libera, atque erecta, & ad naſum quadrangularem, beneque compactum occurrentia: oculorum autem mentem in prœliis quidem immutabilem, ac celerem videri: in quiete vero amicabilem, & affatu, in conſiliis, facilem. dicitur autem hominum maximis vſus oculis. Atqui nudum aiunt Palamedem, medium ſe inter grauem ac leuem Athletam agere, multúmque circa faciem habere ſqualorē, aureis Euphorbi cincinnis ſuauiorem: ſqualorem autem contrahebat, cùm quòd vbicunque contingeret, dormiret, tum quòd

A μόνον, ἀλλὰ καὶ πᾶσιν, οἷς ῥώμης τε, καὶ σοφίας ἔρως, παρέχειν ἑαυτὸν ζήλου τε, καὶ ᾠδῆς ἄξιον. ὅ, τι Πρωτεσίλεως, ἐπειδὰν ἐς μνήμην αὐτοῦ ἀφικώμεθα, ἀστακτὶ δακρύει, τήν τε ἄλλην ἀνδρίαν ἐπαινῶν τοῦ ἥρω, καὶ τὴν ἐν τῷ θανάτῳ. οὐ γὰρ δὴ ἱκέτευσε Ἀγαμέμνονα ὁ Παλαμήδης, οὐδὲ οἰκτρόν τι εἰπεῖν, οὐδὲ ὀδύρεσθαι, ἀλλ' εἰπὼν, ἐλεῶ σε ἀλήθεια,
B σὺ γὰρ ἐμοῦ προαπώλωλας. ὑπέσχε τὴν κεφαλὴν τοῖς λίθοις, οἷα ξυνιεὶς ὅτι ἡ δίκη πρὸς αὐτοὺς ἔσται. Φο. ἔστι καὶ τὸν Παλαμήδη ἰδεῖν, ἀμπελουργὲ, καθάπερ τὸν Νέστορα εἶδον, καὶ τὸν Διομήδη, καὶ τὸν Σθένελον; ἢ οὐδὲν περὶ τῆς ἰδέας αὐτοῦ ὁ Πρωτεσίλεως ἑρμηνεύει; Αμ. ὑπάρχει, ξένε, καὶ ὅρα. μέγεθος μὲν τοίνυν αὐτὸν κατὰ τὸν Αἴαντα τὸν μείζω γενέσθαι, κάλλος δὲ, Ἀχιλλεῖ τε ἁμιλλᾶσθαι, καὶ Ἀντιλόχῳ, καὶ αὐτῷ φησιν ὁ Πρω-
C τεσίλεως, καὶ Εὐφόρβῳ τῷ Τρωΐ. γένεια μὲν γὰρ αὐτῷ ἁπαλὰ ἐκφύεσθαι, καὶ ξὺν ἐπαγγελίᾳ βοστρύχων τὴν κόμην τε, ἐν χρῷ εἶναι. τὰς δὲ ὀφρῦς, ἐλευθέρας τε, καὶ ὀρθὰς, καὶ ξυμβαλλούσας πρὸς τὴν ῥῖνα, τετράγωνόν τι οὖσαν, καὶ εὖ βεβηκυῖαν. τὸν δὲ τῶν ὀφθαλμῶν νοῦν, ἐν μὲν ταῖς μάχαις, ἄτρεπτόν τε φαίνεσθαι,
D καὶ γοργόν. ἐν δὲ τῇ ἡσυχίᾳ, φιλέταιρόν τε, καὶ εὐπροσήγορον ταῖς βουλαῖς. λέγεται δὲ καὶ μεγίστοις ἀνθρώπων ὀφθαλμοῖς χρήσασθαι. καὶ μὴν καὶ γυμνὸν φασὶ τὸν Παλαμήδη μέσα φέρεσθαι βαρέως ἀθλητοῦ, καὶ κούφου, καὶ αὐχμὸν περὶ τῷ προσώπῳ ἔχειν πολὺν, ἡδίω τῆς Εὐφόρβου πλοκάμων τῶν χρυσῶν. αὐχμοῦ δὲ ἐπεμελεῖτο ὑπὸ τοῦ καθεύδειν τε ὡς ἔτυχεν, αὐλίζεσθαί τε

πολλάκις ἐν τῇ ἀκρωνυχίᾳ τῆς Ἴδης, ἐν σχολῇ τῶν πολεμικῶν. τὴν γὰρ κατάληψιν τῶν μετεώρων, ἐντεῦθεν ἀπὸ τῶν ὑψηλοτάτων οἱ σοφοὶ ποιοῦνται. ἦγε δὲ εἰς Ἴλιον οὔτε ναῦν, οὔτε ἄνδρα, ἀλλ' ἐν πορθμείῳ ξὺν Οἴακι τῷ ἀδελφῷ ἔπλευσε, πολλῶν φασι βραχιόνων ἀντάξιον ἑαυτὸν ἡγούμενος. οὐδὲ ἀκόλουθος ἦν αὐτῷ, οὐδὲ θεράπων, οὐδὲ Τέκμησσά τις, ἢ Ἶφις, λούουσά τε, ἢ στορνῦσα τὸ λέχος, ἀλλ' αὐτουργὸς βίος, καὶ ἔξω τοῦ κατεσκευάσθαι. εἰπόντος γοῦν ποτε πρὸς αὐτὸν Ἀχιλλέως, ὦ Παλάμηδες, ἀγροικότερος φαίνῃ τοῖς πολλοῖς, ὅτι μὴ κέκτησαι τοὺς θεραπεύσοντας. τί οὖν, ταῦτα, ἔφη, ὦ Ἀχιλλεῦ, τὼ χεῖρε ἄμφω προτείνας. διδόντων δὲ αὐτῷ τῶν Ἀχαιῶν ἐκ δασμοῦ χρήματα, καὶ κελευόντων αὐτὸν πλουτεῖν, οὐ λαμβάνω, ἔφη· κἀγὼ γὰρ ὑμᾶς κελεύω πένεσθαι, καὶ οὐ πείθεσθε. ἐρομένου δέ ποτε αὐτὸν Ὀδυσσέως ἐξ ἀστρονομίας ἥκοντα, τί πλέον ἡμῶν ὁρᾷς ἐν τῷ οὐρανῷ, τοὺς κακούς εἶπεν. ἀμείνων δ' ἂν ἦν τοὺς Ἀχαιοὺς ἐκδιδάξας ὅτῳ ποτὲ τῶν τρόπων φανεροὶ οἱ κακοί· οὐ γὰρ ἂν προσήκαντο τὸν Ὀδυσσέα, ἐπαντλοῦντα αὐτῷ ψευδεῖς οὕτω, καὶ πανούργους τέχνας. τὸ δὲ λεγόμενον πῦρ ὑπὸ Ναυπλίου περὶ Κοίλην Εὔβοιαν ἐπὶ τοῖς Ἀχαιοῖς ἀρθῆναι, ἀληθές τέ φησιν εἶναι, καὶ ὑπὲρ Παλαμήδους ὑπὸ Μοιρῶν πεπρᾶχθαι, καὶ Ποσειδῶνος, ἴσως, ξένε, μηδὲ βουλομένης τῆς τοῦ Παλαμήδους ταῦτα ψυχῆς. σοφὸς γὰρ ὢν, συνεγίγνωσκέ που αὐτοῖς τῆς ἀπάτης. ἔθαψε δὲ αὐτὸν Ἀχιλλεύς τε, καὶ Αἴας, εἰς τὴν ὅμορον τῇ Τροίᾳ τῶν Αἰολέων ἤπειρον· ὑφ' ὧν καὶ ἱερὸν

A in ſummo Idæ cacumine ſæpenumero pernoctaret, cùm præſertim à rebus bellicis vacaret. Cœleſtium enim ac meteororum perceptionem inde ex altiſſimis ſapientes ſibi comparant. Duxit autem ad Troiam neque nauem, neque virum, ſed cymba vna cum Oeace fratre traiecit, pro multis (vt aiunt) brachiis ſeipſum exiſtimás: nec pediſſequus ipſi erat, nec ſeruus, nec Tecmeſſa aliqua, B aut Iphis quæ lauaret, ac lectum ſterneret, ſed ipſe ſibiipſi miniſtrans viuebat nullo apparatu. Itaque cùm ipſi quandoque Achilles dixiſſet, Rudior nonnullis videris, ô Palamedes, quod tibi miniſtraturum non comparaueris. quid igitur hæc, ô Achilles (inquit) vtramque manum protendens. Achiuis autem pecunias ipſi ex partitione præbentibus, ac diteſcere iubentibus. Non accipio, inquit: ego enim paupertatem C colere iubeo, & non obſequimini. Percunctante autem olim ipſum Vlyſſe, ex aſtronomia redeuntem, quid nobis plus in cœlo vides? malos reſpondit. Præſtantior vtique fuiſſet, ſi quónam pacto dignoſci poſſent mali, Græcos edocuiſſet: neque enim Vlyſſem adeo mendaces ac flagitioſas in ipſum artes exhaurientem admiſiſſent. quod autem dictum eſt, ignem ſcilicet à Nauplio circa cauam Eubœam in Græcos D fuiſſe ſublatum, & verum eſſe ait, & pro Palamede à Parcis, ac Neptuno factum. Palamedis manibus fortaſſis (ô hoſpes) ne hæc quidem volentibus. Sapiens etenim exiſtens, ipſis quod decepti fuiſſent, ignoſcebat. Ipſum autem Achilles, atque Aiax, in finitima Troiæ Æolenſium continente ſepulturæ mandarunt, à quibus & ſacellum

admo-

admodum vetuſtum ipſi exædificatum eſt, & Palamedis ſtatua generoſa pulchríſque armis prædita erecta eſt: & qui litorales incolunt ciuitates, conuenientes ei ſacra faciunt. Perſcrutari autem oportet ſacellum circa Methymnam, ac Lepetymnum: hic autem mons altus ſupra Leſbum apparet.

VLYSSES.

Quæ verò ad Vlyſſem pertinent, ita enarrat: Fuiſſe quidem ipſum facundiſſimum, atque acrem, diſſimulatorem verò, atque inuidum, malignitatémque laudantem, triſtémque ſemper, ac cogitabundo ſimilem, & qui in rebus bellicis videretur potius quàm eſſet fortis. Ignoraſſe tamen quonam pacto armarentur acies, naumachiæque, ac murorum oppugnationes fierent, cuſpidéſque atque arcus traherentur. Ipſius autem facinora multa quidem fuiſſe ait, nulla tamen admiratione digna, præter vnum, quod ad cauum pertinet equum, cuius faber quidem fuit Epeus, Vlyſſes verò inuentor, & in ipſis inſidiis ceterorũ ardentiſſimus extitiſſe perhibetur. Ilium autem iam puberem tranſgreſſus ætatem venit, in Ithacam verò ſenio iam confectus rediit. Longiore enim ob id bellum vſus eſt errore; quod ſibi in Iſmaro Thraciæ ciuitate maritima prætercurrẽti aduerſus Ciconas geſtum eſt. Nam quæ ad Polyphemum, & Antiphatem, Scyllámque atque inferos pertinent, & quæcunque Sirenes in inſula canebant, ne audire quidem concedit Proteſilaus, ſed oblitis cera auribus ea renuere: non quin voluptatis referta ſint, & ad oblectandum animum ſatisfaciant, verùm minimè veriſimilia, ac ficta.

A αὐτῷ τι ἐξῳκοδόμητο, μάλα ἀρχαῖον, καὶ ἄγαλμα Παλαμήδους ἵδρυται, γενναῖόν τε, καὶ εὔοπλον· καὶ θύουσιν αὐτῷ ξυνιόντες ἐς ταῖς ἀκταίαις οἰκοῦντες πόλεις. μαστεύειν δὲ χρὴ τὸ ἱερὸν, κατὰ τὴν Μήθυμναν τε, καὶ Λεπέτυμνον· ὄρος δὲ τοῦτο ὑψηλὸν ὑπερφαίνεται τῆς Λέσβου.

ΟΔΥΣΣΕΥΣ.

B Τὰ δὲ Ὀδυσσέως οὕτωσι φράζει. γενέσθαι μὲν αὐτὸν ῥητορικώτατον, καὶ δεινόν. εἴρωνα δὲ, καὶ ἐραστὴν φθόνου, καὶ τὸ κακόηθες ἐπαινοῦντα κατηφῆ τε ἀεὶ, καὶ οἷον ἐπεσκεμμένον τὰ πολέμια δοκοῦντα μᾶλλον γενναῖον, ἢ ὄντα. οὐ μὴν ἐπιστήμονα ὁπλίσεως, ἢ τοῦ τάξαι ναυμαχίας τε, καὶ τειχομαχίας, καὶ αἰχμῆς, καὶ τόξων ἕλξεως. τὰ δὲ ἔργα αὐτοῦ, εἶναι μὲν πολλὰ, οὐ μὴν θαυμάσαι ἄξια, πλὴν ἑνὸς,
C τοῦ ἐς τὸν ἵππον τὸν κοῖλον. οὗ τέκτων μὲν Ἐπειὸς ξὺν Ἀθηνᾷ ἐγένετο, Ὀδυσσεὺς δὲ εὑρετὴς, καὶ ἐν αὐτῷ δὲ λέγεται τῷ λόχῳ, θαρσαλεώτατος ὀφθῆναι τοῦ πληρώματος. ἐς Ἴλιον μὲν οὖν παρηβηκὼς ἦλθεν ἐς δὲ Ἰθάκην, γεγηρακώς. μακροτέρᾳ γὰρ ἐχρήσατο τῇ ἄλῃ, διὰ τὸν πόλεμον ὃς πρὸς Κίκονας αὐτῷ διεπολεμήθη, καταπρέχοντι τὰ ἐπὶ θαλάττῃ τοῦ Ἰσμάρου. τὰ γὰρ
D Πολυφήμου, καὶ Ἀντιφάτου, καὶ Σκύλλης, καὶ τὰ ἐν ᾅδου, καὶ ὁπόσα αἱ σειρῆνες ἐν τῇ νήσῳ ᾖδον, οὐδὲ ἀκούειν ξυγχωρεῖ ὁ Πρωτεσίλεως, ἀλλ' ἐπαλείφειν ἡμᾶς κηρὸν τοῖς ὠσὶ, καὶ παραιτεῖσθαι αὐτὰ, οὐχ ὡς οὐ πλέα ἡδονῆς, καὶ ψυχαγωγῆσαι ἱκανὰ, ἀλλ' ὡς ἀπίθανά τε, καὶ παρευρημένα.

καὶ τὴν νῆσον δὲ τὴν Ὠγυγίαν, καὶ τὴν Αἰαίαν, καὶ ὡς ἤρων αὐτοῦ αἱ θεαί, παραπλεῖν κελεύει, καὶ μὴ προσορμίζεσθαι τοῖς μύθοις· ἔξωρόν τε γὰρ τοῦ ἐρωτικῶν εἶναι τὸν Ὀδυσσέα, καὶ ὑπόσιμον, καὶ οὐ μέγαν, καὶ πεπλανημένον τὼ ὀφθαλμώ, διὰ τὰς ἐννοίας τε, καὶ ὑπονοίας. ἐνθυμουμένῳ γὰρ ἀεὶ ἐῴκει. τοῦτο δὲ ἄχαρι ἐς τὰ ἐρωτικά. οἷος μὲν δὴ οὗτος καὶ ὡς σοφώτερόν τε, καὶ ἀνδρειότερον ἑαυτοῦ τὸν Παλαμήδην ὁ Ὀδυσσεὺς ἀπέκτεινεν, ἱκανῶς ἐν τούτων διδάσκει ὁ Πρωτεσίλεως. ὅθεν καὶ τὸν θρῆνον τὸν παρ' Εὐριπίδῃ ἐπαινεῖ, ὁπότε Εὐριπίδης ἐν Παλαμήδους μέλεσιν, ἐκάνετε φησιν, ἐκάνετε τὸν πάνσοφον, ὦ Δαναοί, τὰν οὐδὲν ἀλγύνουσαν ἀηδόνα μουσᾶν, καὶ τὰ ἐφεξῆς. καὶ ὅτι πεισθέντες ἀνθρώπῳ δεινῷ, καὶ ἀναιδεῖ λόγῳ, ταῦτα δράσειαν.

A Ogygiam præterea inſulam Ææámque, & quòd ipſius amore captæ fuerint deæ, præternauigare iubet, nec fabulis appelli. Ipſum enim Vlyſſem ex amabili ætate iam exceſſiſſe ait, & ſubſimum fuiſſe, nec magnum, oculíſque errabundis ob cogitationes ac ſuſpiciones. Meditantem enim ſemper referebat: hoc autem ad amorem conciliandū minimè valere. Qualis quidem qualem & quòd ſe ſapientiorem ac fortiorem
B Palamedem interfecerit Vlyſſes, ſatis his docet Proteſilaus: vnde luctum apud Euripidem exiſtentem laude proſequitur, quum Euripides in Palamedis cantibus; Interfeciſtis (ait) interfeciſtis in omnibus ſapientem, ô Danai, muſarum philomelam, nihil triſte afferentem. & quæ deinceps: & quòd acris atque impudentis viri oratione perſuaſi hæc feciſſent.

ΑΙΑΣ Ο ΤΕΛΑΜΩΝΙΟΣ.

Αἴαντα δὲ τὸν Τελαμῶνος, ἐκάλουν οἱ Ἀχαιοὶ μέγαν, οὐκ ἀπὸ τοῦ μεγέθους, οὐδ' ἐπειδὴ μείων ὁ ἕτερος, ἀλλ' ἀφ' ὧν ἔπραττε. καὶ ἐποιοῦντο αὐτὸν ξύμβολον τοῦ πολέμου ἀγαθὸν ἐκ πατρῴου ἔργου, τὸν γὰρ Λαομέδοντα, τὸν Ἡρακλῆ ἀπατήσαντα, μετῆλθε ξὺν Ἡρακλεῖ ὁ Τελαμών· καὶ σὺν αὐτῷ, τὸ Ἴλιον εἷλεν. ἔχαιρον μὲν οὖν αὐτῷ καὶ ἀόπλῳ. πελώριος γάρ τις ἦν, καὶ ὑπὲρ τὴν στρατιὰν πᾶσαν, καὶ φρόνημα αἴρων βέλτιόν τε, καὶ σωφρον. ὡπλισμένου δὲ ἐξεκρέμαντο, μετέωρόν τε βαίνοντος ἐπὶ τοὺς Τρῶας, καὶ τὴν ἀσπίδα οὐ μεταχειριζομένου, τοσαύτην οὖσαν, βλέποντός τε χαροποῖς τοῖς ὀφθαλμοῖς ὑπὸ τὴν κόρυν, οἷοι οἱ λέοντες ἐν ἀναβολῇ τοῦ ὁρμῆσαι. τὰς μάχας δὲ,

C *AIAX TELAMONIVS.*

Aiacem autem Telamonis filium Achiui magnum appellabant, non à corporis proceritate, nec quòd alter minor eſſet, ſed à rebus geſtis: & à paterno opere bonum belli ſymbolum ipſum faciebant. Laomedontem enim Telamon vnà cum Hercule, quòd ipſum Herculem decepiſſet, vltus eſt, cúmque ipſo Iliū cepit. Eo igitur etiam inermi gau-
D debant; ingens enim erat, totúmque ſupereminebat exercitum, modeſtum, ac frenatum præſeferens faſtum: ab armato vero pendebant elatè in Troianos proficiſcēte, clypeúmque tantum exiſtentem, optimè pertractāte, iucundíſq. ſub galea oculis ſpectante, vt leones in ruendi dilatione ac mora: pugnas autem

aduerſus optimos conferebat. Lycios quidem, Myſóſque, ac Pæones numeri tantùm cauſa, ad Troiam veniſſe dictitabat. Horum vero duces, dignos cum quibus pugnaretur, exiſtimabat, huiuſmodíque alios vtpote occidenti quidem nomen, vulnerato vero vulnus haud inglorium præberet: hoſte interempto, ab armis abſtinebat. viri etenim eſſe aiebat interficere, ſpoliare vero ad latrones potius pertinere. Nullus autem audiente Aiace immodeſtum quicquam, ac contumelioſum loquebatur, ne ſi inter aliquos quidem ortum eſſet diſſidium. Ceterùm non vulgus modo, verùm & probatiſſimus quiſque & ipſi aſſurgebant, & via cedebant. ſibi autem cum Achille amicitia intercedebat, & mutuo ſibi inuidere nec volebant, nec natura poterant. Omnes præterea circa Achillem ſolicitudines, licet non modicæ rei cauſa excitatas leniebat, partim quidem vt ſimul cum aliis dolens, partim vero increpans. Vnà autem ſedentibus, aut incedentibus, omnes in ipſos conuertebantur Græci, viros aſpicientes, quales poſt Herculem nondum fuerant. Aiacem quidem Herculis fuiſſe alumnum ferebant, infantémq; exiſtentem Herois leonina pelle fuiſſe inuolutum, cùm Ioui ipſum attollens, vt qua parte Leonis pelle tegeretur, inexpugnabilis eſſet, peteret. Aquila quoque ad ſupplicantem acceſſit. puero quidem nomen, precibus vero nutum à Ioue adferens. videbatur autem ei, etiam qui temerè ipſum aſpexiſſet, non ſine Deorum numine genitus, cùm ob formæ pulchritudinem, tum vel maximè ob corporis robur. Vnde Proteſilaus, belli ipſum ſimulachrum appellat: me autem quandoq. dicente,

A πρὸς τοὺς ἀρίστους ἐποιεῖτο. Λυκίους μὲν γάρ, καὶ Μυσούς, καὶ Παίονας, ἀριθμοῦ φάσκων ἕνεκα ἐς Τροίαν ἥκειν. τοὺς δὲ τούτων ἡγεμόνας, ἀξιομάχους τε ἡγούμενος, καὶ οἵους ἀποκτείναντι μὲν, ὄνομα δοῦναι· τρωθέντι δὲ, οὐκ ἄδοξον τραῦμα. πολεμίου τε ἑλὼν, ἀπείχετο τῶν ὅπλων. τὸ μὲν γὰρ ἀποκτείνειν, ἀνδρὸς εἶναι· τὸ δὲ σκυλεύειν, λωποδύτου μᾶλλον. ἀκόλαστον δὲ οὐδὲν, B οὐδὲ ὑβριστικὸν ἐφθέγξατο ἂν οὐδεὶς ἐν ἐπηκόῳ τοῦ Αἴαντος, οὐδὲ ὁπόσοις ἦν διαφορὰ πρὸς ἀλλήλους· ἀλλὰ καὶ θακῶν ὑπανίσταντο αὐτῷ, καὶ ὁδῶν ὑπεξίσταντο, οὐχ οἱ πολλοὶ μόνον, ἀλλὰ καὶ οἱ τῆς εὐδοκίμου μοίρας. πρὸς δὲ Ἀχιλλέα, φιλία ἦν αὐτῷ, καὶ βασκαίνειν ἀλλήλοις οὔτε ἐβούλοντο οὔτε ἐπεφύκεσαν. τὰς δὲ λύπας, ὁπόσαι περὶ τὸν Ἀ- C χιλλέα, εἰ καὶ μὴ μικρῶν ἕνεκα ἐγίγνοντο, πάσας ἐπραΰνετο. τὰς μὲν, ὡς ἂν ξυναλγῶν τις· τὰς δ' οἷον ἐπιπλήττων. καθημένων δὲ ὁμοῦ, καὶ βαδιζόντων, ἐπεστρέφετο ἡ Ἑλλὰς, ἐς ἄνδρε ὁρῶσα, οἵω μετὰ Ἡρακλέα οὔπω ἐγενέσθην. τὸν μέν γε Αἴαντα, καὶ τρόφιμον τοῦ Ἡρακλέους εἶναι ἔφασαν. καὶ βρέφος ὄντα, ἐνειληθῆναι τῇ λεοντῇ τοῦ ἥρωος. ὅτι ἀνασχὼν D αὐτὸν τῷ Διΐ, ἀνάλωτον ᾔτει γενέσθαι κατὰ τὴν δορὰν τοῦ λέοντος· αἰετὸς δὲ εὐξαμένῳ ἀφίκετο, φέρων ἐκ Διὸς τῷ μὲν παιδί, ὄνομα, ταῖς δὲ εὐχαῖς, νεῦμα. δῆλός τε ἦν καὶ ἁπλῶς εἰς αὐτὸν βλέψαντι, μὴ ἀθεεὶ φῦναι, διά τε τὴν ὥραν, διά τε τὴν ῥώμην τοῦ εἴδους. ὅθεν ὁ Πρωτεσίλεως, ἄγαλμα πολέμου καλεῖ αὐτόν. ἐμοῦ δέ ποτε εἰπόντος

A καὶ μὴν καταπαλαισθῆναι ἀεὶ ὑπὸ τοῦ Ὀδυσσέως ὁ μέγας οὗτος, καὶ θεῖος, εἰ Κύκλωπες, ἔφη, γεγόνασι, καὶ ἀληθὴς ἦν ὁ περὶ αὐτῶν μῦθος, μᾶλλον αὐτῷ Πολυφήμῳ διεπάλαισεν Ὀδυσσεύς, ἢ τῷ Αἴαντι. ἤκουσα τοῦ Πρωτεσιλέω κἀκεῖνα, ξένε, περὶ τοῦ ἥρω τούτου, ὡς ἄρ' ἐκόμα ποταμῷ Ἰλισσῷ τῷ Ἀθήνησι, καὶ ἠγάπων αὐτὸν οἱ ἐν Τροίᾳ Ἀθηναῖοι, καὶ ἡγεμόνα ἡγοῦντο. καὶ ὅ,τι εἴποι, ἔπραττον. B ἠττίκιζέ τε, ἅτε οἶμαι Σαλαμῖνα οἰκῶν, ἣν Ἀθηναῖοι δῆμον πεποίηνται· παῖδά τε αὐτῷ γενόμενον, ὃν Εὐρυσάκην οἱ Ἀχαιοὶ ἐκάλουν, τήν τε ἄλλην ἔτρεφε τροφήν, ἣν Ἀθηναῖοι ἐπαινοῦσι· καὶ ὅτ' Ἀθήνησιν οἱ παῖδες ἐν μηνὶ Ἀνθεστηριῶνι στεφανοῦνται τῶν ἀνθέων τρίτῳ ἀπὸ γενεᾶς ἔτει, κρατῆράς τε ἐκεῖθεν ἐστήσατο, καὶ ἔθυσεν ὅσα Ἀθηναί- C οις ἐν νόμῳ. μεμνῆσθαι δὲ καὶ αὐτὸν ἔφασκε τουτωνὶ τῶν Διονυσίων καὶ τὸν Θησέα. ὁ δὲ τοῦ θανάτου λόγος, ὃν ὑφ' αὑτοῦ ἀποσφαγεὶς ἀπέθανεν, ἀληθὴς μέν, ἐλεεινὸς δὲ καὶ Ὀδυσσεῖ πάγχυ, καί τε ἐν ᾅδου, μὴ ὄφελον νικᾶν τοιῷδ' ἐπ' ἀέθλῳ. καὶ τό, τοίην γὰρ κεφαλὴν ἕνεκ' αὐτῶν γαῖα κατέσχεν, ἐκεῖ μέν, οὔ φησιν εἰρῆσθαι τῷ Ὀδυσσεῖ, μὴ γὰρ καταβῆναι αὐτὸν ζῶντα, πάντως δὲ εἰρῆσθαί που. πιθανὸν γάρ D που παθεῖν τι καὶ τὸν Ὀδυσσέα, καὶ ἀπεύξασθαι τὴν ἑαυτοῦ νίκην ἐλέῳ τοῦδε ἀνδρός, ἐπ' αὐτῇ ἀποθανόντος. ἐπαινῶν δὲ ὁ Πρωτεσίλεως τοῦ Ὁμήρου ταῦτα, πολὺ μᾶλλον ἐπαινεῖ τὸ ἐπὶ αὐτῶν ἔπος, ἐν ᾧ φησι, παῖδες δὲ Τρώων δίκασαν. καὶ γὰρ τῶν Ἀχαιῶν ἀφεῖλε τὴν ἄδικον κρίσιν, καὶ δικαστὰς ἐκάθισεν, οὓς εἰκὸς ἦν

A atqui magnus hic ac diuinus ab Vlyſſe ſemper in palæſtra proſtratus eſt. ſi Cyclopes (inquit) extitiſſent, veráque de ipſis fabula, cum Polyphemo potius quàm cum Aiace luctatus eſſet Vlyſſes. Audiui à Proteſilao & illa (ô hoſpes) de Heroe, quòd ſcilicet Iliſſo Attico flumini comam nutriret, & ab Athenienſibus in Troia exiſtentibus amaretur, ducémque ſibi exiſtimarent, & quicquid imperaret, exequerentur. B Atticiſſabat autem, vtpote Salamina (vt puto) habitans, quam Athenienſes ſibi populum fecerunt: filium quoque ſibi genitum, quem Euriſacem Achiui appellabant, & alio ab Athenienſibus laudato alebat alimento: & cùm Athenis pueri tertio à natiuitate anno, Maio menſe floribus coronentur, crateras illinc accerſitos ſtatuit, & Athenienſium ritu ſacrificauit. Me- C miniſſe autem horum Dionyſiorum & ipſum dicebat, vt & Theſeum. Sermo autem quo manum ſibi conſciuiſſe, dictus eſt, verus fuit: & ipſi fortaſſe etiam Vlyſſi miſerabilis, vt apud inferos his verbis indicat:

— viciſſe hæc ob præmia nollem. &,
Terra tegit caput hoc armorum lite peracta.

illic quidem haudquaquam ab Vlyſſe dicta ait: neque enim ad inferos viuum deſ- D cendiſſe, omnino verò alicubi dicta. Veriſimile eſt enim aliquid Vlyſſem alicubi paſſum, ſuam ipſius victoriam huiuſmodi viri ipſius victoriæ cauſa perempti, miſeratione deprecatum. Hæc autem ab Homero ſcripta laudibus proſequens Proteſilaus, multò id magis carmen laudat, quo ait, *— à natis Troum ſententia dicta eſt.* Abſtulit enim Achiuis iniquum iudicium, iudicéſque conſtituit, quos par erat,

Aiacem condemnare. Cognatum eſt enim timori odium. Furore autem correptum, longè magis ac conſueuerant, ipſum Troiani formidarunt, ne murum aggreſſus ipſum dirueret. Neptunóque atque Apollini ſupplicabant, vt Pergama à ſe conſtructa tuerentur, & Aiacem, ſi propugnacula attigiſſet, arcerent. At Græci ipſum diligere haudquaquam deſinebant. Sed Aiacis inſaniam lugebant, oraculáque precabantur, vt quonam pacto mutaretur, ſibíque ipſi reſtitueretur, prædicerent. Poſtea verò quàm & defunctum, & gladio inhærentem viderunt, vſque adeò vniuerſi eiularunt, vt Ilij quoque exaudirentur. Athenienſes autem ipſius corpus propoſuerunt, & Mneſtheus qua Athenis in bello defunctos proſequi mos eſt, funebrem in eius laudem habuit orationem. Egregium Vlyſſis opus hîc nouit Proteſilaus. Propoſito enim Aiaci, Achillis arma adferens, ac lachrymans: Sepeliaris (inquit) in his, quæ tantopere adamaſti, victoriámque quæ ipſorum cauſa fuit, habeas, nihil ad iram concitatus. Achiuis autem Vlyſſem laudantibus, laudabat quidem & Teucer, arma verò renuebat: neque enim pium eſſe, vt quæ mortis cauſa fuiſſent, cum ipſo ſepelirentur. Sepeliuerunt autem ipſum humi corpus deponentes, Calchante interpretante impium eſſe, vt ij igni ſepeliantur, qui ſibi manum conſciuere.

TEVCER.

Teucrum autem iuuenem quidem arbitrare, magnitudine verò ſpeciéq. ac robore inter Achiuorum medios ſe habere. *Phæ.* Troianorúmne res

A καταψηφίσασθαι τοῦ Αἴαντος· ξυγγενὲς γὰρ φόβῳ μῖσος. μανέντα δὲ αὐτὸν, οἱ μὲν Τρῶες, ἔδεισαν πλεῖον, ἢ εἰώθεσαν, μὴ προσβαλὼν τῷ τείχει, ῥήξῃ αὐτό. καὶ ηὔχοντο Ποσειδῶνί τε, καὶ Ἀπόλλωνι, ἐπεὶ εἰς τὸ τεῖχος ἐπιθῦσαι, προβεβλῆσθαι τῆς Περγάμων τοῦ ἄστεος, καὶ εἴργειν τὸν Αἴαντα, εἰ τῶν ἐπάλξεων ἅπτοιτο. οἱ δὲ Ἕλληνες, οὐκ ἐπαύοντο ἀγαπῶντες
B αὐτὸν, ἀλλὰ πένθος τε τὸ τοῦ Αἴαντος μανίαν ἐποιοῦντο, καὶ τὰ μαντεῖα ἱκέτευον χρῆσαι, πῶς ἂν μεταβάλλοιτο, καὶ ἐς νοῦν ἔλθοι. ἐπεὶ δὲ ἀποθανόντα εἶδον, καὶ περὶ τῷ ξίφει κείμενον, ᾤμωξαν μὲν οὕτως ἀθρόον, ὡς ἀνήκοοι γενέσθαι μηδὲ τῷ Ἰλίῳ. προὔθεντο δὲ Ἀθηναῖοι τὸ σῶμα, καὶ Μενεσθεὺς ἐπ' αὐτῷ λόγον ἠγόρευσεν, ᾧ νομίζουσιν Ἀθήνῃσι τιμᾶν τοὺς ἐν τῷ πολέμῳ τελευτῶντας. ἔργον ἐνταῦθα τοῦ Ὀδυσσέως εὐδόκιμον
C ὁ Πρωτεσίλεως οἶδε. προκειμένῳ γὰρ τῷ Αἴαντι, τὰ ὅπλα ἐπενεγκὼν τοῦ Ἀχιλλέως, καὶ δακρύσας, θάπτου τοι, ἔφη, ἐν οἷς ἠγάπησας, καὶ τὴν νίκην τὴν ἐπ' αὐτοῖς ἔχε, μηδὲν ἐς μῆνιν βαλλόμενος. ἐπαινούντων δὲ τῶν Ἀχαιῶν τὸν Ὀδυσσέα, ἐπῄνει μὲν καὶ ὁ Τεῦκρος, τὰ δὲ ὅπλα παρῃτεῖτο. μὴ γὰρ ὅσια εἶναι ἐντάφια, τὰ τοῦ θανάτου αἴτια. ἔθαψαν δὲ αὐ-
D τὸν καταθέμενοι ἐς τὴν γῆν τὸ σῶμα, ἐξηγουμένου Κάλχαντος, ὡς οὐχ ὅσιοι πυρὶ θάπτεσθαι, οἱ ἑαυτοὺς ἀποκτείναντες:

ΤΕΥΚΡΟΣ.

Τὸν δὲ Τεῦκρον, νέον μὲν ἡγοῦ, μέγεθος δὲ, καὶ εἶδος, καὶ ῥώμην, ἐν τοῖς μέσοις τῶν Ἀχαιῶν ἔχειν. Φοῖ. τὰ δὲ τῶν Τρώων

γινώσκει ὁ Πρωτεσίλεως, ἀμπελουργέ, ἢ καὶ ἀξίους μνημονεύειν αὐτῶν, ὡς μὴ ἄξιοι σπουδῆς φαίνοιντο; Αμ. οὐκ ἔστι, ξένε, τὸ τοῦ Πρωτεσίλεω τοιοῦτον. ἄπεστι γὰρ αὐτοῦ φθόνος· ἀπαγγέλλει δὴ καὶ τὰ τῶν Τρώων ἐσπουδακυίᾳ τῇ γνώμῃ. φησὶ γὰρ κἀκείνοις πολὺ πεποιῆσθαι λόγον ἀρετῆς. δίειμι δέ σοι πρὸ τοῦ Ἀχιλλείου λόγου ταῦτα. εἰ γὰρ μετ᾽ ἐκεῖνον λέγοιτο, οὐ θαυμαστὰ εἶναι δόξει.

ΕΚΤΩΡ.

Ἐπαινῶν τοίνυν τὸν Ἕκτορα ὁ Πρωτεσίλεως, ἐπαινεῖ καὶ τὸν Ὁμήρου ἐπ᾽ αὐτῷ λόγον. ἄριστα γὰρ τὸν Ὅμηρον τὰς τε ἡνιοχήσεις αὐτοῦ διελθεῖν, καὶ τὰς μάχας, καὶ τὰς βουλὰς, καὶ τὸ ἐπ᾽ αὐτῷ, καὶ μὴ ἐπ᾽ ἄλλῳ εἶναι τὴν Τροίαν. καὶ ὁπόσα δὲ κομπάζει ἐν τῇ τοῦ Ὁμήρου ποιήσει ὁ Ἕκτωρ ἀπειλῶν τοῖς Ἀχαιοῖς, τὸ ἐπὶ τὰς ναῦς πῦρ, πάνυ φησὶν ἐοικέναι τῇ φορᾷ τοῦ ἥρω. πολλὰ γὰρ τοιαῦτα λέγειν αὐτὸν ἐν ταῖς μάχαις. ἐκπληκτικώτατα δὲ αὐτὸν βλέψαι, καὶ φθέγξασθαι μέγα. εἶναι δὲ, τοῦ μὲν Τελαμωνίου μείω· κακίω δὲ οὐδὲν ταῖς μάχαις, ἐν αἷς ἐνδείκνυσθαί τι αὐτὸν καὶ τῆς τοῦ Ἀχιλλέως θερμότητος. διεβέβλητο δὲ πρὸς τὸν Πάριν, ὡς δειλὸν, καὶ ἥττω τοῦ κοσμεῖσθαι. τό τε κομᾶν, καί τοι σπουδαζόμενον βασιλεῦσί τε, καὶ βασιλέων παισὶν, ἀνάξιον ἑαυτοῦ δι᾽ * ἐκεῖνον ἡγεῖτο. τὰ δὲ ὦτα κατεαγὼς ἦν, οὐχ ὑπὸ πάλης. τουτὶ γὰρ ὡς ἔφην, οὔτ᾽ αὐτὸς ἐγίνωσκεν, οὔθ᾽ οἱ βάρβαροι, ἀλλὰ ταύροις ἀντήριζε· καὶ τὸ ξυμπλέκεσθαι τοῖς θηρίοις τούτοις, πολεμικὸν ἡγεῖτο. πα-

κ. δεῖ.

A nouit Proteſilaus, ô Vinitor? an eorum meminiſſe haudquaquam dignum cenſet, ne ſtudio digni videantur? *Vinitor.* Non eſt Proteſilai tale quid, ô hoſpes. Abeſt enim ab ipſo inuidia. refert vtique & quæ ad Troianos pertinent, diligenti opinione ac ſententia. Aſſerit enim illos quoque virtutem plurimi feciſſe. percurrã autem hæc tibi priuſquàm Achillis mentionem faciam. Nam ſi poſt illum dicta fuerint, nulla admiratione digna videbuntur.

B

HECTOR.

Proteſilaus itaque Hectorem laudans, Homeri quoque ſuper ipſo laudat ſermonem. Optimè enim Homerum ait ipſius aurigationes, pugnáſque, ac conſilia percurriſſe, & quòd in ipſo, & non in alio ſuam Troia ſpem collocaſſet: & quæcunque in Homeri poëſi iactanter dicit Hector, dum Achiuis nauium incendium minatur, Herois impetui vehementer ait C congruere. multa namque huiuſmodi ipſum in præliis dicere. maximè autem horrendùm ipſum ſpectaſſe, magnúmque clamaſſe. ſed Telamonio quidem minorem fuiſſe: nihil verò in præliis deteriorem, in quibus & Achilleæ neſcio quid concitationis ac feruoris ipſum ait oſtendiſſe. Paridem autem vtpote timidum, & cultui deditum arguebat. Comam vtique nu- D trire, licet id regibus, regúmque liberis, curæ eſſet, ſe ipſo indignum illius cauſa *arbitrabatur. fractus erat aures, non ob luctam (hoc enim nec ipſe, vt dixi, nec barbari nouerant) ſed cum tauris certabat; & cum huiuſmodi congredi feris, bellicum cenſebat. Luctan-

tis enim & hæc ſunt, ipſe verò ſe id facere ignorabat. ſubſiſtere enim mugientes, cornuúmque cuſpides audenti animo ſuſtinere, ac taurum frænare*, & cùm ab ipſo vulneratus fuiſſet, haudquaquam deficere, pro bellica exercebat meditatione. ſtatua autem quæ Ilij erecta eſt, *iuuenem Hectora præſefert. At Proteſilaus fuiſſe quidem ipſum illa ſuauiorem inquit, ac maiorem. deceſſiſſe verò triceſimo fermè ætatis anno, non vtique fugiendo, nec manus remittendo. In his enim Hectorem ab Homero falsò accuſari, ſed ſtrenuè dimicantem, Troianorúmque vnum extra murum moratum, longáque tandem pugna cecidiſſe. at defunctum currui quidem alligatum ac ſuſpenſum fuiſſe tractum ait. redditum verò vt ab Homero dictum eſt.

*ſupinare.

*adoleſcentem &

ÆNEAS.

Æneam autem pugnare quidem hoc deterius, prudentia verò Troianis præſtare, iiſdémque quibus Hector, dignum cenſeri. Nouiſſe præterea quæ ad Deos pertinent, quæque ſibi capta Troia fato deſtinata eſſent. Nullo autem terrore affici. Tunc enim mentis ac cogitationis maximè fuiſſe compotem ait, cùm inter diſcrimina verſabatur. Achiui autem Hectora quidem Troianorum manum, Ænæam verò mentem appellabant. pluráque ipſis cautum Ænæam, quàm furibundum Hectorem negocia præbuiſſe. Erant autem cùm ætate, tum corporis proceritate pares. Sed Æneæ ſpecies minus alacris videbatur, at maiorem præ ſe ferebat conſtantiam, comámque abſque inuidia alebat. neque enim comam exercebat, neque ipſi vacabat, ſed

A λαίοντος μὲν γὰρ καὶ ταῦτα ἦν. ὁ δὲ, τοῦτο μὲν ἠγνόει πράττων. τὸ δὲ ὑφίστασθαι μυκωμένους, καὶ θαρσεῖν, τὰς αἰχμὰς τῶν κεράτων, καὶ ἀπαυχενίσαι ταῦρον, καὶ τρωθεὶς ὑπ' αὐτοῦ μὴ ἀπειπεῖν, ὑπὲρ μελέτης τῶν πολεμικῶν ἤσκει. τὸ μὲν δὴ ἄγαλμα τὸ ἐν Ἰλίῳ νέον τὸν Ἕκτορα, καὶ μειρακιώδη φέρει. ὁ Πρωτεσίλεως δὲ, γενέσθαι μὲν αὐτὸν κἀκείνου B ἡδίω φησὶ, καὶ μείζω, ἀποθανεῖν δὲ τριακοντούτην ἴσως· οὐ μὴν φεύγοντα, ἢ παρεικότα τὰς χεῖρας· ταυτὶ γὰρ συκοφαντεῖσθαι τὸν Ἕκτορα ὑπὸ τοῦ Ὁμήρου, ἀλλὰ καρτερῶς ἀγωνισάμενον, καὶ μόνον τῶν Τρώων καταμείναντα ἔξω τοῦ τείχους, καὶ πεσεῖν ὀψὲ τῆς μάχης. ἀποθανόντα δὲ, ἑλκυσθῆναι μὲν ἀνηρτημένον τοῦ ἅρματος, ἀποδοθῆναι δὲ ὡς Ὁμήρῳ εἴρηται.

C

ΑΙΝΕΙΑΣ.

Αἰνείαν δὲ, μάχεσθαι μὲν τούτου ἧττον, συνέσει δὲ περιεῖναι τῶν Τρώων, ἀξιοῦσθαι δὲ τῶν αὐτῶν Ἕκτορι. τὰ δὲ τῶν θεῶν, εὖ εἰδέναι, καὶ ἃ δὴ ἐπέπρωτο αὐτῷ, Τροίας ἁλούσης. ἐκπλήττεσθαι δὲ ὑπὸ οὐδενὸς φόβου· τὸ γὰρ ἔννουν τε, καὶ λελογισμένον, ἐν αὐτοῖς μάλιστα τοῖς φοβεροῖς ἔχειν. ἐκάλουν δὲ οἱ Ἀχαιοὶ τὸν μὲν Ἕκτορα, χεῖρα τῶν Τρώων. τὸν D δὲ Αἰνείαν, νοῦν. καὶ πλείω παρέχειν αὐτοῖς πράγματα Αἰνείαν σωφρονοῦντα, ἢ μεμηνότα Ἕκτορα. ἦσαν δὲ ἰσήλικές τε, καὶ ἰσομήκεις. τὸ δὲ εἶδος τοῦ Αἰνείου, φαιδρὸν μὲν ἧττον ἐφαίνετο, καθεστηκότι δὲ ἐῴκει. μᾶλλον ἐκόμα τε ἀνεπαχθῶς· οὐ γὰρ ἤσκει τὴν κόμην, οὐδὲ ὑπεκεῖτο αὐτῇ, ἀλλὰ

μόνην τὴν ἀρετὴν ἐποιεῖτο κόσμημα. σφοδρὸν δὲ οὕτω τι ἔβλεπεν, ὡς τοῦ ἀποχρῶν εἶναι οἱ πρὸς τοὺς ἀτακτοῦντας καὶ αὐτὸ τὸ βλέψαι.

ΣΑΡΠΗΔΩΝ.

Σαρπηδόνα δὲ, Λυκία μὲν ἤνεγκε, Τροία δὲ ἦρεν. ἦν μὲν γὰρ κατὰ τὸν Αἰνείαν τὰς μάχας. ἦγε δὲ Λυκίους ξύμπαντας, καὶ ἀρίστω ἄνδρε, Γλαῦκόν τε, καὶ Πάνδαρον. ἦν δὲ αὐτοῖν ὁ μὲν, ὁπλιτεύειν δόκιμος. ὁ δὲ Πάνδαρος, τὸν Ἀπόλλω τὸν Λύκιον ἐπιστάντα οἱ μειρακίῳ ἔτι, κοινωνῆσαι, ἔφη, τοῦ τοξεύειν· καὶ ηὔχετο ἀεὶ τῷ Ἀπόλλωνι, ὅτε τοῦ τόξου ἐπὶ μεγάλῳ ἅπτοιτο. καὶ πανστρατιᾷ δὲ ὁ Πρωτεσίλεως ἀπαντῆσαί φησι τῷ Σαρπηδόνι τοὺς Τρῶας. πρὸς γὰρ τῇ ἀνδρίᾳ, καὶ τῷ εἴδει, θείῳ τε, καὶ γενναίῳ ὄντι, ἀνήρτητο τοὺς Τρῶας καὶ τῷ λόγῳ τῷ περὶ τοῦ γένους. ἀπὸ Διὸς μὲν γὰρ Αἰακίδας τε ᾄδεσθαι, καὶ Δαρδανίδας, καὶ τοὺς Ταντάλου· τὸ δ᾽ αὐτοῦ Διὸς γεγονέναι, μόνῳ τῶν ὑπὲρ Τροίας τε, καὶ ἐπὶ Τροίαν ἐλθόντων, ἐκείνῳ ὑπάρξαι. τουτὶ δὲ καὶ τὸν Ἡρακλέα μείζω ποιῆσαι καὶ θαυμασιώτερον τοῖς ἀνθρώποις. ἀποθανεῖν δὲ ὡς Ὁμήρῳ εἴρηται, καὶ εἶναι ἀμφὶ τὰ τετταράκοντα ἔτη, καὶ τάφου ἐν Λυκίᾳ τυχεῖν, ἐς ὃν παρέπεμψαν οἱ Λύκιοι δεικνύντες τὸν νεκρὸν τοῖς ἔθνεσι, δι᾽ ὧν ἤγετο. ἐσκεύαστο δὲ ἀρώμασι, καὶ ἐῴκει καθεύδοντι· ὅθεν οἱ ποιηταὶ πομπῷ φασιν αὐτὸν τῷ ὕπνῳ χρήσασθαι.

A vnicam virtutem ornamento eſſe ſtatuebat. adeò autem horrendum intuebatur, vt in eos qui ordinem deſeruiſſent, ſibi ſolus ſatis eſſet aſpectus.

SARPEDON.

Sarpedonem autem Lycia quidem tulit, Troia verò ſuſtulit: haud ſecus enim atque Æneas in pugnis verſabatur: omnes ducebat Lycios, ſed Glaucum ac Pandarum præſtan-
B tiſſimos. quorum alter quidem armandi exercitus peritiſſimus, Pandarus verò Apollinem Lycium ſibi adhuc adoleſcentulo adſtitiſſe, ſagittandíque artis participem feciſſe ait: & cùm arcum magnæ rei cauſa ſumeret, Apollini ſemper ſupplicabat. vniuerſum autem Troianum exercitum, Sarpedoni obuiam proceſſiſſe ait Proteſilaus. Nam præter fortitudinem & ſpeciem diuinam pariter ac nobilem: oratione
C etiam ad generis nobilitatem pertinente, ſibi Troianos obligabat: à Ioue enim Æacidas celebrari, Dardanidáſque, & à Tantalo oriundos, ſed ab ipſo genitum eſſe Ioue, id ſibi ſoli ex iis qui pro Troia, quíque aduerſus Troiam venerant, extitiſſe. Hoc autem & Herculem maiorem, maioréque apud homines admiratione dignum reddidiſſe. Deceſſiſſe autem, vt ab Homero dictum eſt, quum quadrage-
D ſimum fermè ageret ætatis annum, tumulúmque in Lycia conſecutum: ad quem Lycij, cadauer gentibus, per quas ferebatur, oſtendentes comitati ſunt. Aromatib. autem conditum erat, dormientíque ſimile. vnde ſomno ipſum comite vſum, poëtæ ferunt.

De Glauco & Pidaro.

ALEXANDER.

Audi & quæ ad Alexandrum Paridem pertinent, ni valde id moleſtum eſt. *Phœnix*. Moleſtum quidem eſt, verùm haud deterius audiuiſſe. *Vinitor*. Ait itaque Alexandrum Troianis quidem omnibus odio fuiſſe: in rebus verò bellicis haudquaquam malum: ſed ſpecie ſuauiſſimum, voce ac moribus venuſtum, vtpote qui in Peloponneſo verſatus eſſet: pugnare autem omnibus modis, & ſagittandi peritia, Pandaro minimè fuiſſe inferiorem: & ephebum in Græciam nauigaſſe, cùm à Menelao hoſpitio ſuſceptus eſt; Helenémque pulchritudine cepit. obiiſſe autē mortem cùm nondum triceſimum ætatis annum attigiſſet: gaudere autem ſua ipſius pulchritudine, circunſpicique ab aliis, ſeque ipſum circunſpicere. vnde elegantiſſimè ipſum illudit Heros. Hunc enim pauonem (auis autem pulchritudine ac colore oblectatur Proteſilaus) cùm quandoque pennas ſublatum ac circumpoſitum vidiſſet, ipſáſque circunſpicientem ac purgantem, & nonnullas diſponentem, vt monilium inſtar, quæ lapillis conſtant, diſtinctæ atque exornatæ viderentur: Ecce (inquit) cuius modo mentionē faciebamus, Priami filius Paris. Me autem percunctante, quid Paridi ſimilis eſſet pauo? quòd ſeipſum (ait) dilexerit! etenim ille quoque ornatus cauſa ſeipſum quidem circunſpiciebat; arma verò contemplabatur. Pantheræ autem pelles appenſæ erat humeris: ſqualorem comæ inſidere, ne in pugna quidem patiebatur. ſplendebat autem & manuum vnguibus, ſubaduncóque erat naſo ac

A

ΑΛΕΞΑΝΔΡΟΣ.

Ἄκουε καὶ τὰ Ἀλεξάνδρου τοῦ Πάριδος, εἰ μὴ ἄχθῃ αὐτῷ σφόδρα. Φοι. ἄχθομαι μὲν, οὐ χεῖρον δὲ, ἀκοῦσαι. Αμ. Φησὶ τοίνυν τὸν Ἀλέξανδρον, Τρωσὶ μὲν ἀπηχθῆσθαι πᾶσι, κακὸν δὲ οὐκ εἶναι τὰ πολέμια· τὸ δὲ εἶδος, ἥδιστον· ἐπιχαρίν τε τὴν φωνὴν, καὶ τὸ ἦθος, ἅτε τῇ Πελοποννήσῳ ἐπιμίξαντα·
B μάχεσθαι δὲ πάντας τρόποις· καὶ τὴν ἐπιστήμην ὁπόση τόξων, μὴ λείπεσθαι τοῦ Πανδάρου. καὶ πλεῦσαι μὲν ἐς τὴν Ἑλλάδα ἔφηβον, ὅτε δὴ ξένον τοῦ Μενέλεω γενέσθαι αὐτὸν, καὶ τὴν Ἑλένην ἑλεῖν τῷ εἴδει· ἀποθανεῖν δὲ οὔπω τριακοντούτην. γαίνυσθαι δὲ τῷ ἑαυτοῦ κάλλει, καὶ περιβλέπεσθαι μὲν ὑφ᾽ ἑτέρων, περιβλέπειν δὲ ἑαυτόν. ὅθεν χαριέστατα ὁ ἥρως ἐς αὐτὸν παίζει. τοῦτον
C γὰρ τὸν ταὼ (χαίρει δὲ ὁ Πρωτεσίλεως τῇ ὥρᾳ, καὶ τῇ ἄνθῃ τοῦ ὄρνιθος) ἰδών ποτε ὑπερανεστηκότα, καὶ περιβεβλημένον τὰ πτερὰ, περιβλέποντά τε αὐτὰ, καὶ καθαίροντα, ἔστι δ᾽ ἃ καὶ διατιθέντα, ἵν᾽ ὥσπερ ἐκ τῶν λίθων ὅρμοι, κεκοσμημένα φαίνοιτο, ἰδοὺ, ἔφη, οὗ πέρι ἐμνημονεύομεν, Πάρις ὁ τοῦ Πριάμου. ἐμοῦ δὲ ἐρομένου αὐτὸν τί ἔοι-
D κεν ὁ ταὼς τῷ Πάριδι, τὸ φίλαυτον, εἶπε. καὶ γὰρ δὴ κἀκεῖνος κόσμου ἕνεκα, περιῄει μὲν ἑαυτὸν, περιεσκόπει δὲ τὰ ὅπλα. δορὰς δὲ παρδάλεων ἐπῆπτο τοῖς ὤμοις· αὐχμὸν δὲ περιϊζάνειν ταῖς κόμαις, οὐδὲ ὁπότε μάχοιτο, ἠνείχετο. ἔστιλβε δὲ καὶ τοὺς ὄνυχας τῶν χειρῶν· ὑπόγρυπος ἦν, καὶ

λευκὸς, καὶ τὸ ὄμμα ἐγέγραπτο. ἡ δὲ ἐπήγερτο ὀφρὺς, ὑπερῆρε τοῦ ὄμματος.

A candidus, & oculos pictus, ſed ſuper oculo erectum erat ſupercilium.

ΕΛΕΝΟΣ, ΔΗΙΦΟΒΟΣ, καὶ Πολυδάμας.

Ἕλενος δὲ, καὶ Δηΐφοβος, καὶ Πολυδάμας, ξυνέβαινον μὲν ἀλλήλοις τὰς μάχας, καὶ ταυτὸν ἐφέροντο τῆς ῥώμης, εὐδόκιμοι δὲ τὰς ξυμβουλίας ἦσαν· ὁ δὲ Ἕλενος, καὶ μαντικῆς ἥπτετο ἴσα τῷ Κάλχαντι.

HELENVS, DEIPHOBVS & Polydamas.

Helenus autem, Deiphobúſque, & Polydamas, in pugnis quidem inuicem conueniebant, eodémque robore præditi erant: conſultationum verò peritiſſimi. ſed Helenus haud B ſecus atque Calchas diuinationem attigerat.

ΕΥΦΟΡΒΟΣ.

Περὶ δὲ Εὐφόρβου τοῦ Πάνθου, καὶ ὡς γένοιτό τις ἐν Τροίᾳ Εὔφορβος, καὶ ἀποθάνοι ὑπὸ τοῦ Μενέλεω, τὸν Πυθαγόρου οἶμαι τοῦ Σαμίου ἤκουσας λόγον. ἔλεγε γὰρ δὴ ὁ Πυθαγόρας, Εὔφορβος γεγονέναι, μεταφῦναι δὲ Ἴων μὲν ἐκ Τρωὸς, σοφὸς δὲ ἐκ πολεμικοῦ, κεκολασμένος δὲ ἐκ τρυφῶντος. τὴν δὲ κόμην, ἣν σοφὸς γενόμενος ἐκοσμεῖτο αὐχμῷ, χρυσῆν ἐν Τροίᾳ ἐποιεῖτο, ὁπότε ἦν Εὔφορβος. ὁ δὲ Πρωτεσίλεως τὸν Εὔφορβον, ἥλικα ἑαυτοῦ ἡγεῖται, καὶ ἐλεεῖ, καὶ ὁμολογεῖ τὸν Πάτροκλον ὑπ᾽ αὐτοῦ τρωθέντα, παραδοθῆναι τῷ Ἕκτορι. εἰ δὲ εἰς ἄνδρας ἦλθεν, οὐδὲν ἂν φησὶν αὐτὸν κακίω νομισθῆναι τοῦ Ἕκτορος. τὴν μέν γε ὥραν αὐτοῦ, καὶ τοὺς Ἀχαιούς φησι θέλγειν. ἐοικέναι γὰρ αὐτὸν ἀγάλματι, ὁπότε κάλλιστα ἑαυτοῦ ὁ Ἀπόλλων ἀκερσεκόμης τε, καὶ ἁβρὸς φαίνοιτο. τοσαῦτα, ξένε, περὶ τῶν Τρώων δίεισιν ὁ θεῖός τε, καὶ ἀγαθὸς ἥρως· λοιπὸν δ᾽ ἡμῖν ἴσως τὸν τοῦ Ἀχιλλέως ἀποτελέσαι λόγον, εἰ μὴ ἀπείρηκας πρὸς τὸ μῆκος. Φο. εἰ οἱ

EVPHORBVS.

Ceterùm de Euphorbo audiſti (puto) Samij Pythagoræ ſermonem, quòd Euphorbus quidam in Troia fuerit, & à Menelao interfectus. Dicebat enim Pythagoras ſe natum Euphorbum, transformatúmque, Ionicum quidem ex Tro- C iano, ſapientem verò ex bellico, eruditum ex delicioſo: & comam, quam factus ſapiens ſqualore exornabat, in Troia auream reddebat, cùm eſſet Euphorbus. Proteſilaus autem Euphorbum ſibi æquæuum arbitratur, ac miſeratur, fatetúrque Patroclum ab ipſo vulneratum Hectori traditum. quòd ſi ad virilem ætatem perueniſſet, nihilo (inquit) Hectore deterior exiſtimatus fuiſ- D ſet. Ipſius itaque pulchritudinem Achiuos quoque ait demulſiſſe, ſtatuæque ipſum ſimilem fuiſſe, vt cùm pulcherrimè Apollo, & intonſus & mollis videretur. Tanta, ô hoſpes, ſtrenuus ac diuinus Heros de Troianis percurrit. Reliquum autem nobis fortaſſis eſſet, vt ſermonem ſuper Achille inchoatum expleremus, niſi orationis prolixitate defeſſus es. *Phœnix*. Si qui

apud Homerum, ô Vinitor, lotum comederunt, adeò promptè ac ſedulò herbæ incumbebant, vt domeſtica obliuioni mandarent: ne diffidas me quoque haud ſecus orationi, ac loto incumbere, neque ſponte hinc abſcedere poſſe, ægréque ad nauem abduci, lugentémque atque eiulantem in ipſa vinciri, quòd oratione haud fuerim expletus: etenim ad Homeri poëmata ita me affeciſti, vt & diuina ipſa exiſtimem, & ſupra hominē videantur: & nunc magis obſtupeſcam, non modò ob carminum compoſitionem; nec ſi qua ex ipſis voluptas percipitur: verùm multò magis propter heroum nomina, ac genus; & per Iouem, vt vnicuique aliquem occidere, aut ab alio interfici contingit. Etenim quòd Proteſilaus quidem iam dæmon factus hæc nouerit, nulla exiſtimo admiratione dignum. Verùm vnde Homero Euphorbi, vnde Heleníque, & Deiphobi, & per Iouem ex oppoſito exercitu viri quàmplurimi, quos in catalogo memorat? Nam quòd Homerus non hæc ſibi dicendi materiam ſubiectúmque fecerit, ſed geſta veráque narrauerit, teſtatur Proteſilaus, præter pauca, quæ idcirco ſponte mutaſſe videtur, vt variam ac ſuauiorem redderet poëſim. vnde quod à nonnullis dictum eſt, Apollinem ſcilicet hæc compoſuiſſe, ſed Homerum poëſi inſcripſiſſe, mihi vehementer inualuiſſe videtur. Nam hæc Deum potius quàm hominem nouiſſe, veriſimile eſt.

Vinitor. Quòd Dij (hoſpes) totius cantus duçes ſint poëtis, ipſimet minimè inficiantur poëtæ. Hi quidem Calliopen, hi verò vniuerſas,

A τοῦ λωτοῦ παρ' Ὁμήρῳ φαγόντες, ὦ
Ἀμπελουργὲ, προθύμως οὕτω προ-
σέχειν τῇ πόᾳ, ὡς ἐκλελῆσθαι τῶν οἴκοι·
μὴ ἀπίστει κἀμὲ προσκεῖσθαι τῷ λόγῳ,
καθάπερ τῷ λωτῷ. καὶ μήτ' ἂν ἑκόντα
ἀπελθεῖν ἐνθένδε, ἀπαχθῆναί τε μόγις
ἂν ἐπὶ τὴν ναῦν, καὶ δεθῆναι δ' αὖ ἐν
αὐτῇ κλάοντα, καὶ ὀλοφυρόμενον, ἐπὶ
τῷ μὴ ἐμπεπλῆσθαι τοῦ λόγου. καὶ γάρ με
B καὶ πρὸς τὰ τοῦ Ὁμήρου ποιήματα οὕτω
διατέθεικας, ὡς θεῖά τε αὐτὰ ἡγούμενον,
καὶ πέρα ἀνθρώπου δόξαι. καὶ νῦν δ' ἐκ-
πεπλῆχθαι μᾶλλον, οὐκ ἐπὶ τῇ ἐποποιΐᾳ
μόνον, οὐδ' εἴ τις ἡδονὴ δι' ἐκείνων σφῶν. ἀλ-
λὰ πολλῷ μᾶλλον ἐπί τε τοῖς ὀνόμασι
τῶν ἡρώων, ἐπί τε τοῖς γένεσι. καὶ νὴ Δί'
ὡς ἕκαστος αὐτῶν ἔλαχεν ἢ κτεῖναί τινα,
ἢ ἀποθανεῖν ὑφ' ἑτέρου. τὸ μὲν γὰρ Πρω-
τεσίλεων, δαίμονα ἤδη ὄντα, οὐδὲν οἴ-
C μαι θαυμαστὸν εἰδέναι ταῦτα. Ὁμήρῳ
δὲ, πόθεν μὲν Εὔφορβοι, πόθεν δὲ Ἕλενοί
τε, καὶ Δηΐφοβοι, καὶ νὴ Δί' ἐκ τῆς ἀντικει-
μένης στρατιᾶς οἱ πολλοὶ ἄνδρες, οὓς ἐν
καταλόγῳ φράζει; τὸ γὰρ μὴ ὑποστή-
σασθαι ταῦτα τὸν Ὅμηρον, ἀλλὰ γεγονό-
των τε, καὶ ἀληθινῶν ἔργων ἀπαγγελίαν
ποιεῖσθαι, μαρτυρεῖ ὁ Πρωτεσίλεως, πλὴν
ὀλίγων, ἃ δοκεῖ μᾶλλον ἑκὼν μετα-
σκευάσαι ἐπὶ τῷ ποικίλλειν τε, καὶ ἡδίω
D ἀποφῆναι τὴν ποίησιν. ὅθεν τὸ ὑπὸ
ἐνίων λεγόμενον, ὡς Ἀπόλλων αὐτὰ
ποιήσας, τὸν Ὅμηρον ἐπέγραψε τῇ ποιή-
σει, σφόδρα μοι δοκεῖ ἐρρῶσθαι. τὸ γὰρ
γινώσκειν ταῦτα, θεῷ μᾶλλον, ἢ ἀνθρώ-
πῳ ἔοικε. Αμ. τὸ μὲν θεοὺς ἡγεμόνας
εἶναι τοῖς ποιηταῖς, ξένε, τῆς πάσης ᾠδῆς,
αὐτοί που οἱ ποιηταὶ ὁμολογοῦσιν. οἱ μὲν, τὴν Καλλιόπην, οἱ δὲ, πάσας.

οἱ δὲ, καὶ τὸν Ἀπόλλω περὶ ταῖς ἐννέα παρατυχεῖν αἰτούμενοι τῷ λόγῳ. τὰ δὲ Ὁμήρου ταῦτα, οὐκ ἄθεει μὲν εἴρηται. οὐ μὴν Ἀπόλλωνί γε αὐτὰ, ἢ Μούσαις αὐταῖς ᾖσται. γέγονε γὰρ, ξένε, γέγονε ποιητὴς Ὅμηρος, καὶ εἶδεν ὡς μὲν φασὶν ἔνιοι, μετὰ τέτταρα, καὶ εἴκοσιν ἔτη τῶν Τρωϊκῶν. οἱ δὲ, μετὰ ἑπτὰ, καὶ εἴκοσι, περὶ τοῖς ἑκατὸν, ὅτε τὴν ἀποικίαν οἱ Ἀθηναῖοι ἐς Ἰωνίαν ἔστελλον. οἱ δὲ, ἑξήκοντα, καὶ ἑκατὸν ἔτη γεγονέναι μετὰ τὴν Τροίαν, ἐπὶ Ὅμηρόν τέ φασι, καὶ Ἡσίοδον, ὅτε δὴ ᾆσαι ἄμφω ἐν Χαλκίδι, τὸν μὲν, τὰ ἔπη τὰ περὶ τοῖν Αἰάντοιν, καὶ ὡς αἱ φάλαγγες αὐτοῖς ἀραρυῖαί τε, καὶ καρτεραὶ ἦσαν. τὸν δὲ, τὰ πρὸς τὸν ἀδελφὸν τὸν ἑαυτοῦ Πέρσην, ἐν οἷς αὐτὸν ἔργων τε ἐκέλευεν ἅπτεσθαι, καὶ γεωργίᾳ προσκεῖσθαι, ὡς μὴ δέοιτο ἑτέρων, μηδὲ πεινώη. καὶ ἀληθέστερα, ξένε, περὶ τῶν Ὁμήρου χρόνων ταῦτα. ξυντίθεται γὰρ αὐτοῖς ὁ Πρωτεσίλεως. δύο γοῦν ποιητὰ ὕμνον ποτὲ εἰπόντων, ἐς αὐτὸν ἐνταυθοῖ καὶ ἀπελθόντων, ἤρετό με ὁ ἥρως ἀφικόμενος ὅποι αὐτοῖν ψηφιζοίμην. ἐμοῦ δὲ τὸν φαυλότερον ἐπαινέσαντος, καὶ γὰρ μᾶλλον ἔτυχεν ἠεισηκώς, γελάσας ὁ Πρωτεσίλεως, καὶ Πανίδης, ἔφη, Ἀμπελουργὲ, ταὐτόν σοι πέπονθε. Χαλκίδος γὰρ τῆς ἐπ' Εὐρίπῳ βασιλεὺς ὢν ἐκεῖνος, Ἡσιόδῳ κατὰ Ὁμήρου ἐψηφίσατο. καὶ ταῦτα, τὸ γένειον ἔχων μεῖζον, ἢ σύ. γέγονε μὲν δὴ, ξένε, ποιητὴς Ὅμηρος, καὶ τὰ ποιήματα, ἀνθρώπου ταῦτα. τὰ δὲ ὀνόματα, καὶ τὰ εἴδη, καὶ τὰ ἔργα, ξυνήξατο μὲν ἐκ τῶν
κ.μ.γ.π. πόλεων, ἃς ἕκαστοι ἦγον. ἦλθε* γὰρ περὶ τὴν Ἑλλάδα μετὰ χρόνον τῶν Τρωϊκῶν,

A nonnulli & Apollinem ac nouem Muſas vt orationi adſint inuocantes. Hæc autem Homeri poëmata non abſque Deorum numine dicta ſunt, non tamen ab Apolline ipſo aut à Muſis decantata. fuit enim (hoſpes) fuit poëta Homerus, & (vt nonnulli aiunt) quarto ac viceſimo poſt res Troianas anno cecinit. alij ſeptimo ac viceſimo ſupra centum, cùm Athenienſes coloniam in Ioniam deducerent. Sunt
B qui centeſimo ac ſexageſimo poſt Troiam annos fuiſſe velint: de Homeróque dicant, atque Heſiodo, ambos in Chalcide ceciniſſe: hunc quidem carmina de vtroque Aiace, & quod ipſorum phalanges congruæ ac validæ eſſent, alterum vero quæ ad Perſen fratrem conſcripſit, quibus opera aggredi, cultuíque agrorum vacare iubebat, ne aliorum indigeret, atque eſuriret. & hæc (hoſpes) de Homeri temporibus veriora. ipſis enim aſſentitur Proteſilaus. Cùm itaq. duo poëtæ hymnum quandoq. in eius laudem hîc ceciniſſent, ac diſceſſiſſent, Heros me adiens vtri ſuffragarer, percunctatus eſt. me autem deteriorem laudibus proſecuto (etenim accidit vt melius ſe gereret) ridens Proteſilaus, & Panides inquit, ô Vinitor, idem quod tu paſſus eſt. Nam cùm ille Chalcidis, quæ in Euripo eſt, rex eſſet,
D Heſiodo aduerſus Homerum ſuffragatus eſt, & maximè cùm prolixiorem quàm tu haberet barbam. fuit vtique (hoſpes) poëta Homerus, & hominis hæc ſunt poëmata. Ceterùm nomina, ſpeciéſque, ac geſta ex iis collegit ciuitatibus, quas ſinguli duxerant: tunc enim Græciam perluſtrauit, cùm non-

nondum tempus quæ ad Troiam geſta ſunt, obliteraſſe. hæc autem & alio diuino ac ſupra ſapientiã modo percepit. in Ithacam enim Homerum quandoque nauigaſſe ait, cùm Vlyſſis animam adhuc ſapere audiuiſſet; allectamentóque in ipſam vſum. Poſteà verò quàm aſcendit Vlyſſes, hic quidem quæ in Troia fuiſſent geſta percunctabatur. Vlyſſes verò ſe quidem cuncta tenere ac meminiſſe fatebatur: Sed eorum quæ ſciret penitus nihil dicturum, ni præmium ab Homero conſequeretur, laudes ſcilicet in poëſi, & ſapientiæ ac fortitudinis cauſa hymnos. hæc cùm Homerus ſpopondiſſet, & quòd in poëmate gratificari poſſet, aſſeruiſſet, omnia Vlyſſes verè, & vt geſta fuerant, enarrauit: ad ſanguinem enim ac foueas animæ haudquaquam mentiuntur. Homero autem iam abeunte clamitans Vlyſſes, ſuæ (inquit) ipſius cædis à me pœnas exigit Palamedes, & noui iniquè feciſſe, & omnino aliquid patiar. Qui enim hic ius dicunt, acres ſunt, ô Homere: & quæ ad ſupplicia pertinent, non longè abſunt. Quòd ſi hominibus hæc Palamedi minimè feciſſe videbor, minori hîc afficiar ſupplicio. Itaque ne ad Troiam Palamedem adducas, nec milite vtere, nec ſapientem fuiſſe dixeris. Dicent vtique alij poëtæ, at veriſimilia haudquaquam videbuntur, cùm abs te omiſſa fuerint. Hoc eſt (hoſpes) Vlyſſis atque Homeri colloquium, & ſic Homerus vera quidem percepit; multa verò ad orationis ſibi ſubiectæ ornatum tranſmutauit. *Phœnix.* Homeri patriam, & à quibus eſſet genitus, nunquid (ô Vinitor) Proteſilaum vnquam rogaſti? *Vinitor.* Sæpenumero, hoſpes. *Phœnix.* Ipſe verò

A οὔπω ἱκανὸν ἐξαμαυρῶσαι τὰ ἐν τῇ Τροίᾳ. ἔμαθε δὲ ταῦτα καὶ τρόπον ἕτερον, δαιμόνιόν τε, καὶ σοφίας πρόσω. ἐς Ἰθάκην γάρ ποτε τὸν Ὅμηρον πλεῦσαί φησιν, ἀκούσαντα ὡς πέπνυται ἔτι ἡ ψυχὴ τοῦ Ὀδυσσέως, καὶ ψυχαγωγίᾳ ἐπ' αὐτὴν χρήσασθαι. ἐπεὶ δὲ ἀνήχθη τὸν Ὀδυσσέα, ὁ μὲν, ἠρώτα αὐτὸν τὰ ἐν Ἰλίῳ. ὁ δὲ, εἰδέναι μὲν πάντα ἔλεγε, καὶ μεμνῆσθαι αὐτῶν· εἰπεῖν δ' ἂν οὐδὲν ὧν οἶδεν, εἰ μὴ
B μισθὸς αὐτῷ παρ' Ὁμήρου γένοιτο, εὐφημίαι τε ἐν τῇ ποιήσει, καὶ ὕμνος ἐπὶ σοφίᾳ τε, καὶ ἀνδρείᾳ. ὁμολογήσαντος δὲ τοῦ Ὁμήρου ταῦτα, καὶ ὅτι δύναιτο χαριεῖσθαι αὐτῷ ἐν τῇ ποιήσει φήσαντος, διῄει ὁ Ὀδυσσεὺς πάντα ξὺν ἀληθείᾳ τε, καὶ ὡς ἐγένετο· ἥκιστα γὰρ πρὸς αἵματί τε, καὶ βόθροις αἱ ψυχαὶ ψεύδονται. ἀπιόντος δὲ ἤδη τοῦ Ὁμήρου, βοήσας ὁ Ὀδυσσεύς, Παλαμήδης με, ἔφη, δίκας ἀπαι-
C τεῖ τοῦ ἑαυτοῦ φόνου, καὶ οἶδα ἀδικῶν· καὶ πάντως μὲν πείσομαί τι. οἱ γὰρ θεμιστεύοντες ἐνταῦθα, δεινοὶ Ὅμηρε. καὶ τὰ ἐκ ποινῶν, ἐγγύς. εἰ δὲ τοῖς ἄνω ἀνθρώποις μὴ δόξω εἰργάσθαι τὸν Παλαμήδη ταῦτα, ἧττόν με ἀπολεῖ τὰ ἐνταῦθα. μὴ δὴ ἄγε τὸν Παλαμήδη ἐς Ἴλιον, μηδὲ στρατιώτῃ χρῶ, μηδὲ ὅτι σοφὸς ἦν εἴποις. ἐροῦσι μὲν γὰρ ἕτεροι ποιηταί.
D πιθανὰ δὲ οὐ δόξει, μὴ σοὶ εἰρημένα. αὕτη, ξένε, ἡ Ὀδυσσέως τε, καὶ Ὁμήρου ξυνουσία, καὶ οὕτως ὁ Ὅμηρος, τἀληθῆ μὲν ἔμαθε, μετεκόσμησε δὲ πολλὰ ἐς τὸ συμφέρον τοῦ λόγου, ὃ ὑπέθετο. Φοι. πατρίδα δὲ Ὁμήρου, ὦ Ἀμπελουργέ, καὶ τίνων ἐγένετο, ἤρου ποτὲ τὸν Πρωτεσίλεων; Αμ. καὶ πολλάκις, ξένε. Φο. ὁ δὲ,

τί; Αμ. Φησὶ μὲν εἰδέναι. Ὁμήρου δὲ παραλιπόντος αὐτά, ἵνα αἱ σπουδαῖαι τῶν πόλεων, πολίτην αὐτὸν σφῶν ποιοῖντο. ἴσως δὲ καὶ θεσμοῦ μοιρῶν ἐπὶ Ὁμήρῳ ὄντος ἄπολιν αὐτὸν δοκεῖν, οὔτ' αὖ ταῖς μοίραις, οὔτ' αὖ ταῖς μούσαις φίλα γε, ἔφη, αὐτὸν πράττειν, εἰ τοῦτ' ἐκφέροι περιεστηκὸς λοιπὸν ἐς ἔπαινον τῷ Ὁμήρῳ. προσίθενται μὲν γὰρ αὐτῷ πᾶσαι μὲν πόλεις, πάντα δὲ ἔθνη. καὶ δικάσαιντο δ' ἂν περὶ αὐτοῦ πρὸς ἀλλήλας, B ἐγγράφουσαι τῷ Ὁμήρῳ ἑαυτὰς οἷα πολίτῃ. τοῦ δὲ, μήδ' ἂν τοῦτον σιωπῆσαι τὸν λόγον πρὸς σέ, ὦ Φοῖνιξ, μήδ' ἂν κρύψαι, εἴπερ ἐγίνωσκον αὐτόν, τεκμήρια ἔστω σοι ἃ εἴρηκα. ἀφθόνως γὰρ οἶμαι διεληλυθέναι σοι ὁπόσα οἶδα. Φοῖ. πιστεύω, Ἀμπελουργέ· καὶ ἑπώμεθα τῷ λόγῳ, δι' ὃν σιωπᾶται ταῦτα. τὸν δὲ Ἀχιλλέα ὥρα σοι ἀναφαίνειν, εἰ μὴ καὶ ἡμᾶς ἐκπλήξει ὥσπερ τοὺς Τρῶας, ὅτε ἔλαμψεν ἐπ' αὐτοὺς ἀπὸ τῆς τάφρου.

A quid? *Vinitor.* Ait quidem nouiſſe, ſed cùm Homerus hæc omiſerit, vt ſtudioſæ ciuitates ipſum ſibi ciuem aſciſcerent, fatorum etiam lege, Homero fortaſſe exiſtente, vt nullam habere ciuitatem videatur, nec Parcis, nec Muſis ſe gratificaturum dixit, ſi hoc, quod ad Homeri laudem reliquum eſſet, enunciaret. Omnes enim ciuitates, cunctæque gentes, ipſi ſe addicunt: inuicémque in iudicia ſubirent, ſe ipſas Homero vt ciui adſcribentes. B Quòd auté hoc apud te, ô Phœnix, minimè fuerim taciturus: nec te, ſi mihi cognitum fuiſſet, celaſſem: ex iis quæ tibi à me dicta ſunt, colligere facile potes. Omni enim amota (vt puto) inuidia, tibi quæcunq; noueram percurri. *Phœnix.* Credo, Vinitor, & rationem quare hæc taceat, ſequamur. Achillem autem tibi iam tempus eſt indicare, niſi nos vt Troianos perterrefaciet, cùm è foſſa in ipſos emicuit.

C

ΑΧΙΛΛΕΥΣ.

Μὴ δέδιθι τὸν Ἀχιλλέα, ὦ ξένε. παιδὶ γὰρ ἐντεύξῃ αὐτῷ παρὰ τὴν πρώτην τοῦ λόγου. Φοῖ. μεγάλα δώσεις διεξηγηθεὶς αὐτὸν ἐκ νηπίου. μετὰ ταῦτα γὰρ ὁπλιζομένῳ που ἐντευξόμεθα, καὶ μαχομένῳ. Αμ. οὕτως ἔσται. καὶ πάντα φήσεις τὰ Ἀχιλλέως εἰδέναι. ἤκουσα δὲ περὶ αὐτοῦ D τοιαῦτα. Πηλεῖ φάσμα ἐφοίτα θαλαττίας δαίμονος, καὶ ἐρῶσα αὐτοῦ οἶμαι ἡ δαίμων, ξυνῆν τῷ Πηλεῖ ἐν Πηλίῳ, αἰδοῖ τοῦ ὁμίλου οὔπω τὰ ἑαυτῆς λέγουσα, οὐδὲ ὁπόθεν ἥκοι. γαλήνης δὲ ἐπεχούσης τὴν θάλατταν, ἡ μὲν ἔτυχεν ἐπὶ δελφίνων τε, καὶ ἱπποκάμπων

ACHILLES.

Achillem ne metuas, ô hoſpes Puerum enim in ſermonis principio conuenies. *Phœnix.* Magna præſtabis, ſi ab infantia nobis ipſum expoſueris. Poſtea enim armato ac pugnanti occurremus. *Vinitor.* Sic erit: & quæcunque ad Achillem D pertinent te noſſe fateberis. Talia autem de ipſo audiui. Marinæ deæ monſtrum Peleum adibat, & ipſius amore capta (vt puto) Dea in Pelio monte cum Peleo coibat. Multitudinis verecundia quænam eſſet, atque vnde veniret, nondum dicens: ſed tranquillitate ipſum mare obtinente, accidit, vt hæc quidem delphinis atque*hippopotamis

*hippocampis

inſidens luderet. Ipſe verò ex Pelij ſpecula hæc contemplatus ; & Deam cognouerit, & venientem ſit veritus. Hæc autem ad audendum Peleum inducebat, Auroram Tithonum adamaſſe, Venerem ab Anchiſe ſuperatam, Lunam dormientem Endymionem frequentaſſe memorans. Ego verò tibi, ô Peleu, filium homine præſtantiorem dabo. Poſtea verò quàm natus eſt Achilles, Chironi educandum tradidere. Hic autem fauis, atque hinnulorum medullis ipſum alebat. Cùm ad ætatem perueniſſet, in qua pueri curriculis*, ac talis indigent, ab huiuſmodi quidem haud arcebat. Iaculis verò, ac telis, curſibúſque aſſuefaciebat. Erat autem ipſi fraxinus parua à Chirone præciſa, & ad bellica balbutienti ſimilis erat. Ephebus iam factus, radios quidem à facie emittebat : corpore immenſus videbatur. Facilius excreuit, quàm quæ ad fontes poſitæ ſunt arbores. Multus quidem in conuiuiis, multus in ſeriis canebatur. Poſtea verò quàm ira inferior videbatur, muſicen Chiron ipſum edocuit. Muſica enim ad ſedandam iracundiam*, animíque faſtus tollendos, plurimùm facit. Hic autem nullo labore & harmonias edidicit, & ad lyram cecinit. Canebat autem antiquos coætaneos Hyacinthum, ac Narciſſum, & ſi quid Adonidis. Cùm autem de Hylla, atque Abdero ephebis, recentes adhuc eſſent luctus : quorum alter ad fontem profectus euanuit, alterum Diomedis equæ diſcerpſerunt : abſque lachrymis hæc minimè canebat. Audiui autem & illa; ipſum quidem muſicen, ac poëticam vim petentem, Calliopæ ſacra

Ariſtoph. in Nub.

F. M. ad animi aſtum ſaſtúmq; deprimendum.

A ἀθύρουσα· ὁ δὲ, ἐν περιωπῆς τοῦ Πηλίου ὁρῶν ταῦτα, ξυνῆκε τῆς θεοῦ, καὶ ἔδεισεν ἥκουσαν. ἡ δὲ ἐς θάρσος ἦγε τὸν Πηλέα, Ἰοῦς τε μνημονεύουσα, ὡς Τιθωνοῦ ἤρα, καὶ Ἀφροδίτης, ὡς ἡττήθη τοῦ Ἀγχίσου, καὶ σελήνης, ὡς Ἐνδυμίωνι ἐπιφοιτᾷ καθεύδοντι. ἐγὼ δέ σοι καὶ παῖδα, εἶπεν, ὦ Πηλεῦ, δώσω, κρείττω ἀνθρώπου. ἐπεὶ δὲ ὁ Ἀχιλλεὺς ἐγένετο, ποιοῦνται αὐτοῦ τροφέα τὸν Χείρωνα.
B ὁ δὲ ἔτρεφεν αὐτὸν κηρίοις τε, καὶ μυελοῖς νεβρῶν. ἐς ἡλικίαν τε ἥκοντα, ἐν ᾗ τὸ παῖδες ἁμαξίδων, καὶ ἀστραγάλων δέονται, εἶργε μὲν οὐδὲ τῶν τοιούτων. ἀκοντίοις δὲ ἤθιζε, καὶ παλτοῖς, καὶ δρόμοις. ἦν δὲ αὐτῷ καὶ μελία μικρὰ, τετμημένη ὑπὸ τοῦ Χείρωνος, καὶ ἐῴκει ψελλιζομένῳ ἐς τὰ πολεμικά. ἐφήβου δὲ ἁπτόμενος, ἀκτῖνα μὲν ἀπὸ τοῦ
C προσώπου ἔπεμπεν· ὑπερφυὴς δὲ τὸ σῶμα ἐφαίνετο, αὐξηθεὶς τοῦ ῥᾷον, ἢ τὰ πρὸς ταῖς πηγαῖς δένδρα· πολὺς μὲν ἐν συμποσίοις ᾔδετο, πολὺς δὲ ἐν σπουδαῖς. ἐπεὶ δὲ θυμοῦ ἥττων ἐφαίνετο, μουσικὴν αὐτὸν ὁ Χείρων ἐδιδάξατο. μουσικὴ γὰρ ἱκανὴ πραΰνειν τὸ ἕτοιμον τοῦ, καὶ ὑπερανεστηκὸς τῆς γνώμης. ὁ δὲ, οὐδενὶ πόνῳ, τάς τε ἁρμονίας ἐξέμαθε, καὶ πρὸς λύραν ᾖσεν. ᾖδε δὲ τοὺς ἀρ-
D χαίους ἥλικας, τὸν Ὑάκινθον, καὶ τὸν Νάρκισσον, καὶ εἴ τι Ἀδώνιδος. προσφάτων δὲ ὄντων τῶν περὶ Ὕλλα τε, καὶ Ἄβδηρον θρήνων, ἐπειδὴ ἄμφω ἐφήβω ὄντε, ὁ μὲν, ἐς πηγὴν ᾤχετο ἀφανισθείς, τὸν δὲ, αἱ τοῦ Διομήδους ἵπποι ἐδαίσαντο, οὐκ ἀδακρυτὶ ταῦτα ᾖδεν. ἤκουσα δὲ κἀκεῖνα, θύειν μὲν αὐτὸν τῇ Καλλιόπῃ μουσικὴν αἰτοῦντα, καὶ τὸ ἐν ποιήσει

κράτος. τὸν θεὸν δὲ, ἐπιστῆναι καθεύδοντι, καὶ, ὦ παῖ, φάναι, μουσικῆς μὲν, καὶ ποιητικῆς δίδωμί σοι τὸ ἀποχρῶν, ὡς ἡδίους μὲν τὰς δαῖτας ἐργάζοιο, κομίζοις δὲ τὰς λύπας. ἐπεὶ δὲ ἐμοί τε, καὶ Ἀθηνᾷ δοκεῖ πολεμικὸν εἶναι σε, καὶ δεινὸν ἐν στρατοπέδοις, μοῖραί τε οὕτω κελεύουσι, σὺ μὲν ἐκεῖνα γυμνάζου, κἀκείνων ἔρα. ποιητὴς δὲ ἔσται χρόνοις ὕστερον, ὃν ἐγὼ αἰτήσω τὰ σὰ ὑμνεῖν ἔργα. ταυτὶ μὲν αὐτῷ περὶ Ὁμήρου ἐχρήσθη. μειράκιον δὲ γενόμενος, οὐχ ὥσπερ οἱ πολλοί φασιν, ἀπόθετος ἐν Σκύρῳ ἐτρέφετο, τοῦτο δὴ τὸ ἐν ταῖς παρθένοις· οὔτε γὰρ τὸν Πηλέα εἰκὸς ἄριστον τῶν ἡρώων γενόμενον, ὑπεκπέμψαι ποι τὸν υἱὸν, πολέμους τε, καὶ κινδύνους ἀποδράντα. καὶ ταῦτα, τοῦ Τελαμῶνος ἐξορμῶντος τὸν Αἴαντα, οὔτ᾽ ἂν Ἀχιλλεὺς ἠνέσχετο ἐς γυναικωνῖτιν ἐμβεβλῆσθαι, παρεὶς ἑτέροις τὸ θαυμάζεσθαί τε, καὶ εὐδοκιμεῖν ἐν Τροίᾳ. τὸ γὰρ φιλότιμον πλεῖστον δὴ ἐν αὐτῷ ἦν. Φο. τί οὖν δὴ ὁ Πρωτεσίλεως, Ἀμπελουργέ, περὶ τούτων οἶδε; Αμ. πιθανώτερα, ξένε, καὶ ἀληθέστερα. φησὶ γὰρ Θησέα ἐξ Ἀθηνῶν φεύγοντα ἐπὶ τῇ ἀρᾷ τῇ ἐς τὸν υἱὸν, ἀποθανεῖν ὑπὸ Λυκομήδους ἐν Σκύρῳ. Θησεῖ δὲ ξένον ὄντα τὸν Πηλέα, καὶ κοινωνὸν τοῦ Καλυδωνίου ἔργου, στεῖλαι τὸν Ἀχιλλέα ἐς τὴν Σκύρον τιμωρὸν τῷ Θησεῖ. τὸν δὲ, ἐκπλεύσαντα ὁμοῦ τῷ Φοίνικι, μόνα ὑπὸ γήρως τὰ ξυμβουλευτικὰ εἰδότι, κατασεῖσαι τὴν Σκύρον ἐκ προσβολῆς, μετέωρον οὖσαν, καὶ ἀνῳκισμένην ἐπ᾽ ὄχθου πετραίου. τὸν Λυκομήδην δὲ, ἑλεῖν μὲν, οὐ μὴν ἀποκτεῖναι ἀλλ᾽ ἔρεσθαί τι παθὼν ἄνδρα ἑαυτοῦ βελτίω

A facere: Deam verò dormienti adſtitiſſe: &, ô puer (dixiſſe) muſices quidem ac poëtices do tibi quod ſatis ſit, vt & ſuauiores reddas epulas, & dolores ac ſolicitudines ſopias. Poſteaquàm vero mihíque & Palladi videtur, vt ſtrenuus ſis bellator, atque in caſtris acer, Parcæque ita iubent, tu quidem in illis te exerce, & illa dilige. Poëta autem poſtea erit, quem ad res abs te geſtas carmine celebrandas
B exhortabor. Hæc ipſi de Homero prædicta ſunt. Adoleſcentulus autem factus, non (vt multi tradidere) expoſitus in Scyro, inter virgines educebatur. Neque enim par eſt, Peleum Heroum præſtantiſſimum filium, vt bellum ac diſcrimina declinaret, quopiam clàm miſiſſe, cùm præſertim Aiacem Telamon excitaret, neque Achilles ſe in gynæceum trudi ſuſtinuiſ-
C ſet, laudem ac gloriam apud Troiam aliis omittens. Plurima enim iam ipſi inerat ambitio. *Phœnix*. Quídnam igitur ſuper his Proteſilaus, ô Vinitor, nouit? *Vinitor*. Credibiliora, hoſpes, ac veriora. Ait enim Theſeum ob imprecationes in filium Athenis exulantem, in Scyro à Lycomede fuiſſe interfectum. Peleum vero Theſei hoſpitem, & facinoris Calydonij participem, Achillem propterea in Scy-
D rum miſiſſe, vt Theſeum vlciſceretur. Ipſum autem Achillem, cùm vnà cum Phœnice ob ſenectam, quæ tantùm conſultanda eſſent, tenente enauigaſſet, primo ſtatim impetu Scyrum ſuſpenſam, atque in lapideo colle ſitam concuſſiſſe, & Lycomedem cepiſſe quidem, non tamen occidiſſe. Sed cùm percunctatus eſſet, cur virum ſe præſtantiorem exulantem interemiſ-

ſet? Reſpondiſſétque ille; quòd iniuriam inferre, imperiúmque auferre conaretur, dimiſit, vt qui iure interfeciſſet. Dixítque ſe illum apud Peleum defenſurum, & Deidamiam Lycomedis filiam vxorem duxit: natúſque eſt ipſis filius, Neoptolemus propterea denominatus, quòd Achilles iuuenis ad bellum irrueiit. Hic cùm Achilles degeret, acceſſit Thetis, & haud ſecus ac mortales matres filium curabat. Coacto autem in Aulide exercitu, ob ea quæ fato ipſi erant deſtinata, in Phthiam eum traiecit: & cùm Peleum filij dominum feciſſet, arma quoque, qualia nondum quiſpiam geſtauerat, ipſi elaboraſſe dicitur. Cum quibus in Aulidem profectus, & ſpe impleuit exercitum, & ita Deæ exiſtimatus eſt filius, vt Thetidi iuxta mare ſacra facerent. Achillémq. in armis ruentem adorarent. De fraxino quoque, hoc eſt de Achillis haſta, Proteſilaum percunctatus ſum, quídnam eſſet in ipſa mirandum? & ait, longitudinem quidem fuiſſe fraxino, quæ nulli alij haſtæ, lignum verò vſque adeò & rectum & validum, vt minimè frangi poſſet. Cuſpidis autem aciem ex adamante conſtare, omniáque diſpeſcere, ac penetrare: haſtam verò vtrinque orichalco obductam, vt tota fulgurans incidat. *Phœnix*. Ipſius autem arma, Vinitor, quónam pacto ait fuiſſe exornata? *Vinitor*. Haud Homerico modo, ô hoſpes. Diuina etenim & illa ab Homero excogitata, ciuitates, ſidera, bella, agrorum cultus, nuptiáſque, atque odas perſcribente. Ceterùm illa ſuper ipſis ait,

A φθέγγοντα ἔκτεινεν. εἰπόντα δὲ ὅτι ἐπ' ἀδίκοις, ὦ Ἀχιλλεῦ, ἥκοντα, καὶ πειρῶντα τὴν ἀρχὴν τὴν ἐμὴν, ἀφῆκεν ὡς ἐν δίκῃ ἀποκτείναντα. καὶ ἀπολογήσασθαι ὑπὲρ αὐτῶν, ἔφη, πρὸς τὸν Πηλέα. Δηϊδάμειαν δὲ θυγατέρα τοῦ Λυκομήδους ἔγημε. καὶ γίνεται αὐτοῖς Νεοπτόλεμος, ὀνομασθεὶς τοῦτο διὰ τὴν νεότητα τοῦ Ἀχιλλέως, καθ' ἣν ἐς τὸ πολεμεῖν ὥρμησεν.
B ἐνταῦθα τῷ Ἀχιλλεῖ διαιτωμένῳ παρεγίνετο ἡ Θέτις, καὶ ἐθεράπευε τὸν υἱὸν, ὥσπερ αἱ θνηταὶ τῶν μητέρων. ξυλλεγομένου δὲ ἐς τὴν αὐλίδα τοῦ στρατοῦ, διεπόρθμευσεν αὐτὸν ἐς τὴν Φθίαν, διὰ τὰ ἐπ' αὐτῷ κεκλωσμένα. τὸν Πηλέα δὲ ποιουμένη κύριον τοῦ παιδὸς, λέγεται καὶ ὅπλα ἐμποιῆσαι αὐτῷ, οἷα μήπω τις ἤνεγκε. ξὺν οἷς ἐς τὴν αὐλίδα ἀφικόμενος, ἐλπίδος τε ὑπέ-
C πλησε τὸν στρατὸν, θεοῦ τε οὕτω τοι ἐνομίσθη παῖς, ὡς θύειν αὐτοὺς τῇ Θέτιδι ἐπὶ θαλάττῃ, καὶ προσκυνεῖν τὸν Ἀχιλλέα ἅλλοντα ἐν τοῖς ὅπλοις. εἰρόμην τὸν Πρωτεσίλεων καὶ περὶ τῆς μελίας, ὅ, τι ἦν ἦν τὸ παρ' αὐτῇ θαῦμα, καὶ φησὶ μῆκος μὲν εἶναι τῇ μελίᾳ, ὃ μὴ ἄλλῃ αἰχμῇ, εὐθὺ δὲ τὸ ξύλον, καὶ οὕτω τι ἐρρωμένον, ὡς μηδὲ ἂν κλασθῆναι. τὸ δὲ στό-
D μα τῆς αἰχμῆς, ἀδάμαντός τε εἶναι, καὶ παντὸς διεκπαίειν. τὸν δὲ σύρακα, ἐκ τοῦ ἐπὶ θάτερα ὀρειχάλκου ἐμβεβλῆσθαι· ἵνα ἅπασα δὴ ἀστράπτουσα ἐκπίπτῃ. Φοι. τὰ δὲ ὅπλα, ὦ Ἀμπελουργὲ, πῶς φησιν αὐτῷ κεκοσμῆσθαι; Αμ. οὐ τὸν Ὁμήρου τρόπον, ὦ ξένε. θεῖα μὲν κἀκεῖνα ἐξευρῆσθαι τῷ Ὁμήρῳ, πόλεις τε ἀναγράφοντι, καὶ ἄστρα, καὶ πολέμοις, καὶ γεωργίας, καὶ γάμοις, καὶ ᾠδάς. ἀλλ' ἐκεῖνα περὶ αὐτῶν φησιν;

Ἀχιλλεῖ ὅπλα μὴ γεγονέναι ἄλλα, ἢ ἃ ἐς Τροίαν ἤνεγκε, μηδὲ ἀπολωλέναι ποτὲ Ἀχιλλεῖ ὅπλα, μηδὲ τὸν Πάτροκλον ἐνδῦναι αὐτὰ παρὰ τὴν μῆνιν. ἀποθανεῖν μὲν γὰρ ἐν τοῖς ἑαυτοῦ ὅπλοις εὐδοκιμοῦντα τῇ μάχῃ, καὶ ἁπτόμενον ἤδη τοῦ τείχους. τὰ δὲ τοῦ Ἀχιλλέως ἄσυλα μεῖναι καὶ ἀνάλωτα. οὐδὲ γὰρ ἐν τοῖς ὅπλοις τελευτῆσαι αὐτόν, ἀλλ᾽ ἐς γάμον ἥκειν, δοκοῦντα γυμνὸν ἀποθανεῖν, ἐστεφανωμένον, ὥσπερ οἱ νυμφίοι. τὰ δὲ ὅπλα, κατεσκευάσθαι μὲν ἄσημα, καὶ σώφρονα, συγκεκράσθαι δὲ αὐτοῖς ποίκιλμα ὕλης, μεθιστάμενον ἐς αὐγὰς ἄλλοτε ἄλλας, ὅσας ἡ Ἶρις. ὅθεν δοκεῖν αὐτὰ πέρα τέχνης, καὶ Ἡφαίστου ᾄδεσθαι. Φο. ἦ καὶ δείξεις αὐτόν, ὦ Ἀμπελουργέ, καὶ ἀναγράψεις ἀπὸ τοῦ εἴδους; Αμ. τί δ᾽ οὐ μέλλω, φιλήκου γέ σου τυγχάνων. τὴν μὲν δὴ κόμην, ἀμφιλαφῆ αὐτῷ φησιν εἶναι καὶ χρυσοῦ ἡδίω, καὶ εὐσχήμονα, ὅπῃ, καὶ ὅπως κινοίη αὐτὴν ἢ ἄνεμος, ἢ αὐτός. τὴν δὲ ῥῖνα, οὔπω γρυπήν, ἀλλ᾽ οἷον μέλλουσαν. τὴν δὲ ὀφρῦν, μηνοειδῆ. τὸν θυμὸν δὲ τὸν ἐν τοῖς ὄμμασι, χαροποῖς οὖσιν, ἡσυχάζοντος μέν, ἀναβάλλεσθαί τινα ὁρμήν, ὁρμήσαντος δὲ συνεκπηδᾶν τῇ γνώμῃ. τοῖς τε ἐρῶσιν, ἡδίω τότε αὐτὸν φαίνεσθαι. πεπονθέναι γάρ τι τοὺς Ἀχαιοὺς πρὸς αὐτόν, οἷόν τι πρὸς τοὺς ἀλκίμους τῶν λεόντων. ἀσπαζόμενοι γὰρ αὐτοὺς ἐν ἡσυχίᾳ, μᾶλλον αὐτοῖς χαίρομεν, ἐπειδὰν θυμοῦ ὑποπλησθέντες, ἐπὶ σῦν ὁρμήσωσιν, ἢ ταῦρον, ἤ τι τῶν μαχίμων θηρίων, τὸ δὲ λῆμα τοῦ Ἀχιλλέως, δηλοῦσθαί φησι καὶ παρὰ τοῦ αὐχένος. εἶναι γὰρ δὴ ὀρθόν, καὶ ἀνεστηκότα, δικαιότατον

A haud alia Achilli fuiſſe arma, quàm quæ ad Troiam tulit, neque vnquam Achilli periiſſe arma, nec Patroclum, dum iratus erat Achilles, ea induiſſe. In ſuis enim ipſius armis interfectum, dum ſe in pugna ſtrenuè gereret, murúmque iam attingeret. Achillis enim arma minimè capi potuiſſe ait: neque enim armatum periiſſe, ſed ad nuptias proficiſci arbitrantem, inermem occidiſſe, æquè ac ſponſum B coronatum. Fabrefacta autem fuiſſe arma ignobilia, ac mediocria: comiſtam vero ipſis materiæ fuiſſe varietatem, alias in alios ſplendores, quot Iris continet tranſeuntem. Vnde ſupra artem fuiſſe viſa ſunt, & Vulcani decantata. *Phœnix.* Nunquid oſtendes mihi ipſum, ô Vinitor, & à ſpecie circunſcribes? *Vinitor.* Cur non faciam, cùm præſertim te libentem conſecutus ſim auditorem? Comam quidem denC ſam, auróque ſuauiorem ipſi fuiſſe dicit, pulchréque compoſitam, quocunque, aut vtcunque ventus, ipſéve eam agitaret: naſum verò nondum aduncum, ſed vt futurum. Supercilium inſtar Lunæ falcatum: animum autem, qui venuſtis inerat oculis, quieſcentis quidem quendam differre impetum: ruentis verò cum ſententia exilire, amantibúſque tunc ſuauiorem videri, & huiuſmodi quid aduerſus D ipſum paſſos fuiſſe Græcos, cuiuſmodi aduerſus leonum validiſſimos. Eos enim in quiete diligentes ipſis magis gaudemus, cùm ira repleti, in taurum aut in aliquam pugnaciſſimam impetum faciant feram. Sed Achillis faſtum, & à ceruice indicari aſſerit. Rectam enim eſſe atque eminentem. Æquiſſimum

A autem Heroum fuiſſe, cùm natura, tum Chironis conſuetudine.

Quòd autem circa pecunias calumniam ſubierit, illinc Achilli eueniſſe. Sic enim circa ipſas criminatus eſt, quòd ex tribus ac viginti ciuitatibus, quas ipſe ſubegerat, plurima quidem ceperit mancipia: à nullo vero ipſorum, præterquam à puella victus fuerit: quam ne ipſe quidem ſibi ipſi dedit, ſed à Græcis petiit: B iniquitatis autem Neſtore Græcos accuſante, ni plura Achilles cepiſſet, mea (inquit) ſit maior operum pars: pecuniis vero quicunque voluerit, affluat. In illa concione, ô hoſpes, Achillis in Agamemnonem, ira pro Palamede initium ſumpſit. Memorans enim quas ambo ceperant ciuitates, huiuſmodi eſt (inquit) Palamedis proditio. Me quoque quicunque voluerit, iudicet: nam ab iiſdem veni. C Hæc cùm in ſeipſum acciperet Agamemnon, Achillémque conuicio proſequeretur, & Vlyſſes pro proditore dicere, proditionem eſſe aſſereret: illum quidem cùm ne Achiuis quidem grata diceret, à concione expulit. Pluribus vero Agamemnonem conuiciis inſectatus, procul à telis degebat, neque quicquam quod ad communem ſpectaret vtilitatem faciens, neque ad concilia proficiſcens, D quando iam ad ipſum ab Agamemnone preces peruenere, Achiuis in omni iam verſantibus diſcrimine: afferebant autem eas Aiax, atque Neſtor, hic quidem ob cognationem, & quod iiſdem quibus Achilles iratus, ipſis iam reconciliatus erat: Neſtor vero ſapientiæ cauſa, atque ætatis, quam omnes venerabantur Achiui. Poſtea

A δι᾽ αὐτὸν ἡρώων γενέσθαι, φύσει τε, καὶ ξυνουσίᾳ τοῦ Χείρωνος. τὸ τοι διαβεβλῆσθαι πρὸς χρήματα, ἐκεῖθεν τῷ Ἀχιλλεῖ φοιτῆσαι. διεβέβλητο γὰρ οὕτω πρὸς αὐτὰ, ὡς ἐκ τριῶν καὶ εἴκοσι πόλεων, ἃς αὐτὸς εἷλε, λαβεῖν μὲν πλεῖστα αἰχμάλωτα, μηδενὸς δὲ αὐτῶν ἡττηθῆναι, πλὴν κόρης, ἣν οὐδὲ αὐτὸς ἑαυτῷ ἔδωκεν, ἀλλὰ τοὺς Ἀχαι- B οὺς ᾔτησεν. ἀδικίαν δὲ τοῖς Ἀχαιοῖς ἐπικαλοῦντος τοῦ Νέστορος, εἰ μὴ τὰ πλείω Ἀχιλλεὺς λήψοιτο, ἐμὸν ἔστω, ἔφη, τὸ πλεῖον τῶν ἔργων. χρήμασι δὲ πλεονεκτείτω ὁ βουλόμενος. ἐπ᾽ ἐκείνης τῆς ἐκκλησίας, ὦ ξένε, καὶ ἡ πρὸς τὸν Ἀγαμέμνονα τῷ Ἀχιλλεῖ μῆνις ὑπὲρ τοῦ Παλαμήδους ἤρξατο. μνημονεύων γὰρ τῶν πόλεων, ἃς ἄμφω ἐξεῖλον, τοιαύτη μὲν, εἶπεν, ἡ τοῦ Παλαμήδους προδο- C σία. κἀμὲ δὲ κρινέτω ὁ βουλόμενος. ἀπὸ γὰρ τῶν αὐτῶν ἥκω. δεξαμένου δ᾽ εἰς ἑαυτὸν ταῦτα τοῦ Ἀγαμέμνονος, καὶ λοιδορουμένου τῷ Ἀχιλλεῖ, τοῦ τε Ὀδυσσέως εἰπόντος, ὡς εἰ προδοσία, καὶ τὸ ὑπὲρ προδότου λέγειν, ἐκεῖνον μὲν, ἀπήλασε τῆς ἐκκλησίας, οὐδὲ τοῖς Ἀχαιοῖς φίλα εἰπόντα. καθικόμενος δὲ τοῦ Ἀγαμέμνονος λοιδορίαις πλείοσιν, ἔξω βελῶν διη- D τᾶτο, μήτε ἔργον τι πράττων ἐς τὸ κοινὸν φέρον, μήτε φοιτῶν ἐς τὰ βουλεύματα. ὅτε δὴ ἀφίκοντο αὐτῷ Λιταὶ παρὰ τοῦ Ἀγαμέμνονος, ἐν παντὶ ἤδη τῶν Ἀχαιῶν ὄντων, ἐπρέσβευον δὲ αὐτὰς Αἴας τε, καὶ Νέστωρ, ὁ μὲν, διὰ τὸ συγγενέσθαι τε, καὶ τὸ διηλλάχθαι ἤδη σφίσι, μηνίσας, ἐφ᾽ οἷς περ ὁ Ἀχιλλεὺς ἐμήνισεν, ὁ δὲ, σοφίας τε ἕνεκα, καὶ ἡλικίας, ἣν ἐτίμων οἱ Ἀχαιοὶ πάντες. ἐπεὶ

δὲ τὸν γοῦν Πάτροκλον ξυμμαχῆσαι σφίσι παρ' αὐτοῦ εὕραντο, ὁ μὲν, δράσας τέ, καὶ παθὼν ὁπόσα Ὅμηρος φησὶν, ἀπέθανε, μαχόμενος τῇ Τροίᾳ ὑπὲρ τοῦ τείχους. ὁ δ' ἔπραξε μὲν οὐδὲν ἀγεννὲς ἐπ' αὐτῷ, οὐδὲ εἶπεν. ἀπολοφυράμενος δὲ αὐτὸν ἐρρωμένως, καὶ θάψας ὡς αὐτός τε ἐβούλετο, κἀκείνῳ χαριεῖσθαι ᾤετο, ἐχώρει ἐπὶ τὸν Ἕκτορα. τὰς μὲν δὴ ὑπερβολὰς, αἷς κέχρηται Ὅμηρος περί τε τοὺς ἀπολλυμένους αὐτοῖς ἅρμασι Τρῶας, ὁπότε ὁ Ἀχιλλεὺς ἐφάνη, περί τε τοὺς ἐν ποταμῷ σφαττομένους, πρός τε τοῦ ποταμοῦ κίνησιν, ὅτ' ἐπανίστη τῷ Ἀχιλλεῖ τὸ ἑαυτοῦ κῦμα, ἐπαινεῖ μὲν καὶ ὁ Πρωτεσίλεως ὡς ποιητικὰ, διαγράφει δὲ, ὡς κεχαρισμένα. μήτε γὰρ τῷ Ἀχιλλεῖ τηλικούτῳ ὄντι ἄπορον ἂν γενέσθαι τὸν Σκάμανδρον, καὶ ταῦτα ἥττω ἢ οἱ μεγάλοι τῶν ποταμῶν ὄντα, μήτ' ἂν τὸν Ἀχιλλέα ἐς μάχην τῷ ποταμῷ ὁρμῆσαι. εἰ γὰρ καὶ σφόδρα ἐπ' αὐτὸν ἐμόρμυρεν, ἤλυξεν ἂν ἐκκλίνων, καὶ μὴ ὁμόσε χωρεῖν τῷ ὕδατι. πιθανώτερα δὲ λέγων ἐκεῖνα οἶμαι διέξεισι, ξυνηλάσθαι μὲν ἐς τὸν ποταμὸν τοὺς Τρῶας, καὶ πλείους ἀπολέσθαι σφῶν, ἢ ἐν ἅπαντι τῷ πολέμῳ ἀπώλοντο, οὐ μὴν μόνῳ γε τῷ Ἀχιλλεῖ πεπρᾶχθαι ταῦτα, ἀλλὰ θαρσήσαντας ἤδη παρ' αὐτοῦ τοὺς Ἕλληνας ἐπικαταβαίνειν, καὶ τοὺς ἐν τῷ ποταμῷ σφάττειν. Ἀχιλλέα δὲ τούτων μὲν ἀμελεῖν, ἀγωνίσασθαι δὲ ἀγῶνα τοιόνδε. ἦν ἀνὴρ ἐκ Παιονίας ἥκων οὗ καὶ Ὅμηρος ἐπεμνήσθη. Ἀστεροπαῖον δὲ αὐτὸν καλεῖ, καὶ Ἀξίου τοῦ ποταμοῦ υἱωνὸν, καὶ δεξιὸν ἄμφω τὼ χεῖρε. μέγιστον δ' Α-

A vero quàm Patroclum ſaltem ſibi Achillis iuſſu auxiliari offenderunt, hic quidem cùm quæ ab Homero dicuntur, & egiſſet, & paſſus eſſet, deceſſit, ſuper muro Troiam oppugnans. Cuius cauſa Achilles nihil quod turpe atque ignobile eſſet, aut dixit aut egit. Verùm cùm conſtanter ac prudenter luxiſſet, itáque eum ſepulturæ mandaſſet, & vt ipſe volebat, & illi fore gratum arbitrabatur, in Hectoré procedebat. B Exceſſus vtiq. quibus Homerus vſus eſt ſuper Troianis: qui, cùm primùm apparuit Achilles, vnà cum curribus periere, déque iis, qui in flumine occiſi ſunt, fluminíſque motum; cùm ſuam ipſius vndam in Achillem excitaret: laudat quidem Proteſilaus, vt poëtica: perſcribit verò, vt venuſta: neque enim Scamandrum Achilli tanto exiſtenti tranſitu potuiſſe, difficilem eſſe ait, magnis præcipuè fluminibus minorem, C neque Achillem cum flumine in certamen deſcendiſſe. Quòd ſi vehementer in ipſum obſtrepuiſſet, declinaſſet vtique, neque aduerſus aquam progreſſus fuiſſet. His autem longè veriſimiliora (vt puto) illa percurrit: Compulſos quidem ad fluuiú Troianos, pluréſque ipſorum ibi occiſos, quàm in toto bello perierint. Nec tamen hæc omnia ab Achille fuiſſe geſta, verùm ipſo iam fretos Græcos deſcendiſſe, D & qui in flumine erant, interfeciſſe. Achillé autem hæc quidem neglexiſſe, huiuſmodi verò certamen concertaſſe. Erat vir ex Pœonia profectus: cuius & Homerus meminit. Aſteropæum autem ipſum appellat, Axij fluuij nepotem, & vtramque manum dexterum. Maximum autem Achiuo-

rum ac Troianorum eſſe hunc Pæonem, & qui ad ferarum morem in cuſpides irrueret. Hunc Homerus omiſit locum: ducebat autem ſinceram potentiam Pæonas equites nuper ad Troiam profectus, quos Achilles perterrefactos in fugam vertit. Nam cùm nondum huiuſmodi viro occurriſſet, dæmonem in ſe irruiſſe arbitrabantur. Solo autem ſubſiſtente Aſteropæo, plus ſibi timuit, quàm vbi cum Hectore dimicabat. Nec Pæonem illæſus interfecit, vnde cùm ſocij ipſi interdicerent, ne eo die eum Hectore congrederetur, hos minimè ſuſtinuit ſermones, ſed dicens, Videat me vulneribus quoque præſtantiorem: in Hectorem pro mœnibus conſtitutum impetum fecit. Cùm autem eum eiuſmodi exiſtentem, qualem in ipſius diximus oratione interfeciſſet, circum muros traxit, barbaro quidem atque ingrato more: verùm quòd Patroclum vlciſceretur, ignoſcendo. Miro etenim ingenio quodam Achillem vſum, magni ſemper aliquid pro amicis agere. Vnde omnibus quidem Græcis pro Palamede ſuccenſuiſſe, Patroclum verò atque Antilochum vindicaſſe ait. Quæ autem ab ipſo ſuper amicis Aiaci Telamonis filio dicta produntur, operæ eſt pretium cognoſcere. Aiace enim ipſum poſt hæc percunctante, quænam ipſi opera maximè fuiſſent periculoſa? Quæ amicorum cauſa ſuſcepi, inquit Achilles. Rurſúſque interroganti: Quænam ſuauiora ac leuiora? idem reſpondit. Admiratione autem affecto Aiace, quónam pacto idem opus arduum ac facilè fieri poſſet? Quoniam (inquit) diſcrimina pro amicis, licet magna ſint, omni tamen carent dolore,

A χαιῶν τε, καὶ Τρώων ὄντα τὸν Παίονα, καὶ θηρίου δίκην ὁμόσε χωροῦντα ταῖς αἰχμαῖς, παρῆκεν ὁ Ὅμηρος τουτουὶ τοῦ λόγου· ἦγε δὲ καὶ ἀκραιφνῆ δύναμιν, Παίονας ἱππέας, ἄρτι ἐς Τροίαν ἥκων. οὓς ἐτρέψατο μὲν ὁ Ἀχιλλεὺς ἐκπλήξας. δαίμονα γὰρ ἐμπεπτωκέναι σφίσιν ᾤοντο, οὔπω ἀνδρὶ τοιῷδε ἐντετυχηκότες. ὑποστάντος δὲ Ἀστεροπαίου μόνου, πλείω περὶ αὐτοῦ ἔδεισεν, ἢ ὁπότε τῷ Ἕκτορι ἐμάχετο. καὶ οὐδὲ ἄτρωτος εἷλε τὸν Παίονα. ὅθεν τῶν συμμάχων ἀπαγορευόντων αὐτῷ μὴ μάχεσθαι τὴν ἡμέραν ἐκείνην τῷ Ἕκτορι, οὐκ ἠνέσχετο τῶν λόγων τούτων ἀλλὰ εἰπών, ἰδέτω με κρείττω καὶ τραυμάτων, ὥρμησεν ἐπὶ τὸν Ἕκτορα παρατεταγμένον τοῦ τείχους. ἀποκτείνας δὲ αὐτὸν γενόμενον οἷον ἐν τῷ περὶ αὐτοῦ λόγῳ εἴρηκα, περιεῖλξε τῷ τείχει, βάρβαρον μέν τινα, καὶ ἀηδῆ τρόπον· ξυγγνωστὸν δέ, C ἐπεὶ τῷ Πατρόκλῳ ἐτιμώρει. δαιμονίᾳ γὰρ δή τινι τὸν Ἀχιλλέα φύσει χρώμενον, ἀεί τι μέγα ὑπὲρ τῶν φίλων πράττειν. ὅθεν μηνίσαι μὲν ὑπὲρ Παλαμήδους ὁμοῦ πᾶσιν Ἕλλησι, τιμωρῆσαι δὲ Πατρόκλῳ τε καὶ Ἀντιλόχῳ. τά τοι πρὸς τὸν Τελαμῶνος Αἴαντα περὶ φίλων αὐτῷ εἰρῆσθαι λεγόμενα, σφόδρα χρὴ γινώσκειν· ἐρομένου γὰρ αὐτὸν μετὰ ταῦτα D τοῦ Αἴαντος ποῖα τῶν ἔργων ἐπικινδυνότατα αὐτῷ γένοιτο, τὰ ὑπὲρ τῶν φίλων, ὁ Ἀχιλλεὺς ἔφη· πάλιν δὲ ἐπερομένου ποῖα ἡδίω, καὶ ἀπονώτερα, ταυτὸν ἀπεκρίνατο. θαυμάσαντος δὲ τοῦ Αἴαντος πῶς ἂν ταυτὸν ἔργον χαλεπόν τε γένοιτο, καὶ ῥᾴδιον, ὅτι, ἔφη, τὰ ὑπὲρ τῶν φίλων κινδυνεύματα, μεγάλα ὄντα προθύ-

μως πράττων, τῆς ἐπ' αὐτοῖς λύπης παύομαι. θαῦμα δὲ ποῖον μάλιστα σε, ὦ Ἀχιλλεῦ, ἐλύπησεν, ἢ δῆλος ὃς ὁ ἐτρώθην ὑπὸ τοῦ Ἕκτορος. καὶ μὴν οὐκ ἐτρώθης γε ὑπ' αὐτοῦ, ὁ Αἴας ἔφη. νὴ Δία κεφαλήν ὁ Ἀχιλλεύς, εἶπε, καὶ τὰς χεῖρας. σὲ μὲν γὰρ ἐμαυτοῦ κεφαλὴν ἡγοῦμαι· Πάτροκλος δέ μοι χεῖρες ἦν. τὸν δὲ Πάτροκλον ὁ Πρωτεσίλεως, ὦ ξένε, πρεσβύτερον μὲν τοῦ Ἀχιλλέως οὐ πολὺ γενέσθαι φησί,
B θεῖον δὲ ἄνδρα, καὶ σώφρονα, καὶ τῷ Ἀχιλλεῖ ἐπιτηδειότατον τῶν ἑταίρων. χαίρειν τε γὰρ ὁπότε ὁ Ἀχιλλεὺς ἔχαιρε, λυπεῖσθαί τε τὸν αὐτὸν τρόπον, καὶ ξυμβουλεύειν ἀεί τι, καὶ ἀκούειν ᾄδοντος. καὶ οἱ ἵπποι δὲ αὐτὸν χαίροντες ἔφερον, ὥσπερ καὶ τὸν Ἀχιλλέα. ἦν δὲ καὶ τὸ μέγεθος, καὶ τὴν ἀνδρίαν, μεταξὺ τοῖν Αἰάντοιν. τοῦ μὲν γὰρ Τελαμωνίου, πάντα ἐλείπετο, ἐκρατεῖ
C δὲ ἄμφω τοῦ Λοκροῦ. καὶ μελίχρως ἦν ὁ Πάτροκλος, καὶ τὼ ὀφθαλμὼ μέλας, καὶ ἱκανῶς εὔοφρυς, καὶ μέτρα ἐπαινῶν κόμης. ἡ κεφαλὴ δὲ ἐβεβήκει ἐπ' αὐχένος, οἵαν αἱ παλαῖστραι ἀσκοῦσιν. ἡ δὲ ῥίς, ὀρθή τε ἦν, καὶ τοὺς μυκτῆρας ἀνευρύνετο, καθάπερ οἱ πρόθυμοι τῶν ἵππων. Φο. εἰς καλόν με τῶν τοῦ Ἀχιλλέως ἵππων ἀνέμνησας, ὦ ἀμπελουργέ. σφόδρα γὰρ δὴ δέομαι μαθεῖν, τί βελτίους ἑτέρων ὄν-
D τες ἵππων, θεῖοι ἐνομίσθησαν. Αμ. ἠρόμην κἀγὼ τὸν ἥρω, ξένε, αὐτὸ τοῦτο, καὶ φησὶ τὴν μὲν λεγομένην ἀθανασίαν περὶ αὐτοὺς εἶναι, μεμυθολογεῖσθαί τῷ Ὁμήρῳ. τὴν Θετταλίαν δὲ, εὔιππόν τε οὖσαν, καὶ ἀγαθὴν, τότε δύο ἵππους Λάμπον τε, καὶ Ξάνθον, δαιμονίους τὴν ταχυτῆτα, καὶ τὸ ἦθος λαμπροτέρους, ἱπποτροφῆσαι κατὰ θεόν δή τινα, ὁπότε ὁ Ἀχιλ-

A *quòd ea libenter ſubeamus. Quod autem vulnus, ô Achilles, maximo te affecit dolore, inquit Aiax? Quod ab Hectore accepi. Atqui ab ipſo minimè vulneratus fuiſti, inquit Aiax. Per Iouem (inquit Achilles) & caput, & manus: te enim meum ipſius caput cenſeo: Patroclus verò mihi erat manus. Patroclum autem, ô hoſpes, Proteſilaus ait, haud multò quidem fuiſſe Achille natu maiorem, diuinum verò virum, ac
B modeſtum, Achillíque omnium ſociorum amiciſſimum. Etenim gaudere, vbi Achilles gauderet, doleréque pari modo: ſempérque aliquid conſulere, & canentem audire. Equi quoque haud ſecus ipſum libentes, atque Achillem vehebant. Erat autem & corporis proceritate, & robore inter vtrumque Aiacem. Telamonio quidem in vtroque inferior, Locrenſi verò ſuperior, & flauo erat colore Patro-
C clus, & oculos niger, ac ſatis honeſtis ſuperciliis, comæ modum laudans. Caput autem ceruici inſiſtebat, qualem palæſtræ exercent. At naſus & rectus erat, & ad nares diffundebatur, vt equorum alacres. *Phœnix*. Optimè, ô Vinitor; Achillis equos mihi in memoriam adduxiſti. Vehementer enim percipere exopto, quare ceteris præſtantiores equis, diuini exiſtimati ſint? *Vinitor*. Hoc idem, hoſpes, & ego
D Heroem percunctatus ſum: & (ait) eam quidem, quæ in ipſis fuiſſe dicitur, immortalitatem ab Homero fabuloſè celebratam. Theſſaliam verò bonorum feracem equorum exiſtentem, duos tunc equos Lampum ac Xanthum pernicitate mirabiles, ſpeciéque illuſtres, Dei alicuius nutu aluiſſe, cùm Achil-

*ſ. apud me, quòd alacriter ea ſubeā.

les floreret. Et cùm omnia, quæ diuinitùs ineſſe dicebantur, fide minimè carerent, equis quoque diuini neſcio quid, ac ſupra mortalitatem ineſſe videbatur. Is autem fuit Achilli finis, quem & Homerus nouit. Ait enim ipſum à Paride atque Apolline interemptum. Eorum fortaſſe conſcius, quæ in Tymbræo accidere, & quo pacto iuxta ſacra ac iuſiurandum (quorum teſtem Apollinem faciebat) dolo interfectus ceciderit. Polyxenes autem ſacrum ad tumulum celebratum, & quæcunque de illius amore canentes audis poëtas, ita ſe habent. Polyxenem amore proſequebatur Achilles, & has ſibi ea lege parabat nuptias, vt ab Ilio Græcos abduceret. Achillis amore capta erat & Polyxene: nam in Hectoris redemptione inter ſe viderant. Nam Priamus ad Achillem proficiſcens, ducem ſibi fecerat filiam, earum natu minimam, quas ipſi Hecuba pepererat. Semper enim liberorum natu minimi, patris greſſibus inſeruiebant. Et tanta vtique ob æquitatem in venereis quoque præditus erat Achilles modeſtia ac temperantia, vt neque eripuerit puellam in manu ſua exiſtentem, ſéque ipſam in vxorem ducturum Priamo ſit faſſus, & nuptias differenti fidem præſtiterit. Poſteà verò quàm in eo quod ſuper his conceperant iuiciurando, inermis occiſus eſt, dicitur Polyxene Troianis mulieribus è templo fugientibus; viríſque diſſipatis: neque enim Achillis caſum æquo animo tulerant, ad Græcos trans-fugiſſe, adductáque ad Agamemnonem æquè, modeſtè, ac lautè vixiſſe, ac ſi in patris ædibus fuiſſet. Achillis autem cadauere iam triduum iacente ad ſepulchrum no-

A λεὺς ἦν ἔθει. καὶ πάντων ὅσα θείως ἐπὶ τῷ Ἀχιλλεῖ ἐλέγετο πιστευομένων, ἤδη ἐδόκει καὶ τὸ τῶν ἵππων θεῖόν τι εἶναι, καὶ ἐπέκεινα τοῦ θνητοῦ φαίνεσθαι. τελευτὴ δὲ τῷ Ἀχιλλεῖ ἐγένετο, ἣν καὶ Ὅμηρος ἐπιγινώσκει. φησὶ γὰρ αὐτὸν ἐκ Πάριδός τε, καὶ Ἀπόλλωνος ἀποθανεῖν, εἰδώς που τὰ ἐν τῷ Θυμβραίῳ. καὶ ὅπως περὶ ἱεροῖς τε, καὶ ὅρκοις, ὧν μάρτυρα τὸν Ἀπόλλω ἐποιεῖτο, δολοφονηθεὶς ἔπεσεν. ἡ θυσία

B δὲ τῆς Πολυξένης ἡ ἐπὶ τῷ σήματι, καὶ ὅσα περὶ τοῦ ἔρωτος ἐκείνου ποιητῶν ἀκούεις, ὧδε ἔχει. Πολυξένης ὁ Ἀχιλλεὺς ἤρα. καὶ τὸν γάμον τοῦτον ἑαυτῷ ἔπραττεν. ἐπὶ τῷ σὺν Ἀχαιοὺς ἀναστῆσαι τοῦ Ἰλίου. ἤρα καὶ ἡ Πολυξένη τοῦ Ἀχιλλέως. εἶδον δὲ ἀλλήλους ἐν λύτροις Ἕκτορος. ὁ γὰρ Πρίαμος ἥκων παρὰ τὸν Ἀχιλλέα, χειραγωγὸν ἑαυτοῦ τὴν παῖδα ἐποιεῖτο,

C νεωτάτην οὖσαν, ὧν ἡ Ἑκάβη αὐτῷ ἔτεκεν, ἐθεράπευον δὲ ἀεὶ τὸ βάδισμα τῶν πατέρων οἱ νεώτεροι τῶν παίδων. καὶ οὕτω δή τοι ὁ Ἀχιλλεὺς ὑπὸ δικαιοσύνης ἐσωφρόνει καὶ τὰ ἐρωτικά, ὡς μήτε ἀφελέσθαι τὴν κόρην ἐφ' ἑαυτῷ οὖσαν, γάμον τε αὐτῆς ὁμολογῆσαι τῷ Πριάμῳ, πιστεῦσαι ἀναβαλλομένῳ τὸν γάμον. ἐπεὶ δὲ ἀπέθανε γυμνὸς ἐν τοῖς ὑπὲρ τούτων

D ὅρκοις, λέγεται ἡ Πολυξένη, φευγουσῶν ἐκ τοῦ ἱεροῦ τῶν Τρῳάδων, καὶ τῶν Τρώων ἐσκεδασμένων· οὐδὲ γὰρ τὸ πτῶμα τοῦ Ἀχιλλέως ἀδεῶς ἤνεγκαν, αὐτομολίᾳ χρήσασθαι, τὸ φυγεῖν ἐς τὸ Ἑλληνικόν. ἀναχθεῖσά τε τῷ Ἀγαμέμνονι, ζῆν μὲν ἐν κομιδῇ λαμπρᾷ τε, καὶ σώφρονι, καθάπερ ἐν πατρὸς οἰκίᾳ. τριταίου δὲ ἤδη κειμένου τοῦ νεκροῦ, δραμεῖν ἐπὶ τὸ

σῆμα ἐν νυκτὶ, ξίφει τε αὐτὴν ἐπικλῖναι πολλὰ εἰποῦσαν ἐλεεινὰ, καὶ γαμικά. ὅτε δὴ καὶ δεηθῆναι τοῦ Ἀχιλλέως ἐραστήν τε μεῖναι, καὶ ἀγαγέσθαι αὐτὴν μὴ ψευσαμένην τὸν γάμον. ἃ δὲ λοιπὰ Ὁμήρῳ ἐν δευτέρᾳ ψυχοστασίᾳ εἴρηται, εἰ δὴ Ὁμήρου ἐκεῖνα, ὡς ἀποθανόντα τὸν Ἀχιλλέα, μοῦσαι μὲν ᾠδαῖς ἐθρήνησαν, νηρηΐδες δὲ, πληγαῖς τῶν στέρνων, οὐ παραπολύ φησι κεκομπάσθαι, μούσας μὲν γὰρ, οὔτε ἀφικέσθαι, οὔτε αἰάσαι, οὐδὲ Νηρηΐδων τινὰ ὀφθῆναι τῷ στρατῷ, καί τοι γινωσκομένας ὅτε ἥκοιεν. θαυμαστὰ δὲ ξυμβῆναι ἕτερα, καὶ οὐ πόῤῥω τῶν Ὁμήρῳ εἰρημένων· ἐκ γὰρ τοῦ κόλπου τοῦ μέλανος ἡ θάλαττα ἀνοιδήσασα, τὰ μὲν πρῶτα, ἐμυκᾶτο. μετ' οὐ πολὺ δὲ ἀρθεῖσα λόφῳ μεγάλῳ, ἴση ἐχώρει εἰς τὸ Ῥοίτειον. ἐκπεπληγμένων δὲ τῶν Ἀχαιῶν, καὶ ἀπορούντων ὅ,τι αὐτοί τε, καὶ ἡ γῆ πείσονται, ἐπεὶ πλησίον ἐγένετο, καὶ περιεκύμαινε τῷ στρατοπέδῳ, θρῆνον ἤχησεν ὀξύν τε, καὶ ἀθρόον, καθάπερ γυναικῶν ὅμιλος, ὃν ἐς τὰ κήδη ἀναφθέγγονται. τούτου δὲ θείου τε, καὶ δαιμονίου φανέντος, καὶ πάντων ὁμολογούντων, ὅτι Νηρηΐδας ἦγε τὸ κῦμα, οὐδὲ γὰρ ἐπέκλυσεν οὐδὲν, ἀλλὰ πρᾶόν τε, καὶ λεῖον τῇ γῇ προσηυνάσθη, πολλῷ θαυμαστότερα τὰ ἐφεξῆς ἔδοξεν. ἐπεὶ γὰρ νὺξ ἐπέλαβεν, οἰμωγὴ τῆς Θέτιδος διεφοίτα τὸν στρατὸν, ἀνευφημούσης τε, καὶ τὸν υἱὸν βοώσης. ἐβόα δὲ τορὸν, μέγα τε, καὶ ἔναυλον, καθάπερ ἡ ἐν τοῖς ὄρεσιν ἠχώ. καὶ τότε μάλιστα καὶ Ἀχαιοὶ ξυνῆκαν ὅτι τέκοι τὸν Ἀχιλλέα ἡ Θέτις, οὐδὲ ἄλλως ἀπιστοῦντες. τὸν μὲν δὴ κο-

A ctu cucurriſſe, multáque cùm miſerabilia, tum amatoria dicentem enſi ſe ipſam admouiſſe, cùm rogaret Achillem vt in amore perſiſteret: ducerétque ipſam, cùm præſertim nuptias haudquaquam decepiſſet. Quæ autem ab Homero in ſecunda Pſychoſtaſia dicta ſunt: ſiquidem Homeri illa, quòd ſcilicet Muſæ quidem defunctum Achillem odis luxerint: Nereides ve-
B rò pectorum planctu, haud nimus iactanter dicta afferit. Neque enim Muſas veniſſe, nec querulis cantib. vſas, neque Nereidum vllam ab exercitu conſpectam, cùm maximè accedentes dignoſcantur. Mira verò quædam contigiſſe, & quæ haud longè ab iis quæ ab Homero dicta ſunt, diſtant. Ex Melane enim ſinu intumeſcens mare, primùm quidem mugiebat: paulò verò poſt magno elatum cumulo æ-
C quale in Rhœtium Phrygiæ promontorium progrediebatur. Achiuis autem terrore perculſis, quídque ipſi, ac regio paſſuri eſſent, ignorantibus, poſtquam prope fuit, caſtráque vndis aluebat, luctum edidit acutum, ac iugem, vt mulierum turba cùm affines lugent. Cum autem diuinum hoc, atque admiratione dignum appáruiſſet: faterentúrq; omnes quod vnda Nereidas adduxiſſet (nihil enim im-
D merſit; ſed mitis ac læuis terræ acquieuit) multo grauiora quæ ſequuntur viſa ſunt. Poſtquam enim nox cœpit, Thetidis vlulatus laudantis ac vocantis filium, per exercitum tranſibat. Clamabat autem altum, magnúmque, ac conſonum, vt in montibus Echo, & tunc maximè Achiui Thetidis eſſe filium Achillé percepêre, nec alioqui tamen diffidentes. Tumulum autem iſtum, [illegible] quem

quem in littoris fronte cernis extantem, conuenientes erexerunt Græci, quando Patroclo in vno iunctus eſt tumulo, pulcherrimum ſibi atque illi ſepulchrale donum præbens. Hinc eſt quòd qui amicitiam laudib. proſequuntur ipſum celebrant. Sepultus eſt autem hominum euidentiſſimè cum iis numeribus, quæ ipſi à Græcis oblata ſunt; ne comam quidem promittere poteſt poſt Achillem honeſtum arbitrantibus. Aurum præterea, & quicquid vnuſquiſque habebat, vel ad Troiam abducens, vel ex partitione capiens, cuncta & ſtatim in pyram congeſſere, & cùm Neoptolemus ad Troiam venit: præclara enim rurſus cùm à filio, tum à Græcis ipſi gratificari conantibus, aſſecutus eſt munera. Quippe qui & à Troia nauigantes, circa tumulum procidebãt, Achillémque amplecti arbitrabantur.

NEOPTOLEMVS.

Neoptolemum autem, ô Vinitor, qualem fuiſſe ait? *Vinitor.* Nobilem, ô hoſpes, & patre quidem inferiorem, nihilo verò Telamonio deteriorem. Idem autem & de ſpecie ait. Pulchrum enim fuiſſe, ac patri ſimilem: tantùm vero ab ipſo ſuperatum, quantùm pulchri à ſtatuis ſuperantur. Atqui hymnos quoque ex Theſſalia conſecutus eſt Achilles, quos ſingulis annis ad ſepulchrum accedentes noctu canebant, ſacri neſcio quid libaminibus immiſcentes, vt Lemnij, & qui à Siſypho ſunt Peloponnenſes, de more faciunt. *Phœnix.* Alia rurſus oratio accedit, Vinitor, quam me herculè nunquam omitterem, ne ſi omnia quidem propterea mihi eſſent agenda, vt hæc minimè

A κολωνὸν, ξένε, τοῦτον, ὃν ἐπὶ τοῦ μετώπου τῆς ἀκτῆς ὁρᾷς ἀνεστηκότα, ἤγειραν οἱ Ἀχαιοὶ ξυνελθόντες, ὅτε τῷ Πατρόκλῳ ξυνεμίχθη εἰς τὸν τάφον, κάλλιστον ἐντάφιον ἑαυτῷ τε, κἀκείνῳ δούς· ὅθεν ᾄδουσιν αὐτὸν οἱ τὰ φιλικὰ ἐπαινοῦντες. ἐτάφη δὲ ἐνδηλότατα ἀνθρώπων πᾶσιν, οἷς ἐπήνεγκεν αὐτῷ ἡ Ἑλλάς. οὐδὲ κομᾶν ἔτι μετὰ τὸν Ἀχιλλέα καλὸν ἡγούμενοι. χρυσόν τε, καὶ ὅ, τι ἕκαστος εἶχεν, ἢ
B ἀπάγων ἐς Τροίαν, ἢ ἐκ δασμοῦ λαβὼν, νήσαντες ἐς τὴν πυρὰν ἀθρόα, παραχρῆμά τε, καὶ ὅτε ὁ Νεοπτόλεμος ἐς Τροίαν ἦλθε. λαμπρῶν γὰρ δὴ ἔτυχε πάλιν τῶν ἐνταφίων παρά τε τοῦ παιδὸς, παρά τε τῶν Ἀχαιῶν, ἀποχαρίζεσθαι αὐτῷ πειρωμένων. οἵγε καὶ τὸν ἀπὸ τῆς Τροίας ποιούμενοι πλοῦν, περιέπιπτον τῷ τάφῳ, καὶ τὸν Ἀχιλλέα ᾤοντο
C περιβάλλειν.

ΝΕΟΓΤΟΛΕΜΟΣ.

Τὸν Νεοπτόλεμον δὲ, ὦ Ἀμπελουργὲ, ὁποῖόν τινα γενέσθαι φησί. Αμ. γενναῖον, ὦ ξένε, καὶ τοῦ μὲν πατρὸς ἥττω, φαυλότερον δὲ οὐδὲν τοῦ Τελαμωνίου. ταυτὸ δὲ καὶ περὶ τοῦ εἴδους φησί. καλὸν μὲν γὰρ εἶναι, καὶ προσεοικότα τῷ πατρί. λείπεσθαι δ' αὐτοῦ τοσοῦτον, ὅσον τῶν ἀγαλμά-
D των οἱ καλοὶ λείπονται. καὶ μὴν καὶ ὕμνων ἐκ Θετταλίας ὁ Ἀχιλλεὺς ἔτυχεν· οὓς ἀνὰ πᾶν ἔτος φοιτῶντες ἐπὶ τὸ σῆμα, ᾖδον ἐν νυκτὶ, τελετῆς τι ἐγκαταμιγνύντες τοῖς ἐναγίσμασιν, ὡς Λήμνιοί τε νομίζουσι, καὶ Πελοποννησίων οἱ ἀπὸ Σισύφου. Φοι. ἄλλος αὖ λόγος ἥκει, Ἀμπελουργὲ, οὐ μὰ τὸν Ἡρακλέα οὐκ ἂν μεθοίμην, οὐδ' εἰ πάνθ' ὑπὲρ τοῦ μὴ πα-

ρεσπλεῦσαι αὐτὸν ἑ παρεῖτον. Αμ. ἀλλὰ τὰς ἐκβολὰς τῶν λόγων ἀδολεσχίας ἔνιοι ξένε ἡγοῦνται, καὶ λῆρον πρὸς τοὺς μὴ σχολὴν ἄγοντας. σὲ δὲ ὁρῶ, δοῦλον μὲν τῆς νεὼς ἧς ἄρχεις, δοῦλον δὲ τῶν ἀνέμων, ὧν εἰ καὶ μικρὰ αὔρα κατὰ πρύμναν σταίη, δεῖ τὰ ἱστία ἀνασείειν, καὶ συνεξαίρεσθαι τῇ νηΐ, πάντα δεύτερα ἡγούμενος τοῦ πλεῖν. Φοι. ἐρρώσθω λοιπὸν ἡ ναῦς, καὶ τὰ ἐν αὐτῇ. τὰ γὰρ τῆς ψυχῆς ἀγώγιμα, ἡδίω τέ μοι, καὶ κερδαλεώτερα. τὰς δὲ ἐκβολὰς τῶν λόγων, μὴ λῆρον, ἀλλ' ἐπικαιρείαν ἡγώμεθα τῆς ἐμπορείας ταύτης. Αμ. ὑγιαίνοις, ξένε, οὕτω γινώσκων, καὶ ἐπεὶ βούλει, ἄκουε. τὰ μὲν δὴ Κορινθίων ἐπὶ Μελικέρτῃ· τούτους γὰρ δὴ τοὺς ἀπὸ Σισύφου εἶπον· καὶ ὁπόσα οἱ αὐτοὶ δρῶσιν ἐπὶ τοῖς τῆς Μηδείας παισὶν, οὓς ὑπὲρ τῆς Γλαύκης ἀπέκτεινε, θρήνῳ εἴκασται τελεστικῷ τε, καὶ ἐνθέῳ. τοὺς μὲν γὰρ δὴ μειλίσσονται· τὸν δὲ ὑμνοῦσιν. ἐπὶ δὲ τῷ ἔργῳ τῷ περὶ τοὺς ἄνδρας ὑπὸ τῶν ἐν Λήμνῳ γυναικῶν ἐξ Ἀφροδίτης ποτὲ πραχθέντι, καθαίρεται μὲν ἡ Λῆμνος καθ' ἕνα τοῦ ἔτους, καὶ σβέννυται τὸ ἐν αὐτῇ πῦρ ἡμέρας ἐννέα. θεωρὶς δὲ ναῦς, ἐκ Δήλου πυρφορεῖ. κἂν ἀφίκηται πρὸ τῶν ἐναγισμάτων, οὐδαμοῦ τῆς Λήμνου καθορμίζεται· μετέωρος δὲ ἐπισαλεύει τοῖς ἀκρωτηρίοις, ἔστ' ἂν ὅσιον τὸ πλεῦσαι γένηται. θεοὺς γὰρ χθονίους, καὶ ἀπορρήτους καλοῦντες τότε, καθαρὸν οἶμαι τὸ πῦρ τὸ ἐν τῇ θαλάττῃ φυλάττουσιν. ἐπεὶ δὲ ἡ θεωρὶς ἐσπλεύσῃ, καὶ νείμωνται τὸ πῦρ ἔς τε τὴν ἄλλην δίαιταν, ἔς τε τὰς ἐμπύρους τῶν τεχνῶν, καινοῦ τὸ ἐντεῦθεν βίου φασὶν ἄρχεσθαι.

A prætermittatur. *Vinitor.* At ſermonum digreſſiones nonnulli (hoſpes) ambages, nugáſque apud minimè ocioſos eſſe arbitrantur. Te autem video ſeruum quidem nauis cui imperas, ſeruum ventorum: quorum etiam ſi modica aura ad puppim ſteterit, vela excutere oportet, & cum naui ſoluere, cuncta nauigationi poſtponentem. *Phœnix.* Valeat deinde nauis, & quæ in ea ſunt. Animi enim onera, ſuauiora B mihi atque vtiliora. Orationis autem digreſſiones non nugas, verùm huic mercaturæ additum eſſe lucrum arbitramur. *Vinitor.* Saluus ſis hoſpes, ita ſentiens, & quoniam vis audi. Quæ quidem à Corinthiis in Melicertæ honorem celebrantur, (hi enim ſunt, quos eſſe à Siſypho dixi) & quæcunque iidem liberorum Medeæ cauſa faciunt, quos ob Glaucen trucidauit, myſtico cuidam, ac diuino luctui aſſimilan-C tur: hos enim placant, hunc laudibus proſequuntur. Illius vero facinoris cauſa, quod à mulieribus in viros, Veneris nutu commiſſum eſt: expiatur quidem ſingulis annis Lemnus, & in nonum diem, qui in ipſa eſt ignis extinguitur. Nauis vero Theoris appellata, ex Delo ignem adfert. Quòd ſi ante expiationem acceſſerit, nulli inſulæ parti appellitur: ſed ſuſpenſa ſalo ad promontoria interea agitatur, D donec adnauigare fas fuerit. Terreſtres enim atque arcanos tunc inuocantes Deos: purum (puto) qui in mari fuerat ignem, cuſtodiunt. Poſtea vero quàm nauis acceſſerit, atque ignem diſtribuerint, nouam inde vitam, tam circa aliam diætam, quàm circa artes, quibus ignis adhibetur, ſe auſpicari tradunt.

Theſſalica verò expiatio Achilli ex Theſſalia proficiſcens, à Dodonæo Theſſalis oraculo mandata eſt. Iuſſit enim oraculum, vt Theſſali ad Troiam nauigantes ſingulis annis Achilli ſacra facerent, mactaréntque partim vt Deo, partim vt in ſorte defunctorum. Principio quidem talia fiebant. Nauis nigra tollens vela, ex Theſſalia ad Troiam nauigabat, ſacrorum miniſtros quidem bis ſeptem abducens: tauros verò candidum ac nigrum, vtrumque manſuetum, ſyluámque ex Pelio monte, ne quid ciuitatis indigerét. Ignem præterea ex Theſſalia vehebant, libamináque atque aquam ex Spercheo exhauſtam. Vnde & coronas amarantinas primi Theſſali ad funera ex lege conſtituere: vt etiam ſi venti nauim abduxiſſent, minimè flaccidas ac deformes adferrent. Noctu autem nauim in portū adducere: & priuſquam terram attingerent. Thetidi huiuſmodi hymnum canere oportebat:

Theti Cyanea, Theti Pelea, magnum peperiſti filium Achillem: cuius, quantum mortalis quidem tulit natura, Troia ſortita eſt: quantum verò tui immortalis generis arripuit filius, Pontus habet: aſcende hunccine editum collem, cum Achille in pyram aſcende illachrymis ad ſacrificia, Theti Cyanea, Theti Pelea.

Cùm autem ad ſepulchrum poſt hymnum perueniſſent, clypeus quidem vt in bello obſtrepebat, curſibus verò numeroſis Achillem inuocantes covlulabant. Coronato autem collis vertice, ſcrobibúſque in ipſo effoſſis, nigrum vt defuncto mactabant taurum. Inuocabant au-

A τὰ δὲ Θετταλικὰ ἐναγίσματα φοιτῶντα τῷ Ἀχιλλεῖ ἐκ Θετταλίας, ἐχρήσθη Θετταλοῖς ἐκ Δωδώνης. ἐκέλευσε γὰρ δὴ τὸ μαντεῖον Θετταλοὺς ἐς Τροίαν πλέοντας, θύειν ὅσα ἔτη* τῷ Ἀχιλλεῖ, καὶ σφάττειν τὰ μὲν, ὡς θεῷ, τὰ δ' ὡς ἐν μοίρᾳ τῶν κειμένων. [ἴσ. κατ' ἔτος] καταρχὰς μὲν δὴ τοιάδε ἐγίνετο. ναῦς ἐκ Θετταλίας μέλανα ἱστία ἠρμένη, ἐς Τροίαν ἔπλει, θεωροὺς
B μὲν δὶς ἑπτὰ ἀπάγουσα. ταύρους δὲ, λευκόν τε, καὶ μέλανα, χειροήθεις ἄμφω. καὶ ὕλην ἐκ τοῦ Πηλίου, ὡς μηδὲν τῆς πόλεως δέοιντο. καὶ πῦρ ἐκ Θετταλίας ἦγον, καὶ σπονδὰς, καὶ ὕδωρ, τοῦ Σπερχειοῦ ἀρυσάμενοι. ὅθεν καὶ στεφάνους ἀμαραντίνους ἐς τὰ κήδη πρῶτοι Θετταλοὶ ἐνόμισαν, ἵνα κἂν ἄνεμοι τὴν ναῦν ἀπολάβωσι, μὴ σαπροὺς ἐπιφέρωσι, μηδ' ἐξώρους. νυκτὸς μὲν δὴ
C καθορμίζεσθαι ἔδει. καὶ πρὶν ἅψασθαι τῆς γῆς. ὕμνον ἀπὸ τῆς νεὼς ᾄδειν ἐς τὴν Θέτιν ὧδε ξυγκείμενον,

Θέτι Κυανέα, Θέτι Πηλεία, τὸν μέγαν ἔτεκες υἱὸν Ἀχιλλῆα. τοῦ, θνατὰ μὲν, ὅσον φύσις ἤνεγκέ τοι, Τροία λάχε. σᾶς δ' ὅσον ἀθανάτου γενεᾶς παῖς ἔσπασε, Πόντος ἔχει. βαῖνε πρὸς αἰπὺν τόνδε κολωνὸν μετ' Ἀχιλλέως ἐν πυρᾷ. βαῖν' εὐδάκρυτος μετὰ θυηλᾶς, Θέ- [ἴσ. ἀδάκρυτος]
D τι Κυανέα, Θέτι Πηλεία.

Προσελθόντων δὲ τῷ σήματι μετὰ τὸν ὕμνον, ἀσπὶς μὲν ὥσπερ ἐν πολέμῳ περιεδουπεῖτο. δρόμοις δ' ἐρρυθμισμένοις συνηλάλαζον, ἀνακαλοῦντες τὸν Ἀχιλλέα, στεφανώσαντες δὲ τὴν κορυφὴν τοῦ κολωνοῦ, καὶ βόθρους ἐπ' αὐτῇ ὀρύξαντες, τὸν ταῦρον τὸν μέλανα ὡς τεθνεῶτι ἔσφαττον. ἐκάλουν δὲ

καὶ τὸν Πάτροκλον ἐπὶ τὴν δαῖτα, ὡς καὶ τοῦτο ἐς χάριν τῷ Ἀχιλλεῖ πράττοντες. ἐντεμόντες δὲ, καὶ ἐναγίσαντες, κατέβαινον ἐπὶ τὴν ναῦν ἤδη. καὶ θύσαντες ἐπὶ τὸν αἰγιαλὸν τὸν ἕτερον τῶν ταύρων Ἀχιλλεῖ πάλιν, κανοῦ τε ἐναρξάμενοι, καὶ σπλάγχνων ἐπ' ἐκείνῃ τῇ θυσίᾳ. ἔθυον τὴν γὰρ θυσίαν ταύτην ὡς θεῷ, περὶ ὄρθρον ἀπέπλεον, ἀπάγοντες τὸ ἱερεῖον, ὡς μὴ ἐν τῇ πολεμίᾳ εὐωχοῖντο. ταῦτα, ξένε, τὰ οὕτω σεμνὰ, καὶ ἀρχαῖα καταλυθῆναι μὲν ὑπὸ τῶν τυράννων φασίν. οἳ λέγονται μετὰ τοὺς Αἰακίδας ἄρξαι Θετταλῶν, ἀμεληθῆναι δὲ καὶ ὑπὸ τῆς Θετταλίας. αἱ μὲν γὰρ ἔπεμπον τῶν πόλεων, αἱ δὲ οὐκ ἠξίουν, αἱ δὲ εἰς νέωτα πέμψειν ἔφασαν. αἰεὶ δὲ κατέβαλλον τὸ πρᾶγμα. αὐχμῷ δὲ πιεσθείσης τῆς γῆς, καὶ κελευούσης τῆς μαντείας τιμᾶν τὸν Ἀχιλλέα ὡς θέμις, ἃ μὲν ὡς θεῷ ἐνόμιζον, ἀφεῖλον τῶν δρωμένων, ἐξηγούμενοι ταύτῃ τὸ ὡς θέμις. ἐνήγιζον δὲ ὡς τεθνεῶτι. καὶ ἀνέτεμνον τὰ ἐπιτυχόντα, ἕως τε ἡ Ξέρξου ἔλασις ἐπὶ τὴν Ἑλλάδα ἐγένετο, ἐν ᾗ Θετταλοὶ μηδίσαντες, ἐξέλιπον πάλιν τὰ ἐς τὸν Ἀχιλλέα νόμιμα, ἐπειδὴ ναῦς ἐς Σαλαμῖνα ἐξ Αἰγίνης ἔπλευσεν ἄγουσα ἐπὶ ξυμμαχίᾳ τοῦ Ἑλληνικοῦ τὸν τῶν Αἰακιδῶν οἶκον. ἐπεὶ δὲ Ἀλέξανδρος ὁ Φιλίππου χρόνῳ ὕστερον τὴν μὲν ἄλλην Θετταλίαν ἐδουλώσατο, τὴν δὲ Φθίαν τῷ Ἀχιλλεῖ ἀνῆκεν, ἐπὶ τὸν Δαρεῖον στρατεύων, ξύμμαχον τὸν Ἀχιλλέα ἐν Τροίᾳ ἐποιήσατο, ἐπεστράφησαν μὲν Θετταλοὶ τοῦ Ἀχιλλέως. καὶ ἵππον ὁπόσην Ἀλέξανδρος ἐκ Θετταλίας ἦγε, περιήλασαν τῷ τάφῳ. ξυνέπεσόν τε ἀλλήλοις ὥσπερ ἱππο-

A tem Patroclum quoque ad epulas, vtpote hoc quoque in Achillis gratiam facientes. Mactatione autem atque expiatione peracta, ad nauim deſcendebant. Alteróque rurſus tauro Achilli in littore immolato, & caniſtro, atque extis facta libatione (hoc enim vt Deo ſacrum faciebant) ſub diluculum hoſtiam propterea abducentes diſcedebant, ne in hoſtili regione epularentur. Hæc hoſpes tam grauia B ac vetera à tyrannis quidem, qui poſt Æacidas Theſſalis imperaſſe feruntur, diſſoluta fuiſſe aiunt, à Theſſalia verò etiam neglecta. Aliæ enim ciuitates mittebant: aliæ minimè dignum cenſebant: nonnullæ in futurum annum ſe miſſuras dicebant. Semper autem rem ipſam deponebant. Verùm terra ariditate laborante, oraculóque (vt fas eſt) Achillem colere iubente, quæ vt Deo ex ritu offerebant, abC ſtulere: illud vt fas eſt, ſic interpretantes. Parentabant verò vt mortuo obuia quæque mactantes, donec Xerxes in Græciam traiecit, quo tempore Theſſali Medorum res ſecuti, rurſus quæ Achilli ex ritu offerebant, intermiſere, poſtquã nauis Æacidarum, domum ad Græcorum ſocietatem adducens, in Salamina ex Ægina traiecit. Poſtea verò quàm Philippi filius Alexander longo pòſt tempore aliam quiD dem Theſſaliam in ſeruitutem redegit, Phthiam verò Achilli remiſit, & aduerſus Dareum expeditionem faciens, belli ſocium ſibi Achillem fecit. Theſſali Achillis curam ſuſcepere, & equites quoſcunque ex Theſſalia ducebat Alexander, circa tumulum egere: atq; vt equeſtri pugnantes prælio inter

ſe conflixere, precatíque, atque operati abierunt. Ipſum autem cum Balio atque Xantho equis in Dareum inuocabant, hæc ex equis clamantes. Poſtea verò quàm Dareus captus eſt, erátque apud Indos Alexander, Theſſali iuſta nigrúmque agnum miſerunt. Iis autem qui parentarent, ad Troiam minimè venientibus, & ſi venirent, interdiu ſingula, nec ritè peragentibus iratus eſt. Quòd ſi quæcunque Theſſaliæ ingruere, percurrero, nugarum plena erit oratio. Quartum fermè ab hinc annum Proteſilaus hic mihi occurrens, ex Ponto dixit ſe proficiſci: nauim enim cùm offendiſſet, hoſpiti aſſimilatum ad Achillem nauigaſſe, ſéque id frequenter facere aiebat: me autem dicente, quàm & amicorum ſtudioſus & probus eſſet Achillem diligens: at nunc (inquit) ipſi iratus veni. Nam cùm Theſſalis ob iuſta ipſum ſuccenſere ſentirem, hoc mihi (inquam) Achilles remitte. Ipſe verò haud obſequitur. Quinimo mali quid ex mari ſcipſis daturum aſſerit. Quare timeo, ne acris ille atque implacabilis, à Thetide aliquid in ipſos impetret. Et ego, ô hoſpes, cùm à Proteſilao hæc audiuiſſem, rubigines, ac caligines Theſſalorum ſegetibus in fructuum perniciem ab Achille illatum iri arbitrabar. Huiuſmodi enim morbi ex mari ferè feracibus continentis agris inſidere videntur. Nonnullas præterea Theſſaliæ ciuitates, vt Bura Helicéque, & quæ circa Locros fuit Atalante, paſſa eſt, immerſum iri ſuſpicabar. Hanc enim immerſam, illam vero abruptam ait. Sed alia Achilli, ac Thetidi videban-

A μαρτυροῦντες· καὶ ἀπῆλθον εὐξάμενοί τε, καὶ θύσαντες. ἐκάλουν δὲ αὐτὸν ἐπὶ Δαρείου, αὐτῷ Βαλίῳ τε, καὶ Ξάνθῳ, βοῶντες ταῦτα ἀπὸ τῶν ἵππων. ἐπεὶ δὲ Δαρεῖος ἥλω, καὶ πρὸς τοῖς Ἰνδικοῖς Ἀλέξανδρος ἦν, ξυνέστειλαν οἱ Θετταλοὶ τὰ ἐναγίσματα, καὶ ἔπεμπον ἄρνα μέλανα. τῶν δὲ ἐναγιζόντων, εἴτε ἐφικνουμένων ἐς Τροίαν, εἴτε ἀφικνοῖντο, μεθημέραν ἕκαστα,

B καὶ οὐκ ἐν κόσμῳ πραττόντων, ἐμήνισεν ὁ Ἀχιλλεύς. καὶ ὁπόσα τῇ Θετταλίᾳ ἐνέσκηψεν εἰ διεξίοιμι, ἀδολεσχίας πλέως ὁ λόγος ἔσται. πρὸ ἐτῶν δέ που τεττάρων ἐντυχὼν ἐνταῦθά μοι ὁ Πρωτεσίλεως, ἐκ Πόντου μὲν ἥκειν, * ἔφη. νεὼς γὰρ ἐπιτυχὼν πλεῦσαι παρὰ τὸν Ἀχιλλέα, ξένῳ εἰκασθείς. ἰοῦτι δὲ θαμὰ πράττειν. ἐμοῦ δὲ εἰπόντος, ὡς φιλέταιρός τε, καὶ χρηστὸς εἴη φιλῶν τὸν Ἀχιλλέα· ἀλλὰ νῦν, ἔφη, διενεχθεὶς

C αὐτῷ ἥκω. Θετταλοῖς γὰρ ὑπὲρ τῶν ἐναγισμάτων μηνίοντα αἰσθόμενος, ἐμοί, ἔφην, ὦ Ἀχιλλεῦ, πάρες τουτοδὶ οὐ πείθεται. φησὶ δὲ αὐτοῖς κακόν τι ἐκ θαλάττης δώσειν. καὶ δέδια μὴ παρὰ τῆς Θέτιδος εὕρηταί τι αὐτοῖς ὁ δεινὸς ἐκεῖνος, καὶ ἀμείλικτος. κἀγὼ μέν, ὦ ξένε, ταῦτα ἀκούσας τοῦ Πρωτεσίλεω, ἐ-

D ρυσίβας τε ᾤμην, καὶ ὁμίχλας προσβεβλήσεσθαι τοῖς Θετταλῶν ληΐοις ὑπὸ τοῦ Ἀχιλλέως, ἐπὶ φθορᾷ τοῦ καρποῦ. ταυτὶ γὰρ τὰ πάθη δοκεῖ πως ἐκ θαλάττης ἐπὶ τὰς εὐκάρπους τῶν ἠπείρων ἱζάνειν. ᾤμην δὲ ἐπικλυσθήσεσθαί τινας τῶν ἐν Θετταλίᾳ πόλεων, οἷα Βοῦρά τε, καὶ Ἑλίκη, καὶ ἡ περὶ Λοκροὺς Ἀταλάντη ἔπαθε. τὴν μέν, γάρ, καταδῦναί φησι. τὴν δ' αὖ, ῥαγῆναι. ἐδόκει δ' ἄλλα τῷ Ἀχιλλεῖ, καὶ τῇ Θέτιδι.

ὑφ' ὧν ἀπολώλασιν οἱ Θετταλοί. μεγάλων γὰρ δὴ ἐπιτιμίων ὄντων ἐπὶ τῇ κόχλῳ, παρ' ἧς ἄνθρωποι σοφίζονται τὴν πορφύραν, αἰτίαν ἔχον οἱ Θετταλοὶ παρανομῆσαί τι ἐς τὴν βαφὴν ταύτην. εἰ μὲν ἀληθῆ, οὐκ οἶδα. λίθοι οὖν ἐπικρέμανται σφίσιν, ὑφ' ὧν ἀποδίδονται μὲν τοὺς ἀγρούς, ἀποδίδονται δὲ τὰς οἰκίας. τῶν δὲ ἀνδραπόδων, τὰ μὲν, ἀποδέδρακε σφᾶς, τὰ δὲ, πέπραται. καὶ οὐδὲ τοῖς γονεῦσιν οἱ πολλοὶ ἐναγίζουσιν. ἀπέδοντο γὰρ καὶ τοὺς τάφους. ὡς τὸ κακόν, ὃ ἠπείλει τοῖς Θετταλοῖς ἐκ θαλάττης ὁ Ἀχιλλεὺς δώσειν, ξένε, τοῦτο ἡγώμεθα. Φο. οὐλομένην, Ἀμπελουργέ, μῆνιν λέγεις, καὶ δυσίατον. ἀλλά μοι εἰπέ τι περὶ τῆς ἐν τῷ Πόντῳ νήσου θαυμαστὸν ὁ Πρωτεσίλεως οἶδεν. ἐκεῖ γάρ που αὐτῷ ξυγγίνεται. Αμ. ἐκεῖ ξένε. καὶ λέγει περὶ αὐτῆς τοιαῦτα, ὡς νῆσος μὲν εἴη μία ἐν τῷ Πόντῳ πρὸς τῇ ἀξένῳ πλευρᾷ μᾶλλον, ἣν τίθενται ἀριστερὰν οἱ τὸ στόμα τοῦ Πόντου ἐσπλέοντες. ἐπέχει δὲ στάδια μῆκος τριάκοντα· εὖρος δὲ οὐ πλείω τεττάρων. δένδρα τε ἐν αὐτῇ πεφύκει, λεῦκαί τε, καὶ πτελέαι, τὰ μὲν ἄλλα, ὡς ἔτυχε. τὰ δὲ περὶ τὸ ἱερόν, ἐν κόσμῳ ἤδη. τὸ δὲ ἱερὸν ἵδρυται μὲν πρὸς τῇ Μαιώτιδι. ἡ δὲ, ἴση τῷ Πόντῳ ἐς αὐτὸν ἐμβάλλει. τὰ δὲ ἐν αὐτῷ ἀγάλματα, Ἀχιλλεύς τε, καὶ Ἑλένη ὑπὸ μοιρῶν ξυναρμοσθέντες. κειμένου γὰρ δὴ ἐν ὀφθαλμοῖς τοῦ ἐρᾶν, καὶ ποιητῶν τὸν ἔρωτα ἀπὸ τούτου ᾀδόντων, πρῶτον Ἀχιλλεύς τε καὶ Ἑλένη, μηδὲ ὀφθέντες ἀλλήλοις, ἀλλ' ἡ μέν, κατ' Αἴγυπτον, ὁ δέ, ἐν Ἰλίῳ ὄντες, ἐρᾶν ἀλλήλων ὥρμησαν,

A tur, à quibus Theſſali periere. Nam cùm eius teſtæ cauſa, ex qua homines purpuram conficiunt, magnæ eſſent indictæ pœnæ, crimini datum eſt Theſſalis, quòd ad hanc infecturam edictum neglexerint. Quod an verum ſit, ignoro. Lapides igitur impendent ipſis, ex quibus, tam agros quàm domos venditant. Seruorum alij ipſos fugêre, alij venditi ſunt. Et multi ne parentibus quidem iuſta faciunt:
B Nam tumulos quoque vendidere. Quare quod Theſſalis ex Ponto ſe daturum minabatur Achilles, hoc eſſe malum arbitremur. *Phœnix*. Perniciosam (Vinitor) iram memoras, atque incurabilem. Ceterùm, dic mihi quid admiratione dignum de inſula in Ponto ſita, Proteſilaus nouit? Illic enim fortè Achillem conuenit. *Vinitor*. Illic, hoſpes, & de ipſa talia memo-
C rat, quod vnà ſcilicet ſit in Ponto inſula, ad inhoſpitale latus magis vergens, quàm Ponti oſtium intrantes ſiniſtram habent. Triginta autem ſtadia longitudine, haud plura vero quatuor latitudine continet. Naſcuntur in ipſa arbores, populus alba, atque vlmi: aliæ quidem vt contigit: quæ vero circa templum ſunt, ſerie quadam proueniunt. Templum autem verſus Mæotidem erectum eſt. Hæc
D vero Ponto æqualis in ipſum ingreditur. Statuæ in ipſo ſunt, Achilles atque Helene, à Parcis conciliati. cùm enim in oculis ſitus ſit amor, & ex hoc poëtæ cupidicelebrent, *primùm* Achilles atq. Helene, cùm neuter alterum vidiſſet, ſed hæc quidem in Ægypto, hæc vero in Troia moraretur, in mutuum compulſi ſunt amorem,

corporis deſiderium gignentibus auribus. Cùm autem in perpetuum ipſis fato deſtinata eſſet diæta, nulla ſub Ilio exiſtente inſula, Echinadibúſque, quæ ad Oeniada, quæque ad Acarnaniam iacent, iam pollutis. Quandoquidem Alcmæon interfecta matre, ab Acheloo egeſtam incoluit terram, ſcilicet facinore recentiorem, rogat Neptunum Thetis, vt aliquam ex mari edat inſulam, in qua habitent. Hic autem Ponti longitudinem meditatus, & quod nulla in ipſo inſula exiſtente inhabitabilis nauigaretur, Leucen inſulam quantam prædixi, in lucem edidit, vt ab Achille quidem atque Helene habitaretur, nautis vero ad appellendum conſiſteret. Vniuerſæ igitur, quæcunque liquida eſt, ſubſtantiæ imperator Neptunus, flumina, Thermodonté videlicet, Boryſthenémque, atque Iſtrum ingentibus ac perennibus vndis in Pontum deferri meditatus, fluuiorum limum, quem à Scythis auſpicati in pelagus trahunt, congeſſit: inſulámque quantam dixi, confecit, cùm ipſam in Ponti fundo conſtituiſſet. Hic primùm inter ſe viderunt & amplexati ſunt Achilles atque Helene: & Neptunus ipſe, atque Amphitrite, omnéſque Nereides, flumináque & dæmones, qui Mæotin, Pontúmque adeunt, ipſorum nuptias celebrarunt. Ferunt vtique Leucos, id eſt, ardeolas in ipſa habitare. Eſſe autem has aquatiles, ac mare ipſum olentes, quas ſibi miniſtras Achillem feciſſe aiunt: Lucum ipſius cùm pennarum ſpiritu, tum earundem aſpergine exornantes. Hoc autem humi volantes, paululúmque ſupra terram ſuſ-

A γήρυσιν ἱμέρου σώματος, ὦτα εὑρόντες. πεπρωμένης δὲ αὐτοῖς ἐς τὸ ἀθάνατον τῆς διαίτης, οὐδεμιᾶς οὔσης τῶν ὑπὸ Ἰλίῳ Ἐχινάδων τε τῶν κατ᾽ Οἰνιάδα τε, καὶ Ἀκαρνανίαν ἤδη μεμιασμένων, ὅτε δὴ Ἀλκμαίων ἀποκτείνας τὴν μητέρα, τὰς ἐκβολὰς τοῦ Ἀχελῴου ᾤκησεν, ἐν γῇ νεωτέρᾳ τοῦ ἔργου, ἱκετεύει τὸν Ποσειδῶ ἡ Θέτις ἀναδοῦναί τινα ἐκ τῆς θαλάττης νῆσον, ἐν ᾗ οἰκήσουσιν. ὁ δὲ, ἐν-

B θυμηθεὶς τὸ μῆκος τοῦ Πόντου, καὶ ὅτι νήσου μηδεμιᾶς ἐν αὐτῷ κειμένης, ἄπλωτος πλεῖται, τὴν Λευκὴν νῆσον, ὁπόσην εἶπον ἀνέφηνεν Ἀχιλλεῖ μὲν, καὶ Ἑλένῃ οἰκεῖν, ναύταις δὲ ἵστασθαι ἐν τῷ πελάγει ἐγκαθορμίζεσθαι. ξυμπάσης δὴ ἄρχων, ὁπόση ὑγρὰ οὐσία, καὶ τοὺς ποταμοὺς ἐννοήσας, τὸν Θερμώδοντα, καὶ τὸν

C Βορυσθένη, καὶ τὸν Ἴστρον, ὡς ἀμηχάνοις τε, καὶ ἀενάοις ῥεύμασιν ἐς τὸν Πόντον ἐκφέρονται, προύχωσε τὴν ἰλὺν τῶν ποταμῶν, ἣν ἀπὸ Σκυθῶν ἀρξάμενοι σύρουσιν ἐς τὸ πέλαγος· νῆσον δὲ ὁπόσην εἶπον, ἀπετόρνευσε, συστησάμενος αὐτὴν ἐν τῷ πυθμένι τοῦ Πόντου. ἐνταῦθα εἶδον τὸ πρῶτον, καὶ περιέβαλον ἀλ-

D λήλους Ἀχιλλεύς τε, καὶ Ἑλένη. καὶ γάμον ἐδαίσαντο σφῶν, Ποσειδῶν τε αὐτὸς, καὶ Ἀμφιτρίτη, Νηρηΐδες τε ξύμπασαι, καὶ ὁπόσοι ποταμοὶ καὶ δαίμονες, ἔρχονται τὴν Μαιῶτιν τε, καὶ τὸν Πόντον. οἰκεῖν μὲν δὴ λευκοὺς ὄρνιθας ἐν αὐτῇ φασίν· εἶναι δὲ τούτους ὑγρούς τε, καὶ τῆς θαλάττης ἀπόζοντας. οὓς τὸν Ἀχιλλέα θεράποντας ἑαυτοῦ πεποιῆσθαι, κοσμοῦντας αὐτῷ τὸ ἄλσος τῷ τε ἀνέμῳ τῶν πτερῶν, καὶ ταῖς ἀπ᾽ αὐτῶν ῥανίσι. πράττειν δὲ τοῦτο χαμαὶ πετομένους, καὶ μικρὸν τῆς γῆς

ὑπεραίροντας. ἀνθρώποις δὲ πλέουσι μὲν τὸ τοῦ πελάγους χάσμα, ὁσία ἡ νῆσος ἐσβαίνειν. κεῖται γὰρ ὥσπερ ἀξένος νεῶν ἑστία. οἶκον δὲ μὴ ποιεῖσθαι αὐτὴν πᾶσί τε ἀπείρηται τοῖς πλέουσι, καὶ τοῖς περὶ τὸν Πόντον Ἕλλησί τε, καὶ Βαρβάροις. δεῖ γὰρ προσορμισαμένους τε, καὶ θύσαντας ἡλίου δυομένου, ἐσβαίνειν μὲν ἐννυχεύοντας τῇ γῇ. κἂν μὲν τὸ πνεῦμα ἔπηται, πλεῖν. εἰ δὲ μή, ἀναψαμένους τὸ πλοῖον ἐν κοίλῳ ἀναπαύεσθαι. ξυμπίνειν γὰρ δὴ λέγονται τότε ὁ Ἀχιλλεύς τε, καὶ ἡ Ἑλένη καὶ ἐν ᾠδαῖς εἶναι, τόν ἔρωτά τε τὸν ἀλλήλων ᾄδειν, καὶ Ὁμήρου τὰ ἔπη, τὰ ἐπὶ τῇ Τροίᾳ, καὶ τὸν Ὅμηρον αὐτόν. τὸ γὰρ τῆς ποιητικῆς δῶρον, ὃ παρὰ τῆς Καλλιόπης τῷ Ἀχιλλεῖ ἐφοίτησεν, ἐπαινεῖ ὁ Ἀχιλλεὺς ἔτι, καὶ σπουδάζει μᾶλλον, ἐπειδὴ πέπαυται τῶν πολεμικῶν. τὸ γοῦν ᾆσμα τὸ ἐπὶ τῷ Ὁμήρῳ, θείως αὐτό, ξένε, καὶ ποιητικῶς ξύγκειται. καὶ γὰρ ἐκεῖνο γινώσκει τε, καὶ ᾄδει ὁ Πρωτεσίλεως. Φοι. ἐμοὶ δ' ἂν γένοιτο, Ἀμπελουργέ, ἀκοῦσαι τοῦ ᾄσματος· ἢ οὐ θέμις ἐκφέρειν αὐτό; Αμ. καὶ μὴν πολλοὶ μέν, ξένε, τῶν προσελθόντων τῇ νήσῳ, καὶ ἄλλα τοῦ Ἀχιλλέως ᾄδοντος ἀκούειν φασί. τουτὶ δὲ πέρυσιν οἶμαι τὸ ᾆσμα ἡρμόσατο χαριέστατα τῆς γνώμης, καὶ τῆς διανοίας ἔχον. ξύγκειται δὲ ὧδε.

Ἀχὼ περὶ μυρίον ὕδωρ,
Μεγάλου ναίοισα πλευρὰ Πόντου,
Ψάλλει σε λύρα διὰ χερὸς ἐμᾶς.
Σὺ δέ, θεῖον Ὅμηρον ἀεῖδέ μοι,
Κλέος ἀνδρῶν, κλέος ἁμετέρων πόνων.
Δι' ὃν οὐκ *ἔθανον· δι' ὃν ἐστί μοι
Πάτροκλος. δι' ὃν ἀθανάτοις ἴσος

A penſas, facere dicunt. Sed hominibus pelagi hiatum nauigantibus ſancta occurrit inſula. Sita eſt enim vtpote hoſpitalis nauium domus. Ceterùm, ne ſibi ipſam domicilium faciant, tam omnibus nauigantibus, quàm Græcis ac Barbaris circa Pontum exiſtentibus eſt interdictum. Oportet enim vt qui inſulæ appulſi ſint, ac ſacrificauerint, occidente Sole in ipſam deſcendant: ita tamen vt non in terra pernoctent, & ſi ventus ſequatur, B nauigent: alioqui, ſuſpenſa naui in cauo quieſcant. Tunc enim Achilles atque Helene conuiuari dicuntur, & in cantibus verſari, mutuúmque amorem canere, necnon & Homeri carmina de Troia compoſita, ipſúmque Homerum cantu celebrare. Poëtices enim donum à Calliope ſibi traditum laudat adhuc Achilles, eíque poſt rei bellicæ vacationem magis incumbit. Cantus igitur, quo in Homeri lau- C dem vtitur, diuinitus, ô hoſpes, ab ipſo ac poëticè compoſitum eſt. Illum enim & nouit, & canit Proteſilaus. *Phœnix.* Licétne mihi (ô Vinitor) cantum audire? an ipſum efferre minimè fas eſt? *Vinitor.* Atqui eorum quàm plurimi (ô hoſpes) qui inſulam adeunt, & alia canente Achille audire aiunt. hunccine verò ſuperiore anno concinnauit cantum, qui elegantiſſimis conſtat ſententiis? Sic autem compo- D ſitum eſt:

Echo immenſas quæ circum vndas
Colis inſani latera Ponti,
Manibus noſtris te lyra cantat:
Tu mihi diuum refer Homerum,
Grande hominũ decus atq; laboris
Gloria noſtri: per quem haud perij:
Per quem mihi Patroclus adeſt:

A *Per quem par eſt diis meus Aiax:*
Per quē inuicta & celebrata bonis
Laudatur, non cecidit Troia.

Phœnix. Mirum in modum Achilles (ô Vinitor) & pro ſua Homeríque dignitate, & alioqui in lyricis carminibus ſapientiæ adſcribitur, ipſa non producere, miniméque prolixa componerè. Ab antiquo igitur probata ac ſapiens erat poëſis? B *Vinitor*. Ab antiquo, hoſpes. Herculem enim ferunt cùm Aſboli centauri corpus cruci affixiſſet, hoc ipſi inſcripſiſſe Epigramma:

Asbolus haud hominum metuens
vocémve deorum,
Multicoma picea ſuſpenſus ab
arbore pingui,
Cœna iacens hic longæuis magna
hæreo cornis.

C *Phœnix*. Horum quoque athleta fuit Hercules (o Vinitor) magniloquentiam approbans, qua poëta loqui conſtat. Sed ad inſulam reuertamur. Fluxus enim nos excipiens, cuiuſmodi circa Pontum voluttantur, ab orationis ſerie abduxit. *Vinitor*. Redeamus, ô hoſpes. Cantus enim in ipſa tales, vox præterea canentibus clara erat ac diuina. Tanta igitur in pelagus penetrabat, D vt præ admiratione horrorem nautis incuteret. Aiunt autem qui inſulæ appelluntur, haud ſecus equorum ſtrepitum, armorúmque ſonitum, vocémque exaudire, atque in bello fieri ſolet. Quòd ſi quis aduerſus eum portum ſpiraturus eſt ventus, quem ad auſtrales, ſiue boreales inſulæ partes nautæ ſubierint, ad puppim edicit Achilles, iubétque vt mutato portu ven-

A Αἴας ἐμός. δι' ὃν ἀδορίληπτος
Ἀειδομένα σοφοῖς, κλέος ἥρωσι,
Κοὐ πέσε Τροία.

Φοι. δαιμονίως γε ὁ Ἀχιλλεὺς, Ἀμπελουργὲ, καὶ ἐπαξίως ἑαυτοῦ τε, καὶ τοῦ Ὁμήρου. καὶ ἄλλως, σοφὸν ἐν τοῖς λυρικοῖς ᾄσμασι, τὸ μὴ ἀποκτείνειν αὐτὰ, μηδὲ σχοινοτενῆ ἐργάζεσθαι. καὶ ἐκ παλαιοῦ ἄρα, εὐδόκιμόν τε, καὶ σοφὸν ἦν ποίησις. B Αμ. ἐκ παλαιοῦ, ξένε. καὶ γὰρ τὸν Ἡρακλέα φασὶν ἀνασταυρώσαντα τὸ τοῦ κενταύρου σῶμα, ἐπιγράψαι αὐτῷ τόδε τὸ ἐπίγραμμα.

Ἄσβολος οὔτε θεῶν ἀζόμενος ὄπιν, οὔτ'
ἀνθρώπων, (κατὰ πεύκης,
Ὀξυκόμοιο κρεμαστὸς ἀπ' εὐλιπέος
Ἔσκημαι μέγα δεῖπνον ἀμαζοβίοις
κορώνῃσιν.

C Φοι. ἀθλητὴς γε καὶ τούτων ὁ Ἡρακλῆς ἐγένετο, μεγαληγορίαν ἐπαινῶν, Ἀμπελουργέ. παρ' ἧς δήλη που τὴν ποιητὴν φθέγγεσθαι. ἀλλ' ἐπανίωμεν ἐπὶ τὴν νῆσον. ῥεῦμα γὰρ δὴ ὑπολαβὸν ἡμᾶς, οἷα πολλὰ περὶ τὸν Πόντον εἰλεῖται, παρέπλαγξε τοῦ λόγου. Αμ. ἐπανίωμεν ὦ ξένε. τὰ μὲν γὰρ ᾄσματα ἐν αὐτῇ τοιαῦτα. καὶ ἡ φωνὴ δὲ, ἣν ᾄδουσιν, θεία τε ἠχεῖ, καὶ λαμπρά. διήκει γοῦν τοσαύτη ἐς τὸ πέλαγος, D ὡς φρίκην ἐνίστασθαι τοῖς ναύταις ὑπὸ ἐκπλήξεως. φασὶ δ' οἱ προσορμισάμενοι, καὶ κτύπου ἀκούειν ἵππων, καὶ ἤχου ὅπλων, καὶ βοῆς, οἷα ἐν πολέμῳ ἀναφθέγγονται. εἰ δ' ὁρμισαμένων εἰς τὰ βόρεια, ἢ ἐς τὰ νότια τῆς νήσου, μέλλοι τις ἄνεμος ἐναντίος τῷ ὅρμῳ ἐκπνεῖν, κηρύττει ὁ Ἀχιλλεὺς κατὰ πρύμναν τοῦτο, καὶ κελεύει μεθορμισάμενος,

ἐκστῆναι τῷ ἀνέμῳ. πολλοὶ δὲ καὶ τῶν ἐκπλεόντων τοῦ Πόντου προσπλέουσί τέ μοι, καὶ ἀπαγγέλλουσι ταῦτα. καὶ νὴ Δί᾽ ὡς ἐπειδὰν προΐδωσι τὴν νῆσον, ἅτε ἐν ἀπείρῳ πελάγει ἐμφερόμενοι, περιβάλλουσί τε ἀλλήλους, καὶ εἰς δάκρυα ὑφ᾽ ἡδονῆς ἔρχονται. καταπλεύσαντες δέ, καὶ τὴν γῆν ἀσπασάμενοι βαδίζουσιν ἐπὶ τὸ ἱερόν, προσευξόμενοί τε τῷ Ἀχιλλεῖ, καὶ θύσοντες. τὸ δὲ ἱερεῖον, αὐτόματον τῷ βωμῷ προσέστηκε κατὰ τὴν ναῦν τε, καὶ τοὺς ἐμπλέοντας. τὸ μὲν δὴ περὶ τὴν κάλπιν τὴν χρυσῆν τὴν ἐν Χίῳ ποτὲ τῇ νήσῳ φανεῖσαν, εἴρηται, ξένε, σοφοῖς ἀνδράσι. καὶ τί ἂν τις τῶν ἀριδήλως εἰρημένων, αὖθις ἅπτοιτο; ἐμπόρῳ δὲ λέγεταί ποτε θαμίζοντι ἐς τὴν νῆσον, φαίνεσθαι μὲν ὁ Ἀχιλλεὺς αὐτῷ, διηγεῖσθαι δὲ τὰ ἐν Τροίᾳ. ξενῆσαι δ᾽ αὐτὸν καὶ ποτῷ, κελεῦσαί τε ἐκπλεύσαντα ἐς Ἴλιον, ἀναγαγεῖν οἱ κόρην Τρῳάδα, τὴν δεῖνα εἰπών, δουλεύουσαν τῷ δεῖνι ἐν Ἰλίῳ. θαυμάσαντος δὲ τοῦ ξένου τὸν λόγον, καὶ διὰ τὸ θαρσεῖν ἤδη ἐρομένου αὐτόν, τί δέοιτο δούλης Ἰλιάδος, ὅτι, ἔφη, ξένε, γέγονεν ὅθεν περ Ἕκτωρ, καὶ οἱ πρὸ αὐτοῦ δύω. λοιπὴ δ᾽ ἐστὶ τοῦ Πριαμιδῶν τε, καὶ Δαρδανιδῶν αἵματος. ὁ μὲν δὴ ἔμπορος, ἐρᾶν τὸν Ἀχιλλέα ᾤετο. καὶ πριάμενος τὴν κόρην, ἐς τὴν νῆσον ἀνέπλευσεν. ὁ δὲ Ἀχιλλεὺς ἐπαινέσας αὐτὸν ἥκοντα, τὴν μέν, προσέταξε φυλάττειν αὐτῷ ἐν τῇ νηΐ. δεῖ γάρ, οἶμαι, τὸ μὴ ἐσβατὴν εἶναι γυναιξὶ τὴν νῆσον. αὐτὸν δὲ ἑσπέρας ἥκειν ἐς τὸ ἱερόν, καὶ εὐωχεῖσθαι μετ᾽ αὐτοῦ τε, καὶ Ἑλένης. ἀφικομένου δέ, πολλὰ μὲν χρήματα ἔδωκεν, ὡς ἥττους ἔμποροι. ξένον δὲ αὐτὸν ποιεῖσθαι ἔφη. διδόναι

A to cedant. Multi autem ex Ponto nauigantes ad me veniunt, mihíque hæc referunt: & per Iouem, quòd cùm primùm inſulam proſpexerint, vt per immenſum delati mare, ſe inuicem amplectuntur, & præ voluptate ad lachrymas deueniunt. Cum autem adnauigauerint, inſulámq. ſalutauerint, ad templū Achilli ſupplicaturi, ſacrificaturíque proficiſcuntur. Hoſtia autem aræ pro nauis ac nauigantium dignitate adſtat. Quod ad vrnam quidem auream pertinet, B quæ quandoque in Chio inſula apparuit, à ſapientibus dictum eſt (hoſpes) viris. & cur quæ planè dicta ſunt, rurſus quiſpiam dicat? Mercatori verò inſulam frequentanti apparuiſſe: quæque ad Troiam geſta ſunt, narraſſe dicitur Achilles, potione autem excepiſſe, præcepiſſéque, vt puellam Troianam, talem addens, Ilij tali ſeruientem ſibi reduceret. C Admirante autem orationem hoſpite, & quòd iam confideret ipſum percunctante, quid ſibi ſerua opus eſſet Troiana: Quoniam (inquit hoſpes) vnde Hector, atque eius maiores, nata eſt. Nam de Priamidarum, ac Dardanidarum ſanguine reliqua eſt. Mercator quidem amore captum Achillem arbitrabatur. Empta itaque D puella in inſulam rediit. Achilles verò, cùm ipſum ad ſe profectum laudaſſet, vt hanc in naui ſibi cuſtodiret, imperauit. Oportet enim (puto) inacceſſam eſſe mulieribus inſulam, ſe autem veſperi ad templum profectum, cum Achille atque Helene fuiſſe epulatum dicit. Multas præterea ſibi diſcedenti pecunias dediſſe, quibus mercatores capiuntur, hoſpitémque feciſſe ait, & vt merx efficax

eſſet, nauíſque bellè nauigaret, A concessiſſe. Poſtea verò quàm illuxit dies, Hæc (inquit) habens nauiga, puellam verò mihi in littore relinque. Nondum à terra ſtadium aberant, & puellæ luctus ad ipſos peruenit; ipſam differente, ac membratim diſcerpente Achille. Amazones autem, quas poëtarum nonnulli ad Troiam veniſſe, & cum Achille pugnaſſe ferunt, haudquaquam interfecit in Troia Achilles. Neque enim noui quo pacto credendum ſit, Amazones vt Ilio ſuccurrerent poſtea veniſſe, cùm Priamus pro Phrygibus aduerſus ipſas Mygdonis tempeſtate bellum geſſiſſet. Sed (vt puto) circa Olympiadem, qua in ſtadio Rhodius Leonidas ſuperior fuit, ipſarum Achilles robur, in ipſa (inquit) inſula profligauit. *Phœnix.* Magnam attigiſti, Vinitor, orationem, meáſque excitaſti aures, alioqui etiam ad tuum arrectas ſermonem. Hæc autem tibi ab ipſo veniſſe Proteſilao par eſt. *Vinitor.* Ab hoc, hoſpes, frugi præceptore. Hæc autem multis in Pontum nauigãtibus nota ſunt. Nam circa inhoſpitale Ponti latus, qua Taurici tenduntur montes, quædam eam dicuntur habitare continentem Amazones, quam Thermodon ac Phaſis de montibus exeuntes amplectuntur: quas pater, & ipſarum ſator Mars ita inſtituit, vt in bellicis verſentur, vitámque armatam atque equeſtrem degant. Equi autem in paludibus paſcantur, qui exercitui ſatis ſint, & ſuam quidem regionem viris minimè incolẽdam præbeant. Ipſæ verò, cùm liberis egent, ad Alym fluuium deſcen-

τὸ πλοῖον τὴν ἐμπορείαν ἐνεργὸν, καὶ τὴν ναῦν εὐπλοεῖν. ἐπεὶ δὲ ἡμέρα ἐγένετο, σὺ μὲν πλεῖ, ἔφη, ταῦτ᾽ ἔχων, τὴν κόρην δέ ἐπὶ τοῦ αἰγιαλοῦ λίπε μοι. οὔπω στάδιον ἀπεῖχον τῆς γῆς, καὶ οἰμωγὴ προσέβαλεν αὐτοῖς τῆς κόρης, διασπωμένης αὐτὴν τοῦ Ἀχιλλέως, καὶ μελεϊστὶ ξαίνοντος. Ἀμαζόνας δὲ, ἃς ἔνιοι τῶν ποιητῶν ἐλθεῖν φασιν ἐς Τροίαν Ἀχιλλεῖ μαχομένας, οὐκ ἀπέκτεινεν ὁ Ἀ- B χιλλεὺς ἐν Τροίᾳ. πιθανὸν γὰρ οὐκ οἶδ᾽ ὅπως Πριάμου πολεμήσαντος αὐταῖς ὑπὲρ Φρυγῶν κατὰ Μυγδόνα, ξυμμάχους Ἀμαζόνας ὕστερον ἐλθεῖν Ἰλίῳ. ἀλλ᾽ οἶμαι κατὰ τὴν Ὀλυμπιάδα, ἣν τὸ πρῶτον ἐνίκα στάδιον Λεωνίδας ὁ Ῥόδιος, ἀπώλεσεν αὐτὰς ὁ Ἀχιλλεὺς τὸ μαχιμώτατον ἐν αὐτῇ φησι τῇ νήσῳ. Φο. μεγάλου, Ἀμπελουργὲ, ἥψω λόγου. C καὶ τὰ ὦτά μοι ἤγειρας, καὶ ἄλλως ἑστηκότα πρὸς τοὺς σοὺς λόγους. ἥκειν δέ σοι καὶ ταῦτα εἰκὸς παρὰ τοῦ Πρωτεσίλεω. Αμ. παρὰ τούτου, ξένε, τοῦ χρηστοῦ διδασκάλου. πολλοῖς δὲ καὶ τῶν ἐς Πόντον ἐσπεπλευκότων δῆλα δὴ ταῦτα. κατὰ γὰρ τὴν ἄξενον τοῦ Πόντου πλευρὰν, ἧ τὰ ὄρη τὰ Ταυρικὰ τέταται, λέγονται τινὲς οἰκεῖν Ἀμαζόνες. ἣν Θερμώδων τε, καὶ Φᾶσις ἐξερχόμενοι τῶν ὀρῶν, περιβάλ- D λουσιν ἤπειρον, ἃς ὁ πατὴρ τε καὶ φυτουργὸς αὐτῶν Ἄρης, ἐπαίδευσεν ἐν ὁμιλίᾳ τῶν πολεμικῶν εἶναι, καὶ ζῆν ἐνοπλόν τε, καὶ ἔφιππον βίον. βουκολεῖσθαι δὲ αὐταῖς ἵππους ἐν τοῖς ἕλεσιν, ἀποχρώσας τῷ στρατῷ. ἀνδράσι μὲν δὴ ἐνομιλεῖν, οὐ παρέχειν σφᾶς τὴν ἑαυτῶν χώραν. αὐτὰς δ᾽ ἐπειδὰν δέωνται τέκνων, κατιούσας ἐπὶ ποταμὸν Ἅλυν, ἀγοράζειν τε,

καὶ ξυγγίνεσθαι τοῖς ἀνδράσιν ἔνθα ἔτυχεν. ἀπελθούσας τε ἐς ἤθη, καὶ οἴκους, ἃ μὲν ἂν τίκωσιν ἄρρενα, φέρειν ἐπὶ τὰ ὅρια τῆς χώρας, ὅπως ἀνέλοιντο αὐτὰ οἱ φύσαντες. τοὺς δὲ, ἀναιρεῖσθαι τὸν ὧν ἕκαστος ἔτυχε, καὶ ποιεῖσθαι δούλους. ἃ δ᾽ ἂν ἀποτέκωσι θήλεα, φιλεῖν τε ἤδη λέγονται, καὶ ὁμόφυλα ἡγεῖσθαι. θεραπεύειν τε ἣ φύσις μητέρων, πλὴν τοῦ ἐπισχεῖν γάλα. τουτὶ δὲ πεποίηνται διὰ τὰς μάχας, ὡς μήτε αὐτὰ θηλύνοιντο, μήτε τοὺς μαζοὺς ἀποκρεμοῖντο. τὸ μὲν δὴ ὄνομα ταῖς Ἀμαζόσιν, ἐκ τοῦ μὴ μαζῷ τρέφεσθαι κεῖσθαι ἡγώμεθα. τρέφουσι δὲ τὰ βρέφη γάλακτι τῶν φορβάδων ἵππων, καὶ δρόσου κηρίοις, ἣ μέλιτος δίκην ἐπὶ τοὺς δόνακας τῶν ποταμῶν ἱζάνει. τὰ δὲ ποιηταῖς τε, καὶ μυθολόγοις περὶ τῶν Ἀμαζόνων τούτων εἰρημένα, παραιτησώμεθα τοῦ λόγου. προσφορά γὰρ οὐκ ἂν τῇ παρούσῃ σπουδῇ γένοιντο. τὸ δὲ περὶ τὴν νῆσον ἔργον, ὁποῖόν τι αὐταῖς ἐπράχθη, καὶ ἐς ὅ,τι ἐτελεύτησε, λεγέσθω μᾶλλον, ἐπειδὴ τῶν τοῦ Πρωτεσίλεω λόγων ἐστίν. ἐπὶ νεῶν πλειόνων ποτὲ ναυπηγοὶ, τῶν ἐς Ἑλλήσποντον ἀπαγαγόντων ἐκ τοῦ Πόντου ὤνια, κατηνέχθησαν ἐς τὴν ἀριστερὰν τοῦ πελάγους ὄχθην, περὶ ἣν αἱ γυναῖκας οἰκεῖν λέγονται. ληφθέντες δ᾽ ὑπ᾽ αὐτῶν, χρόνον μέν τινα ἐδέδεντο σιτούμενοι πρὸς φάτναις, ἵνα ἀποδῶνται σφᾶς ὑπὲρ τὸν ποταμὸν ἄξουσαι τοῖς ἀνδροφάγοις Σκύθαις. ἐπεὶ δὲ μειράκιον ξὺν αὐταῖς ληφθὲν, μία τῶν Ἀμαζόνων ἐπὶ τῇ ὥρᾳ ἠλέησε, καί τις ἔρως ἐκ τούτου ἐγένετο, παραιτεῖται τὴν δυναστεύουσαν, ἀδελφὴν οὖσαν, μὴ ἀποδόσθαι τοὺς ξένους. λυθέντες δὲ, &

A dentes cum viris vbi contigerit, coeant: profectæque ad ſedes ac domos ſuas, quos quidem mares pepererint, ad regionis fines genitoribus tollendos ferant: quas verò fœminas pepererint, diligant, ac ſuam eſſe prolem arbitrentur. Et præterquàm quòd lac non præbent (vt mos eſt matribus) inſeruiant. Id autem propter pugnas faciunt, vt neque ipſas effœminatas reddant, neque mammæ ſuſpendan-
B tur. Nomen autem Amazonibus, quòd mamma nimirum non alantur, inditum eſſe exiſtimauerim. Alunt autem infantes cùm equino lacte, tum roris fauis, qui in modum mellis fluuiorum calamis inſidet. Quæ verò à poëtis ac fabularum ſectatoribus de ipſis Amazonibus literarum monimentis mandata ſunt, ea à ſermone abdicemus. Neque enim præſenti conferrent ſtudio. Cæterùm quale illud ipſarum circa inſulam facinus fuerit, quorſúmque euaſerit, po-
C tius dicatur: quandoquidem ex Proteſilai eſt ſermonibus. Nauibus quandoque pluribus ſtructores nauium, ex iis qui venalia in Helleſpontum ex Ponto vehunt, in pelagi ſiniſtrum delati ſunt litus, circa quod mulieres habitare dicuntur. Ab ipſis autem capti, ad præſepia aliquandiu quidem vincti alebantur, vt ipſos fluuium traii-
D ciẽtes Scythis anthropophagis venderent. Poſtquàm verò adoleſcentulum cum ipſis captum, Amazonum vna ob pulchritudinem miſerata eſt: atque ex hoc amor eſt quidam exortus, ne hoſpites venderet, reginam ſibi ſororem exiſtentem exorat. Soluti autem, & cum

cum illis verſati, iam illarum more loquebantur. & cùm tempeſtatem, quæq; in mari ſunt, memorarent, in templi mentionem inciderunt, cùm haud diu eſſet quòd ad inſulam nauigaſſent, diuitiáſque in eo exiſtentes percurrerunt. Hæ autem, hoſpites ſibi lucro apponentes, quòd & nautæ, & nauium fabri eſſent, cùm & alioqui ſibi ad ſtruendas naues apta eſſet regio, ad vectandos equos naues ſtruunt, vt equitatu Achillem ſuperaturæ. Pedites enim Amazones, & fœmineum ſunt genus, & planè mulieres. Remigium tamen tunc primùm attigere, ac nauigationē exercuere. Poſteà verò quàm nauigandi peritiam ſunt conſecutæ, à Thermodontis oſtio, verno cùm ſoluiſſent tempore, quinquaginta (vt puto) nauibus ad templum ſtadiorum maximè duobus millibus diſtans peruenere. Ad inſulam itaque appulſæ, omnium primùm Helleſpontiis hoſpitibus, vt arbores, quibus in orbem templum exornabatur, exciderent, imperarunt. Poſtea verò quàm ſecures in ipſos repercuſſæ, partim quidem in caput, partim verò in ceruicem rediere, omnéſque iuxta arbores cecidere, clamitantes Amazones, equáſque agitantes templo infuſæ ſunt. Toruè autem atque horrendum in ipſas cùm reſpexiſſet Achilles, & haud ſecus atque in Scamandrum & Ilium inſurrexiſſet, terrorem freno longè validiorem equabus incuſſit: præ quo alienum ac ſuperfluum ſibi onus mulieres ratæ, reſiliere, & ad ferarum mores defecere, & in iacentes ac proſtratas irruentes Amazones vngulis innitebantur, iubáſque horrebant, & vt leonum ferociſſimi,

A πρὸς αὐτὰς συγκραθέντες, ἐφθέγγοντο ἤδη τὸν ἐκείνων τρόπον. τόν τε χειμῶνα, καὶ τὰ ἐν τῇ θαλάττῃ διηγούμενοι, περιῆλθον ἐς μνήμην τοῦ ἱεροῦ, προσπεπλευκότες οὐ πάλαι τῇ νήσῳ, καὶ διῄεσαν τὸν ἐν αὐτῷ πλοῦτον, αἱ δ' εὕρημα ποιησάμεναι τοὺς ξένους, ἐπειδὴ ναῦταί τε ἦσαν καὶ νεῶν τέκτονες, ὕλης καὶ ἄλλως ναυπηγησίμου σφίσι τῆς χώρας, ποιοῦνται ναῦς τὸν ἱππαγωγὸν τρόπον, ὡς τὸν Ἀχιλλέα
B ἀΐσσουσαι ταῖς* ἵπποις. καταβᾶσαι γὰρ τῶν ἵππων Ἀμαζόνες, θῆλύ τέ εἰσι γένος, καὶ ἀτεχνῶς γυναῖκες, εἰρεσίας μὲν δὴ πρότερον ἥψαντο, καὶ πλεῖν ἐμελέτησαν. ὡς δ' ἐπιστήμην τοῦ πλεῖν συνεξήξαντο, ἄρασαι περὶ ἔαρ ἀπὸ τῶν ἐκβολῶν τοῦ Θερμώδοντος, ἀφῆκαν ἐς τὸ ἱερὸν, σταδίους μάλιστα δισχιλίους ἐπὶ νεῶν οἶμαι πεντήκοντα. καὶ προσορμισάμεναι
C τῇ νήσῳ, πρῶτον μὲν ἐκέλευσαν τοὺς Ἑλλησποντίους ξένους ἐκκόπτειν τὰ δένδρα, οἷς κεκόσμηται κύκλῳ τὸ ἱερόν. ἐπεὶ δὲ οἱ πελέκεις ἐς αὐτοὺς ἀνακοπέντες, τοῖς μὲν, ἐς κεφαλὴν ἐχώρησαν, τοῖς δ' ἐς αὐχένα, πάντες τε πρὸς τοῖς δένδροις ἔπεσον, ἐπεχύθησαν αἱ Ἀμαζόνες τῷ ἱερῷ, βοῶσαί τε, καὶ τοὺς ἵππους ἐλαύνουσαι. ὁ δὲ, θερμόν τε, καὶ δεινὸν ἐς
D αὐτὰς ἰδὼν καὶ πηδήσας οἷον ἐπὶ Σκαμάνδρῳ τε, καὶ Ἰλίῳ, φόβον μὲν χαλινοῦ κρείττω τοῖς ἵπποις προσέβαλεν, ὑφ' ἧς ἀνεσκίρτησαν, ἀλλότριόν τε, καὶ περιττὸν ἄχθος ἡγούμεναι τὰς γυναῖκας. ἐς δὲ θηρίων ἤδη μετέστησαν. καὶ κειμέναις ἐμπεσοῦσαι ταῖς Ἀμαζόσι, τάς τε ὁπλὰς ἐνήρειδον, καὶ τὰς χαίτας ἔφριττον, καὶ τὰ ὦτα ἐπ' αὐτὰς ἵστασαν,

* κ. τῶν ἵπ.

καθάπερ τῶν λεόντων οἱ ὠμοί. κειμένων τε, καὶ γυμνὰς ὠλένας ἤσθιον, καὶ τὰ στέρνα ῥηγνῦσαι, προσέκειντο τοῖς σπλάγχνοις, καὶ ἐλάφυσσον. ἐμφορηθεῖσαι δὲ ἀνθρωπείου βρώσεως, ἐκρόαινον περὶ τὴν νῆσον, καὶ ἐμαίνοντο, μεσταὶ λύθρου. στᾶσαι δὲ ἐπὶ τῶν ἀκρωτηρίων, καὶ τὰ νῶτα τοῦ πελάγους ἰδοῦσαι, πεδίον τε ᾤοντο ἐντετυχηκέναι, καὶ κατὰ τῆς θαλάττης ἑαυτὰς ἧκαν. ἀπώλοντο δὲ καὶ αἱ νῆες τῶν Ἀμαζόνων, ἀνέμου σφοδροῦ ἐς αὐτὰς πνεύσαντος. ἅτε γὰρ κεναὶ, καὶ οὐδενὶ κόσμῳ ὡρμισμέναι, προσέπιπτον ἀλλήλαις, καὶ ξυνηράττοντο. ναῦς τε ὥσπερ ἐν ναυμαχίᾳ κατέδυε ναῦν, καὶ ἀνέρρηγνυ. καὶ ὁπόσας ἐγκαρσίους τε, καὶ ἀντιπρώρους ἐμβολὰς ποιοῦνται κυβερνῆται ναύμαχοι, πᾶσαι ξυνέπεσον ἐν ναυσὶ κεναῖς, καὶ οὐκ ἐκ προνοίας πλεούσαις. πολλῶν δὲ ναυαγίων τῷ ἱερῷ προσενεχθέντων, καὶ ἀνθρώπων ἐν αὐτῷ κειμένων, ἡμιβρώτων, καὶ ἐμπνεόντων ἔτι, μελῶν τε ἀνθρωπείων διεσπαρμένων, καὶ σαρκῶν, ἃς διέπτυσαν αἱ ἵπποι, κάθαρσιν ὁ Ἀχιλλεὺς ποιεῖται τῇ νήσῳ ῥᾳδίαν. κορυφὴν γὰρ τοῦ Πόντου ἐπανασπασάμενος, ἀπένιψέ τε, καὶ ἀπέκλυσε ταῦτα. Φο. ὅς τις, ἀμπελουργὲ, μὴ θεοφιλῆ σε ἡγεῖται, σφόδρα αὐτὸς ἀπήχθηται τοῖς θεοῖς. τὸ γὰρ τοιούτοις τε, καὶ θείοις λόγοις εἰδέναι οὕτω, παρ' ἐκείνων σοι ἥκειν οἶμαι, οἳ καὶ τῷ Πρωτεσίλεῳ φίλον τέ σε, καὶ ἐπιτήδειον ἐποίησαν. ἀλλ' ἐπεὶ τῶν ἡρωϊκῶν ἡμᾶς λόγων ἐμπέπληκας, τὸ μὲν ὅπως αὐτὸς ἀναβεβίωκεν, οὐκέτ' ἂν ἐροίμην, ἐπειδὴ βεβήλῳ τε, καὶ ἀπορρήτῳ φὴς αὐτὸν χρῆσθαι τούτῳ τῷ λόγῳ. τοὺς δὲ κωκυτούς τε, καὶ πυριφλεγέθοντας, καὶ τὴν ἀ-

A aures in ipſas arrigebant. Iacétiúmque & nudas vlnas deuorabant, & pectora ſcindentes viſceribus inhærebant, atque abſorbebant. Humano autem exaturatæ cibo per inſulam curſitabant, cruoréque repletæ inſaniebant. In promontoriis autem ſtantes, pelagíque dorſa conſpicientes, campum ſe offendiſſe arbitratæ, ſe in mare præcipites dedere. Amazonum quoque naues vehementi in ipſas ſpirante vento periere. B Nam vt pote inanes, nullóque appulſæ ordine inter ſe concidebant ac collinebantur, nauíſque vt in bello nauali nauim immergebat atque infringebat. Et quoſcunque in nauali prœlio aut rectos aut obliquos gubernatores impetus faciunt, omnes in naues inanes, nullóque conſilio rectas incidere. Multis autem naufragiis ad templum delatis, & hominibus ſemieſis, atque adhuc ſpirantibus, in ipſo iacentibus, membríſque humanis, ac carnibus quæ æquè C expuerant, diſperſis, facilem Achilles inſulæ facit expiationem. Nam cùm Ponti verticem euelliſſet, hæc abſterſit, atque abluit. *Phœnix.* Quicunque, ô Vinitor, te haud eſſe Diis gratum arbitratur, is vehementer à Diis odio habetur. Nam quod tales, támque diuinos teneas ſermones, id tibi ab ijs proficiſci exiſtimo, qui te Pro- D teſilao amicum ac familiarem reddidere. Ceterùm poſtquam Heroicis nos expleuiſti ſermonibus, quo pacto ipſe quidem reuixerit, non vtique rurſus percunctarer, quandoquidem hoc ipſum vti ſermone profano, atq. arcano aſſeris. Cocytos verò, & Pyriphlegetontes, & A-

cheruſiam , huiuſmodíſque fluminum ac paludum nomina , & per Iouem Æacos , horúmque iudicia ac fora tu fortaſſe nunciabis, & ipſe narrare permittit. *Vinitor*. Permittit quidem. Verùm iam adeſt veſpera , bouéſque quietem quærunt. Iugales enim vides , quod vt ſoluantur , iam tempus ſit venire, & me eos admittere oportet : & oratio tempore eſt prolixior. Nunc igitur ad nauim lætus vade , quæcunq. noſter fert hortus habens. Et ſi veſter, ac ſecundus, fuerit ventus, nauiga hoſpes, cùm prius de naui Proteſilao libaueris. hoc enim hinc ſoluentes facere conſueuere. Quod ſi aduerſus fuerit ventus , huc Sole oriente reuertere, & quæ cupis conſequeris. *Phœnix*. Tibi morem gero , Vinitor ; & ita erit. Vtinam non prius , ô Neptune , nauigem : quàm hunc quoque ſermonem audiuero.

A χερουσιάδα, καὶ τὰ τοιαῦτα τῶν ποταμῶν τε, καὶ τῶν λιμνῶν ὀνόματα, καὶ νὴ Δία τοὺς Αἰακοὺς, καὶ τὰ τούτων δικαστήρια, καὶ δικαιωτήρια, αὐτὸς μὲν ἴσως ἀπαγγελεῖς, καὶ ξυγχωρεῖ διηγεῖσθαι. Αμ. ξυγχωρεῖ μὲν, ἑσπέρα δὲ ἤδη, καὶ βοῦς πρὸς ἀναπαύλῃ. τὰ γὰρ * ζευγάρια ὁρᾷς ὡς ἐκ βουλυτοῦ ἥκει, καὶ χρή με αὐτὰ ὑποδέξασθαι, καὶ ὁ λόγος πλείων τοῦ καιροῦ. νῦν μὲν οὖν ἐπὶ τὴν ναῦν χαίρων ἴθι, πάντα ἔχων, ὁπόσα ὁ κῆπος φέρει. κἂν μὲν τὸ πνεῦμα ὑμέτερον ᾖ, πλεῖ ξένε, σπείσας ἀπὸ τῆς νεὼς τῷ Πρωτεσίλεῳ. τουτὶ γὰρ τοὺς ἐνθένδε λύοντας νενόμισται πράττειν. εἰ δὲ ἐναντίον εἴη τὸ πνεῦμα, χώρει δεῦρο ἅμα ἡλίῳ ἀνίσχοντι, καὶ τεύξῃ ὧν βούλει. Φοι. πείθομαί σοι, Ἀμπελουργὲ, καὶ οὕτως ἔσται. πλεύσαιμι δὲ μήπω Πόσειδον, πρὶν ἢ καὶ τοῦδε ἀκροάσασθαι τοῦ λόγου. B

* γρ. ζω.

ΦΛ. ΦΙΛΟΣΤΡΑΤΟΥ ΕΙΚΟΝΕΣ.

ΠΡΟΟΙΜΙΟΝ. ΕΛΛΑΔΙΑ.

FLAVII PHILOSTRATI IMAGINES;

Eodem Stephano Nigro Interprete.

EXORDIVM. HELLADIA.

A ὍΣτις μὴ ἀσπάζεται τὴν ζωγραφίαν, ἀδικεῖ τὴν ἀλήθειαν, ἀδικεῖ δὲ καὶ σοφίαν, ὁπόση ἐς ποιητὰς ἥκει. φορὰ γὰρ ἴση ἀμφοῖν ἐς τὰ τῶν ἡρώων εἴδη, καὶ ἔργα, ξυμμετρίαν τε οὐκ ἐπαινεῖ, δι' ἣν καὶ λόγου ἡ τέχνη ἅπτεται. καὶ βουλομένῳ μὲν σοφίζεσθαι, θεῶν τὸ εὕρημα, διά τε τὰ ἐν γῇ B εἴδη, ὁπόσα τοὺς λειμῶνας αἱ ὧραι γράφουσι, διά τε τὰ ἐν οὐρανῷ φαινόμενα. βασανίζοντι δὲ τὴν γένεσιν τῆς τέχνης, μίμησις μὲν, εὕρημα πρεσβύτατον, καὶ ξυγγενέστατον τῇ φύσει. εὗρον δὲ αὐτὴν σοφοὶ ἄνδρες, τὸ μὲν, ζωγραφίαν, τὸ δὲ, πλαστικὴν φήσαντες. καὶ πλαστικῆς C μὲν, πολλὰ εἴδη· καὶ γὰρ αὐτὸ τὸ πλάττειν, καὶ ἡ ἐν τῷ χαλκῷ μίμησις, καὶ οἱ ξέοντες τὴν λυγδίνην, ἢ τὴν παρίαν λίθον, καὶ ὁ ἐλέφας, καὶ νὴ Δία ἡ γλυφική, πλαστική. ζωγραφία δὲ, συμβέβληται μὲν ἐκ χρωμάτων, πράττει δὲ οὐ

QVICVNQVE picturâ minimè amplectitur, non modò veritatem, verùm & eam, quæ ad poëtas pertinet, iniuria afficit ſapientiam. Eadem enim eſt vtriſque ad Heroum tam ſpecies quàm geſta intentio. Symmetriam præterea contemnit, per quam ars ipſa rationem attingit: & ſi quis Sophiſtarum more loqui voluerit, Deorum eſt inuentum, cùm ob ſpecies, quibus in terra horæ* prata pingunt, tum vel maximè quæ in cœlo apparent. Perſcrutanti autem ipſius artis ortum, imitatio vtique eſt, vetuſtiſſimum inuentum, naturæque cognatum. Ipſam autem ſapientes excogitarunt viri, partim picturam, partim plaſticen appellantes, & plaſtices quidem multæ ſpecies. Nam & fingere, & quæ in ære fit imitatio, & lygdinem, pariúmve lapidem, atque ebur polire, & per Iouem ſculptura ipſa plaſtice eſt. At pictura coloribus quidem conſtat, ſed non hoc ſolum

* anni tē-peſtates.

efficit. Iterùm ab hoc ſane vno exiſtente, longe plura, quàm ars alia ex multis molitur. Vmbram enim demonſtrat, & alium furentis, alium mœrentis, aut gaudentis aſpectum nouit; oculorúmque fulgores qualeſcunque fuerint; quid plaſticus quiſpiam minimè præſtaret: Nam & fuluum, ceſiúmque, ac nigrum nouit oculum, necnon & comam flauam ruffámque ac ſubcandidam, veſtiúmque atque armorum colorem: thalamos præterea ac domos, nemoráque, & montes, ac fontes, & in quo hæc ſunt, ætherem. Quicunque autem ad huiuſce ſcientiæ culmen peruenerint, quótque ciuitates ac reges ſtudio ipſam proſecuti fuerint, cùm ab aliis, tum ab Ariſtodemo ex Caria oriundo literarum monimentis mandatum eſt, quem ego picturæ cauſa *quadriennium* hoſpitatus ſum. Pingebat enim ad Eumeli ſapientiam, multam ipſi addens venerem. Sed noſtra hæc oratio non de pictoribus eſt, atque ipſorum hiſtoria: verùm picturæ ſpecies pollicemur, meditationes iuuenibus ipſas componentes. vnde & interpretabuntur, & quod exactum ac probatum eſt, curabunt. huiuſce autem ſermonis hæ cauſæ fuere. Erat quidem apud Neapolitanos hoc meum certamen. Ciuitas autē in Italia condita, Græci generis, atque vrbani. vnde & orationis ſtudio Græcanici ſunt. Mihi autem meditationes in propatulo minimè facere volenti, adoleſcentes hoſpitis domum frequentantes perturbationem, ac moleſtiam præbebant. Diuertebam itaque extra mœnia in ſuburbio ad mare vergente, in quo porticus quædam ad Fauonium ventum extructa erat, quatuor (puto) vel

A τοῦτο μόνον, ἀλλὰ καὶ πλείω σοφίζεται· ἀπὸ τούτου γε ἑνὸς ὄντος, ἢ ἀπὸ τῶν πολλῶν ἕτερα τεχνίσκια. τὴν γὰρ ἀποφαίνει, καὶ βλέμμα γινώσκει, ἄλλο μὲν τοῦ μεμηνότος, ἄλλο δὲ, τοῦ ἀλγοῦντος, ἢ τοῦ χαίροντος· καὶ αὐγὰς ὀμμάτων, ὁποῖαί εἰσιν, ὁ πλαστικὸς μέν τις, ἥκιστα *ἐργάζεται. χαροπὸν δὲ ὄμμα, καὶ γλαυκὸν, καὶ μέλαν, γραφικὴ οἶδε. καὶ ξανθὴν κόμην οἶδε, καὶ πυρσὴν, καὶ ἡλιῶσαν, καὶ ἐσθῆτος χρῶμα, καὶ ὅπλων. B θαλάμους τε, καὶ οἰκίας, καὶ ἄλση, καὶ ὄρη, καὶ πηγὰς, καὶ τὸν αἰθέρα, ἐν ᾧ ταῦτα. ὅσοι μὲν οὖν κράτος ἤραντο τῆς ἐπιστήμης, καὶ ὅσαι πόλεις, καὶ ὅσοι βασιλεῖς ἔρωτι ἐς αὐτὴν ἐχρήσαντο, ἄλλοις τε εἴρηται, καὶ Ἀριστοδήμῳ τῷ ἐκ Καρίας· ὃν ἐγὼ ἐπὶ ζωγραφίᾳ ξένον ἐποιησάμην ἐτῶν τεσσάρων. ἔγραφε δὲ κατὰ τὴν Εὐμήλου σοφίαν, πολύ τε ἐπίχαρι ἐς αὐτὴν φέρων. C ὁ λόγος δὲ, οὐ περὶ ζωγράφων, οὐδ' ἱστορίας αὐτῶν νῦν, ἀλλ' εἴδη ζωγραφίας ἀπαγγέλλομεν, ὁμιλίας αὐτὰ τοῖς νέοις συνθέντες, ἀφ' ὧν ἑρμηνεύσουσί τε, καὶ τοῦ δοκίμου ἐπιμελήσονται. ἀφορμαὶ δὲ ἐμοὶ τουτωνὶ τῶν λόγων αἵδε ἐγένοντο. ἦν μὲν ὁ ἀγὼν παρὰ τοῖς Νεαπολίταις· ἡ δὲ πόλις, ἐν Ἰταλίᾳ ᾤκισται, γένος, Ἕλληνες, καὶ ἀστυκοὶ· ὅθεν καὶ τὰς σπου- D δὰς τῶν λόγων Ἑλληνικοί εἰσι. βουλομένῳ δέ μοι τὰς μελέτας μὴ ἐν τῷ φανερῷ ποιεῖσθαι, παρεῖχον ὄχλον τὰ μειράκια, φοιτῶντα ἐπὶ τὴν οἰκίαν τοῦ ξένου. κατηλυόμην δὲ ἔξω τοῦ τείχους, ἐν προαστείῳ, τετραμμένῳ πρὸς θάλασσαν. ἐν ᾧ στοά τις ἐξῳκοδόμητο κατὰ ζέφυρον ἄνεμον, ἐπὶ τεττάρων οἶμαι, ἢ

ὑπεραίροντας. ἀνθρώποις δὲ πλέουσι μὲν τὸ τοῦ πελάγους χάσμα, ὁσία ἡ νῆσος ἐσβαίνειν. κεῖται γὰρ ὥσπερ ἀξένος νεῶν ἑστία. οἶκον δὲ μὴ ποιεῖσθαι αὐτὴν πᾶσί τε ἀπείρηται τοῖς πλέουσι, καὶ τοῖς περὶ τὸν Πόντον Ἕλλησί τε, καὶ Βαρβάροις. δεῖ γὰρ προσορμισαμένους τε, καὶ θύσαντας ἡλίου δυομένου, ἐσβαίνειν μὲν ἐννυχεύοντας τῇ γῇ. κἂν μὲν τὸ πνεῦμα ἐπίῃ, πλεῖν. εἰ δὲ μή, ἀνασπασαμένους τὸ πλοῖον ἐν κοίλῳ ἀναπαύεσθαι. ξυμπίνειν γὰρ δὴ λέγονται τότε ὁ Ἀχιλλεύς τε, καὶ ἡ Ἑλένη καὶ ἐν ᾠδαῖς εἶναι, τόν ἔρωτά τε τὸν ἀλλήλων ᾄδειν, καὶ Ὁμήρου τὰ ἔπη, τὰ ἐπὶ τῇ Τροίᾳ, καὶ τὸν Ὅμηρον αὐτόν. τὸ γὰρ τῆς ποιητικῆς δῶρον, ὃ παρὰ τῆς Καλλιόπης τῷ Ἀχιλλεῖ ἐφοίτησεν, ἐπαινεῖ ὁ Ἀχιλλεὺς ἔτι, καὶ σπουδάζει μᾶλλον, ἐπειδὴ πέπαυται τῶν πολεμικῶν. τὸ γοῦν ᾆσμα τὸ ἐπὶ τῷ Ὁμήρῳ, θείως αὐτῷ, ξένε, καὶ ποιητικῶς ξύγκειται. καὶ γὰρ ἐκεῖνο γινώσκει τε, καὶ ᾄδει ὁ Πρωτεσίλεως. Φοι. ἐμοὶ δ' ἂν γένοιτο, Ἀμπελουργέ, ἀκοῦσαι τοῦ ᾄσματος· ἢ οὐ θέμις ἐκφέρειν αὐτό; Αμ. καὶ μὴν πολλοὶ μέν, ξένε, τῶν προσελθόντων τῇ νήσῳ, καὶ ἄλλα τοῦ Ἀχιλλέως ᾄδοντος ἀκούειν φασί. τουτὶ δὲ πέρυσιν οἶμαι τὸ ᾆσμα ἡρμόσατο χαριέστατα τῆς γνώμης, καὶ τῆς διανοίας ἔχον. ξύγκειται δὲ ὧδε.

Ἀχὼ περὶ μυρίον ὕδωρ,
Μεγάλου ναίοισα πλευρὰ Πόντου,
Ψάλλει σε λύρα διὰ χειρὸς ἐμᾶς.
Σὺ δὲ, θεῖον Ὅμηρον ἄειδέ μοι,
Κλέος ἀνδρῶν, κλέος ἀμετέρων πόνων.
Δι' ὃν οὐκ *ἔθανον· δι' ὃν ἔστι μοι
Πάτροκλος. δι' ὃν ἀθανάτοις ἴσος

A penſas, facere dicunt. Sed hominibus pelagi hiatum nauigantibus ſancta occurrit inſula. Sita eſt enim vtpote hoſpitalis nauium domus. Ceterùm, ne ſibi ipſam domicilium faciant, tam omnibus nauigantibus, quàm Græcis ac Barbaris circa Pontum exiſtentibus eſt interdictum. Oportet enim vt qui inſulæ appulſi ſint, ac ſacrificauerint, occidente Sole in ipſam deſcendant: ita tamen vt non in terra pernoctent, & ſi ventus ſequatur, B nauigent: alioqui, ſuſpenſa naui in cauo quieſcant. Tunc enim Achilles atque Helene conuiuari dicuntur, & in cantibus verſari, mutuúmque amorem canere, necnon & Homeri carmina de Troia compoſita, ipſúmque Homerum cantu celebrare. Poëtices enim donum à Calliope ſibi traditum laudat adhuc Achilles, eíque poſt rei bellicæ vacationem magis incumbit. Cantus igitur, quo in Homeri lau- C dem vtitur, diuinitus, ô hoſpes, ab ipſo ac poëticè compoſitum eſt. Illum enim & nouit, & canit Proteſilaus. *Phœnix.* Licétne mihi (ô Vinitor) cantum audire? an ipſum efferre minimè fas eſt? *Vinitor.* Atqui eorum quàm plurimi (ô hoſpes) qui inſulam adeunt, & alia canente Achille audire aiunt. hunccine verò ſuperiore anno concinnauit cantum, qui elegantiſſimis conſtat ſententiis? Sic autem compo- D ſitum eſt:

Echo immenſas quæ circum vndas
Colis inſani latera Ponti,
Manibus noſtris te lyra cantat:
Tu mihi diuum refer Homerum,
Grande hominũ decus atq; laboris
Gloria noſtri: per quem haud perij:
Per quem mihi Patroclus adeſt:

A *Per quem par eſt diis meus Aiax:*
Per quẽ inuicta & celebrata bonis
Laudatur, non cecidit Troia.

Phœnix. Mirum in modum Achilles (ô Vinitor) & pro ſua Homeríque dignitate, & alioqui in lyricis carminibus ſapientiæ adſcribitur, ipſa non producere, miniméque prolixa componere. Ab antiquo igitur probata ac ſapiens erat poëſis? *Vinitor*. Ab antiquo, hoſpes. B Herculem enim ferunt cùm Aſboli centauri corpus cruci affixiſſet, hoc ipſi inſcripſiſſe Epigramma:

Asbolus haud hominum metuens
vocémve deorum,
Multicoma picea ſuſpenſus ab
arbore pingui,
Cœna iacens hic longæuis magna
hæreo cornis.

C *Phœnix*. Horum quoque athleta fuit Hercules (o Vinitor) magniloquentiam approbans, qua poëta loqui conſtat. Sed ad inſulam reuertamur. Fluxus enim nos excipiens, cuiuſmodi circa Pontum voluuntur, ab orationis ſerie abduxit. *Vinitor*. Redeamus, ô hoſpes. Cantus enim in ipſa tales, vox prætereà canentibus clara erat ac diuina. Tanta igitur in pelagus penetrabat, vt præ admiratione horro- D rem nautis incuteret. Aiunt autem qui inſulæ appelluntur, haud ſecus equorum ſtrepitum, armorúmque ſonitum, vocémque exaudire, atque in bello fieri ſolet. Quòd ſi quis aduerſus eum portum ſpiraturus eſt ventus, quem ad auſtrales, ſiue boreales inſulæ partes nautæ ſubierint, ad puppim edicit Achilles, iubétque vt mutato portu ven-

A Αἴας ἐμός. δι' ὃν ἀδδείλητος
Ἀειδομένα σοφοῖς, κλέος ἤρατο,
Κοὐ πέσε Τροία.

Φοῖ. δαιμονίως γε ὁ Ἀχιλλεύς, Ἀμπελουργέ, καὶ ἐπαξίως ἑαυτοῦ τε, καὶ τοῦ Ὁμήρου. καὶ ἄλλως, σοφὸν ἐν τοῖς λυρικοῖς ἄσμασι, τὸ μὴ ἀποκτείνειν αὐτά, μηδὲ χοινοτενῆ ἐργάζεσθαι. καὶ ἐκ παλαιοῦ ἄρα, εὐδόκιμόν τε, καὶ σοφὸν ἦν ἡ B ποίησις. Αμ. ἐκ παλαιοῦ, ξένε. καὶ γὰρ τὸν Ἡρακλέα φασὶν ἀνασταυρώσαντα τὸ τοῦ κενταύρου σῶμα, ἐπιγράψαι αὐτῷ τόδε τὸ ἐπίγραμμα.

Ἄσβολος οὔτε θεῶν ζημίων ὄπιν, οὔτ'
ἀνθρώπων, (κατὰ πεύκης,
Ὀξυκόμοιο κρέμαστος ἀπ' εὐλιπέος
Εἵκειμαι μέγα δεῖπνον ἀμεζοβίοις
κοράκεσιν.

Φοῖ. ἀθλητὴς γε καὶ τούτων ὁ Ἡρακλῆς C ἐγένετο, μεγαληγορίαν ἐπαινῶν, Ἀμπελουργέ. παρ' ἧς δήλη που τὴν ποιητικὴν φθέγγεσθαι. ἀλλ' ἐπανίωμεν ἐπὶ τὴν νῆσον. ῥεῦμα γὰρ δὴ ὑπολαβὼν ἡμᾶς, οἷα πολλὰ περὶ τὸν Πόντον εἱλεῖται, παρέπλαγξε τοῦ λόγου. Αμ. ἐπανίωμεν ὦ ξένε. τὰ μὲν γὰρ ἄσματα ἐν αὐτῇ τοιαῦτα. καὶ ἡ φωνὴ δέ, ἣν ᾄδουσιν, θεία τε ἠχεῖ, καὶ λαμπρά. διήκει γοῦν το- D σαύτη ἐς τὸ πέλαγος, ὡς φρίκην ἀνίστασθαι τοῖς ναύταις ὑπὸ ἐκπλήξεως. φασὶ δ' οἱ προσορμισάμενοι, καὶ κτύπου ἀκούειν ἵππων, καὶ ἤχου ὅπλων, καὶ βοῆς, οἷον ἐν πολέμῳ ἀναφθέγγονται. εἰ δ' ὁρμισαμένων εἰς τὰ βόρεια, ἢ ἐς τὰ νότια τῆς νήσου, μέλλοι τις ἄνεμος ἐναντίος τῷ ὅρμῳ ἐκπνεῖν, κηρύττει ὁ Ἀχιλλεὺς κατὰ πρύμναν τοῦτο, καὶ ἐκβαίνει μεθορμισάμενος,

ἐκστῆναι τῷ ἀνέμῳ. πολλοὶ δὲ καὶ τῶν ἐκπλεόντων τοῦ Πόντου προσπλέουσί τέ μοι, καὶ ἀπαγγέλλουσι ταῦτα. καὶ νὴ Δί' ὡς ὁπόταν προΐδωσι τὴν νῆσον, ἅτε ἐκ ἀπείρῳ πελάγει ἐμφερόμενοι, περιβάλλουσί τε ἀλλήλους, καὶ εἰς δάκρυα ὑφ' ἡδονῆς ἔρχονται. καταπλεύσαντες δὲ, καὶ τὴν γῆν ἀσπασάμενοι βαδίζουσιν ἐπὶ τὸ ἱερὸν, προσευξόμενοί τε τῷ Ἀχιλλεῖ, καὶ θύσοντες. τὸ δὲ ἱερεῖον, αὐτόματον τῷ βωμῷ προσέστηκει κατὰ τὴν ναῦν τε, καὶ τοὺς ἐμπλέοντας. τὸ μὲν δὴ περὶ τὴν κάλπιν τὴν χρυσῆν τὴν ἐν Χίῳ ποτὲ τῇ νήσῳ φανεῖσαν, εἴρηται, ξένε, σοφοῖς ἀνδράσι. καὶ τί ἄν τις ὑπερδήλως εἰρημένων, αὖθις ἄποιτο; ἐμπόρῳ δὲ λέγεταί ποτε θαμίζοντι ἐς τὴν νῆσον, φαίνεσθαι μὲν ὁ Ἀχιλλεὺς αὐτῷ, διηγεῖσθαι δὲ τὰ ἐν Τροίᾳ. ξενίσαι δ' αὐτὸν καὶ ποτῷ, κελεῦσαί τε ἐκπλεύσαντα ἐς Ἴλιον, ἀναγαγεῖν οἱ κόρην Τρῳάδα, τὴν δεῖνα εἰπὼν, δουλεύουσαν τῷ δεῖνι ἐν Ἰλίῳ. θαυμάσαντος δὲ τοῦ ξένου τὸν λόγον, καὶ διὰ τὸ θαρσεῖν ἤδη ἐρομένου αὐτὸν, τί δέοιτο δούλης Ἰλιάδος, ὅτι, ἔφη, ξένε, γέγονεν ὅθεν ὁ Ἕκτωρ, καὶ οἱ πρὸ αὐτοῦ δύο. λοιπὴ δέ ἐστι τοῦ Πριαμιδῶν τε, καὶ Δαρδανιδῶν αἵματος. ὁ μὲν δὴ ἔμπορος, ἐρᾶν τὸν Ἀχιλλέα ᾤετο. καὶ πριάμενος τὴν κόρην, ἐς τὴν νῆσον ἀνέπλευσεν. ὁ δὲ Ἀχιλλεὺς ἐπαινέσας αὐτὸν ἥκοντα, τὴν μὲν, προσέταξε φυλάττειν αὐτῷ ἐν τῇ νηΐ. δεῖ γὰρ οἶμαι τὸ μὴ ἐσβατὸν εἶναι γυναιξὶ τὴν νῆσον. αὐτὸν δὲ ἑσπέρας ἥκειν ἐς τὸ ἱερὸν, καὶ εὐωχεῖσθαι μετ' αὐτοῦ τε, καὶ Ἑλένης. ἀφικομένου δὲ, πολλὰ μὲν χρήματα ἔδωκεν, ὡς ἥττους ἔμποροι. ξένον δὲ αὐτὸν ποιεῖσθαι ἔφη. διδόναι

A to cedant. Multi autem ex Ponto nauigantes ad me ueniunt, mihíque hæc referunt: & per Iouem, quòd cùm primùm inſulam proſpexerint, vt per immenſum delati mare, ſe inuicem amplectuntur, & præ voluptate ad lachrymas deueniunt. Cum autem adnauigauerint, inſulámq; ſalutauerint, ad templũ Achilli ſupplicaturi, ſacrificaturíque proficiſcuntur. Hoſtia autem aræ pro nauis ac nauigantium dignitate adſtat. Quod ad vrnam quidem au-
B ream pertinet, quæ quandoque in Chio inſula apparuit, à ſapientibus dictum eſt (hoſpes) viris. & cur quæ planè dicta ſunt, rurſus quiſpiam dicat? Mercatori verò inſulam frequentanti apparuiſſe: quæque ad Troiam geſta ſunt, narraſſe dicitur Achilles, potione autem excepiſſe, præcepiſſéque, vt puellam Troianam, talem addens, Ilij tali ſeruien-
C tem ſibi reduceret. Admirante autem orationem hoſpite, & quòd iam confideret ipſum percunctante, quid ſibi ſerua opus eſſet Troiana: Quoniam (inquit hoſpes) vnde Hector, atque eius maiores, nata eſt. Nam de Priamidarum, ac Dardanidarum ſanguine reliqua eſt. Mercator quidem amore captum Achillem arbitrabatur. Empta ita-
D que puella in inſulam rediit. Achilles verò, cùm ipſum ad ſe profectum laudaſſet, vt hanc in naui ſibi cuſtodiret, imperauit. Oportet enim (puto) inacceſſam eſſe mulieribus inſulam, ſe autem veſperi ad templum profectum, cum Achille atque Helene fuiſſe epulatum dicit. Multas præterea ſibi diſcedenti pecunias dediſſe, quibus mercatores capiuntur, hoſpitémque feciſſe ait, & vt merx efficax

eſſet , nauíſque bellè nauigaret, conceſſiſſe. Poſtea verò quàm illuxit dies , Hæc (inquit) habens nauiga , puellam verò mihi in littore relinque. Nondum à terra ſtadium aberant , & puellæ luctus ad ipſos peruenit ; ipſam differente, ac membratim diſcerpente Achille. Amazones autem , quas poëtarum nonnulli ad Troiam veniſſe , & cum Achille pugnaſſe ferunt , haudquaquam interfecit in Troia Achilles. Neque enim noui quo pacto credendum ſit, Amazones vt Ilio ſuccurrerent poſtea veniſſe, cùm Priamus pro Phrygibus aduerſus ipſas Mygdonis tempeſtate bellum geſſiſſet. Sed (vt puto) circa Olympiadem , qua in ſtadio Rhodius Leonidas ſuperior fuit, ipſarum Achilles robur, in ipſa (inquit) inſula profligauit. *Phœnix*. Magnam attigiſti, Vinitor, orationem , meáſque excitaſti aures , alioqui etiam ad tuum arrectas ſermonem. Hæc autem tibi ab ipſo veniſſe Proteſilao par eſt. *Vinitor*. Ab hoc, hoſpes, frugi præceptore. Hæc autem multis in Pontum nauigãtibus nota ſunt. Nam circa inhoſpitale Ponti latus , qua Taurici tenduntur montes, quædam eam dicuntur habitare continentem Amazones, quam Thermodon ac Phaſis de montibus exeuntes amplectuntur: quas pater , & ipſarum ſator Mars ita inſtituit , vt in bellicis verſentur , vitámque armatam atque equeſtrem degant. Equi autem in paludibus paſcantur , qui exercitui ſatis ſint , & ſuam quidem regionem viris minimè incolẽdam præbeant. Ipſæ verò , cùm liberis egent , ad Alym fluuium deſcen-

A τε τὴν ἐμπορείαν ἐνεργὸν, καὶ τὴν ναῦν εὐπλοεῖν. ἐπεὶ δὲ ἡμέρα ἐγένετο, σὺ μὲν πλεῖ, ἔφη, ταῦτ' ἔχων, τὴν κόρην δὲ ἐπὶ τοῦ αἰγιαλοῦ λίπε μοι. οὔπω στάδιον ἀπεῖχον τῆς γῆς, καὶ οἰμωγὴ προσέβαλεν αὐτοῖς τῆς κόρης, διασπωμένης αὐτὴν τοῦ Ἀχιλλέως, καὶ μελεϊστὶ ξαίνοντος. Ἀμαζόνας δὲ, ἃς ἔνιοι τῶν ποιητῶν ἐλθεῖν φασιν ἐς Τροίαν Ἀχιλλεῖ μαχομένας, οὐκ ἀπέκτεινεν ὁ Ἀ-
B χιλλεὺς ἐν Τροίᾳ. πιθανὸν γὰρ οὐκ οἶδα ὅπως Πριάμου πολεμήσαντος αὐταῖς ὑπὲρ Φρυγῶν κατὰ Μυγδόνα, ξυμμάχους Ἀμαζόνας ὕστερον ἐλθεῖν Ἰλίῳ. ἀλλ' οἶμαι κατὰ τὴν Ὀλυμπιάδα, ἣν τὸ πρῶτον ἐνίκα στάδιον Λεωνίδας ὁ Ῥόδιος, ἀπώλεσεν αὐτῶν ὁ Ἀχιλλεὺς τὸ μαχιμώτατον ἐν αὐτῇ φησι τῇ νήσῳ. Φο. μεγάλου, ἀμπελουργὲ, ἥψω λόγου.
C καὶ τὰ ὦτά μοι ἤγειρας, καὶ ἄλλως ἑστηκότα πρὸς τοὺς σοὺς λόγους. ἥκειν δέ σοι καὶ ταῦτα εἰκὸς παρὰ τοῦ Πρωτεσίλεω. Αμ. παρὰ τούτου, ξένε, τοῦ χρηστοῦ διδασκάλου. πολλοῖς δὲ καὶ τῶν ἐς Πόντον ἐσπεπλευκότων δῆλα δὴ ταῦτα. κατὰ γὰρ τὴν ἄξενον τοῦ Πόντου πλευρὰν, ᾗ τὰ ὄρη τὰ Ταυρικὰ τέταται, λέγονταί τινες οἰκεῖν Ἀμαζόνες. ἣν Θερμώδων τε, καὶ Φάσις ἐξερχόμενοι τῶν ὀρῶν, περιβάλ-
D λουσιν ἤπειρον, ἃς ὁ πατὴρ τε καὶ φυτουργὸς αὐτῶν Ἄρης, ἐπαίδευσεν ἐν ὁμιλίᾳ τῶν πολεμικῶν εἶναι, καὶ ζῆν ἐνοπλόν τε, καὶ ἔφιππον βίον. βουκολεῖσθαι δὲ αὐταῖς ἵππον ἐν τοῖς ἕλεσιν, ἀποχρῶσαν τῷ στρατῷ. ἀνδράσι μὲν δὴ ἐνομιλεῖν, οὐ περιέχειν σφᾶς τὴν ἑαυτῶν χώραν. αὐταὶ δὲ ἐπειδὰν δέωνται τέκνων, κατιούσας ἐπὶ ποταμὸν Ἅλυν, ἀγοράζειν τε,

καὶ ξυγγίνεσθαι τοῖς ἀνδράσιν ἔνθα ἔτυχεν. ἀπελθούσας τε ἐς ἤθη, καὶ οἴκους, ἃ μὲν ἂν τέκωσιν ἄρρενα, φέρειν ἐπὶ τὰ ὅρια τῆς χώρας, ὅπως ἀνέλοιντο αὐτὰ οἱ φύσαντες. τοὺς δὲ, ἀναιρεῖσθαι τῶν ὧν ἕκαστος ἔτυχε, καὶ ποιεῖσθαι δούλους. ἃ δ᾽ ἂν ἀποτέκωσι θήλεα, φιλεῖν τε ἤδη λέγονται, καὶ ὁμόφυλα ἡγεῖσθαι. θεραπεύειν τε ἣ φύσις μητέρων, πλὴν τοῦ ἐπισχεῖν γάλα. τουτὶ δὲ πεπόνθασι διὰ τὰς μάχας, ὡς μήτε αὐτὰ θηλύνοιντο, μήτε τοὺς μαζοὺς ἀποκρεμοῖντο. τὸ μὲν δὴ ὄνομα ταῖς Ἀμαζόσιν, ἐκ τοῦ μὴ μαζῷ τρέφεσθαι κεῖσθαι ἡγώμεθα. τρέφουσι δὲ τὰ βρέφη γάλακτι τῶν φορβάδων ἵππων, καὶ δρόσου κηρίοις, ἣ μέλιτος δίκην ἐπὶ τοὺς δόνακας τῶν ποταμῶν ἱζάνει. τὰ δὲ ποιηταῖς τε, καὶ μυθολόγοις περὶ τῶν Ἀμαζόνων τούτων εἰρημένα, παραιτησώμεθα τοῦ λόγου. πρόσφορα γὰρ οὐκ ἂν τῇ παρούσῃ σπουδῇ γένοιντο. τὸ δὲ περὶ τὴν νῆσον ἔργον, ὁποῖόν τι αὐταῖς ἐπράχθη, καὶ ἐς ὅ,τι ἐτελεύτησε, λεγέσθω μᾶλλον, ἐπειδὴ τῶν τοῦ Πρωτεσίλεω λόγων ἐστίν. ἐπὶ νεῶν πλειόνων ποτὲ ναυπηγοὶ, τῶν ἐς Ἑλλήσποντον ἀπαγαγόντων ἐκ τοῦ Πόντου ὤνια, κατηνέχθησαν ἐς τὴν ἀριστερὰν τοῦ πελάγους ὄχθην, περὶ ἣν αἱ γυναῖκες οἰκεῖν λέγονται. ληφθέντες δ᾽ ὑπ᾽ αὐτῶν, χρόνον μέν τινα ἐδέδεντο δεδεμένοι πρὸς φάτναις, ἵνα ἀποδῶνται σφᾶς ὑπὲρ τὸν ποταμὸν ἄγουσαι τοῖς ἀνδροφάγοις Σκύθαις. ἐπεὶ δὲ μειράκιον ξὺν αὐταῖς ληφθὲν, μία τῶν Ἀμαζόνων ἐπὶ τῇ ὥρᾳ ἠλέησε, καί τις ἔρως ἐκ τούτου ἐγένετο, παραιτεῖται τὴν δυναστεύουσαν, ἀδελφὴν οὖσαν, μὴ ἀποδόσθαι τοὺς ξένους. λυθέντες δὲ, &

A dentes cum viris vbi contigerit, coeant: profectæque ad ſedes ac domos ſuas, quos quidem mares pepererint, ad regionis fines genitoribus tollendos ferant: quas verò fœminas pepererint, diligant, ac ſuam eſſe prolem arbitrentur. Et præterquàm quòd lac non præbent (vt mos eſt matribus) inſeruiant. Id autem propter pugnas faciunt, vt neque ipſas effœminatas reddant, neque mammæ ſuſpendan-B tur. Nomen autem Amazonibus, quòd mamma nimirum non alantur, inditum eſſe exiſtimauerim. Alunt autem infantes cùm equino lacte, tum roris fauis, qui in modum mellis fluuiorum calamis inſidet. Quæ verò à poëtis ac fabulatum ſectatoribus de ipſis Amazonibus literarum monimentis mandata ſunt, ea à ſermone abdicemus. Neque enim præſenti conferrent ſtudio. Cæterùm quale illud ipſarum circa inſulam facinus fuerit, quorſúmque euaſerit, po-C tius dicatur: quandoquidem ex Proteſilai eſt ſermonibus. Nauibus quandoque pluribus ſtructores nauium, ex iis qui venalia in Helleſpontum ex Ponto vehunt, in pelagi ſiniſtrum delati ſunt litus, circa quod mulieres habitare dicuntur. Ab ipſis autem capti, ad præſepia aliquandiu quidem vincti alebantur, vt ipſos fluuium traii-D cientes Scythis anthropophagis venderent. Poſtquàm verò adoleſcentulum cum ipſis captum, Amazonum vna ob pulchritudinem miſerata eſt: atque ex hoc amor eſt quidam exortus, ne hoſpites venderet, reginam ſibi ſororem exiſtentem exorat. Soluti autem, & cum

cum illis verſati, iam illarum more loquebantur, & cùm tempeſtatem, quæq; in mari ſunt, memorarent, in templi mentionem inciderunt, cùm haud diu eſſet quòd ad inſulam nauigaſſent, diuitiáſque in eo exiſtentes percurrerunt. Hæ autem, hoſpites ſibi lucro apponentes, quòd & nautæ, & nauium fabri eſſent, cùm & alioqui ſibi ad ſtruendas naues apta eſſet regio, ad vectandos equos naues ſtruunt, vt equitatu Achillem ſuperaturæ. Pedites enim Amazones, & fœmineum ſunt genus, & planè mulieres. Remigium tamen tunc primùm attigere, ac nauigatione exercuere. Poſteà verò quàm nauigandi peritiam ſunt conſecutæ, à Thermodontis oſtio, verno cùm ſoluiſſent tempore, quinquaginta (vt puto) nauibus ad templum ſtadiorum maximè duobus millibus diſtans peruenere. Ad inſulam itaque appulſæ, omnium primùm Helleſpontiis hoſpitibus, vt arbores, quibus in orbem templum exornabatur, exciderent, imperarunt. Poſtea verò quàm ſecures in ipſos repercuſſæ, partim quidem in caput, partim verò in ceruicem redière, omnéſque iuxta arbores cecidere, clamitantes Amazones, equáſque agitantes templo infuſæ ſunt. Toruè autem atque horrendum in ipſas cùm reſpexiſſet Achilles, & haud ſecus atque in Scamandrum & Ilium inſurrexiſſet, terrorem freno longè validiorem equabus incuſſit: præ quo alienum ac ſuperfluum ſibi onus mulieres ratæ, reſilire, & ad ferarum mores defecere, & in iacentes ac proſtratas irruentes Amazones vngulis innitebantur, iubáſque horrebant, & vt leonum ferociſſimi,

A πρὸς αὐτὰς συγκραθέντες, ἐφθέγγοντο ἤδη τὸν ἐκείνων τρόπον. τὸν δὲ χειμῶνα, καὶ τὰ ἐν τῇ θαλάττῃ διηγούμενοι, περιῆλθον ἐς μνήμην τοῦ ἱεροῦ, προσαποπεπλευκότες οὐ πάλαι τῇ νήσῳ, καὶ διῆλθον τὸν ἐν αὐτῷ πλοῦτον. αἱ δ᾽ εὕρημα ποιησάμεναι τοὺς ξένους, ἐπειδὴ ναῦταί τε ἦσαν, καὶ νεῶν τέκτονες, οὔσης καὶ ἄλλως ναυπηγησίμου σφίσι τῆς χώρας, ποιοῦνται ναῦς τὸν ἱππαγωγὸν τρόπον, ὡς τὸν Ἀχιλλέα
B ἐλάσουσαι ταῖς *ἵπποις. καταβᾶσαι γὰρ τῶν ἵππων Ἀμαζόνες, θῆλύ τι εἰσὶ γένος, καὶ ἀτεχνῶς γυναῖκες. εἰρεσίας μὲν δὴ πρῶτον ἥψαντο, καὶ πλεῖν ἐμελέτησαν. ὡς δ᾽ ἐπιστήμην τοῦ πλεῖν συνελέξαντο, ἄρασαι περὶ ἔαρ ἀπὸ τῶν ἐκβολῶν τοῦ Θερμώδοντος, ἀφῆκαν ἐς τὸ ἱερὸν, σταδίοις μάλιστα δισχιλίοις ἐπὶ νεῶν οἶμαι πεντηκοντα. καὶ προσορμισάμεναι
C τῇ νήσῳ, πρῶτον μὲν ἐκέλευσαν τοῖς Ἑλλησποντίοις ξένοις ἐκκόπτειν τὰ δένδρα, οἷς κεκόσμηται κύκλῳ τὸ ἱερὸν. ἐπεὶ δὲ οἱ πελέκεις ἐς αὐτοὺς ἀνακοπέντες, τοῖς μὲν, ἐς κεφαλὴν ἐχώρησαν, τοῖς δ᾽ ἐς αὐχένα, πάντες τε πρὸς τοῖς δένδροις ἔπεσον, ἐπεχύθησαν αἱ Ἀμαζόνες τῷ ἱερῷ, βοῶσαί τε, καὶ τὰς ἵππους ἐλαύνουσαι. ὁ δὲ, θερμόν τε, καὶ δεινὸν ἐς
D αὐτὰς ἰδὼν καὶ πηδήσας οἷον ἐπὶ Σκαμάνδρῳ τε, καὶ Ἰλίῳ, πτοίαν μὲν χαλινοῦ κρείττω ταῖς ἵπποις προσέβαλεν, ὑφ᾽ ἧς ἀνεσκίρτησαν, ἀλλότριόν τε, καὶ περιττὸν ἄχθος ἡγούμεναι τὰς γυναῖκας. ἐς δὲ θηρίων ἤδη μετέστησαν. καὶ κειμέναις ἐμπεσοῦσαι ταῖς Ἀμαζόσι, τάς τε ὁπλὰς ἐνήρειδον, καὶ τὰς χαίτας ἔφριττον, καὶ τὰ ὦτα ἐπ᾽ αὐτὰς ἵστασαν,

καθάπερ τῶν λεόντων οἱ ὠμοί. κειμένων τε, καὶ γυμνὰς ὠλένας ἤσθιον καὶ τὰ στέρνα ῥηγνῦσαι, προσέκειντο τοῖς σπλάγχνοις, καὶ ἐλάφυσσον. ἐμφορηθεῖσαι δὲ αἱ ἀνθρωπείου βρώσεως, ἐπιρρόαινον περὶ τὴν νῆσον, καὶ ἐμαίνοντο, μεσταὶ λύθρου. στᾶσαι δὲ ἐπὶ τῶν ἀκρωτηρίων, καὶ τὰ νῶτα τοῦ πελάγους ἰδοῦσαι, πεδίον τε ᾤοντο ἐντετυχηκέναι, καὶ κατὰ τῆς θαλάττης ἑαυτὰς ἧκαν. ἀπώλοντο δὲ καὶ αἱ νῆες τῶν Ἀμαζόνων, ἀνέμου σφοδροῦ ἐς αὐτὰς πνεύσαντος. ἅτε γὰρ κεναί, καὶ οὐδενὶ κόσμῳ ὡρμισμέναι, προσέπιπτον ἀλλήλαις, καὶ ξυνηράττοντο. ναῦς τε ὥσπερ ἐν ναυμαχίᾳ κατέδυε ναῦν, καὶ ἀνέρρηγνυ. καὶ ὁπόσας ἐγκαρσίους τε, καὶ ἀντιπρώρους ἐμβολὰς ποιοῦνται κυβερνῆται ναύμαχοι, πᾶσαι ξυνέπεσον ἐν ναυσὶ κεναῖς, καὶ οὐκ ἐκ προνοίας πλεούσαις. πολλῶν δὲ ναυαγίων τῷ ἱερῷ προσενεχθέντων, καὶ ἀνθρώπων ἐν αὐτῷ κειμένων, ἡμιβρώτων, καὶ ἐμπνεόντων ἔτι, μελῶν τε ἀνθρωπείων διεσπαρμένων, καὶ σαρκῶν, ἃς διέπτυσαν αἱ ἵπποι, κάθαρσιν ὁ Ἀχιλλεὺς ποιεῖται τῇ νήσῳ ῥᾳδίαν. κορυφὴν γὰρ τοῦ Πόντου ἐπανασεισάμενος, ἀπένιψέ τε, καὶ ἀπέκλυσε ταῦτα. Φο. ὅς τις, Ἀμπελουργὲ μὴ θεοφιλῆ σε ἡγεῖται, σφόδρα αὐτὸς ἀπήχθηται τοῖς θεοῖς. τὸ γὰρ τοιούτους τε, καὶ θείους λόγους εἰδέναι οὕτω, παρ' ἐκείνων σοι ἥκειν οἶμαι, οἳ καὶ τῷ Πρωτεσίλεῳ φίλον τέ σε, καὶ ἐπιτήδειον ἐποίησαν. ἀλλ' ἐπεὶ τῶν ἡρωϊκῶν ἡμᾶς λόγων ἐμπέπληκας, τὸ μὲν ὅπως αὐτὸς ἀναβεβίωκεν, οὐκέτ' ἂν ἐροίμην, ἐπειδὴ βεβήλῳ τε, καὶ ἀπορρήτῳ φὴς αὐτὸν χρῆσθαι τούτῳ τῷ λόγῳ. τοὺς δὲ κωκυτούς τε, καὶ πυριφλεγέθοντας, καὶ τὴν ἀ-

A aures in ipſas arrigebant. Iacetiúmque & nudas vlnas deuorabant, & pectora ſcindentes viſceribus inhærebant, atque abſorbebant. Humano autem exaturatæ cibo per inſulam curſitabant, cruoréque repletæ inſaniebant. In promontoriis autem ſtantes, pelagíque dorſa conſpicientes, campum ſe offendiſſe arbitratæ, ſe in mare præcipites dedere. Amazonum quoque naues vehementi in ipſas ſpirante vento pe- B riere. Nam vt pote inanes, nullóque appulſæ ordine inter ſe concidebant ac collinebantur, nauíſque vt in bello nauali nauim immergebat atque infringebat. Et quoſcunque in nauali prœlio aut rectos aut obliquos gubernatores impetus faciunt, omnes in naues inanes, nullóque conſilio rectas incidere. Multis autem naufragiis ad templum delatis, & hominibus ſemieſis, atque adhuc ſpirantibus, in ipſo iacentibus, membríſque humanis, ac carnibus quæ æquè C expuerant, diſperſis, facilem Achilles inſulæ facit expiationem. Nam cùm Ponti verticem euelliſſet, hæc abſterſit, atque abluit. *Phœnix.* Quicunque, ô Vinitor, te haud eſſe Diis gratum arbitratur, is vehementer à Diis odio habetur. Nam quod tales, támque diuinos teneas ſermones, id tibi ab ijs proficiſci exiſtimo, qui te Pro- D teſilao amicum ac familiarem reddidere. Ceterùm poſtquam Heroicis nos expleuiſti ſermonibus, quo pacto ipſe quidem reuixerit, non vtique rurſus percunctarer, quandoquidem hoc ipſum vti ſermone profano, atq. arcano aſſeris. Cocytos verò, & Pyriphlegetontes, & A-

cheruſiam, huiuſmodíque fluminum ac paludum nomina, & per Iouem Æacos, horúmque iudicia ac fora tu fortaſſe nunciabis, & ipſe narrare permittit. *Vinitor*. Permittit quidem. Verùm iam adeſt veſpera, bouéſque quietem quærunt. Iugales enim vides; quod vt ſoluantur, iam tempus ſit venire, & me eos admittere oportet: & oratio tempore eſt prolixior. Nunc igitur ad nauim lætus vade, quæcunq. noſter fert hortus habens. Et ſi veſter, ac ſecundus, fuerit ventus, nauiga hoſpes, cùm prius de naui Proteſilao libaueris. hoc enim hinc ſoluentes facere conſueuere. Quod ſi aduerſus fuerit ventus, huc Sole oriente reuertere, & quæ cupis conſequeris. *Phœnix*. Tibi morem gero, Vinitor; & ita erit. Vtinam non prius, ô Neptune, nauigem: quàm hunc quoque ſermonem audiuero.

A χεροισιάδα, καὶ τὰ τοιαῦτα τῶν ποταμῶν τε, καὶ τῶν λιμνῶν ὀνόματα, καὶ νὴ Δία τὸν Αἰακοῦ, καὶ τὰ τούτων δικαστήρια, καὶ δικαιωτήρια, αὐτὸς μὲν ἴσως ἀπαγγελεῖς, καὶ ξυγχωρεῖ διηγεῖσθαι. Αμ. ξυγχωρεῖ μὲν, ἑσπέρα δὲ ἤδη, καὶ βοῦς πρὸς ἀναπαύλῃ. τὰ γὰρ * ζευγάρια ὁ- γρ. ναῦ:
ρᾷς ὡς ἐκ βουλυτοῦ ἥκει, καὶ χρή με αὐτὰ ὑποδέξασθαι, καὶ ὁ λόγος πλείων τοῦ
B καιροῦ. νῦν μὲν οὖν ἐπὶ τὴν ναῦν χαίρων ἴθι, πάντα ἔχων, ὁπόσα ὁ κῆπος φέρει. κἂν μὲν τὸ πνεῦμα ὑμέτερον ᾖ, πλεῖ ξένε, σπείσας ἀπὸ τῆς νεὼς τῷ Πρωτεσιλεῳ. τουτὶ γὰρ τοὺς ἐνθένδε λύοντας νενόμισται πράττειν. εἰ δὲ ἐναντίον εἴη τὸ πνεῦμα, χώρει δεῦρο ἅμα ἡλίῳ ἀνίσχοντι, καὶ τεύξῃ ὧν βούλει. Φοι. πείθομαί σοι, Αμπελουργὲ, καὶ οὕτως ἔσται. πλεύσαιμι δὲ μήπω Πόσειδον, πρὶν ἢ καὶ τοῦδε ἀκροάσασθαι τοῦ λόγου.

ΦΛ. ΦΙΛΟΣΤΡΑΤΟΥ ΕΙΚΟΝΕΣ.

ΠΡΟΟΙΜΙΟΝ. ΕΛΛΑΔΙΑ.

FLAVII PHILOSTRATI IMAGINES;

Eodem Stephano Nigro Interprete.

EXORDIVM. HELLADIA.

ΟΣτις μὴ ἀσπάζεται τὴν ζωγραφίαν, ἀδικεῖ τὴν ἀλήθειαν, ἀδικεῖ δὲ καὶ σοφίαν, ὁπόση ἐς ποιητὰς ἥκει. Φορὰ γὰρ ἴση ἀμφοῖν ἐς τὰ τῶν ἡρώων εἴδη, καὶ ἔργα, ξυμμετρίαν τε οὐκ ἐπαινεῖ, δι' ἣν καὶ λόγου ἡ τέχνη ἅπτεται. καὶ βουλομένῳ μὲν σοφίζεσθαι, θεῶν τὸ εὕρημα, διά τε τὰ ἐν γῇ εἴδη, ὁπόσα τοὺς λειμῶνας αἱ ὧραι γράφουσι, διά τε τὰ ἐν οὐρανῷ φαινόμενα. βασανίζοντι δὲ τὴν γένεσιν τῆς τέχνης, μίμησις μὲν, εὕρημα πρεσβύτατον, καὶ ξυγγενέστατον τῇ φύσει. εὗρον δὲ αὐτὴν σοφοὶ ἄνδρες, τὸ μὲν, ζωγραφίαν, τὸ δὲ, πλαστικὴν φήσαντες. καὶ πλαστικῆς μὲν, πολλὰ εἴδη· καὶ γὰρ αὐτὸ τὸ πλάττειν, καὶ ἡ ἐν τῷ χαλκῷ μίμησις, καὶ οἱ ξέοντες τὴν λυγδίνην, ἢ τὴν παρίαν λίθον, καὶ ὁ ἐλέφας, καὶ νὴ Δία ἡ γλυφική, πλαστική. ζωγραφία δὲ, συμβέβληται μὲν ἐκ χρωμάτων, πράττει δὲ οὐ

A QVICVNQVE picturá minimè amplectitur, non modò veritatem, verùm & eam, quæ ad poëtas pertinet, iniuria afficit ſapientiam. Eadem enim eſt vtriſque ad Heroum tam ſpecies quàm geſta intentio. Symmetriam præterea contemnit, per quam ars ipſa rationem attingit: & ſi quis Sophiſtarum more loqui voluerit, Deorum eſt inuentum, cùm ob ſpecies, quibus in terra horæ* prata pingunt, tum vel maximè quæ in cœlo apparent. Perſcrutanti autem ipſius artis ortum, imitatio vtique eſt, vetuſtiſſimum inuentum, naturæque cognatum. Ipſam autem ſapientes excogitarunt viri, partim picturam, partim plaſticen appellantes, & plaſtices quidem multæ ſpecies. Nam & fingere, & quæ in ære fit imitatio, & lygdinem, pariúmve lapidem, atque ebur polire, & per Iouem ſculptura ipſa plaſtice eſt. At pictura coloribus quidem conſtat, ſed non hoc ſolum

*anni tē-peſtates.

efficit. Iterùm ab hoc ſane vno exiſtente, longe plura, quàm ars alia ex multis molitur. Vmbram enim demonſtrat, & alium furentis, alium mœrentis, aut gaudentis aſpectum nouit; oculorúmque fulgores qualeſcunque fuerint; quid plaſticus quiſpiam minimè præſtaret? Nam & fuluum, ceſiúmque, ac nigrum nouit oculum, necnon & comam flauam ruffámque ac ſubcandidam, veſtiúmque atque armorum colorem: thalamos præterea ac domos, nemoráque, & montes, ac fontes, & in quo hæc ſunt, ætherem. Quicunque autem ad huiuſce ſcientiæ culmen peruenerint, quótque ciuitates ac reges ſtudio ipſam proſecuti fuerint, cùm ab aliis, tum ab Ariſtodemo ex Caria oriundo literarum monimentis mandatum eſt, quem ego picturæ cauſa *quadriennium* hoſpitatus ſum. Pingebat enim ad Eumeli ſapientiam, multam ipſi addens venerem. Sed noſtra hæc oratio non de pictoribus eſt, atque ipſorum hiſtoria: verùm picturæ ſpecies pollicemur, meditationes iuuenibus ipſas componentes. vnde & interpretabuntur, & quod exactum ac probatum eſt, curabunt. huiuſce autem ſermonis hæ cauſæ fuere. Erat quidem apud Neapolitanos hoc meum certamen. Ciuitas quæ in Italia condita, Græci generis, atque vrbani. vnde & orationis ſtudio Græcanici ſunt. Mihi autem meditationes in propatulo minimè facere volenti, adoleſcentes hoſpitis domum frequentantes perturbationem, ac moleſtiam præbebant. Diuertebam itaque extra mœnia in ſuburbio ad mare vergente, in quo porticus quædam ad Fauonium ventum exædificata erat, quatuor (puto) vel

A τοῦτο μόνον, ἀλλὰ καὶ πλείω σοφίζεται. ἀπὸ τούτου γε ἑνὸς ὄντος, ἢ ἀπὸ τῶν πολλῶν ἑτέρα τεχνῶν· σκιάν τε γὰρ ἀποφαίνει, καὶ βλέμμα γινώσκει, ἄλλο μὲν, τοῦ μεμηνότος, ἄλλο δὲ, τοῦ ἀλγοῦντος, ἢ τοῦ χαίροντος· καὶ αὐγὰς ὀμμάτων, ὁποῖαί εἰσιν; ὁ πλαστικὸς μέν τις, ἥκιστα * ἐργάζεται. χαροπὸν δὲ ὄμμα, καὶ γλαυκὸν, καὶ μέλαν, γραφικὴ οἶδε: καὶ ξανθὴν κόμην οἶδε, καὶ πυρσὴν, καὶ ἡλιῶσαν, καὶ ἐσθῆτος χρῶμα, καὶ ὅπλων. θαλάμους B τε, καὶ οἰκίας, καὶ ἄλση, καὶ ὄρη, καὶ πηγὰς, καὶ τὸν αἰθέρα, ἐν ᾧ ταῦτα. ὅσοι μὲν οὖν κράτους ἤραντο τῆς ἐπιστήμης, καὶ ὅσαι πόλεις, καὶ ὅσοι βασιλεῖς ἔρωτι ἐς αὐτὴν ἐχρήσαντο, ἄλλοις τε εἴρηται, καὶ Ἀριστοδήμῳ τῷ ἐκ Καρίας· ὃν ἐγὼ ἐπὶ ζωγραφίᾳ ξένον ἐποιησάμην ἐτῶν τεσσάρων. ἔγραφε δὲ κατὰ τὴν Εὐμήλου σοφίαν, πολὺ τὸ ἐπίχαρι ἐς αὐτὴν φέ- C ρων. ὁ λόγος δὲ, οὐ περὶ ζωγράφων, οὐδ' ἱστορίας αὐτῶν νῦν, ἀλλ' εἴδη ζωγραφίας ἀπαγγέλλομεν, ὁμιλίας αὐτὰ τοῖς νέοις συμπήξαντες, ἀφ' ὧν ἑρμηνεύσουσί τε, καὶ τοῦ δοκίμου ἐπιμελήσονται. ἀφορμὴ δὲ ἐμοὶ τουτωνὶ τῶν λόγων αἵδε ἐγένοντο. ἦν μὲν ὁ παρὰ τοῖς Νεαπολίταις ἀγὼν· ἡ δὲ πόλις, ἐν Ἰταλίᾳ ᾤκισται, γένος, Ἕλληνες, καὶ ἀστικοί· ὅθεν καὶ τὰς σπου- D δὰς τῶν λόγων Ἑλληνικοί εἰσι. βουλομένῳ δέ μοι τὰς μελέτας μὴ ἐν τῷ φανερῷ ποιεῖσθαι, παρεῖχον ὄχλον τὰ μειράκια, φοιτῶντα ἐπὶ τὴν οἰκίαν τοῦ ξένου. κατέλυον δὲ ἔξω τοῦ τείχους, ἐν προαστείῳ, τετραμμένῳ πρὸς θάλασσαν. ἐν ᾧ στοά τις ἐξῳκοδόμητο κατὰ ζέφυρον ἄνεμον, ἐπὶ τεττάρων οἶμαι, ἢ

eſſet, nauíſque bellè nauigaret, concesſiſſe. Poſtea verò quàm illuxit dies, Hæc (inquit) habens nauiga, puellam verò mihi in littore relinque. Nondum à terra ſtadium aberant, & puellæ luctus ad ipſos peruenit; ipſam differente, ac membratim diſcerpente Achille. Amazones autem, quas poëtarum nonnulli ad Troiam veniſſe, & cum Achille pugnaſſe ferunt, haudquaquam interfecit in Troia Achilles. Neque enim noui quo pacto credendum ſit, Amazones vt Ilio ſuccurrerent poſtea veniſſe, cùm Priamus pro Phrygibus aduerſus ipſas Mygdonis tempeſtate bellum geſſiſſet. Sed (vt puto) circa Olympiadem, qua in ſtadio Rhodius Leonidas ſuperior fuit, ipſarum Achilles robur, in ipſa (inquit) inſula profligauit. *Phœnix.* Magnam attigiſti, Vinitor, orationem, meáſque excitaſti aures, alioqui etiam ad tuum arrectas ſermonem. Hæc autem tibi ab ipſo veniſſe Proteſilao par eſt. *Vinitor.* Ab hoc, hoſpes, frugi præceptore. Hæc autem multis in Pontum nauigãtibus nota ſunt. Nam circa inhoſpitale Ponti latus, qua Taurici tenduntur montes, quædam eam dicuntur habitare continentem Amazones, quam Thermodon ac Phaſis de montibus exeuntes amplectuntur: quas pater, & ipſarum ſator Mars ita inſtituit, vt in bellicis verſentur, vitámque armatam atque equeſtrem degant. Equi autem in paludibus paſcantur, qui exercitui ſatis ſint, & ſuam quidem regionem viris minimè incolẽdam præbeant. Ipſæ verò, cùm liberis egent, ad Alym fluuium deſcen-

A τι τὴν ἐμπορείαν ἐνεργὸν, καὶ τὴν ναῦν εὔπλοεῖν. ἐπεὶ δὲ ἡμέρα ἐγένετο, σὺ μὲν πλεῖ, ἔφη, ταῦτ᾽ ἔχων, τὴν κόρην δὲ ἐπὶ τοῦ αἰγιαλοῦ λίπε μοι. οὔπω στάδιον ἀπεῖχον τῆς γῆς, καὶ οἰμωγὴ προσέβαλεν αὐτοῖς τῆς κόρης, διασπωμένης αὐτὴν τοῦ Ἀχιλλέως, καὶ μελεϊστὶ ξαίνοντος. Ἀμαζόνας δὲ, ἅς ἔνιοι τῶν ποιητῶν ἐλθεῖν φασιν ἐς Τροίαν Ἀχιλλεῖ μαχομένας, οὐκ ἀπέκτεινεν ὁ Ἀ-
B χιλλεὺς ἐν Τροίᾳ. πιθανὸν γὰρ οὐκ οἶδ᾽ ὅπως Πριάμου πολεμήσαντος αὐταῖς ὑπὲρ Φρυγῶν κατὰ Μυγδόνα, ξυμμάχους Ἀμαζόνας ὕστερον ἐλθεῖν Ἰλίῳ. ἀλλ᾽ οἶμαι κατὰ τὴν Ὀλυμπιάδα, ἣν τὸ πρῶτον ἐνίκα στάδιον Λεωνίδας ὁ Ῥόδιος, ἀπώλεσεν αὐτὰς ὁ Ἀχιλλεὺς τὸ μαχιμώτατον ἐν αὐτῇ φησι τῇ νήσῳ. Φο. μεγάλου, Ἀμπελουργὲ, ἥψω λόγου.
C καὶ τὰ ὦτά μοι ἤγειρας, καὶ ἄλλως ἑστηκότα πρὸς τοὺς σοὺς λόγους. ἥκειν δέ σοι καὶ ταῦτα εἰκὸς παρὰ τοῦ Πρωτεσιλέω. Αμ. παρὰ τούτου, ξένε, τοῦ χρηστοῦ διδασκάλου. πολλοῖς δὲ καὶ τῶν ἐς Πόντον ἐσπεπλευκότων δῆλα δὴ ταῦτα. κατὰ γὰρ τὴν ἄξενον τοῦ Πόντου πλευρὰν, ᾗ τὰ ὄρη τὰ Ταυρικὰ τέταται, λέγονταί τινες οἰκεῖν Ἀμαζόνες. ἣν Θερμώδων τε, καὶ Φᾶσις ἐξερχόμενοι τῶν ὀρῶν, περιβάλ-
D λουσιν ἤπειρον, ἅς ὁ πατὴρ τε καὶ φυτουργὸς αὐτῶν Ἄρης, ἐπαίδευσεν ἐν ὁμιλίᾳ τῶν πολεμικῶν εἶναι, καὶ ζῆν ἐνοπλόν τε, καὶ ἔφιππον βίον. βουκολεῖσθαι δὲ αὐταῖς ἵππον ἐν τοῖς ἕλεσιν, ἀποχρῶσαν τῷ στρατῷ. ἀνδράσι μὲν δὴ ἐνομιλεῖν, οὐ παρέχειν σφᾶς τὴν ἑαυτῶν χώραν. αὐταὶ δ᾽ ἐπειδὰν δέωνται τέκνων, καταπλούσας ἐπὶ ποταμὸν Ἅλυν, ἀγοράζειν τε,

καὶ ξυγγίνεσθαι τοῖς ἀνδράσιν ἔνθα ἔτυχεν. ἀπελθούσας δὲ ἐς ἤθη, καὶ οἴκους, ἃ μὲν ἂν τέκωσιν ἄρρενα, φέρειν ἐπὶ τὰ ὅρια τῆς χώρας, ὅπως ἀνέλοιντο αὐτὰ οἱ φύσαντες. τοὺς δὲ ἀναιρεῖσθαι τῶν ἕκαστος ἔτυχε, καὶ ποιεῖσθαι δούλους. ἃ δ' ἂν ἀποτέκωσι θήλεα, φιλεῖν τε ἤδη λέγονται, καὶ ὁμόφυλα ἡγεῖσθαι. θεραπεύειν τε ἣ φύσις μητέρων, πλὴν τοῦ ἐπισχεῖν γάλα. τουτὶ δὲ πεπόνθασι διὰ τὰς μάχας, ὡς μήτε αὐτὰ θηλύνοιντο, μήτε τοὺς μαζοὺς ἀποκρεμοῖντο. τὸ μὲν δὴ ὄνομα ταῖς Ἀμαζόσιν, ἐκ τοῦ μὴ μαζῷ τρέφεσθαι κεῖσθαι ἡγώμεθα. τρέφουσι δὲ τὰ βρέφη γάλακτί τε φορβάδων ἵππων, καὶ δρόσου κηρίοις, ἣ μέλιτος δίκην ἐπὶ τοὺς δόνακας τῶν ποταμῶν ἵζανει. τὰ δὲ ποιηταῖς τε, καὶ μυθολόγοις περὶ τῶν Ἀμαζόνων τούτων εἰρημένα, παραιτησώμεθα τοῦ λόγου. πρόσφορα γὰρ οὐκ ἂν τῇ παρούσῃ σπουδῇ γένοιντο. τὸ δὲ περὶ τὴν νῆσον ἔργον, ὁποῖόν τι αὐταῖς ἐπράχθη, καὶ ἐς ὅ,τι ἐτελεύτησε, λεγέσθω μᾶλλον, ἐπειδὴ τῶν τοῦ Πρωτεσίλεω λόγων ἐστίν. ἐπὶ νεῶν πλειόνων ποτὲ ναυπηγοί, τῶν ἐς Ἑλλήσποντον ἀπαγαγόντων ἐκ τοῦ Πόντου ὤνια, κατηνέχθησαν ἐς τὴν ἀριστερὰν τοῦ πελάγους ὄχθην, περὶ ἣν αἱ γυναῖκες οἰκεῖν λέγονται. ληφθέντες δ' ὑπ' αὐτῶν, χρόνον μέν τινα ἐδέδεντο σιτούμενοι πρὸς φάτναις, ἵνα ἀποδῶνται σφᾶς ὑπὲρ τὸν ποταμὸν ἄγουσαι τοῖς ἀνδροφάγοις Σκύθαις. ἐπεὶ δὲ μειράκιον ξὺν αὐταῖς ληφθὲν, μία τῶν Ἀμαζόνων ἐπὶ τῇ ὥρᾳ ἠλέησε, καί τις ἔρως ἐκ τούτου ἐγένετο, παραιτεῖται τὴν δυνατεύουσαν, ἀδελφὴν οὖσαν, μὴ ἀποδόσθαι τοὺς ξένους. λυθέντες δὲ, καὶ

A dentes cum viris vbi contigerit, coeant: profectæque ad ſedes ac domos ſuas, quos quidem mares pepererint, ad regionis fines genitoribus tollendos ferant: quas verò fœminas pepererint, diligant, ac ſuam eſſe prolem arbitrentur. Et præterquàm quòd lac non præbent (vt mos eſt matribus) inſeruiant. Id autem propter pugnas faciunt, vt neque ipſas effœminatas reddant, neque mammæ ſuſpendan-
B tur. Nomen autem Amazonibus, quòd mamma nimirum non alantur, inditum eſſe exiſtimauerim. Alunt autem infantes cùm equino lacte, tum roris fauis, qui in modum mellis fluuiorum calamis inſidet. Quæ verò à poëtis ac fabularum ſectatoribus de ipſis Amazonibus literarum monimentis mandata ſunt, ea à ſermone abdícemus. Neque enim præſenti conferrent ſtudio. Cæterùm quale illud ipſarum circa inſulam facinus fuerit, quorſúmque euaſerit, po-
C tius dicatur: quandoquidem ex Proteſilai eſt ſermonibus. Nauibus quandoque pluribus ſtructores nauium, ex iis qui venalia in Helleſpontum ex Ponto vehunt, in pelagi ſiniſtrum delati ſunt litus, circa quod mulieres habitare dicuntur. Ab ipſis autem capti, ad præſepia aliquandiu quidem vincti alebantur, vt ipſos fluuium traii-
D ciétes Scythis anthropophagis venderent. Poſtquàm verò adoleſcentulum cum ipſis captum, Amazonum vna ob pulchritudinem miſerata eſt: atque ex hoc amor eſt quidam exortus, ne hoſpites venderet, reginam ſibi ſororem exiſtentem exorat. Soluti autem, &

cum

cum illis verſati, iam illarum more loquebantur, & cùm tempeſtatem, quæq; in mari ſunt, memorarent, in templi mentionem inciderunt, cùm haud diu eſſet quòd ad inſulam nauigaſſent, diuitiáſque in eo exiſtentes percurrerunt. Hæ autem, hoſpites ſibi lucro apponentes, quòd & nautæ, & nauium fabri eſſent, cùm & alioqui ſibi ad ſtruendas naues apta eſſet regio, ad vectandos equos naues ſtruunt, vt equitatu Achillem ſuperaturæ. Pedites enim Amazones, & fœmineum ſunt genus, & planè mulieres. Remigium tamen tunc primùm attigere, ac nauigationẽ exercuere. Poſteà verò quàm nauigandi peritiam ſunt conſecutæ, à Thermodontis oſtio, verno cùm ſoluiſſent tempore, quinquaginta (vt puto) nauibus ad templum ſtadiorum maximè duobus millibus diſtans peruenere. Ad inſulam itaque appulſæ, omnium primùm Helleſpontiis hoſpitibus, vt arbores, quibus in orbem templum exornabatur, exciderent, imperarunt. Poſtea verò quàm ſecures in ipſos repercuſſæ, partim quidem in caput, partim verò in ceruicem rediere, omnéſque iuxta arbores cecidere, clamitantes Amazones, equáſque agitantes templo infuſæ ſunt. Toruè autem atque horrendum in ipſas cùm reſpexiſſet Achilles, & haud ſecus atque in Scamandrum & Ilium inſurrexiſſet, terrorem freno longè validiorem equabus incuſſit: præ quo alienum ac ſuperfluum ſibi onus mulieres ratæ, reſilière, & ad ferarum mores defecere, & in iacentes ac proſtratas irruentes Amazones vngulis innitebantur, iubáſque horrebant, & vt leonum ferociſſimi,

A πρὸς αὐτὰς συγκραθέντες, ἐφθέγγοντο ἤδη τὸν ἐκείνων τρόπον. τὸν δὲ χειμῶνά τε καὶ τὰ ἐν τῇ θαλάττῃ διηγούμενοι, περιῆλθον ἐς μνήμην τοῦ ἱεροῦ, προσπεπλευκότες οὐ πάλαι τῇ νήσῳ, καὶ διῄεσαν τὸν ἐν αὐτῷ πλοῦτον. αἱ δὲ εὕρημα ποιησάμεναι τοὺς ξένους, ἐπεὶ ναῦταί τε ἦσαν καὶ νεῶν τέκτονες, οὔσης καὶ ἄλλως ναυπηγησίμου σφίσι τῆς χώρας, ποιοῦνται ναῦς τὸν ἱππαγωγὸν τρόπον, ὡς τὸν Ἀχιλλέα
B ἐλάσουσαι ταῖς* ἵπποις. καταβᾶσαι γὰρ ἵππων Ἀμαζόνες, θῆλύ τι εἰσὶ γένος, καὶ ἀτεχνῶς γυναῖκες. εἰρεσίας μὲν δὴ πρῶτον ἥψαντο, καὶ πλεῖν ἐμελέτησαν. ὡς δὲ ἐπιστήμην τοῦ πλεῖν συνεξήσκησαν, ἄρξασαι περὶ ἔαρ ἀπὸ τῶν ἐκβολῶν τοῦ Θερμώδοντος, ἀφῆκαν ἐς τὸ ἱερὸν, σταδίοις μάλιστα δισχιλίοις ἐπὶ νεῶν οἶμαι πεντήκοντα. καὶ προσορμισάμεναι
C τῇ νήσῳ, πρῶτον μὲν ἐκέλευσαν τοῖς Ἑλλησποντίοις ξένοις ἐκκόπτειν τὰ δένδρα, οἷς κεκόσμηται κύκλῳ τὸ ἱερόν. ἐπεὶ δὲ οἱ πελέκεις ἐς αὐτοὺς ἀνακοπέντες, τοῖς μὲν, ἐς κεφαλὴν ἐχώρησαν, τοῖς δὲ ἐς αὐχένα, πάντες τε πρὸς τοῖς δένδροις ἔπεσον, ἐπεχύθησαν αἱ Ἀμαζόνες τῷ ἱερῷ, βοῶσαί τε, καὶ τὰς ἵππους ἐλαύνουσαι. ὁ δὲ, θερμόν τε, καὶ δεινὸν ἐς
D αὐτὰς ἰδὼν καὶ πηδήσας οἷον ἐπὶ Σκαμάνδρῳ τε, καὶ Ἰλίῳ, πτοίαν μὲν χαλινοῦ κρείττω τοῖς ἵπποις προσέβαλεν, ὑφ᾽ ἧς ἀνεσκίρτησαν, ἀλλότριόν τε, καὶ περιττὸν ἄχθος ἡγούμεναι τὰς γυναῖκας. ἐς δὲ θηρίων ἤθη μετέστησαν, καὶ κειμέναις ἐμπεσοῦσαι ταῖς Ἀμαζόσι, τάς τε ὁπλὰς ἐνήρειδον, καὶ τὰς χαίτας ἔφριττον, καὶ τὰ ὦτα ἐπ᾽ αὐτὰς ἵστασαν,

* χ. τῶ ἵπ.

καθάπερ τῶν λεόντων οἱ ὠμοί. κειμένων τε, καὶ γυμνὰς ὠλένας ἤσθιον καὶ τὰ στέρνα ῥηγνῦσαι, προσέκειντο τοῖς σπλάγχνοις, καὶ ἐλάφυσσον. ἐμφορηθεῖσαι δὲ ἀνθρωπείου βρώσεως, ἐνρόαινον περὶ τὴν νῆσον, καὶ ἐμαίνοντο, μεσταὶ λύθρου. στᾶσαι δὲ ἐπὶ τῶν ἀκρωτηρίων, καὶ τὰ νῶτα τοῦ πελάγους ἰδοῦσαι, πεδίον τε ᾤοντο ἐντετυχηκέναι, καὶ κατὰ τῆς θαλάττης ἑαυτὰς ἧκαν. ἀπώλοντο δὲ καὶ αἱ νῆες τῶν Ἀμαζόνων, ἀνέμου σφοδροῦ ἐς αὐτὰς πνεύσαντος. ἅτε γὰρ κεναὶ, καὶ οὐδενὶ κόσμῳ ὡρμισμέναι, προσέπιπτον ἀλλήλαις, καὶ ξυνηράττοντο. ναῦς τε ὥσπερ ἐν ναυμαχίᾳ κατέδυε ναῦν, καὶ ἀνέρρηγνυ. καὶ ὁπόσας ἐγκαρσίοις τε, καὶ ἀντιπρώροις ἐμβολὰς ποιοῦνται κυβερνῆται ναύμαχοι, πᾶσαι ξυνέπεσον ἐν ναυσὶ κεναῖς, καὶ οὐκ ἐκ προνοίας πλεούσαις. πολλῶν δὲ ναυαγίων τῷ ἱερῷ προσενεχθέντων, καὶ ἀνθρώπων ἐν αὐτῷ κειμένων, ἡμιβρώτων, καὶ ἐμπνεόντων ἔτι, μελῶν τε ἀνθρωπείων διεσπαρμένων, καὶ σαρκῶν, ἃς διέπτυσαν αἱ ἵπποι, κάθαρσιν ὁ Ἀχιλλεὺς ποιεῖται τῇ νήσῳ ῥᾳδίαν. κορυφὴν γὰρ τοῦ Πόντου ἐπανασεισάμενος, ἀπένιψέ τε, καὶ ἀπέκλυσε ταῦτα. Φο. ὅς τις, ἀμπελουργὲ, μὴ θεοφιλῆ σε ἡγεῖται, σφόδρα αὐτὸς ἀπήχθηται τοῖς θεοῖς. τὸ γὰρ τοιούτοις τε, καὶ θείοις λόγοις εἰδέναι οὕτω, παρ᾽ ἐκείνων σοι ἥκειν οἶμαι, οἳ καὶ τῷ Πρωτεσίλεω φίλον τέ σε, καὶ ἐπιτήδειον ἐποίησαν. ἀλλ᾽ ἐπεὶ τῶν ἡρωϊκῶν ἡμᾶς λόγων ἐμπέπληκας, τὸ μὲν ὅπως αὐτὸς ἀναβεβίωκεν, οὐκέτ᾽ ἂν ἐροίμην, ἐπεὶ βεβήλῳ τε, καὶ ἀπορρήτῳ φῂς αὐτὸν χρῆσθαι τούτῳ τῷ λόγῳ. τοὺς δὲ κωκυτούς τε, καὶ πυριφλεγέθοντας, καὶ τὴν ἀ-

A aures in ipſas arrigebant. Iacētiúmque & nudas vlnas deuorabant, & pectora ſcindentes viſceribus inhærebant, atque abſorbebant. Humano autem exaturatæ cibo per inſulam curſitabant, cruoréque repletæ inſaniebant. In promontoriis autem ſtantes, pelagíque dorſa conſpicientes, campum ſe offendiſſe arbitratæ, ſe in mare præcipites dedere. Amazonum quoque naues vehementi in ipſas ſpirante vento pe-
B riere. Nam vt pote inanes, nullóque appulſæ ordine inter ſe concidebant ac collinebantur; nauíſque vt in bello nauali nauim immergebat atque infringebat. Et quoſcunque in nauali prœlio aut rectos aut obliquos gubernatores impetus faciunt, omnes in naues inanes, nullóque conſilio rectas incidere. Multis autem naufragiis ad templum delatis, & hominibus ſemieſis, atque adhuc ſpirantibus, in ipſo iacentibus, membríſque humanis, ac carnibus quæ æquè
C expuerant, diſperſis, facilem Achilles inſulæ facit expiationem. Nam cùm Ponti verticem euelliſſet, hæc abſterſit, atque abluit. *Phœnix.* Quicunque, ô Vinitor, te haud eſſe Diis gratum arbitratur, is vehementer à Diis odio habetur. Nam quod tales, támque diuinos teneas ſermones, id tibi ab ijs proficiſci exiſtimo, qui te Pro-
D teſilao amicum ac familiarem reddidere. Ceterùm poſtquam Heroicis nos expleuiſti ſermonibus, quo pacto ipſe quidem reuixerit, non vtique rurſus percunctarer, quandoquidem hoc ipſum vti ſermone profano, atq. arcano aſſeris. Cocytos verò, & Pyriphlegetontes, & A-

A cheruſiam, huiuſmódíque flumi- num ac paludum nomina, & per Iouem Æacos, horúmque iudicia ac fora tu fortaſſe nunciábis, & ipſe narrare permittit. *Vinitor*. Permittit quidem. Verùm iam adeſt veſpera, bouéſque quietem quærunt. Iugales enim vides, quod vt ſoluantur, iam tempus ſit venire, & me eos admittere oportet: & oratio tempore eſt prolixior. Nunc igitur ad nauim lætus vade, quæcunq. noſter fert hortus habens. Et ſi veſter, ac ſecundus, fuerit ventus, nauiga hoſpes, cùm prius de naui Proteſilao libaueris. hoc enim hinc ſoluentes facere conſueuere. Quod ſi aduerſus fuerit ventus, huc Sole oriente reuertere, & quæ cupis conſequeris. *Phœnix*. Tibi morem gero, Vinitor; & ita erit. Vtinam non prius, ô Neptune, nauigem: quàm hunc quoque ſermonem audiuero.

A χεροισιάδα, καὶ τὰ τοιαῦτα τῶν ποταμῶν τε, καὶ τῶν λιμνῶν ὀνόματα, καὶ νὴ Δία τὸν Αἰακοῦ, καὶ τὰ τούτων δικαστήρια, καὶ δικαιωτήρια, αὐτὸς τ' ἴσως ἀπαγγελεῖς, καὶ ξυγχωρεῖ διηγεῖσθαι. Αμ. ξυγχωρεῖ μὲν, ἑσπέρα δὲ ἤδη, καὶ βοῦς πρὸς ἀναπαύλῃ. τὰ γὰρ *ζευγάρια ὁρᾷς ὡς ἐκ βουλυτοῦ ἥκει, καὶ χρή με αὐτὰ ὑποδέξασθαι, καὶ ὁ λόγος πλείων τοῦ B καιροῦ. νῦν μὲν οὖν ἐπὶ τὴν ναῦν χαίρων ἴθι, πάντα ἔχων, ὁπόσα ὁ κῆπος φέρει. κἂν μὲν τὸ πνεῦμα ὑμέτερον, πλεῖ ξένε, σπείσας ἀπὸ τῆς νεὼς τῷ Πρωτεσιλεῳ. τουτὶ γὰρ τοὺς ἐνθένδε λύοντας νενόμισται πράττειν. εἰ δ' ἐναντίον εἴη τὸ πνεῦμα, χώρει δεῦρο ἅμα ἡλίῳ ἀνίσχοντι, καὶ τεύξῃ ὧν βούλει. Φοι. πείθομαί σοι, Ἀμπελουργὲ, καὶ οὕτως ἔσται. πλεύσαιμι δὲ μήπω Πόσειδον, πρὶν ἢ καὶ τοῦδε ἀκροάσασθαι τοῦ λόγου.

* γ. γεῶ:

ΦΛ. ΦΙΛΟΣΤΡΑΤΟΥ
ΕΙΚΟΝΕΣ.

ΠΡΟΟΙΜΙΟΝ. ΕΛΛΑΔΙΑ.

FLAVII PHILOSTRATI
IMAGINES;

Eodem Stephano Nigro Interprete.

EXORDIVM. HELLADIA.

Ὅστις μὴ ἀσπάζεται τὴν ζωγραφίαν, ἀδικεῖ τὴν ἀλήθειαν, ἀδικεῖ δὲ καὶ σοφίαν, ὁπόση ἐς ποιητὰς ἥκει. φορὰ γὰρ ἴση ἀμφοῖν ἐς τὰ τῶν ἡρώων εἴδη, καὶ ἔργα, ξυμμετρίαν τε οὐκ ἐπαινεῖ, δι' ἣν καὶ λόγου ἡ τέχνη ἅπτεται. καὶ βουλομένῳ μὲν σοφίζεσθαι, θεῶν τὸ εὕρημα, διά τε τὰ ἐν γῇ εἴδη, ὁπόσα τοὺς λειμῶνας αἱ ὧραι γράφουσι, διά τε τὰ ἐν οὐρανῷ φαινόμενα. βασανίζοντι δὲ τὴν γένεσιν τῆς τέχνης, μίμησις μὲν, εὕρημα πρεσβύτατον, καὶ ξυγγενέστατον τῇ φύσει. εὗρον δὲ αὐτὴν σοφοὶ ἄνδρες, τὸ μὲν, ζωγραφίαν, τὸ δὲ, πλαστικὴν φήσαντες. καὶ πλαστικῆς μὲν, πολλὰ εἴδη· καὶ γὰρ αὐτὸ τὸ πλάττειν, καὶ ἡ ἐν τῷ χαλκῷ μίμησις, καὶ οἱ ξέοντες τὴν λυγδίνην, ἢ τὴν παρίαν λίθον, καὶ ὁ ἐλέφας, καὶ νὴ Δία ἡ γλυφική, πλαστική. ζωγραφία δὲ, συμβέβληται μὲν ἐκ χρωμάτων, πράττει δὲ οὐ

A Qvicvnqve picturâ minimè amplectitur, non modò veritatem, verùm & eam, quæ ad poëtas pertinet, iniuria afficit ſapientiam. Eadem enim eſt vtriſque ad Heroum tam ſpecies quàm geſta intentio. Symmetriam præterea contemnit, per quam ars ipſa B rationem attingit: & ſi quis Sophiſtarum more loqui voluerit, Deorum eſt inuentum, cùm ob ſpecies, quibus in terra horæ* prata pingunt, tum vel maximè quæ in cœlo apparent. Perſcrutanti autem ipſius artis ortum, imitatio vtique eſt, vetuſtiſſimum inuentum, naturæque cognatum. Ipſam autem ſapientes excogitarunt viri, partim C picturam, partim plaſticen appellantes, & plaſtices quidem multæ ſpecies. Nam & fingere, & quæ in ære fit imitatio, & lygdinem, pariúmve lapidem, atque ebur polire, & per Iouem ſculptura ipſa plaſtice eſt. At pictura coloribus quidem conſtat, ſed non hoc ſolum

*anni tempeſtates.

efficit. Iterum ab hoc ſane vno exiſtente, longe plura, quàm ars alia ex multis molitur. Vmbram enim demonſtrat, & alium furentis, alium mœrentis, aut gaudentis aſpectum nouit; oculorúmque fulgores qualeſcunque fuerint; quid plaſticus quiſpiam minimè præſtaret: Nam & fuluum, ceſiúmque, ac nigrum nouit oculum, necnon & comam flauam ruffámque ac ſubcandidam, veſtiúmque atque armorum colorem: thalamos præterea ac domos, nemoráque, & montes, ac fontes, & in quo hæc ſunt, ætherem. Quicunque autem ad huiuſce ſcientiæ culmen peruenerint, quótque ciuitates ac reges ſtudio ipſam proſecuti fuerint, cùm ab aliis, tum ab Ariſtodemo ex Caria oriundo literarum monimentis mandatum eſt, quem ego picturæ cauſa *quadriennium* hoſpitatus ſum. Pingebat enim ad Eumeli ſapientiam, multam ipſi addens venerem. Sed noſtra hæc oratio non de pictoribus eſt, atque ipſorum hiſtoria: vetùm picturæ ſpecies pollicemur, meditationes iuuenibus ipſas componentes. vnde & interpretabuntur, & quod exactum ac probatum eſt, curabunt. huiuſce autem ſermonis hæ cauſæ fuere. Erat quidem apud Neapolitanos hoc meum certamen. Ciuitas quæ in Italia condita, Græci genere, atque vrbani. vnde & orationis ſtudio Græcanici ſunt. Mihi autem meditationes in propatulo minimè facere volenti, adoleſcentes hoſpitis domum frequentantes perturbationem, ac moleſtiam præbebant. Diuertebam itaque extra mœnia in ſuburbio ad mare vergente, in quo porticus quædam ad Fauonium ventum exædificata erat, quatuor (puto) vel

A τοῦτο μόνον, ἀλλὰ καὶ πλείω σοφίζεται. ἀπὸ τούτου γε ἑνὸς ὄντος, ἢ ἀπὸ τῶν πολλῶν ἑτέρα τεχνήσεται; καὶ γὰρ ἀποφαίνει, καὶ βλέμμα γινώσκει, ἄλλο μὲν τοῦ μεμηνότος, ἄλλο δὲ τοῦ ἀλγοῦντος, ἢ τοῦ χαίροντος· καὶ αὐγὰς ὀμμάτων, ὁποῖαί εἰσιν, ὁ πλαστικὸς μέν τις, ἥκιστα * ἐργάζεται. χαροπὸν δὲ ὄμμα, καὶ γλαυκὸν, καὶ μέλαν, γραφικὴ οἶδε· καὶ ξανθὴν κόμην οἶδε, καὶ πυρσὴν, καὶ ἡλιῶσαν, καὶ ἐσθῆτος χρῶμα, καὶ ὅπλων. θαλάμους B τε, καὶ οἰκίας, καὶ ἄλση, καὶ ὄρη, καὶ πηγὰς, καὶ τὸν αἰθέρα, ἐν ᾧ ταῦτα. ὅσοι μὲν οὖν κράτος ἥψαντο τῆς ἐπιστήμης, καὶ ὅσαι πόλεις, καὶ ὅσοι βασιλεῖς ἔρωτι ἐς αὐτὴν ἐχρήσαντο, ἄλλοις τε εἴρηται, καὶ Ἀριστοδήμῳ τῷ ἐκ Καρίας, ὃν ἐγὼ ἐπὶ ζωγραφίᾳ ξένον ἐποιησάμην ἐτῶν τεσσάρων. ἔγραφε δὲ κατὰ τὴν Εὐμήλου σοφίαν, πολὺ τὸ ἐπίχαρι ἐς αὐτὴν φέ- C ρων. ὁ λόγος δὲ, οὐ περὶ ζωγράφων, οὐδ' ἱστορίας αὐτῶν νῦν, ἀλλ' εἴδη ζωγραφίας ἀπαγγέλλομεν, ὁμιλίας αὐτὰ τοῖς νέοις συνθέντες, ἀφ' ὧν ἑρμηνεύσουσί τε, καὶ τοῦ δοκίμου ἐπιμελήσονται. ἀφορμὴ δέ μοι τουτωνὶ τῶν λόγων ἥδε ἐγένετο. ἦν μὲν ὁ ἀγὼν παρὰ τοῖς Νεαπολίταις· ἡ δὲ πόλις ἐν Ἰταλίᾳ ᾤκισται, γένος Ἕλληνες, καὶ ἀστυκοί· ὅθεν καὶ τὰς σπου- D δὰς τῶν λόγων Ἑλληνικοί εἰσι. βουλομένῳ δέ μοι τὰς μελέτας μὴ ἐν τῷ φανερῷ ποιεῖσθαι, παρεῖχον ὄχλον τὰ μειράκια, φοιτῶντα ἐπὶ τὴν οἰκίαν τοῦ ξένου. κατέλυον δὲ ἔξω τοῦ τείχους, ἐν προαστείῳ, τετραμμένῳ πρὸς θάλατταν, ἐν ᾧ στοά τις ἐξῳκοδόμητο κατὰ ζέφυρον ἄνεμον ἐπὶ τεττάρων οἶμαι, ἢ

pus autem hic magnus, vt pote qui A Aſiam aduerſus Europam oppoſitam capiat. Hic autem ignis multus quidem per campum inundat, multus verò ad fluminis ripas ſerpit, vt non amplius ipſi ſint arbores. Sed qui circa Vulcanum eſt ignis, atque illabitur, & flumen ipſum mœret, Vulcanóque ſupplicat. Quare nec comatus amnis quòd circumbuſtus ſit, nec claudicans præ curſu Vulcanus pictus eſt, & ignis flos non flauus, nec ſolito aſpectu, ſed fuluus ac ſubcandidus. Hæc non amplius Homeri.

δίον δὲ τοῦτο μέγα, καὶ ἀποχρῶν τὴν Ἀσίαν πρὸς τὴν Εὐρώπην ἀντιτάξαι. πῦρ δὲ τοῦτο, πολὺ μὲν πλημμυρεῖ κατὰ τοῦ πεδίου, πολὺ δὲ κατὰ τὰς ὄχθας ἕρπει τοῦ ποταμοῦ, ὡς μηκέτι αὐτῷ δένδρα εἶναι. τὸ δὲ ἀμφὶ τὸν Ἥφαιστον πῦρ, ἐπιρρεῖ τῷ ὕδατι. καὶ ὁ ποταμὸς ἀλγεῖ, καὶ ἱκετεύει τὸν Ἥφαιστον αὐτός. ἀλλ' οὔτε ὁ ποταμὸς γέγραπται, κομῶν ὑπὸ τοῦ περικε- B καῦσθαι, οὔτε χωλεύων ὁ Ἥφαιστος ὑπὸ τοῦ τρέχειν. καὶ τὸ ἄνθος τοῦ πυρὸς, οὐ ξανθὸν, οὐδὲ τῇ εἰθισμένῃ ὄψει, ἀλλὰ χρυσοειδὲς, καὶ ἡλιῶδες. ταῦτ' οὐκέτι Ὁμήρου.

COMVS.

Dæmon eſt Comus, à quo mortalibus *comeſſari* eſt, adſtat in thalami foribus aureis, vt puto. tarda autem ac difficilis ipſarum comprehenſio ac cognitio; quòd in tenebris ſint: nox enim non à corpore, ſed à tempore picta eſt. Veſtibula autem ſponſos admodum felices in lecto iacere indicant. & Comus iuuenis ad iuuenes accedit, mollis, nec adhuc ephebus, præ vino rubicundus, & quòd ebrius ſit, dormit rectus. dormit autem faciem quidem in pectus deiiciens, & gutturis nihil oſtendens; ſiniſtram venabulo ſuſtinens. Sed manus ſuſtineri arbitrata ſoluitur. & profectò is exprimitur effectus, qui in dormiendi exordio accidit, cùm nobis ſomno blandiente cogitatio in eorũ tranſit obliuionem, quæ continet. vnde & quæ in dextera eſt facula, manum præ ſomno languentem fugere videtur. Sed Comus metuens cruri adhærentem ignem, ſiniſtram quidem tibiam in partem dextram: faculam vero ad ſiniſtram trans-

ΚΩΜΟΣ.

Ὁ δαίμων ὁ Κῶμος, παρ' οὗ τὸ κωμάζειν τοῖς ἀνθρώποις, ἐφέστηκεν ἐν θαλάμου θύραις χρυσαῖς οἶμαι. βραδεῖα δὲ ἡ κατάληψις αὐτῶν, ἀπὸ τοῦ ὡς ἐν νυκτὶ εἶναι. γέγραπται δὲ ἡ νὺξ, οὐκ ἀπὸ C τοῦ σώματος, ἀλλ' ἀπὸ τοῦ καιροῦ. δηλοῖ δὲ τὰ προπύλαια, νυμφίους, μάλα ὀλβίους ἐν εὐνῇ κεῖσθαι. καὶ ὁ Κῶμος ἥκει, νέος παρὰ νέους ἁπαλὸς, καὶ οὔπω ἔφηβος, ἐρυθρὸς ὑπὸ οἴνου, καὶ καθεύδων ὀρθὸς, ἀπὸ τοῦ μεθύειν. καθεύδει δὲ, τὸ μὲν πρόσωπον ἐπὶ τὰ στέρνα ῥίψας, καὶ τῆς δέρης ἐμφαίνων οὐδὲν· τὴν δὲ ἀριστερὰν προβολίῳ ἐπέχων. εἰλῆφθαι δὲ ἡ χεὶρ δοκοῦσα λύεται, καὶ ἀμβλύνει τὸ ἦθος D ἐν ἀρχῇ τοῦ καθεύδειν, ὅταν ὑπιόντος ἡμᾶς τοῦ ὕπνου, μετέρχηται ὁ λογισμὸς εἰς λήθην, ὧν συνεῖχε. ὅθεν καὶ τὸ ἐν τῇ δεξιᾷ λαμπάδιον ἔοικε διαφεύγειν τὴν χεῖρα, καταρραθυμοῦντος αὐτὴν τοῦ ὕπνου. δεδιὼς δὲ ὁ Κῶμος προσβάλλον τὸ πῦρ τῷ σκέλει, παραφέρει τὴν μὲν κνήμην τὴν ἀριστερὰν ἐπὶ τὰ δεξιὰ, τὸ δὲ λαμπάδιον ἐπὶ τὰ ἀριστερὰ,

ἵν' ἐκκλίνῃ τὸν ἀτμὸν τοῦ πυρός, ἐκ κειμένου τῷ γόνατι ἀφιστὰς τὴν χεῖρα. πρόσωπα δὲ, ὀφείλεται μὲν παρὰ τῶν ζωγράφων τοῖς ἐν ὥρᾳ· καὶ τυφλώττουσι γὰρ ἄνευ τούτων αἱ γραφαί. τῷ δὲ Κώμῳ, μικρὰ δεῖ τοῦ προσώπου, νεύοντι, καὶ ἕλκοντι τὴν ἀπὸ τῆς κεφαλῆς σκιάν. χρὴ δ' οἶμαι μὴ ἀπερικαλύπτοις κωμάζειν τὸν ἐν ἡλικίᾳ τούτου. τὰ δὲ λοιπὰ τοῦ σώματος, διηκρίβωται πάντα. B περιλάμποντος αὐτὰ τοῦ λαμπαδίου, καὶ εἰς φῶς ἄγοντος. ὁ στέφανος δὲ τῶν ῥόδων, ἐπαινείσθω μὲν, ἀλλὰ μὴ ἀπὸ τοῦ εἴδους. ξανθοῖς γὰρ, καὶ κυανοῖς εἰ τύχοι χρώμασιν, ἀπομιμεῖσθαι τὰς τῶν ἀνθέων εἰκόνας, οὐ μέγας ὁ ἆθλος. ἀλλὰ ἐπαινεῖν χρὴ τὸ χαῦνον τοῦ στεφάνου, καὶ ἁπαλόν. ἐπαινῶ καὶ τὸ ἔνδροσον τῶν ῥόδων, καὶ φημὶ γεγράφθαι αὐτὰ μετὰ τῆς ὀσμῆς. C τί λοιπὸν τοῦ Κώμου; τί δ' ἄλλο γε, ἢ οἱ κωμάζοντες; ἢ οὐ* περιβάλλει σε κρόταλα, καὶ θροῦς ἔναυλος, καὶ βοὴ ἄτακτος; λαμπάδες τε ὑποφαίνονται, παρ' ὧν ἔστι τοῖς κωμάζουσι, καὶ τὰ ἐν ποσὶν ὁρᾶν, καὶ ἡμῖν δεδόσθαι. συνεξαίρεται δὲ καὶ πολὺς λεὼς, καὶ γύναια μετ' ἀνδρῶν ἵσταται, καὶ ὑπόδημα κοινὸν ἔχουσι, καὶ ζώννυνται παρὰ τὸ οἰκεῖον. συγχωρεῖ δὲ ὁ Κῶμος, καὶ γυναικὶ ἀνδρίζεσθαι, καὶ ἀνδρὶ θῆλυν ἐνδῦναι στολὴν, D καὶ θῆλυ βαίνειν. καὶ οἱ στέφανοι, οὐκ ἀνθηροὶ ἔτι, ἀλλ' ἀφῄρηται αὐτοῖς τὸ ἱλαρὸν ὑπὸ τοῦ ταῖς κεφαλαῖς ἐφαρμόττεσθαι, διὰ τὸ ἀτακτεῖν ἐν τῷ δρόμῳ. ἡ γὰρ τῶν ἀνθέων ἐλευθερία παραιτεῖται τὴν χεῖρα, ὡς μαραίνουσαν αὐτὰ πρὸ τοῦ χρόνου. μιμεῖται τινα ἡ γραφὴ καὶ κρότον, οὗ μάλιστα δεῖται ὁ Κῶμος, καὶ ἡ δεξιὰ τοὺς δακτύλους ὑπεσταλμένους,

* κ. σοι.

A fert, vt ignis vaporem declinet. ab expoſito genu manum arcens. Faces autem debentur quidem à pictoribus his, qui vigore ſunt ætatis conſtituti, & abſque his cæcutiunt picturæ. Como verò paululum facie opus eſt, nutanti, & à capite vmbram trahenti. Verùm ceteræ corporis partes exactè effictæ ſunt, eas illuſtrante atque in lucem educente facula. Roſarum autem corona laudetur quidem, B ſed nequaquam à ſpecie. Flauis enim ac ceruleis, ſi contigerit, coloribus florum imagines referre haud magnus eſt labor. Ceterùm coronæ laxitatem ac mollitiem laudare oportet. Commendo & roſarum roſidum, ipſáſque cum odore pictas aſſero. Quid reliquum eſt Comi? Quidnam aliud præterquam laſciuientes? nónne crotala, ſtrepitúſque intonans, ac vox enormis te petit? Lampades quoque ſublu- C cent, vnde & laſciuientibus, quæ ante pedes habent videre, & à nobis videri licet. Multus autem populus ſimul extollitur, & mulierculæ cum viris incedunt, & calciamentum *cõmune habens*, & præter peculiarem cinguntur conſuetudinem. nam Comus & mulieri virum agere, & viro ſtolam induere muliebrem, muliebritérque incedere permittit: & coronæ non amplius floridæ: Sed ipſarum quòd capitibus con- D cinnatæ ſint, ablata eſt hilaritas, cùm per luxum ac laſciuiam currant. Florum enim libertas manum auerſatur, vtpote quæ eos ante tempus flaccidos reddat. Plauſum etiam quendam imitatur pictura, cuius maximè indiget Comus. Nam dextera cõtractis digitis ſubiectam

ſiniſtram ad cauum plectit; vt manus cymbalorum more percuſſæ conſonæ fiant.

FABVLÆ.

Ad Æſopum fabulæ proficiſcuntur, quòd ipſarum ſit ſtudioſus, eum diligentes. Nam & Homero quidem curæ fuit fabula, & Heſiodo, necnon & in Lycamben Archilocho, verùm humana omnia ab Æſopo ſub fabularum inuolucro conficta ſunt, & rationis cauſa feras rationis participes fecit. Etenim auaritiam demolitur, contumeliámque ac fraudem abigit. Et hæc leonem ac vulpem, & per Iouem equum agere inducit: & ne teſtudo quidem muta: ſub quibus humanarum rerum peritiam pueri percipiunt. Æſopi itaque cauſa probatæ fabulæ ad ſapientis fores accedunt, vittis ipſum, oleaginóque ramo coronaturæ. Ipſe autem aliquam (puto) contexit fabulam. Oris enim riſus, oculíque in terram dimiſſi, id præſeferunt. Nouit *pictor* fabularum cogitationes relaxato indigere animo. Philoſophatur autem pictura, & circa fabularum corpora: feras enim commiſcens Æſopo choream conſtituit, ab illius ſcena confingens. Choreæ autem princeps picta eſt vulpes. Nam haud ſecus Æſopus in plurimis argumentis miniſtra vtitur vulpe, ac Dauo comœdia.

MENOECEVS.

Thebarum quidem obſeſſio, ſeptem enim ſunt portarum mœnia. Exercitus verò Polynices Oedipi fil. Cohortes enim ſeptem. Ipſis autem Amphiaraus triſti, & quæ pa-

A ὑποκειμένην τὴν ἀριστερὰν πλήττει ἐς τὸ κοῖλον, ἵν' ὦσιν αἱ χεῖρες ξύμφωνοι, πληττόμεναι τρόπῳ κυμβάλων.

ΜΥΘΟΙ.

Φοιτῶσιν οἱ μῦθοι παρὰ τὸν Αἴσωπον, ἀγαπῶντες αὐτόν, ὅτι αὐτῶν ἐπιμελεῖται. ἐμελήθη μὲν γὰρ καὶ Ὁμήρῳ μύθου, καὶ Ἡσιόδῳ. ἔτι δὲ καὶ Ἀρχιλόχῳ πρὸς Λυκάμβην. ἀλλ' Αἰσώπῳ πάντα τὰ τῶν ἀνθρώπων ἐκμεμύθωται. καὶ
B λόγου τοῖς θηρίοις μεταδέδωκε, λόγου ἕνεκα. πλεονεξίαν τε γὰρ ἐπικόπτει, καὶ ὕβριν ἐλαύνει καὶ ἀπάτην. καὶ ταῦτα, λέων τις αὐτῷ ὑποκρίνεται, καὶ ἀλώπηξ, καὶ ἵππος νὴ Δία. καὶ οὐδὲ ἡ χελώνη ἄφωνος. ὑφ' ὧν τὰ παιδία μαθηταὶ γίνονται τῶν τοῦ βίου πραγμάτων. εὐδοκιμοῦντες οὖν οἱ μῦθοι διὰ τὸν Αἴσωπον, φοιτῶσιν ἐπὶ τὰς θύρας τοῦ σοφοῦ,
C ταινίαις αὐτὸν ἀναδήσοντες, καὶ στεφανώσοντες αὐτὸν θαλλοῦ στεφάνῳ. ὁ δέ, οἶμαι τινὰ ὑφαίνει μῦθον. τὸ γὰρ μειδίαμα τοῦ προσώπου, καὶ οἱ ὀφθαλμοί, κατὰ τῆς γῆς ἑστῶτες, τοῦτο δηλοῦσιν. οἶδεν ὁ ζωγράφος ὅτι αἱ τῶν μύθων φροντίδες, ἀνειμένης τῆς ψυχῆς δέονται. φιλοσοφεῖ δὲ ἡ γραφὴ καὶ τὰ τῶν μύθων σώματα. θηρία γὰρ συμβάλλουσα ἀνθρώποις, περιΐστησι χορὸν τῷ Αἰσώπῳ, ἀπὸ τῆς ἐκείνου σκη-
D νῆς συμπλάσασα. κορυφαία δὲ τοῦ χοροῦ ἡ ἀλώπηξ γέγραπται. χρῆται γὰρ αὐτῇ ὁ Αἴσωπος διακόνῳ τῶν πλείστων ὑποθέσεων, ὥσπερ ἡ κωμῳδία τῷ Δάῳ.

ΜΕΝΟΙΚΕΥΣ.

Θηβῶν μὲν, ἡ πολιορκία. τὸ γὰρ τεῖχος, ἑπτάπυλον. ἡ στρατιὰ δέ, Πολυνείκης ὁ τοῦ Οἰδίποδος. οἱ γὰρ λόχοι, ἑπτά. πλάζει δ' αὐτοῖς Ἀμφιάραος ἀθύμῳ εἴδει καὶ

ξυνίησιν ἃ πείσονται. καὶ οἱ μὲν ἄλλοι λοχαγοὶ, δεδίασι ταῦτα, καὶ τὰς χεῖρας εἰς τὸν Δία αἴρουσι. Καπανεὺς δὲ, τὰ τείχη βλέπει, περιφρονῶν τὰς ἐπάλξεις, ὡς κλίμακι ἁλωτάς. οὐ μὴν βάλλεταί πω ἀπὸ τῶν ἐπάλξεων, ὀκνοῦντές που οἱ Θηβαῖοι ἄρξαι μάχης. ἡδὺ τὸ σόφισμα τοῦ ζωγράφου. περιβάλλων γὰρ τοῖς τείχεσιν ἄνδρας ὡπλισμένους, τοὺς μὲν ἀρτίους παρέχει ὁρᾶν. τοὺς δὲ, ἀσαφεῖς τὰ σκέλη, τοὺς δὲ, ἡμίσεας. καὶ στέρνα ἐνίων, καὶ κεφαλὰς μόνας, καὶ κόρυθας μόνας. εἶτα αἰχμάς. ἀναλογία ταῦτα, ὦ παῖ. δεῖ γὰρ κλέπτεσθαι τοὺς ὀφθαλμοὺς, τοῖς ἐπιτηδείοις κύκλοις συναπιόντας. οὐδὲ αἱ Θῆβαι ἀμάντευτοι. λόγιον γάρ τι ὁ Τειρεσίας λέγει, τεῖνον ἐς Μενοικέα τὸν Κρέοντος, ὡς ἀποθανὼν ἔνθα ἡ χειὰ τοῦ δράκοντος, ἐλευθέρια ἡ πόλις ἐκ τούτου εἴη. ὁ δὲ, ἀποθνήσκει λαθὼν τὸν πατέρα, ἐλεεινὸς μὲν τῆς ἡλικίας, εὐδαίμων δὲ τοῦ θάρσους. ὅρα γὰρ τὰ τοῦ ζωγράφου. γράφει μειράκιον, οὐ λευκὸν, οὐδὲ ἐκ τρυφῆς, ἀλλ᾽ ἔμψυχον, καὶ παλαίστρας πνέον, οἷον τὸ τῶν μελιχρόων ἄνθος οὓς ἐπαινεῖ ὁ τοῦ Ἀρίστωνος. διαφράττει δὲ αὐτὸ στέρνοις εὐαφέσι, καὶ πλευραῖς, καὶ γλουτῷ συμμέτρῳ, καὶ μηρῷ. ἔρρωται καὶ ὤμων ἐπαγγελία, καὶ οὐκ ἀτρέπτῳ τένοντι· μετέχει δὲ καὶ κόμης, ὅσον μὴ κομᾶν. ἐφέστηκε δὲ τῇ χειᾷ τοῦ δράκοντος, ἕλκον τὸ ξίφος, καὶ ἐνδεδυκὸς ἤδη τῇ πλευρᾷ. δεξώμεθα, ὦ παῖ, τὸ αἷμα κόλπον αὐτῷ ὑποσχόντες. ἐκχεῖται γὰρ, καὶ ἡ ψυχὴ ἤδη ἄπεισι. μικρὸν δὲ ὕστερον, καὶ τετρυγυίας αὐτῆς ἀκούσῃ. ἔρωται γὰρ τῶν καλῶν σωμάτων καὶ αἱ

tientur intelligente ſpecie propinquat. & ceteri quidem duces hæc metuunt, & manus ad Iouem tollunt. Capaneus verò mœnia ſpeculatur, propugnacula, vt pote quæ ſcalis facilè capi poſſent, contemnens. Nondum tamen à propugnaculis petitur, dum fortaſſis auſpicari pugnam Thebani verentur. iucundum ac ſuaue eſt pictoris inuentum. Armatos enim viros mœnibus circundans, hos quidem integros videndos præbet: hos verò crurum tenus, nonnullos dimidiatos, & quorundam pectora, & ſola capita, & galeas ſolas, deinde cuſpides. Proportio hæc ſunt, ô puer. oportet enim decipere oculos aptis orbibus coabeuntes: Ne Thebæ quidem vaticinio carent. Oraculum enim Tireſias dicit, ad Creontis Menœceum pertinens. quòd videlicet libertate fruetur ciuitas, ſi ad draconis luſtrum moriétur. Hic autem clam patre moritur, ob ætatem quidem miſerabilis, ob audentiam verò felix. Aſpice quæ ad pictorem pertinent. Adoleſcentulum nec candidum, nec delitioſum pingit, ſed magnanimum, ac palæſtram ſpirantem: qualis eſt flauorum flos, quos Ariſtonis filius laude proſequitur. Ipſum autem quæ facilè tangi poſſint pectoribus, lateribúſque, & modico nate, ac femore circunſepit. Humeris quoque, inflexibilíque ceruice valet. ita eſt comæ particeps, vt comam nutrire non videatur. Stringens autem enſem draconis adſiſtit luſtro. & cùm iam lateri adfixus ſit, ſanguinem ſubdito ſinu excipiamus. Effunditur enim, & anima mox abibit. Quare paulò pòſt ipſam ſtridentem audies. Formoſorum namq. corporum amore

ipſæ etiam animæ capiuntur: quo ſit vt inuitæ ab ipſis decedant. effluente autem paulatim ſanguine labat, pulchróque ac ſuaui, & vt ſomnum trahente intuitu, mortem ſalutat atque amplectitur.

NILVS.

Cubiti circa Nilum ludunt pueri, corporis quantitati cognomines: quibus Nilus ſummopere oblectatur, cùm ob alia, tum vel maximè quòd ipſum quantum Ægyptiis profuſus ſit, enuncient. Procedunt igitur, & velut ex ipſa aqua molles ac ridentes progrediuntur infantes. Participes autem eſſe & ſermonis exiſtimo. Hi quidem ipſius humeris inſident, hi à cincinnis ſuſpenduntur, nõnulli in vlna dormiunt, alij in pectore petulanter ſaliunt, ipſe verò tam ex ſinu, quàm ex vlna flores illis offert, vt ex ipſis corollas contexant, & ſuper floribus dormiant ſacri atque odorati. Et ex pueris alius alium cum ſiſtris aſcendit. Hæc enim illi aquæ conſona. Ceterúm crocodili, & qui à nonnullis Nilo adſcribuntur, Hippopotami, nunc in imo iacent vortice, ne pueris terrorem incutiant. Agricolationis autem ac nauigationis ſymbolum, ô puer, ex huiuſmodi Nilum indicat ratione. Ægyptum nauigabilem reddens Nilus, vt feraci vtatur tellure efficit, à campeſtri epotus regione. In Æthiopia autem vnde delabitur, moderator ipſi adſtat dæmon, à quo ſuis concinnis mittitur horis. Pictus autem ita eſt, vt cœlum attingere videatur, pedémque ad fontes habeat, qualiter, ô Neptune, in

A ψυχαὶ ἴσχουσιν ὅθεν ἄκουσαι αὐτῶν ἀπαλλάττονται. ὑπεξιόντος δὲ αὐτῷ τοῦ αἵματος, ὀκλάζει, καὶ ἀσπάζεται τὸν θάνατον, καλῷ καὶ ἡδεῖ τῷ ὄμματι, καὶ οἷον ὕπνον ἕλκοντι.

ΝΕΙΛΟΣ.

Περὶ τὸν Νεῖλον οἱ πήχεις ἀθύρουσι παιδία, ξύμμετρα τῷ ὀνόματι. καὶ ὁ B Νεῖλος αὐτοῖς ὑπεργάνυται, τά τε ἄλλα, καὶ ὅτι κηρύττουσιν αὐτὸν, ὅσος Αἰγυπτίοις προσεχύθη. προσάγεται οὖν, καὶ οἷον ἔρχεται αὐτῷ ἐκ τοῦ ὕδατος, βρέφη ἁπαλὰ, καὶ μειδιῶντα. μετέχειν δὲ οἶμαι αὐτὰ καὶ τοῦ λάλου. καὶ οἱ μὲν, τοῖς ὤμοις αὐτοῦ ἐφιζάνουσιν. οἱ δὲ, τῶν πλοκάμων ἐκκρέμανται. οἱ δὲ, τῇ ἀγκάλῃ καθεύδουσιν. οἱ δὲ, κωμάζουσιν ἐπὶ τοῦ στέρνου. ὁ δὲ, ἀναδίδωσιν αὐτοῖς ἄνθη, τὰ μὲν, ἀπὸ C τοῦ κόλπου, τὰ δὲ, ἀπὸ τῆς ἀγκάλης, ὡς στεφάνους τε ἀπ' αὐτῶν διαπλέκοιεν, καὶ καθεύδοιεν ἐπὶ τῶν ἀνθέων ἱεροὶ, καὶ εὐώδεις. καὶ ἐπαναβαίνουσιν ἄλλο ἄλλῳ τὰ παιδία, σείστροις ἅμα· ταυτὶ γὰρ ἔναυλα ἐκείνῳ τῷ ὕδατι. κροκόδειλοι μὲν οὖν, καὶ οἱ ποτάμιοι τῶν ἵππων, οὓς τῷ Νείλῳ τινὲς προσγράφουσιν, ἀπόκεινται νῦν ἐν βαθείᾳ τῇ δίνῃ, μὴ δέος τοῖς D παιδίοις ἐμπέσῃ. γεωργίας δὲ, καὶ ναυτιλίας σύμβολον, δηλοῖ τὸν Νεῖλον ἐκ τοιοῦδε, ὦ παῖ, λόγου. Νεῖλος Αἴγυπτον πλωτὴν ἐργασάμενος, εὐκάρπῳ τῇ γῇ χρῆσθαι δίδωσιν, ὑπὸ τῶν πεδίων ἐκποθείς. ἐν Αἰθιοπίᾳ δὲ, ὅθεν ἔρχεται, ταμίας αὐτῷ δαίμων ἐφέστηκεν, ὑφ' οὗ πέμπεται ταῖς ὥραις σύμμετρος. γέγραπται δὲ οὐρανομήκης ἐπινοῆσαι, καὶ τὼ πόδε ἔχει πρὸς ταῖς πηγαῖς. οἷον, ὦ Πόσειδον,

προσνεύων πρὸς τοῦτον ὁ ποταμὸς, βλέπει, καὶ αἰτεῖ τὰ βρέφη αὐτῷ πολλὰ εἶναι.

ΕΡΩΤΕΣ.

Μῆλα ἔρωτες ἰδοὺ τρυγῶσιν. εἰ δὲ πλῆθος αὐτῶν, μὴ θαυμάσῃς. νυμφῶν γὰρ δὴ παῖδες οὗτοι γίγνονται. τὸ θνητὸν ἅπαν κυβερνῶντες, πολλοὶ διὰ πολλὰ, ὧν ἐρῶσιν ἄνθρωποι. τὸν δὲ οὐράνιον, φασὶν ἐν τῷ οὐρανῷ πράττειν τὰ θεῖα. μῶν ἐπῄσθου τι τῆς ἀνὰ τὸν κῆπον εὐωδίας, ἢ βραδύνεις τι τοῦτο. ἀλλὰ προθύμως ἄκουε. προσβαλεῖ γάρ σε μετὰ τοῦ λόγου, καὶ τὰ μῆλα. ὄρθοι μὲν οὗτοι φυτῶν, ὀρθοὶ πορεύονται. τὸ μέσον δὲ αὐτῶν, ἐλευθερία βαδίζειν. πόα δὲ ἁπαλὴ κατέχει τοὺς δρόμους, οἷα καὶ κατακλιθέντι στρωμνὴν εἶναι. ἀπ᾽ ἄκρων δὲ τῶν ὄζων μῆλα χρυσᾶ, καὶ πυρσὰ, καὶ ἡλιώδη προσάγονται, τὸν ἑσμὸν ὅλων τῶν ἐρώτων γεωργεῖν αὐτά. φαρέτραι μὲν οὖν χρυσόπαστοι, καὶ χρυσᾶ, καὶ τὰ ἐν αὐταῖς βέλη. γυμνὴ τούτων ἡ ἀγέλη πᾶσα· καὶ κοῦφοι διαπέτονται, προσαρτήσαντες αὐτὰ ταῖς μηλέαις. αἱ δὲ ἐφεστρίδες αἱ ποικίλαι κεῖνται μὲν ἐν τῇ πόᾳ, μυρία δὲ αὐτῶν τὰ ἄνθη. οὐδὲ ἐστεφάνωνται τὰς κεφαλὰς, ὡς ἀποχρώσης αὐτοῖς τῆς κόμης. πτερὰ δὲ Κυανέα, καὶ Φοινικᾶ, καὶ χρυσᾶ ἐνίοις, μονονοὺ καὶ αὐτὸν πλήττει τὸν ἀέρα ξὺν ἁρμονίᾳ μουσικῇ. φεῦ τῶν ταλάρων, εἰς οὓς ἀποτίθενται τὰ μῆλα. ὡς πολλὴ μὲν περὶ αὐτοῖς ἡ Σαρδὼ, πολλὴ δὲ ἡ Σμάραγδος, ἀληθὴς δὲ ἡ Μάργηλις. ἡ συνθήκη δὲ αὐτῶν, Ηφαίστου νοείσθω. οὐδὲ κλιμάκων δέονται πρὸς τὰ δένδρα παρ᾽

A hunc annuens fluuius ſpectat, & multos ipſi eſſe infantes petit.

AMORES.

Ecce Amores poma colligunt, quòd autem multi ſint, ne admiratus fueris. Hi namque nympharum ſunt filij. Mortalium genus omne moderantes. Multi, quòd ea multa ſint, quorum homines amore capiuntur. Cœleſtem autem diuina agere in cœlo ferunt. Nun-
B quid eius, quæ in horto eſt, beneolentiæ quicquam ſenſiſti? an hoc ſero te adit? ſed prompto audias animo. Te enim vna cum oratione mâla quoque percutient. Hi quidem plantarum ordines recti incedunt, per quorum medium ambulandi facultas datur. Mollis autem herba curriculos obtinet. Vt ſtrati inſtar iacentibus ſit. A ſummis autem ramis mala aurea, ruffáque, ac lucida ad ſe excolenda vniuer-
C ſum cupidinum examen attrahit. At pharetræ inauratæ, atque aureæ, & quæ in ipſis ſunt ſagittæ. Horum autē vniuerſus nudus eſt grex: leuéſque peruolant, cum malis ea ſuſpenderint. Vario autem colore diſtinctæ veſtes in herba iacent, quarum innumeri ſunt flores. Neque coronati ſunt capita, vt pote coma ipſis ſufficiente. Pennæ cerulææ ac phœniceæ, & nonnullis aureæ tantùm non ipſum aëra quo-
D dam percutiunt concentu. O felices calathi, in quos poma deponunt. Quàm multus circa ipſos Sardonicus, multa & Smaragdus: vera eſt & Margelis. Horum compoſitio Vulcano adſcribitur. Ipſius autem opera ad ſcalas extruendas, vt arbores aſcendant, minimè indigent.

ſublime

ſublime enim & ad ipſa aduolant mâla : & ne ſaltatores , vel diſcurrentes , vel dormientes dicamus, vel vt poma edentes gaudent.

Quidnam iſti ſentiant videamus. Ecce enim quatuor inter cupidines formoſiſſimi à ceteris ſeceſſerunt , quorum duo mála ſibi inuicẽ mittunt. Alteri duo mutuis ſe ſagittis petunt, nec vultibus inſunt minæ: ſed pectora inuicem præbent , vt illic ſaltem tela inhæreant. Pulchrũ hoc eſt ænigma. Aduerte autem nunquid pictoris mentem nouerim. Amicitia hæc ſunt , ô puer, ac mutuum deſiderium. Nam qui pomo ludunt , amoris initium faciunt. Vnde hic quidem oſculatus iacit malum. Hic verò ſupinis ipſum excipit manibus , indicans ſe oſculaturum , ac remiſſurum ſi ceperit. Hoc autem ſagittariorum par amorem, qui iam præuenerit, confirmant. Et hos quidem ludere , vt amare incipiant, hos verò ne deſinant, iaculari contendo. at illi circum quos multi ſpectatores ob iram conflixerunt , quædámque eos habet lucta: Dicam & luctam, hoc enim deprecaris. Hic quidem aduerſarium ſuperauit , in eius dorſum volans , & in ſuffocationem abducit , & cruribus nectit. Hic verò neque deficit, & rectus aſſurgit, manúmque qua angitur diſſoluit , vnum de digitis reflectens , poſt quem non amplius reliqui tenaciter continent. dolet enim contortus , & luctatoris aurem mordet. Vnde ſpectantes indignantur cupidines, quòd & inique & præter luctantium morem faciat; pomíſque ipſum appetunt. Ne lepus

A αὐτῶ. ὑψοῦ γὰρ καὶ ἐπ' αὐτὰ πέτονται τὰ μῆλα. καὶ ἵνα μὴ τοὺς χορεύοντας λέγωμεν, ἢ τοὺς διαθέοντας, ἢ τοὺς καθεύδοντας, ἢ ὡς γάννυνται τῶν μήλων ἐμφαγόντες, ἴδωμεν ὅ,τι ποτὲ οὗτοι νοοῦσιν, οἱ γὰρ κάλλιστοι τῶν ἐρώτων, ἰδοὺ δὴ τέτταρες ὑπεξελθόντες τῶν ἄλλων, οἱ δύο μὲν αὐτῶν ἀντιπέμπουσι μῆλον ἀλλήλοις. ἡ δ' ἑτέρα δυὰς, ὁ μὲν, τοξεύει τὸν
B ἕτερον· ὁ δὲ, ἀντιτοξεύει. καὶ οὐδὲ ἀπειλὴ τοῖς προσώποις ἔπεστιν. ἀλλὰ καὶ στέρνα παρέχουσιν ἀλλήλοις, ἵν' ἐκεῖ πη τὰ βέλη πελάσῃ. καλὸν τὸ αἴνιγμα. σκόπει γὰρ εἴ τι ξυνίημι τοῦ ζωγράφου. φιλία ταῦτα, ὦ παῖ, καὶ ἀλλήλων ἵμερος. οἱ μὲν γὰρ διὰ τοῦ μήλου παίζοντες, πόθου ἄρχονται. ὅθεν ὁ μὲν, ἀφίησι φιλήσας τὸ μῆλον· ὁ δὲ, ὑπτίαις αὐτὸ ὑποδέχεται ταῖς χερσὶ, δῆλον ὡς ἀντιφιλήσων εἰ λάβοι, καὶ ἀντιπέμψων αὐτό. τὸ δὲ τῶν τοξοτῶν
C ζεῦγος ἐμπεδοῦσιν ἔρωτα, ἤδη φθάνοντα. καὶ φημὶ τοὺς μὲν παίζειν ἐπὶ τῷ ἄρξασθαι τοῦ ἐρᾶν, τοὺς δὲ, τοξεύειν ἐπὶ τῷ μηδὲ λῆξαι τοῦ πόθου. ἐκεῖνοι μὲν οὖν, περὶ οὓς οἱ πολλοὶ θεαταὶ, θυμῷ συμπεπτώκασι. καὶ ἔχει τις αὐτοὺς πάλη. λέξω καὶ τὴν πάλην. καὶ γὰρ τοῦτο ἐκλιπαρεῖς. ὁ μὲν, ἤρηκε τὸν ἀντίπαλον, περιπτὰς
D αὐτῷ κατὰ τῶν νώτων, καὶ εἰς πνῖγμα ἀπολαμβάνει, καὶ καταδεῖ τοῖς σκέλεσιν. ὁ δὲ, οὔτε ἀπαγορεύει, καὶ ὀρθὸς ὑπανίσταται, καὶ διαλύει τὴν χεῖρα, ὑφ' ἧς ἄγχεται, στρεβλώσας ἕνα τῶν δακτύλων. μεθ' ὃν, οὐκέτι οἱ λοιποὶ ἔχουσιν, οὐδὲ εἰσὶν ἐν τῷ ἀπρίξ. ἀλγεῖ δὲ στρεβλούμενος, καὶ καταδάκνει τοῦ παλαιστοῦ τὸ οὖς. ὅθεν δυσχεραίνουσιν οἱ θεώμενοι τῶν ἐρώτων, ὡς ἀδικοῦντι, καὶ ἐκπαλαίοντι· καὶ μήλοις αὐτὸν καταλιθοῦσι. μηδὲ ὁ λαγωὸς

ἡμᾶς ἐκεῖνος διαφύγῃ. συνθηρασώμεθα δ᾽ αὐτὸν τοῖς ἔρωσι. τοῦτο τὸ θηρίον ὑποκαθήμενον ταῖς μηλέαις, καὶ σιτούμενον τὰ πίπτοντα εἰς γῆν μῆλα, πολλὰ δὲ καὶ ἡμίβρωτα καταλεῖπον, διαθηρῶσιν οὗτοι, καὶ ταράττουσιν, ὁ μὲν, κρότῳ χειρῶν· ὁ δὲ, κεκραγώς· ὁ δὲ, ἀνασείων τὴν χλαμύδα. καὶ οἱ μὲν, ὑπερπέτονται τοῦ θηρίου καταβοῶντες. οἱ δὲ, μεθέπουσιν αὐτὸ πεζοὶ κατ᾽ ἴχνος· ὁ δὲ ὡς ἐπιρρίψων ἑαυτὸν ὥρμησε. καὶ τὸ θηρίον ἄλλῃ ἐτράπετο. ὁ δὲ, ἐπιβουλεύει τῷ σκέλει τοῦ λαγῶ. τὸν δὲ, καὶ διωλίσθησεν ἠρηκότα. γελῶσιν οὖν, καὶ καταπεπτώκασιν· ὁ μὲν, εἰς πλευράν, ὁ δὲ, πρηνής. οἱ δὲ, ὕπτιοι πάντες, ἐν τοῖς τῆς διαμαρτίας σχήμασι. τοξεύει δὲ οὐδεὶς, ἀλλὰ πειρῶνται αὐτὸν ἑλεῖν ζῶντα, ἱερεῖον τῇ Ἀφροδίτῃ ἥδιστον. οἶσθα γάρ που τὸ περὶ τοῦ λαγὼ λεγόμενον, ὡς πολὺ τῆς Ἀφροδίτης μέτεστιν αὐτῷ. λέγεται οὖν περὶ μὲν τοῦ θήλεος, θηλάζειν τε αὐτὸν ἃ ἔτεκε, καὶ ἀποτίκτειν πάλιν ἐπὶ ταὐτῷ γάλακτι· καὶ ἐπικυΐσκειν δὲ, καὶ οὐδεὶς χρόνος αὐτῷ τοῦ τόκου κενός. τὸ δὲ ἄρρεν. σπείρει τε ὡς φύσις ἀρρένων, καὶ ἀποκυΐσκει παρ᾽ ὃ πέφυκεν. οἱ δὲ ἄτοποι τῶν ἐραστῶν, καὶ πειθώ τινα ἐρωτικὴν ἐν αὐτῷ κατέγνωσαν, βιαίῳ τέχνῃ τὰ παιδικὰ θηρώμενοι. ταῦτα μὲν οὖν καταλίπωμεν ἀνθρώποις ἀδίκοις, καὶ ἀναξίοις τοῦ ἀντερᾶσθαι. σὺ δέ μοι τὴν Ἀφροδίτην βλέπε, ποῦ δὴ, καὶ κατὰ τί τῶν μήλων ἐκείνη. ὁρᾷς τὴν ὕπαντρον πέτραν ἐκείνην, ἧς νᾶμα κυανώτατον ὑπεκδέχεται, χλωρόν τε καὶ πότιμον, ὃ δὴ καὶ διοχετεύεται ποτὸν εἶναι ταῖς μηλέαις; ἐνταῦθά μοι τὴν Ἀφροδίτην νόει

A quidem ille nos fugiat. Capiamus autem ipſum vnà cum cupidinibus. Hanc feram ſub malis ſedentem, pomáque in terram cadentia edentem, ac multa ſemeſa relinquentem, venantur hi, & perterrefaciunt hic quidem manuum plauſu, hic verò clamitans, alius chlamydem concutiens. & hi quidem ſuperuolant fere inclamantes, hi verò pedites ipſam per veſtigia inſequuntur. B Hic autem vt ſeipſum immiſſurus irruit, & fera alio conuerſa eſt. At hic leporis cruri inſidiatur: huius verò è manibus lapſus eſt. Itaque rident; & ceciderunt, hic quidem in latus, hic vero pronus, hi omnes ſupini errorem vario indicante habitu. Nullus autem ſagittas in eum mittit, ſed viuum capere conantur, Veneri ſuauiſſimam hoſtiam. Noſti enim fortè quod de lepore dicitur, cum ſcilicet multum eſſe participem Veneris. C Fama eſt igitur fœminam lactare quæ peperit, & in eodem lacte rurſus parere ac ſuperfœtare, & nullum in ipſa vacare à partu tempus. Mas vero & vt marium exigit natura, ferit, & præter id, quod genuit, ſuperfœtat. Inepti autem amatores amatorium quoddam lenocinium in ipſo eſſe exiſtimauerunt, violenta quadam arte ſuas aucupantes delicias. Hæc autem iniquis omittamus hominibus, minimé que vt redamentur dignis. D Tu vero mihi Venerem aſpice. Vbinam & ad quæ mala illa. Vidéſne ſaxum illud cauum? vnde cœruleus emanat fluxus, viridíſque ac potu ſuauis, qui ad irrigandas diducitur malos. Hic mihi eſſe Venerem arbi-

trare; quam (vt puto) nymphæ erexere, quod amorum, propter eáque pulchræ prolis genitrices reddiderint. Argenteum autem ſpeculum, illúdque inauratum ſandalium, atque aureæ fibulæ, aut temerè ſuſpenſa ac dicata ſunt, ſe enim eſſe Veneris innuunt, quod & ſcripto conſtat, nympharúmque eſſe dona dicuntur. Cupidines autem ipſi pomorum primitias ſumunt, circúmq; adſtantes pulchrum ipſis eſſe hortum precantur.

A νυμφῶν οἶμαι αὐτὴν ἱδρυμένων, ὅτι αὐτὰς ἐποίησεν ἐρώτων μητέρας, καὶ διὰ τοῦτο εὔπαιδας. κάτοπτρον δὲ τὸ ἀργυροῦν, καὶ τὸ ὑπόχρυσον ἐκεῖνο σανδάλιον, καὶ περόναι αἱ χρυσαῖ, ταῦτα πάντα οὐκ ἀργῶς ἀνῆπται. λέγει δὲ Ἀφροδίτης εἶναι, καὶ γέγραπται τοῦτο. καὶ νυμφῶν δῶρα εἶναι λέγεται. καὶ οἱ ἔρωτες δὲ, ἀπάρχονται τῶν μήλων. καὶ περιεστῶτες,
B εὔχονται καλὸν αὐτοῖς εἶναι τὸν κῆπον.

MEMNON.

Exercitus quidem Memnonis, arma verò ipſis depoſita ſunt, & ipſorum maximum lugendum proponunt. Fraxinea autem haſta in pectore, vt mihi videtur, vulnus accepit. latum enim campum, & ſcænas, & in caſtris murum, mœnibúſque munitam ciuitatem cùm inuenerim, neſcio quo pacto non Æthiopes hi, & Troia hæc. Lugetur autem Auroræ filius Memnon. Hunc Troiæ ſuppetias ferentem Pelei filius (vt aiunt) interfecit, qui magnus, ipſóque minimè inferior venerat. Etenim aduerte quantus humi iaceat, quantáque cincinnorum ſpica, quos (puto) Nilo nutriebat. Nili enim oſtia Ægyptij, fontes Æthiopes habent. Aſpice quantum ſpecies ipſa roboris oculis etiam defectis præferat. Aſpice præterea lanuginem, quam interfectoris ætati congruat. Ne nigrum quidem diceres Memnona. Nam quæ ipſi ineſt ſincera nigredo floris neſcio quid præſefert. Dæmonibus autem ſuſpenſis aurora filij cauſa lugens triſtè reddit Solem.

ΜΕΜΝΩΝ.

Η μὲν στρατιὰ, Μέμνονος· τὰ ὅπλα δὲ, αὐτοῖς ἀπόκειται. καὶ προτέθειται τὸν μέγιστον αὐτῶν ἐπὶ θρήνῳ. βέβληται δὲ κατὰ τὸ στέρνον ἐμοὶ δοκεῖν, ὑπὸ τῆς μελίας. εὐρῶν γὰρ πεδίον
C εὐρὺ, καὶ σκηνὰς, καὶ τεῖχος ἐν στρατοπέδῳ, καὶ πόλιν συμπεφραγμένην τείχεσιν, οὐκ οἶδ' ὅπως οὐκ Αἰθίοπες οὗτοι, καὶ Τροία ταῦτα. θρηνεῖται δὲ Μέμνων ὁ τῆς Ἠοῦς. τοῦτον ἀφικόμενον ἀμῦναι τῇ Τροίᾳ, κτείνει φασὶν ὁ τοῦ Πηλέως, μέγαν ἥκοντα, καὶ οὐδὲν αὐτοῦ μείω. σκόπει γὰρ ὅσος μὲν κεῖται κατὰ τῆς γῆς. ὅσος δὲ ὁ τῶν βοστρύχων ἄσταχυς, οὓς
D οἶμαι Νείλῳ ἔτρεφε. Νείλου γὰρ Αἰγύπτιοι μὲν, ἔχουσι τὰς ἐκβολὰς, Αἰθίοπες δὲ, τὰς πηγάς. ὅρα τὸ εἶδος ὡς ἔρρωται, καὶ τῶν ὀφθαλμῶν ἀπολωλότων. ὅρα τὸν ἴουλον ὡς καθ' ἡλικίαν τῷ κτείναντι. οὐδ' ἂν μέλανα φαίης τὸν Μέμνονα· τὸ γὰρ ἀκράτως ἐν αὐτῷ μέλαν, ὑποφαίνει τι ἄνθους. αἱ δὲ μετέωροι δαίμονές, ἠὼς ἐπὶ τῷ παιδὶ πενθοῦσα, κατηφῆ ποιεῖ τὸν ἥλιον.

καὶ δεῖται τῆς νυκτὸς ἀφικέσθαι πρὸ καιροῦ, καὶ τὸ στρατόπεδον ἐπισχεῖν, ἵν᾽ ἐξέσται οἱ κλέψαι τὸν υἱὸν, Διός που ταῦτα νεύσαντος. καὶ ἰδοὺ ἐκκέκλεπται. καὶ ἔστιν ἐπὶ τέρμασι τῆς γραφῆς σπουδή. καὶ κατά τι τῆς γῆς, τάφος οὐδαμοῦ Μέμνονος. ὁ δὲ Μέμνων, ἐν Αἰθιοπίᾳ, μεταβεβληκὼς εἰς λίθον μέλανα. καὶ τὸ σχῆμα μὲν, καθήμενος, τὸ δὲ εἶδος, ἐκεῖνο οἶμαι. καὶ προσβάλλει τῷ ἀγάλματι ἡ ἀκτὶς τοῦ Ἡλίου. δοκεῖ γὰρ ὁ Ἥλιος οἱονεὶ πλῆκτρον κατὰ τὸ στόμα ἐμπίπτων τῷ Μέμνονι, ἐκκαλεῖσθαι φωνὴν ἐκεῖθεν, καὶ λαλοῦντι σοφίσματι, παραμυθεῖσθαι τὴν ἡμέραν.

ΠΟΣΕΙΔΩΝ, Η ΑΜΥΜΟΝΗ.

Πεζεύοντι τὴν θάλασσαν τῷ Ποσειδῶνι, ἐντετύχηκας οἶμαι παρ᾽ Ὁμήρῳ, ὅτε κατὰ τοὺς Ἀχαιοὺς ἀπὸ Αἰγῶν στέλλεται. καὶ ἡ θάλασσα γαλήνην ἄγει, παραπέμπουσα αὐτὸν αὐτοῖς ἵπποις, καὶ αὐτοῖς κήτεσι. καὶ γὰρ ἐκεῖνα ἕπεται, καὶ σαίνει τὸν Ποσειδῶνα ὡς ἐνταῦθα. ἐκεῖ μὲν οὖν ἠπειρωτῶν οἶμαι τῶν ἵππων αἰσθάνῃ, χαλκόποδάς τε γὰρ αὐτοὺς ἀξιοῖ εἶναι, καὶ ὠκυπέτας, καὶ μάστιγι πλήττεσθαι. ἐνταῦθα δὲ ἱππόκαμποι τὸ ἅρμα, ἔφυδροι τὰς ὁπλάς, καὶ νευστικοί, καὶ γλαυκοί, καὶ νὴ Δία ὅσα δελφῖνες. κἀκεῖ μὲν δυσχεραίνειν ὁ Ποσειδῶν ἔοικε, καὶ νεμεσᾶν τῷ Διΐ, κλίνοντι τὸ Ἑλληνικὸν, καὶ βραβεύοντι αὐτοῖς ἀπὸ τοῦ χείρονος. ἐνταῦθα δὲ φαιδρὸς γέγραπται, καὶ ἱλαρὸν βλέπων, καὶ σφόδρα μάλα ἐρωτικῶς. Ἀμυμώνη γὰρ ἡ Δαναοῦ, θαμίζουσα ἐπὶ τὸ τοῦ Ἰνάχου ὕδωρ, κεκράτηκε τοῦ θεοῦ. καὶ στέλλεται θηρεύσων αὐτὴν, οὔπω

A & noctem ante tempus accedere, exercitúmque cohibere precatur, vt ſibi filium ſurripere liceat, Ioue id fortaſſe permittente: & ecce ſurreptus eſt, & in picturæ finibus exiſtit feſtinatio: & nuſquam terrarum Memnonis extat tumulus. Ipſe autem Memnon in nigrum transformatus eſt in Æthiopia lapidem, & figuram quidem ſedentis. Speciem verò illam puto, & Solis radij ſtatuam petunt. Sol enim Memnonis os veluti plectro percu- B tiens inde vocem elidere, loquacíque ſophiſmate inuento diem ſolari videtur.

NEPTVNVS VEL AMYMONE.

Neptuno per mare incedenti occurriſti (puto) apud Homerum, cùm ad Achiuos ab Ægis proficiſcitur, & tranquillum eſt mare vnà C cum ipſis equis, ac cetis cum comitans. Illa enim ſequuntur, & vt hic Neptuno blandiuntur. Itaque illic quidem (vt reor) terreſtres ſentis equos, æripedes enim ipſos vult eſſe ac celeres, flagelloque cædi. Hic verò ſubcuruati currunt, immerſi vngulas, natatores ac ceſij, & per Iouem vt delphines. Illic præterea indignari quidem. Neptunus, Iouíque, quòd Græcos in fugam vertat, ipſiſque iniquè D ſuffragetur, ſuccenſere videtur. Hic verò lætus, atque hilarum cernens pictus eſt, & amantium more commotus. Amymone namque Danai filia Inachi aquã frequẽtãtis Deum ad amorem compulit, & vt illam ſe amari nõdum ſcientem

capiat, proficiſcitur. Metus autem ac pauor puellæ, vrnáque aurea manus effugiens perculſam Amymonem, & quod Neptunus mare penitus relinquat, ambigere atque ignorare oſtendit: candidámque natura exiſtentem aquæ fulgore immiſcens illuſtrat aurum. Secedamus, ô puer, à nympha. Fluctus enim iam ad nuptias incuruatur, cæſius adhuc, ac fuluus. Sed purpureum ipſum Neptunus reddit.

PALVDES.

Humida quidem eſt humus. Calamum autem ac corticem fert, quæ nullo cultu ac ſatu paludum vbertas edit, & myrica picta eſt & gladiolus. Hæc enim in paludibus enaſcuntur: excelſi autem ac diuerſæ inter ſe naturæ circumiecti ſunt montes. Nam qui pinum præbent tenue indicant ſolùm, qui cupreſſo pullulant, argilloſum præſe ferunt. Abietes autem illæ quid aliud quàm tempeſtuoſum atque aſperum innuunt montem. Neque enim glebam diligunt, nec apricis oblectantur. Quo fit vt à campis migrent, vt pote quæ in montium vertice facilius proueniant, ac creſcant. Fontes autem è montibus ſcaturiunt, qui defluentes aquámque commiſcentes campum in paludem, neque enormem, neque confuſam redigunt. Ipſius autem fluxus æquè à pictura diducitur, ac ſi natura omnium perita ipſum diduceret. Multos autem volutat vertices apio ſcaturientes, auibus in aquas degentibus natatu faciles. Vides enim vt anates in aqua dilabantur, quaſdam veluti aquæ fiſtulans expirantes. quidnam

A ξυνιεῖσαν ὅτι ἐρᾶται. τὸ οὖν περίφοβον τῆς κόρης, καὶ τὸ πάλλεσθαι, καὶ ἡ κάλπις ἡ χρυσῆ διαφυγοῦσα τὰς χεῖρας, δηλοῖ τὴν Ἀμυμώνην ἐκπεπλῆχθαι, καὶ ἀπορεῖν, τί βουλόμενος ὁ Ποσειδῶν ἐκλείπει πᾶσαν δὴ τὴν θάλασσαν. λευκήν τε ὑπὸ φύσεως οὖσαν, ὁ χρυσὸς περιεστίλβει, κεράσας τὴν αὐγὴν τῷ ὕδατι. ὑπεκστῶμεν, ὦ παῖ, τῇ νύμφῃ. κῦ-
B μα γὰρ ἤδη κυρτοῦται ἐς τὸν γάμον; γλαυκὸν ἔτι, καὶ τοῦ χαροποῦ τρόπου. πορφυροῦν δὲ αὐτὸ ὁ Ποσειδῶν γράφει.

ΕΛΗ.

Ὑπόμβρος μὲν ἡ γῆ. φέρει δὲ κάλαμον, καὶ φλοιόν. ἃ δὴ ἄσπαρτα, καὶ ἀνήροτα δίδωσιν ἡ τῶν ἑλῶν εὐφυΐα. καὶ μυρίκη γέγραπται, καὶ κύπειρον. καὶ γὰρ
C ταῦτά ἐστι τῶν ἑλῶν. ὄρη δὲ οὐρανομήκη περιβέβληται φύσεως οὐ μιᾶς. τὰ μὲν γὰρ τῇ πίτυι περιεχόμενα, λεπτόγεων πιθεῖ. τὰ δὲ κυπαρίττῳ κομῶντα, τὴν ἀργιλώδη λέγει. ἐλάται δὲ ἐκεῖναι, τί ἄλλο ἢ δυσχείμερον, καὶ τραχὺ τὸ ὄρος. οὐ γὰρ ἀσπάζονται βῶλον οὐδὲ ἀγαπῶσι θάλπεσθαι. ταῦτά τοι καὶ ἀποικοῦσι τῶν πεδίων, ὡς ἐν τοῖς ὄρεσι ῥᾷον αὐξανόμεναι τοῦ ἄνω. πηγαὶ δὲ ἀποβλύζουσι τῶν ὀρῶν,
D αἳ δὴ ῥέουσαι κάτω, καὶ κοινούμεναι τὸ ὕδωρ, ἕλος ὑπ' αὐτῶν τὸ πεδίον. οὐ μὴν ἄτακτόν γε, οὐδὲ οἷον πεφύρθαι. διῆκται δὲ αὐτοῦ τὸ νᾶμα ὑπὸ τῆς γραφῆς, ὡς ἂν καὶ ἡ φύσις αὐτὸ διήγαγεν ἡ σοφὴ πάντων. Μαιάνδρους δὲ πολλοὺς ἑλίττει, σελίνου βρύοντας, ἀγαθοὺς ναυτίλλεσθαι τοῖς ὄρνισι τοῖς ὑγροῖς. ὁρᾷς γὰρ τὰς νήττας ὡς ἔφυδροι διολισθαίνουσιν, ἀναφυσῶσαί τινας, οἷον αὐλοὺς τοῦ ὕδατος. τί τὸ* χ. ἐ. δὲ ν. τ.

δὲ τῶν χηνῶν ἔθνος. καὶ γὰρ δὴ κἀκεῖνοι γεγράφαται κατὰ τὴν ἑαυτῶν φύσιν, ἐπιπολαιοί τε, καὶ πλωτῆρες. τοὺς δὲ ἐπὶ μακροῖν τοῖν σκελοῖν, τοὺς περιττοὺς τὸ ῥάμφος, ξένους οἶμαι αἰσθάνῃ, καὶ ἁβρούς, ἄλλον ἀλλοίας πτεροῦ· καὶ τὰ σχήματα δὲ αὐτῶν, ποικίλα. ὁ μὲν γὰρ ἐπὶ πέτρας, ἀναπαύει τὼ πόδε κατὰ ἕνα· ὁ δέ, ψύχει τὸ πτερόν· ὁ δέ, ἐκκαθαίρει· ὁ δέ, ἥρπακέ τι ἐκ τοῦ ὕδατος. ὁ δέ, εἰς τὴν γῆν ἀπονένευκεν, ἐπισιτίσασθαί τι ἐκεῖθεν. ἡνιοχεῖσθαι δὲ τοὺς κύκνους ὑπὸ τῶν ἐρώτων, θαῦμα οὐδέν. ἀγέρωχοι γὰρ οἱ θεοί, καὶ δεινοὶ παίζειν ἐς τοὺς ὄρνιθας. ὅθεν μηδὲ τὴν ἡνιόχησιν ἀργῶς παρέλθωμεν, μηδὲ αὐτὸ τὸ ὕδωρ, ἐν ᾧ ταῦτα. τὸ μὲν δὴ ὕδωρ τοῦτο, κάλλιστον τοῦ ἕλους, πηγῆς αὐτὸ διδούσης αὐτόθεν· συνίσταται δὲ εἰς κολυμβήθραν παγκάλην. διὰ μέσου δὲ τοῦ ὕδατος, ἀμάραντα νεύει· τὰ μὲν ἔνθεν, τὰ δὲ, ἐκεῖθεν. ἡδεῖς ἀστάχυες, καὶ βάλλοντες αὖθι τὸ ὕδωρ. περὶ τούτοις ἡνιοχοῦσιν ἔρωτες, ἱερούς, καὶ χρυσοχαλίνους ὄρνις. ὁ μέν, πᾶσαν ἡνίαν ἐνδιδούς· ὁ δέ, ἀνακόπτων· ὁ δέ, ἐπιστρέφων. ὁ δέ, περὶ τὴν νύσσαν ἐκκλίνων· καὶ παρακελευομένων τοῖς κύκνοις ἀκούειν δοκεῖ, καὶ ἀπειλούντων ἀλλήλοις, καὶ τωθαζόντων. ταῦτα γὰρ τοῖς προσώποις ἔπεστιν. ὁ δέ, καταβάλλει τὸν πέλας· ὁ δέ, καταβέβληκεν. ὁ δέ, ἠγάπησεν ἐκπεσεῖν τοῦ ὄρνιθος, ὡς λούσαιτο ἐν τῷ ἱπποδρόμῳ. κύκλῳ δὲ ταῖς ὄχθαις ἐφεστᾶσιν οἱ μουσικώτεροι τῶν κύκνων, ἐπᾴδοντες οἶμαι τὸ ὄρθιον, ὡς πρὸς ζῆλον τοῖς ἁμιλλωμένοις. σημεῖον τῆς ᾠδῆς, ὁρᾷς τὸ πτηνὸν μειράκιον; ἄνεμος τοῦτο ζέφυρος, τὴν ᾠδὴν τοῖς κύκνοις ἐνδιδούς. γέγραπται δὲ ἁπαλόν, καὶ χαρίεν, εἰς

A anſerum gens. Nam & ipſi, vt ſua ipſarum natura exigit, in ſuperficie natantes picti ſunt. Hos autem oblongis cruribus inſiſtentes, roſtro copioſos, externos (puto) noſti ac molles alium aliis pennis. Ipſorum præterea habitus diuerſi. Nam hic quidem in ſaxo alterius inſiſtit pedibus, hic verò pennam refrigerat: at hic expurgat, ille verò ex aqua aliquid cepit, hic in B terram annuit, vt inde aliquid edat. Quod autem infrenati cycni ab amoribus regantur minimè mirum. Sunt enim inſolentes dij, & illudendis auibus idonei. Vnde nec moderamen ipſum, nec in qua hæc fiunt, aquam negligenter prætereamus. Hæc quidem aqua paludis eſt pulcherrima fonte ipſam inde exhibente. In formoſiſſimam autem cogitur piſcinam, in cuius aquæ medio hinc atque illinc nuunt C amaranta, ſuaueſpicæ, & flore aquam plectentes. Circa has cupidines ſacras auróque infrenatas moderantur aues, hic quidem omnem relaxans habenam, hic verò contrahens, hic flectens, ille circa metam declinans, & exhortantes cygnos atque inter ſe minantes, & obiurgantes audire exiſtima, hæc enim vultu præſeferunt. Hic autem proximum deturbat, hic iam deiecit, hic ex aue cecidiſſe gaudet, vt in hippodromo lauet. Qui autem D inter cygnos maximè cantu præſtant, ripas in orbem obſident, orthium (puto) cantum vtpote de more certantibus adcinentes. Cantus ſignum volucrem vides adoleſcentem, ventus hic eſt zephyrus, cygnis cantum remittens. Pictus eſt autem mollis, ac venuſtus, vt

ſpiritum innuat, & cygnis alæ, vt vento plectantur, extenſæ ſunt. & ecce fluuius paludem egreditur latus vndíſque agitatus. Traiiciunt autem ipſum æpoli, & paſtores ſuper ponte, quo iunctus eſt fluuius. Si autem caprarum pictorem laudares, quòd ipſas ſubſultantes ac petulantes pinxerit, vel ouium, quòd tardum ipſis inceſſum, & vt onus, vel ſi potius fiſtulas percurreremus, aut qui his vtuntur, quòd contracto canant ore, picturæ minimam partem laude proſequemur, & quantum ad æmulationem tendit. Sapientiam verò atque occaſionem picturæ, quæ vtique ipſius artis præſtantiſſima videntur, minimè laudabimus. Quæ igitur eſt ſapientia? palmarum par impoſuit flumini, & admodum ſuauem in ipſo rationem. Nam quod de palmis dicitur, cùm haud ignoraret, & inter eas marem ac fœminam eſſe, ipſarúmque connubium audiuiſſet, & quòd fœminas ducant ramis ipſas amplectentes, ſeque in ipſas intendentes, ex vtroque ſexu duas palmas ſingulas ſingulis pinxit ripis. Inde hic quidem amat, & inclinatur, ac fluuium tranſilit. Femina verò adhuc procul exiſtente, cùm amplecti minimè liceat, iacet, & aquam iungens ſeruit: eſtque tranſeuntibus ob corticis aſperitatem tutiſſimus.

A αἴνιγμα τοῦ πνεύματος· καὶ αἱ πτέρυγες ἥπλωνται τοῖς κύκνοις, πρὸς τὸ πλήττεσθαι ὑπὸ τοῦ ἀνέμου. ἰδοὺ καὶ ποταμὸς ὑπεξέρχεται τοῦ ἕλους, εὐρὺς, καὶ ὑποκυμαίνων. διαβαίνουσι δ' αὐτὸν αἰπόλοι, καὶ νομεῖς, ἐπὶ ζεύγματος. εἰ δὲ τῶν αἰγῶν ἐπαινοίης τὸν ζωγράφον, ὅτι αὐτὰς ὑποσκιρτώσας, καὶ ἀγερώχους γέγραφεν, ἢ τῶν προβάτων, ὅτι σχολαῖον αὐτοῖς τὸ βάδισμα, καὶ οἷον ἄχθος, ἢ B μᾶλλον τὰς τῶν συρίγγας εἰ διεξιοίμεθα, ἢ τοὺς χρωμένους αὐταῖς, ὡς ὑπεσταλμένῳ τῷ στόματι αὐλοῦσι, μικρὸν ἐπαινεσόμεθα τῆς γραφῆς, καὶ ὅσον εἰς μίμησιν ἥκει. σοφίαν δὲ οὐκ ἐπαινεσόμεθα, οὐδὲ καιρὸν, ἃ δὴ κράτιστα δοκεῖ τῆς τέχνης. τίς οὖν σοφία; ζεῦγμα φοινίκων ἐπιβέβληκε τῷ ποταμῷ. καὶ μάλα ἡδὺν ἐπ' αὐτῷ λόγον. εἰδὼς γὰρ τὸ περὶ τῶν C φοινίκων λεγόμενον, καὶ ὅτι αὐτῶν ὁ μὲν, ἄρσην τίς, ἡ δὲ, θήλεια, καὶ περὶ τοῦ γάμου σφῶν διακηκοὼς, καὶ ὅτι ἄγονται τὰς θηλείας, περιβάλλοντες αὐτὰς τοῖς κλάδοις, καὶ ἐπιτείνοντες αὐτοὺς ἐπ' αὐτὰς, ἀφ' ἑκατέρου τοῦ γένους δύο φοίνικας, ἕνα κατὰ μίαν ὄχθην γέγραφεν. εἶτα ὁ μὲν, ἐρᾷ, καὶ ἐπικλίνεται, καὶ ὑπεράλλεται τοῦ ποταμοῦ. τῆς δὲ θηλείας ἔτι ἀφεστώσης, οὐκ ἔχων ἐπιλαβέσθαι, κεῖται, καὶ δουλεύει, ζεύξας τὸ ὕδωρ. καὶ ἔστι τοῖς διαβαίνουσιν ἀσφαλὴς ὑπὸ τῆς τοῦ φλοιοῦ τραχύτητος.

AMPHION.

Lyram pulcherrimum inuentum geminis cornibus iugo, & chely primus Mercurius compegiſſe: & poſt Apollinē ac Muſas Amphioni

ΑΜΦΙΩΝ.

Τὴν λύραν τὸ σόφισμα πρῶτος Ἑρμῆς πῆξαι λέγεται κεράτοιν δυοῖν, καὶ ζυγοῦ, καὶ χέλυος. καὶ δοῦναι μετὰ τὸν Ἀπόλλω, καὶ τὰς μούσας, Ἀμφίονι τῷ

Θηβαίῳ δῶρον. ὁ δὲ, οἰκῶν τὰς Θήβας, οὔπω τετειχισμένας, ἀφῆκε κατὰ τῶν λίθων τὰ μέλη. καὶ ἀκούοντες οἱ λίθοι, συνθέουσι. ταῦτα γὰρ τὰ ἐν τῇ γραφῇ. πρώτην οὖν διάθου τὴν λύραν, εἰ καθ' αὑτὴν γέγραπται. τὸ μὲν γὰρ κέρας, αἰγὸς ἰξάλου ποιηταί φασι. χρῆται δὲ αὐτῷ ὁ μὲν μουσικὸς, εἰς τὴν λύραν, ὁ δὲ τοξότης, ἐς τὰ οἰκεῖα. μήχανα, καὶ πριόνωτα ὁρᾷς τὰ κέρατα, καὶ δεινὰ ἐναράξαι. ξύλα δὴ, ὅσων δεῖ τῇ λύρᾳ, πύξου πάντα στρυφνοῦ, καὶ λείου τὸν ὄζον. ἐλέφας οὐδαμοῦ τῆς λύρας· οὔπω οἱ ἄνθρωποι εἰδότες, οὔτε αὐτὸ τὸ θηρίον, οὔθ' ὅ, τι τοῖς κέρασιν αὐτοῦ χρήσονται. ἡ δὲ χέλυς, μέλαινα μὲν, διηκρίβωται δὲ κατὰ τὴν φύσιν, καὶ λαγαροὺς περιβέβληται κύκλους, ἄλλον ξυνάπτοντας ἄλλῳ ξανθοῖς τοῖς ὀμφαλοῖς· νευραὶ δὲ, τὰ μὲν ἐπὶ τῇ μαγάδι παρήκονται, καὶ τοῖς ὀμφαλοῖς ἀπαντῶσι. τὰ δὲ ὑπὸ τῷ ζυγῷ, κοῖλα δοκοῦσι. σχῆμά που τοῦτο αὐτῶν ἀναλογώτατον, ἀνακεκλίσθαι σφᾶς ὀρθὰς ἐν τῇ λύρᾳ. ὁ δὲ Ἀμφίων, τί φησι; τί ἄλλο γε ἢ ψάλλει. καὶ ἡ ἑτέρα χείρ, τείνει τὸν νοῦν εἰς τὴν πηκτίδα, καὶ παραφαίνει τῶν ὀδόντων, ὅσον ἀπόχρη τῷ ᾄδοντι. ᾄδει δὲ οἶμαι τὴν γῆν, ὅτι πάντων γενέτειρα, καὶ μήτηρ οὖσα, καὶ αὐτόματα ἤδη τείχη δίδωσιν. ἡ κόμη δὲ, ἡδεῖα μὲν καὶ καθ' ἑαυτὴν, ἐναλύουσα μὲν τῷ μετώπῳ, συγκατιοῦσα δὲ τῷ ἰούλῳ παρὰ τὸ οὖς, καὶ χρυσοῦ τι ἐπιφαίνουσα. ἡδίων δὲ μετὰ τῆς μίτρας, ἣν φασιν οἱ τῶν ἀποθέων ποιηταὶ χάριτας καμεῖν. ἄγαλμα ἥδιστον, καὶ πρὸς ἔσχατον τῇ λύρᾳ. δοκῶ μοι τὸν Ἑρμῆν ἔρωτι κατειλημμένον, δοῦναι Ἀμφίονι ἄμφω τὰ δῶρα. ἡ δὲ χλαμὺς,

A Thebano dono dediſſe perhibetur. Is autem Thebas nondum muris cinctas habitans cantus miſit in lapides, & audientes lapides concurrunt. Hæc enim picturæ inſunt. Primam igitur lyram deſpice, an pro dignitate picta ſit. Cornu namque capræ eſſe petulcæ poëtæ aiunt, ipſo autem cornu muſicus quidem ad lyram, ſagittarius verò ad ſua vtitur commoda. Atra, ac ſecta ſerris cornua, & ad pulſum ac ſo-
B nitum idonea. Ligna quibus lyra indiget ex buxo omnia valida ac léuia. Ebur in nulla eſt lyræ parte. hominibus elephantem adhuc, & ad quod eius cornibus vterentur, ignorantibus. & chelys nigra quidem, ſed adfabre, & vt rei natura exigit, perfecta eſt. Orbes flauis inter ſe vmbilicis adnexos circundata. Nerui autem partim quidem magadi appoſiti ſunt, vmbilicíſque occurrunt, partim verò ſub iugo
C caui videntur. Hic vtique ipſorum habitus aptiſſimus, cùm directi in lyra reclinentur. Amphion autem quid ait? Quidnam aliud, quàm canit? & altera manus mentem ad lyram reuocat. Ipſeque tantùm aperit dentium, quantum canenti ſatis eſt. Canit autem puto terram, quæ cùm omnium genitrix, ac mater ſit, muros ſponte præbeat: coma autem per ſe quoque iucunda fronti quidem oberrans, vna verò
D cum lanugine ſecundum aurem decendens, aurique neſcio quid præferens, ac cum mitra multò ſuauior quam Gratias elaboraſſe * poëtæ ferunt. Dulciſſimum ornamentum & ad lyram poſtremum Mercurius amore captus vtroque, Amphionem munere mihi proſequutus videtur. Chlamys præterea,

* ſelecti p.

quam geſtat à Mercurio & ipſa, neque enim vno conſtat colore. ſed mutat, ac iuxta Irim variat. In edito autem ſedet, pede quidem terram concinne pulſans, dextera vero neruos plectens canit: & altera manus in rectum promiſſos habet digitos, quod ſolam plaſticen auſuram crederem. Eſto. quæ vero ad lapides pertinent, quomodo habent? omnes ad cantum concurrunt, & audiunt, ac murus fiunt. & hic quidem iam exædificatus eſt, hic vero aſcendit, ille nuper præuenit. Ambitioſi ac ſuaues ſunt lapides, muſicæque obſequentes. At murus portis ſeptem, quot lyra tenoribus, conſtat.

PHAETHON.

Aureæ Heliadum lachrymæ. In Phaëthontis gratiam ipſas defluere ſermo eſt. Aiunt enim ipſum à Sole genitum aurigandi deſiderio paternum audenter aſcendiſſe currum. Habenáſque minimè continentem à recto aberraſſe curſu, inque Eridanum decidiſſe. Hæc ſapientibus quidem exuberantia quædam ignis fuiſſe videtur, à poëtis vero ac pictoribus equi, ac currus, & cœleſtia confunduntur. etenim conſidera. Nox quidem à meridie diem abigit, Solis vero orbis in terram decidens ſtellas trahit. Horæ autem portas deſerentes ad ſibi occurrentes fugiunt tenebras. & equi à iugo excidentes œſtro agitantur: at tellus deficit, palmáſque tollit ad ſidera. Impetuoſo ac vehemente in ipſam ingruente igni. Excidit autem adoleſcentulus ac defertur. Comam enim combuſtam, ardentiáque habet pectora, & in Eridanum dela-

A ἣν φορεῖ, παρὰ τοῦ Ἑρμοῦ καὶ αὕτη. οὐ γὰρ ἀφ' ἑνὸς φέρει χρώματος, ἀλλὰ τρέπεται, καὶ κατὰ τὴν ἶριν μεταυθεῖ. κάθηται δὲ ἐπὶ κολωνοῦ. τῷ μὲν ποδὶ, κρούων ξυμμελές. τῇ δεξιᾷ δὲ παραπλήττων τὰς νευρὰς, ψάλλει· καὶ ἡ ἑτέρα χεὶρ, ἐν ὀρθαῖς ταῖς τῶν δακτύλων προβολαῖς· ὅπερ οἶμαι πλαστικὴν ἀπαυθαδιεῖσθαι μόνην. εἶεν. τὰ δὲ τῶν λίθων, πῶς ἔχει;
B πάντες ἐπὶ τὴν ᾠδὴν συνθέοισι, καὶ ἀκούοισι, καὶ γίνονται τεῖχος. καὶ τὸ μὲν, ἐξῳκοδόμηται· τὸ δὲ, ἀναβαίνει· τὸ δὲ, ἄρτι κατέλαβε. φιλότιμοι, καὶ ἡδεῖς οἱ λίθοι, καὶ θητεύοντες μοισικῇ. τὸ δὲ τεῖχος, ἑπτάπυλον, ὅσοι τῆς λύρας, οἱ τόνοι.

ΦΑΕΘΩΝ.

Χρυσᾶ τῶν Ἡλιάδων τὰ δάκρυα. Φαέθοντι λόγος αὐτὰ ῥεῖν. τοῦτον γὰρ παῖ-
C δα ἡλίου γενόμενον, ἐπιτολμῆσαι τῷ πατρῴῳ δίφρῳ κατ' ἔρωτα ἡνιοχήσεως. καὶ μὴ κατασχόντα τὴν ἡνίαν, σφαλῆναι, καὶ ἐν τῷ Ἠριδανῷ πεσεῖν. ταῦτα τοῖς μὲν σοφοῖς, πλεονεξία τις εἶναι δοκεῖ τοῦ πυρώδους. ποιηταῖς δὲ, καὶ ζωγράφοις, ἵπποι, καὶ ἅρμα. καὶ συγχεῖται τὰ οὐράνια. σκόπει γάρ. νὺξ μὲν ἐκ μεσημβρίας ἐλαύνει τὴν ἡμέραν. ὁ δὲ, ἡλίου κύκλος, εἰς τὴν γῆν ῥέων, ἕλκει τοὺς
D ἀστέρας. αἱ δὲ ὧραι, τὰς πύλας ἐκλιποῦσαι, φεύγουσιν εἰς τὸ ἀπαντῶσαν αὐταῖς ἀχλύν. καὶ οἱ ἵπποι τῆς ζεύγλης ἐκπεσόντες, οἴστρῳ φέρονται. ἀπαγορεύει δὲ ἡ γῆ, καὶ τὰς χεῖρας αἴρει ἄνω, ῥαγδαίως τοῦ πυρὸς ἐς αὐτὴν ἰόντος. ἐκπίπτει δὲ τὸ μειράκιον, καὶ καταφέρεται. τήν τε γὰρ κόμην ἐμπέπρησται, καὶ *τὰ στέρνα ὑποτύφεται. ποταμῷ τῷ Ἠριδανῷ ἐμ- χ. καί

πεσεῖται, καὶ παρέξει μῦθόν τινα τῷ ὕδατι. κύκνοι γὰρ δὴ ἀναφυσῶντες, ἡδὺ τὸ ἐνθένδε, καὶ ποιήσονται ᾠδὴν τὸ μειράκιον. ἀγέλαι τε αὐτῶν ἀρθεῖσαι, Καΰστρῳ ταῦτα καὶ Ἴστρῳ ᾄσονται. καὶ οὐδὲν ἀνήκοον ἔσται τοῦ τοιούτου λόγου. ζεφύρῳ τε χρήσονται πρὸς τὴν ᾠδὴν, ἐλαφρῷ καὶ ἐνοδίῳ. λέγεται γὰρ ξυναυλίαν τοῦ θρήνου τοῖς κύκνοις ὁμολογῆσαι. ταῦτά τοι καὶ πάρεστι τοῖς ὄρνισιν. ὡς τὴν ὥραν καὶ ψάλλειν αὐτὸν, οἷον ὄργανα. τὰς δὲ ἐπὶ τῇ ὄχθῃ γυναῖκας, αἳ οὔπω δένδρα, φασὶ τὰς Ἡλιάδας ἐπὶ τῷ ἀδελφῷ μεταφῦναι, καὶ εἰς δένδρα λῆξαι, δάκρυά τε ἀφιέναι. καὶ ἡ γραφὴ ταῦτα οἶδε. ῥίζας γὰρ βαλομένη ταῖς κορυφαῖς, τὰ μὲν εἰς ὀμφαλὸν δένδρα, αὗται. τὰς δὲ χεῖρας, ὄζοι φθάνουσι. φεῦ τῆς κόμης, ὡς αἰγείρου πάντα. φεῦ τῶν δακρύων, ὡς χρυσᾶ, καὶ τὸ μὲν πλημμύρον ἐν τῇ τῶν ὀφθαλμῶν ἕδρᾳ, χαροπαῖς ἐπαυγάζει ταῖς κόραις, καὶ οἷον ἀκτῖνα ἕλκει. τὸ δὲ ταῖς παρειαῖς ἐντυγχάνον, μαρμαίρει περὶ τὸ ἐκείνων ἔρευθος. τὰ δὲ στάζοντα κατὰ τοῦ στέρνου, χρυσὸς ἤδη. θρηνεῖ καὶ ὁ ποταμὸς, ἀνέχων τῆς δίνης. καὶ τῷ μὲν (κ. χρῶμα) Φαέθοντι, κόλπον ὑπέχει, τὸ γὰρ χρῶμα δεξομένου. τὰς δὲ Ἡλιάδας, γεωργήσει αὐτίκα, αὔραις γὰρ καὶ κρυμοῖς, οἷς ἀναδίδωσι, λιθουργήσει, καὶ τὰ πεσόντα ὑποδέξεται, καὶ διὰ φαιδροῦ τοῦ ὕδατος ἀπάξει τοῖς ἐν Ὠκεανῷ βαρβάροις τὰ τῶν αἰγείρων ψήγματα.

A betur, fluminíque quandam præbebit fabulam. Cygni namque dulce ſpirantes adoleſcentulum ſibi odam facient, ipſorúmque greges ſublati hæc Cayſtro atque Iſtro concinent. nec quicquam erit huiuſmodi ſermonis inſcium. leuíque atque in itinere congruo ad odam vtentur zephyro. Dicitur enim luctus ad concinnitatem cygnis conſenſiſſe. Hæc vtique adſunt auibus. Quare iam tempus eſt, vt perinde atque organa canant. Quæ au-B tem in ripa ſunt mulierculæ, quæ nondum arbores, Heliadas aiunt fratris cauſa transformari, & in arbores deſinere, lachrymáſque effundere. & pictura hoc nouit. Radices enim extremis cùm iniecerit partibus, hæ vſque ad vmbilicum arborem præſeferunt. Rami manus præoccupant. Heu comam, quàm populi omnia, ô quàm aureæ ſunt lachrymæ, & quæ in oculorum quidem ſede inundat, fuluis ſplen-C deſcit pupillis, velutíque radium trahit. Quæ verò ineſt malis, circa ipſarum rubedinem lucet. At quæ in pectore conſiſtunt, iam in aurum redactæ ſunt. Luget & fluuius pœnam ſuſtinens, & Phaëthonti quidem ſinum ſubtendit. Color enim excipientem refert. Heliadas verò mox excolet. Auris enim atque algoribus à ſe exhalantibus in lapidem vertit, atque excipit cadentia. & per limpidam D aquam ad Barbaros Oceanum incolentes populorum abducet ramenta.

ΒΟΣΠΟΡΟΣ.

Τὰ δὲ ἐπὶ τῇ ὄχθῃ γυναῖκα, παραβοῶσι. παρακαλεῖν δὲ τοὺς ἵππους ἐοίκασι, μὴ ῥίψαι τὰ παιδία, μηδὲ ἀπο-

BOSPORVS.

Quæ in littore ſunt mulierculæ adclamant, equos autem precari videntur, ne pueros excutiant, néve frænum reſpuant, ſed feras ca-

piant, ac conculcent. Hi verò (vt puto) audiunt, hæcque perficiunt. Poſt venationem autem ac prædam captam nauis eos ex Europa in Aſiam traiecit, ſtadia vt plurimùm quatuor. Hoc enim interſtitio inter ſe diſtant gentes: & remigum ipſi funguntur officio. Ecce rudentem iaciunt. Amœniſſima autem eos excipit domus, thalamos, & andronas * feneſtrarúmque veſtigia præſeferens. Muro prætereà propugnaculis exornato circundata eſt. Quod autem totius domus eſt pulcherrimum, ſemicircularis circunieċta eſt mari porticus, ſuo ſibi lapide cerula: gignitur è fonte lapis. Tepidus enim fluxus è Phrygiæ montibus emanans, inque lapicidinas lapſum inducens nonnulla immergit ſaxa, & quod agnatum eſt aquoſum reddit. Quo fit vt ipſorum varij ſint colores. Turbidum quidem vbi ſtagnat, ac cerulum refert. Purum verò vbi, cryſtalli ſpeciem illinc reddit: multíſque epotus foraminibus lapides variat. Sed ripa edita eſt, & huiuſmodi fabulæ fert ſymbolum. Puella ac puer ambo formoſi eundémque frequentantes præceptorem, ad mutuum accenſi ſunt amorem: & nulla amplectendi oblata occaſione, ex hoc ſaxo mortem appetiuerunt. itaque hinc in primis ac poſtremis amplexibus ſe præcipites dedere: & pictore fabulam innuente, Cupido ſuper ſaxo exiſtens manum in mare extendit. Quæ verò ſequitur domus; vidua muliercula ob iuuenum moleſtiam vrbem egreſſa colitur. Nam ſe ipſam rapturos aſſeruerant, & petulantia quadam, laſciuíſque ſaltationibus ac carminibus eam frequenter ad-

* cõclauis virorum.

A πλύσαι τὸν χαλινόν, ἑλεῖν δέ, καὶ συμπατῆσαι τὰ θηρία. οἱ δέ, ἀκούουσιν, οἶμαι, καὶ ποιοῦσι ταῦτα. θηράσαντας δὲ αὐτούς, καὶ δαῖτα ᾑρηκότας, διαπορθμεύει ναῦς ἀπὸ τῆς Εὐρώπης ἐς τὴν Ἀσίαν, σταδίοις μάλιστά που τέσσαρας· τουτὶ γάρ που τοὐμέσῳ τοῖν ἐθνοῖν. καὶ αὐτερέται πλέουσιν. ἰδοὺ καὶ πεῖσμα βάλλονται. δέχεται δὲ αὐτοὺς οἰκία μάλα ἡδεῖα, θαB λάμους ὑποφαίνουσα, καὶ ἀνδρῶνας, καὶ θυρίδων ἴχνη. καὶ τεῖχος δὲ περιβέβληται, καὶ ἐπάλξεις ἔχει. τὸ δὲ κάλλιστον αὐτῆς, ἡμίκυκλος περιέστηκε στοὰ τῇ θαλάσσῃ, κηροειδὴς ὑπὸ τοῦ ἐν αὐτῇ λίθου. φύεσις ἐκ πηγῆς τῷ λίθῳ. θερμὸν γὰρ νᾶμα ὑποκρέεται τὰ τῆς Φρυγίας ὄρη, καὶ τὸ ῥεῦμα εἰς τὰς λιθοτομίας εἰσάγον, ὑπόμβροις ἐργάζεται τῶν πετρῶν ἐνίας, καὶ ὑδατώδη ποιεῖ τὴν ἔκφυσιν τῶν λίθων. ὅθεν αὐτῶν καὶ πολλὰ τὰ C χρώματα. θολερὸν μὲν γὰρ ἔνθα λιμνάζει, καὶ κηροειδὲς δίδωσι· καθαρὸν δὲ ὅπου, κρυσταλλοειδὲς ἐκεῖθεν· καὶ ποικίλλει τὰς πέτρας, ἐν πολλαῖς διαπινόμενον ταῖς ὀπαῖς. ἡ ἀκτὴ δέ, ὑψηλή. καὶ τοιοῦδε μύθου φέρει ξύμβολον· κόρη, καὶ παῖς, ἄμφω καλώ, καὶ φοιτῶντε ταὐτῷ διδασκάλῳ, προσεκαύθησαν ἀλλήλοις, καὶ περιβάλλειν οὐκ οὔσης ἀD δείας, ὥρμησαν ἀποθανεῖν ἀπὸ ταυτησὶ τῆς πέτρας. κἀνταῦθεν ἠρθησαν εἰς τὴν θάλασσαν ἐν ὑστάταις, καὶ πρώταις περιβολαῖς. καὶ ὁ ἔρως ἐπὶ τῇ πέτρᾳ τείνει τὴν χεῖρα εἰς τὴν θάλασσαν, ὑποσημαίνων τὸν μῦθον ὁ ζωγράφος. ἡ δὲ ἐφεξῆς οἰκία, χηρεύει τι γύναιον, ἐξεληλυθὸς τοῦ ἄστεος διʼ ὄχλον νέων. ἁρπάσεσθαι γὰρ αὐτὸ ἔφασαν, καὶ ἀφειδῶς

ἐκώμαζον, καὶ δώροις ἐπείρων. ἡ δ᾽ οἶμαι κομψόν τι ἐς αὐτοὺς ἔχουσα, κνίζει τὰ μειράκια. καὶ δεῦρο ὑπεξελθοῦσα, οἰκεῖ τὴν ὀχυρὰν ταύτην οἰκίαν. σκέψαι γὰρ ὡς ὠχύρωται. κρημνὸς τῇ θαλάσσῃ ἐφέστηκε, τὰ μὲν κλυζόμενος ὑπολισθηρῶς, τὰ δὲ ἄνω, περιεσκηκείμενος, ἐφαλόν τινα ταύτην οἰκίαν, ὑφ᾽ ἧς καὶ ἡ θάλασσα κυανωτέρα φαίνεται, καθιεμένων ἐς αὐτὴν τῶν ὀφθαλμῶν, καὶ ἡ γῆ παρέχεται τὰ νεὼς πάντα, πλὴν τοῦ κινεῖσθαι. ἐς τοῦτο ἥκουσαν τὸ φρούριον, ὡς ἀπολελοίπασιν αὐτὴν οἱ ἐρῶντες. ἀλλ᾽ ὁ μὲν, κυανόπρῳρον, ὁ δὲ, χρυσόπρῳρον, ὁ δὲ, ἄλλος ἄλλο τι τῶν ποικίλων ἀκατίων ἐμβεβηκὼς, πλεῖ καὶ κῶμος αὐτὸς, καλοί τε, καὶ ἐστεφανωμένοι, καὶ ὁ μὲν, αὐλεῖ, ὁ δὲ, κροτεῖ φησιν, ὁ δὲ, ᾄδει, οἶμαι. στεφάνους δὲ ἀναρριπτοῦσι, καὶ φιλήματα. καὶ οὐδὲ ἐρέττουσιν, ἀλλὰ ἐπέχουσι τὴν εἰρεσίαν, καὶ ὑφορμίζονται τῷ κρημνῷ. τὸ δὲ γύναιον ἀπὸ τῆς οἰκίας, οἷον ἐκ περιωπῆς, ὁρᾷ ταῦτα, καὶ γελᾷ κατὰ τοῦ κώμου, χλιδῶσα εἰς τοὺς ἐρῶντας, καὶ οὐ πλεῖν μόνον, ἀλλὰ καὶ νεῖν ἀναγκάζουσα. καὶ ποίμναιν ἐντεύξῃ προχωρῶν, καὶ μυκωμένων ἀκούσῃ βοῶν, καὶ συρίγγων βοὴ περιηχήσει σε. καὶ κυνηγέταις ἐντεύξῃ, καὶ γεωργοῖς, καὶ ποταμοῖς, καὶ λίμναις, καὶ πηγαῖς. ἐκμέμακται γὰρ ἡ γραφὴ καὶ τὰ ὄντα, καὶ τὰ γινόμενα, καὶ ὡς ἂν γένοιτο ἔνια, οὐ διὰ πλῆθος αὐτῶν ῥᾳδιουργοῦσα τὴν ἀλήθειαν, ἀλλ᾽ ἐπιτηροῦσα τὸ ἑκάστου οἰκεῖον, ὡσανεὶ κἂν εἰ ἕν τι γέγραφεν, ἔς τ᾽ ἂν ἐφ᾽ ἱερὸν ἀφικώμεθα. καὶ τὸν ἐκεῖ νεὼν οἶμαι ὁρᾷς, καὶ στήλας,

A ibant, muneribúſque ſolicitabant. At ipſa (vt puto) faſtu quodam atque animi elatione in eos vtens vellicat, ac ſcalpit adoleſcentulos, & huc clanculum egreſſa munitam hanc habet domum. Contemplare enim quam munita ſit. Præcipitium mari imminet, qua quidem vndis alluitur, lubricum, ſuperiore verò parte prominens, hanc ſupra mare ſuſtinens domum. Sub qua mare profundius videtur, ſi quis in
B ipſum oculorum aciem dimiſerit: & tellus ad hanc tendens rupem ceteris omnibus præter quàm motu nauem refert. At ne ſic quidem ipſam deſeruerunt cupidines, ſed hic quidem cœruleæ proræ, hic verò inauratæ, alius alterius coloris nauiculam ingreſſus nauigat; necnon & Comus ipſe, id eſt, ebrietatis deus, pulchri, corolliſq; inſignes. & hic quidem tibia canit, hic verò plaudit, inquit: hic cantat, puto: coronas autem atque oſcula
C reiiciunt, nec remos agitant, ſed continent, præcipitióque adhærent. At muliercula domo hæc æquè atque è ſpecula contemplatur. Comúmque irridet in amantes delicioſè ſe gerens; & non modò nauigare, verùm etiam natare cogens. Gregibus quoque progrediens occurres, & mugientes audies boues, fiſtularúmque ſonus tuis obſtrepet auribus. Obuij fient
D & venatores, & agricolæ, fluminàque & lacus, ac fontes: nam & quæ ſunt, quæque fiunt, & vt quædam fieri poſſent, pictura ipſa expreſſit. Non per ipſorum multitudinem malè effingens verũ, ſed vniuſcuiuſq; proprium reddens ac perficiens, vt ſi vnũ quid pinxiſſet; donec ad ſacellum perueniamus. Nam & templum illic exiſtens, & iuxta templum arrectas columnas, vt puto, vides.

vides. & in ore excitatam faculam propterea appenſam, vt venientibus ex Ponto nauibus præluceat.

PISCATORES.

Cur non ad aliud ducis? Satis enim quæ ad Boſphorum pertinēt, mihi cognita ſunt. Quid dices? relicta ſunt mihi quæ ad piſcatores ſpectant, quod initio pollicitus fueram. Itaque ne minima quæque, ſed quæ memoratu digna ſunt percurramus. Calamo quidem piſcantes, vel naſſa vtentes, vel ſi quis rete extrahit, aut tridentem illidit, ab oratione auferamus: parua enim audies, ſi de ipſis ſermonem habuero, picturæque condimenta potius videbuntur. Sed Thynnis inſidiantes videamus. Nam ob prædæ magnitudinem plurimi faciendi. Thynni ex Ponto exterius frequētant mare. quòd & in ipſo geniti ſint, paſcuáq; habeant, hæc quidem piſcium, hæc vero limi, aliorúmque humorum, quos Iſter ac Mæotis in ipſum inferunt. Quo fit, vt reliquo mari dulcior ac potabilior ſit Pontus. Natant autem vt militum phalanx, octeni, & ſeni deni, ac triceni bini, inuicémque alius alium vndis inſpergit, in tantam natantes profunditatem, quanta eſt ipſorum latitudo. Innumeræ autem ſunt, quibus capiuntur ſpecies. Nam & ferrum in eos acuere licet, venenáque inſpergere, paruúmque ſufficit rete, cui gregis paululum ſatis fuerit. Optima eſt autem hæc venatio. Ex ſublimi namque ligno quiſpiam ad numerandum celer, oculorúmque acie præſtans ſpeculatur. Oportet enim vt ipſe mari quidem oculos infigat, longiſſimè verò in-

A αἱ περίδρομοι αὐτοῦ. καὶ τὸν ἐπὶ τῷ στόματι πυρσόν, ὃς ἤρτηται εἰς φρυκτωρίαν τῶν νεῶν, αἳ πλέουσιν ἐκ τοῦ Πόντου.

ΑΛΙΕΙΣ.

Τί οὖν οὐκ ἐπ᾽ ἄλλο ἄγεις; ἱκανῶς γάρ μοι τὰ τοῦ Βοσπόρου διεγνῶσθαι. τί φήσεις; λέλειπταί μοι τὰ τῶν ἁλιέων, ὃ κατ᾽ ἀρχὰς ἐπηγγειλάμην. ἵν᾽ οὖν μὴ περὶ μικρῶν διεξίοιμεν, ἀλλὰ περὶ ὧν λέγειν
B ἄξιον, τοὺς μὲν, καλάμῳ θηρῶντας, ἢ κύρτῳ τεχνάζοντας, ἢ εἴ τις ἀνιμᾷ δίκτυον, ἢ ἐναράττει τρίαιναν, ἀφέλωμεν τοῦ λόγου· σμικρὰ γὰρ ἀκούσῃ περὶ αὐτῶν, καὶ φανεῖταί σοι μᾶλλον ἡδύσματα τῆς γραφῆς. τοὺς δὲ ἐπιχειροῦντας τοῖς θύννοις ἴδωμεν. ἄξιοι γὰρ οὗτοι λόγου, διὰ τὸ μέγεθος τῆς θήρας. φοιτῶσιν οἱ θύννοι τῇ ἔξω θαλάσσῃ παρὰ τοῦ Πόντου, γένεσιν
C ἐν αὐτῷ ἔχοντες, καὶ νομάς, τὰς μὲν, ἰχθύων, τὰς δὲ ἰλύων, καὶ χυμῶν ἑτέρων οὓς ὁ Ἴστρος εἰς αὐτὸν φέρει, καὶ Μαιῶτις. ὑφ᾽ ὧν γλυκερώτερος, καὶ ποτιμώτερος ἄλλης θαλάττης ὁ Πόντος. νέουσι δέ, οἷα στρατιωτῶν φάλαγξ, ἐπὶ ὀκτώ, καὶ ἐφ᾽ ἑκκαίδεκα, καὶ δὶς τόσοι. καὶ ὑποκυματίζουσιν ἀλλήλοις ἄλλος ἄλλῳ, ἐπινέοντες τοσοῦτον βάθος, ὅσον αὐτῶν τὸ εὖρος. ἰδέαι μὲν
D οὖν, καθ᾽ ἃς ἁλίσκονται, μυρίαι. καὶ γὰρ σίδηρόν ἐστιν ἐπ᾽ αὐτοὺς θήξασθαι, καὶ φάρμακα ἐπιπάσαι· καὶ μικρὸν ἤρκεσε δίκτυον, ὅταν ἀπόχρῃ καὶ μικρὸν τῆς ἀγέλης. ἀρίστη δὲ ἥδε ἡ θήρα. σκοπιωρεῖται γάρ τις ἀφ᾽ ὑψηλοῦ ξύλου, ταχὺς μὲν ἀριθμῆσαι, πλεῖον δὲ ὄψιν ἱκανός. δεῖ γὰρ αὐτῷ πεπηγέναι μὲν τοὺς ὀφθαλμοὺς εἰς τὴν θάλατταν, ἐξικνεῖσθαι δὲ πόρ-

ῥωπέτω. κἂν ἐμβάλλοντας τοὺς ἰχθῦς ἴδῃ, βοῆς τε ὡς μεγίστης αὐτῷ δεῖ πρὸς τοὺς ἐν τοῖς ἀκατίοις. καὶ τὸν ἀριθμὸν λέγει, καὶ τὰς μυριάδας αὐτῶν. οἱ δὲ, ἀποφράξαντες αὐτοὺς βαθεῖ, καὶ κλειστῷ δικτύῳ, δέχονται λαμπρὰν ἄγραν· ὑφ᾽ ἧς καὶ πλουτεῖν ἕτοιμον τῷ τῆς θήρας ἡγεμόνι. βλέπε πρὸς τὴν γραφὴν ἤδη. κατόψει γὰρ αὐτὰ καὶ δρώμενα. ὁ μὲν σκοπωρὸς, ἐς τὴν θάλατταν βλέπει, διαπέμπων τοὺς ὀφθαλμοὺς εἰς τὴν τοῦ ἀριθμοῦ σύλληψιν. ἐν γλαυκῷ δὲ τῷ τῆς θαλάττης ἄνθει, τὰ τῶν ἰχθύων χρώματα. μέλανες μὲν οἱ ἄνω δοκοῦσιν, ἧττον δ᾽ οἱ ἐφεξῆς. οἱ δὲ μετ᾽ ἐκείνους, ἤδη παραψεύδονται τὴν ὄψιν. εἶτα σκιώδεις· εἶτα ὑδαροί· εἶτα ὑπονοῆσαι. καταβαίνουσα γὰρ εἰς τὸ ὕδωρ ἡ ὄψις, ἀμβλύνεται διακριβοῦν τὰ ἐν αὐτῷ. ὁ δὲ τῶν ἁλιέων δῆμος, ἡδεῖς, καὶ ξανθοὶ τὴν χρόαν ὑπὸ τοῦ θέρεος. καὶ ὁ μὲν, τὴν κώπην ζεύγνυσιν. ὁ δὲ, ἐρέττει, μάλα διεξῳδηκότι τῷ βραχίονι. ὁ δὲ ἐπικελεύεται τῷ πέλας. ὁ δὲ παίει τὸν μὴ ἐρέττοντα. βοὴ δὲ ἦρται τῶν ἁλιέων, ἐμπεπτωκότων ἤδη τῶν ἰχθύων εἰς τὸ δίκτυον καὶ τοὺς μὲν, ᾑρήκασι, τοὺς δὲ, αἱροῦσιν. ἀμηχανοῦντες δὲ, ὅτι χρήσονται τῷ πλήθει, καὶ παρανοίγουσι τοῦ δικτύου, καὶ συγχωροῦσιν ἐνίοις διαφυγεῖν, καὶ διεκπεσεῖν. τοσοῦτον ἐς τὴν θήραν τρυφῶσι.

ΣΕΜΕΛΗ.

Βροντὴ ἐν εἴδει σκληρῷ, καὶ ἀστραπὴ σέλας ἐκ τῶν ὀφθαλμῶν ἱεῖσα, πῦρ τε ῥαγδαῖον ἐξ οὐρανοῦ τυραννικῆς οἰκίας ἐπειλημμένων, λόγου τοιοῦδε, εἰ μὴ ἀγνοεῖς, ἅπτεται. πυρὸς νεφέλη περισχοῦσα

A tendat. quòd ſi ingredientes piſces viderit, quàm maxima ad eos, qui in nauiculis morantur, opus eſt voce. Ipſorum enim numerum & quot millia ſunt, dicit. Hi verò clauſibili ac profundo ipſos ſepientes reti, præclaram excipiunt prædam. Ex qua venationis duci diteſcere facile eſt. Iam picturam inſpice. Cernes enim hæc fieri. Speculator quidem ſpectat in mare in numeri conceptionem oculos B diffundens. In cœruleo autem æquoris flore piſcium colores. Superiores quidem nigri videntur: minus verò qui ſequuntur, at qui poſt illos ſunt, iam viſum decipiunt, poſtea vmbroſi, deinde aquoſi, mox vt ſuſpicari poſſis. oculorum enim acies in aquam deſcendens ita hebetatur, vt quæ in ipſa ſint, dignoſcere nequeat, at piſcatorum populus ſuaues, & quòd aſſiduè apricentur colore flaui. & C hic quidem remum alligat: hic verò admodum tumeſcente brachio agitat, ille proximum exhortatur, hic remo minimè incumbentem cædit. Sed quòd in retia inciderint piſces: ſublatus eſt à piſcatoribus clamor: & hos quidem ceperunt, hos verò capiunt. Vſque adeo autem in venatione deliciantur, vt quid tanta faciant piſcium multitudine ignorantes nonnullos recluſa retis parte diffugere, atque D excidere permittant.

SEMELE.

Tonitrus ſpecie durus, & fulgur oculis ſplendorem emittens, igniſq. ex tyrãnica cœli domo conceptus; huiuſcemodi niſi fortè ignoras, attingit rationem. Ignea nubes

Thebas obducens, in Cadmi tectum cum fragore cadit, Ioue ad Semelem amantium more accedente. & Semele quidem (vt remur) periit. Dionyſus vero per Iouem (puto) ad ignem naſcitur. & Semeles quidem in cœlum aſcendentis ſpecies obſcura videtur. & Muſæ ipſam illic canent: Dionyſus vero & diſrupto matris vtero exilit: ignémque caliginoſum nitidus ipſe atque inſtar ſtellæ fulgurans reddit. Diſcedens autem flamma antrum Dionyſo Aſſyrio, Lydióque ſuauius in vmbraculi modum effingit. Clauiculi namque, atque hederæ corymbi circa ipſum pullularunt, & iam vites, ac thyrſi arbores, ſic ſponte è terra naſcentes, vt nonnullæ circum ignem ſint. Nec mirari oportet, ſi in Dionyſi gratiam tellus ignem coronat. Quippe quæ & cum ipſo bacchabitur, & vinum è fontibus haurire permittet, lácque cùm ex gleba, tum ex lapide, tum ex vberibus deducere. Audi Pana, quàm in Cithæronis verticib. Dionyſum canere videtur Euion exultans. At Cithærō humana ſpecie in ipſo paulo poſt futuros luget, ac queritur dolores, hederæq́; geſtat coronam à capite declinantem. Nam admodum inuitus Dionyſi cauſa coronatur. Megæra iuxta ipſum Abietem ponit, & aquæ fontem edit, ſanguinis Actæonis (puto) ac Penthei cauſa.

ARIADNE.

Quod Theſeus iniqua faciens; ſunt qui non iniqua dicunt, ſed ex Dionyſo Ariadnen in Dia inſula dormientem reliquerit, fortaſſe & à nutrice audiuiſti. Illæ namque in huiuſmodi ſapientes; lachry-

A τὰς Θήβας, εἰς τὴν τοῦ Κάδμου στέγην ῥήγνυται, κωμάσαντος ἐπὶ τὴν Σεμέλην τοῦ Διός. καὶ ἀπόλλυται μὲν ὡς δοκοῦμεν ἡ Σεμέλη. τίκτεται δὲ ὁ Διόνυσος, οἶμαι νὴ Δία πρὸς τὸ πῦρ. καὶ τὸ μὲν τῆς Σεμέλης εἶδος, ἀμυδρὸν διαφαίνεται ἰούσης ἐς τὸν οὐρανόν. καὶ αἱ μοῦσαι ἐς αὐτὴν ἐκεῖ ᾄσονται. ὁ δὲ Διόνυσος, τῆς μὲν μητρὸς ἐκθρώσκει, ῥαγείσης τὴν γαστέρα, τὸ δὲ πῦρ, ἀχλυῶδες, ἐργάζεται,
B φαιδρὸς αὐτὸς οἷον ἀστήρ τις ἀστράπτων. διαχοῦσα δὲ ἡ φλὸξ, ἄντρον τῷ Διονύσῳ σκιαγραφεῖ, παντὸς ἥδιον Ἀσυρίου τε, καὶ Λυδίου. ἕλικές τε γὰρ καὶ περὶ αὐτῷ τεθήλασι, καὶ κιττοῦ κόρυμβοι, καὶ ἤδη ἄμπελοι, καὶ θύρσου δένδρα. οὕτω τοι ἑκούσης ἀνασχόντα τῆς γῆς, ὡς καὶ τῷ πυρὶ εἶναι ἔνια. καὶ οὐ χρὴ θαυμάζειν, εἰ στεφανοῖ τὸ πῦρ ἐπὶ τῷ Διονύσῳ ἡ γῆ. ἥ γε καὶ συμ-
C βακχεύσει αὐτῷ, καὶ οἶνον ἀφύσσειν ἐκ τῶν πηγῶν δώσει. γάλα τε οἷον ἀπὸ μαζῶν ἕλκειν, τὸ μὲν ἐκ βώλου. τὸ δὲ, ἐκ πέτρας. ἄκουε τοῦ Πανὸς, ὡς τὸν Διόνυσον ᾄδειν ἔοικεν ἐν ταῖς κορυφαῖς τοῦ Κιθαιρῶνος, ὑποσκιρτῶν εὔιον. ὁ Κιθαιρὼν δὲ, ὀλοφύρεται ἐν εἴδει ἀνθρώπου, τὰ μικρὸν ὕστερον ἐν αὐτῷ ἄχη· καὶ κιττοῦ φέρει στέφανον, ἀποκλίνοντα τῆς κεφαλῆς. στεφανοῦται γὰρ δὴ αὐτῷ σφόδρα ἄκων.
D ἐλάτην τε αὐτῷ παραφυτεύει Μέγαιρα, καὶ πηγὴν ἀναφαίνει ὕδατος, ἐπὶ τῷ Ἀκταίωνος οἶμαι, καὶ Πενθέως αἵματι.

ΑΡΙΑΔΝΗ.

Ὅτι τὴν Ἀριάδνην ὁ Θησεὺς ἄδικα δρῶν, οἱ δ' οὐκ ἄδικα φασὶν, ἀλλ' ἐκ Διονύσου, κατέλιπεν ἐν Δίᾳ τῇ νήσῳ καθεύδουσαν, τάχα που καὶ τίτθης ἀκήκοας. σοφαὶ γὰρ ἐκεῖναι τὰ τοιαῦτα, καὶ δα-

κρούουσιν ἐπ' αὐτοῖς, ὅταν ἐθέλωσιν. A οὐ μὴν δέομαι λέγειν, Θησέα μὲν εἶναι τὸν ἐν τῇ νηΐ, Διόνυσον δὲ, τὸν ἐν τῇ γῇ· οὐδ' ὡς ἀγνοοῦντα ἐπιστρέφοιμ' ἂν εἰς τὴν ἐπὶ τῶν πετρῶν, ὡς ἐν μαλακῷ κεῖται τῷ ὕπνῳ. οὐδ' ἀπόχρη τὸν ζωγράφον ἐπαινεῖν, ἀφ' ὧν κἂν ἄλλος ἐπαινοῖτο. ῥᾴδιον γὰρ ἅπασι, καλὴν μὲν τὴν Ἀριάδνην γράφειν, καλὸν δὲ τὸν Θησέα, Διονύσου τε μυρία φάσματα τοῖς γράφειν, ἢ πλάττειν δυναμένοις· ὧν κἂν μικροῦ τύχῃ τις, ᾕρηκε τὸν θεόν. B καὶ γὰρ οἱ κόρυμβοι, στέφανος ὄντες, Διονύσου γνώρισμα, κἂν τὸ δημιούργημα φαύλως ἔχῃ· καὶ κέρας ὑπεκφυόμενον τῶν κροτάφων, Διόνυσος δηλοῖ. καὶ παρδάλις ὑπεκφαινομένη αὖ, τοῦ θεοῦ σύμβολον. ἀλλ' οὗτός γε ὁ Διόνυσος ἐκ μόνου τοῦ ἐρᾶν γέγραπται. σκευὴ μὲν γὰρ ἠνθισμένη, καὶ C θύρσοι, καὶ νεβρίδες· ἔρριπται ταῦτα ὡς ἔξω τοῦ καιροῦ. καὶ οὐδὲ κυμβάλοις αἱ βάκχαι χρῶνται νῦν, οὐδὲ οἱ σάτυροι αὐλοῦσιν· ἀλλὰ καὶ ὁ Πὰν κατέχει τὸ σκίρτημα, ὡς μὴ διαλύσειε τὸν ὕπνον τῆς κόρης. ἁλουργίδι δὲ στείλας ἑαυτὸν, καὶ τὴν κεφαλὴν ῥόδοις ἀνθίσας, ἔρχεται παρὰ τὴν Ἀριάδνην ὁ Διόνυσος, μεθύων τῷ ἔρωτι, φησὶ περὶ τῶν ἀκρατῶς ἐρώντων Τήιος· ὁ Θησεὺς δὲ, ἐρᾷ μὲν, ἀλλὰ τοῦ D τῶν Ἀθηνῶν καπνοῦ. Ἀριάδνην δὲ, οὔτε οἶδεν ἔτι, οὔτε ἔγνω ποτέ. φημὶ δ' αὐτὸν ἐκλελῆσθαι καὶ τοῦ λαβυρίνθου, καὶ μηδὲ εἰπεῖν ἔχειν ἐφ' ὅτῳ ποτὲ εἰς τὴν Κρήτην ἔπλευσεν. οὕτω μόνον τὰ ἐκ πρῴρας βλέπει. ὅρα καὶ τὴν Ἀριάδνην. μᾶλλον δὲ τὸν ὕπνον. γυμνὰ μὲν εἰς ὀμφαλὸν, στέρνα ταῦτα. δέρη δὲ ὑπτία, καὶ ἁπαλή.

máſque, cùm voluerint inter narrandum effundunt. Non itaque mihi opus erit dicere, qui in naui eſt, eſſe Theſeum, Dionyſúmque qui in terra: nec vt ignorantem ad eam, quæ inter ſaxa in molli iacet ſomno, conuertam. Nec pictorem laudare, quibus alius cómendari poſſet, ſatis eſt. Pulchram enim Ariadnen, pulchrúmque Theſeum pingere vnicuique facile, & Dionyſi his qui pingere ac fingere poſſunt infinita ſunt *phaſmata, quorum ſi paululum quid quiſpiam aſſequatur, Deum concepit ac reddidit. Etenim corymbi in ſerta contexti, Dionyſi ſunt indicium, etiam ſi ineptè compacti fuerint. Et cornu ex temporibus erumpens, Dionyſum indicat. Panthera præterea apparens, Dei habetur ſymbolum. At hic ſane Dionyſus amoris tantùm cauſa pictus eſt. Florida enim veſtis, Thyrſique, ac nebrides*, vt ad præſentem occaſionem minimè facientia, abiecta ſunt. Nec cymbalis bacchæ, nec tibiis Satyri in præſentia vtuntur. Quin & Pan ipſe, ne puellæ ſomnum ſoluat, ſaltationem cohibet. At Dionyſus amore ebrius, vt de impotenter amantibus Teius Anacreon ait, purpurea indutus veſte, roſiſque caput redimitus, Ariadnen adit. Theſeus amore quidem captus eſt, ſed Athenarum fumi. Ariadnen verò nec amplius nouit, nec vnquam nouerat. Ipſum autem labyrinthi quoque oblitum aſſero, nec cuius rei cauſa in Cretam vnquam nauigauerit, poſſe dicere. Sic quæ à prora ſunt tantùm cernit. Vide & Ariadnen, quin immo ſomnum ipſum. Nuda enim ad vmbilicum hæc pectora: collum autem ſupinũ, ac molle

*ſimulacra.

*membrana hinnulorum.

guttur; at ala dextera tota apparet: altera verò manus in læna iacet, ne quid ventus deturpet. Qualis, ô Dionyſe, quámque ſuauis anhelitus. Vtrum autem poma, an racemos oleat, oſculatus dices.

PASIPHAE.

Paſiphaë tauri amore capta eſt, Dædalúmque rogat, vt feræ flexanimam aliquam excogitet. Ipſe verò cauam effingit bouem gregali ſimilem vaccæ, cum tauro verſari conſuetæ. & quinam ipſorum fuerit coitus Minotauri indicat ſpecies, præter naturá expreſſa. Coitus autem nunc minimè pictus eſt. Sed officina quidem hæc eſt Dædalo exædificata. Circum verò ipſam ſtant ſtatuæ, quarum aliæ exactam habent formam, iam incedentes; aliæ ad id eruditionis* deductæ ſunt, vt inceſſum polliceantur, vt ſcilicet ſtatuæ incederent. Huic autem rei quæ ante Dædalum erat, ſtatuaria nondum mentem adhibuerat. At Dædalus ipſe atticiſſat quidem, & ſpecie: nam prudentiam quandam ſapientiámque aſpectu præſefert: atticiſſat verò, & ipſo habitu fuſcam hanc veſtem indutus. Addita ipſi & pedum nudatione, qua Attici maximè exornantur. Sedet autem vt congruè bouem concinnet, ac componat, & in fabricanda boue ſocios ſibi facit Cupidines, vt Veneris aliquid in ipſa machina inſpicias. Euidentes enim ſunt Cupidines, ô puer, qui terebram vertunt, & per Iouem qui aſcia rudes adhuc bouis partes leuigant, quíque ſymmetriam librant ac conſiderant, qua opus ipſum conſiſtit: qui autem circa ſerram ſunt, cogitationem omnem, ſapientiámque ſuperarunt, quanta ad

*directionis.

D habitu congruunt. Hic quidem expeditus ac leuis equitat, ſtrenuus (puto) iaculator exiſtens, hic verò munitus atque armatus eſt pectus, feræ palæſtram quandam minitans, ſeptus eſt & crura. Ceterùm adoleſcentulus equo quidẽ vehitur niueo; nigrum verò, vt vides, eſt equo caput: candidúſque fronti impreſſus eſt orbis, Lunæ plenitudinem

*Gr. eſſe.

referens. Habet & aurea phalera, & cocci Medici frænum. Hic enim color aurum illuſtrat, vt ardentes lapilli. Indumentum adoleſcentulo eſt chlamys, venti aliquid ac ſinus habens. Color quidem ex phœnicea purpura, quam laudant Phœnices. Purpurarum autem maximè diligatur, cùm enim obſcurari videatur, pulchritudinem quandam à Sole trahit, & Ides herbæ flore inſpergitur. Ipſe autem coram præſentibus ſe denudare erubeſcens, manicata ac purpurea indutus eſt veſte. Tunica autem ad femoris ac cubiti dimidium terminatur, & ridet & iucundum intuetur. Ita comam nutrit, vt ne cùm vento quidem perturbatur, oculos tegat. Forte aliquis & malam laude proſequetur, naſique modum, ſinguláſque pariter faciei partes. Ego verò faſtum ſuſpicio. etenim vt venator valet, ab equóque extollitur: & ſe amari intelligit. Sarcinas autem ipſis ferunt muli ac muliones: pedas ſcilicet & retia, & venabula, iaculáque & haſtas cuſpide præfixas: canum quoque ductores, ac ſpeculatores ſequuntur, & canum gentes, non modò quæ narium præſagio, vel pernicitate ceteris præſtant, verùm & generoſæ, ac ſtrenuæ: nam & robore in feram opus erat. Ecce pingit Locridas, Lacænas, Indicas, Creticas. has quidem ſuperbas, ac latrantes, has verò prudentes, quæ & inſequuntur, & ad veſtigium inhiant. & Dianam progredientes canent. Ipſius enim templum illic erectum eſt, ſtatuáque præ vetuſtate lêuis: Aprorúmque atque vrſorum capita. Paſcuntur autem ipſi dicatæ feræ.

A τὸ πλῆρες, καὶ φάλαρα ἔχει χρυσᾶ, καὶ χαλινὸν κόκκου μηδικοῦ. τουτὶ γὰρ τὸ χρῶμα, προσαστράπτει τῷ χρυσῷ, καθάπερ οἱ πυρώδεις λίθοι. στολὴ τῷ μειρακίῳ, χλαμὺς ἔχουσά τι ἀνέμου, καὶ κόλπου τὸ μὲν χρῶμα, ἐκ φοινικῆς ἁλουργίας ἣν ἐπαινοῦσι Φοίνικες. ἀγαπάσθω δὲ τῶν ἁλουργῶν μάλιστα. δοκοῦν γὰρ σκυθρωπάζειν, ἕλκει τινὰ παρὰ τοῦ Ἡλίου ὥραν, καὶ τῷ τῆς Ἴδης ἄνθει ῥαίνεται.
B αἰδοῖ δὲ τοῦ γυμνοῦσθαι πρὸς τοὺς παρόντας, ἔσταλται χειριδωτῷ φοινικῷ. συμμετρεῖται δὲ ὁ χιτὼν ἐς ἥμισυ τοῦ μηροῦ, καὶ ἴσα τοῦ ἀγκῶνος· καὶ μειδιᾷ, καὶ χαροπὸν βλέπει, καὶ κομᾷ, ὅσον μὴ ἐπισκοτεῖσθαι τοὺς ὀφθαλμούς, ὅτε ἀτακτήσει ἡ κόμη ὑπὸ τοῦ ἀνέμου. τάχα τις καὶ τὴν παρειὰν ἐπαινέσεται, καὶ τὰ μέτρα τῆς ῥινός, καὶ καθ' ἓν οὑτωσὶ τὰ ἐν τῷ προσώπῳ. ἐγὼ δὲ, ἄγαμαι τοῦ φρονήματος.
C καὶ γὰρ ὡς θηρατὴς ἔρρωται, καὶ ὑπὸ τοῦ ἵππου ἐπῆρται, καὶ συνίησιν ὅτι ἐρᾶται. σκευοφοροῦσι δὲ αὐτοῖς ὀρεῖς, καὶ ὀρεωκόμοι, ποδοστράβας, καὶ ἄρκυς, καὶ προβόλια, καὶ ἀκόντια, καὶ λόγχας. ἐφ' ὧν οἱ κνώδοντες, καὶ κυναγωγοὶ συστρατεύουσι, καὶ σκοπωροί. καὶ τὰ ἔθνη τῶν κυνῶν, οὐχ αἱ τὴν ῥῖνα ἀγαθαὶ μόναι, ἢ αἱ ταχεῖαι αὐτῶν, ἀλλὰ καὶ αἱ γενναῖαι.
D ἔδει γὰρ καὶ ἀλκῆς ἐπὶ τὸ θηρίον. γράφει δὴ Λοκρίδας, Λακαίνας, Ἰνδικάς, Κρητικάς. τὰς μὲν, ἀγερώχους, καὶ ὑλακτούσας. τὰς δὲ, ἐννοούσας, αἳ καὶ μεθέπουσι, καὶ σεσήρασι κατὰ τῶν ἰχνῶν. καὶ τὴν Ἀγροτέραν προϊόντες, ᾄδουσι. νεὼς γάρ τις αὐτῆς ἐκεῖ, καὶ ἄγαλμα λεῖον ὑπὸ τοῦ χρόνου, καὶ συῶν κεφαλαί, καὶ ἄρκτων. νέμεται δὲ αὐτῇ καὶ θηρία ἄνετα,

νεβροὶ, καὶ λύκοι, καὶ λαγωοί. πάντα ἥμερα, καὶ δεδιότα τοὺς ἀνθρώπους, ἔχονται μετὰ τὴν εὐχὴν τῆς θήρας. καὶ τὸ θηρίον οὐκ ἀνέχεται λανθάνειν, ἀλλ' ἐκπηδᾷ τῆς λόχμης. εἶτα ἐμπίπτει τοῖς ἱππεῦσι, καὶ ταράσσει μὲν αὐτοὺς ἐκ προσβολῆς. νικᾶται δὲ ὑπὸ τῶν βαλλόντων, καίρια μὲν ἐντυχόντων διά τε τὸ φράττεσθαι πρὸς τὰς πληγὰς, διά τε τὸ μὴ ὑπὸ θαρρούντων βάλλεσθαι. μαλαχθεὶς δὲ πληγῇ ἐπιπολαίῳ κατὰ τοῦ μηροῦ, φεύγει διὰ τῆς ὕλης. ἐκδέχεται δὲ αὐτὸν ἕλος βαθὺ, καὶ λίμνη πρὸς τῷ ἕλει. διώκουσιν οὖν βοῇ χρώμενοι. οἱ μὲν ἄλλοι, μέχρι τοῦ ἕλους. τὸ δὲ μειράκιον, συνεμβάλλει τῷ θηρίῳ ἐς τὴν λίμνην, καὶ τέσσαρες οὗτοι κύνες. καὶ τὸ μὲν θηρίον, ἵεται τρῶσαι τὸν ἵππον. ἀπονεῦσαν δὲ τοῦ ἵππου τὸ μειράκιον, καὶ ἐς τὰ δεξιὰ κλῖναν, ἀφίησι τῇ χειρὶ πάσῃ, καὶ βάλλει τὸν σῦν κατ' αὐτὸ μάλιστα τὸ συνάπτον τὴν πλάτην τῇ δέρῃ. τοὐντεῦθεν οἱ μὲν κύνες, κατάγουσι τὸν σῦν ἐς τὴν γῆν. οἱ δὲ ἐρασταὶ, βοῶσιν ἀπὸ τῆς ὄχθης, οἷον φιλοτιμούμενοι πρὸς ἀλλήλους, ὅστις ὑπερκεκράξεται τῶν πέλας. καὶ πέπτωκέ τις ἀπὸ τοῦ ἵππου, μὴ κατασχὼν, ἀλλ' ἐκθορυβήσας τὸν ἵππον. ὃς δὲ, καὶ στέφανον αὐτῷ πλέκει παρὰ τοῦ λειμῶνος τοῦ ἐν τῷ ἕλει. ἔτι ἐν τῇ λίμνῃ τὸ μειράκιον· ἔτι ἐπὶ τοῦ σχήματος, ᾧ τὸ παλτὸν ἀφῆκεν. οἱ δὲ, ἐκπεπλήγασι, καὶ θεωροῦσι τὸ αὐτὸ οἷον γραφέν.

A Hinnuli, lupíque, & lepores, cicures omnes, hominéſque minimè timentes, poſt preces venationem aggrediuntur. & fera non patitur latebras: ſed è ſylua exilit, ſtatímque in equites incidit, & ipſos quidem repentino impetu perturbat, ſuperatur verò petentibus, letifera quidem haud aſſequentibus, & quòd ſe aduerſus plagas muniret: & à perturbatis *non confidentibus* B peteretur: mollita autem ac languida in femoris ſuperficie contracto vulnere per ſyluam fugit, profunda autem ipſam excipit palus, & ad paludem lacus. Inſequunturq; igitur feræ curſum clamore prementes, ceteri quidem vſque ad paludem: adoleſcentulus vero cum fera lacum ingreditur, & hi quatuor canes, & fera quidem equum cupit vulnerare: adoleſcentulus vero C ab equo ad dexteram declinans tota manu iaculatur, aprúmque petit, qua maximè humeris collum adnectitur. Inde canes quidē ſuem ad terram deducunt: amatores vero de ripa certatim clamitantes, alius alium clamore ſuperare contendit. Quidam etiam ex equo cecidit, cùm perturbatum cohibere nequaquã poſſet. Eſt & qui ex prato in palude exiſtente ipſi coronam texit. Adhuc in lacu adoleſcentulus, D adhuc eo habitu, quo in feram iaculum miſit. Hi vero obſtupuerunt, & idem vt pictum eſt ſpectant.

ΠΕΡΣΕΥΣ.

Ἀλλ' οὐκ ἐρυθρά γε αὕτη ἡ θάλασσα, οὐδ' Ἰνδοὶ ταῦτα. Αἰθίοπες δὲ, καὶ ἀνὴρ Ἕλλην ἐν Αἰθιοπίᾳ· καὶ ἆθλος τοῦ ἀνδρὸς,

PERSEVS.

Certè hoc non eſt mare rubrum: nec Indi hæc, ſed Æthiopes, & Græcus vir in Æthiopia, & viri certamé, quod

quod amoris cauſa ſponte ſubiit: puto te, ô puer, de Perſeo audiuiſſe, quem Atlanticum in Æthiopia Cetum occidiſſe ferunt, pedeſtri in greges atque homines itinere impetum facientem. Hæc igitur pictore laudante, Andromedámq; quòd Ceto expoſita fuerit, miſerante, certamini finis impoſitus eſt. & Cetus pro littore eiectus eſt, ſanguinis fontibus ſcaturiens, à quibus mare effici rubrum. Andromedam autem Cupido vinclis ſoluit. Pictus autem eſt alatus quidem de more, iuuenis verò præter ſolitum. Anhelans præterea pictus eſt, & vt qui laborauerit. Nam Perſeus priuſquam opus aggrederetur, Cupidini preces fudit vt adeſſet, & aduerſus feram conuolaret. Hic & Græcum exaudiuit, & acceſſit. At puella ſuauis quidem, quòd in Æthiopia candida, ob formam vero ipſam ſuauior. Vinceret vtique mollitie Lydam, grauitate Atticam, fortitudine Lacænam. Eſt autem pro tempore exornata: etenim diffidere videtur, & cum ſtupore gaudere. Perſeum præterea aſpicit, riſum quendam iam in ipſum mittens.

Hic verò haud procul à puella in dulci atque odorata iacet herba, ſudorem in terram fundens, terribili depoſita Gorgone, ne occurrentes populi in lapidem conuertantur. Multi autem ſunt paſtores, qui vt & accipiat & fruatur, lac ac vinum offerunt. Suaues ac iucundi in externo ac peregrino colore Æthiopes, & horrendum ridentes, gaudiúmque præſeferentes, & plurimi ſibi inuicem ſimiles. At Perſeus hæc quidem admittit, ſiniſtro verò cubito ſe ipſum firmans pectus extendit: præque anhelatione ſpiritu repletus puel-

A ὃς ἑκὼν ἔτλη κατὰ τὸν ἔρωτα. οἶμαί σε, ὦ παῖ,
μὴ ἀνήκοον εἶναι τοῦ Περσέως, ὅν φασιν Ἀ-
τλαντικὸν ἀποκτεῖναι κῆτος ἐν Αἰθιο-
πίᾳ, πεζεῦον ἐπὶ τὰς ἀγέλας, καὶ τοὺς ἐν
τῇ γῇ ἀνθρώπους. ταῦτ' οὖν ἐπαινῶν ὁ
ζωγράφος, καὶ οἰκτείρων τὴν Ἀνδρομέ-
δαν ὅτι κήτει ἐξεδόθη, τετέλεσται ἤδη ὁ
ἆθλος. καὶ τὸ μὲν κῆτος, ἔρριπται παρὰ τὴν
ἠϊόνα, ἐμπλημμυροῦν πηγαῖς αἵμα-
τος, ὑφ' ὧν ἐρυθρὰ ἡ θάλαττα. τὴν δὲ Αν-
B δρομέδαν, ἀπαλλάττει τῶν δεσμῶν ὁ ἔ-
ρως. γέγραπται δὲ πτηνὸς μὲν, τὸ εἰωθός.
νεανίας δὲ, παρ' ὃ εἴωθε. καὶ ἀσθμαίνων
γέγραπται, καὶ οὐκ ἔξω τοῦ μεμοχθηκέ-
ναι. καὶ γὰρ εὐχὴν ἀνεβάλετο τῷ ἔρωτι ὁ
Περσεὺς παρὰ τοῦ ἔργου παρεῖναι αὐτὸν, καὶ
κατὰ τοῦ θηρίου συμπέτεσθαι. ὁ δὲ, ἀφίκετο,
καὶ ἤκουσε τοῦ Ἕλληνος. ἡ κόρη δὲ, ἡδεῖα
μὲν, ὅτι λευκὴ ἐν Αἰθιοπίᾳ. ἡδίων δὲ
αὐτὸ τὸ εἶδος. παρέλθοι ἂν καὶ Λυδὴν
C ἁβρὰν, καὶ Ἀτθίδα ὑπόσεμνον, καὶ Σπαρ-
τιάτιν ἐρρωμένην. κεκαλλώπισται δὲ
ἀπὸ τοῦ καιροῦ. καὶ γὰρ ἀπιστεῖν ἔοικε, καὶ
χαίρειν μετ' ἐκπλήξεως. καὶ τὸν Περσέα
βλέπει μειδίαμά τι ἤδη εἰς αὐτὸν πέμ-
πουσα. ὁ δὲ, οὐ πόρρω τῆς κόρης ἐν ἡδείᾳ,
καὶ λιβανώδει πόᾳ κεῖται, στάζων εἰς τὴν
γῆν ἱδρῶτα, καὶ τὸ δεῖμα τῆς γοργοῦς ἔ-
χων ἀπόθετον, μὴ ἐντυχόντες αὐτῷ λαοὶ
D λίθοι γένωνται. πολλοὶ δὲ οἱ βουκόλοι. γά-
λα ὀρέγοντες, καὶ οἶνον ἐπισπάσασθαι. ἡδεῖς
Αἰθίοπες ἐν τῷ τοῦ χρώματος ἀτόπῳ,
καὶ βλοσυρὸν μειδιῶντες, καὶ οὐκ ἄδηλοι
χαίρειν. καὶ οἱ πλεῖστοι ὅμοιοι. ὁ Περσεὺς δὲ,
ἀσπάζεται μὲν καὶ ταῦτα. στηρίζων δὲ αὐ-
τὸν ἐπὶ τοῦ ἀριστεροῦ ἀγκῶνος, ἀνέχει τὸν
θώρακα, ἔμπνουν ὑπὸ τοῦ ἄσθματος

ἐμβλέπων τῇ κόρῃ· καὶ τὴν χλαμύδα τῷ ἀνέμῳ ἐκδίδωσι, φοινικῆν οὖσαν, καὶ βεβλημένην αἵματος ῥανίσιν, ἃς προσέπνευσεν αὐτῷ τὸ θηρίον ἐν τῷ ἀγῶνι. ἐρρώσθων Πελοπίδαι παρὰ τὸν τοῦ Περσέως ὦμον· καλῷ γὰρ ὄντι αὐτῷ, καὶ ὑφαίμῳ, προσήνθηκέ τι τοῦ καμάτου, καὶ ὑπῳδήκασιν αἱ φλέβες, ἐπιλαμβάνοντος τούτου αὐτὰς, ὅταν πλεονεκτήσῃ τὸ ἆσθμα. πολλὰ καὶ παρὰ τῆς κόρης ἄρνυται.

ΠΕΛΟΨ.

Στολὴ δὲ ἁπαλὴ, σχῆμα ἐκ Λυδίας, καὶ μειράκιον ἐν ὑπήνῃ πρώτῃ, Ποσειδῶν τε μειδιῶν εἰς τὸ μειράκιον, καὶ ἀγάλλων αὐτὸ ἵπποις, δηλοῖ Πέλοπα τὸν Λυδὸν ἐπὶ θάλατταν ἥκοντα, ὡς εὔξαιτο τῷ Ποσειδῶνι κατὰ τοῦ Οἰνομάου, ὅτι μὴ χρῆται γαμβρῷ ὁ Οἰνόμαος. ἀλλὰ κτείνων τῆς Ἱπποδαμείας ἐρῶντας, φρονεῖ τε μνηστήρων ἀκροθινίοις. καὶ εὐξαμένῳ τῷ Πέλοπι, ἥκει χρυσοῦν ἅρμα ἐκ θαλάττης. ἠπειρῶται δὲ οἱ ἵπποι, καὶ οἷοι διαδραμεῖν τὸν Αἰγαῖον αὐχμηρῷ τῷ ἄξονι, καὶ ἐλαφρᾷ τῇ ὁπλῇ. ὁ μὲν οὖν ἆθλος, εὐδρομήσει τῷ Πέλοπι. τὸν δὲ τοῦ ζωγράφου ἆθλον, ἡμεῖς ἐξετάζωμεν. οὐ γὰρ σμικροῦ οἶμαι ἀγῶνος, ἵπποις μὲν ξυνθεῖναι τέτταρας, καὶ μὴ ξυγχέαι τὸ τῶν σκελῶν τὸ καθ᾽ ἓν αὐτῶν, ἐμβαλεῖν δὲ αὐτοῖς μετὰ τοῦ γαληνοῦ φρόνημα, στῆσαί τε τὸν μὲν ἐν αὐτῷ, τῷ μὴ θέλειν ἑστάναι. τὸν δὲ, ἐν τῷ κροαίνειν βούλεσθαι, τὸν δὲ ἐν τῷ πείθεσθαι. ὁ δὲ, γάνυται τῇ ὥρᾳ τοῦ Πέλοπος. καὶ εὐρεῖαι αὐτῷ αἱ ῥῖνες, ὅσα χρεμετίζοντι. ἔτι κἀκεῖνο σοφίας. ὁ Ποσειδῶν τοῦ μειρακίου ἐρᾷ, καὶ ἀναφέρει αὐτὸ ἐς τὸν λέβητα, καὶ τὴν Κλωθώ.

A lam aſpicit, purpuream dans vento chlamydem, ſanguiníſque guttis inſperſam, quas fera in certamine in ipſum profuderat. Valeant Pelopidæ præ Perſei humero: pulchro namque exiſtenti, ac ſanguinolento, laboris aliquid infuſum eſt: & tumefactæ ſunt venæ, hoc ipſas tumore operiente, cùm anhelitus abundauerit. Multa quoque à puella adipiſcitur.

B

PELOPS.

Stola mollis, habitus ex Lydia, & adoleſcentulus in prima lanugine, Neptunúſque adoleſcentulo arridens, equíſque ipſum oblectans, Lydum indicant Pelopem propterea ad mare proficiſcentem, vt aduerſus Oenomaum Neptuno ſupplicet, quia Oenomaus ipſum in generum minimè admittit, ſed Hippodamiæ amore captos interficiens, C porcorum exuuiis exultat, & ad ſupplicantem Pelopem aureus è mari accedit currus. Terreſtres ſunt equi, & qui axe ſicco, leuíque vngula Ægæum percurrant. Certamen igitur bene Pelopi ſuccedet: ſed nos pictoris certamen exploremus. neque enim modici eſt (vt puto) laboris quatuor iungere equos, nec ſingula ipſorum crura confundere, ſed factum ipſis cum lenitate imponere, conſtitueréque hunc quidem D in eo, vt minimè velle conſiſtere videatur: hunc verò, vt cupiat exultare: iſtum, vt obſequatur. Hic Pelopis pulchritudine lætatur: & æquè ipſi latæ ſunt nares, atque hinnienti. Illud quoque ad ſapientiam pertinet. Neptunus adoleſcentulum amat: lebetémque ac Clotho in eius memoriam reducit.

A Pelópſque humero videtur coruſcare. & à nuptiis quidem haudquaquam dehortatur: quandoquidem appetiuit: alioqui verò manum attingere contentus, Pelopis dexteram tenet, quæ ad curſum ſpectant ipſi obiiciens. Ipſe verò ſuperbum, atque opulentum ſpirat. & ſupercilium cum equis: ſed dulce atque elatum intuetur quòd cùm tiara incedat. ex qua vt aureæ ſtillæ coma defluens fronti adæquatur, & cum lanugine floret. & huc B atque illuc recidens in compoſito manet. Nates, & pectore, & quæcunque de nudo Pelope dici poſſent, tegit pictura. Lydi namque & ſuperiores barbari intra huiuſmodi veſtes pulchritudinem includentes, talibus illuſtrantur pannis, cùm à natura illuſtrari liceat. & reliqua quidem obſcura, atque intus: eam verò veſtis partem, vbi ſiniſter humerus, ars neglexit, ne ip- C ſius ſplendor tegeretur. Nox enim occupat, & humero adoleſcentulus hud ſecus ac nox heſpero illuſtratur.

XENIA.

Pulchrum autem eſt & ficus legere, & ne has quidem ſilentio præterire, ficus inquam nigras ſucco ſtillantes. Accruatæ quidem ſunt in vitis foliis: pictæ verò cum corticis ramis. & pars quidem hiant, D melle ſcaturientes: pars vero à tempore perinde atque ſciſſæ ſunt. Iuxta ipſas autem ramus proiectus eſt: per Iouem non ocioſus, fructúve inanis, ſed ficus inumbrat: partim quidem crudas, & adhuc groſſos: partim vero rugoſas, atque exoletas. Hæ autem modicè apertæ ſunt, ſucci florem oſtendentes; quæ vero in ſummo ſunt ramo: paſſer per-

ὅ, τῷ Πέλοπι ἀστράψαι δοκεῖ τῷ ὤμῳ. καὶ τοῦ μὲν, γαμεῖν ἀπάγει αὐτὸν, ἐπεὶ ὥρμησεν. ἀγαπῶν δὲ ἄλλως ἐφάψασθαι τῆς χειρὸς, ἐμπέφυκε τῇ δεξιᾷ τοῦ Πέλοπος, ὑποτιθέμενος αὐτῷ τὰ ἐς τὸν δρόμον. ὁ δὲ, ὑπέρφρων ἤδη, καὶ ἀφνειὸν πνεῖ, καὶ ἡ ὀφρὺς μετὰ τῶν ἵππων. βλέπει δὲ ἡδὺ, καὶ μετέωρον, ὑπὸ τῆς πάρα ἐπισοβεῖν. ἧς οἷα χρυσαῖ λιβάδες ἡ κόμη τοῦ μειρακίου ἀποστάζουσα, μετώπῳ ὁμολογεῖ, καὶ ἰούλῳ συνανθεῖ. καὶ μεταπίπτουσα τῇδε, κἀκεῖσε, ἐν τῷ καιρῷ μένει. Γλουτὸν, καὶ στέρνα, καὶ ὅσα περὶ γυμνοῦ τοῦ Πέλοπος ἐλέγχει ἂν, καλύπτει ἡ γραφή. Λυδοὶ γὰρ, καὶ οἱ ἄνω βάρβαροι, καθείρξαντες ἐς τοιάσδε ἐσθῆτας τὸ κάλλος, λαμπρύνονται τοιοῖσδε ὑφάσμασιν, ἐνὸν λαμπρύνεσθαι τῇ φύσει. καὶ τὰ μὲν ἄλλα, ἀφανῆ, καὶ εἴσω. τὸ δὲ τῆς στολῆς; ἔνθα ὁ ὦμος ὁ ἀριστερὸς, τέχνη ἠμέληται, ὡς μὴ κρύπτοιτο αὐτοῦ ἡ αὐγή. νὺξ τε γὰρ ἐπέχει, καὶ λαμπρύνεται τῷ ὤμῳ τὸ μειράκιον, ὅσα ἡ νὺξ τῷ ἑσπέρῳ.

ΞΕΝΙΑ.

Καλὸν δὲ καὶ συκάσαι, καὶ μηδὲ ταῦτα παρελθεῖν ἀφώνοις, σῦκα μέλανα ὀπῷ λειβόμενα, σεσώρευται μὲν ἐπὶ φύλλων ἀμπέλου. γέγραπται δὲ μετὰ τῶν φλοιοῦ ῥηγμάτων. καὶ τὰ μὲν, ὑποκέχηνε, παραπτύοντα τοῦ μέλιτος. τὰ δ' ὑπὸ τῆς ὥρας, οἷον ἔρρωγε. πλησίον δὲ αὐτῶν, ὄζος ἔρριπται. μὰ Δί' οὐκ ἀργὸς, ἢ κενὸς τοῦ καρποῦ. σκιάζει δὲ σῦκα τὰ μὲν, ὠμὰ, καὶ ὀλύνθους ἔτι. τὰ δὲ, ῥυσὰ, καὶ ἔξωρα· τὰ δὲ, ὑποσέσηρα, παραφαίνοντα τοῦ χυμοῦ τὸ ἄνθος. τὸ δὲ ἐπ' ἄκρῳ τοῦ ὄζου στρουθὸς διο-

ἐφρύχεν· ἃ δὴ καὶ ἥδιστα σύκων δοκεῖ. καρύοις δ᾽ ἅπαν ἔστρωται τοὔδαφος. ὧν τὰ μὲν, παρατέτριπται τοῦ ἐλύτρου. τὰ δὲ, ἔγκειται μεμυκότα. τὰ δὲ, παρεμφαίνει τὴν διαφυήν. ἀλλὰ καὶ ὄχνας ἐπ᾽ ὄχναις ὅρα, καὶ μῆλα ἐπὶ μήλοις, σωροὺς τῶν αὐτῶν, καὶ δεκάδας, εὐώδη πάντα, καὶ ὑπόχρυσα. τὸ δὲ, ἐν αὐτοῖς ἔρευθος, οὐδὲ ἐπιβεβλῆσθαι φήσεις, ἀλλὰ ἔνδον ὑπηνθηκέναι. Κερασίου δὲ ταῦτα δῶρα. ὀπώρα τις αὕτη βοτρυδὸν ἐν ταλάρῳ. ὁ τάλαρος δὲ, οὐκ ἀλλοτρίων πέπλεκται λύγων, ἀλλ᾽ αὐτοῦ τοῦ φυτοῦ. πρὸς δὲ τὸν σύνδεσμον τῶν κλημάτων, εἰ βλέπεις, καὶ τὰς ἐκκρεμαμένας αὐτῶν σταφυλὰς, καὶ ὡς κατὰ μίαν αἱ ῥᾶγες, ᾄσῃ τὸν Διόνυσον οἶδα, καὶ ὦ πότνια βοτρυόδωρε, περὶ τῆς ἀμπέλου ἐρεῖς. φαίης δ᾽ ἂν καὶ τοὺς βότρυς τῇ γραφῇ ἐδωδίμους εἶναι, καὶ ὑποίνους. κἀκεῖνο ἥδιστον, ἐπὶ φύλλων κράδης μέλι χλωρὸν ἐνδεδυκὸς ἤδη τῷ κηρῷ· καὶ ἀναπλημμυρεῖν ὡραῖον, εἴ τις ἀποθλίβοι. καὶ τροφαλὶς ἐφ᾽ ἑτέρου φύλλου νεοπαγὴς, καὶ σαλεύουσα· καὶ ψυκτῆρες γάλακτος οὐ λευκοῦ μόνον, ἀλλὰ καὶ στιλπνοῦ. καὶ γὰρ στίλβειν ἔοικεν ὑπὸ τῆς ἐπιπολαζούσης αὐτῷ πιμελῆς.

A fodit, quæ vtique ficuum ſuauiſſimæ videntur. Nucibus autem totum inſtratum eſt pauimentũ, quarum aliæ quidem putamine excluſæ ſunt: aliæ verò inſunt hiantes, nonnullæ ſciſſuram indicant. At & pyra in pyris, ſpecta, & poma ſuper pomis, ipſorúmque aceruos ac decadas; odorata omnia, atque inaurata. Qui autem ipſis ineſt rubor, non impoſitum, ſed intus editum dices.
B Ceraſi autem hæc munera: fructus quidam hic racematim in Calatho. Calathus autem non alienis, ſed ipſius plantæ contextus eſt viminibus. Ad palmitum autem contextus, ac coniunctiones, ſi bis ex ipſis ſuſpenſas cernis vuas; & vt ſinguli extant acini, hymnis celebrabis Dionyſum, vt noui, &, ô veneranda racemifera, de vite inquies. Diceres vtique racemos pictura ipſa eſui eſſe, ac vi-
C nolentos. Illud quoque ſuauiſſimum, in Cradæ foliis recens mel, iam tempori cedens, & ad redundandum atque effluendum oportunum, ſi quis exprimeret. & caſeus in altero folio nuper coactus, & palpitans, & lactis crateres non modò niuei, verùm etiam ſplendidi: præ pinguedine namque ſupernatante ſplendeſcere videtur.

ΦΛ. ΦΙΛΟΣΤΡΑΤΟΥ ΕΙΚΟΝΕΣ.

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

FLAVII PHILOSTRATI IMAGINES.

LIBER SECVNDVS.

VENVS.

VENEREM eburneam in mollibus Myrtetis molles canunt puellæ. Sapiens ipſas nec exoleta ducit magiſtra. Nam primis rugis quædam ineſt pulchritudo: ſenectam (quidem venerabilem adferens), huic verò quòd reliquum eſt vigoris immiſcens. & Veneris quidem figura verecundiæ nuda, ac formoſa. Materia verò compoſitio eſt compacti eboris. At Dea minimè vult videri picta, itáque extat, vt capi poſſe videatur. Víſne aliquid de ara dicamus: ſatis enim thuris caſiæque ac myrrhæ habet. Videtur autem mihi & Sapphus aliquid reſpirare. Laudanda eſt igitur picturæ ſapientia. Primùm quidem dilectos circumponens lapides, non à coloribus eos, ſed à lumine imitata eſt, ipſis perinde atque oculo certum ſplendorem addens, deinde quòd vt hymnum audiamus præbet. Canunt enim puellæ, canunt,

A

ΑΦΡΟΔΙΤΗ.

Ἀφροδίτην ἐλεφαντίνην ἁπαλοῖς μυρρινῶσιν ᾄδουσιν ἁπαλαὶ κόραι. διδάσκαλος αὐτὰς ἄγει σοφή, καὶ οὐδὲ ἔξωρος. ἐφιζάνει γάρ τις ὥρα, καὶ ῥυτίδι προσφότῃ, γῆρας μὲν τὸ ὑπόσεμνον ἕλκουσα, τούτῳ δ᾽ αὖ κεραννῦσα τὸ σωζόμενον τῆς ἀκμῆς. καὶ τὸ
B μὲν σχῆμα τῆς Ἀφροδίτης, αἰδοῦς γυμνὴ καὶ εὐσχήμων. ἡ δὲ ὕλη, συνθήκη μεμυκότος ἐλέφαντος. ἀλλ᾽ οὐ βούλεται γεγράφθαι δοκεῖν ἡ θεός. ἐκκεῖται δὲ οἵα λαβέσθαι. βούλει λόγου τι ἐπιλάβωμεν τῷ βωμῷ; λιβανωτοῦ γὰρ ἱκανῶς ἔχει, καὶ κασίας, καὶ σμύρνης. δοκεῖ δέ μοι καὶ Σαπφοῦς τι ἀναπνεῖν. ἐπαινετέα τοίνυν ἡ σοφία τῆς γραφῆς. πρῶ-
C τον μὲν, τὰς ἀγαπωμένας λίθους περιβαλοῦσα, οὐκ ἐκ τῶν χρωμάτων αὐτὰς ἐμιμήσατο, ἀλλ᾽ ἐκ τοῦ φωτός. οἷον ὀφθαλμῷ κέντρον τὴν διαύγειαν αὐταῖς ἐνθεῖσα. εἶτα καὶ ἐπὶ τοῦ ὕμνου παρέχει ἀκούειν. ᾄδουσι γὰρ αἱ παῖδες, ᾄδουσι

χ. ἰταλ. καὶ ἡ διδάσκαλος ὑποβλέπει τὴν ἀπᾴδουσαν, κροτοῦσα τὰς χεῖρας, καὶ εἰς τὸ μέλος ἱκανῶς ἐμβιβάζουσα. τὸ μὲν γὰρ τῆς στολῆς ἀπέριττον, καὶ μὴ δι᾽ ὄχλου αὐταῖς εἰ ἀθύροιεν, ἢ τὸ ἐν χρῷ τῆς ζώνης, ἢ τὸ εἰς βραχίονα τοῦ χιτῶνος, ἢ ὡς ἀνυποδησίᾳ χαίρουσιν, ἐφεστῶσαι ἁπαλῇ πόᾳ, καὶ ἀναψυχὴν ἕλκουσαι παρὰ τῆς δρόσου, λειμών τε ὁ περὶ τὰς ἐσθῆτας, καὶ τὰ ἐν αὐταῖς χρώματα, καὶ ὡς ἄλλο ἄλλῳ ἐπιπρέπει, δαιμονίως ἐκμεμίμηται. τὰ γὰρ συμβαίνοντα οἱ μὴ γράφοντες, οὐκ ἀληθεύουσιν ἐν ταῖς γραφαῖς. τὰ δὲ εἴδη τῶν παρθένων, εἰ τῷ Πάριδι, ἢ ἄλλῳ τῷ κριτῇ ἐπιτρέποιμεν, ἀπορῆσαι ἄν μοι δοκεῖ ψηφίσασθαι. τοσοῦτον ἁμιλλῶνται, ῥοδοπήχεις, καὶ ἑλικώπιδες, καὶ καλλιπάρῃοι, καὶ μελίφωνοι. Σαπφοῦς τοῦτο τὸ ἡδὺ πρόσφθεγμα. παραψάλλει δὲ αὐταῖς Ἔρως, ἀνακλίνας τοῦ τόξου τὸν πῆχυν. καὶ ἡ νευρὰ παναρμόνιον ᾄδει, καί φησι πάντα ἔχειν, ὅσα ἡ λύρα· ταχεῖς τε οἱ ὀφθαλμοὶ τοῦ θεοῦ, ῥυθμόν τινα οἶμαι διανοοῦντες. τί δῆτα ᾄδουσι; γέγραπται γάρ τι καὶ ᾠδῆς. τὴν Ἀφροδίτην ἐκφῦναι τῆς θαλάττης λέγουσιν, ἐπιῤῥοῇ τοῦ οὐρανοῦ. καὶ ὅπου μὲν τῶν νήσων προσέσχεν, οὔπω λέγουσιν. ἐροῦσι δὲ οἶμαι Πάφον. τὴν γένεσιν δὲ ἱκανῶς ᾄδουσιν. ἀναβλέπουσαι μὲν γὰρ, ἐμφαίνουσιν, ὅτι ἀπ᾽ οὐρανοῦ. τὰς δὲ χεῖρας ὑπτίας ὑποκινοῦσαι, δηλοῦσιν ὅτι ἐκ θαλάττης. τὸ μειδίαμα δὲ αὐτῶν, γαλήνης ἐστὶν αἴνιγμα.

ΑΧΙΛΛΕΩΣ ΤΡΟΦΑΙ.

Νεβροὶ, καὶ λαγὼς, ταῦτα θηράματα τοῦ νῦν Ἀχιλλέως. ὁ δέ γε ἐν Ἰλίῳ,

A & magiſtra diſcordantem reſpicit, manus pulſans, & ad concinnitatem affatim reducens. Stolæ enim modus, & qui minimè eis impedimento eſſet, ſi luderent, vel ad cutem zona, vel ad brachium tunica: aut quòd pedum nudatione lætentur: in molli ſtantes herba: frigúſque è rore captantes, pratúmque quod veſtes circuit, & qui in eis ſunt colores, & quod alius alium interdicet mirum in modum
B expreſſa ſunt. Nam qui ea minimè pingunt, quæ contingere ſolent, in picturis mentiuntur. Virginum autem formas ſi Paridi, aut alij cuipiam iudici committeremus, mihi vtique in proferenda ſententia dubitaturus videtur, vſque adeo inter ſe pulchritudine certant. Roſeæ vlnas, nigræ oculos, pulchræ malas, & dulciloquæ, Sapphus vtique hoc dulce alloquium. Adcinit autem ipſis Cupido, arcus
C brachium reclinans, cuius neruus omnes refert harmonias, & quæ lyræ inſunt, habere fatetur. celeréſque ſunt Dei oculi, rhythmum quempiam (puto) excogitantes. Quid igitur canit? Pictum eſt enim & Odes aliquid. Venerem è mari genitam cœli influxu ferunt, & quò quidem inſularum appulſa ſit, nondum dicunt: dicent autem (vt puto) Paphum. Natiuitatem autem ſatis canunt; ſuſpicien-
D tes quidem è cœlo genitam indicant: manus vero ſupinas ſubmouentes, quod è pelago orta ſit, oſtendunt. Ipſarum autem riſus placidi eſt maris indicium.

ACHILLIS ALIMENTA.

Hinnuli, & lepus hæ præſentis Achillis sűt prædæ. Qui vero in Troia,

ciuitates, equos, & virorum capiet ordines: & flumina cum ipſo pugnabunt, ea fluere minimè permittente: & illorum quidem operum præmium Briſeida: & illas ex Leſbo ſeptem, aurúmque, & tripodas, & obſequentes Græcos præmium accipiet. Quæ verò apud Chironem fiunt, pomis videntur, ac fauis digna: & amas, ô Achilles, parua munera, ciuitates, Agamemnoníſque affinitatem tunc aſpernaturus. Qui igitur in aggere, quíque ſolo clamore Troianos in fugam vertit, & qui conuerſim interficit, Scamandri aquam rubram reddens, equíque immortales, & Hectoris tractus, & qui in Patrocli pectoribus fremit ab Homero ſcriptus eſt. Ipſum præterea canentem, ac ſuplicantem, & ſub vno cum Priamo exiſtentem tecto ſcribit. Hunc autem nondum virtutis capacem: ſed adhuc puerum, lacte ac medulla alens Chiron pingendum tradidit, mollem, atque elatum, & iam leuem: recta enim eſt puero tibia; ad genu verò manus, probæ enim hæ ſunt, curſus duces, comáque ſuauis, neque immobilis: videtur enim alludens Zephyrus ipſam tranſponere, ac perturbare, vt huc atque illuc recidente alias alius ſit puer. Superciliúmque, & iracunda elatio ineſt quidem iam puero: ſed benigno eam aſpectu, hilaráque placat gena, mollis quid riſus promittente. Chlamys autem, qua indutus eſt, à matre (vt puto) pulchra enim ac purpurea, à ceruleo colore diuerſa. Adulatione autem quadam eum, vt leonem, excitat Chiron ad lepores, atque hinnulos capiendos.

A πόλεις αἱρήσει, καὶ ἵππους, καὶ ἀνδρῶν στίχας. καὶ ποταμοὶ αὐτῷ μαχοῦνται, μὴ ἐῶντι αὐτοὺς ῥέειν· κἀκείνων μὲν τῶν ἔργων, μισθὸν ἀποίσεται Βρισηΐδα, καὶ τὰς ἐκ Λέσβου ἑπτὰ, καὶ χρυσὸν, καὶ τρίποδας, καὶ τοὺς Ἀχαιοὺς ἐπ' αὐτῷ εἶναι. τὰ δὲ παρὰ τῷ Χείρωνι ταῦτα, μήλων δοκεῖ, καὶ κηρίου ἄξια. καὶ ἀγαπᾷς, ὦ Ἀχιλλεῦ, μικρὰ δῶρα, πόλεις ἀπα- B ξιώσων τότε, καὶ τὸ κῆδος τοῦ Ἀγαμέμνονος; ὁ μὲν οὖν ἐπὶ τῇ τάφρῳ, καὶ ὁ κλίνας τοὺς Τρῶας ἐκ μόνου τοῦ βοῆσαι, καὶ ὁ κτείνων ἐπιστροφάδην, καὶ ἐρυθραίνων τὸ τοῦ Σκαμάνδρου ὕδωρ, ἵπποι τε ἀθάνατοι, καὶ ἕλξεις Ἕκτορος, καὶ ὁ βρυχώμενος ἐπὶ τοῖς Πατρόκλου στέρνοις, Ὁμήρῳ γέγραπται. γράφει δὲ αὐτὸν καὶ ᾄδοντα, καὶ εὐχόμενον, καὶ ὁμωρόφιον τῷ Πριάμῳ. τουτονὶ δὲ, οὔπω ξυνιέντα ἀ- C ρετῆς; ἀλλὰ παῖδα ἔτι, γάλακτι ὑποθρέψας, καὶ μυελῷ, καὶ μέλιτι, δέδωκεν ὁ Χείρων γράφειν, ἁπαλὸν, καὶ ἀγέρωχον, καὶ ἤδη κοῦφον. εὐθεῖα μὲν γὰρ ἡ κνήμη τῷ παιδὶ, ἐς γόνυ δὲ αἱ χεῖρες. ἀγαθαὶ γὰρ δὴ αὗται πομπεῖς τοῦ δρόμου. κόμη τε ἡδεῖα, καὶ οὐδὲ ἀκίνητος. ἔοικε γὰρ προσαθύρων ὁ Ζέφυρος, μεταπάττειν αὐτήν. ὡς μεταπιπτούσης τῇδε, κἀκεῖσε, ἄλλοτ' ἄλλος ὁ παῖς εἴη. ἐπισκύνιόν τε, D καὶ θυμοειδὲς φρύαγμα, ἔστι μὲν ἤδη τῷ παιδί. πραΰνει δὲ αὐτὸ ἀκάκῳ βλέμματι, καὶ παρειᾷ μάλα ἵλεῳ, καὶ προσβαλλούσῃ τι ἁπαλοῦ γέλωτος. ἡ χλαμὺς δὲ, ἣν ἀμπέχεται, παρὰ τῆς μητρὸς οἶμαι. καλὴ γὰρ, καὶ ἁλιπόρφυρος, καὶ πυραυγής, ἐξαλλάττουσα τοῦ κυανῆν εἶναι. κολακεύει δὲ αὐτὸν ὁ Χείρων, οἷα λέοντα, πτῶκας ἁρπάζειν, καὶ νεβροῖς συμπέτεσθαι.

πλείστου κατακούειν τοῦ ὁμάδου. ἐγὼ μὲν
οἶμαι τὴν ὥραν ἐκείνου τοῦ μειρακίου,
διαθηρῶντας ὑμᾶς, τεθηρᾶσθαι ὑπ' αὐτοῦ
καὶ προκινδυνεύειν ἐθέλειν. τί γὰρ οὕτω
πλησίον; τί δὲ παραψαύοντες; τί δὲ περὶ
αὐτὸ ἐπέστραφθε; τί δὲ ὠστίζεσθε τοῖς ἵπ-
ποις; οἷα ἔπαθον. ἐξήχθην ὑπὸ τῆς γρα-
φῆς, μὴ γεγράφθαι δοκῶν αὐτούς. εἶναι
δὲ, καὶ κινεῖσθαι, καὶ ἐρᾶν. διαπωθάζω γοῦν
ὡς ἀκούοντας, καὶ δοκῶ τι ἀντακούσεσθαι.
σὺ δ' οὐδ' ὅσα ἐπιστρέψας παραπαίον-
τα ἐφθέγξω τι, παραπλησίως ἐμοὶ νε-
νικημένος, καὶ οὐκ ἔχων ἀνείργεσθαι τῆς ἀ-
πάτης, καὶ τοῦ ἐν αὐτῇ ὕπνου. σκοπῶμεν
οὖν τὰ γεγραμμένα. γραφῇ γὰρ παρε-
στήκαμεν. περιεστήκασι μὲν δὴ τὸ μειρα-
κίῳ νεανίαι καλοὶ, καὶ καλὰ ἐπιτη-
δεύοντες, καὶ οἷον εὐπατρίδαι. καὶ ὁ μὲν,
παλαίστρας τι ἐπιδηλοῖ τῷ προσώ-
πῳ· ὁ δὲ, χάριτος, ὁ δὲ, ἀστεϊσμοῦ· τὸν δὲ,
ἀνακεκυφέναι φήσεις ἐκ βιβλίου.
φέρουσι δὲ αὐτοὺς ἵπποι, παραπλήσιος
οὐδεὶς ἄλλος ἄλλῳ. λευκός τις, καὶ ξαν-
θὸς, καὶ μέλας, καὶ φοῖνιξ. ἀργυροχάλι-
νοι, καὶ στικτοὶ, καὶ χρυσοῖ τὰ φάλαρα.
ταῦτα φασὶ τὰ χρώματα τοὺς ἐν Ὠ-
κεανῷ βαρβάρους ἐγχεῖν τῷ χαλκῷ
διαπύρῳ· τὰ δὲ, συνίστασθαι, καὶ λιθοῦσθαι,
καὶ σώζειν ἃ ἐγράφη. οὐδὲ τὴν ἐσθῆτα
συμβαίνουσιν, ἢ τὴν στολήν. ὁ μὲν, εὔ-
ζωνος ἱππάζεται, καὶ κοῦφος, ἀκοντιστὴς
οἶμαι ἀγαθὸς ὤν. ὁ δὲ, πέφρακται τὸ
στέρνον, ἀπειλῶν πάλιν τινὰ τῶν θηρίων·
καὶ τὰ σκέλη πέφρακται. τὸ δὲ μειρά-
κιον, ὀχεῖται μὲν ἐφ' ἵππου λευκοῦ. μέ-
λαινα δὲ ὡς ὁρᾷς ἡ κεφαλὴ τοῦ ἵπ-
που. καὶ λευκὸν ἀποτετόρνευται κύκλον ἐπὶ τοῦ μετώπου, κατ' αὐτὸ τῆς σελήνης

A ximo etiam interuallo ſtrepitus ex-
audiant. Ego quidem vos illius a-
doleſcentuli formam aucupantes, ab
ipſo iam captos reor, velléque pro
ipſo periclitari. Quid enim tam pro-
pe? & quid attingentes? Quid in
ipſum conuerſi eſtis? Cur equis tru-
dimini? Quale paſſus ſum! Sedu-
ctus à pictura, haud pictos eos eſſe
exiſtimans: ſed & viuere*, & moue- Gr. εἶναι
ri, atque amare. Obiurgo igitur vt
audientes, méque aliquid contra
B exauditurum puto. Tu verò ne tan-
tulum quidem me aberrantem cu-
rans quicquam dixiſti, æquè atque
ego victus, nec habens quo pacto
me à fraude, & ab eo qui in ipſa
erat, ſopore prohiberes. Conſide-
remus igitur quæ picta ſunt. Pictu-
ræ enim adſiſtimus. Circuniecti v-
tique ſunt adoleſcentulo, honeſti
iuuenes, & honeſta exercentes, per-
inde atque patricij. & hic quidem
luctæ aliquid facie indicat: hic verò
C veneris, ille vrbanitatis, hunc de li-
bro caput ſuſtuliſſe dices. Ferunt au-
tem ipſos equi inter ſe diſſimiles.
Eſt candidus quidam & flauus, &
niger & phœniceus. Argenteis om-
nes exornati frenis, aureíſq; ac va-
rio colore diſtinctis habenis. Aiunt
enim Barbaros in Oceano habitan-
tes iſtos colores æri infundere igni-
to; hos verò coire ac lapideſcere, &
quæ picta ſint ſeruare. Nec veſte aut
D habitu congruunt. Hic quidem ex-
peditus ac leuis equitat, ſtrenuus
(puto) iaculator exiſtens, hic verò
munitus atque armatus eſt pectus,
feræ palæſtram quandam minitans,
ſeptus eſt & crura. Ceterùm ado-
leſcentulus equo quidẽ vehitur ni-
ueo; nigrum verò, vt vides, eſt equo
caput: candidúſque fronti impreſ-
ſus eſt orbis, Lunæ plenitudinem

referens. Habet & aurea phalera, & cocci Medici frænum. Hic enim color aurum illuſtrat, vt ardentes lapilli. Indumentum adoleſcentulo eſt chlamys, venti aliquid ac ſinus habens. Color quidem ex phœnicea purpura, quam laudant Phœnices. Purpurarum autem maximè diligatur, cùm enim obſcurari videatur, pulchritudinem quandam à Sole trahit, & Ides herbæ flore inſpergitur. Ipſe autem coram præſentibus ſe denudare erubeſcens, manicata ac purpurea indutus eſt veſte. Tunica autem ad femoris ac cubiti dimidium terminatur, & ridet & iucundum intuetur. Ita comam nutrit, vt ne cùm vento quidem perturbatur, oculos tegat. Forte aliquis & malam laude proſequetur, naſíque modum, ſinguláſque pariter faciei partes. Ego verò faſtum ſuſpicio. etenim vt venator valet, ab equóque extollitur: & ſe amari intelligit. Sarcinas autem ipſis ferunt muli ac muliones: pedas ſcilicet & retia, & venabula, iaculáque & haſtas cuſpide præfixas: canum quoque ductores, ac ſpeculatores ſequuntur, & canum gentes, non modò quæ narium præſagio, vel pernicitate ceteris præſtant, verùm & generoſæ, ac ſtrenuæ: nam & robore in feram opus erat. Ecce pingit Locridas, Lacænas, Indicas, Creticas. has quidem ſuperbas, ac latrantes, has verò prudentes, quæ & inſequuntur, & ad veſtigium inhiant. & Dianam progredientes canent. Ipſius enim templum illic erectum eſt, ſtatuáque præ vetuſtate lêuis: Aprorúmque atque vrſorum capita. Paſcuntur autem ipſi dicatæ feræ.

A τὸ πλῆρες, καὶ φάλαρα ἔχει χρυσᾶ, καὶ χαλινὸν κόκκου μηδικοῦ. τουτὶ γὰρ τὸ χρῶμα, προσαστράπτει τῷ χρυσῷ, καθάπερ οἱ πυρώδεις λίθοι. στολὴ τῷ μειρακίῳ, χλαμὺς ἔχουσά τι ἀνέμου, καὶ κόλπου· τὸ μὲν χρῶμα, ἐκ φοινικῆς ἁλουργίας ἣν ἐπαινοῦσι Φοίνικες. ἀγαπάσθω δὲ τῶν ἁλουργῶν μάλιστα. δοκοῦν γὰρ σκυθρωπάζειν, ἕλκειν τινὰ παρὰ τοῦ Ἡλίου ὥραν, καὶ τῷ τῆς Ἴδης ἄνθει ῥαίνεται.
B αἰδοῖ δὲ τοῦ γυμνοῦσθαι πρὸς τοὺς παρόντας, ἔσταλται χειριδωτῷ φοινικῷ. συμμετρεῖται δὲ ὁ χιτὼν ἐς ἥμισυ τοῦ μηροῦ, καὶ ἴσα τοῦ ἀγκῶνος· καὶ μειδιᾷ, καὶ χαροπὸν βλέπει, καὶ κομᾷ, ὅσον μὴ ἐπισκοτεῖσθαι τοὺς ὀφθαλμοὺς, ὅτε ἀτακτήσει ἡ κόμη ὑπὸ τοῦ ἀνέμου. τάχα τις καὶ τὴν παρειὰν ἐπαινέσεται, καὶ τὰ μέτρα τῆς ῥινὸς, καὶ καθ' ἓν οὑτωσὶ τὰ ἐν τῷ προσώπῳ. ἐγὼ δὲ, ἄγαμαι τοῦ φρονήματος.
C καὶ γὰρ ὡς θηρατὴς ἔρρωται, καὶ ὑπὸ τοῦ ἵππου ἐπῆρται, καὶ συνίησιν ὅτι ἐρᾶται. σκευοφοροῦσι δὲ αὐτοῖς ὀρεῖς, καὶ ὀρεωκόμοι, ποδοστράβας, καὶ ἄρκυς, καὶ προβόλια, καὶ ἀκόντια, καὶ λόγχας. ἐφ' ὧν (4) κνώδοντες, καὶ κυναγωγοὶ συστρατιῶται, καὶ σκοπωροί. καὶ τὰ ἔθνη τῶν κυνῶν, οὐχ αἱ τὴν ῥῖνα ἀγαθαὶ μόναι, ἢ αἱ ταχεῖαι αὐτῶν, ἀλλὰ καὶ αἱ γενναῖαι.
D ἔδει γὰρ καὶ ἀλκῆς ἐπὶ τὸ θηρίον. γράφει δὴ Λοκρίδας, Λακαίνας, Ἰνδικὰς, Κρητικάς. τὰς μὲν, ἀγερώχους, καὶ ὑλακτούσας. τὰς δὲ, ἐννοούσας, αἳ καὶ μυθέποισι, καὶ σεσήρασι κατὰ τῶν ἰχνοῖς. καὶ τὴν ἀγροτέραν περιϊόντες, ᾄσονται. νέως γάρ τις αὐτῆς ἐκεῖ, καὶ ἄγαλμα λεῖον ὑπὸ τοῦ χρόνου, καὶ συῶν κεφαλαὶ, καὶ ἄρκτων. νέμεται δὲ αὐτῇ καὶ θηρία ἄνετα,

νεβροὶ, καὶ λύκοι, καὶ λαγωοί. πάντα ἥμερα, καὶ δεδιότα τοὺς ἀνθρώπους, ἔχονται μετὰ τὴν εὐχὴν τῆς θήρας. καὶ τὸ θηρίον οὐκ ἀνέχεται λανθάνειν, ἀλλ' ἐκπηδᾷ τῆς λόχμης. εἶτα ἐμπίπτει τοῖς ἱππεῦσι, καὶ ταράσσει μὲν αὐτοὺς ἐκ προσβολῆς. νικᾶται δὲ ὑπὸ τῶν βαλλόντων, καίτοι μὲν ἐντυχόντων διά τε τὸ φράττεσθαι πρὸς τὰς πληγὰς, διά τε τὸ μὴ ὑπὸ θαρρούντων βάλλεσθαι. μαλαχθεὶς δὲ πληγῇ ἐπιπολαίῳ κατὰ τοῦ μηροῦ, φεύγει διὰ τῆς ὕλης. ἐκδέχεται δὲ αὐτὸν ἕλος βαθὺ, καὶ λίμνη πρὸς τῷ ἕλει. διώκουσιν οὖν βοῇ χρώμενοι. οἱ μὲν ἄλλοι, μέχρι τοῦ ἕλους. τὸ δὲ μειράκιον, συνεμβάλλει τῷ θηρίῳ ἐς τὴν λίμνην, καὶ τέσσαρες οὗτοι κύνες. καὶ τὸ μὲν θηρίον, ἵεται τρῶσαι τὸν ἵππον. ἀπονεῦσαν δὲ τοῦ ἵππου τὸ μειράκιον, καὶ ἐς τὰ δεξιὰ κλῖναν, ἀφίησι τῇ χειρὶ πάσῃ, καὶ βάλλει τὸν σῦν κατ' αὐτὸ μάλιστα τὸ συνάπτον τὴν πλάτην τῇ δέρῃ. τοὐντεῦθεν οἱ μὲν κύνες, κατάγουσι τὸν σῦν ἐς τὴν γῆν. οἱ δὲ ἐρασταὶ, βοῶσιν ἀπὸ τῆς ὄχθης, οἷον φιλοτιμούμενοι πρὸς ἀλλήλους, ὅς τις ὑπερκεκράξεται τὸν πέλας. καὶ πέπτωκέ τις ἀπὸ τοῦ ἵππου, μὴ κατασχὼν, ἀλλ' ἐκθορυβήσας τὸν ἵππον. ὁ δὲ, καὶ στέφανον αὐτῷ πλέκει παρὰ τοῦ λειμῶνος τοῦ ἐν τῷ ἕλει. ἔτι ἐν τῇ λίμνῃ τὸ μειράκιον· ἔτι ἐπὶ τοῦ σχήματος, ᾧ τὸ παλτὸν ἀφῆκεν. οἱ δὲ, ἐκπεπλήγασι, καὶ θεωροῦσι τὸ αὐτὸ οἷον γραφέν.

A Hinnuli, lupíque, & lepores, cicures omnes, hominéſque minimè timentes, poſt preces venationem aggrediuntur. & fera non patitur latebras: ſed è ſylua exilit, ſtatímque in equites incidit, & ipſos quidem repentino impetu perturbat, ſuperatur verò petentibus; letifera quidem haud aſſequentibus, & quòd ſe aduerſus plagas muniret: & à perturbatis *non confidentibus*
B peteretur: mollita autem ac languida in femoris ſuperficie contracto vulnere per ſyluam fugit, profunda autem ipſam excipit palus, & ad paludem lacus. Inſequuntur igitur feræ curſum clamore prementes, ceteri quidem vſque ad paludem: adoleſcentulus vero cum fera lacum ingreditur, & hi quatuor canes, & fera quidem equum cupit vulnerare: adoleſcentulus vero
C ro ab equo ad dexteram declinans tota manu iaculatur, aprúmque petit, qua maximè humeris collum adnectitur. Inde canes quidẽ ſuem ad terram deducunt: amatores vero de ripa certatim clamitantes, alius alium clamore ſuperare contendit. Quidam etiam ex equo cecidit, cùm perturbatum cohibere nequaquã poſſet. Eſt & qui ex prato in palude exiſtente ipſi coronam texit. Adhuc in lacu adoleſcentulus,
D adhuc eo habitu, quo in feram iaculum miſit. Hi vero obſtupuerunt, & idem vt pictum eſt ſpectant.

ΠΕΡΣΕΥΣ.

Ἀλλ' οὐκ ἐρυθρά γε αὕτη ἡ θάλασσα, οὐδ' Ἰνδοὶ ταῦτα. Αἰθίοπες δὲ, καὶ ἀνὴρ Ἕλλην ἐν Αἰθιοπίᾳ· καὶ ἆθλος τοῦ ἀνδρὸς,

PERSEVS.

Certè hoc non eſt mare rubrum: nec Indi hæc, ſed Æthiopes, & Græcus vir in Æthiopia, & viri certamẽ, quod

quod amoris cauſa ſponte ſubiit: puto te, ô puer, de Perſeo audiuiſſe, quem Atlanticum in Æthiopia Cetum occidiſſe ferunt, pedeſtri in greges atque homines itinere impetum facientem. Hæc igitur pictore laudante, Andromedámq; quòd Ceto expoſita fuerit, miſerante, certamini finis impoſitus eſt. & Cetus pro littore eiectus eſt, ſanguinis fontibus ſcaturiens, à quibus mare effici rubrum. Andromedam autem Cupido vinclis ſoluit. Pictus autem eſt alatus quidem de more, iuuenis verò præter ſolitum. Anhelans præterea pictus eſt, & vt qui laborauerit. Nam Perſeus priuſquam opus aggrederetur, Cupidini preces fudit vt adeſſet, & aduerſus feram conuolaret. Hic & Græcum exaudiuit, & acceſſit. At puella ſuauis quidem, quòd in Æthiopia candida, ob formam vero ipſam ſuauior. Vinceret vtique mollitie Lydam, grauitate Atticam, fortitudine Lacænam. Eſt autem pro tempore exornata: etenim diffidere videtur, & cum ſtupore gaudere. Perſeum præterea aſpicit, riſum quendam iam in ipſum mittens.

Hic verò haud procul à puella in dulci atque odorata iacet herba, ſudorem in terram fundens, terribili depoſita Gorgone, ne occurrentes populi in lapidem conuertantur. Multi autem ſunt paſtores, qui vt & accipiat & fruatur, lac ac vinum offerunt. Suaues ac iucundi in externo ac peregrino colore Æthiopes, & horrendum ridentes, gaudiúmque præſeferentes, & plurimi ſibi inuicem ſimiles. At Perſeus hæc quidem admittit, ſiniſtro verò cubito ſe ipſum firmans pectus extendit: præque anhelatione ſpiritu repletus puel-

A ὃς ἑκὼν ἔτλη κατ' ἔρωτα. οἶμαί σε, ὦ παῖ, μὴ ἀνήκοον εἶναι τοῦ Περσέως, ὅν φασιν Ἀτλαντικὸν ἀποκτεῖναι κῆτος ἐν Αἰθιοπίᾳ, πεζεῦον ἐπὶ τὰς ἀγέλας, καὶ τοὺς ἐν τῇ γῇ ἀνθρώποις. ταῦτ' οὖν ἐπαινῶν ὁ ζωγράφος, καὶ οἰκτείρων τὴν Ἀνδρομέδαν ὅτι κήτει ἐξεδόθη, τετέλεσται ἤδη ὁ ἆθλος. καὶ τὸ μὲν κῆτος ἔρριπται περὶ τὴν ἠιόνα, ἐμπλημμυροῦν πηγαῖς αἵματος, ὑφ' ὧν ἐρυθρὰ ἡ θάλασσα. τὴν δὲ Ἀν-

B δρομέδαν, ἀπαλλάττει τῶν δεσμῶν ὁ ἔρως. γέγραπται δὲ πτηνὸς μὲν, τὸ εἰωθός. νεανίας δὲ, παρὰ τὸ εἰωθός. καὶ ἀσθμαίνων γέγραπται, καὶ οὐκ ἔξω τοῦ μεμοχθηκέναι. καὶ γὰρ εὐχὴν ἀνεβάλετο τῷ ἔρωτι ὁ Περσεὺς περὶ τοῦ ἔργου παρεῖναι αὐτὸν, καὶ κατὰ τοῦ θηρίου συμπέτεσθαι. ὁ δὲ, ἀφίκετο, καὶ ἤκουσε τοῦ Ἕλληνος. ἡ κόρη δὲ, ἡδεῖα μὲν, ὅτι λευκὴ ἐν Αἰθιοπίᾳ. ἡδίων δὲ αὐτὸ τὸ εἶδος. παρέλθοι ἂν καὶ Λυδὴν

C ἁβρὰν, καὶ Ἀτθίδα ὑπόσεμνον, καὶ Σπαρτιάτιν ἐρρωμένην. κεκαλλώπισται δὲ ἀπὸ τοῦ καιροῦ. καὶ γὰρ ἀπιστεῖν ἔοικε, καὶ χαίρειν μετ' ἐκπλήξεως. καὶ τὸν Περσέα βλέπει μειδίαμά τι ἤδη εἰς αὐτὸν πέμπουσα. ὁ δὲ, οὐ πόρρω τῆς κόρης ἐν ἡδείᾳ, καὶ λιβανώδει πόᾳ κεῖται, στάζων εἰς τὴν γῆν ἱδρῶτα, καὶ τὸ δεῖμα τῆς γοργοῦς ἔχων ἀπόθετον, μὴ ἐντυχόντες αὐτῷ λαοὶ

D λίθοι γίνωνται. πολλοὶ δὲ οἱ βουκόλοι. γάλα ὀρέγοντες, καὶ οἶνον ἐπισπάσασθαι. ἡδεῖς Αἰθίοπες ἐν τῷ τοῦ χρώματος ἀτόπῳ, καὶ βλοσυρὸν μειδιῶντες, καὶ οὐκ ἄδηλοι χαίρειν. καὶ οἱ πλεῖστοι ὅμοιοι. ὁ Περσεὺς δὲ, ἀσπάζεται μὲν καὶ ταῦτα. στηρίζων δὲ αὑτὸν ἐπὶ τοῦ ἀριστεροῦ ἀγκῶνος, ἀνέχει τὸν θώρακα, ἔμπνους ὑπὸ τοῦ ἄσθματος

ἐμβλέπων τῇ κόρῃ· καὶ τὴν χλαμύδα τῷ ἀνέμῳ ἐνδίδωσι, φοινικῆν οὖσαν, καὶ βεβλημένην αἵματος ῥανίσιν, ἃς προσέπνευσεν αὐτῷ τὸ θηρίον ἐν τῷ ἀγῶνι. ἐρρώσθων Πελοπίδαι παρὰ τὸν τοῦ Περσέως ὦμον· καλῷ γὰρ ὄντι αὐτῷ, καὶ ὑφαίμῳ, προσῴδηκέ τι τοῦ καμάτου, καὶ ὑπῳδήκασιν αἱ φλέβες, ἐπιλαμβάνοντος τούτου αὐτάς, ὅταν πλεονεκτήσῃ τὸ ἆσθμα. πολλὰ καὶ παρὰ
B
τῆς κόρης ἄρνυται.

ΠΕΛΟΨ.

Στολὴ δὲ ἁπαλή, σχῆμα ἐκ Λυδίας, καὶ μειράκιον ἐν ὑπήνῃ πρώτῃ, Ποσειδῶν τε μειδιῶν εἰς τὸ μειράκιον, καὶ ἀγάλλων αὐτὸ ἵπποις, δηλοῖ Πέλοπα τὸν Λυδὸν ἐπὶ θάλατταν ἥκοντα, ὡς εὔξαιτο τῷ Ποσειδῶνι κατὰ τοῦ Οἰνομάου, ὅτι μὴ χρῆται γαμβρῷ ὁ Οἰνόμαος. ἀλλὰ
C
κτείνων τοὺς Ἱπποδαμείας ἐρῶντας, φρονεῖ τοῖς μνηστήρων ἀκροθινίοις. καὶ εὐξαμένῳ τῷ Πέλοπι, ἥκει χρυσοῦν ἅρμα ἐκ θαλάττης. ἠπειρῶται δὲ οἱ ἵπποι, καὶ οἷοι διαδραμεῖν τὸν Αἰγαῖον αὐχμηρῷ τῷ ἄξονι, καὶ ἐλαφρᾷ τῇ ὁπλῇ. ὁ μὲν οὖν ἆθλος, εὐδρομήσει τῷ Πέλοπι. τὸν δὲ τοῦ ζωγράφου ἆθλον, ἡμεῖς ἐξετάζωμεν. οὐ γὰρ σμικροῦ οἶμαι ἀγῶνος, ἵπποις μὲν ξυνθεῖναι τέτταρας, καὶ μὴ ξυγχέαι τῶν
D
σκελῶν τὸ κατ᾽ ἕνα αὐτῶν, ἐμβαλεῖν δὲ αὐτοῖς μετὰ τοῦ γαληνοῦ φρόνημα, στῆσαί τε τὸν μὲν ἐν αὐτῷ, τῷ μὴ θέλειν ἑστάναι. τὸν δὲ, ἐν τῷ κροαίνειν βούλεσθαι, τὸν δὲ ἐν τῷ πείθεσθαι. ὁ δὲ, γάνυται τῇ ὥρᾳ τοῦ Πέλοπος. καὶ εὐρεῖαι αὐτῷ αἱ ῥῖνες, ὅσα χρεμετίζοντι. ἔτι κἀκεῖνο σοφίας. ὁ Ποσειδῶν τοῦ μειρακίου ἐρᾷ, καὶ ἀναφέρει αὐτὸ ἐς τὸν λέβητα, καὶ τὴν Κλωθώ.

A
lam aſpicit, purpuream dans vento chlamydem, ſanguiniſque guttis inſperſam, quas fera in certamine in ipſum profuderat. Valeant Pelopidæ præ Perſei humero: pulchro namque exiſtenti, ac ſanguinolento, laboris aliquid infuſum eſt: & tumefactæ ſunt venæ, hoc ipſas tumore operiente, cùm anhelitus abundauerit. Multa quoque à puella adipiſcitur.

PELOPS.

Stola mollis, habitus ex Lydia, & adoleſcentulus in prima lanugine, Neptunúſque adoleſcentulo arridens, equiſque ipſum oblectans, Lydum indicant Pelopem propterea ad mare proficiſcentem, vt aduerſus Oenomaum Neptuno ſupplicet, quia Oenomaus ipſum in generum minimè admittit, ſed Hippodamiæ amore captos interficiens, porcorum exuuiis exultat, & ad ſupplicantem Pelopem aureus è mari accedit currus. Terreſtres ſunt equi, & qui axe ſicco, leuíque vngula Ægæum percurrant. Certamen igitur bene Pelopi ſuccedet: ſed nos pictoris certamen exploremus. neque enim modici eſt (vt puto) laboris quatuor iungere equos, nec ſingula ipſorum crura confundere, ſed factum ipſis cum lenitate imponere, conſtitueréque hunc quidem in eo, vt minimè velle conſiſtere videatur: hunc verò, vt cupiat exultare: iſtum, vt obſequatur. Hic Pelopis pulchritudine lætatur: & æquè ipſi latæ ſunt nares, atque hinnienti. Illud quoque ad ſapientiam pertinet. Neptunus adoleſcentulum amat: lebetémque ac Clotho in eius memoriam reducit.

A Pelópſque humero videtur coruſcare. & à nuptiis quidem haudquaquam dehortatur: quandoquidem appetiuit: alioqui verò manum attingere contentus, Pelopis dexteram tenet, quæ ad curſum ſpectant ipſi obiiciens. Ipſe verò ſuperbum, atque opulentum ſpirat. & ſupercilium cum equis: ſed dulce atque elatum intuetur quòd cùm tiara incedat. ex qua vt aureæ ſtillæ coma defluens fronti adæquatur, & cum lanugine floret. & huc B atque illuc recidens in compoſito manet. Nates, & pectore, & quæcunque de nudo Pelope dici poſſent, tegit pictura. Lydi namque & ſuperiores barbari intra huiuſmodi veſtes pulchritudinem includentes, talibus illuſtrantur pannis, cùm à natura illuſtrari liceat. & reliqua quidem obſcura, atque intus: eam verò veſtis partem, vbi ſiniſter humerus, ars neglexit, ne ip- C ſius ſplendor tegeretur. Nox enim occupat, & humero adoleſcentulus hud ſecus ac nox heſpero illuſtratur.

ὃ, τοῦ Πέλοπος ἀστράψαι δοκεῖ τῷ ὤμῳ. καὶ τοῦ μὲν, γαμεῖν ἀπάγει αὐτὸν, ἐπεὶ ὥρμησεν. ἀγαπῶν δὲ ἄλλως ἐφάψασθαι τῆς χειρὸς, ἐμπέφυκε τῇ δεξιᾷ τοῦ Πέλοπος, ὑποτιθέμενος αὐτῷ τὰ ἐς τὸν δρόμον. ὁ δὲ, ὑπέρφρων ἤδη, καὶ ἀφνειὸν πνεῖ καὶ ἡ ὀφρὺς μετὰ τῶν ἵππων. βλέπει δὲ ἡδὺ, καὶ μετέωρον, ὑπὸ τοῦ παρὰ ἐπισοβεῖν. ἧς οἷα χρυσαῖ λιβάδες ἡ κόμη τοῦ μειρακίου ἀποστάζουσα, μετώπῳ ὁμολογεῖ, καὶ ἰούλῳ συνανθεῖ. καὶ μεταπίπτουσα τῇδε, κ᾽ ἀκεῖσε, ἐν τῷ καιρῷ μένει. Γλουτὸν, καὶ στέρνα, καὶ ὅσα περὶ γυμνοῦ τοῦ Πέλοπος ἐλέγχη ἄν, καλύπτει ἡ γραφή. Λυδοὶ γὰρ, καὶ οἱ ἄνω βάρβαροι, καθείρξαντες ἐς τοιάσδε ἐσθῆτας τὸ κάλλος, λαμπρύνονται τοιοῖσδε ὑφάσμασιν, ἐὸν λαμπρύνεσθαι τῇ φύσει. καὶ τὰ μὲν ἄλλα, ἀφανῆ, καὶ εἴσω. τὸ δὲ τῆς στολῆς; ἔνθα ὁ ὦμος ὁ ἀριστερὸς, τέχνη ἠμέληται, ὡς μὴ κρύπτοιτο αὐτοῦ ἡ αὐγή. νὺξ τε γὰρ ἐπέχει, καὶ λαμπρύνεται τῷ ὤμῳ τὸ μειράκιον, ὅσα ἡ νὺξ τῷ ἑσπέρῳ.

XENIA.

ΞΕΝΙΑ.

Pulchrum autem eſt & ficus legere, & ne has quidem ſilentio præterire, ficus inquam nigras ſucco ſtillantes. Aceruatæ quidem ſunt in vitis foliis: pictæ verò cum cor- D ticis ramis. & pars quidem hiant, melle ſcaturientes: pars vero à tempore perinde atque ſciſſæ ſunt. Iuxta ipſas autem ramus proiectus eſt: per Iouem non ocioſus, fructúve inanis, ſed ficus inumbrat: partim quidem crudas, & adhuc groſſos: partim vero rugoſas, atque exoletas. Hæ autem modicè apertæ ſunt, ſucci florem oſtendentes; quæ vero in ſummo ſunt ramo: páſſer per-

Καλὸν δὲ καὶ συκάσαι, καὶ μηδὲ ταῦτα παρελθεῖν ἀφώνους, σῦκα μέλανα ὀπῷ λειβόμενα, σεσώρευται μὲν ἐπὶ φύλλων ἀμπέλου. γέγραπται δὲ μετὰ τῶν φλοιοῦ ῥηγμάτων. καὶ τὰ μὲν, ὑποκέχηνε, παραπτύοντα τοῦ μέλιτος. τὰ δ᾽ ὑπὸ τῆς ὥρας, οἷον ἐρρώγασι. πλησίον δὲ αὐτῶν, ὄζος ἔρριπται. μὰ Δί᾽ οὐκ ἀργὸς, ἢ κενὸς τοῦ καρποῦ. σκιάζει δὲ σῦκα τὰ μὲν, ὠμὰ, καὶ ὀλύνθους ἔτι. τὰ δὲ, ῥυσὰ, καὶ ἔξωρα. τὰ δὲ, ὑποσεσηρότα, παραφαίνοντα τοῦ χυμοῦ τὸ ἄνθος. τὸ δὲ ἐπ᾽ ἄκρῳ τοῦ ὄζου στρουθὸς διο-

ἐῤῥύηκεν· ἃ δὴ καὶ ἥδιστα σύκων δοκεῖ. καρύοις δ' ἅπαν ἔστρωται τοὔδαφος. ὧν τὰ μὲν, παρατέτριπται τοῦ ἐλύτρου. τὰ δὲ, ἔγκειται μεμυκότα. τὰ δὲ, παρεμφαίνει τὴν διαφυήν. ἀλλὰ καὶ ὄχνας ἐπ' ὄχναις ὅρα, καὶ μῆλα ἐπὶ μήλοις, σωρούς τε αὐτῶν, καὶ δεκάδας, εὐώδη πάντα, καὶ ὑπόχρυσα. τὸ δὲ, ἐν αὐτοῖς ἔρευθος, οὐδὲ ἐπιβεβλῆσθαι φήσεις, ἀλλὰ ἔνδον ὑπηνθηκέναι. Κεράσου δὲ ταῦτα δῶρα. ὀπώρα τις αὕτη βοτρυδὸν ἐν ταλάρῳ. ὁ τάλαρος δὲ, οὐκ ἀλλοτρίων πέπλεκται λύγων, ἀλλ' αὐτοῦ τοῦ φυτοῦ. περὶ δὲ τὸν σύνδεσμον τῶν κλημάτων, εἰ βλέπεις, καὶ τὰς ἐγκρεμαμένας αὐτῶν σταφυλὰς, καὶ ὡς κατὰ μίαν αἱ ῥᾶγες, ᾄσῃ τὸν Διόνυσον οἶδα, καὶ ὦ πότνια βοτρυόδωρε, περὶ τῆς ἀμπέλου ἐρεῖς. φαίης δ' ἂν καὶ τοὺς βότρυς τῇ γραφῇ ἐδωδίμους εἶναι, καὶ ὑποίνους. κἀκεῖνο ἥδιστον, ἐπὶ φύλλων κράδης μέλι χλωρὸν ἐνδεδυκὸς ἤδη τῷ κηρῷ· καὶ ἀναπλημμυρεῖν ὡραῖον, εἴ τις ἀποθλίβοι. καὶ τρυφαλὶς ἐφ' ἑτέρου φύλλου νεοπαγὴς, καὶ σαλεύουσα· καὶ ψυκτῆρες γάλακτος οὐ λευκοῦ μόνον, ἀλλὰ καὶ στιλπνοῦ. καὶ γὰρ στίλβειν ἔοικεν ὑπὸ τῆς ἐπιπολαζούσης αὐτῷ πιμελῆς.

A fodit, quæ vtique ficuum ſuauiſſimæ videntur. Nucibus autem totum inſtratum eſt pauimentũ, quarum aliæ quidem putamine excluſæ ſunt: aliæ verò inſunt hiantes, nonnullæ ſciſſuram indicant. At & pyra in pyris, ſpecta, & poma ſuper pomis, ipſorúmque aceruos ac decadas; odorata omnia, atque inaurata. Qui autem ipſis ineſt rubor, non impoſitum, ſed intus edi-
B tum dices. Ceraſi autem hæc munera: fructus quidam hic racematim in Calatho. Calathus autem non alienis, ſed ipſius plantæ contextus eſt viminibus. Ad palmitum autem contextus, ac coniunctiones, ſi bis ex ipſis ſuſpenſas cernis vuas; & vt ſinguli extant acini, hymnis celebrabis Dionyſum; vt noui, &, ô veneranda racemifera, de vite inquies. Diceres vtique racemos pictura ipſa eſui eſſe, ac vi-
C nolentos. Illud quoque ſuauiſſimum, in Cradæ foliis recens mel, iam tempori cedens, & ad redundandum atque effluendum oportunum, ſi quis exprimeret. & caſeus in altero folio nuper coactus, & palpitans, & lactis crateres non modò niuei, verùm etiam ſplendidi: præ pinguedine namque ſupernatante ſplendeſcere videtur.

ΦΛ. ΦΙΛΟΣΤΡΑΤΟΥ ΕΙΚΟΝΕΣ.

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

FLAVII PHILOSTRATI IMAGINES.

LIBER SECVNDVS.

VENVS.

VENEREM eburneam in mollibus Myrtetis molles canunt puellæ. Sapiens ipſas nec exoleta ducit magiſtra. Nam primis rugis quædam ineſt pulchritudo: ſenectam quidem venerabilem adferens, huic verò quòd reliquum eſt vigoris immiſcens. & Veneris quidem figura verecundiæ nuda, ac formoſa. Materia verò compoſitio eſt compacti eboris. At Dea minimè vult videri picta, itáque extat, vt capi poſſe videatur. Víſne aliquid de ara dicamus: ſatis enim thuris caſiæque ac myrrhæ habet. Videtur autem mihi & Sapphus aliquid reſpirare. Laudanda eſt igitur picturæ ſapientia. Primùm quidem dilectos circumponens lapides, non à coloribus eos, ſed à lumine imitata eſt, ipſis perinde atque oculo certum ſplendorem addens, deinde quòd vt hymnum audiamus præbet. Canunt enim puellæ, canunt,

A

ΑΦΡΟΔΙΤΗ.

Ἀφροδίτην ἐλεφαντίνην ἁπαλοῖς μυρρινῶσιν ᾄδουσιν ἁπαλαὶ κόραι. διδάσκαλος αὐτὰς ἄγει σοφή, καὶ οὐδὲ ἔξωρος. ἐφιζάνει γάρ τις ὥρα, καὶ ῥυτίδι πρεσβύτῃ, γῆρας μὲν τὸ ὑπόσεμνον ἕλκουσα, τούτῳ δ' αὖ κεραννῦσα τὸ σωζόμενον τῆς ἀκμῆς. καὶ τὸ
B
μὲν σχῆμα τῆς Ἀφροδίτης, αἰδοῦς γυμνὴ καὶ εὐσχήμων. ἡ δὲ ὕλη, συνθήκη μεμυκότος ἐλέφαντος. ἀλλ' οὐ βούλεται γεγράφθαι δοκεῖν ἡ θεός. ἐκκεῖται δὲ οἵα λαβέσθαι. βούλει λόγου τι ἐπιλαβώμεθα τοῦ βωμοῦ; λιβανωτοῦ γὰρ ἱκανῶς ἔχει, καὶ κασίας, καὶ σμύρνης. δοκεῖ δέ μοι καὶ Σαπφοῦς τι ἀναπνεῖν. ἐπαινετέα τοίνυν ἡ σοφία τῆς γραφῆς. πρῶ-
C
τον μὲν, τὰς ἀγαπωμένας λίθους περιβαλοῦσα, οὐκ ἐκ τῶν χρωμάτων αὐτὰς ἐμιμήσατο, ἀλλ' ἐκ τοῦ φωτός. οἷον ὀφθαλμῷ κέντρον τὴν διαύγειαν αὐταῖς ἐνθεῖσα. εἶτα καὶ ἐπὶ τοῦ ὕμνου παρέχει ἀκούειν. ᾄδουσι γὰρ αἱ παῖδες, ᾄδουσι

ciuitates, equos, & virorum capiet ordines : & flumina cum ipſo pugnabunt, ea fluere minimè permittente : & illorum quidem operum præmium Briſeida : & illas ex Leſbo ſeptem, aurúmque, & tripodas, & obſequentes Græcos præmium accipiet. Quæ verò apud Chironem fiunt, pomis videntur, ac fauis digna : & amas, ô Achilles, parua munera, ciuitates, Agamemnoníſque affinitatem tunc aſpernaturus. Qui igitur in aggere, quíque ſolo clamore Troianos in fugam vertit, & qui conuerſim interficit, Scamandri aquam rubram reddens, equíque immortales, & Hectoris tractus, & qui in Patrocli pectoribus fremit ab Homero ſcriptus eſt. Ipſum præterea canentem, ac ſuplicantem, & ſub vno cum Priamo exiſtentem tecto ſcribit. Hunc autem nondum virtutis capacem : ſed adhuc puerum, lacte ac medulla alens Chiron pingendum tradidit, mollem, atque elatum, & iam leuem : recta enim eſt puero tibia ; ad genu verò manus, probæ enim hæ ſunt, curſus duces, comáque ſuauis, neque immobilis : videtur enim alludens Zephyrus ipſam tranſponere, ac perturbare, vt huc atque illuc recidente alias alius ſit puer. Superciliúmque, & iracunda elatio ineſt quidem iam puero : ſed benigno eam aſpectu, hilaráque placat gena, mollis quid riſus promittente. Chlamys autem, qua indutus eſt, à matre (vt puto) pulchra enim ac purpurea, à ceruleo colore diuerſa. Adulatione autem quadam eum, vt leonem, excitat Chiron ad lepores, atque hinnulos capiendos.

A πόλεις αἱρήσει, καὶ ἵπποις, καὶ ἀνδρῶν σίχας. καὶ ποταμοὶ αὐτῷ μαχοῦνται, μὴ ἐῶντι αὐτοὺς ῥεῖν· κἀκείνων μὲν τῶν ἔργων, μισθὸν ἀποίσεται Βρισηΐδα, καὶ τὰς ἐκ Λέσβου ἑπτὰ, καὶ χρυσὸν, καὶ τρίποδας, καὶ τοὺς Ἀχαιοὺς ἐπ' αὐτῷ εἶναι. τὰ δὲ παρὰ τῷ Χείρωνι ταῦτα, μήλων δοκεῖ, καὶ κηρίων ἄξια. καὶ ἀγαπᾷς, ὦ Ἀχιλλεῦ, μικρὰ δῶρα, πόλεις ἀπα-

B ξιώσων τότε, καὶ τὸ κῆδος τοῦ Ἀγαμέμνονος; ὁ μὲν οὖν, ἐπὶ τῇ τάφρῳ, καὶ ὁ κλίνας τοὺς Τρῶας ἐκ μόνου τοῦ βοῆσαι, καὶ ὁ κτείνων ἐπιστροφάδην, καὶ ἐρυθραίνων τὸ τοῦ Σκαμάνδρου ὕδωρ, ἵπποι τε ἀθάνατοι, καὶ ἕλξεις Ἕκτορος, καὶ ὁ βρυχώμενος ἐπὶ τοῖς Πατρόκλου στέρνοις, Ὁμήρῳ γέγραπται. γράφει δὲ αὐτὸν καὶ ᾄδοντα, καὶ εὐχόμενον, καὶ ὁμωρόφιον τῷ Πριάμῳ. τουτονὶ δὲ, οὔπω ξυνιέντα ἀ-

C ρετῆς, ἀλλὰ παῖδα ἔτι, γάλακτι ὑποθρέψας, καὶ μυελῷ, καὶ μέλιτι, δέδωκεν ὁ Χείρων γράφειν, ἁπαλὸν, καὶ ἀγέρωχον, καὶ ἤδη κοῦφον. εὐθεῖα μὲν γὰρ ἡ κνήμη τῷ παιδὶ, ἐς γόνυ δὲ αἱ χεῖρες. ἀγαθαὶ γὰρ δὴ αὗται πομποὶ τοῦ δρόμου. κόμη τε ἡδεῖα, καὶ οὐδὲ ἀκίνητος. ἔοικε γὰρ προσαθύρων ὁ Ζέφυρος, μετατιθέναι αὐτήν. ὡς μεταπιπτούσης τῇδε, κἀκεῖσε,

D ἄλλοτε ἄλλος ὁ παῖς εἶναι. ἐπισκύνιόν τε, καὶ θυμοειδὲς φρύαγμα, ἔστι μὲν ἤδη τῷ παιδί. πραΰνει δὲ αὐτὸ ἀκάκῳ βλέμματι, καὶ παρειᾷ μάλα ἵλεῳ, καὶ προσβαλλούσῃ τι ἁπαλοῦ γέλωτος. ἡ χλαμὺς δὲ, ἣν ἀμπέχεται, παρὰ τῆς μητρὸς οἶμαι. καλὴ γὰρ, καὶ ἁλιπόρφυρος, καὶ πυραυγὴς, ἐξαλλάττουσα τοῦ κυανῆν εἶναι. κολακεύει δὲ αὐτὸν ὁ Χείρων, οἷα λέοντα, πτῶκας ἁρπάζειν, καὶ νεβροῖς συμπέτεσθαι.

νεβρὸν γοῦν ἄρτι ᾑρηκὼς, ἥκει παρὰ τὸν Χείρωνα, καὶ ἀπαιτεῖ τὰ ἆθλα. ὁ δὲ, χαίρει ἀπαιτούμενος. καὶ τοῖν προσθίοιν ἐνοκλάσας, ἐς ἴσον καθίσταται τῷ παιδὶ, μῆλα ἀπὸ τοῦ κόλπου ὀρέγων αὐτῷ, καλὰ, καὶ εὐώδη. καὶ γὰρ καὶ ταῦτα αὐτῶν ἔοικεν ἐπιγεγράφθαι. καὶ κηρίον ὀρέγει τῇ χειρὶ, σταγόνα λεῖβον διʼ εὐνομίαν τῶν μελιττῶν. ὅταν γὰρ πόαις ἀγαθαῖς ἐντυχοῦσαι κυΐσκωσι, περιπληθῆ τὰ κηρία γίνεται, καὶ ἀποβλύζουσι τὸ μέλι οἱ οἶκοι αὐτῶν. ὁ δὲ Χείρων, γέγραπται μὲν ὅσα Κένταυρος. ἀλλὰ ἵππον ἀνθρώπῳ συμβαλεῖν, θαῦμα οὐδέν. συναλεῖψαι μὴν, καὶ ἑνῶσαι, καὶ διαδοῦναι ἄμφω λήγειν, καὶ ἄρχεσθαι, καὶ διαφεύγειν τοὺς ὀφθαλμοὺς, εἰ τὸ τέρμα τοῦ ἀνθρώπου ἐλέγχοιεν, ἀγαθοῦ οἶμαι ζωγράφου. καὶ τὸ ἥμερον δὲ φαίνεσθαι τὸ τοῦ Χείρωνος ἦθος, ἐργάζεται μὲν καὶ ἡ δικαιοσύνη, καὶ τὸ ὑπʼ αὐτῆς πέπνυσθαι. παρέχει δὲ καὶ ἡ πηκτὶς, ὑφʼ ἧς ἐκμεμούσωται. νυνὶ δὲ καὶ ὑποκορισμοῦ τι αὐτῷ ἔπεστιν, εἰδώς που ὁ Χείρων ὅτι τοὺς παῖδας τοῦτο μειλίσσεται, καὶ τρέφει μᾶλλον, ἢ τὸ γάλα. ταυτὶ μὲν περὶ τὰς θύρας τοῦ ἄντρου. ὁ δʼ ἐν τῷ πεδίῳ παῖς, ὁ ἱππασίαν ἐπὶ τοῦ Κενταύρου ἀθύρων· οἱ* αὐτοὶ ἐπιδιδάσκει ὁ Χείρων τὸν Ἀχιλλέα ἱππάζεσθαι, καὶ χρῆσθαι αὐτῷ, ὅσα ἵππῳ. καὶ συμμετρεῖται μὲν τὸν δρόμον ἐς τὸ ἀνεκτὸν τῷ παιδί. καγχάζοντι δὲ αὐτῷ ὑπὸ τοῦ ἥδεσθαι, προσμειδιᾷ μεταστρεφόμενος. καὶ μονονοὺ λέγει, ἰδού σοι κροαίνω ἄπληκτος· ἰδοὺ καὶ ἐπικελεύομαί σοι. ὁ ἵππος ὀξὺς ἄρα καὶ ἀφαιρεῖν γέλωτα. καλῶς γάρ μοι ἱππασθεὶς, θεῖε παῖ, καὶ τοιῷδε ἵππῳ πρέπων, ὀχήσῃ ποτὲ

A Hinnulo igitur nuper capto ad Chironem venit, præmiáque exigit. Ipſe verò rogatus gaudet: anterioréſque flectens pedes æqualem ſe facit puero, pulchra atque odorata ei ex ſinu porrigens poma. Etenim hoc quoque ipſorum videtur pictum. & fauum ob fertile apum pabulum guttas effundentem manu porrigit. Cùm enim bonas aſſecutæ herbas impleantur, ingentes redduntur faui, melléque ſcaturiunt ipſorum cellæ.
B Chiron autem pictus quidem eſt vt Centaurus: ceterùm equum homini committere nihil mirum: coniungere tamen, atque vnire, & vtriſque finem atque initium ita diſtribuere: vt, ſi quis hominis terminum quærat, id oculos effigiat, periti (vt puto) eſt pictoris. & quod manſueti videantur Chironis mores, præſtat id quidem & iuſtitia, & quòd ab ea prudentiam conſequatur: efficit
C verò & cithara, à qua muſica repletus eſt harmonia. Nunc autem & blandimenti aliquid ipſi ineſt, cùm hoc pueros placare, & magis quàm lac nutrire, Chiron minimè ignoret. Hæc quidem circa antri fores. Qui verò in campo eſt puer, equitantis more in Centauro ludens: ijdem rurſus: docet Chiron Achillem equitare, ipſoque vt equo vti, & ad pueri quidem ætatem, ac vires curſum metitur: ei
D verò præ gaudio ridenti conuerſus, ac reſpiciens arridet, & tantùm non dicit: ecce tibi exulto impercuſſus, tuáque cauſa meipſum exhortor. Equus vtique acer, vt riſum auferat: diligenter autem à me, diuine puer, equitandi artem edoctus, huiuſmodíque decens equum, veheris

quandoque à Xantho & Balio : & multas quidem capies ciuitates : multos verò interficies viros, currens vt fugientes aſſequaris. Hæc Chiron puero vaticinatur, pulchra quidẽ ac boni ominis, & non qualia apud Homerum Xanthus.

CENTAVRIDES: id eſt, *Centaurorum filiæ.*

Tu quidem Centauridum gregem è quercubus, ac ſaxis genitum arbitrabaris, vel per Iouem ex equabus ſolùm, quas Ixionis equum inire ferunt, à quo Centauri compacti coïerunt. His verò & matres ex eodem genere erant, mulieres iam, & pulli infantium ſpecie, & domus ſuauiſſima: non enim te Pelio triſtari reor, & qui in eo eſt victu, fraxiníque planta, quæ à ventis educata & recta eſt, & in cuſpide minimè frangitur. & pulcherrima antra, & fontes, & quæ apud ipſos ſunt Centaurides, ſi equorum quidem obliuiſceremur, vt Naiades: ſin verò cum equis eas conſideraremus, vt Amázones. Nam muliebris formæ mollities inualeſcit equo ſimul conſpecto. Centauri iſti infantes, quorum alij in faſciis iacent: alij è faſciis latenter exeunt, alij flere videntur: hi verò bene agunt, mammáque vbertim fluente rident: hi ſub matribus infantium more ludunt; hi matres ipſas genibus flexis ſeſe ſubmittentes amplectuntur: ſed hic in matrem lapidem iacit, contumelia iam afficiens, & infantium quidem forma nondum euidens, affluente ipſi lacte: qui verò iam ſaltitant, aſperitatis etiam aliquid præſeferũt. Ipſis autem iuba iam futura exiſtit,

A καὶ ἐπὶ Ξάνθου, καὶ Βαλίου. καὶ πολλὰς μὲν πόλεις αἱρήσεις, πολλοὺς δὲ ἄνδρας ἀποκτενεῖς, θέων ὅσα καὶ συνεκφθάζοντας.* ταῦτα ὁ Χείρων μαντεύεται τῷ παιδί, καλά, καὶ εὔφημα, καὶ οὐχ οἷα ὁ Ξάνθος. ἴσ. διώκω.

ΚΕΝΤΑΥΡΙΔΕΣ.

Σὺ μὲν ᾤου τὴν Κενταυρίδων B ἀγέλην δρυῶν ἐκπεφυκέναι, καὶ πετρῶν. ἢ νὴ Δία ἵππων μόνον, αἷς τὸν τοῦ Ἰξίονος ἐπιθόρνυσθαί φασιν· ὑφ' οὗ οἱ Κένταυροι ἑνωθέντες, ἦλθον ἐς κρᾶσιν. τοῖς δέ, ἄρα καὶ μητέρες ὁμόφυλοι ἦσαν, καὶ γυναῖκες ἤδη, καὶ πῶλοι ἐν εἴδει βρεφῶν, καὶ οἶκος ἥδιστος. οὐ γὰρ οἶμαί σε ἄχθεσθαι τῷ Πηλίῳ, καὶ τῇ ἐν αὐτῷ διαίτῃ, καὶ τῷ τῆς μελίας φυτῷ, ἀνεμοτρεφεῖ ὄντι, καὶ παρεχομένῳ τὸ ἰθὺ ὁμοῦ, καὶ τὸ μὴ κλᾶσθαι ἐν τῇ αἰχμῇ. καὶ τὰ ἄντρα C κάλλιστα, καὶ αἱ πηγαί, καὶ αἱ παρ' αὐτοῖς Κενταυρίδες. εἰ μὲν ἐπιλαθοίμεθα τῶν ἵππων, οἷαι Ναΐδες. εἰ δὲ μετὰ τῶν ἵππων αὐτὰς λογιζοίμεθα, οἷαι Ἀμαζόνες. ἡ γὰρ τοῦ γυναικείου εἴδους ἁβρότης, ῥώννυται, συνορωμένου αὐτῷ τοῦ ἵππου. Κένταυροι δὲ ταυτὶ τὰ βρέφη, τὰ μέν, σπαργάνοις ἔγκειται· τὰ δέ, τῶν σπαργάνων ὑποδύεται· τὰ δέ, κλάειν ἔοι- D κε. τὰ δέ, εὖ πράττει. καὶ εὐροοῦντος τοῦ μαζοῦ, μειδιᾷ. τὰ δέ, ἀτάλλει ὑπὸ ταῖς μητράσι. τὰ δέ, περιβάλλει αὐτὰς ὀκλαζούσας. ὁ δέ, ἐς τὴν μητέρα λίθον ἀφίησιν, ὑβρίζων ἤδη. καὶ τὸ μὲν τῶν νηπίων εἶδος, οὔπω σαφές, ἐκπλημμυροῦντος αὐτῷ τοῦ γάλακτος. τὰ δέ, ἤδη σκιρτῶντα, ἐμφαίνει* τι καὶ τραχύτητος. ὑπάρχει δὲ αὐτοῖς χαίτη μέλλουσα, χ. ἄκρ.

καὶ ὁπλαὶ ἁπαλαὶ ἔτι. ὡς καλαὶ αἱ Κενταυρίδες, καὶ ἐν τοῖς ἵπποις. αἱ μὲν γὰρ λευκαῖς ἵπποις ἐμπεφύκασιν. αἱ δέ, ξανθαῖς συνάπτονται. τὰς δέ, ποικίλλει μέν, ἀποστίλβει δὲ αὐτῶν, οἷόν τι τῶν ἐν κομιδῇ ἵππων ἐκπέφυκε, καὶ μελαίνης ἵππου, λευκὴ Κενταυρίς· καὶ τὰ ἐναντιώτατα τῶν χρωμάτων, ἐς τὴν τοῦ κάλλους συνθήκην ὁμολογεῖ.

A & vngulæ adhuc molles. quàm pulchræ in equis quoque Centaurides: nam hæ quidem candidis agnatæ ſunt equabus, hæ verò flauis adnexæ: has verò variat quidem, ab ipſis verò reſplendeſcit quale in equorum cura exoritur. & nigræ equæ niuea Centauris: & inter ſe maximè contrarij colores ad pulchritudinis compoſitionem conſentiunt.

ΙΠΠΟΛΥΤΟΣ.

B

Τὸ μὲν θηρίον, ἄρα Θησέως. ἐμπέπτωκε δὲ τοῖς Ἱππολύτου ἵπποις, ἐν εἴδει ταύρου λευκοῦ κατὰ τοὺς δελφῖνας. ἥκει δὲ ἐκ θαλάττης κατὰ τοῦ μειρακίου, οὐδεμιᾷ δίκῃ. μητρυιὰ γὰρ Φαίδρα ξυνθεῖσα λόγον ἐπ᾽ αὐτῷ οὐκ ὄντα, ὡς δὴ ἐρῷτο ὑπὸ τοῦ Ἱππολύτου, αὐτὴ δὲ ἄρα τοῦ μειρακίου ἤρα· ἀπατᾶται ὁ Θησεὺς τῷ λόγῳ, καὶ καταρᾶται τοῦ παιδὸς τὰ ὁρώμενα. οἱ μὲν δὴ ἵπποι, ὁρᾷς ὡς ἀτιμάσαντες τὸν ζυγόν, ἐλευθέραν αἴρουσι τὴν χαίτην, κροαίνοντες ὥσπερ οἱ λαμπροί, καὶ ἔμφρονες, ἀλλ᾽ ἐξηρμένοι φόβῳ, καὶ πτοίᾳ. ῥαίνοντες δὲ ἀφρῷ τὸ πεδίον, ὁ μέν, ἐς τὸ θηρίον ἐπέστραπται φεύγων. ὁ δ᾽ ἀνεσκίρτηκεν ἐς αὐτό. ὁ δέ, ὑποβλέπει. τῷ δέ, ἐς τὴν θάλατταν ἡ φορά, καθάπερ ἑαυτοῦ καὶ τῆς γῆς ἐκλαθομένῳ. μυκτῆρσι δὲ ὀρθοῖς, ὀξὺ χρεμετίζουσιν, εἰ μὴ παρακούεις τῆς γραφῆς. τροχοὶ δ᾽ ἅρματος, ὁ μέν, ἐξήρμοσται τὰς κνήμας, ὑπὸ τοῦ συγκλιθῆναι τὸ ἅρμα ἐς αὐτὸν τῆς δίνης. ὁ δ᾽ ἐκλελοιπὼς τὸν ἄξονα, φέρεται καθ᾽ αὐτόν, στρομβούσης αὐτὸν ἔτι τῆς δίνης. διεπτόηνται καὶ οἱ τῶν ὀπαδῶν ἵπποι· καὶ τοὺς μέν, ἀποσείονται· τοὺς δ᾽ ἄγχοντες πῃ ἤδη φέρουσι. σὺ δὲ

HIPPOLYTVS.

Fera quidem Theſei, ingruit verò Hippolyti equis, ſpecie tauri candidi inſtar delphinorum. Venit autem in adoleſcentulum, nullo iure. A Phædra etenim nouerca falſa in ipſum compoſita oratione, quòd ſcilicet ab Hippolyto amaretur, cum ipſa eius amore capta eſſet, Theſeus decipitur, & quæ cernuntur, filio imprecatus eſt. Vides
C tu quidem vt equi iugum detrectantes iubam tollunt, neque exultant vt illuſtres, ac prudentes, ſed metu ac formidine attoniti. Campum autem ſpuma inſpergentes: hic quidem in feram conuerſus eſt fugiens, hic vero in ipſam reſultauit: at iſte ſuſpicit: illi in mare impetus, vt pote ſui ipſius ac telluris oblito; rectis autem naribus acutum hinniunt, niſi picturam obaudis. Currus autem rotæ, hæc quidem luxata eſt radios, quod
D in eam inclinatus ſit currus: hæc vero axem relinquens per ſe fertur, vertigine adhuc eam circumagente. Perterrefacti ſunt & comitum equi, & hos quidem excutiunt, hos vero angentes aliquo iam ferunt. Tu autem, adoleſcen-

tule modeſtiæ ſtudioſè iniqua quidem à nouerca, paſſus eſt: iniquiora verò à patre paſſus es. Quare conqueſta eſt & pictura poëticum quendam luctum tua cauſa componens. Speculæ enim iſtæ per quas cum Diana venabaris, mulierum ſpecie ſcinduntur genas, prata autem egregia adoleſcentulorum forma, quæ immortalia nominabas, cauſa tua flacceſcunt flores. Nymphæ tuæ nutrices ex hiſce fontibus emerſæ comas ſcindunt, è papillis aquam fundentes. Tibi autem nec fortitudo, nec brachium ſuccurrerunt: ſed membrorum partim dilaniata ſunt, partim contrita. Polluta eſt autem coma; & pectus quidem ſpirat adhuc; vt pote non dimittens animam, oculus verò vulnerata circunſpicit. O pulchritudinem, quam vulnerari non potuit. Nam ne nunc quidem adoleſcentulum deſerit, ſed & vulneribus venuſtatis aliquid concedit.

RHODOGVNE.

Et ſanguis vnà cum ære, ac purpureis veſtibus, ornamenti aliquid caſtris addit, picturæque venuſtatem, qui alius aliter ceciderunt, equíque ſtupore quodam inſanientes, & fluminis aqua præter ſolitum polluta, in quo hæc. Captiui autem, & ipſorum cauſa Tropæum, Rhodogune, ac Perſæ Armenios ſuperant, fœdera tranſgredientes. Cùm Rhodogune ea celeritate victoriam aſſecuta dicatur, vt ne ad dexteram quidem comam reſumendam ſibi moram conceſſerit, qua minimè ſuperbiebat; & ſibi placet victoriæ cauſa: & intelligit fore, vt ob opus illud ipſa apud poſteros celebretur, tam cithara, quàm ti-

A μειράκιον, σωφροσύνης ἐρῶν, ἄδικα μὲν ὑπὸ τῆς μητρυιᾶς ἔπαθες, ἀδικώτερα δὲ ὑπὸ τοῦ πατρός. ὥστε, ὀδύρεται καὶ ἡ γραφή, θρῆνόν τινα ποιητικὸν ἐπὶ σοὶ ξυνθεῖσα. σκοπαὶ γὰρ αὗται, δι' ὧν ἐθήρας ξὺν Ἀρτέμιδι, δρύπτονται τὰς παρειάς, ἐν εἴδει γυναικῶν. λειμῶνες δὲ ἐν ὥρᾳ μειρακίων, οὓς ἀκηράτους ὠνόμαζες, μαραίνουσιν ἐπὶ σοὶ τὰ ἄνθη. νύμφαι τε αἱ σαὶ τροφοί, τουτωνὶ τῶν B πηγῶν ἀνασχοῦσαι, σπαράττουσι τὰς κόμας, ἀποβλύζουσαι τῶν μαζῶν ὕδωρ. ἤμυνε δέ σοι οὐδὲ ἡ ἀνδρία οὐδέν, οὐδὲ ὁ βραχίων. ἀλλά σοι τὰ μὲν, ἐσπάρακται τῶν μελῶν, τὰ δέ, συντέτριπται. πέφυρται δὲ ἡ κόμη. καὶ τὸ μὲν στέρνον, ἔμπνουν ἔτι, καθάπερ μὴ μεθιέμενον τῆς ψυχῆς. τὸ δὲ ὄμμα περιαθρεῖ τὰ τετρωμένα. φεῦ τῆς ὥρας, ὡς ἄζωστός τις ἐλε- C λήθει οὖσα. οὐδὲ γὰρ νῦν ἀπολείπει τὸ μειράκιον, ἀλλ' ἐπιπρέπει τι καὶ τοῖς τραύμασι.

ΡΟΔΟΓΟΥΝΗ.

Καὶ τὸ αἷμα πρὸς τῷ χαλκῷ, καὶ ταῖς φοινικίσι, προσβάλλει τι ἄνθος τῷ στρατοπέδῳ. καὶ χάριεν τῆς γραφῆς, οἱ ἄλλος ἄλλως πεπτωκότες· ἵπποι τε ἀτακτοῦντες μετ' ἐκπλήξεως, καὶ παρεφθορὸς ὕδωρ ποταμοῦ, ἐφ' ᾧ ταῦτα. οἱ δὲ αἰχ- D μάλωτοι, καὶ τὸ ἐφ' αὐτοῖς τροπαῖον, Ροδογούνη, καὶ Πέρσαι, νικῶσιν Ἀρμενίους, ἐν σπονδαῖς ἀτακτήσαντας. ὅτι δὴ λέγεται ἡ Ροδογούνη κρατῆσαι τῆς μάχης, οὐδὲ ὅσον τὰ δεξιὰ τῆς χαίτης ἀναλαβεῖν, ξυγχωρήσαντα ἑαυτῇ βραδῦναι, ἡ δὲ ἐπῆρται· καὶ φρονεῖ ἐπὶ τῇ νίκῃ, καὶ ξυνίησιν ὡς ἔσοιτο ἀοίδιμος ἐπὶ τῷ ἔργῳ, καὶ ἐν κιθάρᾳ, καὶ ἐν αὐ-

A λοῖς καὶ ἔνθα Ἕλληνες. προσγέγραπται
δὲ αὐτῇ καὶ Νισαία ἵππος μέλαινα, ἐπὶ
λευκοῖς τοῖς σκέλεσι, καὶ τὰ στέρνα λευ-
κά. καὶ τὸ πνεῦμα, ἀπὸ λευκοῦ τοῦ μυκ-
τῆρος. καὶ τὸ μέτωπον, ἐν ἀρτίῳ τῷ κύ-
κλῳ. λίθων μὲν οὖν, καὶ ὅρμων, καὶ παντὸς
κ. ἀλῶν ἁπαλοῦ* κόσμου παρακεχώρηκεν ἡ Ρο-
δογούνη τῷ ἵππῳ, ὡς ἀγάλλοιτο, καὶ
ἁβρῶς τὸν χαλινὸν διαπτύοι. κοκκοβα-
φεῖ δὲ ἐσθῆτι καταλάμπει πάντα, πλὴν
B τοῦ ἑαυτῆς εἴδους. ἐν ἡδείᾳ μὲν τῇ ζώνῃ,
καὶ τὴν ἐσθῆτα μεσούσῃ ἐς γόνυ, ἡδεῖα
δὲ τῇ ἀναξυρίδι καὶ περιεχομένῃ γρα-
φὰς ἀπὸ κερκίδος. τὸ δὲ ἀπὸ ὤμου ἐς
ἀγκῶνα τὸν χιτῶνα διαλείπουσαι πόρ-
παι ξυνάπτουσιν, ὑπανισχούσης ἐναλ-
λὰξ τῆς ὠλένης, ἔνθα ὁ δεσμός. ὁ δὲ ὦ-
μος ἐσκέπασται· καὶ τὸ σχῆμα, οὔπω ἀμα-
ζόνος. καὶ τῆς ἀσπίδος ἄγασθαι χρὴ τὸ μέ-
C τρον, καὶ ἀποχρῶν τῷ στέρνῳ. καὶ τὴν ἰσχὺν
τῆς γραφῆς, ἐνταῦθα ἐξετάσαι· ὑπερ-
βάλλουσα γὰρ ἡ ἀριστερὰ τὸν πόρπακα,
ἔχεται τῆς αἰχμῆς, ἀφιστᾶσα τοῦ στέρνου
τὴν ἀσπίδα. ὀρθῆς δὲ ἐγκειμένης τῆς
ἴτυος, ὁρᾶται μὲν καὶ τὰ ἔξω τῆς ἀσπί-
δος ἡ οὐ χρυσᾶ ταῦτα, καὶ οἷα ζῶα· τὰ δὲ
ἔσω, καὶ ἔνθα ἡ χείρ, ἁλουργά. προσαυ-
θεῖ δὲ αὐτοῖς ὁ πῆχυς. αἰσθάνεσθαι δέ μοι
D δοκεῖς, ὦ παῖ, τοῦ ἐν αὐτῇ κάλλους, καὶ
βούλεσθαί τι καὶ περὶ τούτου ἀκούειν. ἄ-
κουε δή. σπένδει μὲν ἐπὶ τῇ τῶν Ἀρμε-
νίων τροπῇ. καὶ ἡ ἔννοια, εὐχομένης. εὔ-
χεται δὲ αἱρεῖν τοὺς ἄνδρας, οὓς νῦν ᾕρη-
κεν· οὐ γάρ μοι δοκεῖ ἐρᾶν τοῦ ἐρᾶσθαι. καὶ
τὸ μὲν ἀνειλημμένον τῶν τριχῶν, αἰδοῖ
κεκόσμηται, τὸ ἀγέρωχον κολαζούσῃ.
τὸ δὲ ἄνετον, βακχεύει αὐτήν, καὶ ῥώννυσι. καὶ ξανθὸν μὲν, καὶ χρυσοῦ πέρα, τὸ ἀπα-

biis, vbicunque fuerint Græci. Ap-
picta eſt ei Niſæa equa nigra, cui
ad candida crura, niuea ſunt pe-
ctora, & ſpiritus, è candidis nari-
bus, & frons, in exacto orbe. La-
pillos igitur, ac monilia, omnémque
que deliciosum mundum equo cõ-
ceſſit Rhodogune, vt exultaret,
frenúmque deliciosè exereret. O-
mnia autem præter ipſius formam
coccina ſplendent veſte, in ſuaui
quidem zona, & ad genu veſtem
metiente: ſuaui verò & Anaxuride
picturas à radio præbente. Eam au-
tem veſtis partem, quæ ab hume-
ro ad cubitum tendit, diſtantes ne-
ctunt fibulæ; vlna viciſſim, vbi vin-
culum, exſtante: humerus verò de-
primitur, & habitus nondum Ama-
zonis. Clypei quoque modum mi-
rari oportet, & qui pectori ſatis
ſit, picturæque vim hic exquire-
re. Clypei namque lorum tranſ-
grediens ſiniſtra, cuſpidem tenet,
clypeum à pectore ſeiungens. Cly-
pei autem circunferentia recta exi-
ſtente, ſpectantur quidem & exte-
riora, vbi non aurea hæc, ac ve-
luti animalia: interiora vero, & v-
bi manus, purpurea: illuſtrat autem
iſta cubitus: mihi intelligere vide-
ris, ô puer, quæ ei ineſt, pulchritu-
dinem, velléque ſuper hac aliquid
audire. Audi igitur. Libat quidem,
quod Armenios in fugam verterit,
& cogitatio eſt ſupplicantis: preca-
tur autem viros capere; quos nunc
cœpit, neque enim mihi videtur
eo eſſe deſiderio, vt ametur, & ea
quidem crinium pars, quæ compta
ac compoſita eſt, verecundia ſu-
perbiam coercente exornata eſt.
Quæ vero remiſſa eſt ac ſoluta, ip-
ſam excitat, ac validam reddit, &
id comæ, quod ſolutum eſt, flauum

ac ſupra aurum. Quod verò in altera parte poſitum, habet neſcio quid & in ipſam differens quòd compoſitum ſit. Supercilia propterea venuſta quidem, quòd cùm naſo pariter & incipiant & oriantur. Venuſtiora verò quòd circumacta ſint: oportet enim vt ipſa non modò oculis proiecta ſint, ſed & circuniecta. At gena excipit quidem oculorum deſiderium, hilaritate verò lætificat. Riſus enim ſtudium in gena maximè. & oculi miſti quidem ſunt è fuluo in atrum: præſtant verò ab occaſione quidem hilaritatem, à natura vero pulchritudinem: ab imperij dignitate faſtum. Os autem molle, fructúque Venereo refertum, oſculatu quidem ſuauiſſimum, pollicitatu vero difficile. Ceterùm, ô puer, aduerte quæ tibi percepiſſe ſatis eſt. Labra florida, atque æqualia, os modeſtum, tropæóque preces accinens: quod ſi auſcultare voluerimus, Græcè fortaſſe loquetur.

A κτόνιῳ τῆς κόμης. τὸ δὲ ἐπὶ θάτερα κείμενον, ἔχει τι καὶ ἐς αὐτὸ παραλλάττον, ὑπὸ τοῦ πεπλέχθαι. τὸ δὲ ὀφρύων, χαρίεν μὲν τὸ ἀπὸ τοῦ ἄρχεσθαι, καὶ ὁμόθεν ἐκπεφυκέναι τῆς ῥινός· χαριέστερον δὲ τὸ περιῆχθαι. δεῖ γὰρ αὐτὰς μὴ προβεβλῆσθαι τῶν ὀφθαλμῶν μόνον, ἀλλὰ καὶ περιβεβλῆσθαι αὐτοῖς. ἡ παρειὰ δὲ, ὑποδέχεται μὲν τὸν ἀπὸ τῶν ὀμμάτων ἵμερον, εὐφραίνει δὲ τῷ ἱλαρῷ. τὸ γὰρ φι-
B λομειδὲς, ἐν παρειᾷ μάλιστα. καὶ οἱ ὀφθαλμοὶ, κέκρανται μὲν ἀπὸ τοῦ χαροποῦ ἐς τὸ μέλαν· παρέχονται δὲ τὸ μὲν ἱλαρὸν, ἀπὸ τοῦ καιροῦ, τὸ δὲ, ὡραῖον, ἀπὸ τῆς φύσεως, τὸ δὲ γαῦρον, ἀπὸ τοῦ ἄρχειν. στόμα δὲ ἁπαλὸν, καὶ ἀνάμεστον ὀπώρας ἐρωτικῆς. φιλῆσαι μὲν, ἥδιστον· ἀπαγγεῖλαι δὲ, οὐ ῥᾴδιον. ἃ δὲ ἀπόχρη σοι μα-
C θεῖν, ὅρα παιδίον. χείλη ἀνθηρὰ, καὶ ἴσα. στόμα σύμμετρον, καὶ παραφθεγγόμενον τὴν εὐχὴν τῷ τροπαίῳ. κἂν παρακοῦσαι βουληθῶμεν, τάχα Ἑλληνιεῖ.

ARRHICHIO ATHLETA.

Ad ipſa veniſti Olympia, & ad eorum, quæ in Olympia ſunt, pulcherrimum: hoc enim virorum Pancratium; coronatur autem ob ipſum Arrhichio, qui in victoria deceſſit: & ipſum hic Hellanodices coronat. Appelletur autem verus, & quòd veri curam ſuſceperit, & quòd illi pictus ſit. & tellus in ſimplici valle: tantúmque, quantum cernis, continente, ſtadium præbet. & Alphei fluxus leuis elabitur: proptereáque fluminum ſolus in maris ſuperficie fluitat, oleaſtríque circa ipſum cærulea ſpecie pullulant. Pulchri, ac iuxta apiorum denſitatem. Sed hæc mul-

ΑΡΡΙΧΙΩΝ.

Ἐς αὐτὰ ἥκεις Ὀλύμπια, καὶ τῶν ἐν Ὀλυμπίᾳ τὸ κάλλιστον. τουτὶ γὰρ δὴ ἀνδρῶν τὸ Παγκράτιον· στεφανοῦται δὲ αὐτῷ Ἀρριχίων ἐπαποθανὼν τῇ νίκῃ. καὶ στεφανοῖ αὐτὸν οὑτοσὶ Ἑλλανοδίκης:
D ἀτρεκὴς δὲ προσειρήσθω, διά τε τὸ ἐπιμελεῖσθαι ἀληθείας, διά τε τὸ ὡς ἐκεῖνοι γεγράφθαι. στάδιον δὲ ἡ γῆ δίδωσιν ἐν ἁπλῇ αὐλῶνι, καὶ εἰσεχούσῃ τοσοῦτον. καὶ τὸ τοῦ Ἀλφειοῦ νᾶμα, ἐξέρχεται κοῦφον. ταῦτά τοι καὶ μόνος ποταμῶν ἐπὶ τῆς θαλάττης ὀχεῖται. κότινοι δὲ αὐτῷ περιτεθήλασιν ἐν γλαυκῷ εἴδει, καλοὶ καὶ κατὰ τὴν σελίνων οὐλότητα. ταυτὶ μὲν

A οἷον μετὰ τὸ στάδιον, ἐπισκεψόμεθα, καὶ πολλὰ ἕτερα. τὸ δὲ ἔργον τὸ τοῦ Ἀρριχίωνος, πρὶν ἢ παύσασθαι αὐτὸ σκοπῶμεν. ἔοικε γὰρ μὴ τοῦ ἀντιπάλου μόνον, ἀλλὰ καὶ τοῦ Ἑλληνικοῦ κεκρατηκέναι. βοῶσι γοῦν, ἀναπηδήσαντες τῶν θάκων. καὶ οἱ μὲν, τὼ χεῖρε ἀνασείουσιν· οἱ δὲ, τὴν ἐσθῆτα. οἱ δὲ, αἴρονται ἀπὸ τῆς γῆς· οἱ δὲ, τοῖς πλησίον ἱλαροὶ προσπαλαίουσι. τὰ γὰρ οὕτως ἐκπληκτικὰ, οὐ συγχωρεῖ τοῖς θεαταῖς, ἐν τῷ καθεκτῷ εἶναι. ἢ τίς οὕτως ἀναίσθητος, ὡς μὴ ἀνακραγεῖν ἐπὶ τῷ ἀθλητῇ; μεγάλου γὰρ δὴ αὐτῷ ὑπάρχοντος, τοῦ δὶς ἤδη νικῆσαι τὰ Ὀλύμπια, μεῖζον τουτὶ νυνὶ, ὅτι καὶ τῆς ψυχῆς αὐτὰ κτησάμενος, ἐς τὸν τῶν ὀλβίων πέμπεται χῶρον, αὐτῇ κόνει. μὴ συντυχία νοείσθω τοῦτο. σοφώτατα γὰρ προενοήθη τῆς νίκης· καὶ τὸ πάλαισμα οὐκ ἀγνοήσεις· οἱ παγκρατιάζοντες, ὦ παῖ, κεκινδυνευμένῃ προσχρῶνται τῇ πάλῃ. δεῖ γὰρ αὐτοῖς ὑπτιασμῶν τε, οἱ* μὴ εἰσὶν ἀσφαλεῖς τῷ παλαίοντι· καὶ συμπλοκῶν, ἐν αἷς περιγίνεσθαι χρὴ, οἷον πίπτοντα. δεῖ δὲ αὐτοῖς καὶ τέχνης εἰς τὸ ἄλλοτε ἄλλως ἄγχειν. οἱ δὲ αὐτοὶ, καὶ σφυρῷ προσπαλαίουσι, καὶ τὴν χεῖρα στρεβλοῦσι, προσόντος τοῦ παίειν, καὶ ἐνάλλεσθαι. ταυτὶ γὰρ τοῦ παγκρατιάζειν ἔργα, πλὴν τοῦ δάκνειν, * ἢ ὀρύττειν. Λακεδαιμόνιοι μὲν οὖν καὶ ταῦτα νομίζουσιν, ἀπογυμνάζοντες, οἶμαι, ἑαυτοὺς εἰς τὰς μάχας. Ἠλεῖοι δὲ ἀγῶνες, ταυτὶ μὲν, ἀφαιροῦσι. τὸ δὲ ἄγχειν ἐπαινοῦσιν. ὅθεν τὸν Ἀρριχίωνα, μέσον ἤδη ᾑρηκὼς ὁ ἀντίπαλος, ἀποκτεῖναι ἔγνω. καὶ τὸν μὲν πῆχυν τῇ δέρῃ ἐνέβαλεν, ἀποφράττων αὐτῷ τὸ ἆσθμα.

γρ. εἰ μ.

γρ. ἢ

A táque alia poſt ſtadium conſiderabimus. Arrhichionis autem opus, priuſquam deſinat, conſideremus. Videtur enim non aduerſariũ modò, verùm & vniuerſos ſuperaſſe Græcos. Clamitant igitur è ſedibus exilientes; & hi quidem manus excutiunt: hi vero veſtem, iſti tolluntur humo: at illi hilares cum proximis luctantur. Quæ enim ita terribilia atque horrenda ſunt, ſpectatoribus, vt ſe in eodem contineant B ſtatu, minimè concedunt. Alioqui, quis adeo omni eſt ſenſu priuatus, vt non athletæ applaudat? Nam cùm bis iam Olympia viciſſe ei magnũ fuerit: multo hoc nunc maius, quòd vita etiam hæc aſſecutus, cum ipſo puluere ad beatorum ſedem mittitur. Ne caſus exiſtimetur hoc. Sapientiſſime namque ante victoriam excogitatum fuerat, & certamen haud ignorabis. Qui Pancratio ſe exercent, ô puer, periclitanti vtun- C tur lucta: opus eſt enim ipſis & reſupinationum, quæ luctanti tutæ minimæ ſunt: & complexionum, in quibus vt cadentem vincere oportet. Opus eſt autem ipſis & arte, vt alias aliter aduerſarium angant. Hi quidem & pedis malleolo luctantur, & manum torquent; cùm interea & feriant, & inſultent. Hæc ſunt pancratiaſtæ opera, præterquàm quòd & mordent, & ' fodiunt. Lacedæmonij autem & hæc D lege ſanciunt: ſe (vt puto) ad prælia exercentes. At Elea certamina hæc quidem auferunt, angere vero aduerſarium laudant. Vnde aduerſarius Arrhichionem medium complexus interficere decreuerat: & cubitum quidem gutturi opposuit, ſpiritum ei intercludens.

Crura vero inguinibus admouens: extremóſque pedes ad vtrumque poplitem implicans, ſuffocatione quidem eum præuenit, ſomnolenta inde morte ſenſibus ingruente: Remiſſa autem crurum vſus intentione, Arrhichionis* cogitationem haudquaquam præoccupauit: excutiens enim Arrhichio pedis plantam, à qua dextera ſibi periclitabatur, ſuſpenſo iam poplite: illum quidem, vt non amplius aduerſarium inguine ſuſtinet: ſiniſtris verò inſidens, ſupremámque pedis partem poplite includens, præ violenta ad exteriora conuerſione talum in malleolo permanere haudquaquam permittit. Anima namque è corpore exiens ipſum quidem reddit imbecille: vim verò, ac robur præbet in quodcunque incubuerit. Pictúſque eſt autem mortuo quidem ſimilis, qui necuit, manúque quòd defecerit indicans. Arrhichio verò vt vincentes pictus eſt. Etenim ſanguis in flore [ac proprio eſt colore:] & ſudor adhuc ſincerus, & ridet vt viuentes cùm victoriam ſentiunt.

F.M. colligatione l. implicationem.

τὰ σκέλη δὲ τοῖς βουβῶσιν ἐναρμόσας, καὶ περιδείρας εἰς ἑκατέραν ἀγκύλην ἄκρω τὼ πόδε, τῷ μὲν πνίγματι ἔφθη αὐτὸν, ὁ πηλὸς τοῦ ἐντεῦθεν θανάτου, τοῖς αἰσθητηρίοις ἐμβρέχοντος· τῇ δὲ ἐπιτάσει τῶν σκελῶν ἀνειμένῃ χρησάμενος, οὐκ ἔφθη τὸν λογισμὸν* τοῦ Ἀρριχίωνος· ἐκλακτίσας γὰρ τὸν ταρσὸν τοῦ ποδὸς Ἀρριχίων, ὑφ᾽ οὗ ἐκινδύνευεν αὐτῷ τὰ δεξιὰ, κρεμαννυμένης ἤδη τῆς ἀγκύλης, ἐκεῖνον μὲν συνέχει τῷ βουβῶνι, ὡς οὐκέτ᾽ ἀντίπαλον. τοῖς δέ γε ἀριστεροῖς ἐνιζήσας, καὶ τὸ περὶ τὸ ἄκρον τοῦ ποδὸς ἐναποκλείσας τῇ ἀγκύλῃ, οὐκ ἐᾷ μένειν τῷ σφυρῷ τὸν ἀστράγαλον, ὑπὸ τῆς ἐς τὸ ἔξω βιαίου ἀποστροφῆς. ἡ γὰρ ψυχὴ ἀπιοῦσα τοῦ σώματος, ἀδρανὲς μὲν αὐτὸ ἐργάζεται, δίδωσι δὲ αὐτῷ ἰσχὺν, ἐς ὃ ἀπερείδεται. γέγραπται δὲ, ὁ μὲν ἀποπνίξας, νεκρῷ εἰκάσαι, καὶ τὸ ἀπαγορεῦον ἐπισημαίνων τῇ χειρί. ὁ δὲ Ἀρριχίων, ὅσα οἱ νικῶντες γέγραπται. καὶ γὰρ τὸ αἷμα ἐν τῷ ἄνθει, καὶ ὁ ἱδρὼς ἀκραιφνὴς ἔτι καὶ μειδιᾷ καθάπερ οἱ ζῶντες, ἐπειδὰν νίκης αἰσθάνωνται.

ἀρ. χ. λογισμὸν

ANTILOCHVS.

Achillem Antilochi amore captum ſuſpicatus es (puto) apud Homerum. Cùm Græcorum omnium natu minimum Antilochum, videas; & auri ſemitalentum, quo in certamine ab Achille donatus eſt, cogites. & nunciat Achilli iacere Patroclum. Solamine vnà cum nuncio à Menelao excogitato: Achille ad delicias ſuas reſpiciente. & luget in dilecti mœrore: & manus, ne ſe ipſum occidat, continet, At Achilles & tangente

ΑΝΤΙΛΟΧΟΣ.

Τὸν Ἀχιλλέα ἐρᾶν τοῦ Ἀντιλόχου πεφώρακας οἶμαι παρ᾽ Ὁμήρῳ, νεώτατον τοῦ Ἑλληνικοῦ ὁρῶν τὸν Ἀντίλοχον, καὶ τὸ ἡμιτάλαντον τοῦ χρυσοῦ ἐννοῶν, τὸ ἐπὶ τῷ ἀγῶνι. καὶ ἀπαγγέλλει τῷ Ἀχιλλεῖ κεῖσθαι τὸν Πάτροκλον, σοφισαμένου τοῦ Μενέλεω παραμυθίαν ὁμοῦ τῇ ἀγγελίᾳ, μεταβλέψαντος Ἀχιλλέως εἰς τὰ παιδικά· καὶ θρηνεῖ ἐρωμένου ἐπὶ τῷ πένθει· καὶ συνέχει τὼ χεῖρε, μὴ ἀποκτείνῃ ἑαυτόν. ὁ δ᾽ οἶμαι, καὶ ἁπτομένῳ

χαίρει, καὶ δακρύοντι. αὐτὰ μὲν οὖν Ὁμήρου γραφαί. τὸ δὲ τοῦ ζωγράφου δρᾶμα, ὁ Μέμνων ἐξ Αἰθιοπίας ἀφικόμενος, κτείνει τὸν Ἀντίλοχον, προβεβλημένον τοῦ πατρὸς καὶ τοὺς Ἀχαιοὺς οἷον δεῖμα ἐκπλήττει. πρὸ γὰρ τοῦ Μέμνονος, μῦθος οἱ μέλανες. κρατοῦντες δὲ τοῦ Ἀχαιοὶ τοῦ σώματος, ὀδύρονται τὸν Ἀντίλοχον, οἱ Ἀτρεῖδαι, καὶ ὁ ἐκ τῆς Ἰθάκης, καὶ ὁ ἐκ τοῦ Τυδέως, καὶ οἱ ὁμώνυμοι. ἐπίδηλος δὲ, ὁ μὲν Ἰθακήσιος, ἀπὸ τοῦ στρυφνοῦ, καὶ ἐγρηγορότος. ὁ δὲ Μενέλεως, ἀπὸ τοῦ ἡμέρου. ὁ δὲ Ἀγαμέμνων, ἀπὸ τοῦ ἐνθέου. τὸν δὲ, τοῦ Τυδέως, ἡ ἐλευθερία γράφει. γνωρίζοις δ' ἂν καὶ τὸν Τελαμώνιον ἀπὸ τοῦ βλοσυροῦ, καὶ τὸν Λοκρὸν, ἀπὸ τοῦ ἑτοίμου. καὶ ἡ στρατιὰ πενθεῖ τὸ μειράκιον, περιεστῶτες αὐτὸ θρήνῳ ἅμα. πήξαντες δὲ τὰς αἰχμὰς εἰς τοὔδαφος, ἐναλλάττουσι τὼ πόδε, καὶ στηρίζονται ἐπὶ τῶν αἰχμῶν, ἀπερείσαντες οἱ πλεῖστοι δυσφορούσας τὰς κεφαλὰς τῷ ἄχει. τὸν Ἀχιλλέα μὴ ἀπὸ τῆς κόμης· οἴχεται γὰρ αὐτῷ μετὰ τὸν Πάτροκλον, ἀλλὰ τὸ εἶδος αὐτὸν ἐνδεικνύτω, καὶ τὸ μέγεθος, καὶ αὐτὸ τὸ μὴ κομᾶν. θρηνεῖ δὲ προσκείμενος τοῖς στέρνοις τοῦ Ἀντιλόχου. καὶ πυρὰν οἶμαι ἐπαγγέλλεται αὐτῷ, καὶ τὰ ἐς αὐτὴν, καὶ τὰ ὅπλα ἴσως, καὶ τὴν κεφαλὴν τοῦ Μέμνονος. ἀποτῖναι γὰρ καὶ τὸν Μέμνονα, ὅσα τὸν Ἕκτορα, ὡς μηδὲ ταῦτα ὁ Ἀντίλοχος ἔλαττον τοῦ Πατρόκλου ἔχοι. ὁ δ' ἐν τῷ τῶν Αἰθιόπων στρατῷ, δεινὸς ἕστηκεν ἔχων αἰχμὴν, καὶ λεοντῆν ἐνημμένος, καὶ σεσηρὼς ἐς τὸν Ἀχιλλέα. σκεψώμεθα οὖν καὶ τὸν Ἀντίλοχον.

A gaudet (vt puto) & lachrymante. Hæc autem Homeri ſunt picturæ. Pictoris verò argumentum. Memnon ex Æthiopia profectus, Antilochum pro patre in acie dimicantem interficit, & Achiuos terror quidam percellit. Nam ante Memnonis aduentum, fabula homines nigri. Cùm autem Achiui corpus recepiſſent, lugent Antilochum Atridæ, & qui ex Ithaca oriundus, & Tydei filius, & Cognomines.

B Euidens autem eſt, Ithacenſis quidem ſeueritate quadam ac vigilantia: Menelaus verò lenitate: at Agamemnon diuina quadam maieſtate: Sed Tydei filium libertas exprimit: dignoſceres præterea Telamonium à terribili, Locrenſem à prompto: & exercitus circunſtans adoleſcentulum luget: affixis autem pauimento haſtis, alternis inſiſtunt pedibus, haſtiſque innituntur, admonentes plurimi, & capita dolore grauata. Achillem ne à coma diſcerne: hoc enim

C amiſit poſt Patroclum interfectum: ſed ſpecies ipſum indicet, ac magnitudo, & quòd minimè comam nutriat. Luget Antilochi pectoribus incumbens: & rogum (vt puto) ei pollicetur, quæque ad ipſum pertinent. & arma fortaſſe, ac Memnonis caput: reddere nämque & Memnonem, vt & Hectorem: quo ne in his quidem Antilochus

D Patroclo minora aſſequeretur. Ipſe verò in Æthiopum exercitu acer ac terribilis adſtat haſtam tenens, leoniſque pelle indutus, Achillique arridens. Conſideremus igitur & Antilochum: pubeſcit quidem ſupra lanuginem: flaua verò ſeſe effert coma, & leuis eſt tibia,

ἡβάσκει μὲν ὑπ' ἰούλους πρόσω· κομᾷ δὲ ἐν ἡλιώσῃ κόμῃ. καὶ κοῦφος ἡ κνήμη,

A & modeſtum ad curſus facilitatem corpus: & ſanguis vt in ebore color viget; cuſpide eius pectori incidente. Iacet autem adoleſcentulus nec triſtis, nec vt mortuo aſſimiles, clarúſque ac ridens: nam lætitiam, quam ex ſeruato conceperat patre, in facie gerens Antilochus cuſpide percuſſus interiit, & vultum anima reliquit: non vt doluit, ſed vt lætitia obtinuit.

καὶ τὸ σῶμα σύμμετρον ἐς ῥαστώνην τοῦ δρόμου. καὶ τὸ αἷμα δὲ οἷον ἐπ᾽ ἐλέφαντι χρῶμα ἤνθηκεν, ἐμπεσούσης αὐτῷ κατὰ τοῦ στέρνου τῆς αἰχμῆς. κεῖται δὲ οὐ κατηφὲς τὸ μειράκιον, οὐδὲ νεκρῷ εἰκάσαι, φαιδρὸν δὲ, καὶ μειδιῶν. τὴν γὰρ οἶμαι χαρὰν τὴν ἐπὶ τῷ τὸν πατέρα σῶσαι, φέρων ἐν τῷ εἴδει ὁ Ἀντίλοχος, ἀπώλετο ὑπὸ τῆς αἰχμῆς. καὶ τὸ πρόσωπον ἡ ψυχὴ κατέλιπεν, οὐχ ὡς ἤλγησεν, ἀλλ᾽ ὡς ἐπεκράτησε τὸ εὔφραινον.

B

MELES.

Quod ad Enipeum quidem pertinet, & quòd Tyro aquam diligeret, ab Homero dictum eſt: dicit autem & à Neptuno fraudem, & vndæ colorem, ſub qua cubile: hic verò ſermo alius, non ex Theſſalia, ſed Ionicus. Amat Critheis in Ionia Meletem: is autem ephebo ſimilis eſt, & à ſpectatore totus cernitur, illinc erumpens vnde oritur: bibit autem minimè ſitiens, & aquam haurit: & obſtrepentem perinde atque loquentem affatur, Venereáſq. in aquam fundit lachrymas. & fluuius (redamat enim) ipſarum gaudet mixtione. Venuſtas igitur picturæ Meles ipſe, in croco ac loto proiectus & Hyacintho, gaudens floris ætate, & delitioſam ac iuuenilem præbens ſpeciem, & non inſipientem. Diceres vtique Meletis oculos Poëticum quid meditari. pulchrum in ipſo eſt, quòd haud vehementes edit fontes, vt rudes atque imperitos amnes pingere mos eſt: Sed ſummis terram radens digitis, aquæ nullo ſtrepitu ſcaturienti manum ſubdit. & hic nobis, vt Critheidi

ΜΕΛΗΣ.

Τὸ μὲν τοῦ Ἐνιπέως, καὶ ὡς ἤρα ἡ Τυρὼ τοῦ ὕδατος, Ὁμήρῳ λέλεκται. λέγει δὲ καὶ ἀπάτην τὴν ἐκ Ποσειδῶνος, καὶ τὸ ἄνθος τοῦ κύματος, ὑφ᾽ ᾧ ἡ εὐνή. οὑτοσὶ δὲ ὁ λόγος ἕτερος, οὐκ ἐκ Θετταλίας, ἀλλ᾽ Ἰωνικός. ἐρᾷ ἡ Κριθηῒς ἐν Ἰωνίᾳ τοῦ Μέλητος. ὁ δ᾽ ἐφήβῳ ἔοικε, καὶ ὁρᾶται C τῷ θεατῇ ὅλος, ἐκεῖ ἐμβάλλων ὅθεν ἄρχεται. πίνει δὲ οὐ διψῶσα, καὶ λαμβάνεται τοῦ ὕδατος, καὶ κελαρύζοντι προσδιαλέγεται, καθάπερ λαλοῦντι, δάκρυα δὲ λείβει ἐρωτικὰ τῷ ὕδατι. καὶ ὁ ποταμὸς, ἀντερᾷ γὰρ, χαίρει αὐτῶν τῇ κράσει. χάριεν μὲν οὖν τῆς γραφῆς αὐτὸς ὁ Μέλης, ἐν κρόκῳ καὶ λωτῷ κείμενος, καὶ ὑακίνθῳ, χαίρων δι᾽ ἡλικίαν τοῦ ἄνθοις, D καὶ παρεχόμενος εἶδος ἁβρὸν, καὶ μειρακιῶδες, καὶ οὐδὲ ἄσοφον. εἴποις ἂν τοὺς ὀφθαλμοὺς τοῦ Μέλητος, ἀναπολεῖν* τι τῶν ποιητικῶν. χάριεν δὲ αὐτοῦ, καὶ ὅτι μὴ λάβροις τὰς πηγὰς ἐκδίδωσι, καθάπερ τοὺς ἀμαθεῖς τῶν ποταμῶν γράφειν νόμος· ἀλλὰ τὴν γῆν ἄκροις τοῖς δακτύλοις διαμώμενος, ὑπέχει τὴν χεῖρα τῷ ὕδατι, ἀψοφητὶ βλύζοντι. καὶ ἐρᾶται ἡμῖν, ὡς τῇ γε Κριθηΐδι,

* γ. διασκοπεῖν

ὕδωρ ὁρᾶται. καὶ παρακάθηται ὀνείρατι, ὥς φασιν. ἀλλ' οὐκ ὄναρ ταῦτα, ὦ Κρηθηΐς, οὐδὲ εἰς ὕδωρ τὸν ἔρωτα τοῦτον γράφεις. ἐρᾷ γάρ σου ὁ ποταμὸς, εὖ οἶδα, καὶ σοφίζεταί τινα ὑμῖν θάλαμον, κῦμα αἴρων, ὑφ' ᾧ ἡ εὐνὴ ἔσται. εἰ δὲ ἀπιστεῖς, λέξω σοι καὶ τὴν τοῦ θαλάμου τέχνην. λεπτὴ αὔρα, κῦμα ὑποδραμοῦσα, ἐργάζεται αὐτὸ κυρτὸν, καὶ περιεχὲς, καὶ ἀνθηρόν. ἐπεὶ γὰρ ἀνταύγεια τοῦ ἡλίου, χρῶμα προσβάλλει μετεώρῳ τῷ ὕδατι. τί οὖν, ὦ παῖ, λαμβάνῃ μου; τί δ' οὐκ ἐᾷς καὶ τὰ λοιπὰ διεξιέναι τῆς γραφῆς; εἰ βούλει καὶ τὴν Κρηθηΐδα διαγράψωμεν, ἐπεὶ χαίρειν φὴς, ὅταν ἐναλύῃ αὐτῆς ὁ λόγος. λεγέσθω τοίνυν. ἁβρὸν μὲν αὐτῇ τὸ εἶδος, καὶ μάλα Ἰωνικόν· αἰδὼς δὲ τῷ εἴδει ἐπιπρέπει· καὶ ἀπόχρη τοῖς τῆς παρειᾶς τὸ ἄνθος. ἡ χαίτη δὲ, ἀνείληπται μὲν ὑπὸ τὸ οὖς, ἐπικοσμεῖται δὲ καὶ κρηδέμνῳ ἁλουργεῖ. δῶρον Νηρηΐδος, ἢ Ναΐδος οἶμαι εἶναι τὸ κρήδεμνον. εἰκὸς γὰρ συγχορεύειν τὰς θεὰς ἐπὶ τῷ Μέλητι, παρεχομένῳ τὰς πηγὰς οὐ πόρρω τῶν ἐκβολῶν. βλέπει δὲ οὕτω τι ἡδὺ, καὶ ἀφελὲς, ὡς μηδὲ ὑπὸ τῶν δακρύων ἐξαλλάττειν τὸ ἵλεων. καὶ ἡ δέρη ἐπιηδίων, ὑπὸ τοῦ μὴ κατακοσμεῖσθαι. Ὅρμοι γὰρ, καὶ αὐγαὶ λίθων, καὶ περιδέραια, ταῖς μὲν ἐν μετρίῳ τῷ κάλλει γυναιξὶν, οὐκ ἀηδῶς προσανθοῦσι· καὶ νὴ Δί' ὥρας τι ἐς αὐτὰς φέρουσιν. αἰσχραῖς δὲ, καὶ ἄγαν ὡραίαις, ἀντιπράττουσι. τὰς μὲν γὰρ ἐλέγχουσι. τὰς δὲ, ἀπάγουσι. τὼ χεῖρε ἀνασκοπῶμεν. ἁπαλοὶ οἱ δάκτυλοι, καὶ εὐμήκεις, καὶ λευκοὶ κατὰ τὴν ὠλένην. ὁρᾷς δὲ καὶ τὴν ὠλένην, ὡς διὰ

A aqua cernitur, & aſſidet inſomnio, vt aiunt. Ceterùm non ſomniũ hæc, ô Critheis, nec amorẽ hunc in aqua ſcribis. Tui namque amore captus eſt fluuius, plane noui, thalamúmque aliquem vobis machinatur, vndam tollens, ſub qua cubile erit. Sin autem minimè credis, thalami quoq. artem tibi enarrabo. Tenuis aura vndam ſubiens, conuexum ipſum, circularémq. ac floridum efficit. Nam aduerſus Solis fulgor ſuſpenſæ

B colorem adhibet aquæ. Quid me apprehendis, puer? Cur non permittis, vt picturæ reliqua tibi percurram? Si vis, Critheida quoque deſcribamus. Quandoquidem gaudere inquis, cùm de ipſa ſermo immoretur. Dicatur igitur. Delitioſa quidem ipſi eſt forma, & admodum Ionica: pudor autem formam decet: & genæ hic ſatis eſt color: coma autem ſub aurem qui-

C dem contracta eſt, purpurea verò vitta exornatur. Nereidis donum ſiue Naïdis vittam eſſe arbitror. Credibile namque eſt Deas iuxta Meletem haud procul ab oſtiis fontes habentem, vna choreas ducere. Adeo autem dulce quid ac ſimplex intuetur, vt ne præ lachrymis quidem lenitatem mutet. & collum propterea ſuauius, quòd ornamentis caret. Torques enim lapillorúmque fulgores, ac moni-

D lia, mediocri quidem forma præditas mulieres non obſcurè illuſtrant. & per Iouem pulchritudinis non nihil ipſis adferunt. Turpibus verò, & ſanè quàm pulchris aduerſantur. illas enim arguunt, ab his detrahunt. manus conſideremus. Molles digiti, & oblongi, & circa vlnam candidi. Vides autem & vlnam, quam ſub candida

veſte candidior videatur, & papillæ rectæ ſplendeſcunt. Quidnam huc Muſæ? Quid ad Meletis fontes? Cùm Athenienſes Ionicas colonias ducerent: Muſæ claſſis duces fuere, ſub apum ſpecie. Ionia namque ob Meletem gaudebat, vt pote qui & Cephiſſo, & Olméo ſit potu ſuauior. Ipſis igitur hic choreas ducentibus, quandoque occurres. Nunc verò Muſæ Parcis ita iubentibus, Homero ortum nent. & per filium Meles Penéo quidem dabit, vt argenteis vorticibus ſit: Titareſo vt leuis, atque agilis: Enipeo vt diuinus, Axio pulcherrimus: dabit & Xantho vt à Ioue, & Oceano vt ex ipſo omnes.

A λευκῆς τῆς ἐσθῆτος, λευκότερα ὑποφαίνεται, καὶ οἱ μαζοὶ ὀρθοὶ ὑπαυγάζουσι. τί οὖν αἱ Μοῦσαι δεῦρο; τί δὲ ἐπὶ ταῖς πηγαῖς τοῦ Μέλητος; Ἀθηναῖοι τὴν Ἰωνίαν ὅτε ἀπῴκιζον, Μοῦσαι ἡγοῦντο τοῦ ναυτικοῦ, ἐν εἴδει μελιττῶν. ἔχαιρον γὰρ τῇ Ἰωνίᾳ διὰ τὸν Μέλητα, ὡς Κηφισοῦ, καὶ Ὀλμειοῦ ποτιμώτερον. ἐντεύξῃ μὲν οὖν αὐταῖς καὶ χορευούσαις ποτὲ ἐνταῦθα. νυνὶ δὲ γένεσιν τῷ Ὁμήρῳ αἱ Μοῦσαι
B κλώθουσι Μοίραις δοκοῦν. καὶ δώσει διὰ τοῦ παιδὸς ὁ Μέλης, Πηνειῷ μὲν, ἀργυροδίνῃ εἶναι, Τιταρησίῳ δὲ, κούφῳ, καὶ εὐφόρῳ, Ἐνιπεῖ δὲ, θείῳ, καὶ Ἀξίῳ παγκάλῳ. δώσει καὶ Ξάνθῳ τὸ ἐκ Διός, καὶ Ὠκεανῷ, τὸ ἐξ αὐτοῦ πάντας.

PANTHIA.

Panthia formoſa à Xenophonte quidem ab affectu ſcripta eſt. Quia ſcilicet Araſpan minimè ſe dignum cenſebat, nec à Cyro flectebatur: & communem ſibi cum Abradate ſepulchrum cupiebat. Qualis verò eſſet coma, & quantum ſupercilium, & quale intueretur, & quo eſſet ore, nondum Xenophon dixit: licet in circunſcribendis his acerrimus eſſet. ſed vir ad ſcribendam quidem hiſtoriam ineptus, ad pingendum verò aptiſſimus, cùm Panthiæ haudquaquam occurriſſet; Xenophontem verò eſſet allocutus; Panthiam qualé animo coniecit, pingit. Mœnia, ô puer, & incenſas domos, & pulchras Lydas, Perſis iſta agenda, ac rapienda omittamus; quicquid eſt quod capi poſſit: & Crœſum, in quem pyra, non ipſi Xenophonti tantùm omittamus: nequaquam igitur nouit pictor, vel Cyro cõcedit. Ceterùm Abradaten, quòd ipſius cauſa mortuã Panthiã:

ΠΑΝΘΙΑ.

Πανθία ἡ καλή, Ξενοφῶντι μὲν ἀπὸ τοῦ ἤθους γέγραπται, ὅτι τε Ἀράσπαν
C ἀπηξίου, καὶ Κύρου οὐχ ἡττᾶτο, καὶ Ἀβραδάτῃ ἐβούλετο κοινὴν γῆν ἀμφιάσασθαι. ὁποία δὲ ἡ κόμη, καὶ ἡ ὀφρὺς ὅση, καὶ οἷον ἔβλεπε, καὶ ὡς εἶχε τοῦ στόματος, οὔπω ὁ Ξενοφῶν εἴρηκε· καίτοι δεινὸς ὢν περιλαλῆσαι ταῦτα. ἀλλ' ἀνήρ, ξυγγράφειν μὲν οὐχ ἱκανός, γράφειν δὲ ἱκανώτατος, αὐτῇ μὲν τῇ Πανθίᾳ οὐκ ἐντυχών, Ξενοφῶντι δὲ ὁμιλήσας, γράφει
D τὴν Πανθίαν, ὁποίαν τῇ ψυχῇ ἐτεκμήρατο. τὰ τείχη, ὦ παῖ, καὶ τὰς ἐμπιπραμένας οἰκίας, καὶ αἱ Λυδαὶ αἱ καλαί, Πέρσαις ταῦτα ἀφῶμεν ἄγειν τε, καὶ αἱρεῖν, ὅ,τι αὐτῶν ἁλωτόν. καὶ ὁ Κροῖσος, ἐφ' ὃν ἡ πυρά, οὐχὶ αὐτῷ Ξενοφῶντι· οὐκοῦν οἶδεν αὐτόν, ἢ ξυγχωρεῖ τῷ Κύρῳ. τὸν δὲ Ἀβραδάτην, καὶ τὴν ἀποθανοῦσαν ἐπ' αὐτῷ Πανθίαν·

ἐπεὶ ταῦτα ἡ γραφὴ βούλεται, διασκεψώμεθα οἷον τὸ δρᾶμα. ἤρων οὗτοι ἀλλήλων, καὶ τὸν κόσμον ἡ γυνὴ τὸν ἑαυτῆς ὅπλα αὐτῷ ἐποιεῖτο. ἐμάχετο δὲ ἄρα ὑπὲρ Κύρου πρὸς Κροῖσον, ἐπὶ τετραρρύμου ἅρματος, καὶ ἵππων ὀκτώ, νέος ἔτι ἐν ἁπαλῇ τῇ ὑπήνῃ, ὁπότε καὶ οἱ ποιηταὶ τὰ δένδρα τὰ νέα, ἐλεεῖν ἡγοῦνται τῆς γῆς ἐκπεσόντα. τὰ μὲν δὴ τραύματα, ὦ παῖ, οἷα ἐκ μαχαιροφόρων. τὸ γὰρ κατακόπτειν, πρὸς τρόπου τῇ τοιαύτῃ μάχῃ. τοῦ δὲ αἵματος ἀκραιφνοῦς ὄντος, τὸ μὲν, τὰ ὅπλα χραίνει, τὸ δ' αὐτόν. ἔστι δ' ὃ καὶ διέρρανται κατὰ τοῦ λόφου. ὁ δὲ ἄρα χρυσοῦ τοῦ κράνους ἀνέστηκεν ὑακίνθινος, αὐτῷ τῷ χρυσῷ ἐπαστράπτων. καλὰ μὲν οὖν ἐντάφια καὶ ταυτὶ τὰ ὅπλα, τῷ γε μὴ αἰσχύναντι αὐτά, μηδὲ ἀποβαλόντι ἐν τῇ μάχῃ. πολλὰ δὲ Ἀσσύρια τε, καὶ Λύδια, Κῦρος ἀνδρὶ ἀγαθῷ δῶρα ἀπάγει. τά τε ἄλλα, καὶ ψάμμον χρυσῆν ἐπὶ ἁρμαμάξης, ἐκ θησαυρῶν Κροίσου τῶν ἀργῶν. Πάνθεια δὲ οὔπω τὰ πρόσφορα ἔχειν ἡγεῖται τὸν τάφον, εἰ μὴ ἐντάφιον τῷ Ἀβραδάτῃ αὐτὴ γένοιτο. τὸν μὲν δὴ ἀκινάκην, ἤδη διήλακε τοῦ στέρνου. ἀλλ' οὕτω διερρωμένως, ὡς μηδὲ οἰμωγὴν ἐπ' αὐτῷ ῥῆξαι. κεῖται γοῦν τὸ στόμα, ξυμμετρίαν τὴν ἑαυτοῦ φυλάττον, καὶ νὴ Δί' ὥραν, ἧς τὸ ἄνθος, οὕτω τι ἐπὶ χείλεσιν, ὡς καὶ σιωπώσης ἐκφαίνεσθαι. ἀνήρτηται δὲ οὔπω τὸν ἀκινάκην. ἀλλ' ἐνερείδει, ἔτι συνέχουσι τῆς κώπης αὐτόν. ἡ δὲ κώπη, ῥοπάλῳ χρυσῷ εἴκασται, σμαραγδίνῳ σὺν ὄζοις· ἀλλ' ἡδίους οἱ δάκτυλοι. μεταβέβληκε δὲ οὐδὲν τοῦ εἴδους ὑπὸ τοῦ ἀλγεῖν, ἥγε μηδὲ ἀλγεῖν ἔοικεν· ἀλλ'

A poſteaquam hæc innuit pictura; qualéque ſit argumentum conſideremus. Mutuo hi ſe amore proſequebantur, & ea ſuum ipſius mundum arma viro faciebat. Pugnabat autem ipſe pro Cyro aduerſus Crœſum ex curſu, qui cùm quatuor haberet temones, octo equis trahebatur, iuuenis adhuc, ac molli barba: quando & poëtæ nouellas arbores è terra decidentes miſerabiles arbitrantur. Vulnera quidem, ô puer, qualia ab enſiferis. B Trucidatio enim ex huiuſmodi fit prælij conſuetudine. Sanguine autem recenti exiſtente, pars quidem arma, pars verò ipſum polluit: non nihil & cono inſperſum eſt. Is vtique ex aurea galea hyacinthinus extat, ipſum illuſtrans aurum. Honeſtè igitur, & hæc arma tumulo imponuntur; cùm nec ipſa deturpauerit, nec in prælio abiecerit. Cyrus præterea & alia quàm plurima tam Aſſyria quàm Lydia viro C ſtrenuo adfert munera, & in curru auream arenam, ex minimè ſignatis Crœſi theſauris. Ceterùm Panthia nondum ſatis apta tumulum munera aſſecutum arbitratur, niſi ipſa quoque Abradatæ tumulo addatur. Enſe autem adeò ſtrenuè iam pectus transfixit, vt ne gemitum quidem in vulnere emiſerit. Itaque os ſuam ipſius ſymmetriá retinens iacet, & per Iouem pulchritudinem, cuius flos quidam ita ineſt labris, D vt in ipſa etiam defuncta* appareat, nondum ſuſpendit enſem, ſed adhuc ipſum capulo continens inhæret. Fuſti autem aureo ſmaragdinos habenti ramos aſſimilatur, ſed ſuauiores digiti. Nihil namque formæ præ dolore mutauit. Quippe quæ ne dolore quidem affici: ſed

* Gr. ſilente

lætæ deceſſiſſe videtur, quòd ſponte moriatur. Decedit enim, non vt Proteſilai vxor his redimita, quibus baccharum more agitata ſit: nec vt Capanei, quæ vt ex ſacrificio ſublata eſt. Sed minimè exornatam pulchritudinem, & vt Abradate adhuc viuente fuerat, ſeruat, atque abducit. Comam quidem ſic atram ac denſam humeris, & ceruici circumfundens: collum verò niueum oſtendens, quod lacerauit quidem, non ita tamen vt deturpauerit. Vnguium etenim veſtigia, quàm picta ſint, longè ſuauiora. Qui autem malis inerat rubor, ne defunctam quidem deſerit, quem & pulchritudo, & verecundia exhibent. Ecce & nares contractæ modum ac baſim naſo efficiunt: cuius vt falcati rami nigra, ſub fronte candida, exſtant ſupercilia. Oculos autem, ô puer, non à magnitudine, nec quòd nigri ſint: ſed quantum inſit mentis contemplemur. & per Iouem quot animi bona hauſerint: miſerandùm quidem affecti, ſuo tamen nitore nondum priuati, & audentes quidem, intra conſiderationem verò magis, quàm audaciam: & qui licet mortem intelligant, nondum tamen deceſſerint. Cupidinis autem pediſſequum deſiderium adeò eſt oculis infuſum, vt euidentiſſimè ex ipſis effluat. Cupido quoque in operis hiſtoria pictus eſt: necnon & Lydia, aureo (vt cernis) ſanguinem excipiens ſinu.

A ἀπιέναι χαίρουσα, ὅτι αὐτὴν πέμπει. ἄπεισι δὲ, οὐχ ὥσπερ ἡ τοῦ Πρωτεσιλάου κατεστεφθεῖσα οἷς ἐβάκχευσεν, οὐδ' ὥσπερ ἡ τοῦ Καπανέως, οἷα θυσίας ὀρθεῖσα, ἀλλ' ἀσκεύαστον τὸ κάλλος, καὶ οἷον ἐπὶ τοῦ Ἀβραδάτου ἦν, φυλάττει αὐτὸ, καὶ ἀπάγει. χαίτην μὲν οὕτω μέλαιναν τε, καὶ ἀμφιλαφῆ περιχέασα τοῖς ὤμοις, καὶ τῷ αὐχένι, δέρην δὲ λευκὴν ὑπεκφαίνουσα, ἣν ἐδρύψατο μὲν, οὐ μὴν ὡς αἰσχῦναι. B τὰ γὰρ σημεῖα τῶν ὀνύχων, ἡδίω γραφῆς. τὸ δὲ ἐν τῇ παρειᾷ ἔρευθος, οὐδὲ ἀποθνήσκουσαν διαφεύγει. χορηγοὶ δὲ αὐτοῦ, ὅτι ὥρα καὶ ἡ αἰδώς. ἰδοὺ καὶ μυκτῆρες ἀνεσταλμένοι τὸ μέτριον, καὶ βάσιν τῇ ῥινὶ παρέχοντες, ἧς ὥσπερ πόρθοι μηνοειδεῖς αἱ ὀφρύες, ὑπὸ λευκοῦ τοῦ μετώπου μέλαιναι. τοὺς δὲ ὀφθαλμοὺς, ὦ παῖ, μὴ ἀπὸ τοῦ μεγέθους, μηδ' εἰ μέλανες, ἀλλὰ τὸν τοῦ νοῦ θεωρῶμεν, ὅσος C ἐν αὐτοῖς ἐστι, καὶ νὴ Δία ὁπόσα τῆς ψυχῆς ἀγαθῶν ἔσπασε, ἐλεεινῶς μὲν διακείμενοι, τοῦ δὲ φαιδρῶς ἔχειν οὐκ ἀπηλλαγμένοι. καὶ θαρσαλέοι μὲν, λογισμοῦ δὲ εἴσω μᾶλλον, ἢ τόλμης. καὶ τοῦ μὲν θανάτου ξυνιέντες, οὔπω δὲ ἀπιόντες. ὁ παιδὸς δὲ ἔρωτος ἵμερος, οὕτω τι ἐπικέχυται τοῖς ὀφθαλμοῖς, ὡς ἐπιδηλότατα δὴ ἐπ' αὐτῶν ἀποστάζειν. γέγραπται D καὶ ὁ ἔρως ἐν ἱστορίᾳ τοῦ ἔργου. γέγραπται καὶ ἡ Λυδία, τὸ αἷμα ὑποδεχομένη, καὶ χρυσῷ γε ὡς ὁρᾷς τῷ κόλπῳ.

CASANDRA.

ΚΑΣΑΝΔΡΑ.

Qui in alia alius Andronis* parte iacent, & vino commiſtus ſanguis: quíque ad menſas animam efflant; & Crater viri calce petitus,

* conclauis virorum.

Οἱ κείμενοι κατ' ἄλλος ἄλλο τοῦ ἀνδρῶνος, καὶ τὸ ἀναμὶξ τῷ οἴνῳ αἷμα, καὶ οἱ ἐκπνέοντες ἐπὶ τραπεζῶν· κρατήρ τε οὑτοσὶ λελακτισμένος ὑπὸ ἀνδρὸς,

ὃς πρὸς αὐτῷ ἀσπαίρει, κόρη τε χρησμῳδὸς τὴν στολὴν, εἰς πέλεκυν ἐμπεσούμενον ἑαυτῇ βλέπουσα, τὸν Ἀγαμέμνονα ἥκοντα ἐκ Τροίας ἡ Κλυταιμνήστρα δέχεται τούτῳ τῷ τρόπῳ. οὕτω μεθύοντα, ὡς καὶ τὸν Αἴγισθον θαρσῆσαι τὸ ἔργον. ἡ Κλυταιμνήστρα δὲ, πέπλου τέχνῃ τινὸς ἀπείρου, τὸν Ἀγαμέμνονα περισχοῦσα, πέλεκυν ἐς αὐτὸν ἧκεν, ἀμφήκη τοῦτον. ὃς καὶ τὰ δένδρα αἱρεῖ τὰ μεγάλα. τὴν δὲ τοῦ Πριάμου κόρην, καλλίστην νομισθεῖσαν τῷ Ἀγαμέμνονι, χρησμούς τε ἀπιστουμένους ᾄδουσαν, ἀποκτείνει θερμῷ τῷ πελέκει. καὶ εἰ μὲν ὡς δρᾶμα ἐξετάζομεν, ὦ παῖ, ταῦτα, τετραγῴδηται μεγάλα ἐν σμικρῷ. εἰ δ' ὡς γραφὴν, πλείω ἐν αὐτοῖς ὄψει. σκόπει γάρ. λαμπτῆρες οὗτοι, χορηγοὶ φωτός. ἐν νυκτὶ γὰρ ταῦτά που. κρατῆρες δ' ἐκεῖνοι, χορηγοὶ ποτοῦ· φανότεροι δὲ τοῦ πυρὸς οἱ χρυσοῖ. πλήρεις δὲ ὄψων τράπεζαι, βασιλεῖς ὧν ἐσιτοῦντο ἥρωες· ἐν κόσμῳ δὲ οὐδὲν τούτων. ἀποθνήσκοντες γὰρ οἱ δαιτυμόνες, τὰ μὲν, λελάκτισται. τὰ δὲ, συντέτριπται. τὰ δὲ, ἐπ' αὐτῶν κεῖται. καὶ κύλικες δὲ, ἐκ χειρῶν πίπτουσι, πλήρεις αἱ πολλαὶ λύθρου. καὶ ἀλκὴ τῶν ἀποθνησκόντων, οὐδεμία. μεθύουσι γάρ. τὰ δὲ τῶν κειμένων σχήματα, ὁ μὲν, ἐκτέτμηται τὴν φάρυγγα, σίτου τι, ἢ ποτοῦ ἕλκων. ὁ δ' ἀποκέκοπται τὴν κεφαλὴν, εἰς τὸν κρατῆρα κύπτων. ὁ δὲ ἀπήρακται τὴν χεῖρα, φέρουσαν ἔκπωμα. ὁ δὲ, ἐφέλκεται τὴν τράπεζαν, ἐκπεσὼν τῆς κλίνης. ὁ δ' εἰς ὤμους, καὶ κεφαλὴν κεῖται, ποιητὴς ἂν φαίη, κύμβαχος. ὁ δ' ἀπιστεῖ τῷ θανάτῳ. ὁ δὲ, οὐκ ἔρρωται φυγεῖν, οἷα πέδης ἐμβεβλημένης αὐτῷ τῆς

A qui iuxta ipſum palpitat, puellá-que vates, vt ſtola indicat: Clytæmneſtra ſecurim, quæ in ipſam incidet, intuens: Agamemnonem è Troia redeuntem hoc pacto excipit: vſque adeò ebrium, vt tantùm aggredi facinus Ægiſtus minimè veritus ſit. At Clytæmneſtra peplo nullum arte quadam exitum habente Agamemnone implicito; ancipitem hanc ſecurim, qua & ma-
B gnæ cæduntur arbores, in ipſum miſit: tepidáque adhuc ſecuri Priami filiam, quæ Agamemnoni formoſiſſima videbatur, & nemini credita præcinebat oracula, interficit: quòd ſi hæc, ô puer, vt drama conſideremus, magna in paruo tragicè deplorata ſunt: ſin vt picturam, plura in ipſis intueberis. Nam aduerte, faces hæ prælucebant; hæc enim noctu forte agebantur: at crateres illi potum ſuggerebant, quorum aurei igne clariores. Menſæ
C verò opſoniis refertæ, quibus heroes reges veſcebantur; & horum ſingula incompoſitè nullóque ordine ſita ſunt: conuiuis namque morientibus: hæc quidem calcibus deiecta ſunt, hæc verò contrita, illa in ipſis iacent, & calices, quorum nonnulli cruore repleti, è manibus excidunt, & morientium robur nullum: nam temulenti ſunt. defunctorum autem habitus: hic quidem exciſus eſt guttur, cibi a-
D liquid, potúſve hauriens: hic verò abſciſſus eſt caput, crateri incumbens. At iſte abraſus eſt manum poculum ferentem. Ille è toro excidens menſam attrahit: alius in caput atque humeros iacet, poëtáque vtique diceret Cymbachus: hic morti minimè credit: hic verò vepote ebrietatis pedicis iniectis, fugere

nequit. Iacentium autem nullus eſt pallidus: quandoquidem in vino morientes non ita repente color deſerit. Quod autem ſcenæ potiſſimum ac maximè proprium Agamemnon tenet, non in Troianis iacens campis, nec in alicuius Scamandri ripis: ſed inter adoleſcentulos, ac mulierculas, bos ad præſepe: hoc eſt quod poſt labores accidit, quódque in cœna. Potiora vero & in miſeratione magis propria quæ Caſandræ euenere, quàm ipſi cum ſecuri inſtat Clytæmneſtra, furibundum intuens, ac comas concutiens, & vlnam aſpera: ipſa vero quam delitioſè habens, atque *afflata Deo*, in Agamnonem incidere appetiuit, à ſeipſa coronas abiiciens, & vt ipſum arte contegens. Ceterùm ſublata iam ſecuri, illuc reflectit oculos, & miſerabile quid vſque adeo exclamat, vt & Agamemnon reliquo animæ id audiens miſeratione afficiatur. Hæc enim apud inferos in animarum concione Vlyſſi memorabit.

A μέθης. ὠχρὸς δὲ οὐδεὶς τῶν κειμένων· ἐπεὶ τοὺς ἐν οἴνῳ ἀποθνήσκοντας, οὐκ εὐθὺς ἀπολείπει τὸ ἄνθος. τὸ δὲ κυριώτατον τῆς σκηνῆς, Ἀγαμέμνων ἔχει, κείμενος οὐκ ἐν πεδίοις Τρωϊκοῖς, οὐδ᾽ ἐπὶ Σκαμάνδρου τινὸς ἠϊόσιν, ἀλλ᾽ ἐν μειρακίοις, καὶ γυναίοις, βοῦς ἐπὶ φάτνῃ. τοῦτο γὰρ τὸ μετὰ τοὺς πόνους τε, καὶ τὸ ἐν δείπνῳ. κυριώτερα δὲ ἐν οἴκτῳ τὰ τῆς Κασάνδρας, ὡς ἐφέστηκε μὲν αὐτῇ μετὰ τοῦ πελέκεως ἡ Κλυταιμνήστρα, μανικὸν βλέπουσα, καὶ σεσοβημένη τὰς χαίτας, καὶ
B τραχεῖα τὴν ὠλένην. αὐτὴ δὲ, ὡς ἁβρῶς τε, καὶ ἐνθέως ἔχουσα, περιπεσεῖν ὥρμηκε τῷ Ἀγαμέμνονι, ῥιπτοῦσα ἀφ᾽ αὑτῆς τὰ στέμματα, καὶ οἷον περιβάλλουσα τῇ τέχνῃ αὐτόν· διηρμένου δὲ ἤδη τοῦ πελέκεως, ἀναστρέφει τοὺς ὀφθαλμοὺς ἐκεῖ. βοᾷ δὲ οὕτω τι οἰκτρὸν, ὡς καὶ τὸν Ἀγαμέμνονα
C τῷ λοιπῷ τῆς ψυχῆς, ἐλεεῖν ταῦτα ἀκούοντα· μεμνήσεται γὰρ αὐτῶν καὶ ἐν ᾅδου πρὸς Ὀδυσσέα ἐν τῇ ἀγορᾷ τῶν ψυχῶν.

PAN.

Nymphæ Pana ineptè ſaltare ferunt, ac præter decorum exultare: ſuperborum hircorum more ſeſe extollentem ac reſilientem. Ipſæ autem ſuauiorem vtique ſaltationem eum docerent: verùm ipſis mentem minimè adhibentem, quin immo inſidiantem, ac ſinum producentem, circa meridiem, cum iam omiſſa venatione dormire dicitur, inuadunt. Dormiebat igitur prius quidem remiſſus ac mitis naſum, & iracundiam ipſius ſomno leniens: hodie vero ſupra modum iraſcitur, ingruentibus enim in ipſum Nymphis: iam quidem Pan

ΠΑΝ.

Τὸν Πᾶνα αἱ Νύμφαι πονηρῶς φασιν ὀρχεῖσθαι, καὶ ἐκπηδᾶν τοῦ προσήκοντος, ἐξαίροντα, καὶ ἀναθρώσκοντα κατὰ τοὺς ἀγερώχους τῶν τράγων. αὗται δ᾽ ἂν μεταδιδάξαιεν αὐτὸν ἑτέραν ὄρχησιν,
D ἡδίω τὴν ἔθει. προσέχοντι δ᾽ αὐταῖς οὐδὲν, ἀλλὰ πειρῶντι αὐτὰς, καὶ ἀποπιτναμένῳ τὸν κόλπον, ἐπιτίθενται κατὰ μεσημβρίαν, ὅτε δὴ λέγεται καθεύδειν ὁ Πὰν, ἐκλιπὼν τὴν θήραν. ἐκάθευδε δὲ ἄρα, πρότερον μὲν, ἀνειμένος τε καὶ πρᾶος τὴν ῥῖνα, καὶ τὸ ἐπίχολον αὐτῆς λεαίνων τῷ ὕπνῳ. τήμερον δὲ, ὑπέρχολα. προσαποσσοῦσαι γὰρ αὐτῷ αἱ νύμφαι, περιῆκται

μὲν ἤδη τὼ χεῖρε ὁ Πάν. δέδιε δὲ, ἐπὶ τοῖς σκέλεσιν, ἐπεὶ βούλονται αἱρεῖν αὐτά. τὸ δὲ δὴ γένειον, οὗ πλεῖστον αὐτῷ λόγος, ἐξύρηται, μαχαιρίδων ἐμβεβλημένων ἐς αὐτό. Φασὶ δὲ καὶ τὴν ἠχὼ ἀναπείθειν ὑπερορᾶν τοῦ αὐτοῦ, καὶ μηδὲ φθέγγεσθαι πρὸς αὐτὸν ἔτι. ταῦτα αἱ νύμφαι πασσυδί. σὺ δὲ, κατὰ δήμους αὐτὰς ὅρα. τὰ μὲν γὰρ τῶν Ναΐδων εἴδη, ῥανίδας ἀπορραίνουσιν αὗται τῆς κόμης. ὁ δὲ παρὰ τοῖς βουκόλοις αὐχμὸς, οὐδὲν φαυλότερος τῆς δρόσου. αἱ δὲ ἀνθοῦσαι τὰς χαίτας, ἐκπεφύκασιν ὑακινθίνοις ὁμοίως ἄνθεσιν.

A post tergum vinctus eſt manus; timet & cruribus, quòd ipſa capere cupiant. Barba vero, quam plurimi facit, nouaculis in ipſam iniectis abraſa eſt. Echo præterea conſtituiſſe, ipſum deſpicere, nec amplius alloqui ferunt. Hæc nymphæ cunctæ. Tu vero populatim eas intuere. Naïades enim è coma guttas reſpergunt: qui vero bubulcis ineſt ſqualor, nihil eſt rore ſordidior. B At quæ iubas florent, æque ac Hyacinthini exorti ſunt flores.

ΠΙΝΔΑΡΟΣ.

Οἶμαι θαῦμά σοι εἶναι καὶ τὰς μελίττας, οὕτω γλίσχρως γεγραμμένας· ὧν γε καὶ προνομαία δήλη, καὶ πόδες. καὶ πτερὰ, καὶ τὸ χρῶμα τῆς στολῆς, οὐκ ἀπᾳδουσιν, ἴσα τῇ φύσει διαποικιλλούσης αὐτὰ τῆς γραφῆς. τί οὖν οὐκ ἐν *σύμβλοις αἱ σοφαί; τί δὲ ἐν ἄστει κωμάζουσιν ἐπὶ τὰς τοῦ Δαϊφάντου θύρας; γέγονεν ἤδη Πίνδαρος ὡς ὁρᾷς. πλάττει κἀκ νηπίου αὐτὸν, ἵν' ἐμμελὴς ἤδη, καὶ ἔμμουσος ᾖ. καὶ ποιοῦσι ταῦτα. τὸ μὲν γὰρ παιδίον, εἰς δάφνην ἀπόκειται, καὶ κλῶνας μυρρίνης, συμβαλλομένου τοῦ πατρὸς, ἱεροῦ τεύξεσθαι τοῦ παιδὸς ἀφ' ὧν κύμβαλά τε κατήχει τῆς οἰκίας, ὅτε ἐτίκτετο, καὶ τύμπανα ἠκούετο ἐκ Ῥέας. ἐλέγοντο δὲ καὶ αἱ νύμφαι χορεῦσαι οἱ, καὶ ἀνασκιρτῆσαι τὸν Πᾶνα. Φασὶ δὲ αὐτὸν ὅτε Πίνδαρος ἐς τὸ ποιεῖν ἀφίκετο, ἀμελήσαντα τοῦ σκιρτᾶν, ᾄδειν τὰ τοῦ Πινδάρου. ἡ Ῥέα δὲ, ἄγαλμα ἐκπεπόνηται, καθίδρυται μὲν αὐτοῦ καὶ περὶ θύ-

*αλ. χ. συμβόλοις

PINDARVS.

Apes quoque ſic exiliter & adfabre pictas tibi eſſe admirationi puto: quarum proboſcis, ac pedes euidentiſſimè cernuntur, & pennæ ac ſtolæ color non incongruè habent, cùm in ipſis variandis ars naturam adæquauerit. Cur igitur C non in alueolis ſapientes? Quidnam in vrbe, ad Daïphantæ fores verſantur? Natus iam eſt Pindarus, vt cernis. Componit eum ab infantia pater: vt & concinnus, ac muſicus ſit. & hæc faciunt. Puer enim in lauro ac myrti ramis depoſitus eſt: coniiciente patre ſe ſacrum aſſecuturum filium: vnde & cymbala domi obſtrepebant, & à Rhea tympana exaudiebantur, D cùm in lucem edebatur. Nymphæ præterea choreas in eius gratiam duxiſſe dicebantur: Panáque ſaltaſſe, memorabant: quem cùm iam Pindarus ad ſcribendum animum appuliſſet, choreas neglexiſſe: quæque à Pindaro componerentur ceciniſſe ferunt. Rheæ autem ſtatua ad ipſius fores erecta eſt, quæ

eſt, quæ eſſe lapidea videtur. exaſperata hic pictura: & quid aliud quàm exſculpta. roſidas quoque & vt è fontibus venientes adducit Nymphas. Sed Pan neſcio quem rhythmum ſaltat. Clara namque ipſi forma, iræque nullum inſidet naſo veſtigium. Quæ verò intus ſunt apes infantem curant, labris mel infundentes, aculeóſque: ne primo conatu puerum lædant, contrahentes. Ex Hymetto fortaſſe veniunt: & pinguibus, inclytíſque ac celebribus *Athenis*: hoc enim ipſas puto Pindaro inſtillaſſe.

AIAX LOCRENSIS, *vel* GYRÆ.

E pelago extantes petræ, ac circa ipſas feruens mare, Heróſque horrendum in petras reſpiciens: factúſque nonnihil aduerſus mare præſeferens, Locrenſis eſt Aiax; icta eſt quidem fulmine ſua ipſius nauis: cùm autem ex ea flagrante exiliiſſet, aduerſus proceſſit vndas: has quidem pertranſiens, has verò ad ſe trahens, illas pectore ſubhauriens. Sed Gyras aſſecutus (ſunt autem Gyræ petræ è ſinu Ægæo apparentes) aduerſus ipſos Deos ſuperba ac contumelioſa iactat verba. Quare Neptunus ipſe ad Gyras proficiſcitur terribilis, ô puer, atque hyeme plenus, & crines horridus. Atqui vnà cum Aiace aduerſus Ilium quandoque pugnabat: ſed modeſto ac Diis parcente, ipſumque ſceptro confirmabat. At nunc poſtquam contumelioſè agentem animaduertit, ridentem in ipſum gerit: & qui Aiacem ſuſtinet, ſaxi vertex percutietur, vt vnà cum contumelia ipſum excutiat. Picturæ quidem hæc eſt ratio, quòd autem perſpicuum, candidum vtique

A ρας. οἶμαι δὲ καὶ λίθου τὸ ἄγαλμα φαίνεσθαι, κατεσκληκυίας ἐνταῦθα τῆς γραφῆς. καὶ τί γὰρ ἄλλο, ἢ ἐξεσμένης. ἄγει καὶ τὰς νύμφας ἐνδρόσους, καὶ οἵας ἐκ πηγῶν. ὁ δὲ Πὰν, ἐξορχεῖται μὲν ῥυθμόν δή τινα, φαιδρὸν δὲ αὐτῷ τὸ εἶδος, καὶ τῆς ῥινὸς οὐδὲν χολῶδες. αἱ δὲ εἴσω μέλιτται, περιεργάζονται τὸ παιδίον, ἐπιβάλλουσαι τὸ μέλι. καὶ τὰ κέντρα ἀνέλκουσαι, δέει τοῦ ἐγχειρήματος, ἐξ Ὑμηττοῦ τάχα ἥκουσι, καὶ ἀπὸ τῶν λιπαρῶν,
B καὶ ἀοιδίμων* Ἀθηνῶν. καὶ γὰρ τοῦτο οἶμαι αὐτὰς ἐνστάξαι Πινδάρῳ. *γρ. κ. ἀοιδ. καὶ

ΑΙΑΣ Ο ΛΟΚΡΟΣ, Η ΓΥΡΑΙ.

Αἱ τοῦ πελάγους ἀνεστηκυῖαι πέτραι, καὶ ἡ ζέουσα περὶ αὐτὰς θάλαττα, ἥρως τε δεινὸν βλέπων ἐπὶ τῶν πετρῶν, καί τι καὶ φρονήματος ἔχων ἐπὶ τὴν θάλατταν, ὁ Λοκρὸς Αἴας, βέβληται μὲν τῆς ἑαυτοῦ
C ναῶ. ἐμπύρου δὲ αὐτῆς ἀποπηδήσας, ὁμόσε κεχώρηκε τοῖς κύμασι, τὰ μὲν, διεκπαίων, τὰ δὲ, ἐπισπώμενος, τὰ δὲ, ὑπαντλῶν τῷ στέρνῳ. Γυραῖν δὲ ἐντυχὼν (αἱ δὲ Γυραὶ, πέτραι εἰσὶν ὑπερφαίνουσαι τοῦ Αἰγαίου κόλπου) λόγους ὑπέρφρονας λέγει κατὰ τῶν θεῶν αὐτῶν. ἐφ' οἷς ὁ Ποσειδῶν αὐτὸς ἐπὶ τὰς Γυρὰς στέλλεται, φοβερὸς, ὦ παῖ, καὶ χειμῶνος πλέ-
D ως, καὶ τὰς χαίτας ἐξηρμένος. καίτοι ποτὲ καὶ συνεμάχει τῷ Λοκρῷ κατὰ τὸ Ἴλιον, σωφρονοῦντι δὲ, καὶ φειδομένῳ τῶν θεῶν. καὶ ἐρρώννυ αὐτὸν τῷ σκήπτρῳ. νῦν δ' ἐπειδὴ ὑβρίζοντα ὁρᾷ, τὴν τρίαιναν ἐπ' αὐτὸν φέρει. καὶ πεπλήξεται ὁ αὐχὴν τῆς πέτρας, ὁ ἀνέχων τὸν Αἴαντα, ὡς ἀποσείσαιτο αὐτὸν αὐτῇ ὕβρει. ὁ μὲν δὴ λόγος τῆς γραφῆς, οὗτος. τὸ δὲ ἐναργὲς;

λευκὴ μὲν ὑπὸ κυμάτων ἡ θάλαττα. σπιλάδες* δὲ αἱ πέτραι, διὰ τὸ ἀεὶ ῥαίνεσθαι. πῦρ δὲ ἐκ μέσης ἄπτει τῆς νεώς, ἐς ὃ ἐμπνέων ὁ ἄνεμος, πλεῖ ἡ ναῦς ἔτι, καθάπερ ἱστίῳ χρωμένη τῷ πυρί. ὁ δὲ Αἴας, οἷον ἐκ μέθης ἀναφέρων, περιαθρεῖ τὸ πέλαγος, οὔτε ναῦν ὁρῶν, οὔτε γῆν. καὶ οὔτε τὸν Ποσειδῶ προσιόντα δέδοικεν, ἀλλ' ἔοικε διατεινομένῳ* ἔτι. οὔπω τῶν βραχίονας ἡ ῥώμη ἀπολέλοιπεν· ὁ αὐχὴν τε ἀνέστηκεν, οἷος ἐπὶ Ἕκτορα, καὶ Τρῶας. ὁ μὲν δὴ Ποσειδῶν, ἐμβαλὼν τὴν τρίαιναν, ῥάξει τὸ τρύφος αὐτῷ Αἴαντι τῆς πέτρας. αἱ δὲ Γυραί, αἱ λοιπαὶ μενοῦσί τε ἐς ὅσον θάλαττα, καὶ ἄσυλοι ἑστήξουσι τῷ Ποσειδῶνι.

γρ. ὕφαλοι

γρ. ἀπειλοῦντι.

ΘΕΤΤΑΛΙΑ.

Αἰγυπτιάζει* μὲν ἡ προσβολὴ τῆς γραφῆς. ὁ λόγος δὲ αὐτῆς, οὐκ Αἰγύπτιος, ἀλλ' οἶμαι Θετταλῶν. Αἰγυπτίοις μὲν γάρ, παρὰ τοῦ Νείλου ἡ γῆ. Θετταλοῖς δὲ Πηνειός, οὐ συνεχώρει πάλαι γῆν ἔχειν, περιβεβλημένων τοῖς πεδίοις ὀρῶν, καὶ τοῦ ῥεύματος ἐπικλύζοντος αὐτά, ὑπὸ τοῦ μή πω ἐκβαλεῖν. ῥήξει γοῦν ὁ Ποσειδῶν τῇ τριαίνῃ τὰ ὄρη, καὶ πύλας τῷ ποταμῷ ἐργάσεται. τούτῳ γὰρ νυνὶ τῷ ἔργῳ ἐφέστηκεν, ἀθλῶν αὐτό, καὶ ἀνακαλύπτων τὰ πεδία. καὶ διῆρται μὲν ἡ χεὶρ εἰς τὸ ἀναρρῆξαι· τὰ δὲ ὄρη πρὶν πεπλῆχθαι, διίσταται τὸ ἀποχρῶν τῷ ποταμῷ μέτρον. ἀγωνιζομένης δὲ πρὸς τὸ ἐναργὲς τῆς τέχνης, τὰ δεξιὰ τοῦ Ποσειδῶνος ὁμοῦ καὶ ὑπέσταλται, καὶ προβέβηκε, καὶ ἀπειλεῖ τὴν πληγὴν, οὐκ ἀπὸ τῆς χειρὸς, ἀλλὰ ἀπὸ τοῦ σώματος. γέγραπται δὲ οὐ κυάνεος, οὐδὲ θαλάττιος, ἀλλ' ἠπειρώτης. τῷ τοι καὶ ἀσπάζεται τὰ πεδία.

γρ. δῆλον Αἰγύπτιον ἀγωνίζει.

A præ vndis mare. Cauernoſæ verò petræ, quòd perpetuò alluantur: verùm è media erumpit ignis naui, in quem ſpirante vento, nauis haud ſecus igni, ac velo vtens adhuc currit. Ceterùm Aiax vt ex ebrietate reſipiſcens, pelagus circunſpicit, nec nauim, nec terram proſpiciens: nec aduentantem Neptunum formidat, ſed adhuc intentanti ſimilis. nondum brachia robur deſeruit: & vt in Hectorem ac Troianos ceruix erigitur. B At Neptunus tridentem eiiciens, petræ fruſtum cum ipſo abſcindet Aiace. Reliquæ verò Gyræ, & quandiu mare, permanebunt, & immotæ Neptuno conſiſtent.

THESSALIA.

Picturæ quidem facies Ægypto aſſimilatur: ipſius verò ratio non Ægyptia (vt puto) ſed Theſſalorum. Nam iuxta Nilum Ægyptio- C rum tellus: at Peneus Theſſalis terram habitare minimè olim permittebat, cùm montes latiſſimos campos circumuallarent, fluuiúſq; nondum dato exitu allueret. Neptunus igitur tridente ſcindet montes, portáſque flumini efficiet: huic enim nunc operi inſtat, vt & quàmprimum expediat, & campos patefaciat. & ſublata quidem eſt ad ſcindendum manus: montes verò priuſquam percutiuntur, quantum flu- D mini ſatis ſit, diſtant. Arte autem ipſa id perſpicuè exprimente, Neptuni dextera pariter & cōtracta ſunt, & proiecta, vulnúſq; non manu, ſed corpore minantur. Pictus autē non cœruleus, nec marinus, ſed terreſtris. Quocirca & campos amplectitur,

A gaudétque, quòd & planos, & latos, vt æquora, videat. & fluuius iactabundus, cubitóque adnixus: (neque enim fluminibus vt erigantur, mos eſt) Titareſium vt leuem, ac potu ſuauiorem admittit, diſcedénſque Neptuno ſe è campis effluxurum fatetur: & iam reſidente aqua Theſſalia oleis, ac ſpicis exornata, pullúmque attingens exurgit. Nam equos quoque ipſa à Neptuno tunc aſſequetur, cùm dormientis Dei genitale ſemen ad concipiendum equum tellus exceperit. B

καὶ ὁμαλὰ ἰδὼν, καὶ εὐρέα, καθάπερ θαλάττας, χαίρει. καὶ ὁ ποταμὸς δὲ αὖθις, καὶ φυλάττων τὸ εἰς ἀγκῶνα, ποταμῷ γὰρ οὐ συνήθης ὀρθοῦσθαι, ἀναπίθεται τὸν Τιταρήσιον ὡς κοῦφον, καὶ ποτιμώτερον. καὶ ὁμολογεῖ τῷ Ποσειδῶνι ἐκρυήσεσθαι τῶν πεδίων, ὁδῷ χειμῶνος. ἀνίσχει καὶ ἡ Θετταλία, συνιζάνοντος ἤδη τοῦ ὕδατος, ἐλαίᾳ κομῶσα, καὶ ἀστάχυϊ, καὶ πώλου ἐφαπτομένη συνανίσχοντος. ἔσται γὰρ ὁ ἵππος αὐτῇ παρ᾽ αὐτοῦ Ποσειδῶνος, ὅταν τὴν ἀπορροὴν τοῦ θεοῦ καθεύδοντος ἡ γῆ ὑποδέξηται εἰς ἵππον.

GLAVCVS MARINVS.

Cùm Boſporum, ac Symplegadas Argo pertranſierit, medium iam ſcindit ponti fluxum: & canens Orpheus placat mare. Hoc autem audit, cantúque pontus ſubſternitur. Ceterùm qui naui vehuntur, Caſtor eſt, & Pollux, atque Hercules, Æacidæque ac Boreadæ, & C quicquid ſemidei prouentus florebat. Carina autem naui inſerta eſt arbor vetuſtiſſima, qua Iupiter in Dodone ad oracula ſua vtebatur. Nauigationis autem intentio hæc. Inaurata vetuſti arietis pellis apud Colchos ſita eſt. qui Hellen vnà cum Phryxo per aërem vexiſſe fertur. Hanc vt capiat, ſibi, ô puer, Iaſon certamen facit. Draco enim quiddam horrendum intuens, ſomníque negligens cuſtos hac inuolu- D tus eſt. Vnde naui imperat, quandoquidem nauigationis cauſa ad ipſum pertinet. & Tiphys quidem, ô puer, gubernat; hic autem hominum primus artem minimè tentatam aggreſſus dicitur. At Apharei

ΓΛΑΥΚΟΣ ΠΟΝΤΙΟΣ.

Βόσπορον, καὶ Συμπληγάδων ἡ Ἀργὼ διεκπλεύσασα, μέσον ἤδη τέμνει τὸ ῥόθιον τοῦ πόντου, καὶ θέλγει τὴν θάλατταν Ὀρφεὺς ᾄδων. ἡ δὲ, ἀκούει. καὶ ὑπὸ τῇ ᾠδῇ κεῖται ὁ πόντος. τὰ μὲν δὴ ἀγώγιμα τῆς νεὼς, Διόσκουροι, καὶ Ἡρακλῆς, Αἰακίδαι τε, καὶ Βορεάδαι, καὶ ὅσον τῆς ἡμιθέων φορᾶς ἤνθει. ζῶστις δὲ ὑφήρμοσται τῇ νηῒ, δένδρον ἀρχαῖον. ᾧ κατὰ Δωδώνην ὁ Ζεὺς ἑαυτοῦ ἐς τὰ μαντεῖα ἐχρῆτο. γνώμη δὲ ἐς τὸν πλοῦν ἥδε. χρυσοῦν ἀπόκειταί τι ἐν Κόλχοις κῴδιον, κριοῦ ἀρχαίου. ὃς λέγεται τὴν Ἕλλην ὁμοῦ τῷ Φρύξῳ, διὰ τοῦ οὐρανοῦ πορθμεῦσαι. τοῦτο Ἰάσων ἑλεῖν, ὦ παῖ, ποιεῖται ἆθλον· φρουρὸς γάρ τις αὐτῷ δράκων ἐμπέπλεκται, δεινὸν βλέπων, καὶ ὑπερορῶν καθεύδειν. ὅθεν ἄρχει τῆς νεὼς, ἐπεὶ βλέπει ἐς αὐτὸν ἡ τοῦ πλοῦ αἰτία. καὶ Τῖφυς μὲν, ὦ παῖ, κυβερνᾷ. λέγεται δὲ οὗτος πρῶτος ἀνθρώπων ἀπιστουμένην θαρρῆσαι τὴν τέχνην. Λυγκεὺς δὲ ὁ Ἀφαρέως,

γρ. ὢν τ. ἐπιτέτακται τῇ πρώρᾳ, δεινὸς ὢν* διὰ πολλοῦ τε ἰδεῖν, καὶ ἐς πολὺ καταβλέψαι τοῦ βάθους. καὶ πρῶτος μὲν, ὑποκειμένων ἑρμάτων* αἰσθέσθαι, πρῶτος δὲ, γρ. λίθων ὑφαλῶν ὑποφαίνουσαν γῆν ἀσπάσασθαι. ἀλλὰ νῦν ἐκπεπλῆχθαί μοι δοκεῖ καὶ τὸ τοῦ Λυγκέως ὄμμα τὴν προσβολὴν τοῦ φάσματος* ὑφ' οὗ καὶ οἱ πεντήκοντα χαλάσαντες τὴν εἰρεσίαν· γρ. τοῦ Γλαύκου Ἡρακλῆς μὲν, ἄτρεπτος μένει τοῦ θαύματος, ἅτε δὴ πολλοῖς ὁμοίοις ἐντυχών· οἱ δὲ λοιποὶ, θαῦμά τι οἶμαι τοῦτο λέγουσιν. ὁρᾶται γὰρ αὐτοῖς Γλαῦκος ὁ πόντιος. οἰκῆσαι δὲ οὗτός ποτε λέγεται τὴν ἀρχαίαν Ἀνθηδόνα, καὶ πόας μέν τινος ἐπὶ τῆς θαλάττης γεύσασθαι. κύματος δὲ ὑποδραμόντος αὐτὸν, εἰς τὰ τῶν ἰχθύων ἀπηνέχθαι ἤθη. μαντεύεται μὲν οὖν μέγα τι ὡς εἰκός· περιττὸς ἐστὶ γὰρ αὐτὰ τῆς τέχνης. τὸ δὲ εἶδος, ὑγροὶ μὲν αὐτῷ γενείων βόστρυχοι, λευκοὶ δὲ ἰδεῖν, καθάπερ κρουνοί. βαρεῖς δὲ πλόκαμοι κόμης, καὶ τοῖς ὤμοις ἐποχετεύοντες, ὅσον ἐσπάσαντο θαλάσσης, ὀφρῦς λάσιαι, συνάπτουσαι πρὸς ἀλλήλας, οἷον μία. φεῦ τοῦ βραχίονος, ὡς γεγύμνασται πρὸς τὴν θάλασσαν, ἐμπίπτων ἀεὶ τοῖς κύμασι, καὶ λεαίνων αὐτὰ εἰς τὴν νῆξιν. φεῦ τῶν στέρνων, ὡς λάχνη μὲν αὐτοῖς ἐγκατέσπαρται, βρύων κομῶσα, καὶ φυκίων. γαστὴρ δὲ ὑπόκειται παραλλάττουσα, καὶ ἀπιοῦσα ἤδη. ἰχθὺν δὲ εἶναι τὸ λοιπὸν τὸν Γλαῦκον δηλοῖ τὰ οὐραῖα ἐξηρμένα, καὶ πρὸς τὴν ἰξὺν ἐπιστρέφοντα. τὸ δὲ μηνοειδὲς αὐτῶν, ἁλιπόρφυρόν τι ἄνθος ἔχει. περιθέουσι δ' αὐτὸν καὶ ἀλκυόνες, ὁμοῦ μὲν ᾄδουσαι τὰ τῶν ἀνθρώπων, ἐξ ὧν αὐταί τε, καὶ ὁ Γλαῦκος μεθηρμόσθησαν.

A filius Lynceus, quòd & à maximo peruideret interuallo, & in profundum deſpiceret mare: proræ adhibitus, & primus latentia ſentiebat ſaxa: primúſq; ſubapparentem ſalutabat terram: verùm nunc & Lyncei aſpectus mihi phaſmatis occurſationem obſtupuiſſe videtur: à quo & quinquaginta Argonautæ remigatione continentes. Hercules quidem monſtro intrepidus permanet, vtpote qui huiuſmodi quàm plurimis occurrerit. Reliqui verò (vt
B puto) hoc mirum eſſe aliquid dicunt. Glaucus enim marinus ab ipſis cernitur. Is priſcam Anthedona quondam habitaſſe, quandámque in mari herbam guſtaſſe dicitur. Ceterùm vndis correptus ad piſcium ſedes delatus eſt. Magnum igitur quid, vt par eſt, vaticinatur: eſt enim artis peritiſſimus. Ipſius autem ſpecies hæc eſt. Liquidi qui-
C dem ipſi ſunt barbæ cirri, viſu verò candidi, vt aquæ ductus: at comæ cincinni graues, quicquid maris hauſerunt, in humeros fundunt denſa ſupercilia, & vnum ſe inuicem contingentia. Heu brachium, quàm in ipſum mare exercitum eſt, vndis perpetuò incidens, ipſáſque ad natationem leuigans: heu pectora, quàm ipſis inſperſa eſt lanugo, bryis ac fucariis algis referta. Venter ſubiacet mutatus, ac iam e-
D uaneſcens. Reliquo autem corpore piſcem ipſum eſſe poſteriora ſublata, & ad lumbum reflexa, indicant. At ipſorum orbiculatio purpureũ habet colorem. Circumuolant autem ipſum & Alcyones ſimul quidem mortaliũ res canentes, ex quib. ipſæq; & Glaucus transformati ſunt:

ſimul verò Orphéo ſuum ipſarum indicantes cantum: per quem ne mare quidem inconcinnè habet.

ὁμοῦ δὲ ἐνδεικνύμεναι τῷ Ὀρφεῖ τὴν ἑαυτῶν ᾠδὴν, δι᾽ ἣν οὐδὲ ἡ θάλαττα ἀμούσως ἔχει.

PALÆMON.

Qui in Iſthmo ſacra facit populus, eſſet vtique ex Corintho, & hic ipſius populi rex, Siſyphum eum arbitremur. Neptuni autem hoc eſt templum, ſenſim quid mari adſtrepens: pinuum enim comæ hoc canunt. Talia, ô puer, Ino è terra excidens ſignificat, quòd ad ipſam quidem pertinet, Leucothea erit, & de Nereïdum choro: quòd verò ad filium, Palæmone infante vtetur tellus. Obſequenti autem vectus delphine, ei iam appellit, & delphinus dorſa ſubſtratus, ne à ſomno excidat: placidas nullo ſtrepitu perlabens vndas, dormientem vehit. Progredienti autem ipſi circa Iſthmum neſcio quid ſcinditur, vt diſcedente terra ei ex Neptuno adytum fiat. Qui pueri appulſum, & quod ei ſacrificare oporteat, Siſypho *huic* mihi narrare videtur. Taurum igitur hunc nigrum mactat; quem (vt puto) è Neptuni grege exemit. Sacrificij autem ratio, & ſacra facientium veſtis, iuſtáque, ô puer, ac iugulatio in Palæmonis orgiis condantur. Venerandus enim, atque admodum arcanus eſt huiuſce rei ſermo, vt pote quem ſapiens conſecrauerit Siſyphus. Oris namque habitus iam ipſum ſapientem indicat. Neptuni verò facies ſi Gyras petras, aut Theſſaliæ montes ſciſſurus eſſet: horrenda vtique, & vt percutiens picta eſſet. Melicertem verò ſibi hoſpitem faciens, vt in terra habeat, eo appulſo ridet; & Iſthmum pectora recludere,

ΠΑΛΑΙΜΩΝ.

A Ὁ θύων ἐν Ἰσθμῷ δῆμος, εἴη δ᾽ ἂν ὁ ἐκ τῆς Κορίνθου; καὶ βασιλεὺς οὑτοσὶ τοῦ δήμου, Σίσυφον αὐτὸν ἡγώμεθα· τέμενος δὲ τουτὶ Ποσειδῶνος, ἠρέμα τι προσηχοῦν τῇ θαλάττῃ, αἱ γὰρ τῶν πιτύων κόμαι τοῦτο ᾄδουσι· τοιάδε, ὦ παῖ, σημαίνει ἡ

B Ἰνὼ τῆς γῆς ἐκπεσοῦσα, τὸ μὲν ἑαυτῆς, Λευκοθέας τε, καὶ τοῦ τῶν Νηρηΐδων κύκλου. τὸ δὲ τοῦ παιδὸς, ἡ γῆ Παλαίμονι τῷ βρέφει χρήσεται. καταίρει δὲ ἤδη ἐς αὐτὴν, ἐπὶ δελφῖνος εὐηνίου. καὶ ὁ δελφὶς τὰ νῶτα ὑποστορεννὺς, φέρει καθεύδοντα, διολισθαίνων ἀψοφητὶ τῆς γαλήνης, ὡς μὴ ἐκπέσοι τοῦ ὕπνου. προσιόντι δὲ αὐτῷ, ῥήγνυταί τι κατὰ τὸν Ἰσθμὸν, ἄδυτον, διαχεούσης τῆς γῆς ἐκ Ποσειδῶνος,

C ὅν μοι δοκεῖ καὶ Σισύφῳ τούτῳ, προειπεῖν τὸν τοῦ παιδὸς εἴσπλουν, καὶ ὅτι θύειν αὐτῷ δέοι. θύει δὲ ταῦρον τουτονὶ μέλανα, ἀποσπάσας, οἶμαι, αὐτὸν, ἐκ τῆς τοῦ Ποσειδῶνος ἀγέλης. ὁ μὲν οὖν τῆς θυσίας λόγος, καὶ ἡ τῶν θυσάντων ἐσθὴς, καὶ τὰ ἐναγίσματα, ὦ παῖ, καὶ τὸ σφάττειν, εἰς τὰ τοῦ Παλαίμονος ἀποκείσθω ὄργια.

D σεμνὸς γὰρ ὁ λόγος, καὶ κομιδῇ ἀπόθετος, ἅτε ἀποθειάσαντος αὐτὸν Σισύφου τοῦ σοφοῦ. σοφὸν γὰρ ἤδη που δηλοῖ αὐτὸν ἡ ἐπιστροφὴ τοῦ εἴδους. τὸ δὲ τοῦ Ποσειδῶνος εἶδος, εἰ μὲν τὰς Γυρὰς πέτρας, ἢ τὰ Θετταλικὰ ὄρη ῥήξειν ἔμελλε, δεινὸς ἄν που ἐγράφετο, καὶ οἷος πλήττων. ξενῶν δὲ τὸν Μελικέρτην ποιούμενος, ὡς ἐν τῇ γῇ ἔχοι, μειδιᾷ καθορμιζομένου, καὶ κελεύει τὸν Ἰσθμὸν ἀναπετάσαι τὰ στέρνα,

καὶ γενέσθαι τῷ Μελικέρτῃ οἶκον. ὁ δὲ Ἰσθμός, ὦ παῖ, γέγραπται μὲν ἐν εἴδει δαίμονος, ἐνυπτιάζων ἑαυτὸν τῇ γῇ. τέτακται δὲ ὑπὸ τῆς φύσεως, Αἰγαίου, καὶ Ἀδρίου μέσον κεῖσθαι, καθάπερ ἐπεζευγμένος τοῖς πελάγεσιν. ἔστι δὲ αὐτῷ, μειράκιον μὲν ἐν δεξιᾷ, *Λέχαιον δή, κόραι δὲ ἐν ἀριστερᾷ. θάλατται δὲ αὗται, καλαί, καὶ ἱκανῶς εὔδιοι, τῇ τὸν Ἰσθμὸν ἀποφαινούσῃ γῇ παρακάθηνται.

γ. λέχαιον

A Melicertæque domum fieri iubet. Iſthmus autem, ô puer, dæmonis quidem facie, atque humi ſupinus pictus eſt. inter Ægæum verò atque Adriaticum mare, vt æquoribus cinctus à natura ſitus eſt. Ceterùm ad ipſius dexteram obliquus* eſt adoleſcentulus: ad ſiniſtram verò puellæ: maria autem hæc pulchra, ac ſatis tranquilla, telluri Iſthmum demonſtranti adſident.

al. Lecheum.

B

ΝΗΣΟΙ.

Βούλει, ὦ παῖ, καθάπερ ἀπὸ νεὼς διαλεγώμεθα περὶ τουτωνὶ τῶν νήσων, οἷον περιπλέοντες αὐτὰς τοῦ ἦρος, ὅτε Ζέφυρος ἱλαρὰν ἐργάζεται θάλατταν, προσπνέων τῆς ἑαυτοῦ αὔρας. ἀλλ᾽ ὅπως ἑκὼν λήσῃ τῆς γῆς, καὶ θάλαττά σοι ταυτὶ δόξῃ, μήτ᾽ ἐξηρμένη, καὶ ἀναχαιτίζουσα, μήθ᾽ ὑπτία, καὶ γαλήνη, πλωτὴ δέ τις, καὶ οἷον ἔμπνους. ἰδοὺ ἐμβεβήκαμεν. ξυγχωρεῖς γάρ που καὶ ὑπὲρ τοῦ παιδὸς *ἀποκρίνασθαι; ξυγχωρῶ, καὶ πλέωμεν. ἡ μὲν θάλαττα ὡς ὁρᾷς, πολλή, νῆσοι δὲ ἐν αὐτῇ, μὰ Δί᾽ οὐ Λέσβος, οὐδὲ Ἴμβρος, ἢ Λῆμνος, ἀλλ᾽ ἀγελαῖαι, καὶ μικραί, καθάπερ κῶμαί τινες, ἢ σταθμοί, ἢ νὴ Δί᾽ ἐπαύλια τῆς θαλάττης. ἡ μὲν δὴ πρώτη σφῶν, ἐρυμνή τέ ἐστι, καὶ ἀπότομος, καὶ τειχήρης τὴν φύσιν, ἀκρονυχίαν ἐξαίρουσα πανόπτῃ Ποσειδῶνι, κατάρρους τε, καὶ ὑγρά, καὶ τὰς μελίττας βόσκουσα ὀρείοις ἄνθεσιν, ὧν δρέπεσθαι καὶ τὰς Νηρηίδας εἰκός, ὅταν τῇ θαλάσσῃ ἐμπαίζωσι. τὴν δὲ νῆσον τὴν ἐφεξῆς, ὑπτίαν τε, καὶ *γεωργοὶ ἅμα ξυμβάλλονται δὲ ἀγορὰν ἀλλήλοις. ὁ μέν, τῶν γεωργουμένων, οἱ δέ, ὧν ἤγρευσαν. Ποσειδῶ δὲ τουτονὶ γεωργὸν ἐπ᾽ ἀρότρου, καὶ ζεύγους ἵδρυνται,

γ. παιδὸς

γ. καὶ

INSVLÆ.

Vis, ô puer, ſuper his inſulis vt è naui diſſeramus, æquè ac ſi verno eas tempore circumnauigaremus; cùm Zephyrus ſua ipſius aura ſpirans hilarum præſtat mare. Sed tu ſponte terram obliuiſcere, & hæc tibi mare videantur: neque concitum, ac cohibens, nec conſtratum, ac tranquillum; ſed nauigabile, ac ventis afflatum. Ecce ingreſſi ſumus: concedis enim fortè

C

vt pro puero agam? concedo, & nauigemus. Mare quidem (vt cernis) magnum, inſulæ verò in ipſo: per Iouem, non Leſbus, nec Imbrus, aut Lemnus: ſed gregales, ac paruæ, villæ quædam, ac ſtationes, vel per Iouem maris ſtabula. Ipſarum quidem prima tuta eſt, ac præceps & natura munita, verticem omnia ſpeculanti adtollens Neptuno, fluuida & liquida, montaníſ-

D

que apes paſcens floribus, quos & Nereides decerpere par eſt, cùm in mari ludunt: ſequentem verò ſupinam, ac feracem piſcatores, atque agricolæ vnà habitant. Communi autem vtuntur foro, hi quidem ex terræ cultu, hi verò è maris præda. At Neptunum hunc agricolam in aratro ac bigis erexerunt,

quæ è terra proueniunt, ei adſcribentes: verùm ne admodum terreſtris videretur, aratro inſerta eſt prora, & vt nauigans terram proſcindit. Geminæ autem his contiguæ inſulæ, vtraque quondam vnà fuerant: verùm à pelago in medio ſciſſæ, ad fluminis latitudinem diducta eſt. hoc autem tibi, ô puer, ab ipſa pictura cognoſcere licet: inſulæ namque ſciſſæ partes, ſimiles (vt vides) atque inter ſe pares, B vtpote quæ cauæ extantibus facile cohærent. Hoc & Europa olim circa Theſſala tempe paſſa eſt. Nam terræ motus illam quoque montium compagem diſpeſcentes, ſciſſis partibus ſigna impreſſerunt: & lapidum domus adhuc viſuntur, quæ à ſe auulſa referunt ſaxa; ſyluáque quantam ſciſſis montibus adhæſiſſe credibile eſt, adhuc extat; nam arborum cubilia etiam nunc reſtant. Huiuſmodi igitur inſulæ C caſum arbitremur. Pons autem ita à freto impoſitus, vt vnà videatur, cuius quidem pontis pars nauigatur: pars verò curribus peruia: vides enim, vt ipſum pertranſeuntes, & viatores, & nautæ ſint. Propinquam autem inſulam, ô puer, mirum arbitremur: ignis enim inſulæ meatus, ac receſſus ſubiens totam ſuccendit, per quos vt fiſtulas erumpens flamma horrendos efficit riuos, è quibus ingentes, ma- D ríque vndarum inſtar ingruentes ignis excidunt amnes. quòd ſi quiſpiam in huiuſmodi re philoſophari voluerit, inſula aſphalti ac ſulfuris naturam præbens, cùm à mari abroſa fuerit, multis accenditur ſpiritibus, quæ materiam excitant,

A λογιούμεθα αὐτῷ τὰ ἐκ τῆς γῆς. ὡς δὲ μὴ σφόδρα ἠπειρώτης ὁ Ποσειδῶν φαίνοιτο, πρῷρα ἐμβέβληται τῷ ἀρότρῳ, καὶ τὴν γῆν ῥήγνυσιν, οἷον πλέων. αἱ δὲ ἐχόμεναι τούτων νῆσοι δύο, μία μὲν ἄμφω ποτὲ ἦσαν, ῥαγεῖσα δὲ ὑπὸ τοῦ πελάγους μέση, ποταμοῦ εὖρος ἑαυτῆς ἀπηνέχθη. τουτὶ δέ ἐστι σοι καὶ παρὰ τῆς γραφῆς, ὦ παῖ, γινώσκειν. τὰ γὰρ ἐσχισμένα τῆς νήσου παραπλήσιά που ὁρᾷς, καὶ ἀλλήλοις ξύμμετρα, καὶ οἷα ἐναρμόσαι κοῖλα ἐκκειμένοις. τοῦτο καὶ ἡ Εὐρώπη ποτὲ, περὶ τὰ Τέμπη τὰ Θετταλικὰ ἔπαθε. σεισμοὶ γὰρ κἀκείνην διαπτύξαντες τὴν ἁρμονίαν τῶν ὀρῶν, ἐναπεσημήναντο τοῖς τμήμασι· καὶ πετρῶν τε οἶκοι φανεροὶ ἔτι, παραπλήσιοι ταῖς ἐξηρμοσμέναις σφῶν πέτραις, ὕλη θ' ὁπόση ξυνθέντων τῶν ὀρῶν, ἐπιεικὴς, οὔπω ἄδηλος. λείπονται γὰρ δὴ ἔτι αἱ εὐναὶ τῶν δένδρων. τὸ μὲν δὴ τῆς νήσου πάθος, τοιοῦτον ἡγώμεθα. ζεῦγμα δὲ ὑπὸ τοῦ πορθμοῦ βέβληται. ὡς μίαν ὑπ' αὐτοῦ φαίνεσθαι. καὶ τὸ μὲν, ὑποπλεῖται τοῦ ζεύγματος. τὸ δὲ, ἁμαξεύεται. ὁρᾷς γάρ που τοὺς διαφοιτῶντας αὐτὸ, ὡς ὁδοιπόροι τέ εἰσι, καὶ ναῦται. τὴν δὲ νῆσον, ὦ παῖ, τὴν πλησίον, θαῦμα ἡγώμεθα. πῦρ γὰρ δὴ ὑποτύφει αὐτὴν πᾶσαν, σήραγγάς τε, καὶ μυχοὺς ὑποδεδυκὸς τῆς νήσου, δι' ὧν ὥσπερ αὐλῶν ἡ φλὸξ διεκπαίει, ῥύακάς τε ἐξεργάζεται δεινοὺς, παρ' ὧν ἐκπίπτουσι ποταμοὶ πυρὸς, μεγάλοι τε, καὶ τῇ θαλάττῃ ἐπικυμαίνοντες. καὶ φιλοσοφεῖν μὲν βουλομένῳ τὰ τοιαῦτα, νῆσος ἀσφάλτου, καὶ θείου παρεχομένη φύσιν, ἐπειδὰν ὑφ' ἁλὸς ἀναβεβρωθῆ, πολλοῖς ἐκπυροῦται πνεύμασι, τὰ τὴν ὕλην ἐρεθίζοντα παρὰ

τῆς θαλάττης ἀνασπῶσα. ἡ γραφὴ δὲ, A τὰ τῶν ποιητῶν ἐπαινοῦσα, καὶ μῦθον τῇ νήσῳ ἐπιγράφει, γίγαντα μὲν βεβλῆσθαί ποτε ἐνταῦθα. δυσθανατοῦντι δ' αὐτῷ, τὴν νῆσον ἐπενεχθῆναι δεσμοῦ ἕνεκεν. εἴκειν δὲ μή πω αὐτὸν, ἀλλ' ἀναμάχεσθαι ὑπὸ τῇ γῇ ὄντα. καὶ τὸ πῦρ τοῦτο σὺν ἀπειλῇ ἐκπνεῖν. τουτὶ δὲ καὶ τὸν Τυφῶ φασιν ἐν Σικελίᾳ βούλεσθαι, καὶ τὸν Ἐγκέλαδον ἐν Ἰταλίᾳ ταύτῃ. οὓς ἤπειροί τε, καὶ νῆσοι πιέζουσιν, οὔπω μὲν τεθνεῶτας, ἀεὶ B δὲ ἀποθνήσκοντας. ἔστι δέ σοι, ὦ παῖ, μηδ' ἀπολελεῖφθαι δόξαι τῆς μάχης, ἐς τὴν κορυφὴν τοῦ ὄρους ἀποβλέψαντι. τὰ γὰρ ἐπ' αὐτῆς φαινόμενα, ὁ Ζεὺς ἀφίησι κεραυνοὺς ἐπὶ τὸν γίγαντα. ὁ δὲ ἀπαγορεύει μὲν ἤδη, πιστεύει δὲ τῇ γῇ ἔτι. καὶ ἡ γῆ δὲ ἀπείρηκεν, οὐκ ἐῶντος αὐτὴν ἑστάναι τοῦ Ποσειδῶνος. περιβέβληκε δὲ αὐτοῖς ἀχλὺν, ὡς ὅμοια γεγονόσι μᾶλλον, ἢ γινομένοις φαίνοιτο. τὸν δὲ περίπλουν, κολωνὸν οὗτον οἰκεῖ δράκων, πλούτου τινὸς οἶμαι φύλαξ, ὃς ὑπὸ τῇ γῇ κεῖται. τοῦτο γὰρ λέγεται τὸ θηρίον, εὔνουν τε εἶναι τῷ χρυσῷ, καὶ ὅ,τι ἴδῃ χρυσοῦν, ἀγαπᾶν, καὶ θάλπειν. τό τοι κῴδιον τὸ ἐν Κόλχοις, καὶ τὰ τῶν Ἑσπερίδων μῆλα, ἐπεὶ χρυσᾶ ἐφαίνετο, δύο ἀΰπνω ξυνεῖχον δράκοντε, καὶ ἑαυτοῖν ἐποιοῦντο. καὶ ὁ δράκων δὲ ὁ τῆς Ἀθηνᾶς, D ὁ ἔτι καὶ νῦν ἐν ἀκροπόλει οἰκῶν, δοκεῖ μοι τὸν Ἀθηναίων ἀσπάσασθαι δῆμον ἐπὶ τῷ χρυσῷ· ὃν ἐκεῖνοι τέττιγας ἐπὶ ταῖς κεφαλαῖς ἐποιοῦντο. ἐνταῦθα δὲ καὶ χρυσοῦς αὐτὸς ὁ δράκων. τὴν γὰρ κεφαλὴν τῆς χειᾶς ὑπερβάλλει, δεδιὼς οἶμαι ὑπὲρ τοῦ κάτω πλούτου. κατηρεφὴς δὲ κιττῷ τε, καὶ σμίλακι, καὶ ἀμπέλοις ἤδη ἡ νῆσος

è mari adtrahens. Ceterùm pictura, quæ à poëtis canuntur, approbans, inſulæ fabulam adſcribit: gigantem videlicet olim huc detruſum, ægréque morienti vinculi inſtar, impoſitam inſulam: at ipſum nondum cedere, ſed ſub humo exiſtentem reſiſtere, & quòd adhuc ſpiret, hunc ignem comminari. Hoc autem & in Sicilia Typhonem velle aiunt, & in hac Italia Enceladum, quos nondum defunctos, ſed perpetuò morientes, Continentes, aut inſulæ vrgent. Licet autem tibi, ô puer, ad montis verticem ſpectanti haud procul eſſe à prælio exiſtimare. Quæ enim in ipſo cernuntur, Iupiter fulmina in gigantem iaculatur: at hic iam deficit quidem; verùm telluri adhuc credit: at tellus defeſſa eſt, Neptuno eam minimè ſtare permittente: Caliginem autem ipſis circunfudit, vt ſimilia factis potius, quàm quæ C nunc fiant, viderentur: collem autem hunc circumnauigabilem draco habitat, theſauri cuiuſdam (puto) cuſtos, qui humo conditus iacet: hæc enim fera auro beneuola, & quicquid auri viderit, amare, ac fouere dicitur. itaque pellem apud Colchos, & Heſperidum mala, quod aurea viderentur: duo inſomnes continebant dracones, ſibíque ipſis vendicabant: & Palladis draco, qui adhuc arcem habitat: Athenienſem populum auri cauſa mihi amare videtur: quod illi in cicadas vt capiti ornamento eſſent transformabant. Ceterùm hic ipſe etiam draco aureus, caput enim e luſtro extollit inferiori (vt puto) timens theſauro: hedera autem, ſmilacéq. ac vitibus adumbrata inſula

ſe Dionyſo dicatam aſſerit: nunc vero Dionyſum abeſſe: & in continente alicubi bacchari, & quæ hîc arcana ſunt Sileno commiſiſſe: cymbaláque hæc ſupina, & aurei euerſi crateres, & adhuc tepidæ tibiæ: ſed tympana ſine ſtrepitu iacentia, nebridáſque Zephyrus humo tollere videtur, & è ſex ſerpentibus: hi quidem Thyrſis implicantur: hi vero præ vino reſoluti ſunt, vt his dormientibus Bacchæ vinciantur: & hi quidem racemi tumeſcunt, hi vero matureſcunt, hi omphaces, hi œnanthe videntur: vitium horas diſponente Dionyſo, vt perpetuo vindemiet. Racemi autem adeo denſi atque affluentes, vt & à ſaxis ſuſpendantur, & mari immineant. Quare tam marinæ, quàm terreſtres aues fructus decerpunt. Nam Dionyſus omnibus præterquàm noctuæ communem præſtat vitem. Solam autem illam à racemis abigit, quod mortalibus vinum criminetur. Noctuæ namque oua, ſi comederit puer, perpetua vita vinum oderit: & non modo vinum haud biberet, verùm & temulentos formidaret. Tu vero, ô puer, ea es præditus audentia: vt ne hunc quidem Silenum ebriúmque ac Baccham attingentem timeas, ea vero ipſum aſpicere dedignatur: ſed Dionyſi amore capta ipſum meditatur, atque animo inſcribit, abſentémque intuetur: oculorum enim Bacchæ affectus ſuſpenſus quidem, Venerea tamen haud caret ſolicitudine. Ceterùm natura hoſce montes componens inſulam effecit arboribus conſitam, pinu videlicet procera, picea, & abiete, quercubúſque, ac cedro.

A ὖσα, Διονύσῳ μὲν ἀνεῖσθαί φησι, τὸν Διόνυσον δὲ ἀπεῖναι νῦν, καὶ ἐν ἠπείρῳ που βακχεύειν, ἐπιτρέψαντα τῷ Σειληνῷ τὰ ἐνταῦθα ἀπόρρητα. κύμβαλά τε ταῦτα ὕπτια, καὶ κρατῆρες ἀνεστραμμένοι χρυσοῖ, καὶ αὐλοὶ θερμοὶ ἔτι. καὶ τὰ τύμπανα δὲ, ἀψοφητὶ κείμενα, καὶ τὰς νεβρίδας ὁ Ζέφυρος οἷον αἴρει ἀπὸ τῆς γῆς. ὄφεις τε ἕξ, ὧν μὲν, ἐμπλέκονται θύρσοις, οἱ δὲ ὑπὸ τοῦ οἴνου παρεῖνται, ζωννύναι αὐτοὺς ταῖς Βάκχαις καθεύδοντας.

B βότρυς δὲ, οἱ μὲν ὀργῶσιν. οἱ δὲ, περκάζουσιν. οἱ δὲ ὄμφακες, οἱ δὲ οἰνάνθαι δοκοῦσι. σεσοφισμένου τοῦ Διονύσου τὰς ὥρας τῶν ἀμπέλων, ὡς ἀεὶ τρυγῴη. ἀμφιλαφεῖς δὲ οὕτω τι οἱ βότρυες, ὡς καὶ τῶν πετρῶν ἀπηρτῆσθαι, καὶ τῇ θαλάττῃ ἐπικρέμασθαι. ὀπωρίζουσι δὲ προσπετόμενοι, θαλάττιοί τε, καὶ ἠπειρῶται ὄρνιθες.

C τὴν γὰρ ἄμπελον ὁ Διόνυσος παρέχει κοινὴν πᾶσι πλὴν τῆς γλαυκός. ἐκείνην δὲ μόνην ἄρα ἀπωθεῖται τῶν βοτρύων, ἐπειδὴ τοῖς ἀνθρώποις διαβάλλει τὸν οἶνον. ὠὰ γὰρ τῆς γλαυκὸς εἰ φάγοι παιδίον, ἀπεχθάνεται τῷ οἴνῳ πᾶσαν ἡλικίαν, καὶ οὔτ' ἂν πίοι καὶ φοβεῖται τοὺς μεθύοντας. σὺ δὲ ἔοικάς τι θρασὺς, ὦ παῖ, ὡς μηδὲ τὸν Σειληνὸν τὸν φύλακα τῆς νήσου φοβεῖσθαι, μεθύοντά τε, καὶ ἐπιλαμβανόμενον τῆς Βάκχης. ἡ δὲ οὐκ

D ἀξιοῖ ἐπ' αὐτὸν βλέπειν, ἀλλὰ τοῦ Διονύσου ἐρῶσα, ἀνατυποῦταί αὐτόν τε, καὶ ἀναγράφει, καὶ ὁρᾶ μὴ παρόντα. τὸ γὰρ τῶν ὀφθαλμῶν ἦθος τῇ Βάκχῃ, μετέωρον μὲν, οὐ μὴν ἔξω γε ἐρωτικῶν φροντίδων. ταυτὶ δὲ ἡ φύσις τὰ ὄρη ξυνθεῖσα, νῆσον εἴργασται, δασεῖάν τε, καὶ ὕλης πλέω, ὁπόσην κυπαρίττου τε ὑψηλῆς, καὶ πεύκης, καὶ ἐλάτης, δρυῶν τε αὖ, καὶ κέδρων.

καὶ γὰρ τὰ δένδρα τὸν ἑαυτῶν γέγραπται τρόπον. τὰ μὲν δὴ ἄνθηρα τῆς νήσου, συοθῆραί τε ἀνιχνεύουσι, καὶ ἐλαφηβόλοι, λόγχας ἐπὶ τὰ θηρία ἠρμένοι, καὶ τόξα ἔνιοι. καὶ μαχαίρας δὲ, ὦ παῖ, καὶ κορύνας φέρουσιν οἱ ἀγχέμαχοι σφῶν, καὶ θρασεῖς. δίκτυά τε ταῦτα δίηκται τῆς ὕλης. τὰ μὲν, ἐγκολπίσασθαι θηρίον, τὰ δὲ, δῆσαι, τὰ δὲ, σχεῖν τοῦ δρόμου. καὶ τὰ μὲν, εἴληπται τῶν θηρίων, τὰ δὲ, μάχεται, τὰ δὲ, ᾕρηκε τὸν βάλλοντα. ἐνεργὸς δὲ πᾶς βραχίων νεανίου. καὶ ξυνεξαίρουσι βοὴν κύνες ἀνδράσιν, ὡς καὶ τὴν ἠχὼ φάναι ξυμβακχεύειν τῇ θήρᾳ. τὰ δὲ μεγάλα τῶν φυτῶν, δρυτόμοι * ἀναλοῦσι, διατέμνοντες. καὶ ὁ μὲν, διαίρει τὸν πέλεκυν, ὁ δὲ, ἐμβέβληκεν. ὁ δὲ, θήγει λαβὼν, ἀπεστομωμένον ὑπὸ τοῦ πλήττειν. ὁ δ' ἐπισκοπεῖται τὴν ἐλάτην, ἱστοῦ ἕνεκα τεκμαιρόμενος τοῦ δένδρου πρὸς τὴν ναῦν. ὁ δὲ, τὰ νέα, καὶ ὀρθὰ τῶν δένδρων, τέμνει εἰς τὰ ἐρετικά. ἡ δὲ ἀπορρὼξ, καὶ ἡ ἀπορραγεῖσα πέτρα, καὶ ὁ τῶν αἰθυιῶν δῆμος, καὶ ὁ ἐν μέσαις ὄρνις, ἀπὸ τοιοῦδε γέγραπται λόγου. ἄνθρωποι ταῖς αἰθυίαις ἐπιτίθενται, μὰ Δί' οὐ τῶν κρεῶν ἕνεκα. μέλαν γὰρ καὶ νοσῶδες, καὶ οὐδὲ πεινῶντι ἡδὺ τὸ ἐξ αὐτῶν κρέας. γαστέρα δὲ παρέχονται παισὶν ἰατρῶν, οἵαν ἐσθιομένοις αὐτὴν, εὐσίτους ἀποφαίνειν, καὶ κούφους, ὑπνηλαὶ οὖσαι, καὶ πυριάλωτοι. νύκτωρ γὰρ αὐταῖς ἐναστράπτουσι. προσδέχονται δὲ τὴν κήυκα ὄρνιν ἐπὶ μοίρᾳ τῶν ἁλισκομένων, μηδεμόνα εἶναι, καὶ προεγρηγορέναι σφῶν. ὁ δὲ κήυξ, θαλάττιος μὲν, χρηστὸς δὲ ὄρνις, καὶ ἀπράγμων, καὶ θηρᾶσαι μέν * τοι, ἀδρανής, πρὸς δέ γε

σχ. πλί- κια δὲ σπάθης τέμνουσι.

A Arbores enim ſuo ipſarum pictæ ſunt more. In qua autem inſulæ parte feræ verſantur, aprorum, ac ceruorum venatores, veſtigant, venabula, in feras tollentes: & nonnulli arcus gladios quoque, ac clauas, ô puer hi ferunt, qui audentes cominus pugnant. Retia etiam per ſyluam diducta ſunt: hæc quidem vt ſinu feram capiant: hæc verò vinciant: illa vt à curſu remouerentur. & ex feris hæ quidem captæ: hæ verò pugnant, illæ iaculantem ſuperarunt: totum autem B iuuenis brachium efficax. & canes vnà cum viris vocem tollunt, vt ipſa quoque Echo venationi inſurgere fateatur. Plantas autem ingentes arboricidæ abſumunt incidentes: & hic quidem ſecurim tollit, hic verò impegit: at hic frequentibus ictibus obtuſam tenens acuit. Sed iſte abietem ſpeculatur: nunquid ex ea nauis malus congruè fieri poſſet coniectans: hic C nouellas ac rectas arbores ad remigium incîdit. Rupes autem & abſciſſum ſaxum, mergorúmque populus, & quæ in mediis eſt auis, tali picta ſunt ratione. Mergis homines inſidiantur: non per Iouem carnis cauſa: atra enim ac morbifera, nec eſurientibus ſuauis eſt ipſorum caro. Medicis ventrem præbent, quo qui veſcuntur, ſtomacho validiore, ac leues fiunt, D ſomnolenti exiſtentes, & qui igni capiantur. Noctu enim ipſis ignis ſplendorem inferant. At mergi ceyca auem, vt & curator ſit, & ante ipſos expergiſcatur in præde partem accipiunt. Eſt autem Ceyx marina quidem auis: ſed frugi, atque ocioſa, & ad capiendum aliquid imbecilla: verùm aduerſus ſomnum

validiſſima, & quæ paululum dormiat: quo fit vt illis oculos locet. Cùm igitur ad cibum euolant, is quidem domi in ſaxo moratur: hi verò ad veſperam prædæ decimam adferentes reuertuntur: & circum vigilantem, quíque nunquam niſi volentibus ipſis ſomno opprimatur, dormiunt: quòd ſi doli aliquid aduentantis ſenſerit, his quidem altum atque acutum clamitat: hi verò ex compacto ſublati fugiunt, curatorem, ſi quandoque inter volandum defecerit, ſuſtinentes: verùm hic adeſt, ac mergos circunſpicit, qui dum inter aues quidem ſtat, Proteum inter vitulos marinos ſtantem refert: dum verò vigilat Proteum ſuperat. Huc autem, ô puer, appulſi ſumus: & inſulæ quidem nomen ignoro: aurea verò à me ſaltem appelletur, ni temerè huiuſmodi poëtæ appellationem excogitarunt, pulchrámque atque omnibus admirabilem. Condita quidem eſt, quanta paruas ſuſcipiat regias, neque enim hic quiſpiam arabit, nec vites colet: fontibus verò ſcatet, quorum partim liquidos, ac frigidos: partim feruentes edit, eſt autem adeò fluida, vt & mari vndas immittat. Huic igitur vndæ feruentes edit. eſt autem adeo fluida, vt & mari vndas immittat. Huic igitur vndæ feruentes, & vt è lebete vibrati atque exilientes fontes ſuffunduntur, circum quos hæc ſita eſt inſula. fontium autem editionis miraculum vtrum ſolo imputandum, an mari adſcribendum ſit, hic Proteus iudicabit: venit enim vt ſuper hac re ſuam proferat ſententiam. Ceterùm quæ inſulæ pars

A ὕπνου ἔρρωται, καὶ καθεύδει σμικρά. ταῦτά τοι καὶ ἀπομισθοῖ τοὺς ὀφθαλμοὺς ἐκείναις. ἐπειδὰν οὖν ἐπὶ δαῖτα ἀποπτῶσιν, ὁ μὲν, οἰκουρεῖ περὶ τὴν πέτραν, αἱ δ' ἥκουσιν εἰς ἑσπέραν, ἀπάγουσαι δεκάτην αὐτῷ τῶν τεθηραμένων. καὶ καθεύδουσιν ἤδη περὶ αὐτὸν οὐ καθεύδοντα, οὐδ' αὖ ἡττηθέντα ὕπνου ποτὲ, εἰ μὴ αὐταὶ βούλονται. εἰ δὲ δόλου τι προ-
B σιόντος αἴσθοιτο, ὁ μὲν, ἀναβοᾷ τορόν τε, καὶ ὀξύ. αἱ δ' ἀπὸ συνθήματος* ἀρθεῖσαι, φεύγουσιν, ἀνέχουσαι τὸν μελεδωνὸν, εἰ πετόμενος ἀπείποι ποτέ. ἀλλ' ἐνταῦθα ἕστηκε, καὶ τὰς αἰθυίας περιορᾷ. ἔστι δ' αὐτοῦ, τὸ μὲν, ἐν μέσαις ἑστάναι ταῖς ὄρνισιν, ὁ Πρωτεύς, ὁ ἐν ταῖς φώκαις. τὸ δὲ μὴ καθεύδειν, ὑπὲρ τὸν Πρωτέα. ἐνταῦθα δὲ, ὦ παῖ, καὶ καθώρμισται ἡμῖν· καὶ ὅ,τι μὲν ὄνομα τῇ νήσῳ, οὐκ οἶ-
C δα· χρυσῆ δ' ἂν πρός γε ἐμοῦ ὀνομάζοιτο, εἰ μὴ μάτην οἱ ποιηταὶ τὴν τοιαύδε ἐπωνυμίαν ἐξευρήκασι, τὴν καλήν τε, καὶ θαυμασίαν πᾶσιν. ᾤκισται μὲν δὴ, ὁπόσην βασιλεία μικρὰ δέξασθαι. οὐ γὰρ δὴ ἀρόσει γε ἐνταῦθά τις, οὐδὲ ἀμπελουργήσει· περίεστι δ' αὐτῇ πηγῶν. ὧν τὰς μὲν, ἀκραιφνεῖς τε, καὶ ψυχρὰς ἐνδιδόασι· τὰς δὲ, ἐμπυρώσας. ἔστι δ'
D οὕτω τι εὔρους, ὡς καὶ τῇ θαλάττῃ ἐπιπλημμυρεῖν. τό τοι ῥεῦθρον τοῦτο, πηγαὶ ὑποκυματίζουσι ζέουσαι, καὶ οἷον ἐκ λέβητος ἀναπαλλόμεναί τε, καὶ ἀναπηδῶσαι· περὶ ἃς βέβληται ἥδε ἡ νῆσος. τὸ μὲν οὖν θαῦμα τῆς τῶν πηγῶν ἐκδόσεως, εἴ τι τῆς γῆς προσθήκη νομίζειν, εἴ τι τῇ θαλάττῃ οἰκειοῦν, δικάσει ὅδε ὁ Πρωτεύς· ἥκει γὰρ δὴ θεμιστεύσων τούτῳ. τὰ δὲ πεπολισμένα τῆς νήσου,

*γρ. συναθροίσματος

σκοπῶμεν. ᾤκισται γὰρ δὴ ἐν αὐτῇ, πόλεως καλῆς τε, καὶ λαμπρᾶς εἴδωλον, ὅσον οἰκία· καὶ βασιλικὸν εἴσω τρέφεται παιδίον. ἄθυρμα δὲ αὐτῷ, πόλις. θέατρα γάρ ἐστιν, ὁπόσα αὐτόν τε δέξασθαι, καὶ τοὺς συμπαίστας τούτῳ ἱππάδας. ἱππόδρομός τε ἐξῳκοδόμηταί τις, ἀποχρῶν τοῖς Μελιταίοις κυνιδίοις περιδραμεῖν αὐτόν· ἵπποις γὰρ δὴ ὁ παῖς ταῦτα ποιεῖται, καὶ συνέχει σφᾶς ἐς ζυγόν τε καὶ ἅρμα, ἡνιοχήσων δὴ ὑπὸ τουτωνὶ τῶν πιθήκων, οὓς τὸ παιδίον θεράποντας ἡγεῖται. λαγωὸς δὲ οὑτοσί, χθὲς οἶμαι εἰσῳκισμένος, ξυνέχεται μὲν ἱμάντι φοινικῷ, καθάπερ κύων· δεδέσθαι δὲ οὐκ ἀξιοῖ. καὶ διολισθῆσαι τοὺς δεσμοὺς ἐθέλει, πιέζων τοῖς προσθίοις τῶν ποδῶν. ψιττακός τε, καὶ κίττα ἐν οἰκίσκῳ πλεκτῷ, σειρήνων δίκην ἐν τῇ νήσῳ ᾄδουσιν. ᾄδει δὲ ἡ μὲν, ὁπόσα οἶδεν· ὁ δὲ, ὁπόσα μανθάνει.

ΚΥΚΛΩΨ.

Οἱ θερίζοντες τὰ λήϊα, καὶ τρυγῶντες τὰς ἀμπέλους, οὔτε ἤροσαν, ὦ παῖ, ταῦτα, οὔτε ἐφύτευσαν, ἀλλ' αὐτόματα ἡ γῆ σφίσιν ἀναπέμπει ταῦτα. εἰσὶ γὰρ δὴ Κύκλωπες, οἷς οὐκ οἶδα ἐξ ὅτου τὴν γῆν οἱ ποιηταὶ βούλονται αὐτοφυᾶ εἶναι, ὧν φέρει. πεποίηται δὲ αὐτοὺς καὶ ποιμένας, τὰ πρόβατα βόσκουσα, ὧν τὸ γάλα, ποτόν τε ἡγοῦνται, καὶ ὄψον. οἱ δὲ οὔτ' ἀγορὰν γιγνώσκουσιν, οὔτε βουλευτήριον, οὔτ' οἶκον· ἀλλὰ τὰ ῥήγματα ἐσοικισάμενοι τῶν ὀρῶν, τοὺς μὲν ἄλλους, ἔα. Πολύφημος δὲ ὁ τοῦ Ποσειδῶνος, ἀγριώτατος αὐτῶν οἰκεῖ ἐνταῦθα, μίαν μὲν ὑπερτείνων ὀφρὺν τοῦ ὀφθαλμοῦ ἑνὸς

A condita ſit contemplemur: pulchræ enim ac præclaræ ciuitatis effigies vnius domus amplitudine condita eſt, & regius intus puer educatur. Luſui autem ipſi eſt ciuitas: nam theatra, quanta ipſum & colluſores hippadas capiant, condita: hippodromus etiam quidam ſtructus eſt; qui catulorum Melitenſium curſui ſatis ſit. His enim equorum vice vtitur, ipſoſque & ad iugum, & ad currum continet, moderatu- B rus hunc ſub hiſce ſimiis, quas miniſtros puer arbitratur. Hic autem lepus heri (puto) introductus purpureo quidem vt canis, continetur loro: verùm quòd vinctus ſit, indignatur, & anterioribus fretus pedibus vincula euadere conatur. Pſittacus præterea, & pica, in contexta domuncula Sirenum more in inſula canunt. & hæc quidem quæcunque nouit, cantat: hic verò quæ- C cunque percipit.

CYCLOPS.

Qui ſegetes metuunt, quíque vindemiant: non hæc, ô puer, ararunt, nec plantarunt: ſed ſponte nullóque cultu hæc ipſis tellus edit. Sunt enim Cyclopes, quibus, neſcio qua cauſa poëtæ terram volunt, quæcunque gignat, D ſponte producere. Eos quoque pecudes paſcens paſtores reddidit, quarum lacte pro potu atque obſonio vtuntur. Hi autem non forum, non curiam, non domum norunt: Sed montium cauernas ſibi domos faciunt, ſed alios omitte: Polyphemus Neptuni filius ipſorum ferociſſimus hîc habitat, vnum quidem ſuper vnico tendens oculo ſupercilium: lato verò la-

brum aſcendens naſo, & haud ſecus ac leones truculentiſſimi, humano veſcens corpore: at nunc ne vorax ac triſtis videatur: ab huiuſmodi abſtinet cibo. Galatheæ namque ad hoc pelagus ludentis amore captus eſt, de monte ipſam contemplans. & ipſa quidem fiſtula adhuc ſub ala quieſcit. Eſt autem ipſi paſtoralis cantus: quòd ſcilicet candida ſit, ac contumax, & labruſca ſuauior: quódque hinnulos Galatheæ, atque vrſos alat. Hæc alat. Hæc autem ſub ilice canit, cùm neque vbi oues ſibi paſcantur: neque quot ſint, neque vbi tellus ſit aſpiciat: quoniam montanus, atque acer pictus eſt. Rectam quidem ac denſam pinus more quatiens iubam, ex voraci mento ſerratos exerens dentes, pectúſque ac ventrem, & quòd ad vnguem tendit, penitus hirſutus. & placidum quidem ſpectat (vt ait) quia amat: ſed ferum adhuc ac toruum intuetur, vt neceſſitate victæ feræ. Ipſa verò in molli ludit æquore: iunctorum idémque ſentientium delphinorum quadrigas cogens. Tritonis autem filiæ Galateæ ancillæ regunt ipſos: ſi quid ſuperbè ac contra habenas egerint, cohibentes. Ceterùm ipſa purpuream veſtem ſupra caput ad Zephyrum tollit, vt & ſibi vmbraculum, & curtui velum ſit: ex quo ſplendor quidam ad frontem ac caput tendit, nondum genæ colore ſuauior. Ipſius autem comæ Zephyro minimè diffuſæ: madidæ enim ſunt, & quàm vt à vento agitari queant, grauiores. Atqui dexter iacet cubitus, brachium inclinans, digitóſque ad mollem firmans humerum,

A ὄντος, πλατεῖα δὲ ἡ ῥινὶ ἐπιβαίνων τοῦ χείλους, καὶ σιτούμενος τοὺς ἀνθρώπους, ὥσπερ τῶν λεόντων οἱ ὠμοί. νυνὶ δὲ ἀπέχεται τοῦ τοιούτου σίτου, ὡς μὴ βορὸς, μηδὲ ἀηδὴς φαίνοιτο. ἐρᾷ γὰρ τῆς Γαλατείας παιζούσης ἐς τουτὶ τὸ πέλαγος, ἀφορῶν αὐτὴν ἀπὸ τοῦ ὄρους. καὶ ἡ μὲν σῦριγξ, ἔτι ὑπὸ μάλης, καὶ ἀτρεμεῖ. ἔστι δὲ αὐτῷ ποιμενικὸν ᾆσμα, ὡς λευκή τε εἴη, καὶ γαῦρος, καὶ ἡδίων ὄμφακος. B καὶ ὡς νεβροὺς τῇ Γαλατείᾳ σκυμνεύει, καὶ ἄρκτους. ᾄδει δὲ ὑπὸ πρίνῳ ταῦτα. οὐδ' ὅπου αὐτῷ τὰ πρόβατα νέμεται εἰδὼς, οὐδ' ὁπόσα ἐστὶν, οὐδ' ὅπου ἡ γῆ· ὅτι ὄρειός τε, καὶ δεινὸς γέγραπται. χαίτην μὲν ἀνασείων ὀρθὴν, καὶ ἀμφιλαφῆ, πίτυος δίκην· καρχαροὺς δὲ ὑποφαίνων ὀδόντας, ἐκ βοροῦ τοῦ γενείου. στέρνον τε, καὶ γαστέρα, καὶ τὸ εἰς ὄνυχα ἧκον. λάσιος C πάντα. καὶ βλέπει μὲν ἥμερον φησὶν, ἐπειδὴ ἐρᾷ· ἄγριον δὲ ὁρᾷ. καὶ ὑποκαθήμενον ἔτι, καθάπερ τῶν θηρίων τὰ ἀνάγκης ἡττώμενα. ἡ δὲ, ἐν ἁπαλῇ τῇ θαλάσσῃ παίζει, τέτρωρον δελφίνων ξυνάγουσα ὁμοζυγούντων τε, καὶ ταὐτὸν πνεόντων. παρθένοι δ' αὐτοὺς ἄγουσι Τρίτωνος, αἱ δμωαὶ τῆς Γαλατείας, ἐπιστομίζουσαι σφᾶς, εἴ τι ἀγέρωχον ἢ, καὶ παρὰ τὴν ἡνίαν πράττοιεν. ἡ δὲ D ὑπὲρ κεφαλῆς, ἁλιπόρφυρον μὲν λήδιον ἐς τὸν Ζέφυρον αἴρει, σκιὰν ἑαυτῇ εἶναι, καὶ ἱστίον τῷ ἅρματι. ἀφ' οὗ καὶ αὐγή τις ἐπὶ τὸ μέτωπον, καὶ τὴν κεφαλὴν ἥκει, οὔπω ἡδίων τοῦ τῆς παρειᾶς ἄνθους. αἱ κόμαι δ' αὐτῆς, οὐκ ἀνεῖνται τῷ Ζεφύρῳ. διάβροχοι γὰρ δή εἰσι, καὶ κρείττους τοῦ ἀνέμου. καὶ μὴν καὶ ἀγκὼν δεξιὸς ἔγκειται. λευκὸν διακλίνων πῆχυν. καὶ ἀναπαύων τοὺς δακτύλους πρὸς ἁπαλῷ τῷ

ὤμω. καὶ ὠλέναι ὑποκυμαίνουσι, καὶ μαζὸς ὑπανίσταται. καὶ οὐδὲ τὴν ἐπιγουνίδα ἐκλείπει ἡ ὥρα. ὁ ταρσὸς δὲ, καὶ ἡ συναπολήγουσα αὐτῷ χάρις, ἐφ᾽ ἁλὸς, ὦ παῖ, γέγραπται, καὶ ἐπιψαύει τῆς θαλάττης, οἷον κυβερνῶν τὸ ἅρμα. θαῦμα οἱ ὀφθαλμοί· βλέπουσι γὰρ ὑπερόριόν τι, καὶ συναπιὸν τῷ μήκει τοῦ πελάγους.

ΦΟΡΒΑΣ, Η ΦΛΕΓΥΑΙ.

B Ὁ μὲν ποταμὸς, ὦ παῖ, Κηφισσὸς, Βοιώτιός τε, καὶ οὐ τῶν ἀμούσων. σκηνοῦσι δ᾽ ἐπ᾽ αὐτῷ, Φλεγύαι βάρβαροι, πόλεις οὔπω ὄντες. οἱ δὲ, πυκτεύοντες, τόν τε οἶμαι Ἀπόλλωνα ὁρᾷς, ὁ δ᾽ αὖ Φόρβας ἐστὶν, ὃν ἐστήσαντο οἱ Φλεγύαι βασιλέα, ἐπειδὴ μέγας παρὰ πάντας ἐστὶ, καὶ ὠμότατος τοῦ ἔθνους. πυκτεύει δὲ Ἀπόλλων πρὸς αὐτὸν, ὑπὲρ τῶν παρόδων. C τὴν γὰρ εὐθὺ Φωκέων τε, καὶ Δελφῶν ὁδὸν καταλαβὼν, οὔτε θύει Πυθοῖ οὐδεὶς ἔτι, οὔτε παιᾶνας ἀπάγει τῷ θεῷ. χρησμοί τε, καὶ λόγια, καὶ ὀμφαὶ τρίποδος, ἐκλέλειπται* πάντα. λῃστεύει δὲ τῶν ἄλλων Φλεγυῶν, ἀποτάξας ἑαυτόν. τὴν γὰρ δρῦν, ὦ παῖ, ταύτην, οἶκον πεποίηται· καὶ παρ᾽ αὐτὸν φοιτῶσιν οἱ Φλεγύαι, δικασόμενοι δή που ἐν τοῖς βασιλείοις τούτοις. D τοὺς δὲ βαδίζοντας ἐς τὸ ἱερὸν λαμβάνων, γέροντας μὲν, καὶ παῖδας, ἐς τὸ κοινὸν τῶν Φλεγυῶν πέμπει, λῄζεσθαί τε, καὶ ἀποινᾶν. τοῖς δὲ ἐρρωμενεστέροις, ἀναποδύεται. καὶ τοὺς μὲν, καταπαλαίει· τοὺς δὲ, ὑπερτρέχει· τοὺς δὲ, παγκρατίῳ αἱρεῖ, καὶ ὑπερβολαῖς δίσκων. κεφαλάς τε ἀποκόπτων, ἀνάπτει τῆς δρυός· καὶ ὑπὸ τούτῳ ζῇ τῷ λύθρῳ.

* [illegible]

A & vlnæ vndis alluuntur, & mamma extat. & ne fœmen quidem ſua caret pulchritudine. Planta autem pedis, & quæ cum ipſa deſinit venus in mari picta eſt: itaque attingit æquor, vt ſi currum regeret. Admiratione digni oculi, vt pote qui intuendo vltra proſpectum tendant, & cum pelagi longitudine abeant.

PHORBAS VEL PHLEGYÆ.

Amnis quidem, ô puer, Cephiſſus, Bœotius, & à Muſis minimè alienus. Phlegyæ autem Barbari iuxta ipſum domunculas ad tempus ſtructas habitant, cùm ciuitates nondum exiſterent: è pugnantibus autem hunc quidem Apollinem (vt puto) vides: hic contra Phorbas eſt, quem Phlegyæ regem crearunt. Quandoquidẽ is magnus *præter omnes*, ac gentis ſæuiſſimus. Sed cum ipſo Apollo tranſitus cauſa pugnat: ipſo enim viam, quæ ad Phocenſes, ac Delphos ducit obſidente: nec Pythone quiſpiam amplius ſacra facit: nec pæanas Apollini canit: omniáque vaticinia, oracula, tripodíſque ſortes derelictæ ſunt. A ceteris autem Phlegyis ſeiunctus latrocinia exercet. Hanc enim, ô puer, quercum ſibi domum fecit: & ad eum in hiſce regiis iudicandi Phlegyæ proficiſcuntur. Adeuntes autem in ſacellum excipiens, ſenes quidem ac pueros ad Phlegyarum rempublicam diripiendos ac redimendos mittit, cum validiorib. verò pugnat. & hos quidem lucta, hos verò curſu, illos pancratio aut diſci iactu ſuperat, abſciſſáque capita è quercu ſuſpendit: & ſub hoc vitam degit cruore.

hæc verò labefacta ramis ſuſpenſa ſunt: & hæc quidem arida cernis, hæc vero recentia; at hæc ad caluas deuenêre: hiant enim atque vlulare videntur vento in ea inſpirante. Apollo autem adoleſcentulo pugili adſimulatus, ad ipſum huiuſmodi victoriis elatum accedit. & Deus quidem, ô puer, comatus pictus eſt, crinéſque contractus, vt expeditiore pugnet capite. Radij autem à fronte vibrantur, & riſum iræ admiſtum emittit gena: oculorúmque euidentes iactus vnà cum manibus agitantur. hæ autem lora obligarunt: ſuauiores circa ipſas eſſent coronæ: ſed iam ipſum pugilatu ſuperauit: dexteræ enim iniectio efficacem adhuc oſtendit manum, nec habitum, quo vicerat, ſoluentem. Iam autem Phlegyas iacet, & quantum terræ occupet, poëta dicet: ad tempus autem ſibi proceſſit vulnus, ſanguíſque haud ſecus atque è fonte manat. Crudelis autem ac ſpecie truculentus pictus eſt, vt qui hoſpites epularetur potius, quàm interficeret. Qui autem celitus deſcendit ignis, fulmen in quercum defertur: arborem itaque combuſturum, vt eius tamen memoriam non penitus deleat. Locus enim in quo hæc: adhuc, ô puer, quercus capita nuncupatur.

A αἱ δ' ἀπήρτηνται τῶν ὀρθῶν, μυδῶσαι. καὶ τὰς μὲν αὔοις ὁρᾷς, τὰς δὲ, προσφάτους· αἱ δὲ, εἰς κρανία περιήκουσι. σεσήρασι δὲ, καὶ ὀλολύζειν ἐοίκασιν, εἰσπνέοντος αὐταῖς τοῦ ἀνέμου. φρονοῦντι δὲ αὐτῷ ταῖς Ὀλυμπιάσι ταύταις, ἥκει ὁ Ἀπόλλων, εἰκάσας ἑαυτὸν μειρακίῳ πύκτῃ. καὶ τὸ μὲν τοῦ θεοῦ εἶδος, ἀκειρεκόμης, ὦ παῖ, γέγραπται. καὶ τὰς χαίτας ἀνείληφως, ἵνα εὐζώνῳ τῇ κεφαλῇ πυκτεύῃ. ἀκτῖνες δὲ ἀπανίστανται περὶ τοῦ μετώπου. B καὶ μειδίαμα θυμῷ ξυγκεκραμένον, ἡ παρειὰ πέμπει· βολαί τε, ὀφθαλμῶν εὔσκοποι, καὶ ξυνεξαίρουσαι ταῖς χερσίν. αἱ δὲ, ἐνῆψαν αὐτοῦ τοὺς ἱμάντας. ἡδίους ἢ στέφανοι περὶ αὐταῖς ἦσαν· πεπύκτευται δὲ αὐτὸν ἤδη. τὸ γὰρ ἐμβεβληκὸς τῆς δεξιᾶς, ἐνεργὸν ἔτι δηλοῖ τὴν χεῖρα, καὶ οὔπω καταλύσαντος τὸ σχῆμα, ᾧ ἥρηκεν. C ὁ Φλεγύας δὲ, κεῖται ἤδη. καὶ ὁπόσον μὲν ἐπέχει τῆς γῆς, ποιητὴς ἐρεῖ· κεχώρηκε δὲ εἰς κρόταφον αὐτῷ τὸ τραῦμα· καὶ τὸ αἷμα ὥσπερ ἐκ πηγῆς ἐκδίδοται. γέγραπται δὲ ὠμὸς, καὶ συώδης τὸ εἶδος, οἷος σιτεῖσθαι μᾶλλον τοὺς ξένους, ἢ κτείνειν. τὸ δὲ ἐξ οὐρανοῦ πῦρ, σκηπτὸς ἐπὶ τὴν δρῦν φέρεται, συμφλέξων τὸ δένδρον, οὐ μὴν ἐξαιρήσων γε τῆς ἐπ' αὐτῷ μνήμης. τὸ γὰρ χωρίον, ἐν ᾧ ταῦτα, δρυὸς, ὦ παῖ, κεφαλαὶ ἔτι.

ATLAS. — D ΑΤΛΑΣ.

Cum Atlante quoque, Euryſtheo minimè iubente, certauit Hercules, vt cœlum ipſo facilius laturus. Eum namque incuruatum, atque oppreſſum, genuúmque alteri innixum, ac vix conſiſtentem cernebat. Se vero & poſſe cœlum

Καὶ Ἄτλαντι ὁ Ἡρακλῆς, οὐδὲ προστάξαντος Εὐρυσθέως, ἤρισεν, ὡς τὸν οὐρανὸν οἴσων μᾶλλον, ἢ ὁ Ἄτλας. τὸν μὲν γὰρ συγκεκυφότα ἑώρα, καὶ πεπιεσμένον, καὶ κείμενον ἐς γόνυ θάτερον, καὶ μικρὰ καταλειπόμενα αὐτῷ τοῦ ἑστάναι. αὐτὸς δὲ ἂν καὶ μετεωρίσαι τὸν οὐρανὸν,

καὶ στῆσαι, ἀναθέμενος εἰς μακρὸν τοῦ χρόνου. τὸ μὲν δὴ φιλότιμον τοῦτο, οὐδαμοῦ ἐκφαίνει. φησὶ δέ, συναλγεῖν τῷ Ἄτλαντι, ἐφ' οἷς μοχθεῖ, καὶ μετασχεῖν ἂν τοῦ ἄχθους αὐτῷ. ὁ δ' οὕτω τι ἄσμενος εἴληπται τοῦ Ἡρακλέους, ὡς ἱκετεύειν αὐτὸν τλῆναι ταῦτα. γέγραπται δὲ ὁ μέν, ἀπειρηκώς, ὡς τῷ ἱδρῶτι συμβαλέσθαι, ὁπόσος ἂν ἀπ' αὐτοῦ στάζοι, βραχίονός τε ξυνεῖναι τρέμοντος. ὁ δέ, ἐρᾷ τοῦ ἄθλου. δηλοῖ δὲ τοῦτο ἥ τε ὁρμὴ τοῦ προσώπου, καὶ τὸ ῥόπαλον καταβεβλημένον, καὶ αἱ χεῖρες, ἀπαιτοῦσαι τὸν ἆθλον. σκιὰς δέ, τὰς μὲν τοῦ Ἡρακλέους, οὔπω θαυμάζειν ἄξιον, εἰ ἔρρωνται τὸν ἆθλον. τὰ γὰρ τῶν κειμένων σχήματα, καὶ οἱ ὀρθοί, μάλα εὔσκιοι. καὶ τὸ ἀκριβοῦν ταῦτα, οὔπω σοφόν. αἱ δὲ τοῦ Ἄτλαντος σκιαί, σοφίας πρόσω. οὑτωσὶ γὰρ συνιζηκότος, συμπίπτουσί τε ἀλλήλαις, καὶ οὐδὲν τῶν ἐκκειμένων ἐπιθολοῦσιν, ἀλλὰ φῶς ἐργάζονται, περὶ τὰ κοῖλά τε, καὶ εἰσέχοντα τὴν γαστέρα, καὶ προσνενευκότος τοῦ Ἄτλαντος, ὁρᾶν τε ὑπάρχει, καὶ ἀσθμαίνοντος, ξυνιέναι. τὰ τε ἐν τῷ οὐρανῷ, ὃν φέρει, γέγραπται μὲν ἐν αἰθέρι, ὁποῖος περὶ αὐτὰς ἕστηκεν. ἔστι δὲ ξυνεῖναι ταύρου τι, ὃς δὴ ἐν οὐρανῷ ταῦρος, ἄρκτων τι, ὁποῖαι ἐκεῖ ὁρῶνται, καὶ πνευμάτων. γέγραπται γάρ, τὰ μέν, ξὺν ἀλλήλοις. τὰ δέ, ἐξ ἀλλήλων. καὶ τοῖς μέν, φιλία πρὸς ἄλληλα. τὰ δέ, σώζειν ἔοικε τὸ ἐν τῷ οὐρανῷ νεῖκος. νῦν μὲν οὖν, ἀναθήσεις ταῦτα Ἡράκλεις. μετ' οὐ πολὺ δέ, ξυμβιώσεις αὐτοῖς ἐν τῷ οὐρανῷ πίνων, καὶ περιβάλλων τὸ τῆς Ἥβης εἶδος.

A tollere, impoſitúmque ſibi diu ſuſtinere animaduertebat. Hanc tamen ambitionem nuſquam indicat: ſed Atlantis ſe laborem dolere, partémque oneris poſſe ſubire oſtendit. Ipſe verò adeò libenter Herculis pollicitationem admiſit, vt hæc eum ſuſtinere deprecetur. Pictus autem eſt hic quidem defatigatus, ac deficiens, vt & ex manante ſudore colligere, & ex trementi brachio percipere licet. Hic verò certamen
B diligit. Hoc autem & oris appetitus, & depoſita claua, & certamen exigentes manus indicant. Ceterùm Herculis quidem vmbræ nulla admiratione dignæ, ſi ad certamen inualeſcunt. Iacentium enim atque erectorũ habitus facile inumbrantur: & hæc adamuſſim effingere, nullam præſefert ſapientiam. Atlantis verò vmbræ ſupra ſapientiam. Sic enim conſidentis, & inuicem
C concidunt, & extantium nihil confundunt, ſed lumen præter concaua ventrémq; excipientia efficiunt, & pronuentem Atlantẽ videre contingit, atque anhelantem ſentire. Quæ vero ad cœlum, quod ipſe fert pertinent, pictum quidem eſt quale circa ipſas ſteterit vmbras. Taurum autem qui in cœlo eſt, vrſaſque quales cernuntur cognoſcere licet, necnon & ventos: picti ſunt enim hi quidem inter ſe propinqui, hi vero ſeiuncti, & his
D quidem mutua amicitia: hi vero quam in cœlo habent, contentionem ſeruare videntur. Itaq;, ô Hercules, nunc quidem hæc humeris impones. Haud multo vero poſt in cœlo bibens, Hebéſque formam amplectens cum ipſis deges. Deorũ enim natu minimam ac maximam duces: nam per illam & ipſi iuuenes.

ἄξῃ γὰρ τὴν νεωτάτην, καὶ πρεσβυτάτην τῶν θεῶν. δι' αὐτὴν γὰρ κἀκεῖνοι νέοι.

A

ANTÆVS.

Puluis qualis in luctis illis, ad olei fontem, & duorum athletarum alter quidem colligans aurem : alter verò leonis pelle humerum ſoluens; colléſque idonei & columnæ, & cauæ litteræ: Libya hæc, & Antæus, quem terra edidit, vt hoſpites violenta (puto) læderet palæſtra. certanti hæc, & quos circa palæſtram (vt vides) occidit, ſepelienti. Herculem, qui aurea hæc mala iam cœpit : quíque aduerſus Heſperides decantatus eſt, pictura adducit, non quòd illas vicerit, ſed draconem, admirationi eſt Hercules. & ne flexo quidem (vt aiunt) genu, in ipſa itineris anhelatione ſeſe exuit, atque ad luctam parat oculos in cogitationem quandam, ac veluti luctæ meditationem tendens, iræque habenas adhibuit: ne ipſum à cogitatione abſtrahat. Sed Antæus contemnens elatus eſt, vt pote qui aduerſus Herculem, miſerorum filij, & huiuſmodi aliquid ſuipſum contumelia corroborans dicere videatur: quòd ſi lucta Herculi curæ fuiſſet, haud ſecus ac pictus eſt, natus eſſet. Nam fortis, & vt arte refertus pictus eſt, ob pulchram corporis concinnitatem. Eſt & ingens, & ſpecie ſupra hominem. Ineſt ipſi & ſanguinis flos, & venæ tumidæ, vt pote quas quædam ſubierit ira. Antæum autem, ô puer, (vt puto) formidas, feram enim refert, latitudinémque proceritati fere parem præſefert. & ceruix humeris adnexa, quorum magna pars ad ceruicem tendit. Circumactum ac veluti torno confectum æquè atque humeri : eſt & brachium, pe-

ΑΝΤΑΙΟΣ.

Κόνις οἵα ἐν πάλαις ἐκείναις, ἐπὶ πηγῇ ἐλαίου, καὶ δυοῖν ἀθληταῖν, ὁ μὲν, ξυνδέων τὸ οὖς, ὁ δὲ, ἀπολύων λεοντῆς τὸν ὦμον, κολωνοί τε ἐπιτήδειοι, καὶ στῆλαι, καὶ κοῖλα γράμματα· Λιβύη ταῦτα, καὶ Ἀνταῖος, ὃν γῆ ἀνῆκε σίνεσθαι τοὺς ξένους, λῃστρικῇ οἶμαι πάλῃ. ἀθλοῦντι δ' αὐτῷ ταῦτα, καὶ θάπτοντι, οὓς ἀπώλλυε περὶ

B αὐτὴν ὡς ὁρᾷς τὴν παλαίστραν, ἄγει τὸν Ἡρακλέα ἡ γραφὴ, χρυσᾶ ταυτὶ τὰ μῆλα ἤδη ᾑρηκότα, καὶ κατὰ τῶν Ἑσπερίδων ᾀδόμενος. οὐκ ἐκείνας ἑλεῖν, θαῦμα τοῦ Ἡρακλέους, ἀλλ' ὁ δράκων. καὶ οὐδὲ γόνυ φασὶ κάμψας, ἀποδύεται πρὸς τὸν Ἀνταῖον ἐν τῷ τῆς ὁδοιπορίας ἄσθματι, τείνων τοὺς ὀφθαλμοὺς εἰς νοῦν τινα, καὶ οἷον διάσκεψιν τῆς πάλης.

C ἐμβέβληκε τὴν ἡνίαν τῷ θυμῷ, μὴ ἐκφέρειν αὐτὸν τοῦ λογισμοῦ. ὑπερφρονῶν δὲ ὁ Ἀνταῖος, ἐπῆρται. δυστήνων δέ τε παῖδες, τοιοῦτόν τι πρὸς τὸν Ἡρακλέα ἔοικε λέγειν, καὶ ῥωννὺς αὑτὸν τῇ ὕβρει. εἰ δὲ καὶ πάλης τῷ Ἡρακλεῖ ἔμελεν, οὐκ ἂν ἄλλως ἐπεφύκει, ἢ ὡς γέγραπται. γέγραπται δὲ ἰσχυρὸς, οἷος, καὶ τῆς τέχνης ἔμπλεως, δι' εὐαρμοστίαν τοῦ σώματος. εἴη δ' ἂν καὶ πελώριος, καὶ τὸ εἶδος ἐν ὑπερ-

D βολῇ ἀνθρώπου. ἔστιν αὐτῷ καὶ ἄνθος αἵματος. καὶ αἱ φλέβες, οἷον ἐν ὠδῖνι, θυμοῦ τινος ὑποδεδυκότος αὐτὰς ἔτι. τὸν δὲ Ἀνταῖον, ὦ παῖ, δέδιας οἶμαι, θηρίῳ γάρ τινι ἔοικεν. ὀλίγον ἀποδέων, ἴσος εἶναι τῷ μήκει, καὶ τὸ εὖρος. καὶ ὁ αὐχὴν ἐπέζευκται τοῖς ὤμοις, ὧν τὸ πολὺ ἐπὶ τὸν αὐχένα ἥκει. περιῆκται δὲ ὁ βραχίων, ὅσα καὶ ὦμοι· στέρνα δὲ

erat, occaſio excitabat: cùm magis ac magis cerneret inamœnùm: verùm oculorũ radios ad eorum quæ patrabantur notionem intenderet. Hi porrò adoleſcentes ſunt Meleager & Peleus: nam hoſce fuiſſe qui aprum interfecerant, pictura dicit: hic quidem ſiniſtro pede innixus in proceſſu, Meleager, & greſſu obfirmato ſecurè impetũ apri excipit, lancea ſuſtentatus. agedum etiam quæ ad ipſum ſpectant cõmemoremus: calloſus ac rigidus eſt iuuenis, & corpore toto vegetus: ſuræ ipſi bene compactæ ac rectæ, atque in curriculis ad ferendũ idoneæ, & in certamine inito cõminus ſuſtinendo, bonæ cuſtodes; & femur iunctum toris genu, inferiori tibiæ reſpondet: & talis coxẽdix, vt fiduciã præbeat, adoleſcentem apri impetu non ſubuerſum iri: tũ latus profundum, & venter minimè ſuperuacuus: & pectora moderatè propẽſa; & brachium articulis nexũ, & humeri ad ceruicẽ validam cohærentes, & baſim ipſi exhibentes: coma verò Soli cõcolor; & nũc vi impetus erecta, & horridũ intuens cæſius oculus, itémque ſupercilĩũ non remiſſum; ſed in animi æſtu totum, vt vultus conſtitutio: quæ nõ cõcedit de forma quidquam dicere, quia intento actu fuit. deinde indumentum album ſuper genu, & ſolea ſuper malleolo fulcrũ tutũ eſt inceſſui. deniq; chlamyde croco tincta ceruici inuoluta indutus, belluã expectat. hæc certè tibi ſunt Oenei filij: Peleus autem hic amictu Phœnicei pallij munitus eſt; gladius vero ipſi à Vulcano fabricatus, in manibus eſt excepturi impetum apri. Oculo ſanè inconcuſſus eſt & acutùm cernit; &

A ὄν, ἀνίστησιν ὁ καιρός, ἐπὶ μᾶλλον οὐκ ἐφήμερον βλεπούσης, ἀλλὰ τὰς τῶν ὀφθαλμῶν βολὰς, ἐς τὴν τῶν δρωμένων ἔννοιαν τεινούσης. οἱ νεανίαι δὲ οὗτοι, Μελέαγρος, καὶ Πηλεύς. τούτους γὰρ δὴ τὸν καθελόντας τὸν σῦν, φησὶν ἡ γραφή· ὁ μὲν ἐπερείσας ἐν προβολῇ τῷ λαιῷ ποδὶ ἑαυτὸν ὁ Μελέαγρος, καὶ τὴν βάσιν* τηρήσας, ἀσφαλῶς ἐνδέχεται τὴν ὁρμὴν τοῦ (ἴσ. πείξας)
B συὸς, λόγχην ὑποστήσας. φέρε δὴ καὶ τὰ περὶ αὐτοῦ εἴπωμεν. στυφρὸς* μὲν ὁ νεανίας, (χ. στιφρός) καὶ πάντῃ σφριγῶν. κνῆμαι δ' αὐτῷ (χ. φεγῶν) εὐπαγεῖς, καὶ ὀρθαί· φέρειν τε ἐν τε τοῖς δρόμοις ἱκαναί, καὶ ὑφίστασθαι τὸν ἐκ χειρὸς ἀγῶνα, φύλακες ἀγαθαί. μηρὸς τὴν ξυνωδὸν ἐπιγουνίδι ὁμολογῶν τοῖς κάτω. καὶ ἰσχίον, οἷον διδόναι θαρσεῖν, ὡς οὐκ ἀνατραπησομένου ὑπὸ τῆς τοῦ συὸς ἐμβολῆς τοῦ νεανίου· πλευρὰ δὲ βαθεῖα,
C καὶ γαστὴρ ἀπέριττος, καὶ στέρνα τὸ μέτριον προσεκκείμενα, καὶ βραχίων διηρθρωμένος, καὶ ὦμοι πρὸς αὐχένα ἐρρωμένον ξυνάπτοντες, καὶ βάσιν αὐτῷ διδόντες· κόμη τε ἡλιῶσα, καὶ ἀνεστηκυῖα νῦν ὑπὸ τοῦ τῆς ὁρμῆς ἐνεργοῦ· καὶ χαροπὸν ἱκανῶς δεδορκὸς τὸ ὄμμα. ἥ τε ὀφρὺς οὐκ ἀνειμένη, ἀλλ' ἐν τῷ θυμῷ πᾶσα· καὶ ἡ τοῦ προσώ-
D που κατάστασις, οὐδὲ ξυγχωροῦσα περὶ κάλλους τι λέγειν, διὰ τὸ* ἐπιτετάχθαι. (ἴσ. ἐπιτετάσθαι) ἐσθὴς δὲ λευκὴ, ὑπὲρ γόνυ· καὶ κρηπὶς, ὑπὲρ σφυρὸν, ἔρεισμα ἀσφαλὲς τῇ βάσει. χλαμύδα τε κροκοβαφῆ, ὑπὲρ αὐχένος κολπώσας, τὸ θηρίον ὑφίσταται. ταυτὶ μέν σοι τὰ τοῦ Οἰνέως. Πηλεὺς δὲ οὑτοσὶ, προβέβληται φοινικοῦ φᾶρος. μάχαιρα δὲ αὐτῷ, ἡ παρ' Ἡφαίστου ἐν χερσὶν, ἐκδεξομένου τὴν τοῦ συὸς ὁρμήν. τὸ δὲ ὄμμα, ἄτρεπτος, καὶ ὀξὺ ὁρῶν, καὶ

οἷος μηδὲ ὑπερόριον ἆθλον τὸν ἐς Κόλχοις σὺν Ἰάσονι δεῖσαι.

A qualis nec certamen tranſlimitaneum ad Colchos cum Iaſone metueret.

ΝΕΣΟΣ.

Μὴ δέδιθι, ὦ παῖ, τὸν Εὔηνον ποταμὸν, πολλῷ κυμαίνοντα, καὶ ὑπὲρ τὰς ὄχθας αἰρόμενον. γέγραπται γάρ· ἀλλὰ μᾶλλον τὰ ἐν αὐτῷ διασκεψώμεθα, ὅπη τε, καὶ ὅπως ἔχει τὰ τῆς τέχνης. ἢ γὰρ οὐκ ἐπιστρέφει σε πρὸς ἑαυτὸν ὁ θεῖος
κ. ἀλ. Ἡρακλῆς, οὕτως *ἐμβεβηκὼς μέσῳ τῷ ποταμῷ. καὶ γὰρ ἐκλάμπων ἀπὸ τῶν ὀφθαλμῶν τὸν σκοπὸν μετρούντων, τόξον τε ἔχων ἐν τῇ λαιᾷ προβεβλημένῃ, ἔτι καὶ τὴν δεξιὰν ἐν τῷ τῆς ἀφέσεως ἔχων σχήματι. ἐς μαζὸν γὰρ αὕτη. τί δαὶ εἴποις περὶ τῆς νευρᾶς; ἆρ᾽ οὐκ αἰσθάνεσθαι δοκεῖς ἐπηχούσης τῇ τοῦ οἰστοῦ ἀφέσει; ποῦ δ᾽ οὗτος; ὁρᾷς τὸν ὕστατον ἀνασκιρτῶντα κένταυρον; Νέσος δὲ οἶμαι οὗτος, διαφυγὼν ἐκ τῆς Φιλόης τὴν Ἡρακλέους μόνος χεῖρα, ὅτ᾽ ἐπι-
ἴσ. ἐπιχειροῦντες χρουῦντες* ἀδίκως αὐτῷ, διέφυγεν οὐδεὶς, πλὴν οὗτος. οἴχεται δὲ καὶ οὗτος, ἄδικος ἐς αὐτὸν φανείς. πορθμεύοντος γὰρ τοὺς δεομένους τούτου, ἐπιστὰς ὁ Ἡρακλῆς ξὺν τῇ γυναικὶ Δηϊανείρᾳ, καὶ τῷ παιδὶ Ὕλλῳ, ἐπεὶ ἄπορος ὁ ποταμὸς ἐφαίνετο, τὴν γυναῖκα πορθμεῦσαι προστάττει, αὐτὸς δὲ ἐπιβὰς τοῦ δίφρου ξὺν τῷ παιδὶ, ἐχώρει διὰ τοῦ ποταμοῦ. κἀνταῦθα ὁ μὲν κακῶς ἰδὼν τὴν γυναῖκα, ἀτόποις ἐπετόλμα, τῆς ὄχθης ἐπιβάς. ὁ δὲ, βοῆς ἀκούσας ὁ Ἡρακλῆς, τοξεύει κατὰ τοῦ Νέσου. γέγραπται δὲ, ἡ μὲν Δηϊάνειρα, ἐν τῷ τοῦ κινδύνου σχήματι, καὶ περιδεὴς ἐς τὸν Ἡρακλέα τὰς χεῖρας τείνουσα. ὁ δὲ Νέσος, ἄρτι τὸν οἰστὸν

NESSVS.

NE timeas, puer, Euenum fluuium multo fluctu æſtuantem, & ripas tranſilientem. pictus enim eſt: quin potius ea quæ in ipſo ſunt expendamus, quatenus, & quomodo ſe habeant artis opera. annon enim diuinus Hercules te ad ſe conuertit? qui ita in medio fluuio ve-
B ſtigia fixit: etenim elucens oculis propoſitum metientibus, & arcum tenens læua protéſa, dextram etiam adhuc in conformationem iaculationis tenet: quippe ad mammam applicata eſt. quid porrò diceres de neruo? nunquid non audire videris reſonantem ſagittæ iaculatione. vbinam verò hic? viden' Céntaurum poſtremò ſaltitantem? Neſſus autem, opinor, hic eſt, qui euitarat ſolus Herculeam manum è monte Phi-
C loes, quādo ex his qui iniuſtè ipſi manum inferebant nemo euaſerat præter hunc. Perit hic demum, qui iniurius in ipſum viſus eſt: etenim cùm is rogantes traiiceret, & aduenifſet Hercules cum vxore Deianira & filio Hylla; quando imperuius fluuius videbatur, mulieré traiicere Neſſo præcepit: ipſe autem conſcenſo curriculo vnà cum filio, tranſiuit per fluuium; interea loci Centaurus malè intuitus mulierem;
D attentarat inhoneſta cùm ripæ inſtitiſſet. Hercules audito clamore, iaculatur in Neſſum. picta autē eſt Deianira quidem in periculi acie; & perterrita, manus ad Herculem intendés: Neſſus recens ſagitta per-

culſus, ac palpitans, nondum videbatur ſuum currum depoſitum ad Herculis vſum, Deianiræ dediſſe. puellus verò Hyllus inſiſtit quidem adhuc currui, equis ad ſummam rotarum oram vinctis, vt quieſcerent: manibus verò præ gaudio plaudit, riſui tribuens, quæ nondum firmata erant.

PHILOCTETES.

Philoctetes hic Pœantis filius, qui ad militandum etiam è Melibœa ad Troiam deducit vltores Menelao contra Phrygem. Generoſus vtique heros, atque educationem ſub Hercule præ ſe ferens. miniſter certè Herculi Philoctetes extitiſſe ab infantia dicitur; quando geſtator etiã arcuum: quos ſane poſtea mercede ab ipſo accepiſſe pro miniſterio in pyra, aiunt. Nunc verò hic confecta vi morbi facie nubilum ſupercilium ad oculos trahens demiſſos, & in profundo fixos, ac parumper cernentes: & cæſariem ſqualloris plenam indicans: & barba hirta arrectáq; exhorreſcens; atque lacernis indutus: & talo inuoluto, talem, ô puer, ſermonẽ edit: Achiui Troiam adnauigãtes, cùm inſulis adhæſiſſent, Chryſæ aram indagabant ab Iaſone olim extructam, cùm Colchos peteret. Philoctetes memoria repetita tẽporis, quo cum Hercule vixerat; aram quærentibus oſtendit: & cùm hydrus ſerpens infeciſſet ei viru alterum pedem, Achiui reliqui Troiam petunt: ipſe heros ictus in hac Lemno iacet relictus;

Tabo fluente morbido, ambeſo pede; vt ait Sophocles.

A δεξάμενος, καὶ περὶ ἑαυτῷ σφαδάζων, οὔπω δοκεῖν τὸν ἑαυτοῦ δίφρον ἀποθέσθαι ἐς Ἡρακλέα τῇ Δηϊανείρᾳ δεδωκώς. τὸ δὲ παιδίον ὁ Ὕλλος, ἐφέστηκε μὲν τῷ . . . δίφρῳ, κατὰ τῆς ἄντυγος δεθέντων, ὥς τε ἀτρεμεῖν, τῶν ἵππων· κροτεῖ δὲ ὑφ' ἡδονῆς τὰς χεῖρας, γέλωτι δούς, ἃ μήπω ἔρρωται.*

ΦΙΛΟΚΤΗΤΗΣ.

B Ὁ μὲν ἐπὶ τῷ στρατηγεῖν ἔτι, καὶ τοὺς ἐκ Μελιβοίας ἐπὶ Τροίαν ἀνάγων τιμωροὺς Μενελάῳ κατὰ τοῦ Φρυγός, Φιλοκτήτης ὁ τοῦ Ποίαντος. γενναῖός που, κἀναφέρων ἐς τὴν ὑφ' Ἡρακλεῖ τροφήν. θεράπων δὴ γενέσθαι τῷ Ἡρακλεῖ ὁ Φιλοκτήτης ἐκ νηπίου, ὅτε καὶ φορεὺς εἶναί οἱ τῶν τόξων, ἃ δὴ καὶ ὕστερον μισθὸν λαβεῖν παρ' αὐτοῦ τῆς εἰς τὴν πυρὰν ὑπουργίας. ὁ δέ, νῦν ἐνταῦθα ξυμπεπτωκότι C διὰ τὴν νόσον τῷ προσώπῳ, ξυνεφῆ ὀφρὺν ἐπὶ τὼ ὀφθαλμὼ ἐφέλκων κάτω που, καὶ ἐν βάθει ὄντας, καὶ ἀμβλὺ ὁρῶντας, κόμην τε, καὶ αὐχμοῦ πλήρη δείκνυς, καὶ τὴν γενειάδα ὑπανεστηκώς, καὶ φρίττων, καὶ ῥάκια αὐτός τε ἀμπεχόμενος, καὶ τὸ ταρσὸν καλύπτων, τοιόνδε, ὦ παῖ, δίδωσι λόγον. ἀναπλέοντες ἐς Τροίαν οἱ Ἀχαιοί, καὶ προσσχόντες D ταῖς νήσοις, ἐμάστευον τὸν τῆς Χρύσης βωμόν, ὃν Ἰάσων ποτὲ ἱδρύσατο, ὅτε ἐς Κόλχους ἔπλει. Φιλοκτήτης τε ἐκ τοῦ ξὺν Ἡρακλεῖ μνήμης τὸν βωμὸν τοῖς ζητοῦσι δείκνυσι, ἐγχρίψαντος αὐτῷ τοῦ Ὕδρου τὸν ἰὸν ἐς θάτερον τοῖν ποδοῖν.* οἱ μὲν ἐπὶ Τροίαν οἱ Ἀχαιοὶ στέλλονται. ὁ δὲ, ἐν Λήμνῳ ταύτῃ κεῖται, διαβόρῳ, φησὶ Σοφοκλῆς, καταστάζων ἰῷ τὸν πόδα.

*χ. φ. ὁ δ' ἐν Λήμνῳ ταύτῃ ἐκπέπτωκε διαβόρῳ (φησὶ Σοφοκλῆς) καταστάζων ἰῷ τὸν πόδα. οἱ μὲν ἐπὶ Τροίαν οἱ Ἀχαιοὶ στέλλονται. Sophocl. initio Philocteta.

ΕΚΦΡΑΣΕΙΣ ΚΑΛΛΙΣΤΡΑΤΟΥ.

CALLISTRATI EXPOSITIONES STATVARVM.

EX FEDERICI MORELLI PROFESSORIS REGII INTERPRETATIONE.

A

Εἰς Σάτυρον, ὃς ἦν ἐν χωρείῳ ἔνθα ᾔσκητο.

ΑΝΤΡΟΝ ἦν περὶ Θήβας τὰς Αἰγυπτίας, προσῃκασμένον σύριγγι, εἰς ἕλικας αὐτοφυῶς ἐν κύκλῳ περὶ τοὺς τῆς γῆς ἑλιττόμενον πυθμένας. οὐ γὰρ ἐπ' εὐθείας ἀνοιγόμενον, εἰς εὐθυπόρους αὐλῶνας ἐσχίζετο, ἀλλὰ τὴν ὑπώρειον περιτρέχον καμπὴν, ὑπογείους ἕλικας ἐξέτεινεν, εἰς δυσεύρετον πλάνην ἐκτέμνον. B ἵδρυτο δὲ ἐν αὐτῷ, σατύρου τι σχῆμα, τεχνηθὲν ἐκ λίθου. εἱστήκει μὲν ἐπί τινος κρηπῖδος εἰς χωρεῖον, ἀναρριπίζων τὸ σχῆμα, καὶ τῆς δεξιᾶς βάσεως τὸν ταρσὸν ὄπισθεν ἐξαίρων. μετεχείριζετο καὶ αὐλὸν, καὶ πρὸς τὴν ἠχὴν πρῶτος ἐξανίστατο· τῇ μὲν γὰρ ἀκοῇ μέλος οὐ προσέπιπτεν αὐλοῦντος, οὐδὲ ἦν ὁ C αὐλὸς ἔμφωνος. τὸ δὲ τῶν αὐλούντων πάθος, διὰ τῆς τέχνης εἰς τὴν πέτραν εἰσῆκτο. οἶδες ἂν ὑπανισταμένας καὶ φλέβας, ὡς ἂν ἔκ τινος γεμιζομένας πνεύματος, καὶ εἰς τὴν ἐπήχησιν τοῦ αὐλοῦ τὴν πνοὴν ἐκ στέρνων τὸν σάτυρον ἀνασπῶντα, καὶ ἐνεργεῖν ἐθέλον τὸ εἴδωλον, καὶ εἰς ἀγωνίαν τὸν λίθον πίπτοντα. εἶναι γὰρ ἐπείθε, καὶ πνοῆς ἐξουσίαν ἐν ἑαυτῷ ἐμφυ-

In Satyrum, eo loci ſtantem vbi ſe exercebat.

ANTRVM quoddam fuit circa Thebas Ægyptias inſtar fiſtulæ expreſſum, in inuolucra à natura per orbẽ latè circa terræ caua contortum: non enim recto tramite apertum in directos tubos findebatur, ſed ſubmontanum circumcurrens cliuum, ſubterraneos circos protendebat, in errorem vix indagabilem & inextricabilem excidens. Locatus erat in ipſo Satyri conformatio quædã, è marmore arte elaborata. hic cõſtiterat in crepidine quadã, ad locum ſchema ſuum adaptans, & dextri pedis plantam à tergo extollens: tibiam quoque manibus contrectabat, & ad ſonũ primus exſurgebat: namq; aliorũ auditui non congruebat concentus tibia canentis: neque tibia vocalis fuit: verùm tibiis ludentium affectus artificioſè in ſaxum inductus fuerat. videres etiam ſubintumeſcentes venas, tanquam aliquo ſpiritu afflatas, & ad tibiæ reſonantiam halitum è pectoribus attrahentẽ Satyrum: & ſimulacrum operari appetẽs, & marmor ad concertationem procidens. Etenim ſpiritus poteſtatem inſitam eſſe ſuade-

bat; & anhelitus indicium intus excitatũ ex operoſis meatibus. Cererùm corpus eius haudquaquã mollitiei particeps erat; ſed membrorũ ſoliditas venuſtatẽ ſurripiebat, dum formam exaſperaret ad artuum vel iunɩcturarum virilium aptam proportionem. ſedenim formoſa puella, cute molli & concinna, atque artubus delicatis exhibetur: Satyro verò ſquallens vultus conuenit, tanquam mõticolæ genio & in Dionyſij gratiam ſaltitanti. hedera autem ipſum redimibat; cùm ars fructum nõ ex agris decerpſerit: ſed lapis præ ſoliditate in ramos fuſus percurrebat cæſariẽ connexã, ad ceruicales neruos à fronte delabẽs. Adſtabat porrò Pan exhilaratus tibiæ ſonitu, & amplexatus Echum, quaſi metueret, opinor, ne ſi tibia modulato ſono quodam viciſſet, vel inuitæ nymphæ perſuaderet, vt Satyro certatim reſonaret. hoc intuiti ſimulachrum, & Æthiopum lapidem, Memnonis vocale marmor credebamus exſtitiſſe: quod accedente quidem die lucis præſentia exhilarabatur: abeunte verò mœrore tactum lugubre quiddam ingemiſcebat: & ſolùm è marmoribus voluptatis ac doloris ſenſu moderatum, à propria vilitate abſcedebat; ſtupiditate per vocis libertatem deuicta.

A τον, καὶ ἄσθματος ἔνδειξιν, ἐγειρομένην οἴκοθεν ἐκ τῶν ἀμηχάνων πόρων. οὐκ ἦν δὲ ἁβρότητος μετέχον τὸ σῶμα· ἀλλ' ἡ τῶν μελῶν στερρότης, τὴν ὥραν ἔκλεπτεν, εἰς ἄρθρων συμμετρίαν ἀνδρικῶν τὴν ἰδέαν τραχύνουσα. καλὴ μὲν γὰρ κόρη· χρῶτες μαλθακοὶ, καὶ πρόσφοροι, καὶ μέλη θρυπτόμενα. σατύρου δὲ αὐχμηρὸν τὸ εἶδος, ὡς ἂν ὀρείου δαίμονος, καὶ Διονύσῳ σκιρτῶντος. κισσὸς δὲ αὐτὸν ἐστεφάνου, οὐκ ἐκ λειμώνων δρεψαμένης τὸν

B καρπὸν τῆς τέχνης· ἀλλ' ὁ λίθος ὑπὸ στερρότητος εἰς κλῶνας χυθεὶς, περιέθει τὴν κόμην, εἰς συμβολὴν ἐπὶ τοὺς αὐχενίους τένοντας ἐκ μετώπων προσέρπων. παρειστήκει δὲ καὶ ὁ Πὰν, γαννύμενος τῇ αὐλητικῇ, καὶ ἐναγκαλισάμενος τὴν ἠχὼ, ὥσπερ, οἶμαι, δεδιὼς μή τινα φθόγγον ἔμμουσον ὁ αὐλὸς κινήσας, ἀντηχεῖν ἀναπείσῃ τῷ σατύρῳ τὴν νύμφην. τοῦτο

C θεασάμενοι τὸ εἴδωλον, καὶ τὸν Αἰθιόπων λίθον, ἔμφωνον Μέμνονος ἐπιστεύομεν γενέσθαι· ὃς προσιούσης μὲν τῆς ἡμέρας, ἐπὶ ταῖς παρουσίαις ἐφαιδρύνετο· ἀπιούσης δὲ, ἀνίᾳ βαλλόμενος, πένθιμον ἐπέστενε· καὶ μόνος ἐκ λίθων, ἡδονῆς καὶ λύπης παρουσίᾳ διοικούμενος, τῆς οἰκείας ἀπέστη * κουφότητος, εἰς ἐξουσίαν φωνῆς, τὴν ἀναισθησίαν ἐκνικήσας. * ἴσ. φαυλότητος

D

In Bacchæ ſtatuam: vbi per tranſlationem de artificio Demoſthenis ſermo inſtitutus eſt.

Εἰς τὸ Βάκχης ἄγαλμα. μεταφορικῶς δὲ, εἰς τὴν Δημοσθένους τέχνην διείλεκται.

NON poëtarũ tantùm & ſermonis opificũ artes in linguas ſpirant, cùm diuinus à Diis afflatus incidit; verumetiam artificum manus diuiniorum ſpirituũ ſubſidiis correptæ, numine afflata, & furore ſociata

ΟΥ ποιητῶν δὲ καὶ λογοποιῶν μόνον πνέονται τέχναι ἐπὶ τὰς γλώττας, ἐκ θεῶν θειασμοῦ πεσόντος, ἀλλὰ καὶ τῶν δημιουργῶν αἱ χεῖρες θειοτέρων πνευμάτων ἐράνοις ληφθεῖσαι, κάτοχα, καὶ μεστὰ μανίας

προφητεύουσι τὰ ποιήματα. ὁ γὰρ δὴ Σκόπας ὥσπερ ἔκ τινος ἐπιπνοίας κινηθεὶς, εἰς τὴν τοῦ ἀγάλματος δημιουργίαν τὴν θεοφορίαν ἐφῆκε. τί δὲ ὑμῖν οὐκ ἄνωθεν τὸν ἐνθουσιασμὸν τῆς τέχνης διηγοῦμαι. ἦν Βάκχης ἄγαλμα, ἐκ λίθου Παρίου πεποιημένον, ἀλλαττόμενον πρὸς τὴν ὄντως Βάκχην. ἐν γὰρ τῇ οἰκείᾳ τάξει μένων ὁ λίθος, τὸν ἐν τοῖς λίθοις νόμον ἐκβαίνειν ἐδόκει· τὸ μὲν γὰρ φαινόμενον ὄντως ἦν εἴδωλον· ἡ τέχνη δ' εἰς τὸ ὄντως ὂν ἀπήγαγε τὴν μίμησιν. εἶδες ἂν ὅτι καὶ στερεὸς ὢν, εἰς τὴν τοῦ θήλεος εἰκασίαν ἐμαλάττετο, γοργότητος διορθουμένης τὸ θῆλυ· καὶ εἰς ἐξουσίαν ἀμοιρῶν κινήσεως, ἤδη βακχεύεσθαι. καὶ τῷ θεῷ εἰσιόντι, τὰ ἔνδον ὑπήχει. πρόσωπόν γε μὴν ἰδόντες ὑπὸ ἀφασίας ἔστημεν. οὕτω δὴ καὶ αἰσθήσεως συνείπετο δήλωμα, μὴ παρούσης αἰσθήσεως. καὶ Βάκχης ἐκβακχεύων θειασμὸς ἐμηνύετο, θειασμοῦ μὴ πλήττοντος. καὶ ὅσα φέρει μανίας* οἰστρῶσα ψυχὴ, τοσαῦτα πάθους διέλαμπε τεκμήρια ὑπὸ τῆς τέχνης, ἀρρήτῳ λόγῳ κραθέντα. ἀνεῖτο δὲ ἡ κόμη ζεφύρῳ σοβεῖν, καὶ εἰς τριχὸς ἄνθησιν λίθος ὑπεσχίζετο. ὃ δὴ καὶ μάλιστα τὸν λογισμὸν ὑπεξίστη, ὅτι καὶ τριχὸς λεπτότητι λίθος ὢν, ἐπείθετο, καὶ πλοκάμων ὑπήκουσε τοῖς μιμήμασι, καὶ τῆς ζωτικῆς ἕξεως γεγυμνωμένος, τὸ ζωτικὸν εἶχεν. ἔφης ἂν ὅτι καὶ αὐξήσεως ἀφορμὰς ἡ τέχνη συνεσήγαγεν. οὕτω καὶ τὸ ὁρώμενον, ἄπιστον, καὶ τὸ μὴ πιστὸν, ὁρώμενον. οὐ μὴν ἀλλὰ καὶ χεῖρας ἐνεργοὺς ἐπεδείκνυτο. οὐ γὰρ Βακχικὸν ἐτίνασσε θύρσον, ἀλλά τι σφάγιον

* ἴσ. ὑπὸ μ. ἢ, μανίας

A prænunciant opera. Etenim Scopas velut inſpiratione quadam concitatus, ad ſtatuæ opificium Dei afflatum tranſmiſit. nunquid verò vobis altius artis furorem diuinum recẽſebo? Bacchæ ſtatua fuit ex marmore Pario conſtans, & planè mutata in Baccham veram, non ſimulatam. namque in ſtatu proprio conſiſtens lapis legem marmoribus datam excedere videbatur. Enimuero quod apparebat, reapſe ſimu- B lachrum erat: ars autem imitationem ad id quod re vera erat, deduxerat. videres vtique, quòd ſolidum marmor erat, in fœminæ effigiem emolliri, truculentia fœmineam ſpeciem emendante; & motionis expers, iam bacchandi poteſtatem habere: tum Deo ingreſſo interiora perſonabant. vultum certè intuiti, præ ſtupida taciturnitate conſtitimus: vſque adeò ſenſus declaratio comitabatur, ſenſu non C præſente, ac diuinus Bacchæ afflatus deſignabatur, inſpiratione non feriente: deniq; quot & quanta fert animus furoris œſtro percitus; tot ac tanta affectus indicia ab arte emicabant, inenarrabili arcanáque ratione temperata. ſoluta coma Fauonio exagitabatur: atque in floridum capilli floccum marmor diffindebatur. hoc maximè profectò mentis & rationis vim deturbabat, quòd capillitij quoque tenuitati, verè marmor exiſtens, obtempera- D bat; & cincinnorũ imitationibus parebat: & vitali habitu nudatum ac deſtitutũ vitalem vim habebat. Diceres etiam incrementi anſas artem contuliſſe. Sic & quod conſpicitur incredibile eſt, & quod non credibile eſt, ſpectatur. veruntamen manus etiam agiles & induſtrias oſtendebat. non enim Bacchicum quaſſabat thyrſum; ſed & ſeceſpitam

quandam ferebat, tanquam Euoê A clamans, inſaniæ acerbioris ſignum. hoc porrò capellæ quoddã figmentũ liuidi coloris erat. Etenim ſaxum ſubierat cadaueris ſpeciem; & vnam eandémque materiam, in mortis & vitæ imitationẽ ars diuiſerat; nempe in Baccham animatam ſtantem, & quaſi appetentem Cithæronem: & in capellam furore Bacchico interemptam, & ſenſuum vigore priuatam, ac marcentem. Itaque Scopas qui exanima ſimulacris effingebat corpora, opifex veritatis e- B rat: & corporibus materiæ miracula excudebat. At verò Demoſthenes cùm ſimulachra oratione exprimeret, parum abeſt quin ſermonum formam ſenſum mouentem oſtenderet, intelligentia & ſapientia conſtantibus, artis medicamenta admiſcens. hinc repentè è veſtigio agnoſcetis Signum ad contemplationem propoſitum, ſuo proprióq; motu deſertum non fuiſſe: quin etiam ſimul dominari, & C in charactere ſculpturáve ſuum parentem conſeruare; & Baccham amorem præ ſe ferre.

ἔφερεν, ὥσπερ εὐάζουσα, πικροτέρας μανίας σύμβολον. τὸ δὲ, τῆς χιμαίρας τι πλάσμα, πελιδνὸν τὴν χρόαν. καὶ γὰρ τὸ τεθνηκὸς, ὁ λίθος ὑπεδύετο. καὶ μίαν οὖσαν τὴν ὕλην, εἰς θανάτου καὶ ζωῆς διῆρε* τὴν μίμησιν. τὴν μὲν, ἔμ- γ. διῄρει, ἢ διῄρει
πνουν στήσασα, καὶ οἷον ὀρεγομένην Κιθαιρῶνος· τὴν δὲ, ἐκ τοῦ Βακχίου θανατωθεῖσαν οἴστρου, καὶ τῶν αἰσθήσεων ἀπομαραίνουσα τὴν ἀκμήν. ὁ μὲν οὖν Σκόπας, καὶ τὰς ἀψύχους εἰδωλοποιῶν γενέσεις, δημιουργὸς ἀληθείας ἦν, καὶ τοῖς σώμασι τῆς ὕλης ἀπετυποῦτο τὰ θαύματα. ὁ δὲ τὰ ἐν λόγῳ διαπλάττων Δημοσθένης ἀγάλματα, μικροῦ καὶ λόγων ἔδειξεν εἶδος αἰσθητὸν, τοῖς νοῦ, καὶ φρονήσεως γεννήμασι, συγκεραννὺς τὰ τῆς τέχνης φάρμακα. καὶ γνώσεσθε δὲ αὐτίκα, ὡς οὐδὲ τῆς οἴκοθεν κινήσεως ἐστέρηται τὸ εἰς θεωρίαν προκείμενον ἄγαλμα, ἀλλὰ καὶ ὁμοῦ δεσπόζει, καὶ ἐν τῷ χαρακτῆρι σώζει τὸν οἰκεῖον γεννήτορα· ἀπὸ δὲ τῆς Βάκχης, τὸν ἔρωτα.

In Indi ſtatuam.

INDVS iuxta fontem conſtiterat; donarium à Nymphis erectũ. Indus autem marmor nigrans erat, & quod ad eũ colorem ex natura generis ſui transfugerat. Habuit por- D rò florentem & criſpum crinem; non puro & mero nigro lucentem, verùm è ſummitatibus contendentem cum flore Tyriæ purpuræ. nam veluti delinitus & madefactus vicinis Nymphis, capillus è radicibus exurgens, nigrior ad ſummitates fluctuabat. Oculi profectò non cõ-

---

Εἰς τὸ τοῦ Ἰνδοῦ ἄγαλμα.

ΠΑΡΑ κρήνην Ἰνδὸς εἱστήκει, ἀνάθημα ταῖς Νύμφαις ἱδρυθείς. ἦν δὲ ὁ Ἰνδὸς, λίθος μελαινόμενος, καὶ πρὸς τὴν ἐκ φύσεως τοῦ γένους αὐτομολῶν χροιάν. εἶχε δὲ εὐθαλῆ μὲν, καὶ οὔλην τὴν χαίτην, οὐκ ἀκράτῳ τῷ μέλανι λάμπουσαν, ἀλλ' ἐκ τῶν ἄκρων, πρὸς κόχλου* Τυρίας ἴσ. Τυρίου
ἄνθος ἐρίζουσαν. οἷον γὰρ εὐπαθοῦσα, καὶ νοτιζομένη ταῖς προσοίκοις νύμφαις ἡ θρὶξ ἐκ ῥιζῶν ἀνιοῦσα, μελάντερος πρὸς τοῖς ἄκροις ἐπόρφυρεν. ὀφθαλμοί γε

μὴν οὐ συνῳδὸν τῷ λίθῳ. κατὰ γὰρ τὰς τῶν ὀμμάτων κόρας, περιέθει λευκότης, κατ' ἐκεῖνο τὸ μέρος τῆς πέτρας μεταπεσούσης εἰς λευκότερον, καθ' ὃ καὶ τῆς τοῦ Ἰνδοῦ φύσεως ἡ χρόα μελαίνεται. μέθη δὲ αὐτὸν ἐξίστη. καὶ τὸ μεμεθυσμένον, οὐ κατεμήνυσεν ἡ τοῦ λίθου χρόα. οὐ γὰρ ἦν αὐτῷ μηχάνημα τὰς παρειὰς φοινίξαι, σκέποντος τοῦ μέλανος τὴν μέθην. ἐκ δὲ τοῦ σχήματος, κατηγόρει τοῦ πάθους. παράφορός τε γὰρ ἦν, καὶ κωμάζων εἱστήκει, οὐ δυνάμενος ἐρείδειν τὼ πόδε, ἀλλ' ὑπότρομός τε, καὶ ὑπὸ τὴν γῆν ὀκλάζων. ὁ δὲ λίθος, ὑπὸ τοῦ πάθους ἐῴκει πληγέντι, καὶ οἱονεὶ γρ. σπαίρειν *ἀσαίρειν, τὸν ἀπὸ τῆς μέθης ἐμφαίνων σεισμόν. εἶχε δὲ ἁβρὸν οὐδὲν τοῦ Ἰνδοῦ τὸ εἴδωλον, οὐδὲ ἑκάστην κατὰ χρόαν ἐξήσκει χάριν, ἀλλ' εἰς μόνην τὴν μελῶν συμβολὴν διήρθρωτο. ἀσκεπὴς δὲ ἦν, καὶ γυμνός, ὡς ἂν τῶν Ἰνδικῶν σωμάτων πρὸς τὸ τῆς ἀκμῆς φλογῶδες εἰωθότων ἀπανδρίζεσθαι.

A cinebant marmori. nam ad pupillas oculorum circumcurrebat candor; ſaxo illa ex parte in candidius conuerſo, qua naturæ Indi color germanus, ſolet nigreſcere. Crapula verò ipſum de ſtatu mentis mouerat: at vim temulentam non denotabat color marmoris: non enim integrum fuit ipſi artificium genas rubore tingendi, atrore vinolentiam obtegente. verùm ex conformatione arguebat affectum: etenim mente motus ac laſciuiens B expreſſus erat, vt qui firmare pedes & ſtare loco neſciret, ſed tremulus eſſet & poplitib. in terram inclinatis. Ceterùm marmor ab affectu ſimile erat percuſſo & quaſi palpitanti, præſeferens concuſſionem è temulentia ortam. Nihil præterea molle ac delicatum habebat Indi ſimulacrum, neque ſingularem colore ac geſtu gratiam referebat: verùm ad ſolam actuum commiſſionem diſtinctum fuerat. porro Indus C abſq; vllo integumento, ac nudus erat; tanquam Indis corporibus ad æſtus ardorem conſuetis, virilem acquirere vigorem.

Εἰς τὸ τοῦ Ἔρωτος ἄγαλμα.

ΚΑΙ ἑτέρας ἱερᾶς τέχνης οἱ λόγοι προφητεύσαι βούλονται. οὐ γάρ μοι θεμιτὸν μὴ καλεῖν ἱερὰ τέχνης γεννήματα. Ἔρως ἦν Πραξιτέλους τέχνημα, ὁ Ἔρως αὐτός, παῖς ἀνθηρός, καὶ νέος, πτέρυγας ἔχων, καὶ τόξα. χαλκὸς δὲ αὐτὸν ἐτύπου, καὶ ὡς ἂν Ἔρωτα τυπῶν τύραννον θεόν, καὶ μέγαν καὶ αὐτὸς ἐδυνάστευε. οὐ γὰρ ἠνείχετο χαλκοῦς εἶναι τὰ πάντα, ἀλλ' ὅσον ἦν, Ἔρως ἐγίνετο. εἶδες ἂν τὸν χαλκὸν θρυπτόμενον,

In ſtatuam Cupidinis.

Alterius quoque artis ſacræ ſermones vaticinari volunt. nefas quippe mihi eſt ſacros non vocare D artis fœtus. Cupido erat Praxitelis artificium, ipſemet Cupido, puer, floridus, tener, alis præditus, & arcum tenens. æs autem ipſum informabat: & vt Cupidinem, dominatorem Deum & magnum effingens; ipſum etiam metallum tyrannicè dominabatur: non enim paſſum fuerat vt æs omnino remaneret: ſed quantumcumque fuit, Amor effectus erat. Videas æs deliciis diffluēs,

&, mirum in modum carnis teneritudine molleſcens; atque, vt ſummatim dicam, ad neceſſaria complenda, materiam ſibi planè ſufficientem eſſe. ſiquidem ſtriculus erat puer, à maieſtate alienus: æri porro conſonantem vſum coloréve habebat; ac floride adoleſcere cernebatur. Porro motionis effectis priuatus, paratus erat ad motum indicandum. Enimuero in firma ſede collocatus erat: attamen fallebat, quaſi ſublimi motioni dominaretur. quinetiam iactabat ſe profuſus in riſum, igneum quiddam & mellitum ex oculis irradiãs. ibidem videre fas erat, æs affectui obtemperans, & riſus imitationem facilè ac libenter admittens. erectus igitur fuit, ad verticem dextrum inflectens brachiũ altera manu arcum eleuans, & inceſſus, æqui pondium ad læuam inclinans. Etenim ſiniſtri lumbi deflexio à ſuo ſtatu receſſerat, ad æris facilem tractationem ſoliditate infracta. Cincinni verò florigeri & criſpantes caput eius obumbrabant, iuuenili ſublucentes vigore. proinde mirificum iſtud æs erat: ſedenim intuito rubor effulgebat, à ſumma cæſarie excitatus. at contrectanti capillus ſurrigebat, titillatione ſenſum afficiens: mihi certè dum artem contemplarer, ſubierat animum credere Dædalum etiam choream agitatam elaboraſſe: & colorem ſenſus mouiſſe: quãdo Praxiteles in Cupidinis imagine, quædam etiam fermè ſenſa inſeruerat, & ala vim aërem ſecandi ſolerter excogitarat.

A καὶ εἰς εὐσαρκίαν ἀμηχάνως χλιδῶντα· καὶ ὡς βραχέως εἰπεῖν, τὰ ἀναγκαῖα πληρῶν, ἑαυτὴν τὴν ὕλην ἀρκοῦσαν. ὑγρὸς μὲν ἦν, ἀμοιρῶν μεγαλειότητος. χαλκῷ δὲ ἔχων συνῳδὸν τὴν χρείαν, εὐανθὴς* ἑωρᾶτο. τῶν δὲ κινήσεως ἔργων ἐστερημένος, ἕτοιμος ἦν δεῖξαι κίνησιν. εἰς μὲν γὰρ ἕδραν στάσιμον ἵδρυτο· ἠπάτα δὲ, ὡς καὶ τῆς μετεώρου κυριεύων φορᾶς· B ἐγαυροῦτο δὲ εἰς γέλωτα, ἔμπυρόν τι, καὶ μείλιχον ἐξ ὀμμάτων διαυγάζων. καὶ ἦν ἰδεῖν ὑπακούοντα τῷ πάθει τὸν χαλκὸν, καὶ δεχόμενον εὐκόλως τὴν τοῦ γέλωτος μίμησιν. ἵδρυτο δὲ, εἰς μὲν τὴν κορυφὴν, τὸν δεξιὸν ἐπικάμπτων καρπὸν, τῇ δὲ ἑτέρᾳ μετεωρίζων τὸ τόξον, καὶ τὴν τῆς βάσεως ἰσορροπίαν ἐπικλίνων ἐπὶ τὰ λαιά. τὴν γὰρ τῆς ἀριστερᾶς λαγόνος ἔκστασιν, ἀνίστη πρὸς τὴν εὐμαρότητα C τοῦ χαλκοῦ, τὸ στεγανὸν ἐκκλάσας. πλόκαμοι δὲ αὐτοῦ τὴν κεφαλὴν ἐσκίαζον ἀνθηροὶ καὶ ἔνουλοι, νεοτήσιον ὑπολάμποντες ἄνθος. καὶ ἦν θαυμαστὸς οἷος ὁ χαλκός. ἰδόντι μὲν γὰρ, ἔρευθος ἀπέστιλβεν, ἐξ ἄκρων βοστρύχων αἰρόμενον. ἁψαμένῳ δὲ, ἡ θρὶξ ὑπεξανίστατο, μαλθακιζομένη πρὸς τὴν αἴσθησιν. ἐμοὶ δὴ θεασαμένῳ τὴν τέχνην, ἐπῄει πιστεύειν ὅτι καὶ χορὸν ἤσκησε κινούμενον ὁ D Δαίδαλος, καὶ χρόα παρεῖχεν αἴσθησις· ὅπου Πραξιτέλης εἰς τὴν εἰκόνα ἔρωτος ἐνέθηκε μικροῦ καὶ νοήματα, καὶ πτέρυγι τὸν ἀέρα τέμνειν ἐμηχανήσατο.

ἴσ. ἑαυτῷ — ἴσ. χροιᾶς — κ. ἀλλὰ τῆς

In ſtatuam Narciſsi.

SYLVA erat, atque in ipſa fons pulcherrimus, ex aqua valde

Εἰς τὸ τοῦ Ναρκίσσου ἄγαλμα.

ΑΛΣΟΣ ἦν· καὶ ἐν αὐτῷ, κρήνη πάγκαλος, ἐκ μάλα καθαροῦ τοῦ, καὶ διαυ-

τοῦ ὕδατος. εἱστήκει δὲ ἐπ' αὐτῇ Νάρκισσος, ἐκ λίθου λευκοῦ πεποιημένος. παῖς ἦν, μᾶλλον δὲ ἤϊθεος, ἡλικιώτης ἐρώτων, ἀστραπὴν οἷόν τινα ἐξ αὐτοῦ τοῦ σώματος ἀπολάμπων κάλλους. ἦν δὲ τοιόνδε τὸ σχῆμα. κόμαις ἐπιχρύσοις ἤστραπτε, κατὰ μὲν τὸ μέτωπον, τῆς τριχὸς ἑλισσομένης εἰς κύκλον, κατὰ δὲ τὸν αὐχένα, κεχυμένης εἰς νῶτα. ἔβλεπε δὲ οὐκ ἀκράτως γαῦρον, οὐδὲ ἱλαρὸν καθαρῶς. ἐπιπεφύκει γὰρ ἐν τοῖς ὄμμασιν ἐκ τῆς τέχνης καὶ λύπη, ἵνα μετὰ τοῦ Ναρκίσσου καὶ τὴν τύχην ἡ εἰκὼν μιμῆται. γρ. ἐρῶντες ἔσταλτο δὲ ὥσπερ οἱ* ἔρωτες, οἷς καὶ τῆς ὥρας τὴν ἀκμὴν προσείκαστο. σχῆμα δὲ ἦν τοῦ κοσμίου τοιόνδε. πέπλος λευκανθεὶς ὁμόχροως τῷ σώματι τοῦ λίθου, περιθέων εἰς κύκλον, κατὰ δὲ τὸν δεξιὸν ὦμον, περονίδες ὑπὲρ γόνυ καταβαίνουσαι ἐπαύοντο· μόνην ἀπὸ τοῦ πορπήματος ἐλευθέραν τὴν χεῖρα. οὕτω δὲ ἦν ἁπαλός, καὶ πρὸς πέπλου γεγονὼς μίμησιν, ὡς καὶ τὴν τοῦ σώματος διαλάμπειν χρόαν, τῆς ἐν τῇ περιβολῇ λευκότητος, τῆς ἐν τοῖς μέλεσιν αἴγλην ἐξιέναι συγχωρούσης. ἔστη δὲ καθάπερ κατόπτρῳ τῇ πηγῇ χρώμενος, καὶ εἰς αὐτὴν περιχέων τοῦ προσώπου τὸ εἶδος. ἡ δὲ, τοὺς ἀπ' αὐτοῦ δεχομένη χαρακτῆρας, τὴν αὐτὴν εἰδωλοποιΐαν ἤνυσεν, ὡς δοκεῖν ἀλλήλοις ἀντιφιλοτιμεῖσθαι τὰς φύσεις· ἡ μὲν γὰρ λίθος ὅλη, πρὸς ἐκεῖνον μετηλλάττετο τὸν ὄντως παῖδα. ἡ δὲ πηγὴ, πρὸς τὰ ἐν τῇ λίθῳ μηχανήματα τῆς τέχνης ἀντηγωνίζετο, ἐν ἀσωμάτῳ σχήματι τὴν ἐκ σώματος ἀπεργαζομένη τοῦ σχήματος ὁμοιότητα, καὶ τῷ ἐκ τῆς εἰκόνος κατεχομένῳ σκιάσματι, οἷόν τινα

A pura, limpida, & pellucida: eo loci Narciſſus ſtabat, è marmore candido confectus. puer erat vel potius adoleſcens, coæuus Amorum: veluti fulgetrum quoddam è corporis formoſitate eiaculans. Eiuſmodi verò conformatione extitit. aurea cæſarie fulgebat, capillo ad frontem in orbem reuoluto, ſed per ceruicem diffuſo in terga. Obtutus eius non pure ac planè ſuperbus, neque hilaris omB nino: inſitus quippe fuerat in oculis mœror ex arte; vt cum Narciſſo, imago etiam fortunam eius imitaretur. Amictus & cultus erat vt Amorum: quibus etiam ætatis & formæ vigore aſſimilis erat. Porro figura ad ornatum talis fuit; peplus candens, corpori concolor, nempe ex eodem marmore, orbem conficiens: ad dexterum verò humerum fibulæ ſupra genu deſcendentes deſinebant; ſolam à fibulaC tione manum eximebat. Ceterum adeo tener erat, & ad pepli imitationem ita pulchrè expreſſus, vt etiam corporis color tranſluceret; candore, qui in circuitu nitebat, ſplendorem in artubus emicantem, egredi concedente. Stabat porro fonte tanquam ſpeculo vtens, atque in ipſum vultus faciem effundens: aqua vero eius notas accipiens, abſolutam formæ expreſſionem perD ficiebat; vt viderentur inter ſe viciſſim naturæ cõtendere, quò ſe mutuo exprimerent etenim totum marmor cum illo reapſe puero permutabatur. fons autem cum molitionibus artis, quæ in lapide erant, concertabat, dum in figura incorporea ſpeciem figuræ è corpore cõſtante efficeret, & adumbrationi comprehenſæ, & ab imagine veluti carneam

carnem quandam aquæ naturam apponeret. vſqueadeò verò viua & animata erat per aquas figura, vt quis ipſum eſſe Narciſſum opinaretur: quem ad fontem profectum forma ſua in aquis conſpecta apud lymphá nympháмve interiiſſe memorant, eò quòd percupiiſſet cum ſimulacro ſuo copulari; & nunc in prato conſpici verna tempeſtate florentem. perſpexiſſes etiam, cùm vnum marmor eſſet, colorem ad oculorum fabricam accommodare, & morum memoriam ſeruare; & ſenſus indicaré, & affectus deſignare, & ad capillitij licentiam accedere, in pili flexuram ſolutum. iſtud autem ne verbis quidem exprimi poteſt, vt lapis in humorem laxatus, corpus oppoſitum eſſentiæ ſuæ præbuerit: naturam namque ſolidiorem nactus; ſenſum tamen aliquem deliciarum emittebat, in rarum quendam corporis tumorem diffuſus. quinetiam fiſtulam contrectabat, qua paſtoritiis Diis primitias ſacrauerat, & ſolitudinem cantibus reſonare fecerat, ſi quando muſicis inſtrumentis applicare animum optaret. hunc equidem Narciſſum admiratus, ô iuuenes, etiam ad vos induxi pulcrè expreſſum ad ſacrum Muſarum atrium. Ceterùm ita ſe habet ſermo, vt ipſa quoque ſe ſtatua habebat.

In ſtatuam Temporis opportuni, ſeu Occaſionis.

VOLO etiam tibi Lyſippi opificium oratione exprimere: quod quidem ſignorum ſuorum pulcerrimum artifex fabricatus, Sicyoniis ad ſpectandum propoſuerat. Simulacrum fuit, Tempus opportunum ex ære ſculptum; arte cum natura contendente. Tempus autem, puer

A σάρκα τὴν τοῦ ὕδατος φύσιν περιθεῖσα οὕτω δὲ ἦν ζωτικὸν, καὶ ἔμπνουν τὸ καθ᾽ ὑδάτων σχῆμα, ὡς αὐτὸν εἶναι δοξάσαι τὸν Νάρκισσον. ὃν ἐπὶ πηγὴν ἐλθόντα, τῆς μορφῆς αὐτοῦ καθ᾽ ὑδάτων ὀφθείσης, παρὰ νύμφῃ τελευτῆσαι λέγουσιν, ἐρασθέντα τῷ εἰδώλῳ συμμῖξαι, καὶ νῦν ἐν λειμῶσι φαντάζεσθαι, ἐν ἠριναῖς ὥραις ἀνθοῦντα. εἶδες ἂν ὡς εἷς ὢν ὁ λίθος, τὴν χρόαν, καὶ ὀμμάτων κατασκευὴν ἥρ-
B μοζε, καὶ ἠθῶν ἱστορίαν ἔσωζε, καὶ αἰσθήσεις ἐνεδείκνυτο, καὶ πάθη ἐμήνυε, καὶ πρὸς τριχώματος ἐξουσίαν ἠκολούθει, εἰς τὴν τριχὸς καμπὴν λυόμενος. τὸ δὲ οὐδὲ λόγῳ ῥητὸν, λίθος εἰς ὑγρότητα κεχαλασμένος, καὶ ἐναντίον σῶμα τῇ οὐσίᾳ παρεχόμενος· στερεωτέρας γὰρ τετυχηκὼς φύσεως, τρυφερότητος ἀπέστελλεν αἴσθησιν, εἰς ἀραιόν τινα σώματος ὄγκον διαχεόμενος. μετεχειρίζετο δὲ καὶ σύριγ-
C γα, ἣν νομίοις θεοῖς ἐκεῖνος ἀπήρχετο· καὶ τὴν ἐρημίαν κατήχει τοῖς μέλεσιν, εἴποτε μουσικοῖς ψαλτηρίοις προσομιλῆσαι ποθήσειε. τοῦτον θαυμάσας, ὦ νέοι, τὸν Νάρκισσον, καὶ εἰς ἡμᾶς παρήγαγον, εἰς Μουσῶν αὐλὴν ὑποτυπωσάμενος. ἔχει δὲ ὁ λόγος, ὡς καὶ ἡ εἰκὼν εἶχεν.

Εἰς τὸ ἐν Σικυῶνι ἄγαλμα
D
τοῦ Καιροῦ.

Ἐθέλω δέ σοι καὶ τὸ Λυσίππου δημιούργημα τῷ λόγῳ παραστῆσαι, ὅπερ ἀγαλμάτων κάλλιστον ὁ δημιουργὸς τεχνησάμενος, Σικυωνίοις εἰς θέαν προύθηκε. καιρὸς ἦν εἰς ἄγαλμα, τετυπωμένος ἐκ χαλκοῦ, πρὸς τὴν φύσιν ἁμιλλωμένης* τῆς τέχνης. παῖς δὲ ἦν ὁ

*πρ. χ. ἁμιλλώμενος

καιρὸς ἡβῶν, ἐκ κεφαλῆς ἐς πόδας ἐπανθῶν τὸ τῆς ἥβης ἄνθος. ἦν δὲ τὴν μὲν ὄψιν, ὡραῖος, σείων ἴουλον, καὶ ζεφύρῳ τινάσσειν, πρὸς ὃ βούλοιτο καταλιπὼν τὴν κόμην ἀνετον. τὴν δὲ χρόαν εἶχεν ἀνθηρὰν, τῇ λαμπηδόνι τοῦ σώματος τὰ ἄνθη δηλῶν. ἦν δὲ Διονύσῳ κατὰ τὸ πλεῖστον ἐμφερής. τὰ μὲν γὰρ μέτωπα χάρισιν ἔστιλβεν· αἱ παρειαὶ δὲ αὐτῷ εἰς ἄνθος ἐρυθόμεναι, νεοτήσιον ὡραΐζοντο, ἐπιβάλλουσαι τοῖς ὄμμασιν ἁπαλὸν ἐρύθημα. εἱστήκει δὲ ἐπί τινος σφαίρας, ἐπ᾽ ἄκρων τῶν ταρσῶν βεβηκὼς, ἐπτερωμένος τὼ πόδε. ἐπεφύκει δὲ οὐ νενομισμένως ἡ θρίξ· ἀλλ᾽ ἡ μὲν κόμη κατὰ τῶν ὀφρύων ἐφέρπουσα, ταῖς παρειαῖς ἐπέσειε τὸν βόστρυχον. τὰ δὲ ὄπισθεν ἦν τοῦ καιροῦ, πλοκάμων ἐλεύθερα· μόνην τὴν ἐκ γενέσεως βλάστην ἐπιφαίνοντα τοῦ τριχός. ἡμεῖς μὲν οὖν ἀφασίᾳ πληγέντες πρὸς τὴν θέαν, εἱστήκειμεν, τὸν χαλκὸν ὁρῶντες ἔργα φύσεως μηχανώμενον, καὶ τῆς οἰκείας ἐκβαίνοντα τάξεως. χαλκὸς μὲν γὰρ ὤν, ἠρυθραίνετο, σκληρὸς δὲ ὢν τὴν φύσιν, διεχεῖτο, μαλθακῶς* εἴκων τῇ τέχνῃ πρὸς ὃ βούλοιτο. σπανίζων δὲ αἰσθήσεως ζωτικῆς, ἔνοικον ἔχειν ἐπιστοῦτο τὴν αἴσθησιν. καὶ οὕτως ἐστήρικτο, πάγιον τὸν ταρσὸν ἐρείσας· ἑστὼς δὲ, ὁρμῆς ἐξουσίαν ἔχειν ἐδείκνυτο. καί σοι τὸν ὀφθαλμὸν ἠπάτα, ὡς καὶ τῆς εἰς τὸ πρόσω κινήσεων φορᾶς, καὶ παρὰ τοῦ δημιουργοῦ λαβὼν, καὶ τὴν ἀέριον πλῆξιν τέμνειν, εἰ βούλοιτο, ταῖς πτέρυξι.

*γρ. μαλθακῶς εἴ.

A erat pubeſcens: in quo pubertatis flos à capite ad pedes vigebat. facie certè formoſus apparebat, lanuginem quatiens, & Fauonio concutiendam quocunque vellet, cæſariem ſolutam linquens. florigero nitebat colore, ſplendore corporis flores oſtendens: erátque Dionyſo maxima ex parte perſimilis: atenim frons gratiis emicabat: genæ autem ipſi floris inſtar rubentes, iuuenili decore fulgebant, tenerum oculis ruborem adiicientes. B Stabat autem in globo quodam ſummis pedum plantis inſiſtens, quibus alatus erat. capillus non more ſolito creuerat: verùm coma contra ſupercilia repens, ad genas cincinnum reuocabat. occiput itaque Temporis cinnorum nexibus liberum fuit, ſolo à primo ortu inſito, apparente capillo. Nos igitur taciturno ſtupore perculſi hoc ſpectaculo conſtitimus, æs naturæ opera moliens cernentes, C ac ſuum propriúmque ſtatum excedens. nam cùm æs eſſet, rubebat: & natura durum diffundebatur; molliter cedens arti, quocunque vellet: præterea vitali ſenſu carens, interiore ſenſu præditum credebatur. atque ita fultum & ſtabilitum erat, fixo firmiter talo: ſtans verò, cōcitati motus licentiam præ ſe ferebat: oculúmque tibi decipiebat, tanquam ſi compos eſſet vlterius pergendi. & accepta ab D artifice facultate aëriam plagam ſecandi, ſi vellet, remigio alarum. atque eiuſmodi ſane erat, quod mirū nobis accidebat. Vnus verò quidam in artibus illuſtris, & ex eorum numero, qui norunt, cum ſenſu magis artificioſo opificū mirāda indagare,

καὶ τὸ μὲν ἡμῖν θαῦμα, τοιοῦτον ἦν. εἷς δέ τις τῶν περὶ τὰς τέχνας σοφῶν, καὶ εἰδότων σὺν αἰσθήσει τεχνικωτέρᾳ τὰ τῶν δημιουργῶν ἀνιχνεύειν θαύματα,

etiam rationis artificio accineret, Temporis potentiam in arte ſeruatam enarrando: nam quod aligerum eſt in talis, ſubindicare pernicitaté, & talaria quib. multum implicans æuum; horis ac tempeſtatibus annuis inuectum fertur. Porro efflo-reſcentem venuſtatem referri ad id, quòd omne tempeſtiuum formoſum eſt: & ſolus pulcritudinis artifex eſt Tempus: Omne verò quod defloruit, extra Temporis naturam eſt. Coma autem ante frontem vagatur, quia tempus accedens ſumere facilè eſt: eo præterito, negotiorum vigens occaſio vnâ abit; & neglectum Tempus capere eſt nefas.

Pindar. Pythioni. Od. ix. Str. iv.

καὶ λογισμοῦ ἐπῆδε τῷ τεχνήματι, τὴν τοῦ καιροῦ δύναμιν, ἐν τῇ τέχνῃ σωζομένην ἐξηγούμενος· τὸ μὲν γὰρ πτέρωμα τῶν ταρσῶν, αἰνίττεσθαι τὴν ὀξύτητα· καὶ ὡς τὸν πολὺν ἀνειλίττων αἰῶνα, φέρεται ταῖς ὥραις ἐποχούμενος. τὴν δὲ ἐπανθοῦσαν ὥραν, ὅτι πᾶν εὔκαιρον τὸ ὡραῖον, καὶ μόνος κάλλους δημιουργὸς ὁ καιρός· τὸ δὲ ἀπηνθηκὸς ἅπαν, ἔξω τῆς καιροῦ φύσεως. τὴν δὲ κατὰ τοῦ* μετώπου κόμην, ὅτι προσιόντος μὲν αὐτοῦ, λαβέσθαι ῥᾴδιον. παρελθόντος δὲ, ἡ τῶν πραγμάτων ἀκμὴ συνεξέρχεται· καὶ οὐκ ἔστιν ὀλιγωρηθέντα λαβεῖν τὸν καιρόν.

IN SIMVLACRVM OCCAſionis. M. P. Auſonij.

Cvivs opus? Phidiæ, qui ſignũ Palladis, eius,
Quíque Iouem fecit, tertia palma ego ſum.
Sum Dea, quæ rara, & paucis Occaſio nota.
Quid rotulæ inſiſtis? Stare loco nequeo.
Quid talaria habes? volucris ſum. Mercurius quæ
Fortunare ſolet, tardo ego cùm volui.
Crine tegis faciem. Cognoſci nolo. Sed heus tu,
Occipiti caluo es. Ne tenear fugiens.

ΕΙΣ ΤΟ ΑΥΤΟ ΑΓΑΛΜΑ τοῦ Καιροῦ, ἐπίγρ. Ποσειδίππου.

Τίς, πόθεν ὁ πλάστης. Σικυώνιος. οὔνομα δὲ τίς
Λύσιππος. σὺ δὲ τίς; Καιρὸς ὁ πανδαμάτωρ.
Τίπτε δ' ἐπ' ἄκρα βέβηκας; ἀεὶ τροχάω. τί δὲ ταρσοὺς
Ποσσὶν ἔχεις διφυεῖς; ἵπταμ' ὑπηνέμιος.
Χειρὶ δὲ δεξιτερῇ τί φέρεις ξυρόν; ἀνδράσι δεῖγμα
Ὡς ἀκμῆς πάσης ὀξύτερος τελέθω.
Ἡ δὲ κόμη τί κατ' ὄψιν; ὑπαντιάσαντι λαβέσθαι.
Νὴ Δία τἀξόπιθεν πρὸς τί φαλακρὰ πέλει;
Τὸν γὰρ ἅπαξ πτηνοῖσι παραθρέξαντά με ποσσὶν,
Οὔτις ἔθ' ἱμείρων δράξεται ἐξόπιθεν.
Τοῖον ὁ τεχνίτης με διέπλασεν εἵνεκεν ὑμέων,
Ξεῖνε, καὶ ἐν προθύροις θῆκε διδασκαλίην.

A

Εἰς τὸ τοῦ Ὀρφέως ἄγαλμα.

ΕΝ τῷ Ἑλικῶνι (τέμενος δὲ τῶν Μουσῶν σκιερὸν ὁ χῶρος παρὰ τὰς Ὀλμειοῦ τοῦ ποταμοῦ ῥύακας, καὶ τὴν ἰοειδέα Πηγάσου κρήνην) Ὀρφέως ἄγαλμα* τοῦ Καλλιόπης παρὰ ταῖς Μούσαις εἱστήκει, ἰδεῖν μὲν κάλλιστον. ὁ γὰρ χαλκὸς τῇ τέχνῃ συναπέπηκτο τὸ κάλλος, τῇ δὲ τοῦ σώματος ἀγλαΐᾳ, τὸ μουσικὸν ἐπισημαῖνον τῆς ψυχῆς. ἐκόσμει δὲ αὐτὸν τιάρα Περσικὴ χρυσῷ κατάστικτος, ἀπὸ κορυφῆς εἰς ὕψος ἀνέχουσα. χιτὼν δὲ ἐξ ὤμων ἀπαγόμενος εἰς πόδας, τελαμῶνι χρυσέῳ κατὰ τῶν στέρνων ἐσφίγγετο. κόμη δὲ οὕτως ἦν εὐανθὴς, καὶ ζωτικὸν ἐπισημαίνουσα, καὶ ἔμπνουν, ὡς ἀπατᾶν τὴν αἴσθησιν, ὅτι καὶ πρὸς τὰς ζεφύρου πνοὰς σειομένη δονεῖται. ἡ μὲν γὰρ ἐπαυχένιος κατὰ νώτου χεθεῖσα, ἡ δὲ, ὀφρύσιν ἄνωθεν διχόθεν ἐπιφαίνουσα, καθαρὰς τῶν ὀμμάτων ἔφαινε τὰς βολάς. τὸ πέδιλον δὲ αὐτῷ, ξανθοτάτῳ χρυσῷ κατήνθιστο, καὶ πέπλος κατὰ νώτου ἄφετος εἰς σφυρὰ κατῄει. μετεχειρίζετο δὲ τὴν λύραν· ἡ δὲ, ἰσαρίθμοις ταῖς Μούσαις ἐξῆπτο τοῖς φθόγγοις. ὁ γὰρ χαλκὸς, καὶ νευρὰς ἐπεκρίνετο· καὶ πρὸς τὴν ἑκάστου μίμησιν ἀλλαττόμενος, πειθηνίως ὑπήγετο, μικροῦ καὶ πρὸς αὐτὴν τὴν ἠχὴν τῶν φθόγγων φωνῆς γινόμενος. ὑπὸ δὲ τῶν ποδῶν τὴν βάσιν, οὐκ οὐρανὸς ἦν τυπωθεὶς, οὐδὲ πλειάδες τὸν αἰθέρα τέμνουσαι, οὐδὲ ἄρκτου περιστροφαὶ τοῦ ὠκεανοῦ λουτρῶν ἄμοιροι, ἀλλ' ἦν πᾶν μὲν ὀρνίθων γένος πρὸς τὴν ᾠδὴν ἐξιστάμενον, πάντες δὲ ὄρειοι θῆρες, καὶ ὅσον ἐν θαλάττης μυχοῖς νέ-

*ἰσ. τῶν τ. κ. ἀεὶ

In Orphei ſtatuam.

IN Helicone (qui locus vmbroſum Muſarum delubrum eſt, prope Olmij fluminis riuos, & violaceum Pegaſi fontem) Orphei ſtatua Calliopes filij, iuxta Muſas erecta eſt, viſu ſanè pulcherrima: æs enim ſimul cum arte pulcritudinem comparabat: corporis verò ſplendore, concentum animi deſignans. B Eum decorabat tiara Perſica auro intertexta, à vertice ad altitudinem eminens. tunica verò ab humeris deducta ad pedes, balteo aureo pectoribus aſtringebatur. Cæſaries adeo florida eſt, & viuidum atque animatum quid præ ſe ferens, vt ſenſum fallat; ſiquidem ad Fauonij auras agitata cietur. atenim quæ in ce[r]uicem propendet, in terga diffunditur; hæc verò bifida à ſupero ſyncipite ſuperciliis imminens, purus oculorum radios detegit. C Calceamentum eius auro maximè flauo floridè aſperſum erat, & peplus per dorſum laxatus ad talos pertinebat. Porro lyram contrectabat; quæ quidem ſonos numeris pares Muſis appenſos habebat: æs enim etiam neruos diſtinguebat: & ad cuiuſq; imitationem variatum, morigerè ſubigebatur: vt parum abeſſet, quin ad tonorum conſonantiam vocale redditum eſſet. D Ceterùm ſub pedum fulcro non cœlum erat inciſum, neque Pleiades æthe- Hom. Il. Σ rem ſecantes, neque Vrſæ conuerſiones Oceani lauacrorum expertes: ſed omne auium genus aderat obſtupeſcens ad cantum: itémque omnes feræ montanæ, & quæcunque in maris penetralibus paſcun-

tur. equus etiam demulcebatur, A freni vice concentu detentus: bos quoque, dimiſſis paſcuis, lyræ cantum auſcultabat. Ac leonum immitis natura ad melodiam ſopita miteſcebat. vidiſſes etiam æs fluuios effingens, è fontibus ad cantus fluentes, & maris fluctum amore carminis eleuatum, & cautes muſica perculſas: atque omne tempeſtiuum germen è paſcuis, ad Orphicam cantilenam properans. at nihil quidem erat quod reſonaret, atque lyricam excitaret conſonan- B tiam: ſed ars ipſa in animantibus affectus amoris muſici modulaminis declarabat, atque vt in ære voluptates apparerent, efficiebat: deniq; efflorescentia animantum ſenſui delinimenta arcano & inexplicabili modo patefaciebat.

μετῃ. καὶ ἵππος ἐθέλγετο ἀντὶ χαλινοῦ τῷ μέλει κρατούμενος. καὶ βοῦς ἀφεὶς τὰς νομὰς, τῆς λυρῳδίας ἤκουε. καὶ λεόντων ἄτεγκτος φύσις, πρὸς τὴν ἁρμονίαν κατηυνάζετο. εἶδες ἂν καὶ ποταμοὺς τυποῦντα τὸν χαλκὸν, ἐκ πηγῶν ἐπὶ τὰ μέλη ῥέοντας, καὶ κῦμα θαλάσσης ἔρωτι τῆς ᾠδῆς ὑψούμενον, καὶ πέτρας πληττομένας μουσικῇ, καὶ πᾶσαν βλάστην ὥριον, ἐξ ἠθῶν ἐπὶ τὴν μοῦσαν τὴν Ὀρφικὴν σπεύδουσαν. καὶ οὐδὲν μὲν ἦν τὸ ἠχοῦν, οὐδὲ τὴν ἁρμονίαν τῆς λυρῳδὸν ἐγεῖρον· ἡ τέχνη δὲ, ἐν τοῖς ζώοις τὰ περὶ τὴν μουσικὴν ἔρωτος τὰ πάθη κατεμήνυε, καὶ ἐν τῷ χαλκῷ τὰς ἡδονὰς ἐποίει φαίνεσθαι, καὶ τὰ ἐπανθοῦντα τῇ αἰσθήσει τῶν ζώων θελκτήρια, ἀῤῥήτως ἐξέφαινεν.

IN SIGNVM DIONYSII.

Dædali ſanè integrum fuit C videre in Creta incredibilia ac miranda opera, quæ fabricis occultis agitabantur: vtque aurum ad humanum ſenſum referendum cogeretur: verùm Praxitelis manus ſpirantia prorſus conficiebant artis molimina. Nemus fuit, in quo Dionyſus conſtiterat, adoleſcentis habitum imitatus; ita certè molliter, vt æs cum carne concinnè congrueret. Adeò verò tenerum ac D delicatum corpus habebat, vt ex alia quauis materia potius quàm ex ære conflatus videretur: ſiquidem, æs cùm eſſet, erubeſcebat: & cùm vitæ communionem nullam haberet, eius tamen ſpeciem volebat præ ſe ferre. quòd ſi contrectaſſes, vigore quodam excitabatur: ac reapſe quidem ſolidum & contumax æs erat, ſed artificio mollitum,

ΕΙΣ ΔΙΟΝΥΣΟΥ ΑΓΑΛΜΑ.

Δαιδάλῳ* μὲν ἐξῆν ἰδεῖν τῷ περὶ Κρήτην πεδίῳ θαύματα, κινούμενα μηχαναῖς τὰ ποιήματα, καὶ πρὸς ἀνθρωπίνην αἴσθησιν ἐκβιάζεσθαι* τὸν χρυσόν· αἱ δὲ δὴ Πραξιτέλους χεῖρες ζωτικὰ διόλου κατεσκεύαζον τὰ τεχνήματα. ἄλσος ἦν, καὶ Διόνυσος εἱστήκει, ἠϊθέου σχῆμα μιμούμενος· οὕτω μὲν* ἁπαλὸς, ὡς πρὸς σάρκα μεταῤῥυθμίζεσθαι τὸν χαλκόν. οὕτω δὲ ὑγρὸν καὶ κεχαλασμένον ἔχων τὸ σῶμα, ὡς ἐξ ἑτέρας ὕλης, ἀλλὰ μὴ χαλκοῦ πεφυκός. ὃς χαλκὸς μὲν ὢν, ἠρυθραίνετο· ζωῆς δὲ μετουσίαν οὐκ ἔχων, ἐβούλετο τὴν ἰδέαν δεικνύναι. ἁπτομένῳ δέ σοι, πρὸς τὴν ἀκμὴν ὑπεξίστατο. καὶ ὄντως μὲν ὁ χαλκὸς ἦν στεγανός· ὑπὸ δὲ τῆς τέχνης μαλαττόμενος

ἴσ. Δαιδάλου μ. ἐ. ἰ. ἐν τ. Κ. ἄπιστα θ.

χ. ἐκβιάζεσθαι τ.

χ. ἀπαλός. ἴσ. ἁπαλὸς (ἢ) ἁπαλῶς

εἰς σάρκα, ἀπεδίδρασκε τῆς χειρὸς τὴν αἴσθησιν. ἦν δὲ ἀνθηρὸς, ἁβρότητος γέμων, ἱμέρῳ ῥεόμενος, οἷον αὐτὸς Εὐριπίδης ἐν Βάκχαις εἰδοποιήσας ἐξέφηνε. κισσὸς δ' αὐτὸν ἔστεφε περιθέων ἐν κύκλῳ. ὡς κισσὸς ἦν ὁ χαλκὸς, εἰς κλῶνας καμπτόμενος, καὶ τῶν βοστρύχων τοὺς ἑλικτῆρας ἐκ μετώπου κεχυμένους ἀναστέλλων. γέλωτος δὲ ἔμπλεως, ὃ δὴ καὶ παντὸς ἦν ἐπέκεινα θαύματος, ἡδονῆς ἀφιέναι τὴν ὕλην τεκμήρια, καὶ τὴν παθῶν δήλωσιν ὑποκρίνεσθαι τὸν χαλκόν. νεβρὶς δὲ αὐτὸν ἔσκεπεν, οὐχ οἵαν εἴωθεν ὁ Διόνυσος ἐξάπτεσθαι, ἀλλ' εἰς τὴν τῆς δορᾶς μίμησιν ὁ χαλκὸς μετεβάλλετο. εἱστήκει δὲ τὴν λύραν ἐπερείδων τῷ θύρσῳ· ὁ δὲ θύρσος, ἠπάτα τὴν αἴσθησιν· ἐκ χαλκοῦ πεποιημένος, χλοερόν τι, καὶ τεθηλὸς ἀποστίλβειν ἐδόξαζετο, πρὸς αὐτὴν ἀμειβόμενος τὴν ὕλην. ὄμμα δὲ ἦν πυρὶ διαυγὲς, μανικὸν ἰδεῖν. καὶ γὰρ τὸ βακχεύσιμον ὁ χαλκὸς ἐνεδείκνυτο, καὶ ἐπιθειάζειν ἐδόκει· ὥσπερ οἶμαι τοῦ Πραξιτέλους καὶ τὸ βακχεῖον ἐγκαταμίξαι δυνηθέντος.

Εἰς τὸ Μέμνονος ἄγαλμα.

Ἐθέλω δέ σοι, καὶ τὸ Μέμνονος ἀφηγήσασθαι θαῦμα. καὶ γὰρ ὄντως παράδοξος ἡ τέχνη, καὶ κρείττων ἀνθρωπίνης χειρός. τοῦ Τιθώνου Μέμνονος εἰκὼν ἦν ἐν Αἰθιοπίᾳ, ἐκ λίθου πεποιημένη· οὐ μὴν ἐν τοῖς οἰκείοις ὅροις ἔμενε λίθος ὤν· οὐδὲ τὸ τῆς φύσεως σιγηλὸν ἐνείχετο, ἀλλὰ καὶ λίθος ὤν, εἶχεν ἐξουσίαν φωνῆς. νῦν μὲν γὰρ ἀνίσχουσαν τὴν ἡμέραν, προσεφθέγγετο, ἐπισημαίνων τῇ φωνῇ τὴν

in carnem pulpoſam, manus contactum ſubterfugiebat. Ceterùm floridus, teneritudine refertus, cupidine diffluens erat: qualis Euripides ipſe in Bacchis exacta ſimulacri fictione expreſſit. hedera certè ipſum redimibat, cingens in orbem: æs quippe, vt hedera, in ramos ſe incuruabat; ac cincinnorũ nexus à fronte fuſos reprimebat. totus porrò in riſum effuſus; quod certè omne miraculũ excedebat, cùm voluptatis indicia ſuppeditaret materia, & metallum deſignationẽ affectuũ æmularetur. hinnuli membrana ipſum obtegebat, non qualẽ Dionyſus ſolebat appenſam habere, ſed ad pellis imitationem conformatum erat æs. Porrò ſtabat lyram thyrſo fulciens: ac thyrſus etiam ſenſum fallebat. quippe qui ex ære fabricatus virens quiddam ac florens emicare putabatur; cum ipſa certans materia. Præterea oculus igne rutilans, furioſum intuebatur: ſedenim metallum vim bacchantem indicabat, & furore accendi videbatur: perinde, opinor, ac ſi Praxiteles Bacchicum œſtrum inſerere valuiſſet.

IN SIGNVM MEMNONIS.

VOLO etiã tibi Memnonis miraculum cõmemorare: nam ſtupenda verè fuit ars, & humana manu præſtantior. Memnonis Tithoni filij ſimulacrum erat in Æthiopia è marmore ſculptum: veruntamen id ſuis in limitib. non remanſerat, neque taciturnam naturam retinebat: ſed cùm ſaxum eſſet, vocis facultatem habebat: nunc enim orientem diem alloquebatur, voce gau-

dium deſignans, & ob matris præſentiam exhilaratus: modò ad noctem inclinata die, miſerandum & anxium quiddam gemebat marmor ob abſentiam mœrore affectum. neque verò lacrymis carebat; quin has quoque voluntati miniſtrantes habuit. ac Memnonis talis imago fuit, ſolo corpore humano mihi differre viſa. à fortuna verò quadam & propoſito ſimili, impulſa regebatur. ea porrò quæ triſtitiam adferrent immixta habebat: rurſuſque ipſum voluptatis ſenſus occupabat; ab vtriſque affectibus perculſum. ac Natura quidem lapidum ortum ſoni expertem, ac ſtupidum produxit, & neque à dolore moderari volentem, neque lætari ſcientem, imo & omnibus caſibus inuulnerabilem. Illi verò Memnonis marmori & iucunditatem conceſſit, & cautem cruciatui admouit. itaque hanc ſolam nouimus artem quæ ſenſa ſaxo & vocem inſeruit. Enimuerò Dædalus ad motionem vſque generosè attentauerat; atque illius artificium vim materias mutandi, & loco transferendi, & ad choream excitandi habebat: verùm arduum ipſi, atque imperuium omnino fuit, opera voce prædita moliri. ſed Æthiopum manus meatus in iis quæ inacceſſa atque inuia erant excogitarunt, & taciturnitatem marmoris amouerunt. Illi certè Memnoni reſpondere Echum fama eſt, quoties loqueretur; & lugubre lamentanti, flebile carmen remittere: lætanti autem ſonum æmulum reddere. denique illud opificium interdiu mœrores ſopiebat, nec filiũ quærere permittebat; quaſi

A χαρᾷ, καὶ ἐπὶ ταῖς τῆς μητρὸς παρουσίαις φαιδρυνόμενος· νῦν δ᾽ ἀποκλινομένης εἰς νύκτα, ἐλεεινόν τι, καὶ ἀλγεινὸν ἔστενε, πρὸς τὴν ἀπουσίαν ἀνιώμενος. ἠπόρει δὲ οὐδὲ δακρύων ὁ λίθος, ἀλλ᾽ εἶχεν ὑπηρετούμενα τῇ βουλήσει καὶ ταῦτα. καὶ ἦν Μέμνονος ἡ εἰκὼν, μόνῳ τῷ ἀνθρωπείῳ διαλλάττειν μοι δοκοῦσα σώματι, ὑπὸ δὲ τύ-
B χης τινὸς ὁμοίας, καὶ προαιρέσεως ἀγομένη, κατηυθύνετο. εἶχεν οὖν ἐγκεκραμένα καὶ τὰ λυποῦντα· καὶ πάλιν ἡδονῆς αἴσθησις αὐτὸν κατελάμβανεν, ὑπ᾽ ἀμφοτέρων τῶν παθῶν πληττόμενον. καὶ ἡ μὲν φύσις, τὴν λίθων γένεσιν ἄφθογγον παρήγαγε, καὶ κωφὴν, καὶ μήτε ὑπὸ λύπης ἐθέλουσαν διοικῆσαι, μήτε εἰδυῖαν ἡσθῆναι, ἀλλὰ καὶ πάσαις τύχαις ἄτρωτον. ἐκεί-
C νῳ δὲ τῷ Μέμνονος λίθῳ καὶ ἡδονὴν προσέδωκεν ἡ φύσις, καὶ πέτραν ἀνέμιξεν ἀλγεινῷ. καὶ μόνην ταύτην ἐπιστάμεθα τὴν τέχνην, νοήματα λίθῳ, καὶ φωνὴν ἐνθεῖσαν. ὁ μὲν γὰρ Δαίδαλος, μέχρι μὲν κινήσεως ἐνεανιεύετο, καὶ δύναμιν εἶχεν ἡ ἐκείνου τέχνη ἐξιστάναι τὰς ὕλας, καὶ εἰς χορείαν κινεῖν. ἀμήχανον δὲ ἦν, καὶ παντελῶς ἄ-
D πορον, καὶ φωνῆς μέτοχα πραγματεύεσθαι τὰ ποιήματα. αἱ δὲ Αἰθιόπων χεῖρες πόρους τῶν ἀμηχάνων ἐξεῦρον, καὶ τὴν ἀφωνίαν ἐξενίκησαν τοῦ λίθου. ἐκεί- ἴσ. ἐξεώσαν
νῳ τῷ Μέμνονι καὶ τὴν Ἠχὼ λόγος ἀντηχεῖν, ὁπότε φθέγγοιτο· καὶ γοερὸν μὲν στενάζοντι, γοερὸν ἀντιπέμπειν μέλος· εὐπαθοῦντι δὲ, ἀνταποδιδόναι τὴν ἠχὴν ἀντίμιμον. ἐκεῖνο τὸ δημιούργημα καὶ τῇ ἡμέρᾳ τὰς ἀνίας ἐκοίμιζε, καὶ οὐκ εἴα μαστεύειν τὸν παῖδα, ὡς ἂν αὐτῇ-

θείσης αὐτῷ τῆς Αἰθιόπων τέχνης τὸν ἐκ A
τῆς εἱμαρμένης ἀφανισθέντα Μέμνονα.

Εἰς τὸ Ἀσκληπιοῦ ἄγαλμα.

Εἶτα τὸ μὲν Ἀργῷον σκάφος ἔμφωνον γενέσθαι πειθόμεθα, τὸ ὑπὸ τῆς Ἀθηνᾶς τεχνηθὲν χειρῶν, ᾧ καὶ τὴν ἐν ἄστροις ἐκληρώσατο τύχην· ἄγαλμα δὲ οὐ πιστεύομεν, εἰς ὃ τὰς δυνάμεις Ἀσκληπιὸς ἀνίησι, τὸν προνοητικὸν ἐπιστάζων νοῦν, ἐπὶ τὴν ἑαυτοῦ κοινωνίαν τοῦ B
σε* νικοῦντος τὴν δύναμιν πρέπειν. ἀλλ' εἰς μὲν ἀνθρώπινα σώματα κατάγεσθαι τὸ θεῖον δώσομεν, ἔνθα καὶ μιανθῆναι παθήμασιν· οὐ πιστεύσομεν δέ, εἰ μὴ ἂν ἔγγονον κακίας* παραπέφυκεν. ἐμοὶ μὲν οὖν, οὐ τύπος εἶναι δοκεῖ τὸ ὁρώμενον, ἀλλὰ τῆς ἀληθείας πλάσμα. ἰδοὺ γὰρ ὡς οὐκ αὖ ἠθοποιήτος ἡ τέχνη, ἀλλ' εἰκονισαμένη τὸν θεόν, εἰς αὐτὸν ἐξίσταται. ὕλη μὲν οὖσα, θεοειδὲς ἀναπέμπει νόημα· δημιούργημα δὲ χειρὸς τυγχάνουσα, ἃ μὴ δημιουργίαις ἔξεστι, πράττει, τεκμήρια ψυχῆς ἀρρήτων ἀποτίκτουσα. πρόσωπον δέ σοι θεασαμένῳ, δουλοῦται τὴν αἴσθησιν. οὐ γὰρ εἰς κάλλος ἐπίθετον ἐσχημάτισται, ἀλλὰ παιὰν καὶ ἵλεων ἀνακινεῖν ὄμμα· βάθος ἄφρασον ὑπαστράπτει, σεμνότητος αἰδοῖ μιγείσης. πλοκάμων δὲ ἕλικες ῥεόμενοι χάρισιν, οἱ μὲν εἰς νῶτα τεθηλότες, ἄφετοι κέχυνται. οἱ δὲ ὑπὲρ μετώπου πρὸς τὰς ὀφρῦς ἐπιπίπτοντες, τοῖς ὄμμασιν εἱλοῦνται. οἱ δὲ ἐκ τῆς ζωτικῆς αἰτίας καὶ αὐτοὶ καταρδόμενοι, εἰς τὴν τῶν βοστρύχων καμπὴν συνελίττονται, τῷ νόμῳ τῆς τέχνης μὴ πειθομένης τῆς ὕλης, ἀλλὰ νοούσης ὅτι σχηματίζει θεόν,

ἴσ. τῆς νόσου νικώσης,

quaſi Æthiopũ ars hoc ſolatio compenſaret Memnonẽ fato peremptũ.

IN SIGNVM ÆSCVLAPII.

Deinde Argo nauem vocalem extitiſſe credimus, vt Mineruæ manibus fabricatam, cui etiam Dea regionem inter aſtra ſorte aſſignauit: Statuam verò non credimus eiuſmodi fuiſſe? in quam vires Æſculapius infundit, & prouidentem inducit mentem ad ſui communionem, vt* victricem morborum potentiam decet. verùm in corpora humana ſanè numen deduci concedemus; ibíque affectibus maculari: at id minimè credemus, bono vitioſi quiddam, potius quàm recti, præter naturam accedere. mihi quidẽ ſimulacrũ non videtur, quod cernitur; ſed veritatis figmentũ. Ecce enim, vt non morũ ſimulatrix ars, ſed imaginem Dei exprimens, in C
ipſum demigrat: & materia cùm ſit, Deiformem intellectum emittit: & manus opificium exiſtens, ea quæ opificiis non licet, præſtat, dum animæ arcanorum indicia certa parit. vultus autem tibi intuenti, ſenſum in ſeruitutem redigit: Etenim non ad decus adiectitium cõformatus eſt, ſed, vt Pæan, hilarẽ & propitiũ excitat oculum: ac profunditas inexplicabilis ſub grauita- D
te fulget, verecundia admixta. Cinnorum autem circuli fluentes Gratiis, partim in terga florentes liberè funduntur, partim ſuper fronte ad ſupercilia pertinentes oculis inuoluuntur. deinde quaſi vitali ſcatebra, etiam ipſi irrigati, in flexũ comæ nodorum complicantur, artificij legi, materia non obtemperãte; ſed percipiente ſe Deum effingere,

Hic interpres ſua tantùm coniectura nititur.

& opus eſſe dominatu. Ceterùm cùm ea quæ oriuntur interire ſoleant, Signi forma, vt ſanitatis vim & naturam præ ſe ferens, vigore interitus experte acquiſito floret. Nos certè tibi, fili, ſermones iuueniles & Memoria editos exorſi ſumus; (ſed enim ita hortaris, opinor) verùm alacres & prompti iam ſumus ad accinendum tibi canticum, ſi Sanitatem tribueris.

καὶ δεῖ δυναστεύειν. τῶν δὲ γινομένων εἰωθότων φθείρεσθαι, ἡ τοῦ ἀγάλματος ἰδέα, ἅτε δὴ τῆς ὑγιείας τὴν οὐσίαν ἑαυτῇ φέρουσα, ἀκμὴν ἀνώλεθρον ἐπικτωμένη θάλλει. ἡμεῖς μὲν δή σοι καὶ λόγων, ὦ παῖ, νεαρῶν, καὶ μνήμης ἐκγόνων ἀπηρξάμεθα· κελεύεις γὰρ οἶμαι· πρόθυμος δέ σοι καὶ τὸν νόμον ᾄδειν, εἰ νέμοις ὑγείαν.

In Cupidinem alterum Praxitelis.

Devm ne in vrbis arce ſpectaſti, quem Praxiteles ſtatuit? ſi quidem tibi artis operæ pretium exhibere opus eſt; is nimirum puer fuit mollis & tener, artificio metallum ad mollem & iuuenilem venuſtatem emolliente. Deliciarum ac deſiderij plenus erat, & pubis florem indicabat. hæc autem omnia videre integrum erat ad artificij nutum mutari. Atenim mollis erat, cùm naturam teneritudini repugnantem haberet; & ad humidum traducebatur, æs humore vacuum: ac totum è natura ſua migrabat metallum; limites ſuos ad verum ſimulacrum transferens: atque exors ſpiritus, etiam ſpirantem auram ſubibat. Etenim quæ materia non acceperat, neque procreantem habuerat, horum ars copiam ſuggerebat. porrò genas rubore ſuffuſas habebat, quod admirabile profectò fuit, æs ruboré parere. Præterea puerilis ætatis erat, elucente flore. & comæ cincinni, ſupercilia ipſi premebant. Sed dum cingulo cæſariem capitis coronaret, & à ſuperciliis capillos diademate remoueret, nudá à nexibus capillorum fronté ſeruabat. Interim autem dum per partes expen-

Εἰς τὸν Πραξιτέλους ἔρωτα.

Τεθέασαι τὸν θεὸν ἐπ᾽ ἀκροπόλει, ὃν Πραξιτέλης ἵδρυσεν, εἰ δεῖ σοι τῆς τέχνης παραστῆναι τὸ πρᾶγμα. παῖς ἦν ἁπαλός τε, καὶ νέος, πρὸς τὸ μαλθακόν τε, καὶ νεοτήσιον τῆς τέχνης τὸν χαλκὸν μαλαπτούσης. χλιδῆς δὲ ἦν, καὶ ἱμέρου μεστός, καὶ τὸ τῆς ἥβης ἔφαινεν ἄνθος. πάντα δὲ ἦν ἰδεῖν πρὸς τὴν τῆς τέχνης βούλησιν ἀμειβόμενα. καὶ γὰρ ἁπαλὸς ἦν, μὴ * μαλθομένην (ἴσ. ἢ μὴ) τῇ ἁπαλότητι τὴν οὐσίαν ἔχων· καὶ πρὸς τὸ ὑγρὸν ἤγετο, ἐστερημένος ὑγρότητος. καὶ ὅλος ἐξέβαινε τῆς αὐτοῦ φύσεως ὁ χαλκός, σὺν ὅροις εἰς τὸν ἀληθῆ τύπον μεθιστάμενος. ἄμοιρος δὲ ὢν πνεύματος, καὶ τὸ ἔμπνουν ὑπεδύετο. ἃ γὰρ μὴ παρέλαβεν ὕλη, μηδὲ εἶχε τὸν φύντα, τούτων ἡ τέχνη τὴν ἐξουσίαν ἐποιεῖτο. ἐκινεῖτο δὲ τὰς παρειὰς ἐρυθήματι· ὃ δὴ καὶ παράδοξον ἦν, χαλκὸν τικτόμενον ἔρευθος. καὶ παιδικῆς ἦν ἡλικίας, ἄνθος ἐκλάμπων. κόμης δὲ εἶχεν ἕλικας ταῖς ὀφρύσιν ἐπιβαίνοντας. ὁ δὲ πλαμμύδι καταστέφων τὴν κεφαλῆς κόμην, καὶ ἐκ τῶν ὀφρύων ἀπωθούμενος τῷ διαδήματι τὰς τρίχας, γυμνὸν πλοκάμων ἐτήρει τὸ μέτωπον. ὡς δὲ καὶ κατὰ μέρος ἐξητά-

ζομένην τὴν τέχνην, καὶ τὰ ἐν αὐτῇ δὲ ἅλματα, ἀφασίᾳ πληγέντες εἱστήκειμεν. ὅ, τι γὰρ χαλκὸς ἐντρυφῇ καὶ λιπῶσαν ἐπεδείκνυτο τὴν σάρκα, καὶ πρὸς τὴν τῆς τριχὸς μίμησιν μεθηρμόζετο, ὅτε μὲν, βοστρύχων οὔλων πλοκαῖς συνεξηπτόμενος· ὅτε δὲ, θελούσῃ τῇ τριχὶ ἐκταθὲν κατὰ νώτου χεθῆναι συναπλούμενος, ὅτε δὲ ἐπιτεῖναι τὰ μέλη πρὸς τὸ σύντονον μεθιστάμενος. ὄμμα δὲ ἱμερῶδες αἰδοῖ συμμιγὲς, ἀφροδισίου ἐρωτικοῦ γέμον χάριτος. καὶ γὰρ ἤδη ζηλοῦν ὁ χαλκὸς τὸ ἐράσμιον· καὶ ὑπήκουσα ἐθέλοντι τῷ εἰδώλῳ γαυροῦσα. ἀκίνητος δὲ ὢν (ἴσως) ὁ εὔφημος, ἔδοξεν ἄν σοι κινήσεως μετέχειν, καὶ εἰς χορείαν ἐντρεπίζεσθαι.

χ. ὑπηκοῦσαι ἢ τ. ἱ. γαυρῶσαν

A dimus artem, & ſaltus qui in ipſa ſunt, taciturno ſtupore icti conſtitimus: æs namque compactam, opimam, ac nitidam indicabat carnem; & ad capillitij imitationẽ accommodabatur; interdum criſporum nodorum inuolucris implicitum: interdum ſpontaneo crine per terga fuſo, extenſum & explicatum: interdum artus intendebat, ad firmum tenorem redactum. Aſpectus porrò ſuauitatẽ verecundiæ admix- B tam habens, venerea gratia amatoria redundabat. Enimuerò metallum nouerat amabilem æmulari indolem, & obtemperare ſimulachro ſuperbè geſtienti. Denique celebre iſtud æs motus expers, vtique motionis particeps tibi videretur, & ſe ad choream accingere.

ΕΙΣ ΑΓΑΛΜΑ ΚΕΝΤΑΥΡΟΥ.

Εἰς ἱερὸν εἰσιὼν σεμνόν τι, καὶ μέγα, ὃ τὴν καλλίστην εἰκασίαν, εἰς ἑαυτὸ μεθίστη, ἐν τοῖς προπυλαίοις τοῦ νεὼ ἱδρυμένον θεῶμαι Κένταυρον, οὐκ ἀνδρὶ, κατὰ τὴν Ὁμήρειον εἰκόνα, ἀλλὰ θηρίῳ παραπλήσιον ὑλήεντι. ἄνθρωπος ἦν ἄχρι λαγόνος κάτωθεν ὁ κένταυρος, ἐς ἵππου βάσιν τετρασκελῆ λήγων. τῶν* γὰρ ἵππων, καὶ τῶν ἀνθρώπων ἡ φύσις, ἐξ ἡμισείας τεμοῦσα, εἰς ἓν σῶμα συνήρμοσε, τὰ μὲν, ἀποκρίνασα τῶν μερῶν, τὰ δὲ ἀλλήλοις τεχνησαμένη σύμφωνα. τῆς μὲν γὰρ ἀνθρωπίνης, ὅσον ἀπ᾽ ἰξύος εἰς ἄκραν ὑποφέρεται τὴν βάσιν, ἀφεῖλε. τοῦ δὲ ἵππου σώματος, ὅσον εἰς ὀμφαλὸν καταβαίνει τεμοῦσα, τῷ ἀνθρωπείῳ συνῆγε τύπῳ. ὡς τὸν μὲν ἵππον, τὴν κεφαλὴν ποθεῖν καὶ τοὺς αὐχενίους τένοντας, καὶ

ἴσ. τὴν γὰρ ἵππου καὶ τὴν ἀνθρώπου

IN CENTAVRI STATVAM.

C INGRESSVS in templũ ingens ac venerabile quod pulcherrimam in ſe formam cõtinebat, veſtibulum ante ipſum primóq; in limine Centaurum video, non viro, ex Homerica imagine, ſed belluæ ſyluicolæ aſſimilem. homo quippe erat vſque ad ilia deſcendendo Centaurus, in equi greſſum quatuor cruribus nixum deſinebat. etenim equum & hominem Natura à dimidio ſecans in vnum corpus compe- D gerat, partim artubus quibuſdam ſecretis, partim ſibi inuicem conſonantibus fabricatis: ſedenim à forma humana, quantum à lumbo ad imos pedes ſubtenditur, detraxit: equino autem corpori ademptam reliquam partem ab vmbilico deſcendentem, humanæ effigiei contribuit: ita vt equus caput deſideraret, & ceruicales toros, &

Odyſſ. φ.

quicquid in terga deſcendens latè extenditur: homo verò ab vmbilico ad pedum vſque plantam ſtabilimentum requirat. Porrò, cùm tale ſit corpus, videas animum, in artificio eminentem, & corpus efferatum, & vultui belluinum quiddam efflorefcens: & marmor pilorum ornamentum pulcherrimè repræſentans, & omnia ad verum ſimulacrum properantia.

A ὅσον εἰς τὸ νῶτον καταβαῖνον εὐρύνεται. τὸν δὲ ἄνθρωπον, ἀπὸ ὀμφαλοῦ μέχρι τῆς βάσεως στηριγμὸν ζητεῖν. τοιούτου δὲ ὄντος τοῦ σώματι, εἶδες ἂν θυμὸν ἐπιπλέοντα τῷ τεχνήματι, καὶ ἠγριωμένον τὸ σῶμα, καὶ τῷ προσώπῳ θηριῶδες ἐπανθοῦν, καὶ τὸ τῆς τριχὸς κάλλιστα ὑποκρινομένην τὴν πέτραν, καὶ πάντα πρὸς τὸν ἀληθῆ τύπον ἀποδιδόντα.

B

IN SIGNVM MEDEÆ.

VIDI etiam famoſam in limitibus Macedonũ Medeam. marmor erat animi formam indicans, cùm ars in eo lapide expreſſiſſet ea quæ complemento ſunt animæ. Atenim cogitationem arguebat res patefacta, & animi æſtus inſurgebat, & ad triſtitiæ effectum imago tranſibat. vt paucis comprehendam, id quod cernebatur, expoſitio erat facinoris ab ipſa parati. nam cogitatio magis quàm actio mulieris conſilia aperiebat: feruor autẽ animi, impetu iræ præſcriptus, naturã ad opus excitabat, ad cædis appetitum inducens. mœſtitia verò miſerationẽ ſuper filiis conceptã deſignabat, vt in maternam prudentiam occultè ex animi æſtu marmor traheret. non enim inflexa, neq; belluina erat imago, ſed in furoris & inſaniæ indiciũ diuidebatur, muliebris ingenij conſiliis inſeruiens: ſedenim par fuit, vt poſt bilem fœmina à furore libera, ad cõmiſerationem cõuerteretur; & ad mali notionem accedẽs animus miſeraretur. hos ſanè corporis affectus imago exprimebat; & videre marmor licebat, modo furorem

ΕΙΣ ΤΟ ΜΗΔΕΙΑΣ ΑΓΑΛΜΑ.

Εἶδον καὶ τὴν πολυθρύλλητον ἐν ὅροις Μακεδόνων Μήδειαν. λίθος ἦν, μηνύων τὸ τῆς ψυχῆς εἶδος ἀπομαξαμένης εἰς αὐτὴν τῆς τέχνης τὰ συμπληροῦντα τὴν ψυχήν. καὶ γὰρ λογισμοῦ κατηγορεῖτο δήλωμα, καὶ θυμὸς ὑπανίστατο, καὶ πρὸς λύπης διάθεσιν μετέβαινεν ἡ εἰκών. καὶ C ὡς βραχέως εἰπεῖν, τοῦ περὶ αὐτὴν δράματος ἐξήγησις ἦν τὸ ὁρώμενον. ὁ μὲν γὰρ λογισμὸς, ὑπὲρ τὴν πρᾶξιν ἐδήλου τῆς γυναικὸς τὰ βουλεύματα. ὁ δὲ θυμὸς, τῇ ῥύμῃ τῆς ὀργῆς παραγραφόμενος, τὴν φύσιν πρὸς τὸ ἔργον ἤγειρε, τὴν ἐπὶ τὸν φόνον ὁρμὴν* εἰσαγόμενος. ἡ λύπη δὲ, τὸν ἐπὶ τοῖς παισὶν ἐπεσήμαινεν οἶκτον· εἰς τὴν μητρῴαν σύνεσιν ἀφ- D ρόνως* ἐκ τοῦ θυμοῦ τὴν λίθον ἕλκουσα. *ἴσ. ἀῤῥήτως.* οὐ γὰρ ἄτεχνος, οὐδὲ θηριώδης ἡ εἰκών· ἀλλ' εἰς θυμοῦ, καὶ μανίας ἔνδειξιν διῃρεῖτο, ὑπηρετουμένη τοῖς τῆς γυναικὸς φύσεως βουλεύμασιν. εἰκὸς γὰρ ἦν μετὰ τὸν χόλον καθαρεύουσαν τοῦ θυμοῦ, ἐπιστρέφεσθαι πρὸς οἶκτον, καὶ εἰς ἔννοιαν ἐρχομένην τοῦ κακοῦ, τὴν ψυχὴν οἰκτίζεσθαι. ταῦτα μὲν τοῦ σώματος τὰ πάθη ἡ εἰκὼν ἐμιμεῖτο. καὶ ἦν ἰδεῖν τὴν λίθον ὅτε μὲν, φέρουσαν

τὸν θυμὸν ἐν ὄμμασιν, ὅτε δὲ, σκυθρωπὸν ὁρῶσαν, καὶ μαλαττομένην εἰς στενότητα, ὥσπερ ἄντικρυς τοῦ τεχνησαμένου τὴν ὁρμὴν, εἰς τῆς Εὐριπίδου δραματοποιΐας πλήσαντος τὴν μίμησιν. καὶ βουλεύεται, συνδιακινοῦσα καὶ σύνεσιν ἔμφρονα, καὶ εἰς θυμὸν ἀγριαίνει τὸ ἦθος, τοὺς πεπεικότας* τῇ φύσει, πρὸς τὰ ἔγγονα τῆς φιλογονίας ὅρους ἐκβάλλουσα, καὶ παιδικῶν λόγων μετὰ τὴν ἄνομον σφαγὴν ἅπτεται. ἦν δὲ αὐτῇ καὶ ξιφηφόρος ἡ χείρ, διακονεῖν ἑτοίμη τῷ θυμῷ, ἐπὶ τὸ μίασμα ἀποδύσῃ· καὶ ἠμελημένη θρὶξ, τὸ αὐχμηρὸν ἐπισημαίνουσα· καὶ στολή τις πένθιμος ἀκόλουθος τῇ ψυχῇ.

ἴσ. πεπηγότας

A oculis exhibens; interdum mœrentis inſtar intuens, atque emollitū ad anguſtias, vt ſi apertè artifex fabricatus eſſet impetum, & compleuiſſet ad Euripidis tragici actus imitationem. hîc etiam illa deliberat, commouens ſagacitatem prudétem; atque in furorem irritat indolem, fixos à natura terminos charitatis in propios fœtus expellens: deinde poſt illegitimam cædem amatorios ſermones inſtituit. Cæterùm manus B ipſi enſifera fuit, ad inſeruiendum animo parata, dum ad flagitia properat: & incompta coma, ſqualorem arguit; & amictus quidam lugubris affectui conſentaneus eſt.

Εἰς ἄγαλμα Ἀθάμαντος.

Εἰκὼν ἦν ἐπὶ ταῖς Σκυθικαῖς ἠϊόσιν, οὐκ εἰς ἐπίδειξιν, ἀλλὰ* καὶ ἀγωνίαν τῶν γραφῆς καλῶν, οὐ* κάλλοις, ὡς ἐξησκημένη. ἐκτετύπωτο δὲ κατ' αὐτὴν Ἀθάμας, μανίας οἰστρούμενος. ἦν δ' ἰδεῖν γυμνὸς, αἵματι φοινίσσων τὴν κόμην, ἠνεμωμένος τὴν τρίχα, παράφορος τὸ ὄμμα, ἐκπληξίας γέμων. καὶ ὥπλιστο δὲ οὐ μανίαις μόνον εἰς τόλμαν, οὐδὲ τοῖς ἐξ Ἐριννύων δείμασι δημοφθόροις ἠγρίωτο· ἀλλὰ καὶ σίδηρος τῆς χειρὸς παρεξεβέβλητο, ἐκθέοντι παραπλήσιος. ἡ μὲν γὰρ χεὶρ, ὄντως ἦν ἀκίνητος· ἐδόκει δὲ οὐ τι ἦν τὸ στάσιμον, ἀλλὰ δόξῃ κινήσεως ὑπὸ τοῦ φόβου χλωρόν τι, καὶ τεθνηκὼς ὁρῶσα. ἐνηγκάλιστο δὲ καὶ παῖδα νήπιον, καὶ τὴν θηλὴν τοῖς χείλεσιν αὐτοῦ προσῆγε, τὰς τροφίμους ἐπιστάζουσα πηγὰς τοῖς τροφίμοις. ἐπείγετο δὲ ἡ εἰκὼν καὶ τὴν ἄκραν τοῦ Σκέῤῥωνος, καὶ τὴν θάλατταν τὴν

ἴσ. ἀλλ' εἰς · *ἴσ. ἢ κ.* · *γρ. Σκιῤ.*

In Athamantis ſignum.

Simulachrum fuit in Scythicis ripis; non ad oſtentationem, ſed ad concertationem eorum quæ in C pictura præclara ſunt, ac pulchritudinis, vt arte elaboratum. Expreſſus verò eſt in ea imagine Athamas, furoris ſtimulis percitus: & nudus repræſentabatur, coma ſanguine infecta: ventis agitata cæſarie: oculo tranſuerſum intuente; ſtupore percuſſus: & non inſania tantùm ad audaciam armatus fuit; nec terroribus exitioſis à Furiis iniectis efferatus ſæuiebat. quinetiā ferrum manui obtenſum erat, excurréti ſimile. Etenim manus reuera im- D mota erat: ſed quod ſtabile erat, non videbatur; verū opinione motionis præ formidine pallidū quiddam & mortuum innuebat. infanté etiam puerum vlnis amplexabatur, & papillam labiis ipſius admouebat; fontes alibres inſtillans alumnis. Porrò imago ſatagebat ad iugum Scirronis, & mare monti vicinum.

cinum. Fluctus autem ad excipiendum ſinuabatur, æſtuare ſolitus. porrò aliquid Fauonij corpus diffundebat, ſtridulo flatu mare ſopientis. at enim cera ſenſus imaginem exhibebat, vt quæ etiam ſpiritũ fabricari ſciret, & marinas aureas flatus eiaculari, atque ad naturæ opera imitationem adducere. Aſſultabant etiam marini delphines, procellas in ſculptura ſecantes. ſic cera afflari videbatur, & ad maris imitamen expreſſa, dum ſe ad vagam ipſius licentiam variaret. Deinde in tabulæ limitibus Amphitrite altè demerſa, ac ſæuum quiddam atque horridum cernens; & quaſi Solare iubar ex oculis emittebat. Nereïdes certè ei adſtabant: quæ molles venuſtæque erant, & viſu floridæ, ac Venereum deſiderium ex oculis ſtillantes: ac ſuper extremis fluctibus æquoris iter replicantes feriebant. Circum eas mirùm abierat Oceanus, non longè à fluminis motione quæ fluctuare didicerat.

A ὑπόρφνον.* τὸ δὲ ῥόθιον, πρὸς ὑποδοχὴν ἐκολποῦτο, κυμαίνειν εἰωθός. καὶ Ζεφύρου τι κατεῖχε τὸ σῶμα, λιγυρῷ τινι ἄσθματι τὴν θάλασσαν κατευνάζοντος. ὁ γὰρ δὴ κηρὸς ἐφάνταζε τὴν αἴσθησιν, ὡς καὶ πνοὴν δημιουργεῖν ἐπιστάμενος, καὶ ἀνακοντίζειν θαλασσίους αὔρας, καὶ εἰς ἔργα φύσεως ἐπάγειν τὴν μίμησιν. παρεσκίρτων δὲ καὶ εἰνάλιοι δελφῖνες, τὸ ῥόθιον ἐν τῇ γραφῇ τέμνοντες. καὶ ὁ κηρὸς B ἐδόκει διαπνέεσθαι, καὶ πρὸς τὸ τῆς θαλάσσης νομίζεσθαι μίμημα, πρὸς αὐτὴν τὴν ἐξουσίαν ἐξαλλαττόμενος.* εἰ γέ μοι τοῖς τοῦ πίνακος τέρμασιν ἀμφιτρίτη ἐκβυθιζομένη, ἀγελόν τι, καὶ φρικῶδες ὁρῶσα, καὶ ἡλιακόν τι σέλας ἐκ τῶν ὀμμάτων μαρμαίρουσα. Νηρηΐδες δὲ περὶ αὐτὴν εἱστήκεσαν· ἁπαλαὶ δὲ ἦσαν αὗται καὶ ἀνθηραὶ προσιδεῖν, καὶ Ἀφροδίσιον ἵμερον ἐξ ὀμμάτων στάζουσαι. ὑπὲρ δὲ ἄκρων τῶν θαλασσίων κυμάτων ἑλίσσουσαι τὴν πορείαν ἐπλήττον. περὶ δὲ αὐτὰς Ὠκεανὸς, φεῦ, ᾤχετό γε, μικροῦ τῆς τοῦ ποταμοῦ κινήσεως, καὶ κυμαίνειν διδαχθείσης.

κ. ὑπορ.

ἴσ. ὄχ μοι.

Τῶν τοῦ Καλλιστράτου Εκφράσεων τέλος.

ΕΠΙΣΤΟΛΑΙ ΦΙΛΟΣΤΡΑΤΟΥ.

EPISTOLAE PHILOSTRATI.

A

ΑΣΠΑΣΙΑι.

ΤΟΝ ἐπιστολικὸν χαρακτῆρα τοῦ λόγου μετὰ τοὺς παλαιοὺς, ἄριστά μοι διεσκέφθαι δοκοῦσι φιλοσόφων μὲν ὁ Τυανεὺς καὶ Δίων· στρατηγῶν δὲ Βροῦτος ἢ ὅτῳ Βροῦτος ἐς τὸ ἐπιστέλλειν ἐχρῆτο. βασιλέων δὲ ὁ θεσπέσιος Μάρκος, ἐν οἷς αὐτὸς ἐπέστελ- B λε. πρὸς γὰρ τῷ κεκριμένῳ τοῦ λόγου, καὶ τὸ ἑδραῖον τοῦ ἤθους ἐντετύπωται τοῖς γράμμασι· ῥητόρων δὲ ἄριστα μὲν Ἡρώδης ὁ Ἀθηναῖος ἐπέστελλεν. ὑπεραττικίζων δὲ καὶ ὑπερλαλῶν, ἐκπίπτει πολλαχοῦ τοῦ πρέποντος ἐπιστολῇ χαρακτῆρος. δεῖ γὰρ φαίνεσθαι τὴν τῶν ἐπιστολῶν ἰδέαν, ἀττικεστέραν μὲν συνηθείας· συνηθεστέραν δὲ ἀττικίσεως· καὶ συγκεῖσθαι μὲν πολιτικῶς, τοῦ δὲ ἁβροῦ μὴ ἀ- C παᾴδειν. ἐχέτω καὶ τὸ εὔσχημον ἐν τῷ μὴ ἐσχηματίσθαι. εἰ γὰρ σχηματιοῦμεν, φιλοτιμεῖσθαι δόξομεν. φιλοτιμία δὲ ἐν ἐπιστολῇ μειρακιῶδες. κύκλον δὲ ἀποτορνεύειν, ἐν μὲν ταῖς βραχυτέραις τῶν ἐπιστολῶν, συγχωρῶ· ἵνα τούτῳ γοῦν ἡ βραχυλογία ὡραΐζοιτο ἐς ἄλλην ἠχὼ πᾶσα στενὴ οὖσα. τῶν δὲ ἐς μῆκος προηγμένων ἐπιστολῶν, ἐξαιρεῖν χρὴ κύκλους. ἀγωνιστικώτερον γὰρ ἢ κατ' ἐπιστολὴν τοῦτο. πλὴν εἰ μήπω ἐπὶ

ASPASIAE.

EPISTOLAREM orationis ſtylum, poſt veteres optimè mihi tractaſſe videtur: ex Philoſophis Tyaneus & Dion; ex ducibus militiæ Brutus, aut quocunque Brutus ad ſcribendas literas eſt vſus: ex regibus verò diuinus Marcus, in his quæ ipſe ſcripſit, etenim præter acumen & elegantiã ſermonis, etiam morum quædam firmitas & conſtantia in literis impreſſa eſt. Ex oratorib. optimè quidem Herodes Athenienſis ſcripſit. verùm Attica lingua & garrulitate nimia vtens, excedit ſæpè conuenientem epiſtolæ ſtylum. Oportet enim epiſtolarem formam apparere, magis Atticam conſuetudine, conſuetiorem tamen Attico ſermone: & componi quidem ciuili loquendi genere: à deliciis autem & venuſtate non abhorrere. Habeat etiam quandam figuram, in eo quod non figurata ſit. Si enim figurabimus, ingenium oſtentare videbimur. Oſtentatio autem in epiſtola puerilis eſt. Circuitum verò abſoluere in breuioribus epiſtolis, permitto, vt ea re ſaltem paucitas verborum decoretur in alium ſonum; cùm anguſta ſit & arcta. Ex his autem epiſtolis, quæ in longitudinem producuntur, planè cõprehenſiones tollendæ ſunt, pugnacius enim, id eſt, quàm vt epiſtolæ quadret, niſi cùm nondum in

fine epiſtolarum, aut comprehendere prædicta neceſſe eſt, aut concludere vnam de omnibus ſententiam. Perſpicuitas, optima dux eſt, cùm omnis orationis, tum præſertim epiſtolæ. Nam & dantes & precantes atque concedentes & contrà, item accuſantes defendentéſque & interrogantes, faciliùs perſuadebimus, ſi planè ac dilucidè explicabimus: Planè autem ac dilucidè explicabimus etiam extra tenuem & vulgarem orationis modum, ſi de cogitatis communia nouiter, noua vero communiter dixerimus.

A τελευτῆς τῶν ἐπεσταλμένων, ἢ ξυλλαβεῖν δέοι τὰ προειρημένα, ἢ ξυγκλεῖσαι τὸ ἐπὶ πᾶσι νόημα. σαφήνεια δὲ, ἀγαθὴ μὲν ἡγεμὼν ἅπαντος λόγου· μάλιστα δὲ ἐπιστολῆς. καὶ γὰρ διδόντες, καὶ δεόμενοι, καὶ ξυγχωροῦντες καὶ μὴ, καὶ κατηγορούμενοι καὶ ἀπολογούμενοι, καὶ ἐρωτῶντες, ῥᾶον πείσομεν ἢν σαφῶς ἑρμηνεύσομεν. σαφῶς δὲ ἑρμηνεύσομεν καὶ ἔξω εὐτελείας, ἢν τῶν νοηθέντων τὰ μὲν κοι-
B νὰ καινῶς, τὰ δὲ καινὰ κοινῶς φράζωμεν.

Berenicæ.

Ignea miltus labra genáſque fingens, impedimento eſt oſculis. Arguit etiam ſenectam ac deformitatem faciei; ſub qua liuidum quidem os, rugoſa gena ac defloreſcens. Mitte fuci colorationem, & nihil ad formæ elegantiam adde, *ne te etiam accuſem ſenectutis, ob faciei picturam.*

Βερενίκῃ.

Ἡ πυρσαίνουσα μίλτος τὰ χείλη καὶ τὴν παρειὰν γράφουσα, κώλυμα φιλημάτων. κατηγορεῖ δὲ καὶ γῆρας τοῦ προσώπου· ὑφ' οὗ πελιδνὸν μὲν τὸ στόμα· ῥυσσὴ δὲ ἡ παρειὰ καὶ ἔξωρος. ἴσχε δὴ χρωματοποιίαν καὶ μηδὲν ἐπιποίει τῷ κάλλει· μὴ καὶ γράψωμαί σε γή-
C ρως ἐπὶ τῇ τοῦ προσώπου γραφῇ.

Athenodoro.

Oculi conſiliarij ſunt amandi, tu vero auditione ac rumore ſolùm amas Ionicum adoleſcentulũ, cùm habites Corinthi. Hoc autem furioſum apparet iis qui nondum ſciunt iſtud, *Mens videt* &c.

Oculi ſunt in amore duces.

Ἀθηνοδώρῳ.

ΟΙ ὀφθαλμοὶ ξύμβουλοι τοῦ ἐρᾶν. σὺ δὲ ἀκοὴν ἀκούσας, ἐρᾷς Ἰωνικοῦ μειρακίου, οἰκῶν Κόρινθον. τοῦτο δὲ μανικὸν φαίνεται τοῖς οὔπω εἰδόσιν, ὅτι νοῦς ὁρᾷ.

Epicteto.

Si plauſu ſtolido delectaris, & Ciconiarum, *quia accedentes ad nos plaudunt, tanto ſapientiorem ac moderatiorẽ gentem illarum exiſtima populo Athenienſiũ, quod pro ſuis plauſibus nihil mercedis petunt.

Ἐπικτήτῳ.

Εἰ κρότῳ ἀνοήτῳ χαίρεις, καὶ τοὺς πε-
D λαργοὺς ἐπειδὰν περιιόντες ἡμᾶς κροτῶσιν, ἡγοῦ δῆμον τοσούτῳ σωφρονέστερον τοῦ Ἀθηναίων, ὅσῳ μηδὲ αἰτοῦσι μηδὲν ὑπὲρ τοῦ κροτεῖν.

Ariſtobulo.

Amantem tolerare modeſtius eſt, quàm omnino non amari. Nam & in bellicis rebus viri ſunt, non qui nullum omnino vulnus accipiunt, ſed qui victoriam vulneribus conſequuntur.

Ἀριστοβούλῳ.

Τὸ δὲ ἐρῶντα καρτερεῖν, σωφρονέστερον τοῦ μηδὲ ἐρασθῆναι. καὶ γὰρ δὴ καὶ τὰ πολεμικὰ ἄνδρες οὐχ οἱ μὴ τρωθέντες, ἀλλ' οἱ νικῶντες ἐν τραύμασιν.

A

Ἀθηναΐδι.

Τὸ μὲν μὴ ἐρῶντι χαρίζεσθαι, Λυσίου δόξα. τὸ δὲ ἐρῶντι δοκεῖ Πλάτωνι. σὺ δὲ καὶ ἐρῶντι καὶ μὴ ἐρῶντι. τοῦτο δὲ σοφὸς μὲν οὐδεὶς, Λαῒς δὲ, οἶμαι, ἐπῄνει.

Ἐπικτήτῳ.

Φοβοῦ δῆμον, παρ' ᾧ πολλὰ δύνασαι.

Χαρίτωνι.

Μεμνήσεσθαι τῶν σῶν λόγων οἴει τοὺς Ἕλληνας, ἐπειδὰν τελευτήσῃς. οἱ δὲ μηδὲν ὄντες ὁπότε εἰσὶ, τίνες ἂν εἶεν ὁπότε οὐκ εἰσί.

B

Νέστορι.

Ἔπεμψά σοι σῦκα ἠρινά. θαυμάζοις δ' ἂν αὐτῶν ἢ τὸ ἤδη ἢ τὸ ἔτι.

Διοδώρῳ.

Τὰς ἀπυρήνους ῥόας Ἐρυθραὶ κηπεύουσιν, οἰνοχοούσας νᾶμα πότιμον, ὥσπερ τῶν βοτρύων οἱ εὖ πράττοντες. δέκα σοι τούτων τρυγήσας ἔπεμψα. χρῶ δὲ αὐταῖς, σιτούμενος μὲν ὡς οἴνῳ, μεθύων δὲ ὡς σίτῳ.

C

Φιλήμονι.

Τὸν τραγῳδὸν Διοκλέα, εἰ μὲν ἤδη γινώσκεις, ἐπαινεῖς δή που. εἰ δὲ ἀγνοεῖς, ἐν τοῖς ἐπαινουμένοις γράφε. καὶ γίνου περὶ αὐτὸν οἷον εἰκὸς, ἢ τὸν πεπεισμένον, ἢ τὸν μὴ ἀπιστοῦντα.

Μειρακίῳ.

Καὶ σὺ πονηρὸς οὕτως, ὡς μηδένα ἄλλον ἐλεεῖν, κἀγὼ δυστυχὴς οὕτως ὡς μηδὲ παρ' ἄλλου λαβεῖν. καὶ πάνυ χαίρω τῇ κακοπραγίᾳ βουλόμενος μὴ παύσασθαι διαμαρτάνων, ἵνα παύσῃ μηδὲ σὺ τῆς ἐπὶ τῷ μιαρῷ τούτῳ τρόπου κακοδοξίας. τὸ μὲν γὰρ ἐμὸν, μιᾶς ἔργον ἡδονῆς. τὸ δὲ σὸν, κοινὸν εἰς διαβολὴν τῆς παρὰ πάντων αἰτίας.

D

A

Athenaidi.

Non *amanti largiri, Lyſiæ opinio. Amanti verò donare, probatur Platoni. Tu & amanti & non amanti. Hoc autem nemo ſapiens, ſed Laîs vt opinor laudaſſet.

Epicteto.

Time populum, apud quem multùm potes.

Charitoni.

Putas Græcos tuarum orationum memoriam retenturos, cùm tu è vita exceſſeris. Qui verò nihil ſunt, cùm ſunt, quinam hi futuri ſunt, cùm non amplius ſunt?

B

Neſtori.

Miſi tibi ficus vernas. Mirareris in iis aut quòd iam ſunt, aut quòd adhuc ſunt.

Diodoro.

Mala punica Erythræ cõſerunt, fundentia vineum liquorem potabilem, velut botri bene creſcentes. Decem ex his decerptas tibi miſi. Vtere eis, veſcens vt vino, inebriatus vt cibo.

C

Philemoni.

Tragœdum Dioclem, ſi iam tibi notus eſt, proculdubio laudas. Sin ignotus, in laudatorum numero ſcribe. Et ita te erga illum præbe vt par eſt, qui aut perſuaſus ſit, aut non diffidat.

Deliciis ſuis.

Et tu ita malus es, vt nullius alterius miſerearis: & ego ita infortunatus, vt à nullo alio conſequar miſericordiam. At prorſus mihi grata eſt infelicitas, & ſine fine. repulſam pati volo vt tu quoque ſine fine ob immane & ſceleſtum ingenium prauus videaris. Meum enim, vnius munus eſt tantummodo voluptatis. Tuum verò commune ad calumniam omnium hominum criminationis.

D

Iuliæ Auguſtæ.

Neque diuinus Plato ; Sophiſtis inuidit ; etſi id omnino quibuſdam perſuaſum ſit : ſed iccirco æmulatorium in illos animum geſſit , quod obambularent , magnas paruáſque ciuitates pariter demulcendo , ad Orphei ac Thamyri modum. Vt inuideret autē tantùm abfuit, quantum ambitioſa æmulatio ab inuidia. Nam inuidia vitioſa ac peruerſa ingenia nutrit. Æmulatio vero ſplendidos excitat. Et inuidet quiſpiam his quæ ipſe conſequi non poteſt. Quibus vero melior aut peior reddatur, hæc æmulatur. Plato igitur & Ideas Sophiſtarum probauit : ac neque Gorgiæ permittit *vt ipſi* antecellat in Gorgiſſando ; & multa ſecundum Hippiæ ac Protagoræ ideā diſſerit. Æmulatores autem fuerunt, alij quidem aliorum. Nam & Gryllides æmulatur Herculem Prodici , cùm Prodicus Nequitiam & Virtutē ducit ad Herculē, vocantes eum ad vitæ inſtitutum. Gorgiæ vero admiratores extiterunt præſtantiſſimi ac plurimi. Primùm quidem Græci qui fuerunt in Theſſalia , apud quos oratoriæ artes profeſſioni Gorgiaſmi nomē indiderunt. Deinde vniuerſa Græcia apud quos ludis Olympiacis orationes habuit cōtra Barbaros, è templi repagulis. Dicitur etiam Aſpaſia Mileſia Periclis linguā, ad Gorgiæ imitationem exacuiſſe. Critiā vero & Thucydidē non clam eſt magnitudinem animi ac ſupercilium ab eo accepiſſe. Tranſtulerunt autē ad propria, alter ad linguę promptitudinem, alter ad robur. Et Æſchines à Socrate profectus, quem tu nuper laudare contendebas , vt non obſcurè dialogos caſtigantem,

A Ἰουλίᾳ σεβαστῇ.

Οὐδὲ ὁ θεσπέσιος Πλάτων, τοῖς σοφισταῖς ἐβάσκηνε, καὶ σφόδρα ἐνίοις δοκεῖ τοῦτο· ἀλλὰ φιλοτίμως μὲν πρὸς αὐτοὺς εἶχεν ἐπεὶ διεφοίτων θέλγοντες μικρὰς τὲ καὶ μείζους πόλεις, τὸν Ὀρφέως καὶ Θαμύρου τρόπον. τοῦ δὲ βασκαίνειν ἀπέχει τοσοῦτον, ὅσον φιλοτιμία φθόνου. φθόνος μὲν γὰρ τρέφει τὰς μοχθηρὰς φύσεις· φιλοτιμία δὲ τὰς λαμπρὰς ἐγείρει. B καὶ βασκαίνει μέν τις τὰ μὴ ἑαυτῷ ἐφικτά. ἃ δὲ ἄμεινον ἢ μὴ χεῖρον διαθήσεται, φιλοτιμεῖται πρὸς ταῦτα. ὁ γοῦν Πλάτων, καὶ εἰς τὰς ἰδέας τῶν σοφιστῶν ἴεται. καὶ οὔτε τῷ Γοργίᾳ παρίησι τὸ ἑαυτοῦ ἄμεινον γοργιάζειν πολλά τε κατὰ τὴν Ἱππίου καὶ Πρωταγόρου φθέγγεται. ζηλωταὶ δὲ ἐγένοντο, ἄλλοι μὲν ἄλλων. καὶ γὰρ δὴ καὶ ὁ τοῦ Γρύλλου C φιλοτιμεῖται πρὸς τὸν τοῦ Προδίκου Ἡρακλέα. ὁπότε ὁ Πρόδικος τὴν κακίαν καὶ τὴν ἀρετὴν ἄγει παρὰ τὸν Ἡρακλέα καλούσας αὐτὸν εἰς βίου αἵρεσιν, Γοργίου δὲ θαυμασταὶ ἦσαν ἄριστοί τε καὶ πλεῖστοι πρῶτον μὲν οἱ κατὰ Θετταλίαν Ἕλληνες, παρ' οἷς τὸ ῥητορεύειν γοργιάζειν ἐπωνυμίαν ἔσχεν. εἶτα τὸ ξύμπαν Ἑλληνικὸν, ἐν οἷς Ὀλυμπιᾶσι διελέχθη D κατὰ τῶν Βαρβάρων ἀπὸ τοῦ νεὼ βαλβίδος. λέγεται δὲ καὶ Ἀσπασία, ἡ Μιλησία τὴν τοῦ Περικλέους γλῶτταν, κατὰ τὸν Γοργίαν θῆξαι. Κριτίας δὲ καὶ Θουκυδίδης οὐκ ἀγνοοῦνται τὸ μεγαλόγνωμον καὶ τὴν ὀφρῦν παρ' αὐτοῦ κεκτημένοι. μεταποιοῦντες δὲ αὐτὸ εἰς τὸ οἰκεῖον, ὁ μὲν ὑπ' εὐγλωττίας, ὁ δ' αὖ ὑπὸ ῥώμης. καὶ Αἰσχίνης δὲ ὁ ἀπὸ τοῦ Σωκράτους ὑπὲρ οὗ πρώην ἐσπούδαζες, ὡς οὐκ ἀφανῶς τοὺς διαλόγους κολάζοντος,

οὐκ ὤκνει γοργιάζειν ἐν τῷ περὶ τῆς Θαργηλίας λόγῳ. Φησὶ γάρ που ὧδε· Θαργηλία ἐλθοῦσα εἰς Θετταλίαν, ξυνῆν Ἀντιόχῳ Θετταλῷ, βασιλεύοντι πάντων Θετταλῶν. αἱ δὲ ἀποστάσεις εἴτε προσβολαὶ τῶν λόγων Γοργίου ἐπεχωρίαζον πολλαχοῦ μέν, μάλιστα δὲ ἐν τῷ τῶν ἐποποιῶν κύκλῳ. πεῖθε δὴ καὶ σύ, ὦ βασίλεια, τὸν θαρσαλεώτερον τοῦ Ἑλληνικοῦ Πλούταρχον μὴ ἄχθεσθαι τοῖς σοφισταῖς· μηδὲ εἰς διαβολὰς καθίστασθαι τοῦ Γοργίου. εἰ δὲ οὐ πείθεις, σὺ μὲν οἵα που σοφία καὶ μῆτις, οἶσθα τί χρὴ ὄνομα θέσθαι τῷ τοιῷδε. ἐγὼ δὲ εἰπεῖν ἔχων, οὐκ ἔχω.

Μειρακίῳ.

ΟΙ ἐρωτικοὶ τῶν ποιητῶν ἀγαθὴ ἀκρόασις καὶ ἐξώροις. ἄγουσι γὰρ αὐτοὺς ἐς ἔννοιαν τοῦ ἐρᾶν, ὥσπερ ἀνηβηκότας. μὴ δὴ νόμιζε σεαυτὸν ὑπερήμερον* τῆς τούτων ἀκροάσεως. ἡ γὰρ ξυνουσία τῶν τοιῶνδε ποιητῶν, ἢ οὐκ ἐπιλήσει σε ἀφροδισίων, ἢ ἀναμνήσει.

*ἴσ. ὑπερήμερον

Ἐπικτήτῳ.

ΟΙ τελούμενοι τῇ Ῥέᾳ μαίνονται πληγέντες τὰ ὦτα κτύποις ὀργάνων. ἀλλ' ἐκεῖνα μέν, κυμβάλων καὶ αὐλοῦ ἔργα. σὲ δὲ οὕτως ἐκπλήττουσιν Ἀθηναῖοι κροτοῦντες; ὡς ἐκλανθάνεσθαι τίς εἶ καὶ τίνων γέγονας.

Κλεοφῶντι καὶ Γαΐῳ.

Υπὲρ ὧν ἐπεστάλκατε, τὰ μὲν ἤδη γέγονε· τὰ δὲ αὐτίκα ἔσται. ἐγὼ γὰρ Λήμνιος ὤν, πατρίδα ἐμαυτοῦ καὶ τὴν Ἴμβρον νομίζω. συνάπτων εὐνοίᾳ καὶ τὰς νήσους ἀλλήλαις καὶ ἐμαυτὸν ἀμφοτέραις.

Αἱρετιανῷ.

Τὸ ποιητικὸν ἔθνος πολλοί, καὶ πλείους ἢ οἱ τῶν μελιττῶν ἑσμοί. βόσκουσι δὲ τὰς

non veritus eſt in oratione quam de Thargelia ſcripſit Gorgiam imitari. Dicit enim vtique in hunc modum; Thargelia profecta in Theſſaliam, verſabatur cum Antiocho Theſſalo, qui Theſſalis omnibus imperabat. Productiones autẽ & contentiones orationum Gorgiæ multis in locis in vſu erant, maximè verò in verſificatorum circulo. Perſuade igitur tu etiam, ô regina, confidentiori Græcanicis Plutarcho, ne ſophiſtis iraſcatur, neque Gorgiæ vituperationem ſuſcipiat. Si non perſuades, pro tua ſapientia ac induſtria, ſcis quo nomine ſit talis appellandus. Ego cùm dicere poſſim, non dico.

Deliciis ſuis.

Amatorij poëtæ iucundam præbent auditionem etiam ſenioribus. Ducunt enim eos ad cogitationem amandi, quaſi repubeſcentes. *Ne verò te putes hac auſcultatione non indigere. Nam eiuſmodi poëtarum conſuetudo, aut non te in obliuionẽ rerum venerearum adducent, aut in memoriam reuocabunt.

*Vel, ex coniect. noſtra, *Ne ergo cẽſeas tibi iuſtum tẽpus elapſũ eſſe huius auſcultationis.*

Epicteto.

Qui initiati ſunt ſacris Rheæ, audito organorũ ſono, furore corripiuntur. Sed illa quidem cymbalis & fiſtula efficiuntur. Te vero ſic terrent Athenienſes cùm plauſus edunt, vt obliuiſcaris quis ſis aut quibus parentibus ortus.

Cleophonti & Gaio.

De quibus ſcripſiſtis, partim iam iam facta ſunt, partim continuo efficientur. Ego enim Lemnius cùm ſim, etiam Imbrum patriam meam iudico, coniungens beneuolentia ſibi inuicem inſulas, & meipſum vtriſque.

Hæretiano.

Poëtica gens multi, & plures quàm apum examina. Paſcunt autem apes

quidẽ prata, poëtas vero domus vrbéſque. Et conuiuantur illæ quidem fauis, hi vero ſplendido obſoniorum apparatu. Quidam etiã poëtæ pemmatis veſcuntur. Hos putemus amatoriorum poëtas, de quorum numero vnus eſt & Celſus hic, qui ſuã ipſius vitam *cantibus addixit*, quemadmodum bonæ cicadæ. Vt autem non rore, ſed cibis alatur, credo tibi curæ fore.

Antonino.

Ciconiæ deuaſtatas vrbes non inuolant, præteritum cladis fragorem fugientes. Tu vero domum habitas, quam ipſe diripuiſti. Et Diis in ea litas quaſi inhabitãtibus, aut exiſtentibus quidem, oblitis vero, quod & ipſorum poſſeſſionem tenes.

Deliciis ſuis.

Salue etiamſi nolis: ſalue, etiamſi non ſcribas, aliis formoſe, mihi ſuperbe. Non ex aëre cõpoſitus es, nec ex iis quæcunq; his miſcẽtur, ſed ex Adamante & ſaxo, ac Styge. ſtatim videam te barbeſcentẽ, & ad alienas ianuas iacentem. Certè Amor & *Nemeſis*, celeres Dij ſunt & *vindices.*

Vxori.

Danaë aurum accepit; Leda aues, Europa munus de grege, Antiope montanum, & Amymone marinum. Poëtæ vero dona in fabulas redegerunt, ſubducentes veritatem iucunditate commentorum. Cape, cape tu quoque, tergiuerſatione *ac fictione* modeſtiæ ſublata; vt & ego Iuppiter fiam ac Neptunus, dando quæ cupis; quæ vero cupio, accipiendo.

Eidem.

Momus aliud quidem nihil ſe in

A μὲν, λειμῶνες· τοὺς δὲ, οἰκίαι καὶ πόλεις. αὐθεστιῶσί τε οἱ μὲν κηρίοις· οἱ δὲ ὀψοποιΐᾳ λαμπρᾷ. εἰσὶ δὲ τῶν ποιητῶν οἱ καὶ βαγήμασιν ἑστιῶντες. τούτοις δὲ ἡγώμεθα τοὺς τῶν ἐρωτικῶν ποιητάς. ὧν εἷς καὶ Κέλσος οὗτος ᾠδαῖς παραδεδωκὼς τὸν ἑαυτοῦ βίον, ὥσπερ οἱ χρηστοὶ τέττιγες. ὡς δὲ ἂν μὴ δρόσῳ, ἀλλὰ σιτίοις τραφείη, πεπίστευκά σοι μελήσειν.

Αντωνίνῳ.

B ΟΙ πελαργοὶ τὰς πεπορθημένας πόλεις οὐκ ἐσπέτονται, κακῶν πεπαυμένων ἠχὼ φεύγοντες. σὺ δὲ οἰκίαν οἰκεῖς ἣν αὐτὸς ἐπόρθησας, καὶ θεοῖς τοῖς ἐν αὐτῇ θύεις, ὥσπερ οἰκοῦσιν, ἢ οὖσι μὲν, ἐκλελησμένοις δὲ ὅτι καὶ τὰ ἐκείνων ἔχεις.

Μειρακίῳ.

Χαῖρε κἂν μὴ θέλῃς· χαῖρε κἂν μὴ γράφῃς, ἄλλοις καλὲ, ἐμοὶ δὲ ὑπερήφανε. οὐκ ἦσθα συγκείμενος ἐξ ἀέρος, καὶ τῶν, ὅσα τούτοις κίρναται. ἀλλὰ ἐξ ἀδάμαντος καὶ πέτρας καὶ Στυγός. ταχέως σε θεασαίμην γενειῶντα, καὶ παρὰ ἀλλοτρίαις θύραις κείμενον. καὶ Ἔρως, καὶ Νέμεσις ὀξεῖς θεοὶ καὶ στρεφόμενοι.
C

Γυναικί.

Η Δανάη χρυσὸν ἐλάμβανεν· ἡ Λήδα ὄρνιθας· ἡ Εὐρώπη τὰ ἐξ ἀγέλης· ἡ Αντιόπη ὅσα ὄρεια· ἡ Αμυμώνη τὰ ἐν
D θαλάττῃ. οἱ δὲ ποιηταὶ τὰ δῶρα μύθοις ἐποίησαν, παράγοντες τὴν ἀλήθειαν ψυχαγωγίᾳ ψευσμάτων. λάβε, λάβε καὶ σὺ, τὸν ἀκκισμὸν ἀφεῖσα τοῦ σώφρονος. ἵνα κἀγὼ Ζεὺς γένωμαι καὶ Ποσειδῶν, διδοὺς μὲν, ἃ θέλεις· ἃ δὲ θέλω, λαμβάνων.

Τῇ αὐτῇ.

Ο Μῶμος τῶν μὲν ἄλλων οὐδὲν ἔφη

τῆς Ἀφροδίτης αἰτιάσασθαι. τί γὰρ ἂν καὶ ἐμέμψατο; ἓν δὲ μόνον δυσχεραίνειν ἔφη, ὅτι τρίζοι αὐτῆς τὸ ὑπόδημα, καὶ λίαν εἴη λάλον. καὶ τῷ ψόφῳ ὀχληρόν. εἰ δὲ ἀνυπόδητος ἐβάδιζεν ὥσπερ ἀνέσχεν, ἐκ τῆς θαλάττης, οὐκ ἄν ποτε εὐπορίσαι σκωμμάτων οὐδὲ κωμῳδίας ὁ ἀλιτήριος. καί μοι δοκεῖ μηδέ, μοιχευομένη διὰ τοῦτο μόνον λαθεῖν, ὅτι πάντα ὁ Ἥφαιστος ἔγνω τὰ κεκρυμμένα τοῦ σανδαλίου διαβάλλοντος. ταῦτα μὲν ἡμῖν ὁ μῦθος. σὺ δὲ καὶ τῆς Ἀφροδίτης ἔοικας βουλεύεσθαι ἄμεινον χρωμένη τοῖς ποσίν, ὡς ἐπάχθης, καὶ φεύγουσα τοῦ Μώμου τὰ ἐγκλήματα. ὦ ἄδετοι πόδες. ὦ κάλλος ἐλεύθερον. ὦ τρισευδαίμων ἐγώ, καὶ μακάριος ἐὰν πατήσητέ με.

ἴσ. οὐκ Μειρακίῳ* ἀνυποδήτῳ.

Μαλακώτερον διετέθης ὑπὸ τοῦ σανδαλίου. θλίβει σε ὡς πέπεισμαι. δειναὶ γὰρ δακεῖν σάρκας ἁπαλὰς αἱ τῶν δερμάτων καινότητες. διὰ τοῦτο ὁ Ἀσκληπιός, τὰ μὲν ἐκ πολέμου καὶ θήρας τραύματα, ἰᾶτο ῥᾳδίως. ταῦτα δὲ εἴα, διὰ τὸ ἑκούσιον ἀνοίᾳ μᾶλλον ἢ ἐπηρείᾳ δαίμονος γινόμενα. τί οὖν οὐκ ἀνυπόδητος βαδίζεις. τί δὲ τῇ γῇ φθονεῖς. λαυτία καὶ σανδάλια καὶ κρηπίδες καὶ πέδιλα, νοσούντων εἰσὶ φορήματα ἢ γερόντων. τὸν γοῦν Φιλοκτήτην ἐν τούτοις γράφουσι τοῖς ἐρύμασιν, ὡς χωλὸν καὶ νοσοῦντα, τὸν δὲ ἐκ Σινώπης φιλόσοφον καὶ τὸν Θηβαῖον Κράτητα καὶ τὸν Αἴαντα καὶ τὸν Ἀχιλλέα ἀνυποδήτους, καὶ τὸν Ἰάσονα ἐξ ἡμισείας. λέγεται γὰρ ὡς τὸν Ἄναυρον διαβαίνοντος αὐτοῦ τὸν ποταμόν, ἐνεσχέθη κρηπὶς τῷ ῥεύματι εἰς ἀντίληψιν τῆς ἰλύος. γινομένης· καὶ ὁ Ἰάσων οὕτως ἠλευ-

A Venere aiebat reprehendere. Quid enim quereretur? Vnum vero dicebat ſe indignè ferre, quod ſtrideret eius calceamentum, & nimis eſſet ſtreperum, atque ſonitu moleſtum. Sin nudis pedibus ingrederetur, quemadmodum orta eſt è mari, nihil haberet ſcommatum, neque conuicij ſceleratus. Et mihi videtur ne mœchata quidem ob id ſolùm latere potuiſſe, quòd omnia Vulcanus cognoſcebat occulta, ſan- B dalio deferente. Hactenus nobis fabula. Tu verò prudentius conſilium Venere cepiſſe videris, quæ vtaris pedibus vt conſtitiſti, & Momi criminationes effugias. O laxi pedes. O pulchritudo formæ liberalis. O ter felix ego & beatus, ſi me calcaueritis.

Adoleſcenti, vt ambulet incalceatus.

In morbum incidiſti propter ſan- C dalium. Atterit te, vt credo. Plurimùm enim mordent carnes teneras nouitia coria. Idcirco Æſculapius vulnera in bello & venatione accepta minore negotio ſanabat: hæc verò miſſa faciebat quæ vltrò ſtoliditate & incogitantia magis, quàm ira dæmonis accidiſſent. Quin igitur ſine calceis ambulas? Quid verò terræ ſuccenſes? Lautia, Sandalia, Crepidæ, & ſoleæ ſunt ægrotantiũ D geſtamenta, vel ſenum. Itaque Philoctetem in his pingunt munitionibus, vt claudum atque ægrum. Sinopenſem vero philoſophũ & Cratetem Thebanum, & Aiacem & Achillem excalceatos, & Iaſonem dimidia parte. Fertur enim cùm Anaurum fluuium tranſiret, implicatam eſſe crepidam in fluxu, reſiſtente limo ac cœno; atq; ſic Iaſon alterum

pedem in libertatem aſſeruit, doctus à fortuna quid fieri oporteret, non animi arbitrio deligens, & diſceſſit egregiè, nulla re læſus quæ inter terram & pedem intereſſet. Ne metuas. Accipiet greſſum puluis, perinde atque herba. & veſtigium omnes adorabimus. O moduli pedum chariſſimorum, ô noui flores, ô plantæ telluris, ô forte ac validum oſculum!

Mulieri Cauponatrici.

Omnia me tua extollunt, & ſtimulant, linea tunica, quemadmodum Iſidis; & caupona, quaſi taberna Venerea; atque pocula, vt Iunonis oculi; ac vinum quemadmodum flos, triúmque digitorum coniunctiones, in quibus poculum vectatur, veluti foliorum in roſis productiones, atque ego metuo ne cadat, at illud conſtat firmiter vt gnomon fixus, & digitis cohæret. Quod ſi etiam præſorbeas nonnunquam, omne quod reliquum eſt fit calidius halitu, & ſuauius nectare. Deſcendit igitur ad guttur expeditis viis, quaſi non vino temperatum, ſed oſculis.

Eidem.

E Vitro quidem pocula conſtant. At tuæ manus in argentum atque aurum illa conuertunt, vt his etiam delicatus aſpectus à tuis oculis accedat. Sed his quidem inanimis & immota eſt pelluciditas, non aliter quàm aquis ſtantibus. Quæ vero ante faciem ſunt pocula, cùm alia mollitie videntur oblectationem adferre, tum præcipuè oſculorum intellectione. Quamobrem illa quidem depone, & ſine valeant, cùm propter alia, quàm ob metum periculoſæ materiæ. Mihi vero ſolis propina oculis, quibus Iuppiter etiam

A θέρου τῶν ποδῶν τὸν ἕτερον, τύχῃ τὸ δέον διδαχθείς, οὐ γνώμῃ ἑλόμενος. καὶ ἀπῄει καλῶς σεσυλημένος μηδενὶ τῶν μεταξὺ τῆς γῆς καὶ τοῦ ποδός. μὴ φοβηθῇς. δέξεται τὴν βάσιν ἡ κόνις, ὡς πόα. καὶ τὸ ἴχνος προσκυνήσομεν πάντες. ὦ ῥυθμοὶ ποδῶν φιλτάτων. ὦ καινὰ ἄνθη. ὦ γῆς φυτά. ὦ φίλημα ἐρρωμένον.

Γυναικὶ καπηλίδι.

Πάντα μὲν αἴρει τὰ σά· καὶ ὁ λινοῦς χιτών, ὡς ὁ τῆς Ἰσιδος, καὶ τὸ καπηλεῖον, ὡς B Ἀφροδίσιον· καὶ τὰ ἐκπώματα ὡς Ἥρας ὄμματα· καὶ ὁ οἶνος ὡς ἄνθος· καὶ τῶν τελῶν δακτύλων αἱ συνθέσεις, ἐφ' ὧν ὀχεῖται τὸ ποτήριον, ὥσπερ αἱ τῶν φύλλων τῶν ἐν τοῖς ῥόδοις ἐκβολαί. κἀγὼ μέν, φοβοῦμαι μὴ πέσῃ· τὸ δέ, ἕστηκεν ὀχυρῶς, ὡς γνώμων ἐρηρεισμένον, καὶ τοῖς δακτύλοις συμπέφυκεν. εἰ δὲ καὶ ἀποπίοις ποτέ, πᾶν τὸ καταλειπόμενον C γίνεται θερμότερον τῷ ἄσθματι· ἥδιον δὲ καὶ τοῦ νέκταρος. κάτεισι γοῦν ἐπὶ τὸν φάρυγα ἀκωλύτοις ὁδοῖς· ὥσπερ οὐκ οἴνῳ κεκραμένον, ἀλλὰ φιλήμασιν.

Τῇ αὐτῇ.

Ἐξ ὑέλου μὲν τὰ ἐκπώματα· αἱ δὲ σαὶ χεῖρες, ἄργυρον αὐτὰ ποιοῦσι καὶ χρυσόν· ὡς καὶ τούτοις τὸ βλέπειν ὑγρῶς παρὰ τῶν σῶν ὀμμάτων εἶναι. ἀλλὰ D τοῖς μὲν ἄψυχον καὶ ἀκίνητον τὸ διειδές, καθάπερ τῶν ὑδάτων τοῖς ἑστηκόσι. τὰ δὲ ἐν τοῖς προσώποις ἐκπώματα, τῇ τε ἄλλῃ ὑγρότητι εὐφραίνειν ἔοικε, καὶ τῇ συνέσει τῶν φιλημάτων. ὥστ' ἐκεῖνα μὲν κατάθου, καὶ χαίρειν ἔα. τά τε ἄλλα, καὶ διὰ τὸν ἐν τῷ σφαλερῷ τῆς ὕλης φόβον. ἐμοὶ δὲ μόνοις πρόπινε τοῖς ὄμμασιν. ὧν καὶ ὁ

Ζεὺς γευσάμενος, καλὸν οἰνοχόον παρεστήσατο. εἰ δὲ βούλει, τὸν μὲν οἶνον μὴ παραπόλυε· μόνου δὲ ἐμβάλλουσα ὕδατος, καὶ τοῖς χείλεσι προσφέρουσα, πλήρου φιλημάτων τὸ ἔκπωμα, καὶ δίδου τοῖς δεομένοις. ἐστὶ γὰρ οὐδεὶς δυσέραστος οὕτως, ὡς ποθεῖν ἔτι τὴν Διονύσου χάριν, μετὰ τὰς Ἀφροδίτης ἀμπέλους.

A deguſtatis, formoſum atque præſtantem forma pincernam conſtituit. Quòd ſi vis, noli vinum conſumere: ſolam vero aquam infundens, & labris attingens, imple poculum oſculis, & præbe rogantibus. Nemo enim tam ab amore eſt abhorrens, qui requirat adhuc Bacchi gratiam, poſt Veneris vites.

Τῇ αὐτῇ.

Τὰ ὄμματά σου διαυγέστερα τῶν ἐκπωμάτων, ὡς δύνασθαι δι' αὐτῶν καὶ τὴν ψυχὴν ἰδεῖν. τὸ δὲ τῶν παρειῶν ἐρύθημα, εὔχρουν ὑπὲρ αὐτὸν τὸν οἶνον. τὸ δὲ λινοῦν τοῦτο χιτώνιον ἀντιλάμπει ταῖς παρειαῖς· τὰ δὲ χείλη βέβαπται τῷ τῶν ῥόδων αἵματι. καί μοι δοκεῖς τὸ ὕδωρ φέρειν ὡς ἀπὸ πηγῶν τῶν ὀμμάτων· καὶ διὰ τοῦτο εἶναι νυμφῶν μία. πόσους ἵστας ἐπειγομένους; πόσους κατέχεις παρατρέχοντας; πόσους φθεγξαμένη, καλεῖς; ἐγὼ πρῶτος ἐπειδὰν ἴδω σε διψῶ, καὶ ἵσταμαι μὴ θέλων.

Eidem.

Oculi tui lucidiores ſunt pocu-
B lis, vt poſſim per ipſos etiam mentem aſpicere. Genarum vero rubor, ſuperat ipſius vini colorem pulchritudine. Linea autem hæc tunicella, reſplendet in mallis. Labra tincta ſunt roſarum ſanguine. Atque mihi videris aquam ferre quaſi è fontibus oculis, & ob eam cauſſam de Nympharum cœtu vna eſſe. Quot feſtinantes ad te ſiſtis? quot prætercurrentes tenes? Quot cùm loqui cœpiſti, vocas? Ego quamprimum te aſpexerim, ſitio, & vel in-
C uitus conſiſtere cogor.

Μειρακίῳ.

Οὐδὲ ὁ τοῦ Μενάνδρου Πολέμων καλὸν μειράκιον περιέκειρεν. ἀλλ' αἰχμαλώτου μὲν ἐρωμένης κατετόλμησεν ὀργισθείς, ἣν οὐδὲ αὐτὸς ἀποκείρας ἠνέσχετο. κλαίει γοῦν καταπεσών, καὶ μεταγινώσκει τῷ φόνῳ τῶν τριχῶν. ἐφήβου δὲ ἄρα ἐφείσατο καὶ τὸ δρᾶμα. σὺ δὲ οὐκ οἶδα τί μαθών, σεαυτῷ πεπολέμηκας, ὦ ἀνδροφόνε, τῆς κεφαλῆς. τί ἔδει μαχαιρῶν ἐπὶ τὰς τρίχας; τί δὲ ἑκουσίων καὶ πολλῶν τραυμάτων; οἷον θέρος ἐξεκόψας. οὐδὲ οἱ ποιηταί σε ἐπαίδευσαν τοὺς Εὐφόρβους καὶ τοὺς Μενελάους εἰσάγοντες κομήτας καὶ ὅλον τὸ τῶν Ἀχαιῶν στρατόπεδον; καὶ εἴ τις αὐτοῖς κα-

Deliciis ſuis.

Neque Menandri Polemon elegantem adoleſcentulum raſit, ſed iratus aduerſus captiuam amaſiam, hoc auſus eſt. quam ne ipſe quidem raſiſſe ſe ſuſtinuit. Lachrymatur itaque proſtratus, & pænitudo eum cædis capillorum inceſſit. Ephebo autem pepercit etiam drama. Tu vero neſcio *qua de cauſa*, tuo ipſius
D capiti, ô homicida, bellum intuliſti. Quid opus erat gladiis aduerſus crines? Quid verò ſpontaneis ac multis vulneribus? Qualem æſtate excidiſti? Ne poëtæ quidem te inſtituere potuerunt qui Euphorbos & Menelaos introducunt comatos, & vniuerſum Achiuorum exercitum? Et ſi quia eis pulcher

A ex fluuiis, comas geſtat. Sicut enim aurum inter donaria eſt, & argentum; ſic etiam crines comati. Barbari armis, Græci galeis, oculi palpebris, naues velis, terra montibus, montes ſaltibus, mare inſulis, tauri cornibus, fluuij tempibus, vrbes mœniis. Formidabilior etiam Leo hirſutus, & equus iubis fretus, & gallus pugnacior in calcaria erectus. Venerantur etiam ſapientes ex aſtris cometas, & ſacerdotes comis ornatos: & ex diis alium aliter, vt Neptunum nigricomium, Apollinem vt intonſum, Pana hirſutum, Iſin ſoluta coma, Bacchum cum multis crinibus etiam hedera comatum. Venus autem ne tum quidem ſe raſit, cùm eſſet in luctu ac ſqualore. Vale.

λὸς ποταμῶν, κομᾷ. ὡς γὰρ χρυσὸς ἀνάθημα καὶ ἄργυρος, οὕτω καὶ τρίχες κομῶσαι. οἱ μὲν Βάρβαροι, ὅπλοις· οἱ Ἕλληνες, κράνεσιν· οἱ ὀφθαλμοὶ βλεφάροις· αἱ δὲ νῆες, ἱστίοις. ἡ δὲ γῆ ὄρεσι· τὰ δὲ ὄρη νάπαις. ἡ δὲ θάλασσα νήσοις. οἱ δὲ ταῦροι, κέρασιν· οἱ δὲ ποταμοὶ, τέμπεσιν· αἱ πόλεις, τείχεσιν. φοβερώτερος καὶ λέων, ὁ λάσιος· καὶ ἵππος ὁ ἤδη τῇ χαίτῃ πεποιθώς· καὶ ἀλεκτρυὼν μαχιμώτερος, B ὁ τὰ κάλλαια ἐγηγερκώς. τιμῶσι δὲ οἱ σοφοὶ καὶ τῶν ἀστέρων τοὺς κομήτας, καὶ τῶν ἱερέων τοὺς ἀνέτοις ταῖς κόμαις. καὶ τῶν θεῶν ἄλλον ἄλλως τὸν Ποσειδῶνα, ὡς κυανοχαίτην· τὸν Ἀπόλλω ὡς ἀκερσεκόμην. τὸν Πᾶνα, ὡς δασύν. τὴν Ἶσιν, ὡς λυσίκομον· τὸν Διόνυσον, ὡς μετὰ τῶν τριχῶν, καὶ τῷ κιττῷ κομῶντα. Ἀφροδίτη δὲ οὐδὲ πενθοῦσα ἀπεκείρατο. Ἔρρωσο.

C

AMORI ET DELICIIS.

ΕΡΩΤΙ ΚΑΙ ΜΕΙΡΑΚΙΩι.

Lacedæmonij rubris induebantur thoracibus, aut vt formidinem hoſtibus incuterent, coloris terriculamento, aut vti ſanguinem non agnoſcerent, id tincturæ communione prohibente. Vos autē formoſos oportet ſolis roſis armari, & hanc ab amatoribus accipere armaturam. Hyacinthus igitur candido adoleſcentulo, Narciſſus nigro conuenit, roſa verò omnibus. Nam & adoleſcentulus vetuſtus & flos, & pharmacum & vnguentum. Hæ Anchiſen perſuaſerunt. Hæ Martem ſoluerunt. Hæ Adonin venire admonuerunt. Hæ ſunt veris comæ. Hi terræ fulgores. Hæ amoris lampades.

Οἱ Λακεδαιμόνιοι φοινικοβαφεῖς ἐνεδύοντο θώρακας, ἢ ἵνα ἐκπλήττωσι τοὺς πολεμίους, τῷ φοβερῷ τῆς χροιᾶς· ἢ ἵνα ἀγνοῶσι τὸ αἷμα τῇ κοινωνίᾳ τῆς βαφῆς. ὑμᾶς δὲ δεῖ τοὺς καλοὺς, μόνοις ῥόδοις ὁπλίζεσθαι, καὶ ταύτην λαμβάνειν παρὰ τῶν ἐραστῶν τὴν πανοπλίαν. D Ὑάκινθος μὲν οὖν λευκῷ μειρακίῳ, πρέπει δὲ Νάρκισσος μέλανι· ῥόδον δὲ, πᾶσιν. ὡς καὶ μειράκιον παλαιὸν, καὶ ἄνθος. καὶ φάρμακον καὶ μύρον. ταῦτα Ἀγχίσην ἔπεισε. ταῦτα Ἄρη ἀπέλυσε. ταῦτα Ἄδωνιν ἐλθεῖν ὑπέμνησεν. αὗται ἦρος κόμαι. ταῦτα γῆς * ἀστραπαί. ταῦτα ἔρωτος αἱ λαμπάδες.

* κ. ἀπο-

A

Γυναικί.

Εἰ κἀμὲ φεύγεις, ἀλλ' ὑπόδεξαι κἂν τὰ ῥόδα ἀντ' ἐμοῦ. καί σου δέομαι μὴ στεφανοῦσθαι μόνον, ἀλλὰ καὶ κοιμηθῆναι ἐπ' αὐτῶν. καὶ γάρ ἐστιν ἰδεῖν μὲν καλά· οἷον τὸ πῦρ ἔχει τὴν ἀκμήν. ἅψασθαι δὲ μαλακά, καὶ πάσης στρωμνῆς ἁπαλώτερα· ὑπὲρ τὸν Βαβυλώνιον κόκκον, καὶ τὴν Τυρίαν πορφύραν. καὶ γὰρ εἰ σπουδαῖα ἐκεῖνα, ἀλλ' οὐ πνεῖ καλόν. ἐνετειλάμην αὐτοῖς καὶ τὴν δέρην σου φιλῆσαι, καὶ τοῖς μαστοῖς ἐπελθεῖν, καὶ ἀνδρίσασθαι ἂν ἀφῇς· καὶ οἶδα ὅτι ἀκούσεται. ὦ μακάρια, οἵαν γυναῖκα περιβάλλειν μέλλετε. ἀλλὰ δεήθητε αὐτῆς ὑπὲρ ἐμοῦ, καὶ πρεσβεύσατε καὶ πείσατε. ἐὰν δὲ παρακούῃ, κατακαύσατε.

Μειρακίῳ.

Τὰ ῥόδα ὥσπερ πτεροῖς τοῖς φύλλοις ἐποχούμενα, ἐλθεῖν παρὰ σὲ σπουδὴν ἐποιήσατο. ὑπόδεξαι αὐτὰ εὐμενῶς, ὡς Ἀδώνιδος ὑπομνήματα, ἢ ὡς Ἀφροδίτης βαφήν, ἢ ὡς γῆς ὄμματα. ἀθλητῇ μὲν οὖν, κότινος πρέπει. βασιλεῖ μεγάλῳ πορθητῇ, τιάρα· καὶ στρατιώτῃ, λόφος. καλῷ δὲ μειρακίῳ ῥόδα· καὶ διὰ συγγένειαν τῆς εὐωδίας καὶ διὰ τὸ οἰκεῖον τῆς χροιᾶς.

Γυναικί.

Πέπομφά σοι στέφανον ῥόδων. οὐ σὲ τιμῶν καὶ τοῦτο μὲν γάρ, ἀλλ' αὐτοῖς τι χαριζόμενος τοῖς ῥόδοις, ἵνα μὴ μαρανθῇ.

Μειρακίῳ.

Εὖ πεποίηκας, καὶ στρωμνῇ χρησάμενος τοῖς ῥόδοις. ἡ γὰρ πρὸς τὰ πεμφθέντα ἡδονή, σημεῖον μέγα τῆς πρὸς τὸν πέμψαντα τιμῆς· ὥστε κἀγώ σου δι' αὐτῶν ἡψάμην· καὶ γάρ ἐστιν ἐρωτικὰ καὶ

Vxori.

Si etiam me fugis, at roſas pro me ſuſcipe. Et te precor, vt non ſolùm coroneris, verumetiam ſomnum in his capias. Etenim ſunt aſpectu pulchræ: igneus eſt illis vigor. Attractu verò molles, & omni ſtrato teneriores. Babylonium etiam coccum excedunt, & Tyriam purpuram. Nam tametſi in magno precio ſunt illa, non tamen lepidè fragrant. Mandaui eis vt etiam
B de collo tuo ſuáuia ſumant, & mámillas contrectent, & mariti partes agant, ſi permittas. Et ſcio quòd auditura ſunt. O beatæ roſæ, qualem fœminam eſtis complexuræ. Sed rogate illá meo nomine & obſecrate atque perſuadete. Sin audire noluerit, comburite.

Deliciis.

Roſæ, quaſi alis ita foliis volitantia, vt ad te venirent, diligentiam
C adhibuerunt. Suſcipe eas benigniter, vt Adonis monumenta, aut vt Veneris tincturam, aut vt telluris oculos. Athletam igitur oleaſter decet; regem magnum populatorem, tiara, & militem galea. Formoſum autem adoleſcentulũ roſæ, cùm ob affinitatem fragrantiæ, tum ob coloris proprietatem.

Vxori.

Miſi tibi ſertum roſeum, non
D tam honorans te, quanquam hoc etiam, quàm ipſis roſulis aliquid impertiens ne areſcerent.

Deliciis.

Rectè feciſti, qui etiam ſtrato vſus fueris roſis. Nam voluptas erga miſſa munera, magnum argumentum eſt honoris, qui mittenti habetur. Itaque ego te per ipſas attigi. Sunt enim amatoriæ, & verſutæ

ſutæ, quæque formæ elegantia vti ſciant. Vereor autem ne quietem tibi non permiſerint, ſed dormienti moleſtæ fuerint, quemadmodum aurũ Danaæ. Quòd ſi quid amico vis gratum facere, reliquias ipſarum remitte, nunc ampliùs non roſas ſolùm, verùm te etiam ſpirantes.

Vxori.

Et Ioui cùm dormiret in Ida mõte, flores terra protulit, Lotum, Hyacinthum & Crocum. Roſæ verò non aderant, verum vt ad Veneris poſſeſſionem attinentes, à qua etiam has Iunonem mutuò ſumere oportebat, quemadmodum & Ceſtum mutuò ſumpſit? an; quia dormire Iuppiter non potuiſſet, ſi hæ præſtò fuiſſent? Illi verò Iouem vt dormiret rogabát. Cùm autem fragrant roſæ, neceſſe eſt omnes homines deóſque ſuauiter vigilare. Etenim odoris bonitas ac vis plurimùm poteſt ad arcendam quietem. Hęc igitur Homero relinquantur & poëtarum poteſtati. Tu verò ruſticè feciſti, quæ ſola in Roſis dormiueris, & modeſtam te in non modeſtis præbueris. Aut enim amatoré quendam tibi oportebat adeſſe, aut me Iouem. niſi vero non cogitaſti ô formoſa, cùm ſertum pectori admoueres, te cum nouo mœcho coire.

Deliciis.

Quid acciderit roſis, vt antequã ad te peruenirent, ſpecioſæ eſſent roſæ. (neque mehercle miſiſſemus eas, niſi aliquid operæprecium habuiſſent.) Cùm autem veniſſent, ſtatim areſcerent & exhalarent, certam quidem & perſpicuam cauſſam adferre nequeo. Non enim mihi aliquid voluerunt dicere. Quantùm autem coniectura licet aſſequi, non tulerunt improbationem, neque ferre potuerunt certamen tecum initum: ſed ſimul ac fragrantiorem

A πανοῦργα, καὶ κάλλει χρῆσθαι εἰδότα. δέδοικα δὲ μὴ οὐδ' ἡσυχίαν ἤγαγον. ἀλλ' ἠνώχλει σοι καθεύδοντι ὥσπερ τῇ Δανάῃ ὁ χρυσός. εἰ δὲ βούλει τι φίλῳ χαρίζεσθαι, τὰ λείψανα αὐτῶν ἀντίπεμψον. μηκέτι πνέοντα ῥόδων μόνον, ἀλλὰ καὶ σοῦ.

Γυναικί.

Καὶ τῷ Διῒ ὅτε ἐκοιμᾶτο ἐν τῇ Ἴδῃ τῷ ὄρει, δῶθιν ἡ γῆ ἀνῆκε λωτὸν, καὶ ὑάκινθον, καὶ κρόκον. ῥόδα δὲ οὐ παρῆν. B πότερον ὡς μόνης Ἀφροδίτης κτήματα, παρ' ἧς καὶ ταῦτα ἔδει τὴν Ἥραν δανείσασθαι, καθάπερ καὶ τὸν κεστὸν ἐδανείσατο. ἢ ὡς οὐκ ἂν κοιμηθέντος τοῦ Διὸς, εἰ καὶ ταῦτα παρῆν· οἱ δὲ ἐδέοντο καθεύδειν τὸν Δία. ὅταν δὲ πνέῃ ῥόδα, ἀνάγκη πᾶσα δήπου καὶ ἀνθρώποις καὶ θεοῖς ἀγρυπνεῖν ἡδέως· ἡ γὰρ εὐωδία δεινὴ πᾶσαν ἡσυχίαν ἐξοικίσαι. ταῦτα μὲν οὖν C ἀφείσθω Ὁμήρῳ καὶ τῇ τῶν ποιητῶν ἐξουσίᾳ. σὺ δὲ ἀγροίκως ἐποίησας μόνη κοιμηθεῖσα ἐν ῥόδοις· καὶ σωφρονήσασα ἐν οὐ σώφροσιν. ἢ γὰρ τῶν ἐραστῶν ἐχρῆν σοι παρεῖναί τινα, ἢ ἐμὲ τὸν Δία· πλὴν εἰ μὴ ἐνεθυμήθης ὦ καλὴ τὸν στέφανον τοῖς στέρνοις προσαγαγοῦσα καινῷ μοιχῷ συμπλακῆναι.

Μειρακίῳ.

Τί παθόντα τὰ ῥόδα, πρὶν μὲν παρὰ D σοὶ γενέσθαι, καλὰ ἦν ῥόδα· οὐ γὰρ ἂν αὐτὰ οὐδὲ ἔπεμψα, εἰ μή τι ἀξιόκτητον εἶχεν. ἐλθόντα δὲ, εὐθὺς ἐμαράνθη καὶ ἀπέπνευσε· τὸ μὲν σαφὲς οὐκ οἶδα τῆς αἰτίας· οὐ γάρ μοι τι εἰπεῖν ἠθέλησεν· ὡς δ' εἰκάσαι ῥᾴδιον, οὐκ ἠνείχετο παρευδοκιμούμενα· οὐδὲ ἠνέσχετο, τῆς πρὸς σὲ ἁμίλλης. ἀλλ' ὁμοῦ τε ἔθιγεν

ὡς δ' ἑτέρου χρωτὸς, καὶ ἀπώλετο. οὕτω καὶ λύχνος πίπτει πυρὸς ἡττηθεὶς μείζονος· καὶ ἄστρα δὲ ὅταν ἀντιβλέπειν ἡλίῳ μὴ δύνηται.

Γυναικί.

Ὄντως τὰ ῥόδα ἔρωτος φυτά. καὶ γὰρ νέα, ὡς ἐκεῖνος. καὶ ὑγρὰ ὡς αὐτὸς ὁ ἔρως. καὶ χρυσοκομοῦσιν ἄμφω. καὶ τ' ἄλλ' αὐτοῖς ὅμοια. τὰ ῥόδα τὴν ἄκανθαν ἀντὶ βελῶν ἔχει· τὸ πυῤῥὸν ἀντὶ δᾴδων. τοῖς φύλλοις ἐπτέρωται. χρόνον δὲ οὔτε ἔρως, οὔτε ῥόδα οἶδεν. ἐχθρὸς γὰρ ὁ θεὸς καὶ τῇ κάλλους ὀπώρᾳ, καὶ τῇ ῥόδων ἐπιδημίᾳ. εἶδον ἐν Ῥώμῃ τοὺς ἀνθοφόρους τρέχοντας· καὶ τῷ τάχει μαρτυρουμένους τὸ ἄπιστον τῆς ἀκμῆς. ὁ γὰρ δρόμος διδασκαλία χρήσεως. εἰ δὲ μελλήσαις, ἀπελήλυθε. μαραίνεται καὶ γυνὴ μετὰ ῥόδων ἂν βραδύνῃ. μὴ μέλλε, ὦ καλὴ, συμπαίζωμεν, στεφανωσώμεθα τοῖς ῥόδοις, συνδράμωμεν.

Μειρακίῳ.

Ἔστιν ἔαρ καὶ κάλλος ῥόδων. ὁ δὲ μὴ χρησάμενος τοῖς παροῦσιν ἀνόητος. σὺ οὐ μέλλουσι μέλλων, καὶ βραδύνων ἐπ' ἀποῦσι. φθονερὸς γὰρ ὁ χρόνος, καὶ τὴν ἄνθους ὥραν ἀφανίζει, καὶ τὴν κάλλους ἀκμὴν ἀπάγει, μηδὲν μέλλε, ὦ φθεγγόμενον ῥόδον, ἀλλ' ἕως ἔξεστι καὶ ζῇς, μετάδος ὧν ἔχεις.

Γυναικί.

Ἐπυθόμην ὡς τὰ ῥόδα ἐλθόντα παρὰ σὲ, ὅσα χρέος ἀπέβαλεν. ἐγὼ γὰρ ἐνετειλάμην αὐτοῖς, καὶ ὡς ἐκπόντα ἀκηράτου χρωτὸς τῆς σῆς δρόσου, κατέχειν τὴν ψυχὴν ἐξιοῦσαν καὶ δυσαναχετοῦσαν. καλῶς ἐποιήσατε,

A cutem attigerunt, ſuam vim perdiderunt. Sic etiam lucerna interit, victa ab igne copioſiore : & aſtra cùm *ſolem aduerſum intueri* non poſſunt.

Vxori.

Reuera roſæ ſunt Amori ſacræ plantæ. Sunt enim iuuenes, quemadmodum ille, & delicatæ quemadmodum Amor ipſe. Et ambo comas aureas ferunt, atque reliqua ſunt ipſis ſimilia. Roſæ ſpinam ſagittæ loco habent, & rutilum coB lorem pro facibus, foliis alatæ ſunt. Tempus autem amor, & roſæ pariter neſciunt. Infeſtus enim hic deus & formæ autumno & roſarum aduentui. *Vide Romæ floribus redimitos* currentes, & celeritate teſtificantes infidelitatem vigoris. Curſus enim vſum docet. Sin cunčteris, iam abierunt. Areſcit etiam mulier cum roſis, ſi moram nectat. Ne cunčteris ô formoſa, ſed colludamus, coronemur roſis, concurC ramus.

Deliciis.

Eſt ver etiam pulchritudo roſarum: qui verò non vtitur præſentibus ſtultus eſt, dum in non cunctantibus ipſe cunctatur, & abeuntibus tarditatem vſurpat. Inuidum eſt tempus & floris venuſtatem aufert, & formæ vigorem adimit. Nullam moram interpone, ô appellata roſa: ſed D dum eſt poteſtas & viuis, communica nobis quæ habes.

Vxori.

Audiui roſas cùm ad te perueniſſent, quaſi debitum perſoluiſſe. Nam & ego mandaueram eis, & ebibito integræ naturæ rore, tenuiſſe animum egredientem & vix tolerantem. Rectè feciſtis

A ô roſæ, quòd reuixeritis. Rogo ſic donec veniam permanete. Statim enim cognoſcere nunquid à vobis inuicem acceperitis incrementi, ad fragrantiam ipſa, & vos ad tempus.

Delicijs.

Accuſar me quòd roſas, non miſerim. Ego verò id neque negligentia feci, neque quod mihi amor non curæ eſſet, ſed arbitrabar te cùm flauus eſſes, & propriis roſis coronatus, alienis floribus non indigere. Neque enim Homerus flauo B Meleagro coronam impoſuit. Alioquin hoc eſſet ignem alio igni, & *titionem* duplicare. Sed ne Achilli quidem, neque Menelao, neque quicunque alij ſunt apud eum comati. Inuidioſus plane flos, & citò deperiens res eſt, & quæ ſtatim eſſe deſinat. Aiunt autem eiue primùm ortum à triſtiſſima cauſſa initium traxiſſe. Nam ſpinæ ad Roſas, accedentem Venerem vulnerauerunt, C vt Cyprij & Phœnices aſſerunt. Sanguine ne coronemur. Fugiamus florem, qui ne à Venere quidem ipſa abſtinet.

Vxori.

Cum flauo colore prædita ſis, roſas quæris. Atqui naturam habes eandem quàm illæ. Quid igitur flores expetis, qui paulo poſt non exiſtunt? Quid vero caput igni coronas? Nam vt mea fert opinio Colchidis etiam monile *, quem Glaucæ D miſit, roſæ fuerunt venenis infectæ, & ob eam cauſſam, cùm accepiſſet, vſta eſt. Siue enim roſæ ſunt delectabiles, non improbet elegantes: ſiue fragrantes, ne contrà ſpiret, ſiue fluxæ demutat. Ego quidem nulli rei tam ſimilia iudico eſſe roſarum intereuntiū folia, quàm cadentibus. Vulgus eorum qui vehementiſſimè

A ὦ ῥόδα, ἀναβιώσαντα. καὶ δέομαι, μείνατε ἔστ᾽ ἂν ἔλθω. μαθεῖν γὰρ ἔγνωκα εἴτι παρ᾽ ἀλλήλων εἰλήφατε, εἰς εὐωδίαν αὐτὴ, καὶ ὑμεῖς εἰς χρόνον.

Μειρακίῳ.

Αἰτιᾷς με ὅτι σοι ῥόδα οὐκ ἔπεμψα. ἐγὼ δὲ οὔτε ὡς ὀλίγωρος τοῦτο ἐποίησα, οὔτε ὡς ἀνέραστος ἄνθρωπος. ἀλλ᾽ ἐσκόπουν ὅτι ξανθὸς ὢν καὶ ῥόδοις ἰδίοις ἐστεφανωμένος, ἀλλοτρίων ἀνθῶν οὐ δέῃ. B οὐδὲ γὰρ Ὅμηρος τῷ ξανθῷ Μελεάγρῳ στέφανον περιέθηκεν. ἐπεὶ τοῦτο ἂν ἦν, ἄλλο πῦρ ἐπὶ πυρὶ καὶ δαλὸς ἐπ᾽ ἐκείνῳ διπλοῦς. ἀλλ᾽ οὐδὲ τῷ Ἀχιλλεῖ. οὐδὲ τῷ Μενελάῳ, οὐδὲ ὅσοι ἄλλοι παρ᾽ αὐτῷ κομῶσι. φθονερὸν δεινῶς ἄνθος καὶ ὠκύμορον. καὶ παύσασθαι ταχύ. λέγεται δ᾽ αὐτοῦ πρώτην γένεσιν ἐκ λυπηροτάτης ἄρξασθαι προφάσεως· ἡ γὰρ C ἄκανθα τὴν ῥόδων παριοῦσαν τὴν Ἀφροδίτην ἔκνισεν, ὡς Κύπριοι καὶ Φοίνικες λέγουσιν. αἵματος μὴ στεφανώμεθα. φεύγω μὲν ἄνθος, ὃ μηδὲ Ἀφροδίτης φείδεται.

Γυναικί.

Οὖσά τις ξανθὴ, ῥόδα ζητεῖς. καὶ μὴν φύσεως οὕτως ἔχεις ὡς ἐκεῖνα. τί οὖν μεταλαμβάνεις ἀνθῶν μετὰ μικρὸν οὐκ ὄντων. τί δὲ τὴν κεφαλὴν στεφάνοις πυρεῖ. ἐμοὶ γὰρ δοκεῖ καὶ τῆς Κολχίδος ὁ ὅρ- D μος, ὃν τῇ Γλαύκῃ ἔπεμψε, ῥόδα ἦν πεφαρμαγμένα· καὶ διὰ τοῦτο ἐκαύθη λαβοῦσα. εἴτε γὰρ τερπνὰ τὰ ῥόδα, μὴ παραδοκιμείτω τὰς καλάς· εἴτε εὐώδη, μὴ ἀντιπνείτω· εἴτε ὠκύμορα, μὴ φοβείτω· ἐμοὶ μὲν, οὐδενὶ ἄλλῳ δοκεῖ προσεοικέναι φύλλα ῥόδων λυθέντων, ἢ πίπτουσιν. οἱ πολλοί γε τὴν σφόδρα

ἐρωτικῶν αὐτοῖς μᾶλλον ἄχθονται λυπηθεῖσιν, ἢ χαίρουσιν ἐπιτετειχισμένοις ἐπὶ τὴν περιουσίαν τῆς ἡδονῆς αὐτῶν. ὁ μέλλων φόβος νικᾷ. ἡ δὲ σὴ κεφαλή, λειμὼν πολὺς ἄνθη φέρων, ἃ μήτε θέρους ἄπεισι, καὶ χειμῶνος μέσου φαίνεται· καὶ δρεψαμένων, οὐ λύεται. εἰ γὰρ ἐπιτρέψας μοι κἂν ἕνα βόστρυχον ἐκτεμεῖν, εἰ γὰρ ἀπέλθοιμι οὕτω πνέων, ἔσῃ χαριζομένη ῥόδα μαρανθῆναι μὴ δυνάμενα. B

Μειρακίῳ.

Ὡς δύσερί σοι καὶ φιλόνεικον τὸ κάλλος· ἀμελούμενον μᾶλλον ἀνθεῖ. καθάπερ τῶν φυτῶν ὅσα τῇ φύσει θαρροῦντα, καὶ τῆς τῶν γεωργῶν ὀλιγωρίας οὐ χρῄζοντα. οὐχ ἵππον ἀναβαίνεις· οὐκ εἰς παλαίστραν ἀπαντᾷς. οὐχ ἡλίῳ δίδως σεαυτόν. ἄνθος γὰρ καὶ βαφὴ τοῖς καλοῖς. ἀλλ' αὐχμηρὸς περιεῖ, καὶ σεαυτῷ μαχόμενος ἐξηπάτησαι. καλὸς εἶ κἂν μὴ θέλῃς· καὶ πάντας ἕλκεις τῷ λίαν ἀμελουμένῳ. C ὥσπερ οἱ βότρυες, καὶ τὰ μῆλα, καὶ εἴ τι ἄλλο αὐτόματον καλόν. ὁ μὲν γὰρ καλλωπισμός, ἑταιρικόν· καὶ πάνυ δεῖ δυσχεραίνειν τὴν φαρμακευομένην εὐμορφίαν, ὡς πανουργίας ἐγγύς· τὸ δὲ ἀκέραιον καὶ ἄκακον κἂν ἐπιβούλευτον, μόνων ἴδιον τῶν αὐτὸ δεξαμένων τὸ κάλλος. οὕτω καὶ ὁ Ἀπόλλων D ποιμένων ἤρα, καὶ Ἀφροδίτη βουκόλων, καὶ Ῥέα ἀγροίκων· καὶ Δημήτηρ τῶν τὰ ἄστη οὐκ εἰδότων. ὅτι πᾶν ἀληθέστερον τοῦ δεδολωμένου τὸ φύσει παρόν. οὐδεὶς οὐδὲ ἀστέρας οἶδε κοσμουμένους· οὐδὲ λέοντας, οὐδὲ ὄρνιθας. ὁ δὲ ἵπποις καλλωπίζων χρυσῷ ἢ ἐλέφαντι ἢ ταινίαις, λανθάνει λυμαινόμενος

A amant, magis ſuccenſent, cùm illi periêre, quàm gaudent ipſis ad præſentem voluptatem munitis. Futurus metus ſuperat. Tuum verò caput, pratum ampliſſimum eſt flores producens, qui neque æſtate deſunt, & media hyeme apparent, ſi decerpantur, non intereunt. Etenim ſi mihi conceſſeris vel vnum crinem excindere: ſi hinc abeam ita fragrans; largita fueris roſas quæ marceſſere nequeant.

Deliciis.

Quàm *peruicax* tibi & contentioſa forma eſt! hæc neglecta magis viget, quemadmodum plantæ, quæ natura fretæ, colonorum incuria ac negligentia nihil detrimenti accipiunt. Non æquum conſcendis? Non in palæſtram deſcendis? Non ſoli temetipſum committis? Flos enim & tinctura eſt formoſis. Sed ſqualidus obambulas & tecum ipſe repugnans, circumueneris. atque formoſus es etiamſi nolis: omnéſque attrahis incuria nimia, ac pellicis, quemadmodum Botri & Mala, & ſi quod aliud eſt ex eorum genere, quæ ſpõte ſunt elegantia ac pulchra. Ornatus enim, meritricius eſt, atque pulchritudo omnis fucata & medicamentis effecta, debet odio haberi, quippe quæ proximè ad maliciam ac nequitiã accedit. Simplex autẽ & carens malitia pulchritudo, *licet fraudi obnoxia ſit,* ſolorũ eſt propria eorum qui eã poſſidẽt. Sic etiã Apollo paſtorum amore capiebatur, & Venus Bubulcorum, & agricolarum Rhea, & Ceres eorum qui vrbes non nouerant. Quoniam omne quod natura factum eſt, verius eo quod conſtat inſidiis habetur. Nemo neque ſidera nouit ornari, neque leones neque aues. Qui verò equis ornamentum adhibet auro, vel ebore, vel redimiculis, is imprudẽs ſuperbiam ac generoſitatem

A animalis corrumpit & perdit, atque arti mandat exercitationem corrigendi * ea quæ in natura deſiderantur.

Vxori.

Mulier quæ mundo ac ornamentis dat operam, excolit id quod deficit, metuens ne deprehendatur, quod non habet. Quam verò natura pulchra finxit, nihil opus habet acceſſoriis & aſcititiis, vt contenta ſibi tota atque abſoluta perfectione. Oculorum autem delineationes, B & comarum appoſitiones, atque picturæ maxillarum, labrorúmque tincturæ, & ſi quod eſt elegantię medicamentum, & ſi quis ex fuco exiſtens doloſus flos, inuenta ſunt ad deficientium emendationem. Simplicitas autem expers comptionis, reuera eſt venuſta ac elegans. Itaque ſi maximam in teipſam ſpem & fiduciam ponis, ob eam cauſſam magis meus in te amor exardeſcit; & C incuriam quaſi teſtimonium puto confidentiæ formoſitatis. Non enim pingis vultus, neque in cerearum mulierum numero cenſeris, ſed in his quæ remoto omni dolo, formoſæ ſunt; quemadmodum maiores etiam fuerunt, quarum amore capta ſunt, etiam aurum, & bos, & aqua, & aues, & dracones. At fucus, cera, Tarantinum, fructiferi angues, & aureæ pedicę, ſunt Thaïdis & Ariſtagoræ atque Laïdis medicamenta. D

Deliciis.

Cuias es quæſo dic adoleſcens, quod adeò rigidum & crudelem in amorem animum geris. è Sparta dices. An igitur ignoras Hyacinthum, neque de vulnere coronam reportaſti? Sed è Theſſalia. Non igitur te docuit vel Achilles Phthiotas? At Athenienſis. Harmodiú igitur & Ariſtogitonem, an non pręteriiſti? Verùm ex Ionia. Et quid illo ſolo laſciuius,

τοῦ ζῴου τὸ γαῦρον, καὶ τέχνῃ παραδίδωσι τὸ ἄσκημα ἐπανορθοῦσθαι τῆς φύσεως τὰ λείποντα.

Γυναικί.

Ἡ καλλωπιζομένη γυνὴ θεραπεύει τὸ ἐλλιπές, φοβουμένη φωραθῆναι ὃ οὐκ ἔχει. ἡ φύσει καλὴ, οὐδενὸς δεῖται τῶν ἐπικτήτων· ὡς προσαρκοῦσα αὐτῇ πρὸς πᾶν τὸ ὁλόκληρον. ὀφθαλμῶν δὲ ὑπογραφαὶ καὶ κόμης προσθέσεις, καὶ ζωγραφίαι παρειῶν, καὶ χειλέων βαφαὶ, καὶ εἴ τι κομμωτικῆς φάρμακον, καὶ εἴ τι ἐκ φυκίου δολερὸν ἄνθος, ἐπανόρθωσις τοῦ ἐνδέοντος εὑρέθη· τὸ δὲ ἀκόσμητον, ἀληθῶς καλόν. ὥστε εἰ μάλιστα πεπίστευκας σεαυτῇ καὶ τεθάρρηκας, διὰ τοῦτό σε μᾶλλον ἀγαπῶ· μαρτύριον τὸ ἀπράγμον ἡγούμενος τοῦ ἐν εὐμορφίᾳ πίστεως. οὐ γὰρ κονιᾷς τὰ πρόσωπα, οὐδὲ ἐν ταῖς κηρίναις τέταξαι γυναιξὶν, ἀλλ᾽ ἐν ταῖς ἀδόλως καλαῖς· οἷαι καὶ αἱ πρότεραι ἦσαν· ὧν χρυσὸς ἤρα καὶ βοῦς καὶ ὕδωρ καὶ ὄρνιθες καὶ δράκοντες. τὸ δὲ φυκίον καὶ ὁ κηρὸς καὶ τὸ Ταραντινὸν, καὶ οἱ ἐπικάρπιοι ὄφεις, καὶ αἱ χρυσαῖ πέδαι, Θαΐδος καὶ Ἀρισταγόρας καὶ Λαΐδος φάρμακα.

Μειρακίῳ.

Πόθεν εἶ μειράκιον, εἰπέ· ὅθ᾽ οὕτως ἀτέγκτως ἔχεις πρὸς ἔρωτα. ἐκ Σπάρτης, ἐρεῖς· οὐκ εἶδες οὖν Ὑάκινθον, οὐδὲ ἐστεφάνωσαι τοῦ τραύματος; ἀλλ᾽ ἐκ Θετταλίας. οὐκ ἐδίδαξεν οὖν σε οὐδὲ ὁ Φθιώτης Ἀχιλλεύς; ἀλλὰ Ἀθήνηθεν, τὸν Ἁρμόδιον οὖν καὶ τὸν Ἀριστογείτονα οὐ παρῆλθες; ἀλλὰ ἀπ᾽ Ἰωνίας. καὶ τί τῆς γῆς ἐκείνης ἁβρότερον;

ὅπου Βράγχοι καὶ Κλάριοι Ἀπόλλωνος καλοί. ἀλλ᾽ ἐκ Κρήτης. ὅπου πλεῖστος ὁ ἔρως, ὁ τὰς ἑκατὸν πόλεις περιπλέων. Σκύθης μοι δοκεῖς καὶ Βάρβαρος· ἀπ᾽ ἐκείνου τοῦ βωμοῦ καὶ τῶν ἀξένων θυμάτων. ἔξεστιν οὖν σοι τὸν πάτριον τιμῆσαι νόμον. εἰ σώζειν οὐ θέλεις, λάβε τὸ ξίφος. οὐ παραιτοῦμαι. μὴ φοβηθῇς. ἐπιθυμῶ κἂν τραύματος.

Γυναικί.

Εἰ Λάκαινα ἦσθα, ὦ καλή, τῆς Ἑλένης ἂν ἐμνημόνευσας καὶ τῆς Νέω. εἰ Κορινθία, τῶν Λαΐδος κώμων· εἰ Βοιωτία, τῶν Ἀλκμήνης γάμων. εἰ τῶν ἐξ Ἤλιδος, οὐκ ἤκουσας τοῦ Πέλοπος δρόμον· οὐκ ἐζήλωσας τὴν ἐκ θεάτρου γαμηθεῖσαν. οὐκ ἐθαύμασας τὸν Ἀλφειόν. οὐκ ἔπιες τοῦ Νυμφίου. ἡ δὲ Τυρὼ, τῷ Ἐνιπεῖ ἐπενήξατο· καὶ ἀγρεύοντι ἐπὶ θάλατταν συνήγαγεν· ἦν γὰρ ἀγαθὴ καὶ μεγάλων ἐραστῶν ἀξία. δοκεῖς δέ μοι μηδὲ Θεσπιακή τις εἶναι. πάντως γὰρ κἂν τῷ ἔρωτι ἔθυες. μηδὲ Ἀττική. τὰς γὰρ Παννυχίδας καὶ τὰς ἑορτάς, καὶ τὰ Μενάνδρου δράματα, οὐκ ἄν ποτε ἠγνόησας. ἀλλ᾽ εἰ καὶ Βάρβαρος εἶ, καὶ μία τῶν ἀπὸ Θερμώδοντος παρθένων· ἀλλ᾽ οὖν καὶ ταύτας λόγος νεανίσκοις συμπλέκεσθαι, καὶ τίκτειν ἐκκλοπῆς. ἀλλὰ μὴ Θρᾷττα καὶ Σιδωνία; καὶ μὴν καὶ τούτων ἔρως ἥψατο· καὶ ἡ μὲν, τῷ Νίνῳ συνεπλάκη. ἡ δὲ τῷ Βοιωτῷ. ἔοικα εὑρηκέναι σε, εἰ μὴ κακός εἰμι καὶ φαῦλος φυσιογνωμονεῖν· Δαναός σοι πατήρ, χεὶρ ἐκείνη καὶ *λῆμα φονικόν. ἀλλὰ κἀκείνων τις τῶν ἀνδροφόνων παρθένων, νεανίσκου φιλοῦντος ἐφείσατο. οὐχ ἱκετεύω σε· οὐ δακρύω. πλήρωσον τὸ δρᾶμα· ἵνα μου ψαύσῃς κἂν ξίφει.

χ. λῆμμα

A vbi ſunt Branchij & Clarij Apollinis deliciæ. Sed è Creta. Vbi plurimus amor, centum illas vrbes circumnauigans. Mihi quidem Scytha videris & Barbarus: Ab illa ara & inhoſpitalibus ſacrificiis. Licet itaque tibi patriam conſuetudinem atque legem colere. Si ſeruare non vis, capias enſem. Non recuſo. Ne metuas. Expeto etiam vulnus.

Vxori.

B Si Lacæna eſſes, ô pulchra; Helenæ meminiſſes, & Neæ. ſi Corinthia, Laïdis amorum. Si Bœotia, Alcmenes nuptiarum. Si ex Elide, non audiuiſti Pelopis curſum: non ad æmulationé eius quæ de theatro rapta eſt, te compoſuiſti. non mirata es Alpheũ, non guſtaſti Nymphium. Tyro verò, ad Enipum adnatauit, & piſcanti in mare ſe obtulit: Erat enim bona magníſque amatoribus digna. Neque verò Theſpeſiaca mihi videris eſſe. Prorſus C enim litaſſes amori, neque Attica. Etenim peruigilia & feſtos dies atque Menandri Dramata non ignorares. Sed etiamſi es Barbara, atque vna de Thermodontis virginibus: tamen has etiam fama eſt rem cum adoleſcentibus habuiſſe, & furtim partum edidiſſe. At verò Threſſa & Sidonia. Atqui has etiam amor tetigit, & alia, Nino ſe commiſcuit, alia Bœoto. Videor mihi tuum geD nus inueniſſe, niſi diuinandi ſum imperitus & ignarus. Danaus tibi pater, manus illa & *animus* homicida. Sed ex illis etiam virginibus quæ viris mortem obtulerunt, quædam amanti iuueni pepercit. Non tibi me ſupplicem ad pedes abiicio. Non lachrymas effundo perfice Drama, vt me tangas vel enſe.

A

Vxori.

Si temperans es, cur mihi ſoli? ſi gratificaris, cur non & mihi?

Deliciis.

Quoniam pauper ſum, idcirco tibi contemptior & abiectior videor. Atqui etiam Amor ipſe nudus eſt, & Gratiæ & aſtra. Video ego etiam Herculem in picturis, pelle leonis indutum, & plerumque ſomnum humi capere. Apollinem verò etiam tenui amictu, vel currentem, vel iaculantem. At Perſarum reges, luxum amplectuntur, & in ſublimi ſedent, auri copia ſibi grauitatem adſciſcentes. Itaque magnas clades ab egenis Græcis victi acceperunt. Pauper erat Socrates. At ſubibat eius lacerum pallium Alcibiades pecunioſus. Paupertas enim non eſt in crimine ponēda: neque vniuſcuiuſque culpā fortuna purgat mutua communicatione. Reſpice ad theatrum. Populus ex pauperibus conſtat. Reſpice ad Curias. Pauperes ſedent iudices. Reſpice ad prælia. ſplendidi & armis vtentes aureis, aciem deſerunt. Nos verò ſtrenuos nos præbemus. In ipſis etiam quæ ad vos pulchros ac formoſos pertinent, conſidera euentum. Pecunioſus iniuriam infert perſuaſo, quaſi empto. Pauper gratiam habet, vt miſerationem adeptus. Ille gloriatur, & prædicat venatum. Pauper ſilentio inuoluit. Rurſum ſplendidus factum acceptum refert facultati ſuæ potentiæ: Pauper dantis benignitati. Locuples nuncium mittit adulatorem & paraſitum, atque coquum, & omnino aliquos de menſa. Pauper ſemetipſum, vt ne in hoc quidem honor abſit ab eo, quod ipſe rem gerit ac adminiſtrat per ſe.

Γυναικί.

Εἰ σωφρονεῖς, διὰ τί ἐμοὶ μόνῳ. εἰ χαρίζῃ, διὰ τί μὴ κἀμοί.

Μειρακίῳ.

Ὅτι πένης εἰμὶ ἀτιμότερός σοι δοκῶ, καὶ μὴν καὶ αὐτὸς ὁ ἔρως γυμνός ἐστι. καὶ αἱ χάριτες, καὶ οἱ ἀστέρες. ὁρῶ δὲ ἐγὼ καὶ τὸν Ἡρακλέα ἐν ταῖς γραφαῖς, δορὰν θηρείου περιβεβλημένον. καὶ τὰ πολλὰ χαμαὶ καθεύδοντα. τὸν δὲ Ἀπόλλωνα, καὶ

B

ψιλῷ ζώματι, ἢ δισκεύοντα, ἢ τρέχοντα, ἢ τοξεύοντα. οἱ δὲ Περσῶν βασιλεῖς, τρυφῶσι, καὶ μετέωροι κάθηνται· τῷ πολλῷ χρυσίῳ προβαλλόμενοι τὸ σεμνόν. τοιγαροῦν ἔπαθον κακῶς ὑπὸ τῶν πενήτων Ἑλλήνων νικώμενοι. ἦν πτωχὸς ὁ Σωκράτης, ἀλλ' ὑπέτρεχεν αὐτοῦ τὸν τρίβωνα ὁ πλούσιος Ἀλκιβιάδης. πενία γὰρ οὐκ ἔστιν ἔγκλημα. οὔτε τὴν ἑκάστου αἰτίαν ἡ τύχη ἀπολύεται τῇ πρὸς

C

ἀλλήλους κοινωνίᾳ. ἄπιθι πρὸς τὸ θέατρον. πενήτων ὁ δῆμος. ἄπιθι πρὸς τὰ δικαστήρια. πένητες κάθηνται. ἄπιθι ἐπὶ τὰς μάχας· οἱ μὲν πολυτελεῖς καὶ χρυσοῖ τοῖς ὅπλοις, λείπουσι τὰς τάξεις. ἡμεῖς δὲ ἀριστεύομεν. ἐν αὐτοῖς τε τοῖς πρὸς τοὺς καλοὺς ὑμᾶς, σκέψαι τὸ μεθόριον. ὑβρίζει τὸν πεισθέντα ὁ πλούσιος, ὡς ἐωνημένος. πένης οἶδε χάριν ὡς

D

ἐλεούμενος. ἐκεῖνος σεμνύνεται τῷ θηράματι. ὁ πένης σιωπᾷ. πάλιν ὁ λαμπρὸς, τὸ πεπραγμένον εἰς ἐξουσίαν ἀναφέρει τῆς οἰκείας δυνάμεως. ὁ πένης εἰς τὴν τοῦ δόντος φιλανθρωπίαν. ὁ πλούσιος ἄγγελον πέμπει κόλακα καὶ παράσιτον, καὶ μάγειρον, καὶ τοὺς ἐκ τῆς τραπέζης. ὁ πένης, ἑαυτὸν, ὡς μηδὲ ἐν τούτῳ τὴν τιμὴν ἀπεῖναι τῆς αὐτουργίας

ὁ πλούσιος δοὺς, εὐθέως ἐλέγχεται. τὸ γὰρ πρᾶγμα καταφωρὸν γίνεται τῷ πλήθει τῶν συνεγνωκότων. ὡς μηδὲ τοὺς γείτονας, μηδὲ τοὺς παριόντας ὁδοιπόρους ἀγνοῆσαι τὸ δρᾶμα. ὁ πένης χρησάμενος φίλῳ, λανθάνει. οὔτε γὰρ ὄγκος τῇ δεήσει πρόσεστι. καὶ τὴν τῶν ἔξωθεν καταβόησιν ἐκτρεπόμενος, καὶ τὸ τὴν δυνατώτερον αὐτοῦ γενέσθαι τινὰς ἀντεραστὰς ὡς ὄντος ῥᾴστου τοῦ πράγματος, οὐχ ὁμολογεῖ τὴν εὐτυχίαν ἀλλ' ἀποκρύπτεται. B πένης δὲ ἅπαξ ἐρῶν τις δύναται παραμεῖναι νοσοῦντι· τίς συναγρυπνῆσαι. τίς συνεξελθεῖν εἰς τὸ στρατόπεδον. τίς αὐτὸν προτάξαι πεμπομένου βέλους. τίς ὑπὲρ σοῦ πεσεῖν. ἐν τούτοις πᾶσι πλουτῶ.

Γυναικί.

Εἰ μὲν δέη χρημάτων, πένης εἰμί· εἰ δὲ φιλίας καὶ χρηστοῦ τρόπου, πλουτῶ. ἔστι δὲ οὐχ οὕτως ἐμοὶ δεινὸν τὸ μὴ ἔχειν, ὡς σοὶ πρὸς αἰσχύνης τὸ, μισθοῦ φιλεῖν. C ἑταίρας γὰρ ἔργον προσίεσθαι, τοὺς τὰς σαρίσας ἔχοντας καὶ τὰς σπάθας ὡς ἑτοίμως διδόντας. γυναικὸς δὲ ἐλευθέρας, πρὸς τὸ βέλτιστον ἀεὶ βλέπειν, καὶ τὸν χρηστὸν ἐν εὐνοίᾳ τίθεσθαι. πρόσταξον ὡς ἔοικέ σοι, πείθομαι. πλεῖν κέλευσον ἐμβαίνω. πληγὰς ὑπομεῖναι, καρτερῶ. ῥίψαι τὴν ψυχὴν, οὐκ ὀκνῶ. δραμεῖν διὰ πυρὸς, οὐκ ἀναίνομαι. D τίς ταῦτα πλούσιος ποιεῖ.

Μειρακίῳ.

Εἰ ξένος ὢν ἐρῶ σοῦ, μὴ θαυμάσῃς. οὐκ ἔστιν ὀφθαλμοὺς ξενίας ἁλῶναι. καὶ γὰρ κάλλος αὐτὸν ὁμοίως καὶ πῦρ ἀνάπτεται. καὶ δεῖ τὸ μὲν λάμψαι· τὸ δὲ εὐθὺς ἔσεσθαι. διακρίσεως δὲ οὐδὲ εἰ

A Locuples cùm dedit ſtatim coarguitur. Res enim emanat per multitudinem eorum qui conſcientiam facti habent, ſic vt neque propinqui, neque peregrini viatores, qui aduenerunt, factum ignorent. Qui pauper amico vtitur, ferè ſolet latere. Neque enim in rogatione ineſt amplitudo: & alienorum vulgationem reformidans atque metuens ne ſe potentiores efficiantur riuales, quippe cùm res ſit facillima, non prodit ſuam felicitatem ſed, occultat. Pauper denique prorſus amans aliquis perſeuerare atque adeſſe ægrotanti poteſt ſimul vigilias perferre, vnà in militiam egredi. ſuo corpore miſſum telum excipere, pro te vitam amittere. His rebus omnibus diues ſum.

Vxori.

Si pecuniis indiges, pauper ſum: ſi amicitia & candidis moribus, diues ſum. Mihi verò non tam grauis eſt egeſtas, quàm tibi amor precio conductus. Meretricis enim munus eſt admittere eos qui Sariſas & Spathas habent, vt è veſtigio numerari poſſint. Vxores verò ingenuæ, ſemper ad optimum intentum animum habere, & probum amore ac beneuolentia proſequi. Impera vt libitum eſt tibi. dicto ſum audiens: nauigare iube, conſcendo: plagas accipere, patior: animam profundere, non recuſo: per ignem curſu ferri, non abiicio. Quis hæc dites facit?

Delicii.

Quod peregrinus cùm ſim te depereo, ne tibi mirum accidat. Non poſſunt oculi hoſpitalitatis damnari. Etenim pulchritudo eorum quaſi quendam ignem incendit, & oportet partim fulgere, partim continuò exiſtere. Diſcrimine verò non

opus eſt, nec auribus nec oculis, ſed ſunt & peregrinis & ciuibus animi nuncij. At non Branchus Apollinem fugit, vt peregrinum, neque Hylas Herculem, non Licymnius Radamanthum, neque Patroclus Achillem, neque Chryſippus Laïum. Deperiit etiam Simerdiam Polycrates Samius, & Perſicum adoleſcentem Ageſilaus. Nomen adoleſcentis non noui. Peregrini ſunt etiam imbres in terra, & fluuij in mari, & Æſculapius apud Athenienſes, & Iuppiter apud nos, Nilus apud Ægyptios, & Sol apud omnes. Hoſpes etiam eſt animus in corpore, & luſcinia in aëre, & hirundo in domo, & Ganymedes in cœlo, & Alcedo in petra, & Elephas apud Romanos, & ales phœnix apud Indos. Hic quidem peregrinus & tardus. Ciconiam verò cùm primi conſpexerint, etiam adorant. Et peregrinæ ſunt literæ: Venerunt enim è Phœnicia: Et Sirenum nymphæ, & Magorum Theologia. quibus omnibus maiore cum delectatione vtimur, quàm domeſticis. Quòd illorum rara eſt poſſeſſio, in his domeſticum negligitur. Melior etiam amator peregrinus, quantò ignoratione extra ſuſpicionem magis poſitus eſt, & ad latendum obſcurior. Si verò manente opus eſt, inſcribe me tu, & Iuppiter eſto Fratrius, & Apollo paternus. Tribus autem amoris.

Vxori.

Pulchram & honeſtam decet ex ingenio moribúſque amatorum delectum ſcribere, non à genere. Etenim peregrinus, æquus ac bonus eſſe poteſt, & ciuis, prauus ac malitioſus, quò etiam à ſapientia propius ab eſt. Indigena igitur nihil diſcrepat à lapidibus, & omni permanente,

A *οὔτε ὠσὶν, οὔτε ὄμμασιν. ἀλλ' εἰσὶ καὶ ξένοις, καὶ πολίταις οἱ τῆς ψυχῆς ἄγγελοι. οὐ μὴν ὁ Βράγχος ἔφυγε τὸν Ἀπόλλωνα ὡς ξένον, οὐδὲ ὁ Ὕλας τὸν Ἡρακλέα· οὐχ ὁ Λικύμνιος τὸν Ῥαδάμανθυν, οὐδὲ ὁ Πάτροκλος τὸν Ἀχιλλέα, οὐδὲ ὁ Χρύσιππος τὸν Λάϊον. ἤρα καὶ Σμερδίου Πολυκράτης ὁ Σάμιος, καὶ τοῦ Πέρσου μειρακίου ὁ Ἀγησίλαος. οὐκ οἶδα τοῦ μειρακίου τὸ ὄνομα. ξένοι καὶ οἱ ὄμβροι τῆς γῆς, B καὶ οἱ ποταμοὶ τῆς θαλάσσης· καὶ ὁ Ἀσκληπιὸς Ἀθηναίων, καὶ ὁ Ζεὺς ἡμῶν· ὁ Νεῖλος Αἰγυπτίων, καὶ ὁ ἥλιος πάντων· ξένη καὶ ἡ ψυχὴ τοῦ σώματος, καὶ ἡ ἀηδὼν τοῦ ἀέρος, καὶ ἡ χελιδὼν τῆς οἰκίας· καὶ ὁ Γανυμήδης τοῦ οὐρανοῦ, καὶ ἡ ἀλκυὼν τῆς πέτρας, καὶ ὁ ἐλέφας Ῥωμαίων· καὶ ὁ ὄρνις ὁ φοίνιξ τῶν Ἰνδῶν. οὗτος μὲν ὁ ξένος καὶ βραδύς. τὸν δὲ πελαργὸν οἱ πρῶτοι θεασάμενοι, C καὶ προσκυνοῦσι. ξένα καὶ τὰ γράμματα· ἐκ Φοινίκης γὰρ ἦλθε. καὶ Σειρήνων νύμφαι, καὶ ἡ μάγων θεολογία. οἷς πᾶσιν ἥδιον χρώμεθα, ἢ τοῖς ἐγχωρίοις· ὅτι τῶν μὲν, σπάνιος ἡ ἐπίκτησις. τῶν δὲ ὀλίγωρον τὸ οἰκεῖον. ἀμείνων καὶ ἐραστὴς, ὁ ξένος· ὅσῳ καὶ ἀνύποπτος τῇ ἀγνωσίᾳ, καὶ πρὸς τὸ λαθεῖν ἀφανέστερος. εἰ δὲ δεῖ καὶ μένοντος, ἔγγραφόν με σύ. καὶ Ζεὺς γενοῦ φράτριος, καὶ D Ἀπόλλων πατρῷος. ἡ δὲ φυλὴ, τοῦ ἔρωτος.

* γρ. δεῖ ὁ.

Γυναικί.

Τὴν καλὴν, ἀπὸ τοῦ τρόπου δεῖ τῶν ἐραστῶν ποιεῖσθαι τὸν κατάλογον, οὐκ ἀπὸ τοῦ γένους. καὶ γὰρ ξένος, ἐπιεικὴς δύναται γενέσθαι· καὶ πολίτης, κακός· ὅσῳ καὶ τοῦ φρονεῖν ἐγγυτέρω ἐστιν. ὁ μὲν οὖν ἐγχώριος, οὐδὲν διαφέρει λίθων, καὶ παντὸς τοῦ

A μένοντος· ὧν τὸ ἑδραῖον ἀνάγκη πρόσεστιν. ὁ δὲ ξένος, ἔοικε τοῖς ὀξυτάτοις θεοῖς, ἡλίῳ καὶ ἀνέμοις, καὶ ἄστροις, καὶ ἔρωτι. ὑφ᾽ ὧν κἀγὼ πτηνὸς γενόμενος, δεῦρο ἐλήλυθα, κινηθεὶς προφάσει κρείσσονι. μή μου τὴν ἱκεσίαν ὑπερίδῃς. οὐδὲ γὰρ τὸν Πέλοπα Ἱπποδάμεια ἠτίμησε ξένον ὄντα καὶ βάρβαρον, οὐδὲ ἡ Ἑλένη τὸν δι᾽ αὐτὴν παρόντα. οὐδ᾽ ἡ Φυλλὶς τὸν ἐκ τῆς θαλάττης, οὐδ᾽ ἡ Ἀνδρομέδα τὸν πρὸς B αὐτὴν καταπτάντα. ᾔδεσαν γὰρ ὡς παρὰ μὲν τῶν ἐγχωρίων, μίαν πόλιν λαμβάνουσι. παρὰ δὲ τῶν ξένων πολλάς. εἰ δὲ δοκεῖ, φέρε ἐπὶ συνθήκαις γινέσθω τὸ πρᾶγμα. ἢ ἐνταῦθα ἀμφότεροι μένωμεν, ἢ μετ᾽ ἀλλήλων ἐκεῖσε ἀπέλθωμεν· οὐ δέχῃ τοῦτο. γνῶθι οὖν ὡς γενέσθαι μὲν ἰχθὺς ξένος, οὐκ ἀνέχεται. χαίρει δὲ μεταβολαῖς τῆς γῆς οὔσης μιᾶς. τί γὰρ ἄλλο αἱ πατρίδες ἢ μέτρα δειλὰ C ἀγεννῶν νομοθετῶν, ὅροις καὶ πύλαις διαγραφόντων τὰ οἰκεῖα. ἵνα ταῖς εὐνοίαις στενοχωρώμεθα ὑπερβαίνειν ὀκνοῦντες τὸ πινάκιον τῆς χωροφιλίας. καὶ μὴν κἀγὼ τοῦ ἔρωτος ξένος καὶ σὺ τοῦ κάλλους. οὐ γὰρ ἡμεῖς πρὸς ταῦτα ἀπήλθομεν· ἀλλ᾽ αὐτὰ πρὸς ἡμᾶς κατῆλθε. καὶ τὴν παρουσίαν αὐτῶν δεδέγμεθα ἡδέως· ὡς τὴν τῶν ἄστρων οἱ πλέοντες. εἰ δέ μοι τὸ, D ξένῳ εἶναι μὴ γίγνεται πρὸς τὸν ἔρωτα ἐμποδὼν, μηδὲ σοὶ κώλυμα ἔστω πρὸς τὸ συνιέναι τῶν ἐρώντων· τάχιστ᾽ ἂν φυγάδα εἵλου νυμφίον. ὥσπερ Ἄδραστος τὸν Πολυνείκην καὶ τὸν Τυδέα, οὓς γαμβροὺς ἐποιήσατο ἐπὶ τῆς βασιλείας ἐκπτωσιν. εἴ τις ἀποκλείει καὶ ξένον πυρὸς ἐναῦσαι θέλοντα, ἀλλὰ τὸ καόμενον σβέσαι.

A quorum ſtabilitas neceſſitate deuincta eſt. Peregrinus verò, celerrimis diis ſimilis eſt Soli, ventis, aſtris & amori, à quibus ego quoque volucer factus huc perueni, meliori cauſſa adductus. Ne meam ſupplicationem contemnas. Non enim Hippodamia Pelopem aſpernata eſt, quamuis peregrinum ac barbarum, neque Helena eum qui propter ipſam aderat, neue Phyllis illum de mari progreſſum, neque Androme- B da eum qui ad ipſam aduolarat. Hoc enim viderunt, ab indigenis vnam ſe ciuitatem accipere, à peregrinis multas. Quòd ſi videtur, age, fœderibus conſtituatur, aut hîc vterque maneamus, aut ſimul illò diſcedamus. Non accipis hanc conditionem. Intellige igitur, piſcem fieri peregrinum non poſſe. Gaudet autem eiuſdem & vnius terræ mutationibus. Quid enim ſunt aliud patriæ, quàm formidoloſæ com- C menſiones ſordidorum & illiberalium legiſlatorum, terminis ac portis ſua deſcribentium, vt beneuolentiis & amoribus in anguſtũ cogamur, & metu ne vltra tabellam localis amicitiæ fiat trangreſſo, prohibeamur. Atqui ego quoque ſum amoris peregrinus, & tu pulchritudinis. Non enim nos ad hæc acceſſimus, ſed ipſa ad nos peruenerunt, & præſentiam illorum nos libenter ac ſuauiter excepimus, vt aſtrorum D præſentiam, qui naues agunt. Quòd ſi mihi peregrinitas nihil eſt ad amorem impedimento, ne tibi quidem obſtet, quo minus amantes intelligas, ac ſentias mox fugitiuum acciperes ſponſum. quemadmodum Adraſtus Polynicem & Tydeum? quos generos aſciuit, ad regni vindicationem. Si quis excludit etiam peregrinum, volentem accendere ignẽ, at vrentem ac flagrantem extingue.

Ne Laconiſſes, ô vxor, neque Lycurgum imiteris. Peregrinorum expulſionem amor non patitur.

Delicius.

Quoties tibi oculos pateſeci, vt abires, quemadmodum qui retia pandunt feris, vt fugiendi poteſtatem habeant: Et tu manes ſtabilis, *aduenarum callidorum more*, qui poſtquam ſemel alienam regionem inuaſerunt, non poſſunt adduci amplius vt emigrent. Et iterum vt ſoleo palpebras tollo. Auola nunc tandem, & oppugnationem relinque, & eſto peregrinus aliorum oculorum. Non audis, cùm etiam magis teneas eum qui ante te eſt, & vſque ad animum, atque noua quædam eſt inflammatio. In ſummo periculo conſtitutus, aquam peto: ſed nemo fert, quoniam quæ flammam hanc extinguat, reperiri omnino non poteſt, ſiue quis adferat ex fonte, ſiue quis è fluuio ſumat. Nam ab amore ipſa quoque aqua ſentit incendium.

Vxori.

Quænam hæc *noua corporum pigneratio*? Quæ Tyrannis? Ducis me aſpectu, & trahis nolentem, quemadmodum nauigantes Charybdis abſorbebat. Erant ergo & amoris ſaxa & oculorum venti; quibus ſi quis ſemel implicatus ſit, demergitur. Hoc igitur ne Charybdis quidem potuit. *Stati temporis erat* naufragium: & ſi quis pauliſper ſuſtineat, ſalutis copiam adiſpicitur, arbore reperta in medio pelago. Qui verò in hoc mare ſemel delatus eſt, huic exitus in poſterum non patet.

Delicius.

Aues excipiunt nidi, piſces ſaxa, formoſos oculi. Atque illorum quidem ſunt errores, traductorum &

μὴ Λακώνιζε, ὦ γύναι. μηδὲ μιμοῦ τὸν Λυκοῦργον. ξενηλασίαν ἔρως οὐκ ἔχει.

Μειρακίῳ.

Ποσάκις σοι τοὺς ὀφθαλμοὺς ἀνέῳξα, ἵνα ἀπέλθῃς, ὥσπερ οἱ τὰ δίκτυα ἀναπτύσσοντες τοῖς θηρίοις, εἰς ἐξουσίαν τοῦ φυγεῖν. καὶ σὺ μένεις ἑδραῖος κατὰ τοὺς δεινοὺς ἐποίκους, οἳ χώραν ἅπαξ ἀλλοτρίαν καταλαβόντες, οὐκ ἔτι δέχονται τὴν ἀνάστασιν. καὶ δὴ πάλιν ὥσπερ εἴωθα ἐπαίρω τὰ βλέφαρα. ἀπόπτηθι ἤδη ποτὲ, καὶ τὴν πολιορκίαν λῦσον· καὶ γενοῦ ξένος ἄλλων ὀμμάτων. οὐκ ἀκούεις, ὅς γε καὶ μᾶλλον ἔχῃ τοῦ πρόσω, καὶ μέχρι τῆς ψυχῆς, καί τις ὁ καινὸς ἐμπρησμός. κινδυνεύω αἰτῶν ὕδωρ· κομίζει δὲ οὐδείς. ὅτι τὸ σβεστήριον εἰς ταύτην τὴν φλόγα, ἀπορώτατον· εἴτε ἐκ πηγῆς κομίζοι τις, εἴτε ἐκ ποταμοῦ λαμβάνοι. καὶ γὰρ αὐτὸ ὑπὸ ἔρωτος τὸ ὕδωρ καίεται.

Γυναικί.

Τί καινὸν ἀνδρολήψιον τοῦτο· τίς ἡ τυραννίς. ἕλκεις με ἀπὸ τῶν ὀμμάτων, καὶ σύρεις μὴ θέλοντα, ὥσπερ τοὺς πλέοντας ἡ Χάρυβδις ἀνέῤῥοφα. ἦσαν ἄρα καὶ ἔρωτος πέτραι καὶ ὀφθαλμῶν πνεύματα, αἷς τις ἅπαξ ἐνσχεθεὶς, καταδύεται· τοῦτο μὲν οὖν οὐκ εἶχεν οὐδ᾽ ἡ Χάρυβδις. ἐμπρόθεσμον ἐκεῖνο τὸ ναυάγιον· καὶ μικρόν τις ἀναμείνας, σωτηρίας εὐπορεῖ, δένδρον εὑρὼν ἐν πελάγει μέσῳ. ὁ δὲ εἰς ταύτην ἅπαξ τὴν θάλασσαν καταῤῥυεὶς, οὐκ ἔτ᾽ ἐξέρχεται.

Μειρακίῳ.

Τοὺς ὄρνις αἱ καλιαὶ δέχονται· τοὺς ἰχθύας αἱ πέτραι. τὰ ὄμματα τοὺς καλούς. κἀκείνων μὲν, πλάναι μεθισταμέ-

enim, ô peſſimi faciferi, amoris & coroporum elegantiæ teſtes operoſi, primi nobis pulchritudinem igneam reddidiſtis, primi meminiſſe animum docuiſtis extraneæ influxionis: primi coëgiſtis, ſole præterito, alienum ignem laudare. Itaque vigilate & vrimini atque liberationem eorum quæ delegiſtis cogitate, quam reperire non poteſtis. Beatos, ô dij, à natiuitate cæcos, ad quos amor aditum aut acceſſum non habet.

Deliciis.

Clauſeram tibi oculos: quomodò tibi dicam? vt portas oppugnati: & tu clàm præſidio, intus es. Dic quis te introduxit, niſi quid oculi habent amatorium, atque animo repugnans: qui olim ſola cogitabat quæ volebat, & in pulcherrimis philoſophiæ præceptis omnem operam ac diligentiam conſumebat. Atque hic cum inceſſerat amor, vt cœli terga contemplaretur, & de ſubſtantia circa hæc minimè falſa inquireret, & quæ Vniuerſi circuitiones, quæque regeret hæc neceſſitas: quæſtio videbatur iucundiſſima, cum ſole vnà currere; & cum luna recedente quidem periclitari, completa verò gaudere, & cum reliquo ſiderum choro ſimul errare; nihilque inuium aut inconſpectùm relinquere ex iis quæ circa hæc ſunt, myſteriis. A quo verò humano amori dedit operam & formoſitatis aſpectu captus eſt, omnibus illis poſthabitis atque neglectis, in hanc vnam rem omne ſtudium impendit, & quantùm ab exteriore forma traxerit, tantum intus concinnat & componit, atque monumenta edit. Quòd autem intrò acceſſerit, lumen quidem interdiu eſt, noctе verò in ſomniũ abit.

A ὦ κακοὶ δᾳδοῦχοι, ἔρωτος καὶ τῆς σωμά-
των ὥρας περίεργοι μάρτυρες, πρῶτοι
μὲν ἡμῖν τὸ κάλλος ἐπυρσεύσατε. πρῶ-
τοι δὲ μεμνῆσθαι τὴν ψυχὴν ἐδιδάξα-
τε τῆς ἔξωθεν ἐπιρροῆς. πρῶτοι δὲ ἐβιά-
σασθε τὸν ἥλιον καταλιποῦσι, πῦρ ἀλλό-
τριον ἐπαινεῖν. τοιγαροῦν ἀγρυπνεῖτε
καὶ καίεσθε, καὶ λογίζεσθε ἀπαλλαγὴν
ὧν εἵλεσθε, εὑρεῖν μὴ δυνάμενοι. μα-
καρίων, ὦ θεοί, τῶν ἐκ γενετῆς τυφλῶν
B ἐφ' οὓς ἔρως ὁδὸν οὐκ ἔχει.

Μεγακίῳ.

Ἀπέκλειόν σοι τὰ ὄμματα, πῶς σοι,
ὡς οἱ πολιορκούμενοι τὰς πύλας, καὶ σὺ
τῆς φρουρᾶς λαθὼν, ἔνδον εἶ. λέγε τίς σε
εἰσήγαγεν, εἰ μή τι τὰ ὄμματα, ἐρωτι-
κὸν, καὶ κατὰ τῆς ψυχῆς γενόμενον· ἥγε πά-
λαι μὲν μόνα ἐνεθυμεῖτο ἃ ἤθελε, καὶ
περὶ τὰ κάλλιστα ἐσπουδάκει φιλο-
C σοφοῦσα. καὶ ἡνίκα αὐτῆς ὁ ἔρως τὰ οὐρα-
νοῦ νῶτα ὁρᾶν· καὶ περὶ τῆς κατὰ ταῦτα ὄν-
τως οὐσίας πολυπραγμονεῖν· καὶ τίνες
αἱ τοῦ παντὸς περίοδοι, καὶ τίς ἡ ταῦτα ἄ-
γουσα ἀνάγκη. τὸ σκέμμα ἐδόκει χα-
ριέστατον· ἡλίῳ συνδραμεῖν καὶ σελήνῃ·
συγκινδυνεῦσαι μὲν ἀπιούσῃ· συνησθῆ-
ναι δὲ πληρουμένῃ, τῷ τε ἄλλῳ χορῷ
τῶν ἀστέρων συμπλανηθῆναι, καὶ μη-
D δὲν ἄβατον μηδὲ ἀθέατον καταλιπεῖν
τῶν ὑπὲρ γῆν μυστηρίων· ἀφ' οὗ δὲ ἀν-
θρωπίνῳ πλησιάσασα ἔρωτι ἑάλω
κάλλους ὄμμασι, πάντων ἀμελήσασα
ἐκείνων, περὶ ἓν τοῦτο ἐσπούδακε. καὶ ὅσον
ἂν τῆς ἔξω μορφῆς σπάσῃ, τοσοῦτον ἔν-
δον συντίθησι, καὶ μνήματα* μαίνεται.
τὸ δ' εἴσω παρελθὸν, φῶς μέν ἐστιν ἐν
ἡμέρᾳ· νύκτωρ δὲ ὄναρ γίνεται.

Γυναικί.

Τὰ μὲν σὰ ὄμματα, φιλῶ· τὰ δὲ ἐμαυτοῦ μισῶ. τοῖς μὲν γὰρ σύνεσιν πολλὴν συνέγνωκα· τοῖς δὲ, δεινὴν περιεργίαν. ἀναίσχυντά ἐστιν· ἀλλὰ καὶ κρύπτειν οὐδὲν δύναμαι ὧν ἑώρακεν ἅπαξ. οὐκ ἀφέστηκε γοῦν μου τῇ ψυχῇ λέγοντα. οὐκ εἶδες τὴν εὔκομον, τὴν εὐπρόσωπον; ἧκε· ἀνάβηθι· ἀλλὰ καὶ γράψον, καὶ κλαῦσον καὶ δεήθητι. ἡ δὲ, εὖ μάλα πείθεται. πείθεται δὲ παρακούειν μὴ δυναμένη λίχνων δορυφόρων. καὶ γὰρ μὴ βουλομένην, σύρουσιν ἔξω, καὶ βιάζονται φρονεῖν, ὅσα αὐτοὶ προλαβόντες ἐπῄνεσαν. ἀμέλει πρὶν ἔρωτα εἰς γῆν καταπτῆναι, μόνον τὸν ἥλιον ἠπίστατο ἡ ψυχὴ καλόν. καὶ τοῦτο αὐτῇ τὸ θέαμα καὶ θαῦμα ἦν. γευσαμένη δὲ ὥρας ἀνθρωπίνης, ἐκ μὲν τῆς σπουδῆς ἐκείνης κατέπεσεν. εἰς δὲ δουλείαν ὑπήχθη πικράν. ἧς ἔργα θυραυλικὰ καὶ χαμαικοιτίαι, καὶ ἡ πρὸς θάλπος καὶ χειμῶνα ἀντίταξις, καὶ, ἤ μ' ἀνάειρ' ἢ ἐγὼ σέ. πρὸς τὸν ἀντεραστὴν μάχη. τούτων δὲ εἰ πάντων σὺ τὸ φάρμακον. ἔργου ἐφημέρου ποιήματα ἀθάνατα, καὶ βραχείας σώματος ἡδονῆς, μνήμην ἀντιλαβοῦσα ἀγήρω. ἃ μὲν γὰρ δώσεις, κοινὰ καὶ ῥᾴδια τοῦ θήλεος παντός. ἃ δὲ κτήσῃ ἀντὶ τούτων, οὐκ ἂν εἴποιμι· ὅσα εὔνοια, καὶ μνήμη καὶ νύξ, ἀφ' ὧν καὶ μήτηρ καὶ πατὴρ γίνεται.

Μειρακίῳ.

Ὁ Ἀγαμέμνων ὅτε μὲν ὀργῆς ἐκράτει, καλὸς ἦν, καὶ οὐχ ἑνὶ θεῷ, ἀλλὰ πολλοῖς ὅμοιος. ὄμματα καὶ κεφαλὴν ἴκελος Διῒ τερπικεραύνῳ. Ἄρει δὲ ζώνην, στέρνον δὲ Ποσειδάωνι. ὅτε δὲ

A *Mulieri.*

Tuos equidem oculos, amo: mei vero mihi ſunt exoſi. Nã in illis magnam intelligentiam ac prudentiam animaduerti: in his nimiam ac penè ſceleratam operoſitatem. Impudẽtes ſunt: ſed neque occultũ habere quicquam poſſunt, quod ſemel viderunt. Non igitur deſierunt animo meo dicere: Non vidiſti illam coma excellẽtem, formę ſingulari elegantia prędi-
B tam? Veni, aſcende, ſed & ſcriptis rem age, lachrymis ac precibus. At ille promptiſſimè morem gerit. Morem autem gerit, quia non poteſt negligere mandata cupidiſſimorum ſatellitum. Etenim nolentem extrahũt, & per vim adigunt in eam ſententiã, quam ipſi laudibus antea euexerunt. Equidem priuſquam Amor in terrã deuolaret, nihil præter vnum Solem
C animus pulchrum nouerat: atque in eo contemplationem omnem & admirationẽ ponebat. Deguſtata verò pulchritudine humana, ab illo ſtudio recidit, & in acerbam ſeruitutem deductus eſt, cuius opera ſunt Thyraulica, recubitiones humi, & cum æſtu atque frigore certamen & ait Aiax Vlyſſi, *Aut me tolle, ego vel te.* vbi Ho. Il. ψ cũ riuali cõtentio eſt. horum omniũ tu es remedium, pro opere diuino, poëmata ſempiterna, & pro breui corporis voluptate perpetuã memo-
D riam adipiſcens. Quæ enim dabis, communia ſunt & facilia omni fœminæ. Quæ vero pro his conſecutura es, ne dicendo quidem exprimere poſſim, quanta beneuolentia, & memoria & nox quibus mater, ac pater efficitur.

Deliciis.

Agamemnon cùm iram vinceret, egregius erat, neque vni, ſed multis diis ſimilis. Os, *oculoſque Ioui par, qui atro fulgure gaudet &c,* Ho. Il. β *Mauorti balthero, Neptuno pectore,* cùm verò

turpiter animi libidinem expleret, A & ſe crudelem immanémque erga ſocios præberet, ceruus & canis putabatur, neque Iouis vultus vllibi conſpici. Sus enim in iram rapitur, & canes atque ſerpentes lupíque & quæcunque aliæ ſunt rationis expertes beſtiæ. Formoſus autem homo & non ridens tantùm moleſtia afficit, nequaquam ſemetipſo rigidior. Non decet autem, vt ſolis vultus nubibus obducatur. Quæ verò rigiditas iſta; quæ nox, quæ lugubris hæc ca- B ligo? ſubride, conſiſte. Redde nobis oculorum diem.

Vxori.

Heri te commotam ira depræhenderam; atque videbar aliam videre. Huius autem cauſſa erat, mentis alienatio, quæ planè tibi perturbauerat vultus elegantiam & gratiam. Nunc verò muta temetipſam. neque trucem vide, neque formoſam Venerem, cùm iraſcitur aut lachrymatur, neque Iunonem Boo- C pem, cùm Ioui ſuccenſet, neque mare, cùm turbatur. Minerua verò etiam tibias abiecit, quòd vultum eius deformarent. Iam etiam Erinnyes Eumenides vocamus, vt toruitatem detrahamus: & ſpinis roſarum delectamur, quòd ex agreſti frutice, qui & triſtitiam adferre & ſtimulare poteſt, rident inter roſas. Flos eſt etiam in muliere, vultus tranquillitas. Ne ſis aſpera neque D formidabilis, neque elegantiæ coronam demas, neque tibi ipſi roſas eripias, quæ vobis formoſis in oculis naſcũtur. Quòd ſi fides apud te eorum quę dico nihil valet, cape ſpeculum, & vultum immutatum contemplare. Rectè eſt quòd conuerſa es. Aut enim odiſti aut metuiſti, aut nõ cognouiſti, aut pœnitudo te cœpit.

ἠσχημόνει τῇ γλυκύτητι τοῦ θυμοῦ, καὶ πρὸς τοὺς ἑταίρους ἠγριοῦτο, ἔλαφος καὶ κύων ἐνομίζετο· καὶ τὰ τοῦ Διὸς ὄμματα οὐδαμοῦ. σῦς μὲν γὰρ ὀργίζεται καὶ κύνες, καὶ ὄφεις, καὶ λύκοι, καὶ ὅσα ἄλλα οὐ χρῆται λογισμῷ θηρία. καλὸς δὲ ἄνθρωπος, καὶ μὴ γελάσας μόνον λυπεῖ. μήτοι γε καὶ σκυθρωπότερος ἑαυτοῦ γινόμενος. οὐ πρέπει δὲ οὐδὲ ἡλίῳ τοῦ προσώπου νεφέλην περιβάλλεσθαι. τίς ἡ κατήφεια αὕτη, τίς ἡ νύξ, τί τὸ συννὸν σκότος τοῦτο· μειδίασον, κατάστηθι· ἀπόδος ἡμῖν τὴν τῶν ὀμμάτων ἡμέραν.

Μειρακίῳ.

Ἐχθές σε ὀργιζομένην κατέλαβον, καὶ ἔδοξα ἄλλην βλέπειν. τούτου δὲ αἴτιον, ἡ τοῦ θυμοῦ ἔκστασις, ἀκριβῶς σοι συγχέασα τὴν τοῦ προσώπου χάριν. νῦν δὴ μεταποίει σεαυτήν· μηδὲ ἄγριον βλέπε. οὐδὲ τὴν Ἀφροδίτην καλὴν ὅταν ὀργίζηται ἢ δακρύῃ. οὐδὲ τὴν Ἥραν βοῶπιν, ὅταν χαλεπαίνῃ τῷ Διΐ. οὐδὲ τὴν θάλατταν ὅταν ταράττηται. ἡ δὲ Ἀθηνᾶ καὶ τοὺς αὐλοὺς ἔρριψεν, ὡς τὸ πρόσωπον αὐτῆς συγχέοντας. ἤδη καὶ τὰς Ἐριννῦς Εὐμενίδας καλοῦμεν, ὡς τὸ σκυθρωπὸν ἀφαιρουμένας. καὶ ταῖς ἀκάνθαις τῶν ῥόδων χαίρομεν ὅτι ἐξ ἀγρίου θάμνου καὶ λυπεῖν καὶ κεντεῖν εἰδότος γελῶσιν ἐν τοῖς ῥόδοις. ἄνθος ἐστὶ καὶ γυναικὸς, ἡ τοῦ προσώπου γαλήνη. μὴ τραχεῖα γίνου μηδὲ φοβερά. μηδὲ ἀποστεφάνου τὸ κάλλος. μηδὲ ἀφαιροῦ ῥόδων σεαυτήν, ἃ ταῖς καλαῖς ὑμῖν ἐν τοῖς ὄμμασι φύεται. εἰ δὲ ἀπιστεῖς οἷς λέγω, τὸ κάτοπτρον λαβοῦσα, ἴδε σου τὸ πρόσωπον ἠλλαγμένον. εὖ γ' ὅτι ἐπεστράφης. ἢ γὰρ ἐμίσησας ἢ ἐφοβήθης, ἢ οὐκ ἐγνώρισας, ἢ μετενόησας.

Μειρακίῳ. A

Πέπεισαι μὲν ὡς εἰκάζω. τοῦ δὲ ἔργου τὴν αἰσχύνην ὀκνεῖς· εἰς ἃ πράγματα ἀποδιδράσκεις. ἀφ' οὗ τις φίλος γίνεται. καὶ ἐντεῦθεν ἐπληρώθη καλῶν τὰ Ὁμήρου ἔπη, τὸν Νιρέα τὸν, Ἀχιλλέα εἰς Τροίαν ἄγοντος; καὶ ἐντεῦθεν Ἁρμοδίου καὶ Ἀριστογείτονος ὅσοι φίλοι καὶ μέχρι τῶν ξιφῶν; ὁ δὲ Ἀπόλλων οὐκ Ἀδμήτῳ καὶ Βράγχῳ ἐθήτευσεν; ὁ δὲ B Ζεὺς οὐ τὸν Γανυμήδην ἥρπασεν, ᾧ χαίρει καὶ παρὰ τοῦ νέκταρος; μόνοι γὰρ ὑμεῖς οἱ καλοὶ καὶ τὸν οὐρανὸν οἰκεῖτε ὡς πόλιν. μὴ φθονήσῃς ἐραστοῦ σεαυτῷ δοῦναι μὲν ἀθανασίαν οὐκ ἔχοντος· τὴν δὲ αὐτοῦ ψυχὴν, ἔχοντος. εἰ δὲ ἀπιστεῖς, ἕτοιμος ἀποθνήσκειν, ἂν ἐπιτάττῃς τοῦτο νυνί. εἰ δὲ πλέκω τὸν βρόχον ἀπαίδευτε, οὐ καθαιρήσεις;

Γυναικί.

Κελεύεις μοι μὴ βλέπειν, κἀγὼ σοὶ C μὴ βλέπεσθαι. τίς τοῦτο κελεύει νομοθέτης. τίς δὲ ἐκεῖνο. εἰ δὲ μηδέτερον κεκώλυται, μήτε σεαυτὴν ἀφαιροῦ τῆς εἰς ἐπίδειξιν εὐδοκιμήσεως, μήτε ἐμὲ τῆς εἰς τέρψιν ἐξουσίας. οὐδὲ πηγὴ λέγει, μὴ πίῃς. οὐδὲ ὀπώρα, μὴ λάβῃς, οὐδὲ λειμὼν, μὴ προσέλθῃς. ἕπου γύναι καὶ σὺ τοῖς νόμοις καὶ διψῶντι παῦσαι ὁδοιπόρῳ, ὃν τὸ σὸν ἄστρον ἀπώλεσεν. D

Γυναικὶ ὑπάνδρῳ.

Τὸ μὲν ἔργον ἕν αἴ τ' ἐπὶ ἀνδρὸς, αἴ τ' ἐπὶ μοιχοῦ γένηται. τὸ δὲ κινδύνῳ σφαλερώτερον, τῇ χάριτι μεῖζον. οὐ γὰρ οὕτως τὸ φανερὸν εὐφραίνει τῆς ἐξουσίας, ὡς τὸ ἀπόρρητον τῆς ἡδονῆς. πᾶν δὲ τερπνότερον τὸ κεκλεμμένον, οὕτω καὶ Ποσειδῶν ὑπῆλθε πορφυρῷ κύματι,

Deliciis.

Perſuaſus es vt coniicio. Sed rei turpitudinem metuis. Ad quas res aufugis. Vnde tibi amicus efficitur. Non hinc pulchris referta ſunt Homeri carmina, qui Nireum & Achillem ad Troiam ducit; An non hinc Harmodij & Ariſtogitonis omnes amici fuerunt, etiam vſque ad enſes. Apollo verò an non Admeto & Brancho precio ſeruiuit? Iuppiter an non Ganymedem rapuit, quo plus etiam quàm Nectare delectatus? Soli enim vos pulchri cœlum quaſi ciuitatem inhabitatis. Ne ſpernas amatorem, qui tibi dare immortalitatem non poteſt, ſuam verò animam poteſt. Quòd ſi incredibile tibi videtur, paratus ſum ad obeundam mortem, ſi tu iubeas hoc, etiam nunc. Quod ſi laqueum necto, an non occides ô homo?

Mulieri.

Iubes mihi ne videam, & ego tibi ne videatis. Quis hoc iubet legiſlator? Quis vero illud? Quod ſi neutrum eſt prohibitum, neque tu tibimetipſi laudem oſtentationis adimas, neque mihi delectationis facultatem. neque fons ait, ne bibas: neque pomum ne capias, neque pratum, ne accedas. Sequere mulier tu etiam leges, & ſitim viatoris æſtuantis ſeda, quem tuum ſydus perdidit.

Fœminæ maritatæ.

Res quidem eſt eadem & vna, ſiue à marito, ſiue ab adultero contingat. Quod vero periculo eſt minus ſecurum, id gratiam habet maiorem. Non enim adeo manifeſta poteſtas exhilarat, vt illicita & arcana voluptas. Omne vero furtiuum ſolet eſſe delectabilius. Sic etiam Neptunus, ſub purpureo fluctui ſubiit,

& Iuppiter ſub auro, aqua, boui, draconi, ac ſub aliis integumentis latuit: vnde Bacchus & Apollo & Hercules exiſtunt, ex adulterio nati dij. Dicit autem Homerus etiam Iunonem tum eum libenter vidiſſe, & cum voluptate, quando cũ ea clàm coiit. Mariti enim poteſtatem mutauit in furtum adulterij.

Deliciis.

Famoſus, ſi ſit crudelis & immanis, ignis eſt. Sin placidus & manſuetus lumen. Ne igitur vras, ſed ſerues, & Miſericordiæ aram animo poſitam habeas, & pro minùs diuturno munere, ſtabilem & conſtantem amicum accipias: & tempus anteuerte quod ſolùm formoſos deſtruit, quemadmodum populares Tyrannos. Vt ſollicitus ſum (quod ſentio enim, dicam:) ne te cunctante, morámque nectente, prima barba ſubeat, & elegantiam vultus obumbret, quemadmodum ſolem occultare nubium concurſatio ſolet. Quid timeo quæ iam eſt videre? Serpit quidem lanugo, maxillæ vero pubeſcunt. Vultus vniuerſus floret ac viget. Proh, cunctando conſenuimus, tu quidem celeriter obſequi nolens, ego vero precari atque rogare metuens. Antequam igitur totum ver tuum abeat, & hyems ad fores præſto ſit, da hoc per amorem, per hanc lanuginem, quæ mihi cras eſt iuranda.

Miſericordia ara.

Vxori.

Adulter etſi perſuadeat, periculoſum ſumptum facit, & mœrore plenum, ſi non impetret. Felicitati enim periculum lex minatur. Mœroris autem precium eſt amor. At ſatius eſt iis quæ quiſpiam concupiuit impetratis eſſe in metus ſollicitudine, quàm ſpretum & contemptum mœrore confici.

A καὶ Ζεὺς χρυσῷ, ὕδατι, καὶ βοΐ, καὶ δράκοντι, καὶ ἄλλοις προκαλύμμασιν. ἀφ' ὧν Διόνυσος καὶ Ἀπόλλων καὶ Ἡρακλῆς, οἱ ἐκ μοιχείας θεοί. λέγει δὲ Ὅμηρος καὶ τὴν Ἥραν ἰδεῖν αὐτὸν τότε ἡδέως, ὅτε αὐτῇ συνῄει λάθρα. τὴν γὰρ ἀνδρὸς ἐξουσίαν τέθηκεν εἰς κλοπὴν μοιχείας.

Μειρακίῳ.

Ὁ καλὸς ἂν μὲν ᾖ θηριώδης, πῦρ ἐστιν· ἂν δὲ ἥμερος, φῶς. μὴ καίε οὖν, B ἀλλὰ σῶζε. καὶ τὸν ἐλέου βωμὸν ἐν τῇ ψυχῇ ἔχε. ἀντιλαβὼν βέβαιον φίλον ὠκυμόρου δωρεᾶς· καὶ φθάσας τὸν χρόνον, ὃς μόνος καταλύει τοὺς καλούς, ὥσπερ οἱ δημοτικοὶ τοὺς τυράννους. ὡς δέδοικά γε (ὃ φρονῶ γὰρ εἰρήσεται)· μὴ μέλλοντός σου καὶ βραδύνοντος, τὰ γένεια ἐπέλθῃ, καὶ τὴν τοῦ προσώπου* συσκιάσωσι χάριν· ὥσπερ εἴωθε τὸν ἥλιον κρύπτειν C ἡ νεφῶν συνδρομή. τί δέδοικα ἅπερ ἐστὶν ἤδη βλέπειν; ἕρπει μὲν ὁ ἴουλος· αἱ δὲ παρειαὶ χνοάζουσι. τὸ δὲ πρόσωπον ὅλον ἀνθεῖ. φεῦ, μέλλοντες ἐγηράσαμεν, σὺ μὲν θᾶττον* εἰκάσαι μὴ θελήσας· ἐγὼ δὲ ὀκνήσας δεηθῆναι. πρὶν οὖν τὸ ἔαρ ἀπελθεῖν ὅλον, καὶ χειμῶνα ἐπιστῆναι, δὸς αὐτὸ πρὸς ἔρωτος, πρὸς τούτων τῶν γενείων, ἃ δεῖ με αὔριον ὀμνύναι.

ἴσ. συσκιά-σῃ.

ἴσ. [illegible]

D

Γυναικί.

Ὁ μοιχὸς καὶ πείσας, σφαλερώτατον ἀνάλωμα, καὶ ὀδυνηρὸν μὴ τυγχάνων. τῆς μὲν γὰρ εὐπραγίας κίνδυνος ὁ νόμος. τῆς δὲ λύπης μισθὸς ὁ ἔρως. φοβεῖσθαι δὲ ἄμεινον τυχόντα, ὧν βούλεταί τις, ἢ ἀνιᾶσθαι ἀμελούμενον.

Μειρακίῳ.

Ἐπαινῶ σε ἀντισοφιζόμενον τῷ χρόνῳ, καὶ περικόπτοντα τὰ χνοῦα· ὃ γὰρ ἀπῆλθε φύσει, τοῦτο μένει τέχνῃ· ἡδίστη δὲ ἡ τῶν ἀπολλυμένων ἀνάκτησις. ὥς τι ἐμοὶ συμβουλεύοντι πείθοιο· τῇ μὲν κεφαλῇ κόμα· καὶ μελέτω σοι τῶν βοστρύχων· ὡς τοὺς μὲν ταῖς παρειαῖς συγκαταβαίνειν ἠρέμα· καὶ ταῦτά σου τὰ γένειά τις ἀφαιρήσεται ῥᾳδίως ὅτε βούλεται· τοὺς δὲ, τοῖς ὤμοις ἐπικαθῆσθαι καθάπερ φησὶν Ὅμηρος τοὺς Εὐβοεῖς ὄπισθεν κομᾶν. κεφαλὴ γὰρ ἀνθοῦσα ἡδίων πολὺ τοῦ τῆς Ἀθηνᾶς φυτοῦ. εἴπερ γε δεῖ καὶ ταύτην τὴν ἀκρόπολιν μὴ ψιλὴν ὁρᾶσθαι μηδὲ ἀκόσμητον. τὰ δὲ χνοῦά σοι ψιλὰ ἔστω, καὶ μηδεὶς ἐνοχλείτω τῷ φωτὶ τούτῳ, μήτε νεφέλη μήτε ἀχλύς. ὡς γὰρ οὐχ ἡδὺ θέαμα κεκλεισμένα ὄμματα· οὕτως οὐδὲ χνοῦα καλοῦ κομῶντα. εἴτε οὖν φαρμάκοις εἴτε μαχαίραις λεπταῖς εἴτε ἄκροις δακτύλοις, εἴτε ῥύμμασιν καὶ πόαις, εἴτε ἄλλῃ τινὶ μηχανῇ παράτεινε σεαυτῷ τὸ κάλλος μακρότερον. οὕτως γὰρ ἔσῃ μιμούμενος τοὺς ἀγήρως θεούς.

Deliciis.

Laudo te qui tempus eludas technis, & lanuginem reſeces. Quod enim naturâ diſceſſit, id arte manet. Iucundiſſima vero eſt eorum quæ amiſſa ſunt, recuperatio. Itaque meum conſilium audi ac ſequere. Capite comam nutri, & capillorum tibi cura ſit: alij cum maxillis ſenſim conueniant: & hanc tuam lanuginem, paruo negotio, cùm quis vult, auferet, alij vero conſidant in humeris. quemadmodum Homerus ait Eubœos comam in poſterioribus partibus alere. Nam caput florens multo iucundius eſt planta Mineruæ: ſiquidem ne hanc quidem arcem nudam videri conuenit, neque inornatam. Lanugines vero tibi ſint nudæ, neque quiſquam huic lumini officiat, neque nubes, neque caligo. Quemadmodum enim nequaquam iucundum aſpectum præbent oculi clauſi, ſic neque lanugo in formoſo comata. Siue igitur medicamentis, ſiue cultellis exilibus, ſiue ſummis digitis, ſiue purgationibus & herbis, ſiue alia quapiam machinatione, efficiet vt tibi pulchritudo ſit diuturnior. Sic enim imitaberis Deos expertes ſenectutis.

Γυναικί.

Ἐχθὲς συγκλείσας τὰ βλέφαρα ὅσον ἡσυχῇ σκαρδαμύξαι, πολλὴν ἡγούμην τὸν χρόνον. ἀμέλει τοῖς ὀφθαλμοῖς ὡς ἀνεράστοις ἐνεκάλουν. τί δὴ αὐτῆς ἐπελάθεσθε· τί δὲ τὴν φρουρὰν ἐξελίπετε. ποῦ δ᾽ ἐστὶ καὶ τί γέγονε, κἂν τοῦτο αὐτὸ μηνύσατε· νομίσας δὲ ἀκούειν, ἀπῆλθον ἔνθα σε ὄψεσθαι ᾠόμην. καὶ τοῦτο ἐκεῖνο ἐζήτουν ὡς ἡρπασμένην. τί οὖν μέλλω ποιεῖν, ἐὰν ἐξελάσῃς εἰς ἀγρὸν ὡς

Vxori.

Heri clauſis palpebris tantùm, vt pauxillum intueri poſſem longum tempus exiſtimabam præteriiſſe. Deinde oculos, vt rudes amoris obiurgabam. Cur eius vos cepit obliuio? cur præſidum deſtiſtuiſtis? Vbi ſit & quid factum ſit, hoc ſaltem ipſum ſignificate. Arbitratus autem audire, diſceſſi eo, vbi viſurum te putabam, & hoc eſt illud quod quærebam, vt raptã. Quid igitur ſum facturus, ſi in agrum egreſ-

A ſa fueris, vt anno præterito, & multis diebus vrbanam conſuetudinem reliqueris? Equidem neceſſario *de me* actum eſſe arbitror, ſi nihil poſſim iucundum amplius, neque audire neque videre. Ego enim futurum opinor, vt te ciuitatem egredientem etiam ſequantur ipſi qui ſunt in vrbe dij, *ſpectaculo* tracti atque commoti. Quid enim hîc ſoli faciunt? Atque etiamſi illi locis ſuis manſerint, tamen ego non relinquar amoris *appẽdix, vt cymba minor.* Quod ſi etiã fo-

